737, 7. βασιλῆος] βασιλέος. — 11. ἐπινοίη] ἐπίνοια. — 12. κατέλαβεν] κατέλαβε. — 13. Ἔκειτο] Ἐκέετο. — 14. ἐτρέπετο] ἐτράπετο. — 20. ἔχε] εἶχε. — 24. ἄρξατο... ἔχετο] ἤρξατο... εἴχετο. — 25. γιγνόμενα] γινόμενα. — 27. ὀρρωδέοντα] ἀρρωδέοντα. — 29. φρενοβλαβείη] φρενοβλάβεια. — 34, et 740, 48. ἔσχετο] εἴχετο vel ἔσχητο. — 36. προξενέειν] προξεινέειν. — 37. ἀμείβετο] ἠμείβετο vel ἀμείβεται. — 46. ἔην] ἦν, ut p. 739, 2, nisi, quod non credo, illud contra usum Herodoti dixit ut ἔμεναι; ἔην iterum p. 744, 43, ubi cod. Gorlic. ἦν, in quo omnes consentiunt p. 376, 23. — 47. τουτέοισι] τούτοισι. — 53. ἐθεήσατο] ἐθηήσατο. — 55. ἀπείλεε] ἠπείλεε.

738, 1. οὐδεμίην] οὐδεμίαν. — 6. εἵνεκα] εἵνεκεν? — 15. λίσσετο] ἐλίσσετο. — 17. ὀρρώδεε] ἀρρώδεε. — 29. εἰπὼν] εἶπας? — 30. μικρὸν] σμικρόν. — 31. ἔπειτα] ἔπειτεν? — 33. βασιλῆα] βασιλέα. — οἰκηίοισι] οἰκίοισι.— 40. σῶον] σόον.— 46. ὀρρώδεε] ἀρρώδεε.— 47. συνόντα] συνεόντα.— ἄρχετο] ἤρχετο. — 49. τουτέων] τούτων.

739, 5. αἰδέετο] ἠδέετο. — 8. ἀγνοίην] ἄγνοιαν.— 10. οἰκήια] οἰκία. — 11. αὐλίζετο] ηὐλίζετο. — λίσσετο... ἅπτετο] ἐλίσσετο... ἥπτετο.— 13. ἀναίνετο] ἠναίνετο. — 14. Ἀπειλούσης] Ἀπειλεούσης. — 18. ἕλπετο] ἤλπετο. — 20. ἀπρήκτοιο] ἀπρήκτου. Ἔστιν] Ἔστι. — 21. γίγνεται] γίνεται, pariterque 27. — 31. πείρην] πεῖραν. — 33. ταὐτὶ] ταὐτά. — 34. Σθενεβοίην] Σθενέβοιαν. — 41. ἔχε] εἶχε. — 44. ἄρχετο] ἤρχετο. — προὔφερε] προέφερε. — 46. τρισσὰ] τριξά? — 51. ἐργασμένον] εἰργασμένον ex codd., ut εἰργάσαο p. 740, 12, διειργάσατο p. 740, 39. Conf. ad p. 376, 21.— 53. φθέγξατο] ἐφθέγξατο. — 54. εἵνεκα] εἵνεκεν?

740, 4. ἐπέδειξε] ἐπέδεξε. — 6. ὀρρωδέων] ἀρρωδέων. — 8. δεσπότεα] δεσπότην. — 17. αὐτέων] αὐτῶν. — 29. εἵνεκα] εἵνεκεν? — 31. Ἑρμοκλέους] Ἑρμοκλέος, ut Ἡρακλέος p. 733, 24, 25. — 34. ἔτεμον] ἔταμον. — 38. ἀνανδρηίη] ἀνανδρίη. — 45. τουτέων] τούτων. — 46. συνενείχθη] συνηνείχθη. — 47. τε ὄντα] τ' ἐόντα. — 48. ἔσχετο] V. ad p. 737, 34.— 49. Ἐπὶ τοῖσι] Ἐπ' οἷσι. — 52. ἐξαπατέοιτο] ἐξαπατῷτο.

741, 1. αὐτέων] αὐτῶν. — 2, 18, 25. εἵνεκα] εἵνεκεν? — 3. εἰπεῖν] εἶπαι? — 6. κέαται] κέεται. — 7. περικέαται] περικέεται.— 11. ἑστᾶσι] ἑστέασι? — 13. τουτέων] τούτων.— 19. ξυμφορῆς] συμφορῆς, ut p. 744, 4. — 21. ὀρρωδέοντες] ἀρρωδέοντες. — 23. τουτέοισι] τούτοισι.— 25. κατίζουσιν] κατίζουσι. — 30. προσφυῶν] προσφυέων.— 32. ὅπῶπεν] ὄπωπε. — 35. ἀφεὶς] ἀπείς. — 37. ἀπὸ τῶν] ἀπ' ὧν. — 38. εἶπον] εἶπα?— 40. ἀφέντες] ἀπέντες.— 42. τοὔνομα] τὸ οὔνομα.— 47. ἐπικέαται] ἐπικέεται.— 48. ἐστὶν] ἐστί. — 49. οὐκ ἔχω ἐρέειν] Constructio vitiosa pro οὐκ ἔχω εἶπαι, ut loquitur Herodotus 3, 116. Non minus vitiose dictum est ἐπερέεται p. 743, 35, pro Herodoteo ἐπειρωτᾷ. — 50. ὀρρωδίη] ἀρρωδίη. — 51. ὁρέει] ὁρᾷ. — 52. ἡέλιον] Ἥλιος ter infra c. 34, et frequenter in libello Περὶ τῆς ἀστρολογίης. Apud Herodotum constanter ἥλιος. — 53. ἐστὶν] ἐστί.

742, 1. ἐπὶ τῆς] ἐπ' ἧς. — 3. θώυμα] θῶμα? — 7. σοι] τοι. — 21. ἐφέζεται] ἐπέζεται. — 22. ὁρῇ] ὁρᾷ.— 24. In libris recte τοι scriptum, σοι ab

Solano illatum, credo propter σοι v. 7, quod ipsum in τοι mutandum erat. — 25 ξύμπαντα] σύμπαντα. — 42. θωυμαστόν] θωμαστόν? — 43. ἐσορέῃς... ὁρῇ... ἐσορέῃ] ἐσορᾷς... ὁρᾷ... ἐσορᾷ scribere debuit nisi ab Herodoti exemplo descivit. — 54. ἐφέστηκε] ἐπέστηκε. — Τοὔνεκα] Idem infra legitur c. 39, 54. Hoc nusquam dixit Herodotus, sed τοῦ εἵνεκεν.

743, 2. εἶπον] εἶπα? — 6. εἵνεκα] εἵνεκεν? — 8. πάντεσι] Hoc quoque contra usum Herodoti, qui πᾶσι dicit. — 14. ἥγηνται] ἡγέαται. — 18. αὐτέοισι] αὐτοῖσι. — 23. εἰπεῖν] εἶπαι? — 24. θωυμάζειν] θωμάζειν? — 27. ἐστιν] ἐστι. — 35. ἐπερρέεται] Vid. ad p. 741, 49. — 41. ἔρονται pro ἔσονται editores posuerunt ex conjectura, quæ si vera est, aut hic ἐρέονται aut paullo ante ἐπέρεται scribendum erit. — 42. εἶπον] εἶπα? — 45. ἔλιπεν] ἔλιπε. — 46. ἐστιν] ἐστι. — 48. κεκοσμέαται] κεκόσμηται? — 52. νεὼ] νηοῦ.

744, 7. τρέπεσθαι] τράπεσθαι. — 11. Πάριδος] Πάριος? — 12. Νιρέως] Νιρέος. — 18. ἄφετοι] ἄπετοι? — 25. πλείονες] πλέονες. — 26. αὐτέοισι] αὐτοῖσι. — 28. ἐπιγίγνεται] ἐπιγίνεται. — τιάρῃ] τιήρῃ. — 38. εἰπεῖν ἐδύναντο] εἶπαι ἐδυνέατο? — 41. Γίγνονται] Γίνονται. — αὐτέων] αὐτῶν ex cod. Gorl. — 43. ἓην] ἦν ex cod. Gorl. Vid. ad p. 737, 46. — 44. αὐτέῳ] αὐτῷ, in quo libri consentiunt v. 16. Ib. ἀνακέετο ex cod. Vaticano editum: alii ἀνακέατο vel ἀνεκέαται. Scribendum ἀνεκέετο, de quo dixi § 15. — 45. ἐθεησάμην] ἐθηησάμην. — 51. ὑφεστεὼς] ὑπεστεώς.

745, 1. Γίγνονται] Γίνονται. — 4. εἵνεκα] εἵνεκεν? — 9. αὐτέοισι] αὐτοῖσι. — 10. τουτέων] τούτων. — 11. εἰπεῖν] εἶπαι? — 17. ὁρῇ] Hoc ὁρᾷ scribendum erat ex usu Herodoti: quem si deserere voluit Lucianus, ὁρέῃ scribere debuit, ut ἐσορέῃ et ἐσορέῃς legitur p. 742, 43, 45. — 18. τουτέου] τούτου. — 25. ἑστᾶσι] ἑστέασι? — 30. ἐνιᾶσι] ἐνιεῖσι? — 41. γίγνεται] γίνεται ex cod. Gorl. — 43. γίγνονται] γίνονται. — 47. ἀποκέαται] ἀποκέεται. — 51. ἔταμεν] ἔταμε. — 52. θηλέην] θήλεαν.

746, 2. ἐὰν] Paullo post (v. 7) ἤν, qua forma sola utitur Herodotus. Sed hic fortasse ἐπεὰν præstat. — 6. οὕτως] οὕτω. — 7. τουτέων ἢν ἐσέλθωσιν] τούτων ἢν ἐσέλθωσι. — 9. χρέωνται τουτέοισιν] χρέονται τούτοισι. — 10. αὐτέων] αὐτῶν. — 12. αὐτέων Solanus intulit. Recte libri αὐτῶν. — 16. ἄρσενας] ἔρσενας — θήλεας] θηλέας. — 19, 22. αὐτέοισι] αὐτοῖσι. — 22. οἰκήια] οἰκία. — 34. Ἄρας] ἀείρας? — 35. χρεόμενος] χρεώμενος codex Gorl. — εἵνεκα] εἵνεκεν? — 46. οἰκήια] οἰκία. — 49. ἀπιᾶσι] ἀπιεῖσι? — 52. αὐτέοισι] αὐτοῖσι.

747, 4. κεῖνοι] Scribendum ἐκεῖνοι ex codicibus: v. ad p. 736, 43. — 6. σφιν... εἶναι] Lectio ex conjectura interpolata. Libri μιν... ἰέναι. Neutrum ferri potest. Et σφιν quidem propterea est rejiciendum, quia constans in hoc libello usus est formæ disyllabæ σφίσι: vid. p. 733, 5, 49; 734, 9, 50; 735, 23, 35; 736, 13; 738, 45; 739, 23; 745, 39; 746, 15, 42, pariterque in libello Περὶ τῆς ἀστρολογίης p. 373, 27; 374, 4, 37; 375, 42; 376, 42; 377, 11, 23. — 10. ἀπιᾶσι] ἀπιεῖσι? — 11. καθαθέντες error typothetæ pro καταθέντες. In cod. Gorlic. κατθέντες, quod ex κατέντες corruptum videri posset, nisi ἐς ἀγγήιον κατέθετο legeretur p. 738, 30.

II.

ΠΕΡΙ ΤΗΣ ΑΣΤΡΟΛΟΓΙΗΣ.

Libello de dea Syria omni ex parte, quod ad dialectum attinet, similis est ignoti scriptoris commentatio περὶ τῆς ἀστρολογίης, inter Luciani opera recepta vol. 2, p. 360-373 (p. 372-377 ed. Didotianæ), quæ ab librariis editoribusque dialecti ignaris multis modis interpolata sic fere est corrigenda:

P. 372, 2. αὐτέων ... αὐτέου ... ἀληθηίης ab Solano et Jensio positum est. Recte libri αὐτῶν ... αὐτοῦ... ἀληθείης. — 3. τουτέων] τούτων. — 4. οὐχ] οὐκ. — 7. πᾶσι] παισὶ Solanus recte. — 8. τιμέουσιν] τιμέουσι. — 11. ἔστιν] ἔστι. — 13. κείνοισι] ἐκείνοισι, ut p. 373, 46; 374, 8, 13, 20, 21; 377, 3, 9. — ἀνδράσιν] ἀνδράσι. — 16. νομίζουσιν] νομίζουσι.

373, 1. ἀϊδρίη] Sic codex unus: alii ἀϊδρείη, quod ἀϊδρηίη scribendum. V. § 6. — 5. αὐτέοισι] αὐτοῖσι. — 9. οἰκέουσιν] οἰκέουσι. — 11. γιγνομένην] γινομένην. — 12. τρεπομένην] τραπομένην. — αὐτέοισι] αὐτοῖσι. — 13. θωύματος] θώματος? — 14. τουτέων] τούτων. — 18. δυναστείην] δυναστηίην. — 20. αὐτέοισιν] αὐτοῖσι. — 23. γείτοσιν] γείτοσι. — 26. κινήσεως] κινήσιος: quod ex cod. uno restitutum p. 375, 16, ubi vulgo κινήσεος vel κινήσεως, et ex conjectura p. 377, 11. — 27. μηνέων καὶ] μηνῶν καὶ. — μηνέων μὲν e libris duobus editum. Recte ceteri μηνῶν μέν. V. § 11. — 30. πολλῷ] Codex unus πολλὸν non male. — τουτέων] τούτων. — 34. οἰκεῖα] οἰκηΐα. — 37. Nihili est ἀπὸ τέω, quod hic ex tribus libris pro vulgato olim ἀπὸ τέων positum est et infra p. 374, 38 in omnibus legitur. Scribendum ἀπ' ὅτευ, ut Herodotus loqui solet. — 45. αὐτέοις] αὐτοῖς. — ἱρώτατον] Libri præter unum ἱερώτατον. Scribendum ἱρότατον. — 53. τουτέων] τούτων.

374, 2. τουτέους] τούτους. — 4. σφίσιν] σφίσι. — 7. γοητείην] γοητηίην. — διανοίη] διάνοια. Similia vitia μοίρην 374, 14, διανοίην 375, 46, ἀπορροίη et οὐδεμίην ἀπορροίην 377, 16, 18. — 14. αὐτέῃ] αὐτῇ. — 18. ἐν οἷς] ἐν οἷσι vel, si Herodoti regulam secutus est, ἐν τοῖσι. Vid. ad p. 735, 14. — 20. του-

τέων] τούτων. — 24. τουτέων] τούτων. — 27. εἰπεῖν] εἶπαι? Conf. ad p. 374, 44. — 28, 31. ἄρρενες ... ἄρρενα] ἔρσενες ... ἔρσενα. — 38. ὑπέδειξεν] ὑπέδεξε. — ἀπὸ τέω] Vid. ad p. 373, 37. — 40, 45. αὐτέου] αὐτῶ libri recte. — 44. εἰπόντα] εἰπαντα? — 49. οὐχὶ] οὐχί.

375, 4. νῷ] νόῳ. — 5. ἀληθηίης] ἀληθείης. — 10. αὐτέης] αὐτῆς. — 11. εἰς] ἐς. — 14. ἐπενοήσαντο] ἐπενώσαντο. — 16. αὐτέων] αὐτῶν. — 23. αὐτέῳ] αὐτῷ. — 29. ἀπαιωρούμενος] ἀπαιωρεύμενος vel ἀπαιωρεόμενος. — 30. Ἐπὶ τοῖσι] Vid. ad p. 735, 14. — 31. βαλεῖν] βαλέειν. — 34. αὐτέῳ] αὐτῷ. — σταλάουσι si recte legitur, imperitiam prodit scriptoris, qui σταλάζουσι vel σταλάσσουσι dicere debebat. — Οὐχ] Οὐκ. — 36. αὐτέῳ] Recte libri αὐτῷ. — 41. αὐτέων] αὐτῶν. — 45. χρόην] χροιὴν Solanus recte : vid. p. 374, 16. — 46. διανοίην] Vid. ad p. 374, 7. — 47. βουλήσει] βουλήσι. — 54. ὀρέεσθαι] Alii libri ὁράασθαι. Recta forma ὁρᾶσθαι est.

376, 9. αὐτέῳ] Recte libri αὐτῷ. — 10. μοιχείην] μοιχηίην. — 13. αὐτέων] Hic quoque libri nonnulli recte αὐτῶν. — 14. εἰπὼν] εἶπας? — 18. Ἄπερ] Τάπερ. — 19. αὐτέην] Recte libri αὐτήν. — 21. ἐργάζοντο] Probabilius εἰργάζοντο. Vid. ad p. 739, 51. — 22. αὐτέοισι] αὐτοῖσι. — 24. προφητείην] προφητηίην. — 28. ὀνομάζεται] οὐνομάζεται. — 29. αὐτέοισι] Recte libri αὐτοῖσι. — 33. εἰς] ἐς. — 36. ἐν τοῖσι] ἐν δὲ τοῖσι? — 37. πιεῖν] πιέειν. — 38, 46. αὐτέη] Recte libri αὐτῇ. — 39. εἰπεῖν] εἶπαι? — 40. διψῶσαν] διψέουσαν? — 45. δυναστείην] δυναστηίην. — 49. σελεναίης error typothetæ pro σεληναίης. — 51. αὐτέων] αὐτῶν.

377, 2. ἕνεκα] εἵνεκεν? — 3, 18. οὐδεμίην] οὐδεμίαν. — 4. ἔστιν] ἔστι. αὐτέοισι] αὐτοῖσι. — 9. κεῖνα] error typothetæ pro ἐκεῖνα. — εἰπεῖν] εἶπαι? — 12. ἐπιγίγνεται] ἐπιγίνεται. — 15. γίγνεσθαι] γίνεσθαι. — 16, 18, ἀπορροίη—ἀπορροίην] Vid. ad p. 374, 7. — 18. δεχόμεθα] δεκόμεθα. — 20. ἐστιν] ἐστι. — 23. δέχονται] δέκονται. — 25. ἐγὼν] ἐγώ.

ΗΡΟΔΟΤΟΥ·

ΙΣΤΟΡΙΩΝ ΠΡΩΤΗ.

(ΚΛΕΙΩ.)

Ἡροδότου Ἁλικαρνησέος ἱστορίης ἀπόδεξις ἥδε, ὡς μήτε τὰ γενόμενα ἐξ ἀνθρώπων τῷ χρόνῳ ἐξίτηλα γένηται, μήτε ἔργα μεγάλα τε καὶ θωμαστὰ, τὰ μὲν Ἕλλησι, τὰ δὲ βαρβάροισι ἀποδεχθέντα, ἀκλεᾶ γένηται, τά τε ἄλλα καὶ δι' ἣν αἰτίην ἐπολέμησαν ἀλλήλοισι.

I. Περσέων μέν νυν οἱ λόγιοι Φοίνικας αἰτίους φασὶ γενέσθαι τῆς διαφορῆς. Τούτους γὰρ ἀπὸ τῆς Ἐρυθρῆς καλευμένης θαλάσσης ἀπικομένους ἐπὶ τήνδε τὴν θάλασσαν καὶ οἰκήσαντας τοῦτον τὸν χῶρον τὸν καὶ νῦν οἰκέουσι, αὐτίκα ναυτιλίῃσι μακρῇσι ἐπιθέσθαι, ἀπαγινέοντας δὲ φορτία Αἰγύπτιά τε καὶ Ἀσσύρια τῇ τε ἄλλῃ ἐσαπικνέεσθαι καὶ δὴ καὶ ἐς Ἄργος· (2) τὸ δὲ Ἄργος τοῦτον τὸν χρόνον προεῖχε ἅπασι τῶν ἐν τῇ νῦν Ἑλλάδι καλευμένῃ χώρῃ· ἀπικομένους δὲ τοὺς Φοίνικας ἐς δὴ τὸ Ἄργος τοῦτο διατίθεσθαι τὸν φόρτον. (3) Πέμπτῃ δὲ ἢ ἕκτῃ ἡμέρῃ ἀπ' ἧς ἀπίκατο, ἐξεμπολημένων σφι σχεδὸν πάντων, ἐλθεῖν ἐπὶ τὴν θάλασσαν γυναῖκας ἄλλας τε πολλὰς καὶ δὴ καὶ τοῦ βασιλέος θυγατέρα· τὸ δέ οἱ οὔνομα εἶναι κατὰ τὠυτὸ τὸ καὶ Ἕλληνες λέγουσι, Ἰοῦν τὴν Ἰνάχου. (4) Ταύτας στάσας κατὰ πρύμνην τῆς νηὸς ὠνέεσθαι τῶν φορτίων τῶν σφι ἦν θυμὸς μάλιστα, καὶ τοὺς Φοίνικας διακελευσαμένους ὁρμῆσαι ἐπ' αὐτάς. Τὰς μὲν δὴ πλεῦνας τῶν γυναικῶν ἀποφυγέειν, τὴν δὲ Ἰοῦν σὺν ἄλλῃσι ἁρπασθῆναι. Ἐσβαλομένους δὲ ἐς τὴν νέα οἴχεσθαι ἀποπλώοντας ἐπ' Αἰγύπτου.

II. Οὕτω μὲν Ἰοῦν ἐς Αἴγυπτον ἀπικέσθαι λέγουσι Πέρσαι, οὐκ ὡς Ἕλληνες, καὶ τῶν ἀδικημάτων τοῦτο ἄρξαι πρῶτον. Μετὰ δὲ ταῦτα Ἑλλήνων τινάς (οὐ γὰρ ἔχουσι τοὔνομα ἀπηγήσασθαι) φασὶ τῆς Φοινίκης ἐς Τύρον προσσχόντας ἁρπάσαι τοῦ βασιλέος τὴν θυγατέρα Εὐρώπην· εἶησαν δ' ἂν οὗτοι Κρῆτες. (2) Ταῦτα μὲν δὴ ἴσα σφι πρὸς ἴσα γενέσθαι· μετὰ δὲ ταῦτα Ἕλληνας αἰτίους τῆς δευτέρης ἀδικίης γενέσθαι. Καταπλώσαντας γὰρ μακρῇ νηῒ ἐς Αἶάν τε τὴν Κολχίδα καὶ ἐπὶ Φᾶσιν ποταμὸν, ἐνθεῦτεν, διαπρηξαμένους καὶ τἆλλα τῶν εἵνεκεν ἀπίκατο, ἁρπάσαι τοῦ βασιλέος τὴν θυγατέρα Μήδειαν. (3) Πέμψαντα δὲ τὸν Κόλχον ἐς τὴν Ἑλλάδα κήρυκα αἰτέειν τε δίκας τῆς ἁρπαγῆς καὶ ἀπαιτέειν τὴν θυγατέρα. Τοὺς δὲ ὑποκρίνασθαι ὡς οὐδὲ ἐκεῖνοι Ἰοῦς τῆς Ἀργείης ἔδοσάν σφι δίκας τῆς ἁρπαγῆς· οὐδὲ ὧν αὐτοὶ δώσειν ἐκείνοισι.

III. Δευτέρῃ δὲ λέγουσι γενεῇ μετὰ ταῦτα Ἀλέξαν-

HERODOTI

HISTORIARUM LIBER PRIMUS.

(CLIO.) (Pag. 1—3 Wess.)

Herodotus Halicarnasseus, quæ quum cæteris de rebus, tum de caussa bellorum Græcos inter Barbarosque gestorum, perquirendo cognovit, ea his libris consignata in publicum edit; ne, quæ ab hominibus gesta sunt, progressu temporis oblivione deleantur, neve præclara mirabiliaque facta, quæ vel a Græcis edita sunt vel a Barbaris, sua laude fraudentur.

I. Jam Persarum quidem literatos si audias, inimicitiarum primi auctores Phœnices fuere. Hos enim, aiunt, postquam a mari quod Rubrum vocatur ad hoc nostrum mare advenissent, hancque regionem quam etiam nunc incolunt, cœpissent habitare, continuo navigationibus longinquis dedisse operam, et transvehendis mercibus Ægyptiis Assyriisque quum alias Græciæ partes, tum vero et Argos adiisse. (2) Argos enim illis temporibus inter alia ejus regionis oppida, quæ Græcia nunc nominatur, rebus omnibus eminebat. Ad Argos igitur hoc postquam adpulissent Phœnices, ibique merces suas venum exposuissent, (3) quinto aut sexto ab adventu die, divenditis fere rebus omnibus, mulieres ad mare venisse, quum alias multas, tum vero et regis filiam, quam quidem eodem nomine Persæ adpellant atque Græci, Io Inachi. (4) Quæ dum ad puppim navis stantes mercarentur merces quæ illarum maxime animos advertissent, Phœnices interim mutuo sese cohortatos impetum in illas fecisse : et majorem quidem mulierum numerum profugisse, Io vero cum aliis fuisse raptam : quibus in navem impositis, soluta navi Phœnices Ægyptum versus vela fecisse.

II. Hac quidem ratione in Ægyptum pervenisse Io aiunt Persæ, secus atque Græci, idque primum fuisse injuriarum initium. Deinde vero Græcos nonnullos, quorum nomina non possunt memorare, (fuerint hi autem Cretenses,) Tyrum in Phœnice aiunt adpulisse, filiamque regis rapuisse Europam; (2) ac sic quidem par pari fuisse ab his repensum. Post hæc autem Græcos secundæ injuriæ fuisse auctores : etenim longa navi Æam, Colchidis oppidum, et ad Phasin flumen profectos, perfectis cæteris rebus quarum caussa advenissent, rapuisse inde regis filiam Medeam; (3) quumque ad pœnas raptus hujus repetendas et ad reposcendam filiam caduceatorem in Græciam misisset Colchus, respondisse Græcos, quemadmodum illi de raptu Argivæ Ius sibi non dedissent pœnas, sic ne se quidem illis daturos.

III. Tum deinde, proxima ætate, Alexandrum Priami

δρον τὸν Πριάμου ἀκηκοότα ταῦτα ἐθελῆσαί οἱ ἐκ τῆς Ἑλλάδος δι' ἁρπαγῆς γενέσθαι γυναῖκα, ἐπιστάμενον πάντως ὅτι οὐ δώσει δίκας· οὐδὲ γὰρ ἐκείνους διδόναι. (2) Οὕτω δὴ ἁρπάσαντος αὐτοῦ Ἑλένην, τοῖσι Ἕλλησι δόξαι πρῶτον πέμψαντας ἀγγέλους ἀπαιτέειν τε Ἑλένην καὶ δίκας τῆς ἁρπαγῆς αἰτέειν. (3) Τοὺς δὲ, προϊσχομένων ταῦτα, προφέρειν σφι Μηδείης τὴν ἁρπαγήν, ὡς οὐ δόντες αὐτοὶ δίκας, οὐδὲ ἐκδόντες ἀπαιτεόντων, βουλοίατό σφι παρ' ἄλλων δίκας γίνεσθαι.

IV. Μέχρι μὲν ὧν τούτου ἁρπαγὰς μούνας εἶναι παρ' ἀλλήλων, τὸ δὲ ἀπὸ τούτου Ἕλληνας δὴ μεγάλως αἰτίους γενέσθαι· προτέρους γὰρ ἄρξαι στρατεύεσθαι ἐς τὴν Ἀσίην ἢ σφέας ἐς τὴν Εὐρώπην. (2) Τὸ μέν νυν ἁρπάζειν γυναῖκας ἀνδρῶν ἀδίκων νομίζειν ἔργον εἶναι, τὸ δὲ ἁρπασθεισέων σπουδὴν ποιήσασθαι τιμωρέειν ἀνοήτων, τὸ δὲ μηδεμίαν ὥρην ἔχειν ἁρπασθεισέων σωφρόνων· δῆλα γὰρ δὴ ὅτι, εἰ μὴ αὐταὶ ἐβουλέατο, οὐκ ἂν ἡρπάζοντο. (3) Σφέας μὲν δὴ τοὺς ἐκ τῆς Ἀσίης λέγουσι Πέρσαι ἁρπαζομένων τῶν γυναικῶν λόγον οὐδένα ποιήσασθαι, Ἕλληνας δὲ Λακεδαιμονίης εἵνεκεν γυναικὸς στόλον μέγαν συναγεῖραι καὶ ἔπειτεν ἐλθόντας ἐς τὴν Ἀσίην τὴν Πριάμου δύναμιν κατελέειν. (4) Ἀπὸ τούτου αἰεὶ ἡγήσασθαι τὸ Ἑλληνικὸν σφίσι εἶναι πολέμιον· τὴν γὰρ Ἀσίην καὶ τὰ ἐνοικέοντα ἔθνεα βάρβαρα οἰκειεῦνται οἱ Πέρσαι, τὴν δὲ Εὐρώπην καὶ τὸ Ἑλληνικὸν ἡγέαται κεχωρίσθαι.

V. Οὕτω μὲν Πέρσαι λέγουσι γενέσθαι, καὶ διὰ τὴν Ἰλίου ἅλωσιν εὑρίσκουσι σφίσι ἐοῦσαν τὴν ἀρχὴν τῆς ἔχθρης τῆς ἐς τοὺς Ἕλληνας. (2) Περὶ δὲ τῆς Ἰοῦς οὐκ ὁμολογέουσι Πέρσῃσι οὕτω Φοίνικες· οὐ γὰρ ἁρπαγῇ σφέας χρησαμένους λέγουσι ἀγαγεῖν αὐτὴν ἐς Αἴγυπτον, ἀλλ' ὡς ἐν τῷ Ἄργεϊ ἐμίσγετο τῷ ναυκλήρῳ τῆς νεὸς, ἐπεὶ δὲ ἔμαθε ἔγκυος ἐοῦσα, αἰδεομένη τοὺς τοκέας, οὕτω δὴ ἐθελοντὴν αὐτὴν τοῖσι Φοίνιξι συνεκπλῶσαι, ὡς ἂν μὴ κατάδηλος γένηται. (3) Ταῦτα μέν νυν Πέρσαι τε καὶ Φοίνικες λέγουσι· ἐγὼ δὲ περὶ μὲν τούτων οὐκ ἔρχομαι ἐρέων ὡς οὕτω ἢ ἄλλως κως ταῦτα ἐγένετο, τὸν δὲ οἶδα αὐτὸς πρῶτον ὑπάρξαντα ἀδίκων ἔργων ἐς τοὺς Ἕλληνας, τοῦτον σημήνας προβήσομαι ἐς τὸ πρόσω τοῦ λόγου, ὁμοίως σμικρὰ καὶ μεγάλα ἄστεα ἀνθρώπων ἐπεξιών. (4) Τὰ γὰρ τὸ πάλαι μεγάλα ἦν, τὰ πολλὰ αὐτῶν σμικρὰ γέγονε· τὰ δὲ ἐπ' ἐμεῦ ἦν μεγάλα, πρότερον ἦν σμικρά. Τὴν ἀνθρωπηίην ὧν ἐπιστάμενος εὐδαιμονίην οὐδαμὰ ἐν τωὐτῷ μένουσαν, ἐπιμνήσομαι ἀμφοτέρων ὁμοίως.

VI. Κροῖσος ἦν Λυδὸς μὲν γένος, παῖς δὲ Ἀλυάττεω, τύραννος δὲ ἐθνέων τῶν ἐντὸς Ἅλυος ποταμοῦ, ὃς ῥέων ἀπὸ μεσαμβρίης μεταξὺ Σύρων καὶ Παφλαγόνων ἐξίει πρὸς βορέην ἄνεμον ἐς τὸν Εὔξεινον καλεύμενον πόντον. (2) Οὗτος ὁ Κροῖσος βαρβάρων πρῶτος τῶν ἡμεῖς ἴδμεν τοὺς μὲν κατεστρέψατο Ἑλλήνων ἐς φόρου ἀπαγωγὴν, τοὺς δὲ φίλους προσεποιήσατο· κατεστρέψατο μὲν Ἴωνάς τε καὶ Αἰολέας καὶ Δωριέας τοὺς ἐν τῇ Ἀσίῃ, φίλους δὲ προσεποιήσατο Λακεδαιμονίους.

filium, quum ista audivisset, cupidinem incessisse uxoris sibi e Græcia per rapinam comparandæ; existimantem utique se non daturum pœnas, quoniam nec illi dedissent. (2) Ita quum is rapuisset Helenam, visum esse Græcis primum missis nunciis Helenam repetere et pœnas de raptu poscere: (3) illos vero hisce, postulata sua exponentibus, raptum exprobrasse Medeæ, ut qui, quum ipsi nec pœnas dedissent, nec illam reposcentibus reddidissent, vellent ab aliis pœnas sibi dari.

IV. Hucusque igitur mutuis solum rapinis esse actum: ab illo vero tempore Græcos utique graviorum injuriarum exstitisse auctores; hos enim priores Asiæ cœpisse bellum inferre, quam Persæ intulissent Europæ. (2) Et mulieres quidem rapere, videri sibi aiunt iniquorum esse hominum; raptarum vero ultionem tanto studio persequi, amentium; contra, nullam raptarum curam habere, prudentium: quippe manifestum esse, nisi ipsæ voluissent, non futurum fuisse ut raperentur. (3) Itaque se quidem, Asiam incolentes, aiunt Persæ, raptarum mulierum nullam habuisse rationem; Græcos autem mulieris Laconicæ caussa ingentem contraxisse classem, et mox in Asiam profectos Priami regnum evertisse: (4) ab eo tempore se constanter Græciæ populos sibi esse inimicos existimasse. Nam Asiam et barbaras gentes eam incolentes ad se pertinere autumant Persæ; Europam vero et Græcos nihil secum commune habere.

V. Hunc in modum Persæ quidem gestas res esse memorant, et ab Ilii excidio repetunt inimicitiarum suarum adversus Græcos initium. (2) De Io vero cum Persis non consentiunt Phœnices rem isto modo esse gestam. Negant enim se raptu usos illam in Ægyptum abduxisse: sed Argis eam cum nauclero aiunt concubuisse, et quum se gravidam sensisset, veritam parentum iram, sic volentem ipsam cum Phœnicibus enavigasse, ne comperta foret. (3) Hæc sunt igitur quæ partim a Persis, partim a Phœnicibus memorantur. Ego vero, utrum tali modo hæc gesta sint, an alio, non adgredior disceptare: sed, quem ipse novi primum fuisse injuriarum Græcis illatarum auctorem, hunc ubi indicavero, tunc ad reliqua exponenda progrediar, perinde et parvarum civitatum et magnarum res persecuturus. (4) Etenim quæ olim fuerant magnæ, earum plurimæ parvæ factæ sunt: et quæ nostra memoria magnæ fuere, eædem prius exiguæ fuerant. Itaque, bene gnarus humanam felicitatem nequaquam in eodem fastigio manere, perinde utrarumque faciam mentionem.

VI. Crœsus, genere Lydus, Alyattis filius, rex fuit populorum intra Halyn fluvium incolentium; quod flumen, a meridie Syros inter et Paphlagonas interfluens, ad septentrionem in Euxinum qui vocatur Pontum se exonerat. (2) Hic Crœsus e barbaris, quos novimus, primus alios Græcorum imperio suo subjecit et ad tributum pendendum adegit, alios sibi socios et amicos adjunxit. Subegit Ionas et Æoles et Dorienses Asiam incolentes; amicos autem sibi

(3) Πρὸ δὲ τῆς Κροίσου ἀρχῆς πάντες Ἕλληνες ἦσαν ἐλεύθεροι· τὸ γὰρ Κιμμερίων στράτευμα τὸ ἐπὶ τὴν Ἰωνίην ἀπικόμενον Κροίσου ἐὸν πρεσβύτερον οὐ καταστροφὴ ἐγένετο τῶν πολίων, ἀλλ' ἐξ ἐπιδρομῆς ἁρπαγή.

VII. Ἡ δὲ ἡγεμονίη οὕτω περιῆλθε, ἐοῦσα Ἡρακλειδέων, ἐς τὸ γένος τὸ Κροίσου, καλευμένους δὲ Μερμνάδας. (2) Ἦν Κανδαύλης, τὸν οἱ Ἕλληνες Μυρσίλον οὐνομάζουσι, τύραννος Σαρδίων, ἀπόγονος δὲ Ἀλκαίου τοῦ Ἡρακλέος. (3) Ἄγρων μὲν γὰρ ὁ Νίνου τοῦ Βήλου τοῦ Ἀλκαίου πρῶτος Ἡρακλειδέων βασιλεὺς ἐγένετο Σαρδίων, Κανδαύλης δὲ ὁ Μύρσου ὕστατος. Οἱ δὲ πρότερον Ἄγρωνος βασιλεύσαντες ταύτης τῆς χώρης ἦσαν ἀπόγονοι Λυδοῦ τοῦ Ἄτυος, ἀπ' ὅτευ ὁ δῆμος Λύδιος ἐκλήθη ὁ πᾶς οὗτος, πρότερον Μῃῶν καλεύμενος. (4) Παρὰ τούτων Ἡρακλεῖδαι ἐπιτραφθέντες ἔσχον τὴν ἀρχὴν ἐκ θεοπροπίου, ἐκ δούλης τε τῆς Ἰαρδάνου γεγονότες καὶ Ἡρακλέος, ἄρξαντες μὲν ἐπὶ δύο τε καὶ εἴκοσι γενεὰς ἀνδρῶν, ἔτεα πέντε τε καὶ πεντακόσια, παῖς παρὰ πατρὸς ἐκδεκόμενος τὴν ἀρχήν, μέχρι Κανδαύλεω τοῦ Μύρσου.

VIII. Οὗτος δὴ ὢν ὁ Κανδαύλης ἠράσθη τῆς ἑωυτοῦ γυναικός, ἐρασθεὶς δὲ ἐνόμιζέ οἱ εἶναι γυναῖκα πολλὸν πασέων καλλίστην. Ὥστε δὲ ταῦτα νομίζων, ἦν γάρ οἱ τῶν αἰχμοφόρων Γύγης ὁ Δασκύλεω ἀρεσκόμενος μάλιστα, τούτῳ τῷ Γύγῃ καὶ τὰ σπουδαιέστερα τῶν πρηγμάτων ὑπερετίθετο ὁ Κανδαύλης καὶ δὴ καὶ τὸ εἶδος τῆς γυναικὸς ὑπερεπαινέων. (2) Χρόνου δὲ οὐ πολλοῦ διελθόντος (χρῆν γὰρ Κανδαύλῃ γενέσθαι κακῶς) ἔλεγε πρὸς τὸν Γύγεα τοιάδε· « Γύγη, οὐ γάρ σε δοκέω πείθεσθαί μοι λέγοντι περὶ τοῦ εἴδεος τῆς γυναικός (ὦτα γὰρ τυγχάνει ἀνθρώποισι ἐόντα ἀπιστότερα ὀφθαλμῶν), ποίεε ὅκως ἐκείνην θηήσεαι γυμνήν. » (3) Ὁ δὲ μέγα ἀμβώσας εἶπε, « δέσποτα, τίνα λέγεις λόγον οὐκ ὑγιέα, κελεύων με δέσποιναν τὴν ἐμὴν θηήσασθαι γυμνήν; ἅμα δὲ κιθῶνι ἐκδυομένῳ συνεκδύεται καὶ τὴν αἰδῶ γυνή. (4) Πάλαι δὲ τὰ καλὰ ἀνθρώποισι ἐξεύρηται, ἐκ τῶν μανθάνειν δεῖ· ἐν τοῖσι ἓν τόδε ἐστί, σκοπέειν τινὰ τὰ ἑωυτοῦ. Ἐγὼ δὲ πείθομαι ἐκείνην εἶναι πασέων γυναικῶν καλλίστην, καί σεο δέομαι μὴ δέεσθαι ἀνόμων.»

IX. Ὁ μὲν δὴ λέγων τοιαῦτα ἀπεμάχετο, ἀρρωδέων μή τί οἱ ἐξ αὐτῶν γένηται κακόν· ὁ δὲ ἀμείβετο τοισίδε, « θάρσεε, Γύγη, καὶ μὴ φοβεῦ μήτε ἐμέ, ὡς σεο πειρώμενος λέγω λόγον τόνδε, μήτε γυναῖκα τὴν ἐμήν, μή τί τοι ἐξ αὐτῆς γένηται βλάβος· ἀρχὴν γὰρ ἐγὼ μηχανήσομαι οὕτω ὥστε μηδὲ μαθέειν μιν ὀφθεῖσαν ὑπὸ σεῦ. (2) Ἐγὼ γάρ σε ἐς τὸ οἴκημα ἐν τῷ κοιμώμεθα ὄπισθε τῆς ἀνοιγομένης θύρης στήσω· μετὰ δ' ἐμὲ ἐσελθόντα παρέσται καὶ ἡ γυνὴ ἡ ἐμὴ ἐς κοῖτον. Κέεται δὲ ἀγχοῦ τῆς ἐσόδου θρόνος· ἐπὶ τοῦτον τῶν ἱματίων κατ' ἓν ἕκαστον ἐκδύνουσα θήσει, καὶ κατ' ἡσυχίην πολλὴν παρέξει τοι θεήσασθαι. (3) Ἐπεὰν δὲ ἀπὸ τοῦ θρόνου στείχῃ ἐπὶ τὴν εὐνὴν κατὰ νώτου

conciliavit Lacedæmonios. (3) Ante Crœsi vero imperium Græci omnes liberi fuerunt : nam Cimmeriorum expeditio adversus Ioniam, ante Crœsi ætatem suscepta, non oppidorum fuerat redactio in potestatem, sed rapina ex incursione.

VII. Cæterum regnum illud, quum Heraclidarum antea fuisset, ad Crœsi genus, qui Mermnadæ nominabantur, tali modo pervenerat. (2) Candaules, quem Græci Myrsilum vocant, Sardium fuit rex, ab Alcæo oriundus, Herculis filio. (3) Nam Agron, Nini filius, Beli nepos, Alcæi pronepos, primus ex Heraclidis rex fuerat Sardium; Candaules vero, Myrsi filius, postremus. Qui vero ante Agronem in eadem regione regnaverant, a Lydo Atyis filio erant oriundi, a quo universus populus Lydorum nomen invenit, quum prius Mæones fuissent nominati. (4) Ab his priscis regibus commissum sibi regnum ex oraculi edicto obtinuerunt Heraclidæ, Iardani ancilla et Hercule prognati; regnantes, per duas et viginti virorum generationes, annos quinque et quingentos, continua serie filius patri succedens usque ad Candaulen Myrsi filium.

VIII. Hic igitur Candaules uxoris suæ amore tenebatur, eamque deperiens arbitrabatur esse sibi uxorem mulierum omnium formosissimam. Quod quum ei esset persuasum, apud Gygen Dascyli filium, unum e corporis custodibus, quem maxime acceptum habebat, ut de rebus etiam gravissimis cum eo communicabat, ita formæ laudem uxoris supra modum extulit. (2) Nec multo post (erat enim in fatis ut infortunatus esset Candaules) his verbis Gygen est adlocutus : « Gyge, videris tu mihi de forma uxoris meæ verba facienti fidem non adhibere; auribus enim minus fidere amant homines quam oculis : fac igitur ut nudam illam spectes. » (3) At ille, vehementer exclamans, « Domine, inquit, quemnam sermonem haudquaquam sanum profers, jubens me heram meam nudam spectare! Mulier enim tunicam exuens, simul etiam verecundiam exuit. (4) Jam olim vero honestatis præcepta inventa sunt ab hominibus, a quibus discere oportet : quorum unum hoc est, Sua quemque debere inspicere. Ego vero persuasum habeo esse illam mulierum omnium pulcerrimam; teque oro, ne postules illicita. »

IX. His usus verbis repugnavit Gyges, veritus ne quid sibi ex ea re mali accideret. Cui rex vicissim, « Confide, inquit, Gyge; neque aut me time, quasi te tentaturus utar hoc sermone, aut uxorem meam, ne quid tibi ex illa detrimenti creetur. Omnino enim eam rationem equidem inibo, ut illa ne intellectura sit quidem, esse se a te conspectam. (2) Te enim post apertam januam cubiculi, in quo cubamus, collocabo. Postquam ego ero ingressus, aderit et uxor mea in cubiculum : posita est autem prope introitum sella, in qua illa vestes suas, aliam post aliam exuens, deponet : ibi tunc licuerit tibi multo cum otio eam spectare. (3) Deinde, quum e sella in lectum conscendet et tu a

τε αὐτῆς γένῃ, σοὶ μελέτω τὸ ἐνθεῦτεν ὅκως μή σε ὄψεται ἰόντα διὰ θυρέων. »

X. Ὁ μὲν δὴ ὡς οὐκ ἐδύνατο διαφυγέειν, ἦν ἑτοῖμος· ὁ δὲ Κανδαύλης, ἐπεὶ ἐδόκεε ὥρη τῆς κοίτης εἶναι, ἤγαγε τὸν Γύγεα ἐς τὸ οἴκημα, καὶ μετὰ ταῦτα αὐτίκα παρῆν καὶ ἡ γυνή. (2) Ἐσελθοῦσαν δὲ καὶ τιθεῖσαν τὰ εἵματα ἐθηεῖτο ὁ Γύγης. Ὡς δὲ κατὰ νώτου ἐγένετο ἰούσης τῆς γυναικὸς ἐς τὴν κοίτην, ὑπεκδὺς ἐχώρεε ἔξω. Καὶ ἡ γυνὴ ἑπορᾷ μιν ἐξιόντα. (3) Μαθοῦσα δὲ τὸ ποιηθὲν ἐκ τοῦ ἀνδρὸς οὔτε ἀνέβωσεν αἰσχυνθεῖσα οὔτε ἔδοξε μαθέειν, ἐν νόῳ ἔχουσα τίσεσθαι τὸν Κανδαύλεα· παρὰ γὰρ τοῖσι Λυδοῖσι, σχεδὸν δὲ καὶ παρὰ τοῖσι ἄλλοισι βαρβάροισι, καὶ ἄνδρα ὀρθῆναι γυμνὸν ἐς αἰσχύνην μεγάλην φέρει.

XI. Τότε μὲν δὴ οὕτως οὐδὲν δηλώσασα ἡσυχίην εἶχε· ὡς δὲ ἡμέρη τάχιστα ἐγεγόνεε, τῶν οἰκετέων τοὺς μάλιστα ὥρα πιστοὺς ἐόντας ἑωυτῇ, ἑτοίμους ποιησαμένη ἐκάλεε τὸν Γύγεα. (2) Ὁ δὲ οὐδὲν δοκέων αὐτὴν τῶν πρηχθέντων ἐπίστασθαι ἦλθε καλεύμενος· ἐώθεε γὰρ καὶ πρόσθε, ὅκως ἡ βασίλεια καλέοι, φοιτᾶν. (3) Ὡς δὲ ὁ Γύγης ἀπίκετο, ἔλεγε ἡ γυνὴ τάδε, « νῦν τοι δυοῖν ὁδοῖν παρεουσέων, Γύγη, δίδωμι αἵρεσιν, ὁκοτέρην βούλεαι τραπέσθαι· ἢ γὰρ Κανδαύλεα ἀποκτείνας ἐμέ τε καὶ τὴν βασιληίην ἔχε τὴν Λυδῶν, ἢ αὐτόν σε αὐτίκα οὕτω ἀποθνήσκειν δεῖ, ὡς ἂν μὴ πάντα πειθόμενος Κανδαύλῃ τοῦ λοιποῦ ἴδῃς τὰ μή σε δεῖ. Ἀλλ' ἤτοι ἐκεῖνόν γε τὸν ταῦτα βουλεύσαντα δεῖ ἀπόλλυσθαι, ἢ σὲ τὸν ἐμὲ γυμνὴν θηησάμενον καὶ ποιήσαντα οὐ νομιζόμενα. » (4) Ὁ δὲ Γύγης τέως μὲν ἀπεθώμαζε τὰ λεγόμενα, μετὰ δὲ ἱκέτευε μή μιν ἀναγκαίῃ ἐνδέειν διακρῖναι τοιαύτην αἵρεσιν. Οὐκ ὦν δὴ ἔπειθε, ἀλλ' ὥρα ἀναγκαίην ἀληθέως προκειμένην ἢ τὸν δεσπότεα ἀπολλύναι ἢ αὐτὸν ὑπ' ἄλλων ἀπόλλυσθαι· αἱρέεται αὐτὸς περιεῖναι. (5) Ἐπειρώτα δὴ λέγων τάδε, « ἐπεί με ἀναγκάζεις δεσπότεα τὸν ἐμὸν κτείνειν οὐκ ἐθέλοντα, φέρε ἀκούσω τέῳ καὶ τρόπῳ ἐπιχειρήσομεν αὐτῷ. » Ἡ δὲ ὑπολαβοῦσα ἔφη, « ἐκ τοῦ αὐτοῦ μὲν χωρίου ἡ ὁρμὴ ἔσται ὅθεν περ καὶ ἐκεῖνος ἐμὲ ἐπεδέξατο γυμνήν, ὑπνωμένῳ δὲ ἡ ἐπιχείρησις ἔσται. »

XII. Ὡς δὲ ἤρτυσαν τὴν ἐπιβουλήν, νυκτὸς γινομένης (οὐ γὰρ μετίετο ὁ Γύγης, οὐδέ οἱ ἦν ἀπαλλαγὴ οὐδεμία, ἀλλ' ἔδεε ἢ αὐτὸν ἀπολωλέναι ἢ Κανδαύλεα) εἵπετο ἐς τὸν θάλαμον τῇ γυναικί. Καί μιν ἐκείνη, ἐγχειρίδιον δοῦσα, κατακρύπτει ὑπὸ τὴν αὐτὴν θύρην. (2) Καὶ μετὰ ταῦτα ἀναπαυομένου Κανδαύλεω ὑπεσδύς τε καὶ ἀποκτείνας αὐτὸν ἔσχε καὶ τὴν γυναῖκα καὶ τὴν βασιληίην Γύγης· τοῦ καὶ Ἀρχίλοχος ὁ Πάριος, κατὰ τὸν αὐτὸν χρόνον γενόμενος, ἐν ἰάμβῳ τριμέτρῳ ἐπεμνήσθη.

XIII. Ἔσχε δὲ τὴν βασιληίην καὶ ἐκρατύνθη ἐκ τοῦ ἐν Δελφοῖσι χρηστηρίου. Ὡς γὰρ δὴ οἱ Λυδοὶ δεινὸν ἐποιεῦντο τὸ Κανδαύλεω πάθος καὶ ἐν ὅπλοισι ἔσαν, συνέβησαν ἐς τὠυτὸ οἵ τε τοῦ Γύγεω στασιῶται καὶ οἱ λοιποὶ Λυδοί, ἦν μὲν δὴ τὸ χρηστήριον ἀνέλῃ μιν βασι-

tergo ejus eris, reliquum est ut tu cures ne illa te conspiciat foras exeuntem.

X. Igitur Gyges, quum effugere non posset, paratus fuit: quem Candaules, postquam cubandi tempus visum est adesse, in cubiculum introduxit; pauloque post uxor etiam adfuit. (2) Ingressam et vestimenta ponentem Gyges quum spectasset, mox ubi aversa illa in lectum se contulit, clam ipse foras se subduxit: at egredientem conspicata est mulier. (3) Quæ ut intellexit quid a marito actum esset, neque exclamavit, pudore retenta, et se animadvertisse dissimulavit, in animo habens ultionem capere de Candaule. Apud Lydos enim, ac fere apud cæteros quoque barbaros, etiam viro magnum in probrum vertitur nudum conspici.

XI. Itaque tunc quidem nihil aperiens, silentium tenuit illa: simulac vero illuxit, præsto esse jussis famulis quos maxime fidos sibi cognoverat, Gygen ad se vocavit. (2) Et ille, nihil eam nosse ratus eorum quæ gesta essent, arcessitus venit; quippe et antea solitus, quoties regina vocaret, eam convenire. (3) Ut venit, his verbis eum adloquta est mulier: Gyge, « nunc duarum viarum tibi apertarum optionem concedo utram ingredi volueris: aut enim, interfecto Candaule, et me et regnum Lydorum habeto; aut te ipsum protinus sic mori oportet, ne posthac, Candaulæ in omnibus obsequens, spectes quæ te spectare nefas est. Enimvero aut illum, qui ista molitus est, interire oportet, aut te, qui nudam me es conspicatus et illicita fecisti. » (4) Ad hæc verba Gyges primum stupere, tum deinde obsecrare illam ne se necessitati illigaret dijudicandæ talis optionis. Nec vero ei persuasit; sed vidit necessitatem utique sibi propositam aut perdendi herum aut per alios pereundi. Elegit itaque ut ipse superesset: (5) et illam percontans, « Quandoquidem invitum me, inquit, adigis ad herum meum occidendum, age audiam ecquo illum modo adgressuri simus? » Et illa excipiens, « Ex eodem loco, inquit, adoriendus erit, unde ille nudam me tibi ostendit: in sopitum somno impetus fiet. »

XII. Ita quum de faciendis insidiis inter se constituissent, ingruente nocte Gyges (nec enim dimittebatur, neque ullum ei effugium erat, sed aut ipsum interire oportebat aut Candaulen) secutus est mulierem in cubiculum; ubi eum illa, tradito pugione, post eandem januam occulta vit. (2) Deinde quiescente Candaule leniter accessit; illoque obtruncato et uxorem et regnum obtinuit Gyges: cujus etiam Archilochus Parius, qui eadem vixit ætate, in iambis trimetris meminit.

XIII. Obtinuit autem regnum in eoque confirmatus est ex Delphici oraculi effato. Nam quum indigne ferrent Lydi casum Candaulæ, essentque in armis, convenit inter Gygæ factionem et reliquos Lydos, ut, si respondisset ora-

λέα εἶναι Λυδῶν, τὸν δὲ βασιλεύειν, ἢν δὲ μὴ, ἀποδοῦναι ὀπίσω ἐς Ἡρακλείδας τὴν ἀρχήν. (2) Ἀνεῖλέ τε δὴ τὸ χρηστήριον καὶ ἐβασίλευσε οὕτω Γύγης. Τοσόνδε μέντοι εἶπε ἡ Πυθίη, ὡς Ἡρακλείδῃσι τίσις ἥξει ἐς τὸν πέμπτον ἀπόγονον Γύγεω. Τούτου τοῦ ἔπεος Λυδοί τε καὶ οἱ βασιλέες αὐτῶν λόγον οὐδένα ἐποιεῦντο, πρὶν δὴ ἐπετελέσθη.

XIV. Τὴν μὲν δὴ τυραννίδα οὕτω ἔσχον οἱ Μερμνάδαι τοὺς Ἡρακλείδας ἀπελόμενοι, Γύγης δὲ τυραννεύσας ἀπέπεμψε ἀναθήματα ἐς Δελφοὺς οὐκ ὀλίγα, ἀλλ' ὅσα μὲν ἀργύρου ἀναθήματα ἐστί οἱ πλεῖστα ἐν Δελφοῖσι, πάρεξ δὲ τοῦ ἀργύρου χρυσὸν ἄπλετον ἀνέθηκε, ἄλλον τε καὶ τοῦ μάλιστα μνήμην ἄξιον ἔχειν ἐστὶ, κρητῆρές οἱ ἀριθμὸν ἓξ χρύσεοι ἀνακέαται. (2) Ἑστᾶσι δὲ οὗτοι ἐν τῷ Κορινθίων θησαυρῷ, σταθμὸν ἔχοντες τριήκοντα τάλαντα· ἀληθεῖ δὲ λόγῳ χρεωμένῳ οὐ Κορινθίων τοῦ δημοσίου ἐστὶ ὁ θησαυρὸς, ἀλλὰ Κυψέλου τοῦ Ἠετίωνος. (3) Οὗτος δὲ ὁ Γύγης πρῶτος βαρβάρων τῶν ἡμέες ἴδμεν ἐς Δελφοὺς ἀνέθηκε ἀναθήματα μετὰ Μίδεα τὸν Γορδίεω Φρυγίης βασιλέα. Ἀνέθηκε γὰρ δὴ καὶ Μίδης τὸν βασιλήϊον θρόνον ἐς τὸν προκατίζων ἐδίκαζε, ἐόντα ἀξιοθέητον· κέεται δὲ ὁ θρόνος οὗτος ἔνθα περ οἱ τοῦ Γύγεω κρητῆρες. (4) Ὁ δὲ χρυσὸς οὗτος καὶ ὁ ἄργυρος τὸν ὁ Γύγης ἀνέθηκε, ὑπὸ Δελφῶν καλέεται Γυγάδας ἐπὶ τοῦ ἀναθέντος ἐπωνυμίην. (5) Ἐσέβαλε μέν νυν στρατιὴν καὶ οὗτος, ἐπείτε ἦρξε, ἔς τε Μίλητον καὶ ἐς Σμύρνην, καὶ Κολοφῶνος τὸ ἄστυ εἶλε· ἀλλ' οὐδὲν γὰρ μέγα ἔργον ἀπ' αὐτοῦ ἄλλο ἐγένετο βασιλεύσαντος δυῶν δέοντα τεσσεράκοντα ἔτεα, τοῦτον μὲν παρήσομεν τοσαῦτα ἐπιμνησθέντες.

XV. Ἄρδυος δὲ τοῦ Γύγεω μετὰ Γύγεα βασιλεύσαντος μνήμην ποιήσομαι. Οὗτος δὲ Πριηνέας τε εἶλε ἐς Μίλητόν τε ἐσέβαλε, ἐπὶ τούτου τε τυραννεύοντος Σαρδίων Κιμμέριοι ἐξ ἠθέων ὑπὸ Σκυθέων τῶν νομάδων ἐξαναστάντες ἀπικέατο ἐς τὴν Ἀσίην καὶ Σάρδις πλὴν τῆς ἀκροπόλιος εἷλον.

XVI. Ἄρδυος δὲ βασιλεύσαντος ἐνὸς δέοντα πεντήκοντα ἔτεα, ἐξεδέξατο Σαδυάττης ὁ Ἄρδυος, καὶ ἐβασίλευσε ἔτεα δυώδεκα, Σαδυάττεω δὲ Ἀλυάττης. Οὗτος δὲ Κυαξάρῃ τε τῷ Δηϊόκεω ἀπογόνῳ ἐπολέμησε καὶ Μήδοισι, Κιμμερίους τε ἐκ τῆς Ἀσίης ἐξήλασε, Σμύρνην τε τὴν ἀπὸ Κολοφῶνος κτισθεῖσαν εἷλε, ἐς Κλαζομενάς τε ἐσέβαλε. Ἀπὸ μέν νυν τούτων οὐκ ὡς ἤθελε ἀπήλλαξεν, ἀλλὰ προσπταίσας μεγάλως· ἄλλα δὲ ἔργα ἀπεδέξατο ἐὼν ἐν τῇ ἀρχῇ ἀξιαπηγητότατα τάδε.

XVII. Ἐπολέμησε Μιλησίοισι, παραδεξάμενος τὸν πόλεμον παρὰ τοῦ πατρός. Ἐπελαύνων γὰρ ἐπολιόρκεε τὴν Μίλητον τρόπῳ τοιῷδε. (2) Ὅκως μὲν εἴη ἐν τῇ γῇ καρπὸς ἀδρὸς, τηνικαῦτα ἐσέβαλλε τὴν στρατιήν· ἐστρατεύετο δὲ ὑπὸ συρίγγων τε καὶ πηκτίδων καὶ αὐλοῦ γυναικηίου τε καὶ ἀνδρηίου· ὡς δὲ ἐς τὴν Μιλησίην ἀπίκοιτο, οἰκήματα μὲν τὰ ἐπὶ τῶν culum hunc esse regem Lydorum, ipse regnaret; sin minus, Heraclidis restitueret regnum. (2) Edito igitur secundum eum oraculo, Gyges ita regnum obtinuit. Verumtamen hoc simul edixerat Pythia, ultionem venturam esse Heraclidis in quintum ex posteris Gygæ: quod quidem vaticinium nec Lydi nec eorum reges ullius momenti fecerunt, donec exitu comprobatum est.

XIV. Tali igitur modo ad Mermnadas pervenit Lydiæ regnum, Heraclidis ereptum. Gyges autem, regnum adeptus, Delphos donaria misit non pauca. Et argentea quidem donaria ejus maximo numero Delphis exstant: præter argentum vero, auri etiam immensam vim dedicavit, quum aliarum rerum, tum vero (quod præcipue memoratu dignum) crateres aurei numero sex ab eodem dedicati exstant, (2) pondere triginta talentorum [*aureorum, quæ hodie fuerint* 2, 106, 000 *libræ*. Larch.], repositi in Corinthiorum thesauro; qui quidem thesaurus, vere ut dicam, non publicus civitatis Corinthiorum est, sed Cypseli, Eetionis filii. (3) Est autem hic Gyges barbarorum quos novimus primus qui donaria Delphis dedicavit post Midam Gordiæ filium, Phrygiæ regem. Dedicaverat enim Midas quoque regiam sellam, in qua præsidens jus dicere consueverat, spectatu dignam; positaque est hæc sella ibidem ubi Gygæ crateres. (4) Aurum vero istud et argentum, quod a Gyge dedicatum est, Gygadas [*id est* Gygæum] vocatur a Delphensibus de illius nomine qui dedicavit. (5) Hic quoque, postquam regno est potitus, arma intulit Mileto et Smyrnæ, et Colophonis urbem cepit: cæterum, quum per octo et triginta, quos regnavit, annos nihil aliud memorabile ab eodem gestum sit, hisce commemoratis, missum hunc faciemus.

XV. Ardyis vero, Gygæ filii, qui post illum regnavit, mentionem injiciam. Hic Prienenses expugnavit, et Miletum invasit: eodemque regnum Sardium obtinente, Cimmerii suis sedibus a Scythis nomadibus pulsi in Asiam venerunt, Sardesque præter arcem cepерunt.

XVI. Ardys postquam undequinquaginta annos regnavit, successorem habuit filium Sadyatten, qui annos regnavit duodecim. Sadyattæ successit Alyattes; qui cum Cyaxare, Deiocæ nepote, et cum Medis bellum gessit. Idem Cimmerios ex Asia ejecit; et Smyrnam, Colophoniorum coloniam, cepit; et Clazomenas invasit: quo quidem ab oppido non ita ut voluerat discessit, sed cladem haud mediocrem passus. Verum et alias res, dum regnum tenuit, gessit; quarum memoratu dignissimæ hæ sunt.

XVII. Bellum gessit cum Milesiis, a patre traditum. Oppugnabat igitur incursione facta Miletum tali modo: (2) quando terræ fruges adultæ erant, tunc exercitum in regionem immittebat, expeditionem faciens ad cantum fistularum fidiumque, ac tibiæ tam muliebris quam virilis. Ubi vero in fines Milesiorum pervenerat, ædificia in agris nec

ἀγρῶν οὔτε κατέβαλλε οὔτε ἐνεπίμπρη οὔτε θύρας ἀπέσπα, ἔα δὲ κατὰ χώρην ἑστάναι· ὁ δὲ τά τε δένδρεα καὶ τὸν καρπὸν τὸν ἐν τῇ γῇ ὅκως διαφθείρειε, ἀπαλλάσσετο ὀπίσω. Τῆς γὰρ θαλάσσης οἱ Μιλήσιοι ἐπεκράτεον, ὥστε ἐπέδρης μὴ εἶναι ἔργον τῇ στρατιῇ. (3) Τὰς δὲ οἰκίας οὐ κατέβαλλε ὁ Λυδὸς τῶνδε εἵνεκεν, ὅκως ἔχοιεν ἔνθεῦτεν ὁρμεώμενοι τὴν γῆν σπείρειν τε καὶ ἐργάζεσθαι οἱ Μιλήσιοι, αὐτὸς δὲ ἐκείνων ἐργαζομένων ἔχοι τι καὶ σίνεσθαι ἐσβάλλων.

XVIII. Ταῦτα ποιέων ἐπολέμεε ἔτεα ἕνδεκα, ἐν τοῖσι τρώματα μεγάλα διφάσια Μιλησίων ἐγένετο, ἕν τε Λιμενηίῳ χώρης τῆς σφετέρης μαχεσαμένων καὶ ἐν Μαιάνδρου πεδίῳ. (2) Τὰ μέν νυν ἓξ ἔτεα τῶν ἕνδεκα Σαδυάττης ὁ Ἀρδυος ἔτι Λυδῶν ἦρχε, ὁ καὶ ἐσβαλὼν τηνικαῦτα ἐς τὴν Μιλησίην τὴν στρατιήν (οὗτος γὰρ καὶ ὁ τὸν πόλεμον ἦν συνάψας)· τὰ δὲ πέντε τῶν ἐτέων τὰ ἑπόμενα τοῖσι ἓξ Ἀλυάττης ὁ Σαδυάττεω ἐπολέμεε, ὃς παραδεξάμενος, ὡς καὶ πρότερόν μοι δεδήλωται, παρὰ τοῦ πατρὸς τὸν πόλεμον προσεῖχε ἐντεταμένως. (3) Τοῖσι δὲ Μιλησίοισι οὐδαμοὶ Ἰώνων τὸν πόλεμον τοῦτον συνεπελάφρυνον ὅτι μὴ Χῖοι μοῦνοι. Οὗτοι δὲ τὸ ὁμοῖον ἀνταποδιδόντες ἐτιμώρεον· καὶ γὰρ δὴ πρότερον οἱ Μιλήσιοι τοῖσι Χίοισι τὸν πρὸς Ἐρυθραίους πόλεμον συνδιήνεικαν.

XIX. Τῷ δὲ δυωδεκάτῳ ἔτεϊ ληίου ἐμπιπραμένου ὑπὸ τῆς στρατιῆς συνηνείχθη τι τοιόνδε γενέσθαι πρῆγμα· ὡς ἄφθη τάχιστα τὸ ληΐον, ἀνέμῳ βιώμενον ἅψατο νηοῦ Ἀθηναίης ἐπίκλησιν Ἀσσησίης, ἀφθεὶς δὲ ὁ νηὸς κατεκαύθη. Καὶ τὸ παραυτίκα μὲν λόγος οὐδεὶς ἐγένετο, μετὰ δὲ τῆς στρατιῆς ἀπικομένης ἐς Σάρδις ἐνόσησε ὁ Ἀλυάττης. (2) Μακροτέρης δέ οἱ γενομένης τῆς νούσου πέμπει ἐς Δελφοὺς θεοπρόπους, εἴτε δὴ συμβουλεύσαντός τευ, εἴτε καὶ αὐτῷ ἔδοξε πέμψαντα τὸν θεὸν ἐπείρεσθαι περὶ τῆς νούσου. Τοῖσι δὲ ἡ Πυθίη ἀπικομένοισι ἐς Δελφοὺς οὐκ ἔφη χρήσειν πρὶν ἢ τὸν νηὸν τῆς Ἀθηναίης ἀνορθώσωσι, τὸν ἐνέπρησαν χώρης τῆς Μιλησίης ἐν Ἀσσησῷ.

XX. Δελφῶν οἶδα ἐγὼ οὕτω ἀκούσας γενέσθαι· Μιλήσιοι δὲ τάδε προστιθεῖσι τούτοισι, Περίανδρον τὸν Κυψέλου ἐόντα Θρασυβούλῳ τῷ τότε Μιλήτου τυραννεύοντι ξεῖνον ἐς τὰ μάλιστα, πυθόμενον τὸ χρηστήριον τὸ τῷ Ἀλυάττῃ γενόμενον, πέμψαντα ἄγγελον κατεῖπαι, ὅκως ἄν τι προειδὼς πρὸς τὸ παρεὸν βουλεύηται. Μιλήσιοι μέν νυν οὕτω λέγουσι γενέσθαι.

XXI. Ἀλυάττης δὲ, ὡς οἱ ταῦτα ἐξαγγέλθη, αὐτίκα ἔπεμπε κήρυκα ἐς Μίλητον βουλόμενος σπονδὰς ποιήσασθαι Θρασυβούλῳ τε καὶ Μιλησίοισι χρόνον ὅσον ἂν τὸν νηὸν οἰκοδομέῃ. (2) Ὁ μὲν δὴ ἀπόστολος ἐς τὴν Μίλητον ἤϊε, Θρασύβουλος δὲ σαφέως προπεπυσμένος πάντα λόγον, καὶ εἰδὼς τὰ Ἀλυάττης μέλλοι ποιήσειν, μηχανᾶται τοιάδε. (3) Ὅσος ἦν ἐν τῷ ἄστεϊ σῖτος καὶ ἑωυτοῦ καὶ ἰδιωτικὸς, τοῦτον πάντα συγκομίσας ἐς τὴν ἀγορὴν προεῖπε Μιλησίοισι, ἐπεὰν

diruebat nec incendebat, neque fores abstrahebat, sed intacta stare omnia sinebat; verum arbores et terræ fruges ut corruperat, domum se recipiebat : quum enim mare obtinerent Milesii, nil attinebat circumsedere urbem cum exercitu. (3) Ædificia autem non diruebat Lydus hoc consilio, ut possent inde progressi Milesii terram serere colereque, ipse vero, quum illi terram colerent, haberet quoo incursione facta popularetur.

XVIII. Hoc ille modo bellum gerebat, per undecim annos; intra quos duo ingentia vulnera Milesii accepere, unum prælio ad Limeneum in ipsorum finibus commisso, alterum in Mæandri campo. (2) Horum undecim annorum sex adhuc Sadyattes, Ardyis filius, apud Lydos regnaverat, qui ætate illa cum exercitu fines Milesiorum incursavit; Sadyattes enim hic conflaverat id bellum : quinque vero insequentibus annis Alyattes, Sadyattæ filius, bellum gerebat, qui illud, a patre (ut supra etiam memoravi) sibi traditum, intente persecutus est. (3) Quo in bello nulli ex Ionibus sublevarunt Milesios, præterquam Chii soli : hi autem, opem illis ferentes, vicem rependerunt; nam et Milesii antea Chiis, in bello cum Erythræis, sociam præstiterant operam.

XIX. Sed anno duodecimo, dum succendebantur ab exercitu segetes, hoc rei accidit. Simulatque incensæ segetes erant, valido coorto vento Minervæ templum cognomine Assesiæ corripuit flamma, eoque incendio templum conflagravit. Quæ res principio nullius momenti est habita, deinde vero, simul Sardes redierat exercitus, in morbum Alyattes incidit. (2) Diuturnior quum esset morbus, Delphos misit qui deum de valitudine consulerent, sive alieno consilio ad mittendum inductus, sive suo. Hi quum Delphos venissent, negavit Pythia se responsum eis redditurum priusquam Minervæ templum restituissent, quod Assesi in Milesiorum agro cremassent.

XX. Hæc ita acta esse equidem ex Delphensibus auditu cognovi : sed Milesii istis hoc adjiciunt, Periandrum Cypseli filium, quum audivisset oraculum Alyattæ redditum, ea de re Thrasybulum, Milesiorum tunc temporis tyrannum, hospitio et amicitia sibi inprimis conjunctum, misso nuncio fecisse certiorem; quo ille, re ante cognita, consilium aliquod ad rem pertinens caperet. Ita quidem Milesii rem gestam narrant.

XXI. Alyattes vero, nunciato Pythiæ responso, præconem protinus Miletum misit, inducias cum Thrasybulo et Milesiis ad tempus pacturus dum templum ædificaret. (2) Miletum dum se confert legatus, Thrasybulus de tota re liquido antea certior factus, nec ignarus quid moliretur Alyattes, hæc machinatur. (3) Quidquid frumenti in urbe erat, tam suum, quam privatorum, id omne in forum comportari jussit, prædixitque Milesiis, ut ubi signum ipse dedisset,

αὐτὸς σημήνῃ, τότε πίνειν τε πάντας καὶ κώμῳ χρέεσθαι ἐς ἀλλήλους.

XXII. Ταῦτα δὲ ἐποίεέ τε καὶ προαγόρευε Θρασύβουλος τῶνδε εἵνεκεν, ὅκως ἂν δὴ ὁ κῆρυξ ὁ Σαρδιηνὸς ἰδών τε σωρὸν μέγαν σίτου κεχυμένον καὶ τοὺς ἀνθρώπους ἐν εὐπαθείῃσι ἐόντας ἀγγείλῃ Ἀλυάττῃ. (2) Τὰ δὴ καὶ ἐγένετο· ὡς γὰρ δὴ ἰδών τε ἐκεῖνα ὁ κῆρυξ καὶ εἰπας πρὸς Θρασύβουλον τὰς ἐντολὰς τοῦ Λυδοῦ ἀπῆλθε ἐς τὰς Σάρδις, ὡς ἐγὼ πυνθάνομαι, δι' οὐδὲν ἄλλο ἐγένετο ἡ διαλλαγή. (3) Ἐλπίζων γὰρ ὁ Ἀλυάττης σιτόδειάν τε εἶναι ἰσχυρὴν ἐν τῇ Μιλήτῳ καὶ τὸν λεὼν τετρῦσθαι ἐς τὸ ἔσχατον κακοῦ, ἤκουε τοῦ κήρυκος νοστήσαντος ἐκ τῆς Μιλήτου τοὺς ἐναντίους λόγους ἢ ὡς αὐτὸς κατεδόκεε. (4) Μετὰ δὲ ἥ τε διαλλαγὴ σφι ἐγένετο ἐπ' ᾧ τε ξείνους ἀλλήλοισι εἶναι καὶ ξυμμάχους, καὶ δύο τε ἀντ' ἑνὸς νηοὺς τῇ Ἀθηναίῃ οἰκοδόμησε ὁ Ἀλυάττης ἐν τῇ Ἀσσησῷ, αὐτός τε ἐκ τῆς νούσου ἀνέστη. Κατὰ μὲν τὸν πρὸς Μιλησίους τε καὶ Θρασύβουλον πόλεμον Ἀλυάττῃ ὧδε ἔσχε.

XXIII. Περίανδρος δὲ ἦν Κυψέλου παῖς, οὗτος ὁ τῷ Θρασυβούλῳ τὸ χρηστήριον μηνύσας. Ἐτυράννευε δὲ ὁ Περίανδρος Κορίνθου· τῷ δὴ λέγουσι Κορίνθιοι (ὁμολογέουσι δέ σφι Λέσβιοι) ἐν τῷ βίῳ θῶμα μέγιστον παραστῆναι, Ἀρίονα τὸν Μηθυμναῖον ἐπὶ δελφῖνος ἐξενειχθέντα ἐπὶ Ταίναρον, ἐόντα κιθαρῳδὸν τῶν τότε ἐόντων οὐδενὸς δεύτερον, καὶ διθύραμβον πρῶτον ἀνθρώπων τῶν ἡμέες ἴδμεν ποιήσαντά τε καὶ ὀνομάσαντα καὶ διδάξαντα ἐν Κορίνθῳ.

XXIV. Τοῦτον τὸν Ἀρίονα λέγουσι, τὸν πολλὸν τοῦ χρόνου διατρίβοντα παρὰ Περιάνδρῳ, ἐπιθυμῆσαι πλῶσαι ἐς Ἰταλίην τε καὶ Σικελίην, ἐργασάμενον δὲ χρήματα μεγάλα ἐθελῆσαι ὀπίσω ἐς Κόρινθον ἀπικέσθαι Ὁρμᾶσθαι μέν νυν ἐκ Τάραντος, πιστεύοντα δὲ οὐδαμοῖσι μᾶλλον ἢ Κορινθίοισι μισθώσασθαι πλοῖον ἀνδρῶν Κορινθίων. (2) Τοὺς δὲ ἐν τῷ πελάγεϊ ἐπιβουλεύειν τὸν Ἀρίονα ἐκβαλόντας ἔχειν τὰ χρήματα. Τὸν δὲ συνέντα τοῦτο λίσσεσθαι, χρήματα μὲν προϊέντα σφι, ψυχὴν δὲ παραιτεόμενον. (3) Οὐκ ὦν δὴ πείθειν αὐτὸν τούτοισι, ἀλλὰ κελεύειν τοὺς πορθμέας ἢ ἑωυτὸν διαχρᾶσθαί μιν, ὡς ἂν ταφῆς ἐν γῇ τύχῃ, ἢ ἐκπηδᾶν ἐς τὴν θάλασσαν τὴν ταχίστην. (4) Ἀπειληθέντα δὲ τὸν Ἀρίονα ἐς ἀπορίην παραιτήσασθαι, ἐπειδή σφι οὕτω δοκέοι, περιιδέειν αὐτὸν ἐν τῇ σκευῇ πάσῃ στάντα ἐν τοῖσι ἑδωλίοισι ἀεῖσαι· ἀείσας δὲ ὑπεδέκετο ἑωυτὸν κατεργάσεσθαι. (5) Καὶ τοῖσι ἐσελθεῖν γὰρ ἡδονὴν εἰ μέλλοιεν ἀκούσεσθαι τοῦ ἀρίστου ἀνθρώπων ἀοιδοῦ, ἀναχωρῆσαι ἐκ τῆς πρύμνης ἐς μέσην νέα. Τὸν δὲ ἐνδύντα τε πᾶσαν τὴν σκευὴν καὶ λαβόντα τὴν κιθάρην, στάντα ἐν τοῖσι ἑδωλίοισι διεξελθεῖν νόμον τὸν ὄρθιον, τελευτῶντος δὲ τοῦ νόμου ῥῖψαί μιν ἐς τὴν θάλασσαν ἑωυτὸν, ὡς εἶχε, σὺν τῇ σκευῇ πάσῃ. (6) Καὶ τοὺς μὲν ἀποπλώειν ἐς Κόρινθον, τὸν δὲ δελφῖνα λέγουσι ὑπολαβόντα ἐξενεῖκαι ἐπὶ Ταίναρον. Ἀποβάντα δὲ αὐτὸν χωρέειν ἐς Κόρινθον compotationes comessationesque mutuas cuncti instituerent.

XXII. Id fecit prædixitque Thrasybulus hoc consilio, ut Sardianus legatus, postquam ingentem frumenti acervum in foro profusum et homines vidisset oblectationibus vacantes, Alyattæ rem renunciaret. (2) Quod et factum : nam postquam ista vidit caduceator, expositisque Thrasybulo Lydi mandatis domum rediit, nullam aliam ob caussam (ut ego audio) pax composita est. (3) Quum enim existimasset Alyattes vehementem frumenti penuriam Mileti esse, populumque ad extremum malorum esse redactum et fere contritum, audivit ex caduceatore Mileto domum redeunte contraria eorum quæ erat opinatus. (4) Inde paullo post pax inter illos conciliata est hac lege, ut mutuo hospites essent sociique : et pro uno Minervæ templo ad Assesum duo ædificavit Alyattes, ipseque e morbo convaluit. Hæc igitur ratio exitusque belli fuit, quod Alyattes cum Milesiis et Thrasybulo gessit.

XXIII. Periander vero Cypseli filius erat, is qui Thrasybulum de edito oraculo certiorem fecit, et Corinthi tyrannus : cui maximum in vita oblatum fuisse miraculum narrant Corinthii, hisque Lesbii adsentiuntur; scilicet Arionem Methymnæum delphino insidentem ad Tænaron fuisse delatum. Citharœdus is erat, nulli suæ ætatis secundus; primusque hominum, quos novimus, dithyrambum et fecit et nominavit docuitque Corinthi.

XXIV. Hunc Arionem aiunt, postquam plurimum temporis apud Periandrum esset versatus, in Italiam Siciliamque cupivisse navigare; ingentique pecunia ibi comparata, voluisse Corinthum reverti. Igitur quum Tarento esset profecturus, nec ullis magis quam Corinthiis fidem haberet, navigium conduxisse hominum Corinthiorum : (2) at hos, ubi altum tenuere, consilium agitasse de illo in mare projiciendo, quo pecunia potirentur. Tum illum, quid ageretur intelligentem, ad preces confugisse; et, pecunia omni nautis oblata, vitam esse deprecatum : (3) nautas vero, precibus viri nil commotos, jussisse ut aut sibi manus inferret, quo in terra sepulturam nancisceretur, aut ut illico in mare se projiceret. (4) Has in angustias et consilii inopiam redactum Arionem orasse, ut, quandoquidem ita eis placitum esset, sinerent se omni ornatu suo indutum, in summo puppis foro stantem, canticum canere; quo facto pollicebatur sibi se manus illaturum. (5) Tunc nautas, cupidine captos audiendi præstantissimi omnium cantoris, e puppi 'mediam in navem concessisse; et illum, omni ornatu indutum', capta cithara, in summo navis foro stantem, carmen quod orthion vocatur peregisse; peractoque cantu, ita ut erat, cum omni ornatu in mare se conjecisse. (6) Tum illos, continuato cursu, Corinthum navigasse : hunc vero, aiunt, a delphino exceptum dorso, Tænaron fuisse delatum; ubi quum in terram esset egressus,

θον σὺν τῇ σκευῇ, καὶ ἀπικόμενον ἀπηγέεσθαι πᾶν τὸ γεγονός. (7) Περίανδρον δὲ ὑπ' ἀπιστίης Ἀρίονα μὲν ἐν φυλακῇ ἔχειν οὐδαμῇ μετιέντα, ἀνακῶς δὲ ἔχειν τῶν πορθμέων· ὡς δὲ ἄρα παρεῖναι αὐτοὺς, κληθέντας ἱστορέεσθαι εἴ τι λέγοιεν περὶ Ἀρίονος. (8) Φαμένων δὲ ἐκείνων ὡς εἴη τε σῶς περὶ Ἰταλίην καί μιν εὖ πρήσσοντα λίποιεν ἐν Τάραντι, ἐπιφανῆναί σφι τὸν Ἀρίονα ὥσπερ ἔχων ἐξεπήδησε· καὶ τοὺς ἐκπλαγέντας οὐκ ἔχειν ἔτι ἐλεγχομένους ἀρνέεσθαι. (9) Ταῦτα μέν νυν Κορίνθιοί τε καὶ Λέσβιοι λέγουσι, καὶ Ἀρίονός ἐστι ἀνάθημα χάλκεον οὐ μέγα ἐπὶ Ταινάρῳ, ἐπὶ δελφῖνος ἐπεὼν ἄνθρωπος.

XXV. Ἀλυάττης δὲ ὁ Λυδὸς τὸν πρὸς Μιλησίους πόλεμον διενείκας μετέπειτεν τελευτᾷ, βασιλεύσας ἔτεα ἑπτὰ καὶ πεντήκοντα. Ἀνέθηκε δὲ ἐκφυγὼν τὴν νοῦσον δεύτερος οἵτος τῆς οἰκίης ταύτης ἐς Δελφοὺς κρητῆρά τε ἀργύρεον μέγαν καὶ ὑποκρητηρίδιον σιδήρεον κολλητὸν, θέης ἄξιον διὰ πάντων τῶν ἐν Δελφοῖσι ἀναθημάτων, Γλαύκου τοῦ Χίου ποίημα, ὃς μοῦνος δὴ πάντων ἀνθρώπων σιδήρου κόλλησιν ἐξεῦρε.

XXVI. Τελευτήσαντος δὲ Ἀλυάττεω ἐξεδέξατο τὴν βασιληίην Κροῖσος ὁ Ἀλυάττεω, ἐτέων ἐὼν ἡλικίην πέντε καὶ τριήκοντα, ὃς δὴ Ἑλλήνων πρώτοισι ἐπεθήκατο Ἐφεσίοισι. (2) Ἔνθα δὴ οἱ Ἐφέσιοι πολιορκεύμενοι ὑπ' αὐτοῦ ἀνέθεσαν τὴν πόλιν τῇ Ἀρτέμιδι, ἐξάψαντες ἐκ τοῦ νηοῦ σχοινίον ἐς τὸ τεῖχος· ἔστι δὲ μεταξὺ τῆς τε παλαιῆς πόλιος, ἣ τότε ἐπολιορκέετο, καὶ τοῦ νηοῦ ἑπτὰ στάδιοι. (3) Πρώτοισι μὲν δὴ τούτοισι ἐπεχείρησε ὁ Κροῖσος, μετὰ δὲ ἐν μέρεϊ ἑκάστοισι Ἰώνων τε καὶ Αἰολέων, ἄλλοισι ἄλλας αἰτίας ἐπιφέρων, τῶν μὲν εὐόνατο μέζονας παρευρίσκειν, μέζονα ἐπαιτιώμενος, τοῖσι δὲ αὐτῶν καὶ φλαῦρα ἐπιφέρων.

XXVII. Ὡς δὲ ἄρα οἱ ἐν τῇ Ἀσίῃ Ἕλληνες κατεστράφατο ἐς φόρου ἀπαγωγὴν, τὸ ἐνθεῦτεν ἐπενόεε νέας ποιησάμενος ἐπιχειρέειν τοῖσι νησιώτῃσι. (2) Ἐόντων δέ οἱ πάντων ἑτοίμων ἐς τὴν ναυπηγίην, οἱ μὲν Βίαντα λέγουσι τὸν Πριηνέα ἀπικόμενον ἐς Σάρδις, οἱ δὲ Πιττακὸν τὸν Μυτιληναῖον, εἰρομένου Κροίσου εἴ τι εἴη νεώτερον περὶ τὴν Ἑλλάδα, εἴπαντα τάδε καταπαῦσαι τὴν ναυπηγίην, « ὦ βασιλεῦ, νησιῶται ἵππον συνωνέονται μυρίην, ἐς Σάρδις τε καὶ ἐπὶ σὲ ἔχοντες ἐν νόῳ στρατεύεσθαι. » (3) Κροῖσον δὲ ἐλπίσαντα λέγειν ἐκεῖνον ἀληθέα, εἶπαι « αἲ γὰρ τοῦτο θεοὶ ποιήσειαν ἐπὶ νόον νησιώτῃσι, ἐλθεῖν ἐπὶ Λυδῶν παῖδας σὺν ἵπποισι. » (4) Τὸν δὲ ὑπολαβόντα φάναι, « ὦ βασιλεῦ, προθύμως μοι φαίνεαι εὔξασθαι νησιώτας ἱππευομένους λαβέειν ἐν ἠπείρῳ, οἰκότα ἐλπίζων. (5) Νησιώτας δὲ τί δοκέεις εὔχεσθαι ἄλλο ἢ ἐπείτε τάχιστα ἐπύθοντό σε μέλλοντα ἐπὶ σφίσι ναυπηγέεσθαι νέας, λαβέειν αἰωρευμένους Λυδοὺς ἐν θαλάσσῃ, ἵνα ὑπὲρ τῶν ἐν τῇ ἠπείρῳ οἰκημένων Ἑλλήνων τίσωνταί σε, τοὺς σὺ δουλώσας ἔχεις; » (6) Κάρτα τε ἡσθῆναι Κροῖσον τῷ ἐπιλόγῳ, καί οἱ προσφυέως γὰρ δόξαι λέγειν, πειθόμενον παύσασθαι τῆς ναυπη-

Corinthum inde eodem habitu perrexisse, ibique quid accidisset enarrasse. (7) Periandrum vero, quum fidem non haberet, tenuisse Arionem in custodia, ne quo prodiret, cæterum curam intendisse in nautas. Nautæ ut Corinthum advenerunt, accitos ad se percontatum esse Periandrum, ecquid de Arione memorarent: (8) quibus dicentibus salvum illum in Italia esse, et fortunatum Tarenti a se relictum, adparuisse Arionem eodem cultu quo in mare prosiluerat; et illos, perterritos convictosque, non potuisse amplius ire infitias. (9) Hæc quidem et Corinthii narrant et Lesbii; et exstat Tænari donarium Arionis æneum, non magnum illud quidem, homo insidens delphino.

XXV. Alyattes Lydus, confecto cum Milesiis bello, deinde, quum septem et quinquaginta annos regnasset, vita excessit. Dedicavit autem hic, secundus ex hac familia, postquam e morbo convaluerat, Delphis craterem argenteum ingentem, et basin crateris ferream ferruminatam, spectatu dignam inter omnia quæ sunt Delphis donaria; Glauci Chii opus, qui unus hominum omnium ferruminationem ferri invenit.

XXVI. Mortuo Alyattæ successit in regnum Crœsus, Alyattæ filius, annos natus quinque et triginta: qui Græcorum primos Ephesios armis invasit. (2) Ibi tunc Ephesii, quum ab eo obsiderentur, urbem suam Dianæ dedicarunt, fune ex illius templo ad murum adligato: est autem inter veterem urbem, quæ tunc obsidebatur, et Dianæ templum septem stadiorum intervallum. (3) Hos igitur primos adgressus est Crœsus; deinde vero, per vices, singulos quoque Ioniæ et Æoliæ populos, aliis alias canssas inferens, graviora caussatus adversus hos in quibus graviores reperire caussas poterat, nonnullis etiam eorum levia admodum exprobrans.

XXVII. Deinde, postquam Asiam incolentes Græci ad pendendum tributum erant subacti, constituit ædificatis navibus insulanos adgredi. (2) Ad quas compingendas quum omnia ei essent parata, aiunt alii Biantem Prienensem, quum Sardes venisset, alii Pittacum Mytilenæum, interrogatum a Crœso ecquid maxime novi gereretur apud Græcos, ea respondisse quæ illum ne classem conficeret inhibuerunt. Dixisse enim: « Insulani, o rex, decem millia equitum conducunt, expeditionem adversus Sardes atque te molientes. » (3) Crœsum autem, ratum vera eum dicere, respondisse: « Utinam dii hanc mentem dent insulanis, ut Lydorum filios cum equitatu invadere velint! » (4) Tum illum excipientem dixisse: « Videris mihi, rex, cupide vota facere ut insulanos equis vectos deprehendas in continente, haud absurda spe; (5) insulanos vero quid putas, ex quo primum ædificare te contra se classem audiverunt, exoptare aliud, nisi ut, in altum evectos deprehendant Lydos in mari, teque pro Græcis continentem incolentibus, quos tu in servitute contines, ulciscantur? (6) Cujus conclusione orationis admodum delectatum Crœsum, paruisse illi, ut qui perapte ad rem locutus videretur, et a

γίης. Καὶ οὕτω τοῖσι τὰς νήσους οἰκημένοισι Ἴωσι ξεινίην συνεθήκατο.

XXVIII. Χρόνου δὲ ἐπιγινομένου καὶ κατεστραμμένων σχεδὸν πάντων τῶν ἐντὸς Ἅλυος ποταμοῦ οἰκημένων (πλὴν γὰρ Κιλίκων καὶ Λυκίων τοὺς ἄλλους πάντας ὑπ' ἑωυτῷ εἶχε καταστρεψάμενος ὁ Κροῖσος· εἰσὶ δὲ οἵδε, Φρύγες, Μυσοὶ, Μαριανδυνοὶ, Χάλυβες, Παφλαγόνες, Θρῃκες οἱ Θυνοί τε καὶ Βιθυνοὶ, Κᾶρες, Ἴωνες, Δωριέες, Αἰολέες, Πάμφυλοι),

XXIX. κατεστραμμένων δὲ τούτων καὶ προσεπικτωμένου Κροίσου Λυδοῖσι, ἀπικνέονται ἐς Σάρδις ἀκμαζούσας πλούτῳ ἄλλοι τε οἱ πάντες ἐκ τῆς Ἑλλάδος σοφισταὶ, οἳ τοῦτον τὸν χρόνον ἐτύγχανον ἐόντες, ὡς ἕκαστος αὐτῶν ἀπικνέοιτο, καὶ δὴ καὶ Σόλων ἀνὴρ Ἀθηναῖος, ὃς Ἀθηναίοισι νόμους κελεύσασι ποιήσας ἀπεδήμησε ἔτεα δέκα, κατὰ θεωρίης πρόφασιν ἐκπλώσας, ἵνα δὴ μή τινα τῶν νόμων ἀναγκασθῇ λῦσαι τῶν ἔθετο· (2) αὐτοὶ γὰρ οὐκ οἷοί τε ἦσαν αὐτὸ ποιῆσαι Ἀθηναῖοι· ὁρκίοισι γὰρ μεγάλοισι κατείχοντο δέκα ἔτεα χρήσεσθαι νόμοισι τοὺς ἄν σφι Σόλων θῆται.

XXX. Αὐτῶν δὴ ὦν τούτων καὶ τῆς θεωρίης ἐκδημήσας ὁ Σόλων εἵνεκεν ἐς Αἴγυπτον ἀπίκετο παρ' Ἄμασιν καὶ δὴ καὶ ἐς Σάρδις παρὰ Κροῖσον. (2) Ἀπικόμενος δὲ ἐξεινίζετο ἐν τοῖσι βασιληίοισι ὑπὸ τοῦ Κροίσου· μετὰ δὲ, ἡμέρῃ τρίτῃ ἢ τετάρτῃ, κελεύσαντος Κροίσου τὸν Σόλωνα θεράποντες περιῆγον κατὰ τοὺς θησαυροὺς, καὶ ἐπεδείκνυσαν πάντα ἐόντα μεγάλα τε καὶ ὄλβια. (3) Θῃησάμενον δέ μιν τὰ πάντα καὶ σκεψάμενον ὡς οἱ κατὰ καιρὸν ἦν, εἴρετο ὁ Κροῖσος τάδε, « ξεῖνε Ἀθηναῖε, παρ' ἡμέας γὰρ περὶ σέο λόγος ἀπῖκται πολλὸς καὶ σοφίης εἵνεκεν τῆς σῆς καὶ πλάνης, ὡς φιλοσοφέων γῆν πολλὴν θεωρίης εἵνεκεν ἐπελήλυθας· νῦν ὦν ἵμερος ἐπείρεσθαί μοι ἐπῆλθε εἴ τινα ἤδη πάντων εἶδες ὀλβιώτατον. » (4) Ὁ μὲν ἐλπίζων εἶναι ἀνθρώπων ὀλβιώτατος ταῦτα ἐπειρώτα· Σόλων δὲ οὐδὲν ὑποθωπεύσας, ἀλλὰ τῷ ἐόντι χρησάμενος λέγει, » ὦ βασιλεῦ, Τέλλον Ἀθηναῖον. » (5) Ἀποθωμάσας δὲ Κροῖσος τὸ λεχθὲν εἴρετο ἐπιστρεφέως, « κοίῃ δὴ κρίνεις Τέλλον εἶναι ὀλβιώτατον; » ὁ δὲ εἶπε, « Τέλλῳ τοῦτο μὲν τῆς πόλιος εὖ ἡκούσης παῖδες ἦσαν καλοί τε κἀγαθοὶ, καί σφι εἶδε ἅπασι τέκνα ἐκγενόμενα καὶ πάντα παραμείναντα, τοῦτο δὲ τοῦ βίου εὖ ἥκοντι, ὡς τὰ παρ' ἡμῖν, τελευτὴ τοῦ βίου λαμπροτάτη ἐπεγένετο· (6) γενομένης γὰρ Ἀθηναίοισι μάχης πρὸς τοὺς ἀστυγείτονας ἐν Ἐλευσῖνι, βωθήσας καὶ τροπὴν ποιήσας τῶν πολεμίων ἀπέθανε κάλλιστα, καί μιν Ἀθηναῖοι δημοσίῃ τε ἔθαψαν αὐτοῦ τῇ περ ἔπεσε καὶ ἐτίμησαν μεγάλως. »

XXXI. Ὡς δὲ τὰ κατὰ τὸν Τέλλον προετρέψατο ὁ Σόλων τὸν Κροῖσον εἰπας πολλά τε καὶ ὄλβια, ἐπειρώτα τίνα δεύτερον μετ' ἐκεῖνον ἴδοι, δοκέων πάγχυ δευτερεῖα γῶν οἴσεσθαι. (2) Ὁ δὲ εἶπε, « Κλέοβίν τε καὶ Βίτωνα. Τούτοισι γὰρ ἐοῦσι γένος Ἀργείοισι βίος τε ἀρκέων ὑπῆν, καὶ πρὸς τούτῳ ῥώμη σώματος

fabricanda classe destitisse. Atque ita cum Ionibus insulas incolentibus hospitium contraxit.

XXVIII. Insequente tempore, subactis fere omnibus populis intra Halyn fluvium incolentibus : (nam, exceptis Cilicibus ac Lyciis, cæteros omnes suæ potestati subjectos Crœsus tenebat; sunt autem populi hi, Phryges, Mysi, Mariandyni, Chalybes, Paphlagones, Thraces quum Thyni, tum Bithyni, Cares, Iones, Dorienses, Æolenses, Pamphyli :)

XXIX. hos igitur postquam sub potestatem suam Crœsus redegerat, eaque accessione regnum Lydorum auxerat, adveniebant Sardes, urbem divitiis florentem, quum alii omnes e Græcia viri per illud tempus sapientiæ laude clari, ut cuique commodum erat eo proficisci, tum vero etiam Solon, Atheniensis : qui postquam Atheniensibus jussu ipsorum scripserat leges, navi profectus, caussam interserens velle se alias spectare regiones, decem annos peregrinatus est; ne scilicet quampiam ex legibus, quas tulerat, mutare cogeretur. (2) Nam ipsis Atheniensibus per se id facere nefas erat, quippe qui gravissimo jurejurando sese obstrinxerant, per decem annos eis legibus, quascumque ipsis Solon tulisset, esse usuros.

XXX. Hanc ipsam igitur ob caussam, tum vero etiam spectandi gratia, peregre profectus Solon in Ægyptum se contulit ad Amasin, atque etiam Sardes ad Crœsum. (2) Quo ut advenit, in regia hospitio acceptus est a Crœso. Tum tertio aut quarto post die, jussu Crœsi, ministri regis circumduxerunt Solonem, thesauros omnes et quidquid ibi magni et opulenti inerat, ostentantes. (3) Quæ quum ille spectasset, et cuncta, ut ei commodum fuerat, esset contemplatus, tali modo eum percunctatus est Crœsus : « Hospes Atheniensis, inquit, multa ad nos de te fama manavit, quum sapientiæ tuæ caussa, tum peregrinationis, ut qui sapientiæ studio incumbens multas terras spectandi caussa obieris. Nunc igitur incessit me cupido ex te scisciandi, ecquem tu adhuc videris omnium hominum beatissimum. » (4) Nempe, quod se ipsum hominum beatissimum esse putaret, idcirco hanc illi quæstionem proposuit. At Solon, nulla usus adsentatione, sed ut res erat respondens, « Ego vero, inquit, beatissimum vidi Tellum Atheniensem. » (5) Quod dictum miratus Crœsus, concitate quærit : « Qua tandem ratione Tellum beatissimum judicas? » Cui ille : « Tellus, inquit, florente civitate, filios habuerat bonos viros honestosque, et illis cunctis prognatos viderat liberos, eosque omnes superstites : idemque, quum re familiari satis lauta, ut apud nos, usus esset, vitæ finem habuit splendidissimum; (6) nam in prælio, quod Atheniense adversus finitimos ad Eleusinem commiserunt, postquam fortiter pugnavit, hostemque in fugam vertit, honestissima morte defunctus est; et eodem loco, quo cecidit, publice ab Atheniensibus sepultus est et magnifice honoratus. »

XXXI. Hisce quum Solon, quæ de Tello ejusque felicitate copiose exposuit, admonuisset Crœsum, interrogare hic institit, quemnam secundum ab illo vidisset beatissimum; existimans utique secundas certe partes sese laturum. (2) At ille, « Cleobin, inquit, et Bitonem. His enim, genere Argivis, et victus suppetebat probabilis, et robur

τοιήδε· ἀεθλοφόροι τε ἀμφότεροι ὁμοίως ἔσαν, καὶ δὴ καὶ λέγεται ὅδε ὁ λόγος. (3) Ἐούσης ὁρτῆς τῇ Ἥρῃ τοῖσι Ἀργείοισι ἔδεε πάντως τὴν μητέρα αὐτῶν ζεύγεϊ κομισθῆναι ἐς τὸ ἱρόν, οἱ δέ σφι βόες ἐκ τοῦ ἀγροῦ οὐ παρεγίνοντο ἐν ὥρῃ· ἐκκληϊόμενοι δὲ τῇ ὥρῃ οἱ νεηνίαι ὑποδύντες αὐτοὶ ὑπὸ τὴν ζεύγλην εἷλκον τὴν ἅμαξαν, ἐπὶ τῆς ἁμάξης δέ σφι ὠχέετο ἡ μήτηρ, σταδίους δὲ πέντε καὶ τεσσεράκοντα διακομίσαντες ἀπίκοντο ἐς τὸ ἱρόν. (4) Ταῦτα δέ σφι ποιήσασι καὶ ὀφθεῖσι ὑπὸ τῆς πανηγύριος τελευτὴ τοῦ βίου ἀρίστη ἐπεγένετο, διέδεξέ τε ἐν τούτοισι ὁ θεὸς ὡς ἄμεινον εἴη ἀνθρώπῳ τεθνάναι μᾶλλον ἢ ζώειν. (5) Ἀργεῖοι μὲν γὰρ περιστάντες ἐμακάριζον τῶν νεηνιέων τὴν ῥώμην, αἱ δὲ Ἀργεῖαι τὴν μητέρα αὐτῶν, οἷων τέκνων ἐκύρησε· ἡ δὲ μήτηρ περιχαρὴς ἐοῦσα τῷ τε ἔργῳ καὶ τῇ φήμῃ, στᾶσα ἀντίον τοῦ ἀγάλματος εὔχετο Κλεόβι τε καὶ Βίτωνι τοῖσι ἑωυτῆς τέκνοισι, οἵ μιν ἐτίμησαν μεγάλως, δοῦναι τὴν θεὸν τὸ ἀνθρώπῳ τυχεῖν ἄριστόν ἐστι. (6) Μετὰ ταύτην δὲ τὴν εὐχὴν ὡς ἔθυσάν τε καὶ εὐωχήθησαν, κατακοιμηθέντες ἐν αὐτῷ τῷ ἱρῷ οἱ νεηνίαι οὐκέτι ἀνέστησαν, ἀλλ' ἐν τέλεϊ τούτῳ ἔσχοντο. Ἀργεῖοι δέ σφεων εἰκόνας ποιησάμενοι ἀνέθεσαν ἐς Δελφοὺς ὡς ἀνδρῶν ἀρίστων γενομένων. »

XXXII. Σόλων μὲν δὴ εὐδαιμονίης δευτερεῖα ἔνεμε τούτοισι, Κροῖσος δὲ σπερχθεὶς εἶπε, « ὦ ξεῖνε Ἀθηναῖε, ἡ δὲ ἡμετέρη εὐδαιμονίη οὕτω τοι ἀπέρριπται ἐς τὸ μηδὲν ὥστε οὐδὲ ἰδιωτέων ἀνδρῶν ἀξίους ἡμέας ἐποίησας; » (2) Ὁ δὲ εἶπε, « ὦ Κροῖσε, ἐπιστάμενόν με τὸ θεῖον πᾶν ἐὸν φθονερόν τε καὶ ταραχῶδες ἐπειρωτᾷς ἀνθρωπηίων πρηγμάτων πέρι. Ἐν γὰρ τῷ μακρῷ χρόνῳ πολλὰ μὲν ἔστι ἰδέειν τὰ μή τις ἐθέλει, πολλὰ δὲ καὶ παθέειν. Ἐς γὰρ ἑβδομήκοντα ἔτεα οὖρον τῆς ζόης ἀνθρώπῳ προτίθημι. (3) Οὗτοι ἐόντες ἐνιαυτοὶ ἑβδομήκοντα παρέχονται ἡμέρας διηκοσίας καὶ πεντακισχιλίας καὶ δισμυρίας, ἐμβολίμου μηνὸς μὴ γινομένου· εἰ δὲ δὴ ἐθελήσει τοὔτερον τῶν ἐτέων μηνὶ μακρότερον γίνεσθαι, ἵνα δὴ αἱ ὧραι συμβαίνωσι παραγινόμεναι ἐς τὸ δέον, μῆνες μὲν παρὰ τὰ ἑβδομήκοντα ἔτεα οἱ ἐμβόλιμοι γίνονται τριήκοντα πέντε, ἡμέραι δὲ ἐκ τῶν μηνῶν τούτων χίλιαι πεντήκοντα. (4) Τούτων τῶν ἁπασέων ἡμερέων τῶν ἐς τὰ ἑβδομήκοντα ἔτεα, ἐουσέων πεντήκοντα καὶ διηκοσίων καὶ ἑξακισχιλίων καὶ δισμυρίων, ἡ ἑτέρη αὐτέων τῇ ἑτέρῃ ἡμέρῃ τὸ παράπαν οὐδὲν ὁμοῖον προσάγει πρῆγμα. (5) Οὕτω ὦν, ὦ Κροῖσε, πᾶν ἐστὶ ἄνθρωπος συμφορή. Ἐμοὶ δὲ σὺ καὶ πλουτέειν μέγα φαίνεαι καὶ βασιλεὺς εἶναι πολλῶν ἀνθρώπων· ἐκεῖνο δὲ τὸ εἰρεό με, οὔ κώ σε ἐγὼ λέγω, πρὶν ἂν τελευτήσαντα καλῶς τὸν αἰῶνα πύθωμαι. (6) Οὐ γάρ τοι ὁ μέγα πλούσιος μᾶλλον τοῦ ἐπ' ἡμέρην ἔχοντος ὀλβιώτερός ἐστι, εἰ μή οἱ τύχη ἐπίσποιτο πάντα καλὰ ἔχοντα τελευτῆσαι εὖ τὸν βίον. Πολλοὶ μὲν γὰρ ζαπλουτοι ἀνθρώπων ἀνόλβιοί εἰσι, πολλοὶ δὲ μετρίως ἔχοντες βίου εὐτυχέες. (7) Ὁ μὲν δὴ μέγα πλούσιος, ἀνόλβιος δὲ δυοῖσι πρὸ ἔχει τοῦ εὐτυχέος μούνοισι, οὗτος

corporis erat tale, ut et uterque paritur certaminum præmia abstulerit, et de eisdem hæc etiam narretur historia. (3) Quum festus dies ageretur Junonis Argivæ, oporteretque omnino matrem horum bigis in templum vehi, nec vero in tempore ex agro adessent boves; tunc juvenes, urgente hora, jugum ipsi subeuntes, plaustrum traxerunt quo mater vehebatur, eoque per quadraginta quinque stadia tracto ad templum pervenerunt. (4) Quo facto quum oculos universi cœtus in se convertissent, optimus eisdem obtigit vitæ exitus; ostenditque in his numen, melius esse hominibus mori, quam vivere. (5) Nam quum circumstantes Argivi laudarent juvenum robur, Argivæ vero felicem prædicarent matrem quod tales haberet filios; mater, et facto vehementer gavisa et omine, stans ante simulacrum precata est deam, ut Cleobi et Bitoni filiis suis, qui ipsam magnifice honorassent, id daret quod optimum esset contingere homini. (6) Post hanc precationem, peracto sacrificio, laute epulati juvenes, quum in ipso templo somno se dedissent, non amplius resurrexerunt, sed hoc vitæ exitu sunt perfuncti. Eorundem dein imagines, ut qui homines fuissent præstantissimi, fieri curarunt Argivi, Delphisque dedicarunt.

XXXII. Istis igitur secundum felicitatis locum Solon tribuebat. Tum vero subiratus Crœsus: « Hospes Atheniensis, ait, nostra vero felicitas adeo abs te in nihilum projicitur, ut ne privatis quidem hominibus æquiparandos nos existimes? » (2) Cui ille: « Crœse, inquit, gnarum me numen omne esse invidum et summa imis mutare, interrogas de rebus humanis. In diuturno tempore multa videre est quæ quis nolit, atque etiam tolerare multa. Propono enim homini terminum vitæ ad septuaginta annos. (3) Hi septuaginta anni constant ex viginti quinque millibus ac ducentis diebus, mense intercalari non posito: sin velis alternos ex illis annis interjecto mense fieri longiores, quo tempestatum vicissitudines justo tempore redeant, menses intercalares per annos septuaginta conficientur triginta quinque, dies autem ex his mensibus mille et quinquaginta. (4) Horum autem dierum omnium, qui in septuaginta annis sunt numero ducenti et quinquaginta supra viginti sex millia, nullus est qui rem prorsus similem, qualis ab alio adducta est, adducat. (5) Itaque, Crœse, homo quantus est, fortunæ casibus est obnoxius. Jam te quidem ego et opulentum video, et multorum hominum regem; istud vero, quod ex me quærebas, de te nondum prædicabo priusquam te vita bene defunctum audiero. (6) Neque enim beatior est magnis opibus prædītus, quam is cui in diem victus suppetit, nisi eidem omnibus bonis prædito fortuna concesserit vita bene defungi. Etenim multi homines perquam opulenti, non idcirco beati sunt: multi vero, quibus mediocris res familiaris est, felices. (7) Jam qui admodum dives est, nec tamen beatus, is duabus tantum rebus antecellit felicem;

δὲ τοῦ πλουσίου καὶ ἀνολβίου πολλοῖσι. Ὁ μὲν ἐπιθυμίην ἐκτελέσαι καὶ ἄτην μεγάλην προσπεσοῦσαν ἐνεῖκαι δυνατώτερος, ὁ δὲ τοισίδε προέχει ἐκείνου· ἄτην μὲν καὶ ἐπιθυμίην οὐκ ὁμοίως δυνατὸς ἐκείνῳ ἐνεῖκαι, ταῦτα δὲ ἡ εὐτυχίη οἱ ἀπερύκει, ἄπηρος δέ ἐστι, ἄνουσος, ἀπαθὴς κακῶν, εὔπαις, εὐειδής. (8) Εἰ δὲ πρὸς τούτοισι ἔτι τελευτήσει τὸν βίον εὖ, οὗτος ἐκεῖνος, τὸν σὺ ζητέεις, ὄλβιος κεκλῆσθαι ἄξιός ἐστι· πρὶν δ' ἂν τελευτήσῃ, ἐπισχεῖν, μηδὲ καλέειν κω ὄλβιον, ἀλλ' εὐτυχέα. (9) Τὰ πάντα μέν νυν ταῦτα συλλαβέειν ἄνθρωπον ἐόντα ἀδύνατόν ἐστι, ὥσπερ χώρη οὐδεμία καταρκέει πάντα ἑωυτῇ παρέχουσα, ἀλλ' ἄλλο μὲν ἔχει, ἑτέρου δὲ ἐπιδέεται· ἡ δὲ ἂν τὰ πλεῖστα ἔχῃ, ἀρίστη αὕτη. (10) Ὡς δὲ καὶ ἀνθρώπου σῶμα ἓν οὐδὲν αὐταρκές ἐστι· τὸ μὲν γὰρ ἔχει, ἄλλου δὲ ἐνδεές ἐστι· ὃς δ' ἂν αὐτῶν πλεῖστα ἔχων διατελέῃ καὶ ἔπειτεν τελευτήσῃ εὐχαρίστως τὸν βίον, οὗτος παρ' ἐμοὶ τὸ οὔνομα τοῦτο, ὦ βασιλεῦ, δίκαιός ἐστι φέρεσθαι. Σκοπέειν δὲ χρὴ παντὸς χρήματος τὴν τελευτήν, κῇ ἀποβήσεται· πολλοῖσι γὰρ δὴ ὑποδέξας ὄλβον ὁ θεὸς προρρίζους ἀνέτρεψε. »

XXXIII. Ταῦτα λέγων τῷ Κροίσῳ οὔ κως ἐχαρίζετο, ὁ δὲ λόγου μιν ποιησάμενος οὐδενὸς ἀποπέμπεται, κάρτα δοξας ἀμαθέα εἶναι, ὃς τὰ παρεόντα ἀγαθὰ μετελς τὴν τελευτὴν παντὸς χρήματος ὁρᾶν ἐκέλευε.

XXXIV. Μετὰ δὲ Σόλωνα οἰχόμενον ἔλαβε ἐκ θεοῦ νέμεσις μεγάλη Κροῖσον, ὡς εἰκάσαι, ὅτι ἐνόμισε ἑωυτὸν εἶναι ἀνθρώπων ἁπάντων ὀλβιώτατον. Αὐτίκα δέ οἱ εὕδοντι ἐπέστη ὄνειρος, ὃς οἱ τὴν ἀληθειαν ἔφαινε τῶν μελλόντων γενέσθαι κακῶν κατὰ τὸν παῖδα. (2) Ἦσαν δὲ τῷ Κροίσῳ δύο παῖδες, τῶν οὗτερος μὲν διέφθαρτο, ἦν γὰρ δὴ κωφός, ὁ δὲ ἕτερος τῶν ἡλίκων μακρῷ τὰ πάντα πρῶτος· οὔνομα δέ οἱ ἦν Ἄτυς. Τοῦτον δὴ ὧν τὸν Ἄτυν σημαίνει τῷ Κροίσῳ ὁ ὄνειρος, ὡς ἀπολέσι μιν αἰχμῇ σιδηρέῃ βληθέντα. (3) Ὁ δ' ἐπείτε ἐξεγέρθη καὶ ἑωυτῷ λόγον ἔδωκε, καταρρωδήσας τὸν ὄνειρον ἄγεται μὲν τῷ παιδὶ γυναῖκα, ἐωθότα δὲ στρατηγέειν μιν τῶν Λυδῶν οὐδαμῇ ἔτι ἐπὶ τοιοῦτο πρῆγμα ἐξέπεμπε· ἀκόντια δὲ καὶ δοράτια καὶ τὰ τοιαῦτα πάντα τοῖσι χρέονται ἐς πόλεμον ἄνθρωποι, ἐκ τῶν ἀνδρεώνων ἐκκομίσας ἐς τοὺς θαλάμους συνένησε, μή τί οἱ κρεμάμενον τῷ παιδὶ ἐμπέσῃ.

XXXV. Ἐχοντος δέ οἱ ἐν χερσὶ τοῦ παιδὸς τὸν γάμον, ἀπικνέεται ἐς τὰς Σάρδις ἀνὴρ συμφορῇ ἐχόμενος καὶ οὐ καθαρὸς χεῖρας, ἐὼν Φρὺξ μὲν γενεῇ, γένεος δὲ τοῦ βασιληίου. (2) Παρελθὼν δὲ οὗτος ἐς τὰ Κροίσου οἰκία κατὰ νόμους τοὺς ἐπιχωρίους καθαρσίου ἐδέετο κυρῆσαι, Κροῖσος δέ μιν ἐκάθηρε· ἔστι δὲ παραπλησίη ἡ κάθαρσις τοῖσι Λυδοῖσι καὶ τοῖσι Ἕλλησι. (3) Ἐπείτε δὲ τὰ νομιζόμενα ἐποίησε ὁ Κροῖσος, ἐπυνθάνετο ὁκόθεν τε καὶ τίς εἴη, λέγων τάδε, « ὦνθρωπε, τίς τε ἐὼν καὶ κόθεν τῆς Φρυγίης ἥκων ἐπίστιος ἐμοὶ ἐγένεο; τίνα τε ἀνδρῶν ἢ γυναικῶν ἐφόνευσας; » (4) Ὁ δὲ ἀμείβετο, « ὦ βασιλεῦ, Γορδίεω μὲν τοῦ Μίδεώ εἰμι παῖς, ὀνομάζομαι δὲ Ἄδρηστος, φονεύσας δὲ ἀδελφεὸν

hic vero divitem, multis rebus. Ille ad explendas cupiditates et ad tolerandum magnum aliquod incidens damnum, validior est : hic vero illum superat hisce rebus; damnum quidem et cupiditatem non similiter, atque ille, potest ferre, sed hæc incommoda ab illo abigit felicitas; est vero membris integris, prospera fruens valitudine, malorum exsors, lætus liberis, formosus. (8) Quodsi præterea diem quoque extremum feliciter obierit, hic ille est quem tu quæris, dignus qui beatus prædicetur. Priusquam vero diem obierit, differendum est, necdum beatus hic nominandus, sed felix. (9) Jam ista simul cuncta ut consequatur homo, id quidem fieri non potest; quemadmodum nulla est terra quæ cuncta sibi suppeditet, sed aliud habet, alio indiget; quæ vero plurima habet, ea optima est. (10) Nempe eodem modo etiam hominum nemo est omnium, cui uni omnia cumulate adsint, sed alia habet, aliorum autem indiget : qui vero eorum plurima ad vitæ usque exitum habuit, ac deinde placide finiit vitam, hic, o rex, me judice, nomine isto prædicari dignus est. Denique in omni re respiciendus finis est, in quem sit res exitura : multos enim deus, postquam felicitatem illis ostendit, funditus dein evertit. »

XXXIII. Hæc dicens minime gratum se præbebat Crœso, sed is nullam ejus rationem habens a se dimisit, inscitum admodum esse hominem ratus, qui præsentia bona omittens, finem cujusque rei juberet respicere.

XXXIV. Post Solonis discessum gravis divinitus vindicta Crœsum excepit; hac causa, ut conjicere licet, quod se ipsum hominum beatissimum judicaret. Ac statim quidem per quietem oblatum ei somnium est, veritatem indicans malorum quæ filio ejus essent eventura. (2) Erant enim Crœso filii duo; alter corporis vitio laborabat, erat enim mutus; alter inter æquales rebus omnibus longe primus : nomen ei erat Atys. Hunc Atyn, Crœso significat somnium, fore ut amittat ferrea cuspide ictum. (3) Expergefactus ille, re secum versata, pertimescens somnium, capit filio uxorem; eumque, quum solitus esset exercitum ducere Lydorum, nusquam porro ad tale munus emittit : jacula vero et hastas, et cujusque generis tela quibus ad bellum utuntur homines, ex virorum habitatione in interiora conclavia congeri jubet, ne quid suspensum in filium suum incidat.

XXXV. Interim dum filius ejus nuptias ageret, advenit Sardes vir calamitate obstrictus, cui manus non erant puræ, natione Phryx, regio de genere. (2) Qui quum ad ædes Crœsi venisset, orassetque ut ritu patrio expiari sibi contingeret, expiavit eum Crœsus : est autem modus expiandi apud Lydos similis ei quo Græci utuntur. (3) Peractis legitimis, percontatur Crœsus hominem, unde veniret, quisve esset, his usus verbis : « Quis tu es, homo, et quonam e Phrygiæ loco veniens, ad meos lares supplex te recepisti? et quem virum, quamve fœminam occidisti? » (4) Cui ille respondit : « O rex, Gordiæ sum filius, Midæ nepos; est autem nomen mihi Adrasto. Fratrem meum occidi invitus,

ἐμεωυτοῦ ἀέκων πάρειμι ἐξεληλαμένος τε ὑπὸ τοῦ πατρὸς καὶ ἐστερημένος πάντων. » (5) Κροῖσος δέ μιν ἀμείβετο τοισίδε, « ἀνδρῶν τε φίλων τυγχάνεις ἐχγονος ἐὼν καὶ ἐλήλυθας ἐς φίλους, ἔνθα ἀμηχανήσεις χρήματος οὐδενὸς μένων ἐν ἡμετέρου. Συμφορὴν δὲ ταύτην ὡς κουφότατα φέρων κερδανέεις πλεῖστον. » Ὁ μὲν δὴ δίαιταν εἶχε ἐν Κροίσου.

XXXVI. Ἐν δὲ τῷ αὐτῷ χρόνῳ τούτῳ ἐν τῷ Μυσίῳ Ολύμπῳ ὑὸς χρῆμα γίνεται μέγα· ὁρμεώμενος δὲ οὗτος ἐκ τοῦ οὔρεος τούτου τὰ τῶν Μυσῶν ἔργα διαφθείρεσκε, πολλάκις δὲ οἱ Μυσοὶ ἐπ' αὐτὸν ἐξελθόντες ποιέεσκον μὲν οὐδὲν κακὸν, ἔπασχον δὲ πρὸς αὐτοῦ. (2) Τέλος δὲ ἀπικόμενοι παρὰ τὸν Κροῖσον τῶν Μυσῶν ἄγγελοι ἔλεγον τάδε, « ὦ βασιλεῦ, ὑὸς χρῆμα μέγιστον ἀνεφάνη ἡμῖν ἐν τῇ χώρῃ, ὃς τὰ ἔργα διαφθείρει. Τοῦτον προθυμεύμενοι ἑλέειν οὐ δυνάμεθα. Νῦν ὦν προσδεόμεθά σευ τὸν παῖδα καὶ λογάδας νεηνίας καὶ κύνας συμπέμψαι ἡμῖν, ὡς ἄν μιν ἐξέλωμεν ἐκ τῆς χώρης. » (3) Οἱ μὲν δὴ τούτων ἐδέοντο, Κροῖσος δὲ μνημονεύων τοῦ ὀνείρου τὰ ἔπεα ἔλεγέ σφι τάδε, « παιδὸς μὲν πέρι τοῦ ἐμοῦ μὴ μνησθῆτε ἔτι· οὐ γὰρ ἂν ὑμῖν συμπέμψαιμι· νεόγαμός τε γάρ ἐστι καὶ ταῦτά οἱ νῦν μέλει. (4) Λυδῶν μέντοι λογάδας καὶ τὸ κυνηγέσιον πᾶν συμπέμψω, καὶ διακελεύσομαι τοῖσι ἰοῦσι εἶναι ὡς προθυμοτάτοισι συνεξελέειν ὑμῖν τὸ θηρίον ἐκ τῆς χώρης. »

XXXVII. Ταῦτα ἀμείψατο, ἀποχρεωμένων δὲ τούτοισι τῶν Μυσῶν ἐπεσέρχεται ὁ τοῦ Κροίσου παῖς ἀκηκοὼς τῶν ἐδέοντο οἱ Μυσοί. (2) Οὐ φαμένου δὲ τοῦ Κροίσου τόν γε παῖδά σφι συμπέμψειν, λέγει πρὸς αὐτὸν ὁ νεηνίης τάδε, « ὦ πάτερ, τὰ κάλλιστα πρότερόν κοτε καὶ γενναιότατα ἡμῖν ἦν ἔς τε πολέμους καὶ ἐς ἄγρας φοιτέοντας εὐδοκιμέειν· νῦν δὲ ἀμφοτέρων με τούτων ἀποκληίσας ἔχεις, οὔτε τινὰ δειλίην μοι παριδὼν οὔτε ἀθυμίην. (3) Νῦν τε τέοισί με χρὴ ὄμμασι ἔς τε ἀγορὴν καὶ ἐξ ἀγορῆς φοιτέοντα φαίνεσθαι; κοῖος μέν τις τοῖσι πολιήτῃσι δόξω εἶναι, κοῖος δέ τις τῇ νεογάμῳ γυναικί; κοίῳ δὲ ἐκείνη δόξει ἀνδρὶ συνοικέειν; Ἐμὲ ὦν σὺ ἢ μέτες ἰέναι ἐπὶ τὴν θήρην, ἢ λόγῳ ἀνάπεισον ὅκως μοι ἀμείνω ἐστὶ ταῦτα οὕτω ποιεύμενα. »

XXXVIII. Ἀμείβεται Κροῖσος τοισίδε, « ὦ παῖ, οὔτε δειλίην οὔτε ἄλλο οὐδὲν ἄχαρι παριδών τοι ποιέω ταῦτα, ἀλλά μοι ὄψις ὀνείρου ἐν τῷ ὕπνῳ ἐπιστᾶσα ἔφη σε ὀλιγοχρόνιον ἔσεσθαι· ὑπὸ γὰρ αἰχμῆς σιδηρέης ἀπολέεσθαι. Πρὸς ὦν τὴν ὄψιν ταύτην τόν τε γάμον τοι τοῦτον ἔσπευσα καὶ ἐπὶ τὰ παραλαμβανόμενα οὐκ ἀποπέμπω, φυλακὴν ἔχων, εἴ κως δυναίμην ἐπὶ τῆς ἐμῆς σε ζόης διακλέψαι. Εἷς γάρ μοι μοῦνος τυγχάνεις ἐὼν παῖς· τὸν γὰρ δὴ ἕτερον [διεφθαρμένον τὴν ἀκοὴν] οὐκ εἶναί μοι λογίζομαι. »

XXXIX. Ἀμείβεται ὁ νεηνίης τοισίδε, « συγγνώμη μὲν ὦ πάτερ τοι, ἰδόντι γε ὄψιν τοιαύτην, περὶ ἐμὲ φυλακὴν ἔχειν· τὸ δὲ οὐ μανθάνεις, ἀλλὰ λέληθέ σε τὸ ὄνειρον, ἐμέ τοι δίκαιόν ἐστι φράζειν. (2) Φῂς τοι τὸ ὄνειρον ὑπ' αἰχμῆς σιδηρέης φάναι ἐμὲ τελευτήσειν· ὑὸς

unde ejectus a patre adsum, et rebus omnibus destitutus. » (5) Tum Crœsus : « Ex viris amicis, inquit, oriundus es, et ad amicos venisti, ubi nullius rei indigebis quoad apud nos manseris. Istam autem calamitatem quam poteris levissime ferendo, plurimum lucri feceris. » Ita ille in Crœsi ædibus vitam agebat.

XXXVI. Per idem tempus in Olympo Mysio aper exstitit mira magnitudine, qui ex illo monte irruens Mysorum arva vastabat; contra quem quum sæpe egressi essent Mysi, nihil ei mali inflixerant, sed male ab illo fuerant accepti. (2) Ad extremum venere ad Crœsum Mysorum legati, hæc dicentes : « Adparuit, o rex, in regione nostra immani magnitudine aper, qui agrestia corrumpit opera; cujus ut potiamur studiosi operam dantes, nihil proficimus. Itaque te nunc oramus, filium tuum et selectos juvenes canesque nobiscum emittas, quo belluam e terra nostra tollamus. » (3) Hæc illis precantibus Crœsus, recordatus eorum quæ per somnum ipsi prædicta erant, ita respondit : « Filii quidem mei nolite amplius facere mentionem : nec enim illum emittere vobiscum possum, est enim novus nuptus, et hæc res ei nunc curæ est. (4) Lydorum autem selectam manum et venaticum omne ministerium una mittam; hortaborque exeuntes, ut quam promtissime vobiscum belluam a terra submoveant.

XXXVII. Hæc Crœsus respondit; quibus quum contenti essent Mysi, intervenit filius, auditis quæ Mysi precarentur. (2) Pernegante vero Crœso se filium cum illis missurum, hæc inquit ad eum adolescens : « At antehac, o pater, hoc mihi honestissimum et nobilissimum fuit, in bella et in venationes exeundo gloriam parare : nunc vero utroque horum exclusum me tenes, nulla in me cognita ignavia aut animi dejectione. (3) Nunc ergo quibus oculis me conspici oportet euntem in forum, aut ex foro redeuntem? quis tandem esse videbor civibus? qualis videbor novæ nuptæ? cui illa viro putabit se connubio esse junctam? Proinde me tu aut sinas venatum exire, aut ratione mihi persuadeas, melius mihi hoc esse quod tu ita facis. »

XXXVIII. Cui respondens Crœsus, « Non quod ignaviam, inquit, o fili, aut aliud quidquam parum mihi gratum in te cognoverim, hoc facio; sed quod mihi somnii species per quietem oblata dixit brevis ævi te futurum, quippe ferrea periturum cuspide. Cujus visi caussa et has tuas nuptias maturavi, nec ad ea quæ nunc suscipiuntur te emitto, vigilans si quo pacto, dum vivo, periculo te queam subducere. Es enim unicus mihi filius; nam alterum [auribus captum] pro nullo existimo. »

XXXIX. Ibi rursus adolescens : « Ignosco quidem tibi, inquit, pater, quod, quum tale tibi oblatum sit visum, custodiam mei agas : sed, quod tu parum animadvertis, quodve oblitus es in hoc insomnio, id me te monere fas est. (2) Somnium ais tibi dixisse, ferrea cuspide me periturum : at

δὲ κοῖαι μέν εἰσι χεῖρες, κοίη δὲ αἰχμὴ σιδηρέη τὴν σὺ φοβέεαι; εἰμὲν γὰρ ὑπ' ὀδόντος τοι εἶπε τελευτήσειν με, ἢ ἄλλου τευ ὅ τι τούτῳ οἷκε, χρῆν δή σε ποιέειν τὰ ποιέεις· νῦν δὲ ὑπ' αἰχμῆς. Ἐπείτε ὦν οὐ πρὸς ἄνδρας ἡμῖν γίνεται ἡ μάχη, μέτες με. »

XL. Ἀμείβεται Κροῖσος, « ὦ παῖ, ἔστι τῇ με νικᾷς γνώμην ἀποφαίνων περὶ τοῦ ἐνυπνίου. Ὡς ὦν νενικημένος ὑπὸ σέο μεταγινώσκω, μετίημί τέ σε ἰέναι ἐπὶ τὴν ἄγρην. »

XLI. Εἶπας δὲ ταῦτα ὁ Κροῖσος μεταπέμπεται τὸν Φρύγα Ἄδρηστον, ἀπικομένῳ δέ οἱ λέγει τάδε, « Ἄδρηστε, ἐγώ σε συμφορῇ πεπληγμένον ἀχάρι, τήν τοι οὐκ ὀνειδίζω, ἐκάθηρα καὶ οἰκίοισι ὑποδεξάμενος ἔχω, παρέχων πᾶσαν δαπάνην. (2) Νῦν ὦν (ὀφείλεις γὰρ ἐμεῦ προποιήσαντος χρηστὰ ἐς σὲ χρηστοῖσί με ἀμείβεσθαι) φύλακα παιδός σε τοῦ ἐμοῦ χρῄζω γενέσθαι ἐς ἄγρην ὁρμεωμένου, μή τινες κατ' ὁδὸν κλῶπες κακοῦργοι ἐπὶ δηλήσι φανέωσι ὑμῖν. Πρὸς δὲ τούτῳ καὶ σέ τοι χρεών ἐστι ἰέναι ἔνθα ἀπολαμπρυνέαι τοῖσι ἔργοισι· πατρώιόν τε γάρ τοί ἐστι καὶ προσέτι ῥώμη ὑπάρχει. »

XLII. Ἀμείβεται ὁ Ἄδρηστος, « ὦ βασιλεῦ, ἄλλως μὲν ἔγωγε ἂν οὐκ ἦια ἐς ἆεθλον τοιόνδε· οὔτε γὰρ συμφορῇ τοιῇδε κεχρημένον οἰκός ἐστι ἐς ὁμήλικας εὖ πρήσσοντας ἰέναι, οὔτε τὸ βούλεσθαι πάρα, πολλαχῇ τε ἂν ἴσχον ἐμεωυτόν. (2) Νῦν δὲ, ἐπείτε σὺ σπεύδεις καὶ δεῖ τοι χαρίζεσθαι (ὀφείλω γάρ σε ἀμείβεσθαι χρηστοῖσι), ποιέειν εἰμὶ ἑτοῖμος ταῦτα, παῖδά τε σὸν, τὸν διακελεύεαι φυλάσσειν, ἀπήμονα τοῦ φυλάσσοντος εἵνεκεν προσδόκα τοι ἀπονοστήσειν. »

XLIII. Τοιούτοισι ἐπείτε οὗτος ἀμείψατο Κροῖσον, ἦισαν μετὰ ταῦτα ἐξηρτυμένοι λογάσι τε νεηνίῃσι καὶ κυσί. Ἀπικόμενοι δὲ ἐς τὸν Οὔλυμπον τὸ οὖρος ἐζήτεον τὸ θηρίον, εὑρόντες δὲ καὶ περιστάντες αὐτὸ κύκλῳ ἐσηκόντιζον. (2) Ἔνθα δὴ ὁ ξεῖνος, οὗτος δὴ ὁ καθαρθεὶς τὸν φόνον, καλεύμενος δὲ Ἄδρηστος, ἀκοντίζων τὸν ὗν, τοῦ μὲν ἁμαρτάνει, τυγχάνει δὲ τοῦ Κροίσου παιδός. (3) Ὁ μὲν δὴ βληθεὶς τῇ αἰχμῇ ἐξέπλησε τοῦ ὀνείρου τὴν φήμην, ἔθεε δέ τις ἀγγελέων τῷ Κροίσῳ τὸ γεγονός· ἀπικόμενος δὲ ἐς τὰς Σάρδις τήν τε μάχην καὶ τὸν τοῦ παιδὸς μόρον ἐσήμηνέ οἱ.

XLIV. Ὁ δὲ Κροῖσος τῷ θανάτῳ τοῦ παιδὸς συντεταραγμένος μᾶλλόν τι ἐδεινολογέετο ὅτι μιν ἀπέκτεινε τὸν αὐτὸς φόνου ἐκάθηρε. Περιημεκτέων δὲ τῇ συμφορῇ δεινῶς ἐκάλεε μὲν Δία καθάρσιον, μαρτυρόμενος τὰ ὑπὸ τοῦ ξείνου πεπονθὼς εἴη, ἐκάλεε δὲ ἐπίστιόν τε καὶ ἑταιρήϊον, τὸν αὐτὸν τοῦτον οὐνομάζων θεὸν, τὸν μὲν ἐπίστιον καλέων, διότι δὴ οἰκίοισι ὑποδεξάμενος τὸν ξεῖνον φονέα τοῦ παιδὸς ἐλάνθανε βόσκων, τὸν δὲ ἑταιρήϊον, ὡς φύλακα συμπέμψας αὐτὸν εὑρήκοι πολεμιώτατον.

XLV. Παρῆσαν δὲ μετὰ τοῦτο οἱ Λυδοὶ φέροντες τὸν νεκρὸν, ὄπισθε δὲ εἵπετό οἱ ὁ φονεύς. Στὰς δὲ οὗτος πρὸ τοῦ νεκροῦ παρεδίδου ἑωυτὸν Κροίσῳ, προτείνων τὰς χεῖρας, ἐπικατασφάξαι μιν κελεύων τῷ νεκρῷ, apro quænam sunt manus, quæve ferrea cuspis, quam tu timeas? Quodsi enim a dente me periturum dixisset, aut ab alia re simili, tum hoc, quod agis, agere te oporteret; nunc vero a cuspide dixit. Quare, quum non sit nobis cum viris proposita pugna, abire me patere. »

XL. Tum Crœsus : Fili, ait, aliquatenus me vincis, sententiam insomnii declarans. Itaque, tamquam a te victus, sententiam muto, et veniam tibi do venatum exeundi. »

XLI. Quibus dictis, Adrastum Phrygem jubet vocari; eumque, ubi adfuit, sic est adlocutus : « Adraste, ego te funesta calamitate obstrictum, quam tibi non exprobro, expiavi, et domum meam recepi, in qua etiam nunc omnium rerum sumtum tibi suppedito. (2) Nunc ergo (debes enim de me, prius de te bene merito, in vicem bene merereri) rogo te ut custos sis filii mei venatum exeuntis, ne qui in itinere cooriantur vobis malefici grassatores in perniciem. Ad hæc, tua etiam ipsius interest ut eas ubi splendorem ex rebus gestis possis parare; nam et patrium hoc est tibi, et præterea robur inest. »

XLII. Cui Adrastus : « Alioquin, inquit, rex, in istud certamen non eram proditurus; neque enim tali adfectum calamitate fas est æqualibus se immiscere fortunatis, neque id ego cupio; atque etiam alias sæpe me continui. (2) Nunc vero, quoniam tibi hoc cordi est, cui gratum facere debeo (nam rependenda mihi sunt beneficia tua), paratus sum exsequi mandatum : tuque filium tuum, quem custodire me jubes, rediturum esse incolumem, quod quidem penes custodem fuerit, exspecta. »

XLIII. Hæc postquam Crœso ille responderat, proficiscuntur deinde selectis juvenibus stipati canibusque. Ubi ad Olympum montem pervenerunt, indagant belluam, et inventam circumfusi jaculis incessunt. (2) Ibi tum hospes, idem ille qui a cæde fuerat purgatus, cui Adrasto nomen, vibrato in aprum jaculo, ab illo quidem aberrat, sed Crœsi filium ferit. (3) Atque ita ille, cuspide ictus, somnii effatum explevit. Quod factum nunciaturus aliquis Crœso cucurrit, veniensque Sardes et pugnam ei et fatum filii indicavit.

XLIV. Crœsus, morte filii consternatus, tanto gravius eam tulit, quod is eum occidisset quem ipse expiaverat a cæde. Et calamitatem eam gravissime lamentans, Jovem Expiatorem invocavit, testificans quæ ab hospite esset passus; et Larem quoque et Sodalitium invocavit, eumdem deum adpellans. Nempe Larem (*sive* Focorum præsidem) vocavit, quod, quem hospitem domi suæ receperat, eumdem imprudens interfectorem filii sui aluisset : Sodalitium vero, quod, quem custodem adjunxisset filio suo, eumdem inimicissimum deprehendisset.

XLV. Post hæc Lydi venerunt cadaver ferentes, quos pone sequebatur interfector. Et hic quidem, ubi adfuit, stans ante cadaver tradidit sese Crœso, manus protendens, oransque ut se super cadavere mactaret; non esse sibi vi-

λέγων τήν τε προτέρην ἑωυτοῦ συμφορὴν, καὶ ὡς ἐπ' ἐκείνῃ τὸν καθήραντα ἀπολωλεκὼς εἴη, οὐδέ οἱ εἴη βιώσιμον. (2) Κροῖσος δὲ τούτων ἀκούσας τόν τε Ἄδρηστον κατοικτείρει, καίπερ ἐὼν ἐν κακῷ οἰκηίῳ τοσούτῳ, καὶ λέγει πρὸς αὐτὸν, « ἔχω, ὦ ξεῖνε, παρὰ σεῦ πᾶσαν τὴν δίκην, ἐπειδὴ σεωυτοῦ καταδικάζεις θάνατον. Εἷς δὲ οὐ σύ μοι τοῦδε τοῦ κακοῦ αἴτιος, εἰ μὴ ὅσον ἀέκων ἐξεργάσαο, ἀλλὰ θεῶν κού τις, ὅς μοι καὶ πάλαι προεσήμαινε τὰ μέλλοντα ἔσεσθαι. » (3) Κροῖσος μέν νυν ἔθαψε, ὡς οἰκὸς ἦν, τὸν ἑωυτοῦ παῖδα· Ἄδρηστος δὲ ὁ Γορδίεω τοῦ Μίδεω, οὗτος δὴ ὁ φονεὺς μὲν τοῦ ἑωυτοῦ ἀδελφεοῦ γενόμενος, φονεὺς δὲ τοῦ καθήραντος, ἐπείτε ἡσυχίη τῶν ἀνθρώπων ἐγένετο περὶ τὸ σῆμα, συγγινωσκόμενος ἀνθρώπων εἶναι τῶν αὐτὸς ἤδεε βαρυσυμφορώτατος, ἑωυτὸν ἐπικατασφάζει τῷ τύμβῳ.

XLVI. Κροῖσος δὲ ἐπὶ δύο ἔτεα ἐν πένθεῖ μεγάλῳ κατῆστο, τοῦ παιδὸς ἐστερημένος. Μετὰ δὲ ἡ Ἀστυάγεω τοῦ Κυαξάρεω ἡγεμονίη καταιρεθεῖσα ὑπὸ Κύρου τοῦ Καμβύσεω καὶ τὰ τῶν Περσέων πρήγματα αὐξανόμενα πένθεος μὲν Κροῖσον ἀπέπαυσε, ἐνέβησε δὲ ἐς φροντίδα, εἴ κως δύναιτο, πρὶν μεγάλους γενέσθαι τοὺς Πέρσας, καταλαβέειν αὐτῶν αὐξανομένην τὴν δύναμιν. (2) Μετὰ ὧν τὴν διάνοιαν ταύτην αὐτίκα ἀπεπειρᾶτο τῶν μαντηίων τῶν τε ἐν Ἕλλησι καὶ τοῦ ἐν Λιβύῃ, διαπέμψας ἄλλους ἄλλῃ, τοὺς μὲν ἐς Δελφοὺς ἰέναι, τοὺς δὲ ἐς Ἄβας τὰς Φωκέων, τοὺς δὲ ἐς Δωδώνην· οἱ δέ τινες ἐπέμποντο παρά τε Ἀμφιάρεων καὶ παρὰ Τροφώνιον, οἱ δὲ τῆς Μιλησίης ἐς Βραγχίδας. (3) Ταῦτα μέν νυν τὰ Ἑλληνικὰ μαντήϊα ἐς τὰ ἀπέπεμψε μαντευσόμενος Κροῖσος· Λιβύης δὲ παρ' Ἄμμωνα ἀπέστειλε ἄλλους χρησομένους. (4) Διέπεμπε δὲ πειρεώμενος τῶν μαντηίων ὅ τι φρονέοιεν, ὡς εἰ φρονέοντα τὴν ἀλήθειαν εὑρεθείη, ἐπείρηταί σφεα δεύτερα πέμπων εἰ ἐπιχειρέῃ ἐπὶ Πέρσας στρατεύεσθαι.

XLVII. Ἐντειλάμενος δὲ τοῖσι Λυδοῖσι τάδε ἀπέπεμπε ἐς τὴν διάπειραν τῶν χρηστηρίων, ἀπ' ἧς ἂν ἡμέρης ὁρμηθέωσι ἐκ Σαρδίων, ἀπὸ ταύτης ἡμερολογέοντας τὸν λοιπὸν χρόνον ἑκατοστῇ ἡμέρῃ χρέεσθαι τοῖσι χρηστηρίοισι, ἐπειρωτέοντας ὅ τι ποιέων τυγχάνοι ὁ Λυδῶν βασιλεὺς Κροῖσος ὁ Ἀλυάττεω· ἅσσα δ' ἂν ἑκαστα τῶν χρηστηρίων θεσπίσῃ, συγγραψαμένους ἀναφέρειν παρ' ἑωυτόν. (2) Ὅ τι μέν νυν τὰ λοιπὰ τῶν χρηστηρίων ἐθέσπισε, οὐ λέγεται πρὸς οὐδαμῶν· ἐν δὲ Δελφοῖσι ὡς ἐσῆλθον τάχιστα ἐς τὸ μέγαρον οἱ Λυδοὶ χρησόμενοι τῷ θεῷ καὶ ἐπειρώτεον τὸ ἐντεταλμένον, ἡ Πυθίη ἐν ἑξαμέτρῳ τόνῳ λέγει τάδε,

Οἶδα δ' ἐγὼ ψάμμου τ' ἀριθμὸν καὶ μέτρα θαλάσσης,
καὶ κωφοῦ συνίημι καὶ οὐ φωνεῦντος ἀκούω.
Ὀδμή μ' ἐς φρένας ἦλθε κραταιρίνοιο χελώνης
ἑψομένης ἐν χαλκῷ ἅμ' ἀρνείοισι κρέεσσιν,
ἣ χαλκὸς μὲν ὑπέστρωται, χαλκὸν δ' ἐπιέσται.

XLVIII. Ταῦτα οἱ Λυδοὶ θεσπισάσης τῆς Πυθίης συγγραψάμενοι οἴχοντο ἀπιόντες ἐς τὰς Σάρδις. Ὡς

vendum, dicens, qui, post superiorem calamitatem, expiatorem etiam suum perdidisset. (2) Quibus auditis Crœsus, tanto licet domestico in luctu, comniseratus tamen Adrastum, dixit illi : « Habeo abs te, hospes, omnem vindictam, quoniam te ipse morte condemnas; nec tu mihi hujus mali auctor es, nisi quatenus invitus illud fecisti, sed deorum nescio quis; qui mihi jam pridem hoc futurum ante significavit. » (3) Crœsus igitur filium, prout justum erat, sepeliendum curavit. Adrastus vero, Gordiæ filius, Midæ nepos, hic idem qui et fratris sui fuerat interfector, et sui expiatoris, ubi silentium fuit hominum circa sepulcrum, agnoscens se esse hominum quos ipse novisset calamitosissimum, super busto se ipse jugulavit.

XLVI. Crœsus vero, filio orbatus, duos annos ingenti in luctu desedit. Sed posthac imperium Astyagis, Cyaxaræ filii, a Cyro Cambysis filio eversum, resque Persarum crescentes, luctui Crœsi finem fecerunt, curamque injecerunt ei et cogitationem, si qua ratione posset crescentem Persarum potentiam, priusquam nimium invalesceret, coercere. (2) Ab hac igitur cogitatione statim tentare oracula cœpit, tum quæ apud Græcos erant, tum id quod in Libya; aliosque alio dimisit, quorum alii Delphos irent, alii Abas, Phocensium oppidum, alii Dodonam. Alii item ad Amphiaraum mittebantur, et ad Trophonium; alii ad Branchidas ditionis Milesiæ. (3) Hæc Græca sunt oracula, ad quæ Crœsus misit consulenda : in Libyam vero ad Ammonem alios misit, qui ab illo responsa peterent. (4) Misit autem tentaturus oracula quid saperent; ut, si illa reperisset verum nosse, tum iterum mitteret qui ex illis quæreret, an expeditionem adversus Persas deberet suscipere.

XLVII. Ad tentanda igitur oracula hisce cum mandatis Lydos emisit, ut ab eo die, quo Sardibus essent profecti, centum consequentes numerarent dies, et centesimo die oracula adirent, ex eisque quærerent, quid esset quod illo die ageret rex Lydorum Crœsus, Alyattæ filius; et quidquid a quoque oraculo responsum fuisset, id scripto mandarent, ad seque deferrent. (2) Jam, quid fuerit quod cætera responderint oracula, a nemine memoriæ proditum est : Delphis autem, simul atque Lydi deum consulturi penetrale templi intrarant, et quod ipsis mandatum erat interrogaverant, Pythia hexametro tenore hæc respondit :

Æquoris est spatium et numerus mihi notus arenæ,
mutum percipio, fantis nihil audio vocem.
Venit ad hos sensus nidor testudinis duræ,
quæ simul agnina coquitur cum carne lebete
ære infra strato, et stratum cui desuper æs est.

XLVIII. Hoc Pythiæ responsum quum scripto mandassent Lydi, Sardes sunt reversi. Postquam vero cæteri quo

δὲ καὶ ὦλλοι οἱ περιπεμφθέντες παρῆσαν φέροντες τοὺς χρησμούς, ἐνθαῦτα ὁ Κροῖσος ἕκαστα ἀναπτύσσων ἐπώρα τῶν συγγραμμάτων. (2) Τῶν μὲν δὴ οὐδὲν προσ-ἐτό μιν· ὁ δὲ ὡς τὸ ἐκ Δελφῶν ἤκουσε, αὐτίκα προσ-εὐχετό τε καὶ προσεδέξατο, νομίσας μοῦνον εἶναι μαντήϊον τὸ ἐν Δελφοῖσι, ὅτι οἱ ἐξευρήκεε τὰ αὐτὸς ἐποίησε. (3) Ἐπείτε γὰρ δὴ διέπεμψε παρὰ τὰ χρηστήρια τοὺς θεοπρόπους, φυλάξας τὴν κυρίην τῶν ἡμερέων ἐμηχανήσατο τοιάδε· ἐπινώσας τὰ ἦν ἀμήχανον ἐξευρέειν τε καὶ ἐπιφράσασθαι, χελώνην καὶ ἄρνα κατακόψας ὁμοῦ ἥψε αὐτὸς ἐν λέβητι χαλκέῳ, χάλκεον ἐπίθημα ἐπιθείς.

XLIX. Τὰ μὲν δὴ ἐκ Δελφῶν οὕτω τῷ Κροίσῳ ἐχρήσθη· κατὰ δὲ τὴν Ἀμφιάρεω τοῦ μαντηίου ὑπόκρισιν, οὐκ ἔχω εἰπεῖν ὅ τι τοῖσι Λυδοῖσι ἔχρησε ποιήσασι περὶ τὸ ἱρὸν τὰ νομιζόμενα· οὐ γὰρ ὧν οὐδὲ τοῦτο λέγεται ἄλλο γε ἢ ὅτι καὶ τοῦτον ἐνόμισε μαντήϊον ἀψευδὲς ἐκτῆσθαι.

L. Μετὰ δὲ ταῦτα θυσίῃσι μεγάλῃσι τὸν ἐν Δελφοῖσι θεὸν ἱλάσκετο· κτήνεά τε γὰρ τὰ θύσιμα πάντα τρισχίλια ἔθυσε, κλίνας τε ἐπιχρύσους καὶ ἐπαργύρους καὶ φιάλας χρυσέας καὶ εἵματα πορφύρεα καὶ κιθῶνας, νήσας πυρὴν μεγάλην, κατέκαιε, ἐλπίζων τὸν θεὸν μᾶλλόν τι τούτοισι ἀνακτήσεσθαι· Λυδοῖσί τε πᾶσι προεῖπε θύειν πάντα τινὰ αὐτῶν τούτῳ ὅ τι ἔχοι ἕκαστος. (2) Ὡς δὲ ἐκ τῆς θυσίης ἐγένετο, καταχεάμενος χρυσὸν ἄπλετον ἡμιπλίνθια ἐξ αὐτοῦ ἐξήλαυνε, ἐπὶ μὲν τὰ μακρότερα ποιέων ἑξαπάλαιστα, ἐπὶ δὲ τὰ βραχύτερα τριπάλαιστα, ὕψος δὲ παλαιστιαῖα, ἀριθμὸν δὲ ἑπτακαίδεκα καὶ ἑκατόν, καὶ τούτων ἀπέφθου χρυσοῦ τέσσερα, τρίτον ἡμιτάλαντον ἕκαστον ἕλκοντα, τὰ δὲ ἄλλα ἡμιπλίνθια λευκοῦ χρυσοῦ, σταθμὸν δικτάλαντα. (3) Ἐποιέετο δὲ καὶ λέοντος εἰκόνα χρυσοῦ ἀπέφθου, ἕλκουσαν σταθμὸν τάλαντα δέκα. Οὗτος ὁ λέων, ἐπείτε κατεκαίετο ὁ ἐν Δελφοῖσι νηός, κατέπεσε ἀπὸ τῶν ἡμιπλινθίων (ἐπὶ γὰρ τούτοισι ἵδρυτο), καὶ νῦν κέεται ἐν τῷ Κορινθίων θησαυρῷ, ἕλκων σταθμὸν ἑβδομον ἡμιτάλαντον· ἀπετάκη γὰρ αὐτοῦ τέταρτον ἡμιτάλαντον.

LI. Ἐπιτελέσας δὲ ὁ Κροῖσος ταῦτα ἀπέπεμπε ἐς Δελφοὺς, καὶ τάδε ἄλλα ἅμα τοῖσι, κρητῆρας δύο μεγάθεϊ μεγάλους, χρύσεον καὶ ἀργύρεον, τῶν ὁ μὲν χρύσεος ἐκέετο ἐπὶ δεξιὰ ἐσιόντι ἐς τὸν νηόν, ὁ δὲ ἀργύρεος ἐπ' ἀριστερά. (2) Μετεκινήθησαν δὲ καὶ οὗτοι ὑπὸ τὸν νηὸν κατακαέντα, καὶ ὁ μὲν χρύσεος κέεται ἐν τῷ Κλαζομενίων θησαυρῷ, ἕλκων σταθμὸν ἕνατον ἡμιτάλαντον καὶ ἔτι δυώδεκα μνέας, ὁ δὲ ἀργύρεος ἐπὶ τοῦ προνηΐου τῆς γωνίης, χωρέων ἀμφορέας ἑξακοσίους· ἐπικίρναται γὰρ ὑπὸ Δελφῶν θεοφανίοισι. (3) Φασὶ δέ μιν Δελφοὶ Θεοδώρου τοῦ Σαμίου ἔργον εἶναι, καὶ ἐγὼ δοκέω· οὐ γὰρ τὸ συντυχὸν φαίνεταί μοι ἔργον εἶναι. Καὶ πίθους τε ἀργυρέους τέσσερας ἀπέπεμψε, οἳ ἐν τῷ Κορινθίων θησαυρῷ ἑστᾶσι, καὶ περιρραντήρια δύο ἀνέθηκε, χρύσεόν τε καὶ ἀργύρεον, τῶν τῷ χρυσέῳ ἐπιγέγραπται Λακεδαιμονίων φαμένων εἶναι ἀνάθημα, οὐκ ὀρθῶς

que, quos circummiserat Crœsus, rediere vaticinia ferentes, singula scripta evolvens Crœsus inspexit. (2) Ac horum quidem nullum advertebat ejus animum, præter id quod Delphis erat adlatum : quod simul atque cognovit, adoravit probavitque, unum existimans esse oraculum illud Delphicum, quippe cui compertum fuisset, quid ipse fecisset. (3) Postquam enim emiserat homines qui oracula consulerent, statutum diem observans, tale quidpiam machinatus erat, ea commentus quæ nemo cognoscere aut hariolari posset : testudinem et agnum in frusta concidit, et una coxit ipse æneo in lebete, æneo imposito operculo.

XLIX. Hoc igitur Delphis responsum accepit Crœsus : quid sit vero quod ab Amphiarai oraculo Lydis fuerit responsum, postquam in illius templo legitimis cærimoniis essent perfuncti, non habeo dicere : nec enim de hoc aliud quidquam memoratur, nisi quod hunc etiam Crœsus oraculum verax habere existimaverit.

L. Post hæc autem ingentibus sacrificiis Delphicum deum propitium sibi reddere instituit. Lectas enim victimas ter millenas de quoque genere immolavit; præterea lectulos auro argentove obductos, et phialas aureas, et purpureas vestes tunicasque, ingenti pyra exstructa, concremavit, hisce sperans deum magis sibi se conciliaturum; Lydisque cunctis edixit, ut de suo, quidquid quisque haberet, eidem deo sacrificaret. (2) Tum peractis sacrificiis, conflata immensa vi auri, dimidiatos lateres ex eo procudi jussit, palmarum sex in longitudinem, trium palmarum in latitudinem, crassitie palmari, numero centum et septemdecim. Horum quattuor ex purissimo auro erant, singuli pondo duorum talentorum cum dimidio; reliqui semilateres ex albido auro, pondo binorum talentorum. (3) Fecit etiam leonis effigiem ex auro purissimo, cujus pondus decem talentorum erat. Hic leo, quo tempore deflagravit Delphicum templum, de semilateribus decidit (super illis enim erat collocatus), et nunc in Corinthiorum thesauro est repositus, pondusque ejus sex talentorum est cum dimidio; periere enim liquefacta talenta tria cum dimidio.

LI. Hæc Crœsus postquam confecta habuit, Delphos misit, cum eisque simul hæcce : crateres duos ingenti magnitudine, alterum aureum, argenteum alterum; quorum aureus ad dextram positus erat intrantibus templum, argenteus ad sinistram. (2) Sed et hi, quo tempore conflagravit templum, loco moti sunt : et aureus quidem, cujus pondus octo talenta cum dimidio colligit duodecimque insuper libras, in Clazomeniorum thesauro positus est; argenteus vero in atrii angulo, capiens amphoras sexcentas; miscetur enim in eo vinum a Delphensibus festo Theophaniorum die. (3) Aiunt autem Delphenses, esse opus Theodori Samii; quod etiam ego existimo, esse enim fabricam haud vulgarem adparet. Præterea quattuor dolia misit argentea, quæ in Corinthiorum thesauro reposita sunt. Duas item urnas lustrales dedicavit, auream alteram, alteram argenteam : quarum illa, quæ ex auro est, titulum præfert Lacedæmoniorum, dicuntque Lacedæmonii suum esse dona-

λέγοντες· (4) ἔστι γὰρ καὶ τοῦτο Κροίσου, ἐπέγραψε δὲ τῶν τις Δελφῶν Λακεδαιμονίοισι βουλόμενος χαρίζεσθαι, τοῦ ἐπιστάμενος τὸ οὔνομα οὐκ ἐπιμνήσομαι. Ἀλλ' ὁ μὲν παῖς, δι' οὗ τῆς χειρὸς ῥέει τὸ ὕδωρ, Λακεδαιμονίων ἐστί, οὐ μέντοι τῶν γε περιρραντηρίων οὐδέτερον. (5) Ἄλλα τε ἀναθήματα οὐκ ἐπίσημα πολλὰ ἀπέπεμψε ἅμα τούτοισι ὁ Κροῖσος, καὶ χεύματα ἀργύρεα κυκλοτερέα, καὶ δὴ καὶ γυναικὸς εἴδωλον χρύσεον τρίπηχυ, τὸ Δελφοὶ τῆς ἀρτοκόπου τῆς Κροίσου εἰκόνα λέγουσι εἶναι. Πρὸς δὲ καὶ τῆς ἑωυτοῦ γυναικὸς τὰ ἀπὸ τῆς δειρῆς ἀνέθηκε ὁ Κροῖσος καὶ τὰς ζώνας.

LII. Ταῦτα μὲν ἐς Δελφοὺς ἀπέπεμψε, τῷ δὲ Ἀμφιάρεῳ, πυθόμενος αὐτοῦ τήν τε ἀρετὴν καὶ τὴν πάθην, ἀνέθηκε σάκος τε χρύσεον πᾶν, ὁμοίως καὶ αἰχμὴν στερεὴν πᾶσαν χρυσέην, τὸ ξυστὸν τῆσι λόγχῃσι ἐὸν ὁμοίως χρύσεον· τὰ ἔτι καὶ ἀμφότερα ἐς ἐμὲ ἦν κείμενα ἐν Θήβῃσι, καὶ Θηβέων ἐν τῷ νηῷ τοῦ Ἰσμηνίου Ἀπόλλωνος.

LIII. Τοῖσι δὲ ἄγειν μέλλουσι τῶν Λυδῶν ταῦτα τὰ δῶρα ἐς τὰ ἱρὰ ἐνετέλλετο ὁ Κροῖσος ἐπειρωτᾶν τὰ χρηστήρια εἰ στρατεύηται ἐπὶ Πέρσας Κροῖσος καὶ εἴ τινα στρατὸν ἀνδρῶν προσθέοιτο φίλον. (2) Ὡς δὲ ἀπικόμενοι ἐς τὰ ἀπεπέμφθησαν οἱ Λυδοὶ ἀνέθεσαν τὰ ἀναθήματα, ἐχρέοντο τοῖσι χρηστηρίοισι λέγοντες, « Κροῖσος ὁ Λυδῶν τε καὶ ἄλλων ἐθνέων βασιλεὺς, νομίσας τάδε μαντήϊα εἶναι μοῦνα ἐν ἀνθρώποισι, ὑμῖν τε ἄξια δῶρα ἔδωκε τῶν ἐξευρημάτων, καὶ νῦν ὑμέας ἐπειρωτᾷ εἰ στρατεύηται ἐπὶ Πέρσας καὶ εἴ τινα στρατὸν ἀνδρῶν προσθέοιτο σύμμαχον. » (3) Οἱ μὲν ταῦτα ἐπειρώτεον, τῶν δὲ μαντηίων ἀμφοτέρων ἐς τὠυτὸ αἱ γνῶμαι συνέδραμον, προλέγουσαι Κροίσῳ, ἢν στρατεύηται ἐπὶ Πέρσας, μεγάλην ἀρχὴν μιν καταλῦσαι· τοὺς δ' Ἑλλήνων δυνατωτάτους συνεβούλευόν οἱ ἐξευρόντα φίλους προσθέσθαι.

LIV. Ἐπείτε δὲ ἀνενειχθέντα τὰ θεοπρόπια ἐπύθετο ὁ Κροῖσος, ὑπερήσθη τε τοῖσι χρηστηρίοισι, πάγχυ τε ἐλπίσας καταλύσειν τὴν Κύρου βασιληίην, πέμψας αὖτις ἐς Πυθὼ Δελφοὺς δωρέεται, πυθόμενος αὐτῶν τὸ πλῆθος, κατ' ἄνδρα δύο στατῆρσι ἕκαστον χρυσοῦ. (2) Δελφοὶ δὲ ἀντὶ τούτων ἔδοσαν Κροίσῳ καὶ Λυδοῖσι προμαντηίην καὶ ἀτέλειαν καὶ προεδρίην, καὶ ἐξεῖναι τῷ βουλομένῳ αὐτῶν γενέσθαι Δελφὸν ἐς τὸν αἰεὶ χρόνον.

LV. Δωρησάμενος δὲ τοὺς Δελφοὺς ὁ Κροῖσος ἐχρηστηριάζετο τὸ τρίτον· ἐπείτε γὰρ δὴ παρέλαβε τοῦ μαντηίου ἀληθείαν, ἐνεφορέετο αὐτοῦ. Ἐπειρώτα δὲ τάδε χρηστηριάζομενος, εἰ οἱ πολυχρόνιος ἔσται ἡ μουναρχίη. (2) Ἡ δὲ Πυθίη οἱ χρᾷ τάδε,

'Αλλ' ὅταν ἡμίονος βασιλεὺς Μήδοισι γένηται,
δὴ τότε, Λυδὲ ποδαβρὲ, πολυψήφιδα παρ' Ἕρμον
φεύγειν μηδὲ μένειν, μηδ' αἰδεῖσθαι κακὸς εἶναι.

LVI. Τούτοισι ἑλθοῦσι τοῖσι ἔπεσι ὁ Κροῖσος πολλόν τι μάλιστα πάντων ἥσθη, ἐλπίζων ἡμίονον οὐδαμὰ

rium, falso; (4) nam et hoc Crœsi est, titulum autem inscripsit Delphensium non nemo, Lacedæmoniis gratificaturus; cujus nomen, bene mihi cognitum, edere nolo. Sed puer quidem, cujus per manum effluit aqua, Lacedæmoniorum donarium est, at urnarum neutra. (5) Alia denique multa donaria minus insignia simul cum istis misit Crœsus: in his guttos argenteos orbiculata forma; et præsertim mulieris simulacrum aureum tricubitale, quam Delphenses aiunt effigiem esse pistricis Crœsi. Ad hæc uxoris etiam suæ monilia dedicavit, ejusdemque cingula.

LII. Ista igitur dona Delphos Crœsus misit. Amphiarao vero, cujus et virtutem et calamitatem fando audierat, clypeum dedicavit totum ex auro; item hastam ex solido auro totam, cujus hastile pariter aureum atque spiculum: quæ donaria ad meam usque ætatem Thebis reposita sunt, et Thebarum quidem in templo Ismenii Apollinis.

LIII. Hæc dona ad deorum templa delaturis Lydis injunxit Crœsus, ut interrogarent oracula, An adversus Persas expeditionem susciperet Crœsus, et an posset sociorum aliquas copias sibi adjungere? (2) Qui ut eo quo missi erant pervenere, dedicatis donariis, oracula consuluerunt his verbis: « Crœsus, Lydorum rex aliorumque populorum, existimans hæc sola vera esse oracula hominibus, dona vobis misit digna vestris inventis, et nunc e vobis quærit, an adversus Persas suscipiat expeditionem, tum ecquem exercitum socium armorum possit sibi adjungere? » (3) Quæ quum illi interrogassent, utriusque oraculi responsa ad eandem sententiam collinearunt; quippe prædicebant Crœso, si bellum inferret Persis, eversurum eum esse magnum imperium; simulque ei consulebant, ut Græcorum exquireret potentissimos, eosque sibi socios adjungeret.

LIV. Ea oracula postquam ad se relata Crœsus cognovit, responsis istis vehementer est gavisus: prorsusque existimans se Cyri regnum esse eversurum, missis rursus Delphos legatis, Delphensium singulos, numerum illorum percontatus, viritim duobus stateribus auri donavit. (2) Vicissimque Delphenses Crœso Lydisque in omne futurum tempus primas detulerunt in consulendo oraculo partes, immunitatemque, et primum in consessibus locum, denique jus civitatis cuique qui numero Delphensium vellet adscribi.

LV. Cæterum donis istis Delphenses prosecutus Crœsus, tertio oraculum consulit; quippe veracitatem ejus expertus, largiter sibi in eo consulendo indulgebat. Interrogavit autem oraculum hæc proponens, an diuturnum sibi futurum esset imperium? (2) Cui Pythia hæc respondit:

Regis apud Medos mulo jam sede potito,
Lyde, fugam mollis scrupulosum corripe ad Hermon,
neve mane, ignavus posito sis, Lyde, pudore!

LVI. Quibus verbis ad Crœsum perlatis, longe omnium maxime gavisus est, ratus nunquam in Medos mulum

ἐὼν' ἀνδρὸς βασιλεύσειν Μήδων, οὐδ' ὧν αὐτὸς οὐδὲ οἱ ἐξ αὐτοῦ παύσεσθαί κοτε τῆς ἀρχῆς. (2) Μετὰ δὲ ταῦτα ἐφρόντιζε ἱστορέων τοὺς ἂν Ἑλλήνων δυνατωτάτους ἐόντας προσκτήσαιτο φίλους, ἱστορέων δὲ εὗρισκε Λακεδαιμονίους καὶ Ἀθηναίους προέχοντας τοὺς μὲν τοῦ Δωρικοῦ γένεος, τοὺς δὲ τοῦ Ἰωνικοῦ. (3) Ταῦτα γὰρ ἦν τὰ προκεκριμένα, ἐόντα τὸ ἀρχαῖον τὸ μὲν Πελασγικὸν, τὸ δὲ Ἑλληνικὸν ἔθνος. Καὶ τὸ μὲν οὐδαμῇ κω ἐξεχώρησε, τὸ δὲ πολυπλάνητον κάρτα. (4) Ἐπὶ μὲν γὰρ Δευκαλίωνος βασιλέος οἴκεε γῆν τὴν Φθιῆτιν, ἐπὶ δὲ Δώρου τοῦ Ἕλληνος τὴν ὑπὸ τὴν Ὄσσαν τε καὶ τὸν Οὔλυμπον χώρην, καλευμένην δὲ Ἱστιαιῆτιν. (5) Ἐκ δὲ τῆς Ἱστιαιήτιδος ὡς ἐξανέστη ὑπὸ Καδμείων, οἴκεε ἐν Πίνδῳ Μακεδνὸν καλέυμενον. Ἐνθεῦτεν δὲ αὖτις ἐς τὴν Δρυοπίδα μετέβη, καὶ ἐκ τῆς Δρυοπίδο οὕτω ἐς Πελοπόννησον ἐλθὸν Δωρικὸν ἐκλήθη.

LVII. Ἥντινα δὲ γλῶσσαν ἵεσαν οἱ Πελασγοὶ οὐκ ἔχω ἀτρεκέως εἶπαι· εἰ δὲ χρεών ἐστι τεκμαιρόμενον λέγειν τοῖσι νῦν ἔτι ἐοῦσι Πελασγῶν τῶν ὑπὲρ Τυρσηνῶν Κρηστῶνα πόλιν οἰκεόντων, οἳ ὅμουροί κοτε ἔσαν τοῖσι νῦν Δωριεῦσι καλευμένοισι, οἴκεον δὲ τηνικαῦτα γῆν τὴν νῦν Θεσσαλιῆτιν καλευμένην, καὶ τῶν Πλακίην τε καὶ Σκυλάκην Πελασγῶν οἰκισάντων ἐν Ἑλλησπόντῳ, οἳ σύνοικοι ἐγένοντο Ἀθηναίοισι, καὶ ὅσα ἄλλα Πελασγικὰ ἐόντα πολίσματα τὸ οὔνομα μετέβαλε, εἰ τούτοισι τεκμαιρόμενον δεῖ λέγειν, ἔσαν οἱ Πελασγοὶ βάρβαρον γλῶσσαν ἱέντες. (2) Εἰ τοίνυν ἦν καὶ πᾶν τοιοῦτο τὸ Πελασγικὸν, τὸ Ἀττικὸν ἔθνος ἐὸν Πελασγικὸν ἅμα τῇ μεταβολῇ ἐς Ἕλληνας καὶ τὴν γλῶσσαν μετέμαθε. (3) Καὶ γὰρ δὴ οὔτε οἱ Κρηστωνιῆται οὐδαμοῖσι τῶν νῦν σφέας περιοικεόντων εἰσὶ ὁμόγλωσσοι οὔτε οἱ Πλακιηνοὶ, σφίσι δὲ ὁμόγλωσσοι· δηλοῦσί τε ὅτι τὸν ἠνείκαντο γλώσσης χαρακτῆρα μεταβαίνοντες ἐς ταῦτα τὰ χωρία, τοῦτον ἔχουσι ἐν φυλακῇ.

LVIII. Τὸ δὲ Ἑλληνικὸν γλώσσῃ μὲν, ἐπείτε ἐγένετο, αἰεί κοτε τῇ αὐτῇ διαχρέεται, ὡς ἐμοὶ καταφαίνεται εἶναι· ἀποσχισθὲν μέντοι ἀπὸ τοῦ Πελασγικοῦ ἐὸν ἀσθενὲς, ἀπὸ σμικροῦ τέο τὴν ἀρχὴν ὁρμεώμενον αὔξηται ἐς πλῆθος τῶν ἐθνέων πολλὸν μάλιστα, προσκεχωρηκότων αὐτῷ καὶ ἄλλων ἐθνέων βαρβάρων συχνῶν. Πρὸς δὴ ὧν ἔμοιγε δοκέει οὐδὲ τὸ Πελασγικὸν ἔθνος, ἐὸν βάρβαρον, οὐδαμὰ μεγάλως αὐξηθῆναι.

LIX. Τούτων δὴ ὧν τῶν ἐθνέων τὸ μὲν Ἀττικὸν κατεχόμενόν τε καὶ διεσπασμένον ἐπυνθάνετο ὁ Κροῖσος ὑπὸ Πεισιστράτου τοῦ Ἱπποκράτεος τοῦτον τὸν χρόνον τυραννεύοντος Ἀθηναίων. (2) Ἱπποκράτεϊ γὰρ ἐόντι ἰδιώτῃ καὶ θεωρέοντι τὰ Οὐλύμπια τέρας ἐγένετο μέγα· θύσαντος γὰρ αὐτοῦ τὰ ἱρὰ οἱ λέβητες ἐπεστεῶτες καὶ κρεῶν τε ἐόντες ἔμπλεοι καὶ ὕδατος ἄνευ πυρὸς ἔζεσαν καὶ ὑπερέβαλον. (3) Χίλων δὲ ὁ Λακεδαιμόνιος παρατυχὼν καὶ θηησάμενος τὸ τέρας συνεβούλευε Ἱπποκράτεϊ πρῶτα μὲν γυναῖκα τεκνοποιὸν μὴ ἄγεσθαι ἐς τὰ οἰκία, εἰ δὲ τυγχάνει ἔχων, δεύτερα τὴν

pro viro esse regnaturum, adeoque nec ipsum, nec suos posteros, umquam privatum iri imperio. (2) Deinde curam suam eo convertit, ut inquireret quinam essent Græcorum potentissimi, quos socios sibi adjungeret. Sciscitatus igitur repperit, Lacedæmonios et Athenienses præter cæteros eminere, illos quidem Dorico in genere, hos vero in Ionico. (3) Hi enim duo populi præcipui habebantur, alter Pelasgicus, quum antiquitus sint, alter Hellenicus: et alter quidem numquam solo suo excesserat, alter vero valde multumque erat vagatus. (4) Nam sub Deucalione rege Phthiotin terram habitaverat; sub Doro vero, Hellenis filio, regionem Ossæ et Olympo subjectam occupavit, quæ Histiæotis vocatur; (5) tum ex Histiæotide ejectus a Cadmeis, Pindum incoluit, et Macednus populus est nominatus; inde rursus in Dryopidem transiit; ex Dryopide denique sic in Peloponnesum venit, et Doricus est adpellatus.

LVII. Jam Pelasgi quanam lingua usi sint, pro certo adfirmare non possum. Sed si fas est conjecturam capere ex his qui etiam nunc supersunt Pelasgi, qui supra Tyrrhenos Crestonem oppidum incolunt, qui eam regionem olim, quæ nunc Thessaliotis vocatur, habitaverant, finitimique per id tempus fuerant eorum qui Dorienses hodie nominantur; item ex illis Pelasgis qui Placiam et Scylacen in Hellesponto condiderunt, qui cum Atheniensibus una habitaverant; sive quæ sunt alia oppida Pelasgica, quæ nomen mutarunt: ex his si conjecturam capere fas est, barbara lingua usi sunt Pelasgi. (2) Quodsi igitur eadem ratio fuit universi Pelasgici generis, statuendum fuerit Atticum populum, quum sit Pelasgici generis, ex quo in Hellenum nomen transiit, simul linguam suam dedidicisse et cum Hellenum lingua permutasse. (3) Etenim neque Crestoniatarum lingua cum ullis eorum, qui nunc circum habitant, consentit, neque Placianorum; inter ipsos autem convenit: et satis adparet, servasse utrosque eandem sermonis formam, quam secum attulerant quum in has, quas nunc incolunt, regiones immigrarunt.

LVIII. Hellenicum vero genus, ex quo ortum cepit, lingua quidem semper utitur eadem, ut mihi quidem prorsus videtur: sed discretum a Pelasgico genere, quum esset infirmum et ab exiguis profectum initiis, in hanc tamen populorum multitudinem maximam adcrevit, compluribus etiam aliis populis barbaris sese illi adjungentibus. Quo nimirum, ut mihi etiam videtur, factum est ut Pelasgicum genus, barbarum quum esset, numquam magnos fecerit profectus.

LIX. Horum igitur populorum Atticum quidem rescivit Crœsus teneri et in partes divulsum esse a Pisistrato, Hippocratis filio, qui ea tempestate tyrannus erat Atheniensium. (2) Hippocrati enim, quum esset privatus spectaretque Olympia, ingens oblatum prodigium fuerat. Sacra quum fecisset, in propinquo stantes lebetes, carnibus et aqua repleti, absque igne fervere cœperant et exundare. (3) Itaque Chilon Lacedæmonius, qui forte aderat prodigiumque erat conspicatus, suasit Hippocrati, primum quidem, ne domum duceret uxorem ex qua liberos procrearet: sin jam haberet, secundo loco, ut repudiaret uxorem;

γυναῖκα ἐκπέμπειν, καὶ εἴ τίς οἱ τυγχάνει ἐὼν παῖς, τοῦτον ἀπείπασθαι. (4) Οὐκ ὧν ταῦτα παραινέσαντος Χίλωνος πείθεσθαι θέλειν τὸν Ἱπποκράτεα· γενέσθαι οἱ μετὰ ταῦτα τὸν Πεισίστρατον τοῦτον, ὃς στασιαζόντων τῶν παράλων καὶ τῶν ἐκ τοῦ πεδίου Ἀθηναίων, καὶ τῶν μὲν προεστεῶτος Μεγακλέος τοῦ Ἀλκμέωνος, τῶν δὲ ἐκ τοῦ πεδίου Αυκούργου τοῦ Ἀριστολαΐδεω, καταφρονήσας τὴν τυραννίδα ἤγειρε τρίτην στάσιν, συλλέξας δὲ στασιώτας καὶ τῷ λόγῳ τῶν ὑπερακρίων προστὰς μηχανᾶται τοιάδε. (5) Τρωματίσας ἑωυτόν τε καὶ ἡμιόνους ἤλασε ἐς τὴν ἀγορὴν τὸ ζεῦγος ὡς ἐκπεφευγὼς τοὺς ἐχθροὺς οἵ μιν ἐλαύνοντα ἐς ἀγρὸν ἠθέλησαν ἀπολέσαι δῆθεν, ἐδέετό τε τοῦ δήμου φυλακῆς τινὸς πρὸς αὐτοῦ κυρῆσαι, πρότερον εὐδοκιμήσας ἐν τῇ πρὸς Μεγαρέας γενομένῃ στρατηγίῃ, Νίσαιάν τε ἑλὼν καὶ ἄλλα ἀποδεξάμενος μεγάλα ἔργα. (6) Ὁ δὲ δῆμος ὁ τῶν Ἀθηναίων ἐξαπατηθεὶς ἔδωκέ οἱ τῶν ἀστῶν καταλέξας ἄνδρας, τούτους οἱ δορυφόροι μὲν οὐκ ἐγένοντο Πεισιστράτου, κορυνηφόροι δέ· ξύλων γὰρ κορύνας ἔχοντες εἵποντό οἱ ὄπισθε. Συνεπαναστάντες δὲ οὗτοι ἅμα Πεισιστράτῳ ἔσχον τὴν ἀκρόπολιν. (7) Ἔνθα δὴ ὁ Πεισίστρατος ἦρχε Ἀθηναίων, οὔτε τιμὰς τὰς ἐούσας συνταράξας οὔτε θέσμια μεταλλάξας, ἐπί τε τοῖσι κατεστεῶσι ἔνεμε τὴν πόλιν κοσμέων καλῶς τε καὶ εὖ.

LX. Μετὰ δὲ οὐ πολλὸν χρόνον τὠυτὸ φρονήσαντες οἵ τε τοῦ Μεγακλέος στασιῶται καὶ οἱ τοῦ Αυκούργου ἐξελαύνουσί μιν. Οὕτω μὲν Πεισίστρατος ἔσχε τὸ πρῶτον Ἀθήνας, καὶ τὴν τυραννίδα οὔκω κάρτα ἐρριζωμένην ἔχων ἀπέβαλε. (2) Οἱ δὲ ἐξελάσαντες Πεισίστρατον αὖτις ἐκ νέης ἐπ' ἀλλήλοισι ἐστασίασαν. Περιελαυνόμενος δὲ τῇ στάσι ὁ Μεγακλέης ἐπεχηρευέτο Πεισιστράτῳ, εἰ βούλοιτό οἱ τὴν θυγατέρα ἔχειν γυναῖκα ἐπὶ τῇ τυραννίδι. (3) Ἐνδεξαμένου δὲ τὸν λόγον καὶ ὁμολογήσαντος ἐπὶ τούτοισι Πεισιστράτου, μηχανῶνται δὴ ἐπὶ τῇ κατόδῳ πρῆγμα εὐηθέστατον, ὡς ἐγὼ εὑρίσκω, μακρῷ, ἐπεί γε ἀπεκρίθη ἐκ παλαιτέρου τοῦ βαρβάρου ἔθνεος τὸ Ἑλληνικὸν ἐὸν καὶ δεξιώτερον καὶ εὐηθίης ἠλιθίου ἀπηλλαγμένον μᾶλλον, εἰ καὶ τότε γε οὗτοι ἐν Ἀθηναίοισι τοῖσι πρώτοισι λεγομένοισι εἶναι Ἑλλήνων σοφίην μηχανῶνται τοιάδε. (4) Ἐν τῷ δήμῳ τῷ Παιανιεῖ ἦν γυνὴ τῇ οὔνομα ἦν Φύη, μέγαθος ἀπὸ τεσσέρων πηχέων ἀπολείπουσα τρεῖς δακτύλους καὶ ἄλλως εὐειδής. (5) Ταύτην τὴν γυναῖκα σκευάσαντες πανοπλίῃ, ἐς ἅρμα ἐσβιβάσαντες καὶ προδέξαντες σχῆμα οἷόν τι ἔμελλε εὐπρεπέστατον φανέεσθαι ἔχουσα, ἤλαυνον ἐς τὸ ἄστυ, προδρόμους κήρυκας προπέμψαντες, οἳ τὰ ἐντεταλμένα ἠγόρευον ἐς τὸ ἄστυ ἀπικόμενοι, λέγοντες τοιάδε, «ὦ Ἀθηναῖοι, δέκεσθε ἀγαθῷ νόῳ Πεισίστρατον, τὸν αὐτὴ ἡ Ἀθηναίη τιμήσασα ἀνθρώπων μάλιστα κατάγει ἐς τὴν ἑωυτῆς ἀκρόπολιν.» (6) Οἱ μὲν δὴ ταῦτα διαφοιτέοντες ἔλεγον· αὐτίκα δὲ ἐς τε τοὺς δήμους φάτις ἀπίκετο ὡς Ἀθηναίη Πεισίστρατον κατάγει, καὶ ἐν τῷ ἄστεϊ πειθόμε-

filiumque, si forte ei jam natus esset, abdicaret. (4) Cujus consilio parere nolenti Hippocrati natus posthac est hic Pisistratus; qui in seditione litoralium Atheniensium, quibus præerat Megacles, Alcmæonis filius, et campestrium, quibus Lycurgus præerat, Aristolaidæ filius, tertiam concitavit factionem, tyrannidem in mente habens. Contractis enim seditiosis qui secum facerent, per caussam tutandi montanos, hujuscemodi rem machinatus est. (5) Se ipsum ac mulos quum vulnerasset, agitavit jumenta in forum, quasi elapsus esset ex inimicorum manibus, qui ipsum rus proficiscentem interimere nimirum voluissent; precatusque est populum, ut aliquid custodiæ ab illo obtineret: jam enim prius in existimatione apud populum fuerat, quod in bello adversus Megarenses, ipsius ductu gesto, cepisset Nisæam, et alia præclare facta edidisset. (6) Sic deceptus populus Atheniensium adjunxit ei delectos ex urbe viros, qui ut satellites non quidem hastis eum stipabant, sed clavis: ligneas enim clavas gestantes, a tergo eum sequebantur. Idem vero simul cum Pisistrato insurgentes, arcem occuparunt. (7) Inde igitur imperio Atheniensium potitus Pisistratus, nullis qui tunc erant magistratibus perturbatis, neque legibus mutatis, sed priore statu integro, administrabat civitatem, ac bene recteque moderabatur.

LX. Sed haud multo post Megaclis factio et factio Lycurgi, facta consensione, eum ejecerunt. Ita Pisistratus, postquam primum Athenas obtinuerat, mox tyrannidem nondum satis firmatam rursus amisit. (2) Sed, qui eum ejecerant, mox denuo inter se dissidium fecerunt. Fatigatus autem seditione Megacles, misso ad Pisistratum caduceatore, sciscitatus est velletne filiam suam ducere uxorem, tyrannidis præmio. (3) Quem sermonem ubi admisit Pisistratus, eaque conditione pactionem cum Megacle iniit, machinantur hi ad illum reducendum rem, ut mihi quidem plane videtur, longe stultissimam. Quandoquidem enim jam a priscis inde temporibus a barbarico genere distinctum Græcum fuit, utpote dexterius et a stolida fatuitate magis abhorrens, stultum utique debet videri, usos illos esse tali invento apud Athenienses, qui inter Græcos feruntur sapientia principes. (4) Erat in pago Pæaniensi mulier, nomine Phya, quattuor cubitorum statura minus tribus digitis, et alioqui formosa. (5) Hanc mulierem quum universa instruxissent armatura, in currumque sustulissent edoctam prius eum adsumere vultus corporisque habitum quo maxime decora esset adparitura, in urbem agunt, præmissis qui præcurrerent præconibus, qui ubi in urbem venissent, hæc mandata edicerent: «Athenienses, bono animo excipite Pisistratum, quem Minerva ipsa præcipuo inter homines honore prosecuta, in suam reducit arcem!» (6) Hi igitur passim circumeuntes hæc prædicaverunt: statimque rumor per pagos manavit, Pisistratum a Minerva reduci; et qui

νοι τὴν γυναῖκα εἶναι αὐτὴν τὴν θεὸν, προσεύχοντό τε τὴν ἄνθρωπον καὶ ἐδέκοντο Πεισίστρατον.

LXI. Ἀπολαβὼν δὲ τὴν τυραννίδα τρόπῳ τῷ εἰρημένῳ ὁ Πεισίστρατος κατὰ τὴν ὁμολογίην τὴν πρὸς Μεγακλέα γενομένην γαμέει τοῦ Μεγακλέος τὴν θυγατέρα. Οἷα δὲ παίδων τε οἱ ὑπαρχόντων νεηνιέων καὶ λεγομένων ἐναγέων εἶναι τῶν Ἀλκμεωνιδέων, οὐ βουλόμενός οἱ γενέσθαι ἐκ τῆς νεογάμου γυναικὸς τέκνα ἐμίσγετό οἱ οὐ κατὰ νόμον. (2) Τὰ μέν νυν πρῶτα ἔκρυπτε ταῦτα ἡ γυνὴ, μετὰ δὲ εἴτε ἱστορεύσῃ εἴτε καὶ οὔ φράζει τῇ ἑωυτῆς μητρὶ, ἡ δὲ τῷ ἀνδρί. Τὸν δὲ δεινόν τι ἔσχε ἀτιμάζεσθαι πρὸς Πεισιστράτου· ὀργῇ δὲ, ὡς εἶχε, καταλλάσσετο τὴν ἔχθρην τοῖσι στασιώτῃσι. (3) Μαθὼν δὲ ὁ Πεισίστρατος τὰ ποιεύμενα ἐπ' ἑωυτῷ ἀπαλλάσσετο ἐκ τῆς χώρης τὸ παράπαν, ἀπικόμενος δὲ ἐς Ἐρέτριαν ἐβουλεύετο ἅμα τοῖσι παισί. Ἱππίεω δὲ γνώμην νικήσαντος ἀνακτᾶσθαι ὀπίσω τὴν τυραννίδα, ἐνθαῦτα ἤγειρον δωτίνας ἐκ τῶν πολίων αἵτινές σφι προῃδέατό κού τι. (4) Πολλῶν δὲ μεγάλα παρασχόντων χρήματα, Θηβαῖοι ὑπερεβάλοντο τῇ δόσι τῶν χρημάτων. Μετὰ δὲ, οὐ πολλῷ λόγῳ εἶπαι, χρόνος διέφυ καὶ πάντα σφι ἐξήρτυτο ἐς τὴν κάτοδον· καὶ γὰρ Ἀργεῖοι μισθωτοὶ ἀπίκατο ἐκ Πελοποννήσου, καὶ Νάξιός σφι ἀνὴρ ἀπιγμένος ἐθελοντὴς, τῷ οὔνομα ἦν Λύγδαμις, προθυμίην πλείστην παρείχετο, κομίσας καὶ χρήματα καὶ ἄνδρας.

LXII. Ἐξ Ἐρετρίης δὲ ὁρμηθέντες δι' ἑνδεκάτου ἔτεος ἀπίκοντο ὀπίσω. Καὶ πρῶτον τῆς Ἀττικῆς ἴσχουσι Μαραθῶνα. (2) Ἐν δὲ τούτῳ τῷ χώρῳ σφι στρατοπεδευομένοισι οἵ τε ἐκ τοῦ ἄστεος στασιῶται ἀπίκοντο, ἄλλοι τε ἐκ τῶν δήμων προσέρρεον, τοῖσι ἡ τυραννὶς πρὸ ἐλευθερίης ἦν ἀσπαστότερον. (3) Οὗτοι μὲν δὴ συνηλίζοντο, Ἀθηναίων δὲ οἱ ἐκ τοῦ ἄστεος, ἕως μὲν Πεισίστρατος τὰ χρήματα ἤγειρε, καὶ μεταῦτις ὡς ἔσχε Μαραθῶνα, λόγον οὐδένα εἶχον, ἐπείτε δὲ ἐπύθοντο ἐκ τοῦ Μαραθῶνος αὐτὸν πορεύεσθαι ἐπὶ τὸ ἄστυ, οὕτω δὴ βωθέουσι ἐπ' αὐτόν. (4) Καὶ οὗτοί τε πανστρατιῇ ἤϊσαν ἐπὶ τοὺς κατιόντας, καὶ οἱ ἀμφὶ Πεισίστρατον, ὡς ὁρμηθέντες ἐκ Μαραθῶνος ἤϊσαν ἐπὶ τὸ ἄστυ, ἐς τὠυτὸ συνιόντες ἀπικνέονται ἐπὶ Παλληνίδος Ἀθηναίης ἱρὸν, καὶ ἀντία ἕθεντο τὰ ὅπλα. (5) Ἐνθαῦτα θείῃ πομπῇ χρεώμενος παρίσταται Πεισιστράτῳ Ἀμφίλυτος ὁ Ἀκαρνὰν χρησμολόγος ἀνὴρ, ὃς οἱ προσιὼν χρᾷ ἐν ἑξαμέτρῳ τόνῳ τάδε λέγων,

Ἔρριπται δ' ὁ βόλος, τὸ δὲ δίκτυον ἐκπεπέτασται,
θύννοι δ' οἰμήσουσι σεληναίης διὰ νυκτός.

LXIII. Ὁ μὲν δὴ οἱ ἐνθεάζων χρᾷ τάδε, Πεισίστρατος δὲ συλλαβὼν τὸ χρηστήριον καὶ φὰς δέχεσθαι τὸ χρησθὲν ἐπῆγε τὴν στρατιήν. Ἀθηναῖοι δὲ οἱ ἐκ τοῦ ἄστεος πρὸς ἄριστον τετραμμένοι ἔσαν δὴ τηνικαῦτα, καὶ μετὰ τὸ ἄριστον μετεξέτεροι αὐτῶν οἱ μὲν πρὸς κύβους, οἱ δὲ πρὸς ὕπνον. (2) Οἱ δὲ ἀμφὶ Πεισίστρατον ἐσπεσόντες τοὺς Ἀθηναίους τράπουσι. Φευγόντων

in urbe erant, persuasi hanc mulierem esse ipsam Minervam, adorarunt eam, Pisistratumque receperunt.

LXI. Hunc igitur in modum, quem diximus, recuperata tyrannide, Pisistratus ex pacto cum Megacle inito filiam Megaclis duxit uxorem. Verum quum et filii essent ei adolescentes, et Alcmæonidæ dicerentur obnoxii esse piaculo, nolens ex novo conjugio liberos suscipere, non uti fas est coibat cum uxore. (2) Atque id quidem primum celavit mulier : deinde vero, sive interrogata a matre, sive non, matri suæ adperuit, atque illa cum marito rem communicavit. Megacles vero inique ferens se a Pisistrato ludibrio haberi, per iram e vestigio cum adversæ factionis hominibus, positis inimicitiis, in gratiam rediit. (3) Tum Pisistratus, ubi quid contra se ageretur rescivit, prorsus e terra Attica discessit : et Eretriam profectus est, ubi cum filiis de rebus suis deliberavit. Ubi perferente Hippia suam sententiam, tyrannidem postliminio occupandam esse, munera colligebant ex eis civitatibus, quæ illos superiori tempore observantia quadam erant prosecuti. (4) Quarum quum multæ magnas conferrent pecunias, Thebani præ cæteris liberalitate eminuere. Post hæc, ut brevi sermone absolvam, interjecto tempore, omnia ad reditum eis parata fuere : nam Argivi mercenarii advenerant ex Peloponneso, et Naxius vir, cui Lygdamis nomen, ultro eos convenerat, et quum collatis pecuniis, tum adductis militibus, propensam inprimis animi voluntatem probaverat.

LXII. Itaque Eretria profecti, undecimo anno in patriam redierunt, et primum in Attica terra Marathonem occuparunt. (2) Quo loco quum castra posuissent, mox partim ex urbe qui cum illis sentiebant ad eos conveniebant, partim e pagis alii confluebant, quibus regnum libertate erat optabilius. (3) Atque ita hi quidem congregabantur. Athenienses vero in urbe, quam diu Pisistratus pecuniam cogebat, ac deinde rursus quum Marathonem teneret, nullam ejus rationem habuerant : sed ubi resciverunt, Marathone eum urbem versus movere, tum vero ei occurrendum statuerunt. (4) Hi igitur cum omnibus copiis adversus redeuntes egressi sunt : simulque Pisistratus et qui cum eo erant, ut Marathone profecti contra urbem ivere, illis occurrentes ad templum pervenerunt Pallenidos Minervæ, ibique castra ex adverso posuerunt. (5) Ibi tum divinitus missus adstitit Pisistrato Amphilytus Acarnan [*Acharnensis?*], vir vaticinia edere doctus, qui illum adiens, hexametro tenore vaticinium edidit his verbis :

Jactum est verriculum nunc, est tibi rete repansum :
nocte aderunt thynni claro sub sidere lunæ.

LXIII. Sic ille divino adflatu concitatus cecinit : Pisistratus vero, percepto oraculo, accipere se omen dicens, exercitum in hostes duxit. Athenienses autem urbani per id tempus ad prandium se converterant, et a prandio alii ad tesserarum ludum, alii ad somnum. (2) Hos igitur Pisistratus cum suis, facto impetu, in fugam vertit. Qui dum

δὲ τούτων βουλὴν ἐνθαῦτα σοφωτάτην Πεισίστρατος ἐπιτεχνᾶται, ὅκως μήτε ἁλισθεῖεν ἔτι οἱ Ἀθηναῖοι διεσκεδασμένοι τε εἶεν· ἀναβιβάσας τοὺς παῖδας ἐπ' ἵππους προέπεμπε, οἱ δὲ καταλαμβάνοντες τοὺς φεύγοντας ἔλεγον τὰ ἐντεταλμένα ὑπὸ Πεισιστράτου, θαρσέειν τε κελεύοντες καὶ ἀπιέναι ἕκαστον ἐπὶ τὰ ἑωυτοῦ.

LXIV. Πειθομένων δὲ τῶν Ἀθηναίων, οὕτω δὴ Πεισίστρατος τὸ τρίτον σχὼν Ἀθήνας ἐρρίζωσε τὴν τυραννίδα ἐπικούροισί τε πολλοῖσι καὶ χρημάτων συνόδοισι, τῶν μὲν αὐτόθεν, τῶν δὲ ἀπὸ Στρυμόνος ποταμοῦ συνιόντων, δμήρους τε τῶν παραμεινάντων Ἀθηναίων καὶ μὴ αὐτίκα φυγόντων παῖδας λαβὼν καὶ καταστήσας ἐς Νάξον (καὶ γὰρ ταύτην ὁ Πεισίστρατος κατεστρέψατο πολέμῳ καὶ ἐπέτρεψε Λυγδάμι), πρός τε ἔτι τούτοισι τὴν νῆσον Δῆλον καθήρας ἐκ τῶν λογίων, καθήρας δὲ ὧδε· (2) ἐπ' ὅσον ἔποψις τοῦ ἱροῦ εἶχε, ἐκ τούτου τοῦ χώρου παντὸς ἐξορύξας τοὺς νεκροὺς μετεφόρεε ἐς ἄλλον χῶρον τῆς Δήλου. Καὶ Πεισίστρατος μὲν ἐτυράννευε Ἀθηναίων, Ἀθηναίων δὲ οἱ μὲν ἐν τῇ μάχῃ ἐπεπτώκεσαν, οἱ δὲ αὐτῶν μετ' Ἀλκμεωνιδέων ἔφευγον ἐκ τῆς οἰκηίης.

LXV. Τοὺς μέν νυν Ἀθηναίους τοιαῦτα τὸν χρόνον τοῦτον ἐπυνθάνετο ὁ Κροῖσος κατέχοντα, τοὺς δὲ Λακεδαιμονίους ἐκ κακῶν τε μεγάλων πεφευγότας καὶ ἐόντας ἤδη τῷ πολέμῳ κατυπερτέρους Τεγεητέων. (2) Ἐπὶ γὰρ Λέοντος βασιλεύοντος καὶ Ἡγησικλέος ἐν Σπάρτῃ τοὺς ἄλλους πολέμους εὐτυχέοντες οἱ Λακεδαιμόνιοι πρὸς Τεγεήτας μούνους προσέπταιον. Τὸ δὲ ἔτι πρότερον τούτων καὶ κακονομώτατοι ἔσαν σχεδὸν πάντων Ἑλλήνων κατά τε σφέας αὐτοὺς καὶ ξείνοις ἀπρόσμικτοι. Μετέβαλον δὲ ὧδε ἐς εὐνομίην. (3) Λυκούργου τῶν Σπαρτιητέων δοκίμου ἀνδρὸς ἐλθόντος ἐς Δελφοὺς ἐπὶ τὸ χρηστήριον, ὡς ἐσήϊε ἐς τὸ μέγαρον, ἰδὺς ἡ Πυθίη λέγει τάδε,

"Ηκεις, ὦ Λυκόργε, ἐμὸν ποτὶ πίονα νηὸν
Ζηνὶ φίλος καὶ πᾶσιν Ὀλύμπια δώματ' ἔχουσιν.
Δίζω ἢ σε θεὸν μαντεύσομαι ἢ ἄνθρωπον.
Ἀλλ' ἔτι καὶ μᾶλλον θεὸν ἔλπομαι, ὦ Λυκόργε.

(4) Οἱ μὲν δή τινες πρὸς τούτοισι λέγουσι καὶ φράσαι αὐτῷ τὴν Πυθίην τὸν νῦν κατεστεῶτα κόσμον Σπαρτιήτῃσι· ὡς δ' αὐτοὶ Λακεδαιμόνιοι λέγουσι, Λυκοῦργον ἐπιτροπεύσαντα Λεωβώτεω, ἀδελφιδέου μὲν ἑωυτοῦ, βασιλεύοντος δὲ Σπαρτιητέων, ἐκ Κρήτης ἀγαγέσθαι ταῦτα. (5) Ὡς γὰρ ἐπετρόπευσε τάχιστα, μετέστησε τὰ νόμιμα πάντα, καὶ ἐφύλαξε ταῦτα μὴ παραβαίνειν. Μετὰ δὲ τὰ ἐς πόλεμον ἔχοντα, ἐνωμοτίας καὶ τριηκάδας καὶ συσσίτια, πρός τε τούτοισι τοὺς ἐφόρους καὶ γέροντας ἔστησε Λυκοῦργος.

LXVI. Οὕτω μὲν μεταβαλόντες εὐνομήθησαν, τῷ δὲ Λυκούργῳ τελευτήσαντι ἱρὸν εἰσάμενοι σέβονται μεγάλως. Οἷα δὲ ἔν τε χώρῃ ἀγαθῇ καὶ πλήθεϊ οὐκ ὀλίγων ἀνδρῶν, ἁνά τε ἕδραμον αὐτίκα καὶ εὐθενήθησαν. (2) Καὶ δή σφι οὐκέτι ἀπέχρα ἡσυχίην ἄγειν, ἀλλὰ καταφρονήσαντες Ἀρκάδων κρέσσονες εἶναι ἐχρηprofugiunt, ibi tum prudentissimo consilio usus est Pisistratus, quominus ordines redintegrarent Athenienses, sed dispersi manerent. Filios suos equis impositos præmisit; qui secuti fugientes, Pisistrati verbis bono animo esse juberent, et ad sua quemque abire.

LXIV. Ita, dicto parentibus Atheniensibus, Pisistratus tertio potitus Athenis, tyrannidem firmavit quum auxiliaribus multis, tum pecuniarum reditibus, quæ partim ex ipsa regione, partim a Strymone fluvio cogebantur. Filios quoque eorum Atheniensium, qui restiterant neque e vestigio fugam capessiverant, obsidum loco captos Naxum transtulit: nam etiam Naxum Pisistratus bello subegerat, et Lygdamidi tradiderat administrandam. Ad hæc Delum insulam ex oraculi responso expiaverat. Expiavit autem hoc modo: (2) quo usque prospectus templi pertinebat, ex tota ea regione effodienda cadavera curavit, et in alium insulæ locum transferenda. Ita Pisistratus Athenis regnabat: Atheniensium autem alii in prælio ceciderant, alii cum Alcmæonidis e patria terra profugerunt.

LXV. Talem igitur rerum statum per id tempus apud Athenienses obtinere audiverat Crœsus. Lacedæmonios vero rescivit, magnis malis defunctos, bello jam superiores esse Tegeatis. (2) Quippe, regnantibus Spartæ Leone et Hegesicle, quum cæteris in bellis feliciter rem gessissent Lacedæmonii, a Tegeatis solis cladem acceperant. Ac superioribus quidem temporibus et inter se invicem legibus usi erant pessimis fere omnium Græcorum, et cum aliis populis nullum habuerant commercium. Sed leges eorum in melius mutatæ sunt hoc modo. (3) Lycurgo, viro inter Spartanos probato, Delphos ad oraculum profecto, simulatque penetrale ingressus est, protinus Pythia hæcce profatur:

Ad mea venisti præpinguia templa, Lycurge,
grate Jovi et cunctis qui tecta tuentur Olympi.
Ambigo, te-ne deum jam nunc, hominemve, salutem:
sed multo magis esse deum te credo, Lycurge.

(4) Nonnulli præter hæc aiunt Pythiam eidem leges etiam et instituta ea tradidisse, quæ nunc apud Spartanos obtinent. At Lacedæmonii ipsi narrant, Lycurgum, quum fuisset tutor filii fratris sui Leobotæ, Spartanorum regis, e Creta hæc attulisse. (5) Simulatque enim tutor factus est, omnia jura immutavit, operamque dedit ne quis ea quæ ab ipso constituta essent transgrederetur. Deinde quæ ad bellum pertinent ordinavit, enomotias, triacadas [*quasi dicas cohortes moræ et phratrias triginta*] et syssitia; ad hæc ephoros et senatores instituit Lycurgus.

LXVI. Ita igitur legibus institutisque in melius mutatis usi sunt Lacedæmonii: vita autem functo Lycurgo templum statuerunt, et magnopere eundem colunt. Tum vero bonitate soli et cultorum frequentia factum est ut brevi incrementum caperent, opibusque augerentur. (2) Jamque quietem agere non contenti, quum Arcadibus præstantio-

στηριάζοντο ἐν Δελφοῖς ἐπὶ πάσῃ τῇ Ἀρκάδων χώρῃ. Ἡ δὲ Πυθίη σφι χρᾷ τάδε,

Ἀρκαδίην μ' αἰτεῖς; μέγα μ' αἰτεῖς· οὔ τοι δώσω.
Πολλοὶ ἐν Ἀρκαδίῃ βαλανηφάγοι ἄνδρες ἔασιν,
οἵ σ' ἀποκωλύσουσιν. Ἐγὼ δέ τοι οὐτι μεγαίρω.
Δώσω τοι Τεγέην ποσσίκροτον ὀρχήσασθαι
καὶ καλὸν πεδίον σχοίνῳ διαμετρήσασθαι.

(3) Ταῦτα ὡς ἀπενειχθέντα ἤκουσαν οἱ Λακεδαιμόνιοι, Ἀρκάδων μὲν τῶν ἄλλων ἀπείχοντο, οἱ δὲ πέδας φερόμενοι ἐπὶ Τεγεήτας ἐστρατεύοντο, χρησμῷ κιβδήλῳ πίσυνοι, ὡς δὴ ἐξανδραποδιεύμενοι τοὺς Τεγεήτας. (4) Ἐσσωθέντες δὲ τῇ συμβολῇ, ὅσοι αὐτῶν ἐζωγρήθησαν, πέδας τε ἔχοντες τὰς ἐφέροντο αὐτοὶ καὶ σχοίνῳ διαμετρησάμενοι τὸ πεδίον τὸ Τεγεητέων ἐργάζοντο. Αἱ δὲ πέδαι αὗται, ἐν τῇσι ἐδεδίατο, ἔτι καὶ ἐς ἐμὲ ἦσαν σόαι ἐν Τεγέῃ, περὶ τὸν νηὸν τῆς Ἀλέης Ἀθηναίης κρεμάμεναι.

LXVII. Κατὰ μὲν δὴ τὸν πρότερον πόλεμον συνεχέως αἰεὶ κακῶς ἀέθλεον πρὸς τοὺς Τεγεήτας, κατὰ δὲ τὸν κατὰ Κροῖσον χρόνον καὶ τὴν Ἀναξανδρίδεώ τε καὶ Ἀρίστωνος βασιληΐην ἐν Λακεδαίμονι ἤδη οἱ Σπαρτιῆται κατυπέρτεροι τῷ πολέμῳ ἐγεγόνεσαν, τρόπῳ τοιῷδε γενόμενοι. (2) Ἐπειδὴ αἰεὶ τῷ πολέμῳ ἐσσοῦντο ὑπὸ Τεγεητέων, πέμψαντες θεοπρόπους ἐς Δελφοὺς ἐπειρώτεον τίνα ἂν θεῶν ἱλασάμενοι κατύπερθε τῷ πολέμῳ Τεγεητέων γενοίατο. Ἡ δὲ Πυθίη σφι ἔχρησε τὰ Ὀρέστεω τοῦ Ἀγαμέμνονος ὀστέα ἐπαγαγομένους. (3) Ὡς δὲ ἀνευρέειν οὐκ οἷοί τε ἐγίνοντο τὴν θήκην τοῦ Ὀρέστεω, ἔπεμπον αὖτις ἐς θεὸν ἐπειρησομένους τὸν χῶρον ἐν τῷ κέοιτο ὁ Ὀρέστης. Εἰρωτέουσι δὲ ταῦτα τοῖσι θεοπρόποισι λέγει ἡ Πυθίη τάδε,

Ἔστι τις Ἀρκαδίης Τεγέη λευρῷ ἐνὶ χώρῳ,
ἔνθ' ἄνεμοι πνείουσι δύο κρατερῆς ὑπ' ἀνάγκης,
καὶ τύπος ἀντίτυπος, καὶ πῆμ' ἐπὶ πήματι κεῖται.
Ἔνθ' Ἀγαμεμνονίδην κατέχει φυσίζοος αἶα,
τὸν σὺ κομισσάμενος Τεγέης ἐπιτάρροθος ἔσσῃ.

(4) Ὡς δὲ καὶ ταῦτα ἤκουσαν οἱ Λακεδαιμόνιοι, ἀπεῖχον τῆς ἐξευρέσιος οὐδὲν ἔλασσον, πάντα διζήμενοι, ἐς οὗ δὴ Λίχης τῶν ἀγαθοεργῶν καλευμένων Σπαρτιητέων ἀνεῦρε. (5) Οἱ δὲ ἀγαθοεργοί εἰσι τῶν ἀστῶν, ἐξιόντες ἐκ τῶν ἱππέων αἰεὶ οἱ πρεσβύτατοι, πέντε ἔτεος ἑκάστου· τοὺς δεῖ τοῦτον τὸν ἐνιαυτὸν, τὸν ἂν ἐξίωσι ἐκ τῶν ἱππέων, Σπαρτιητέων τῷ κοινῷ διαπεμπομένους μὴ ἐλινύειν ἄλλους ἄλλῃ.

LXVIII. Τούτων ὦν τῶν ἀνδρῶν Λίχης ἀνεῦρε ἐν Τεγέῃ καὶ συντυχίῃ χρησάμενος καὶ σοφίῃ. Ἐούσης γὰρ τοῦτον τὸν χρόνον ἐπιμιξίης πρὸς τοὺς Τεγεήτας ἐλθὼν ἐς χαλκήϊον ἐθηεῖτο σίδηρον ἐξελαυνόμενον, καὶ ἐν θώματι ἦν ὁρέων τὸ ποιεύμενον. (2) Μαθὼν δέ μιν ὁ χαλκεὺς ἀποθωμάζοντα εἶπε παυσάμενος τοῦ ἔργου, « Ἦ κου ἄν, ὦ ξεῖνε Λάκων, εἰ περ εἶδες τό περ ἐγὼ, κάρτα ἂν ἐθώμαζες, ὅκου νῦν οὕτω τυγχάνεις θῶμα ποιεύμενος τὴν ἐργασίην τοῦ σιδήρου. (3) Ἐγὼ γὰρ ἐν τῇδε ἐθέλων τῇ αὐλῇ φρέαρ ποιήσασθαι, ὀρύσσων ἐπέτυχον

res esse arbitrarentur, de universa Arcadum regione oraculum Delphis consuluere. Quibus Pythia hæc respondit :

Me petis Arcadiam? Magnum petis : haud tibi tradam.
Multi apud Arcadiam vescentes glande viri sunt,
qui te rejicient. Nec vero invidero prorsus :
saltandam Tegeam planta plaudente daturus,
utque queas campum metiri fune feracem.

(3) Quod responsum ubi accepere Lacedæmonii, a cæteris quidem abstinuerunt Arcadibus, Tegeatis vero bellum intulerunt, compedes secum ferentes; videlicet captioso oraculo freti, tamquam redacturi Tegeatas in servitutem. (4) Verum prælio victi, quicumque eorum vivi sunt capti, hi eisdem compedibus vincti, quas ipsi secum attulerant, campumque Tegeatarum fune metientes, opus facere sunt coacti. Compedes autem illæ, quibus hi vincti erant, ad meam usque ætatem Tegeæ servatæ sunt, circa Minervæ Aleæ templum suspensæ.

LXVII. Ita quidem priore bello infeliciter semper pugnaverant cum Tegeatis : sed Crœsi ætate, regnum Lacedæmone tenentibus Anaxandrida et Aristone, superiores jam bello fuerant Spartani, idque tali ratione erant consecuti. (2) Quum in bello numquam non superarentur a Tegeatis, missis Delphos consultoribus sciscitati sunt oraculum, quemnam deorum placarent, ut bello superiores Tegeatis essent futuri. His Pythia respondit, tum futuros, quum ossa Orestis, filii Agamemnonis, ad se attulissent. (3) At loculum Orestis postquam reperire nullo pacto potuerunt, rursus ad deum mittunt sciscitaturos, quonam loco situs Orestes esset. Id interrogantibus consultoribus hæc respondit Pythia :

Est quædam Arcadiæ Tegea in regione patenti :
hic duo flant venti, vi pervehemente citati;
reppulsus pulsus, noxæ superindita noxa.
Hic Agamemnonides terra omniparente tenetur;
quo tu sublato, Tegeæ sperabere victor.

(4) Ubi hæc quoque audierunt Lacedæmonii, nihilo magis reperire potuerunt, omnia licet disquirentes : donec tandem Lichas, unus ex iis Spartanis qui (*benemeriti*) Agathoergi vocantur, invenit. (5) Sunt autem Benemeriti illi, cives e militia equestri egressi, ætate semper maximi, quinque quotannis : qui eo anno, quo ex equitibus exeunt, non debent otium agere, sed reipublicæ caussa Spartanorum alius alio dimittuntur.

LXVIII. Ex horum igitur hominum numero Lichas id quod quærebatur invenit Tegeæ, quum fortuna usus, tum solertia. Nam quum eo tempore jus commercii esset Lacedæmoniis cum Tegeatis, intrans ille Tegeæ in ferrariam officinam, spectabat ibi procudendi ferri rationem, mirabaturque id quod fieri videbat. (2) Cujus admirationem animadvertens faber, cessans ab opere ait : « Profecto magis quodammodo, hospes Laco, miratus fuisses, si id quod ego vidi, tu vidisses, qui nunc fabricationem ferri ita admiraris. (3) Hac ipsa enim in aula puteum quum facere voluissem, fodiendo incidi in loculum septem cubitorum.

σορῷ ἐπταπήχεϊ· ὑπὸ δὲ ἀπιστίης μὴ μὲν γενέσθαι μηδαμὰ μέζονας ἀνθρώπους τῶν νῦν, ἄνοιξα αὐτὴν καὶ εἶδον τὸν νεκρὸν μήκεϊ ἴσον ἐόντα τῇ σορῷ· μετρήσας δὲ συνέχωσα ὀπίσω. » (4) Ὁ μὲν δὴ οἱ ἔλεγε τά περ ὀπώπεε, ὁ δὲ ἐννώσας τὰ λεγόμενα συνεβάλλετο τὸν Ὀρέστεα κατὰ τὸ θεοπρόπιον τοῦτον εἶναι, τῇδε συμβαλλόμενος· τοῦ χαλκέος δύο ὀρέων φύσας τοὺς ἀνέμους εὕρισκε ἐόντας, τὸν δὲ ἄκμονα καὶ τὴν σφῦραν τόν τε τύπον καὶ τὸν ἀντίτυπον, τὸν δὲ ἐξελαυνόμενον σίδηρον τὸ πῆμα ἐπὶ πήματι κείμενον, κατὰ τοιόνδε τι εἰκάζων, ὡς ἐπὶ κακῷ ἀνθρώπου σίδηρος ἀνεύρηται. (5) Συμβαλλόμενος δὲ ταῦτα καὶ ἀπελθὼν ἐς Σπάρτην ἔφραζε Λακεδαιμονίοισι πᾶν τὸ πρῆγμα. Οἱ δὲ ἐκ λόγου πλαστοῦ ἐπενείκαντές οἱ αἰτίην ἐδίωξαν. (6) Ὁ δὲ ἀπικόμενος ἐς Τεγέην καὶ φράζων τὴν ἑωυτοῦ συμφορὴν πρὸς τὸν χαλκέα ἐμισθοῦτο παρ' οὐκ ἐκδιδόντος τὴν αὐλήν. Χρόνῳ δὲ ὡς ἀνέγνωσε, ἐνοικίσθη, ἀνορύξας δὲ τὸν τάφον καὶ τὰ ὀστέα συλλέξας οἴχετο φέρων ἐς Σπάρτην. (7) Καὶ ἀπὸ τούτου τοῦ χρόνου, ὅκως πειρῴατο ἀλλήλων, πολλῷ κατυπέρτεροι τῷ πολέμῳ ἐγίνοντο οἱ Λακεδαιμόνιοι· ἤδη δέ σφι καὶ ἡ πολλὴ τῆς Πελοποννήσου ἦν κατεστραμμένη.

LXIX. Ταῦτα δὴ ὧν πάντα πυνθανόμενος ὁ Κροῖσος ἔπεμπε ἐς Σπάρτην ἀγγέλους δῶρά τε φέροντας καὶ δεησομένους συμμαχίης, ἐντειλάμενός τε τὰ λέγειν χρῆν. Οἱ δὲ ἐλθόντες ἔλεγον, « ἔπεμψε ἡμέας Κροῖσος ὁ Λυδῶν τε καὶ ἄλλων ἐθνέων βασιλεὺς, λέγων τάδε, ὦ Λακεδαιμόνιοι, χρήσαντος τοῦ θεοῦ τὸν Ἕλληνα φίλον προσθέσθαι, ὑμέας γὰρ πυνθάνομαι προεστάναι τῆς Ἑλλάδος, ὑμέας ὧν κατὰ τὸ χρηστήριον προσκαλεῦμαι φίλος τε ἐθέλων γενέσθαι καὶ σύμμαχος ἄνευ τε δόλου καὶ ἀπάτης. » (2) Κροῖσος μὲν δὴ ταῦτα δι' ἀγγέλων ἐπεκηρυκεύετο, Λακεδαιμόνιοι δὲ ἀκηκοότες καὶ αὐτοὶ τὸ θεοπρόπιον τὸ Κροίσῳ γενόμενον ἥσθησάν τε τῇ ἀπίξι τῶν Λυδῶν καὶ ἐποιήσαντο ὅρκια ξεινίης πέρι καὶ ξυμμαχίης· καὶ γάρ τινες αὐτοὺς εὐεργεσίαι εἶχον ἐκ Κροίσου πρότερον ἔτι γεγονυῖαι. (3) Πέμψαντες γὰρ οἱ Λακεδαιμόνιοι ἐς Σάρδις χρυσὸν ὠνέοντο, ἐς ἄγαλμα βουλόμενοι χρήσασθαι τοῦτο τὸ νῦν τῆς Λακωνικῆς ἐν Θόρνακι ἵδρυται Ἀπόλλωνος· Κροῖσος δέ σφι ὠνεομένοισι ἔδωκε δωτίνην.

LXX. Τούτων τε ὧν εἵνεκεν οἱ Λακεδαιμόνιοι τὴν συμμαχίην ἐδέξαντο, καὶ ὅτι ἐκ πάντων σφέας προκρίνας Ἑλλήνων αἱρέετο φίλους. (2) Καὶ τοῦτο μὲν αὐτοὶ ἦσαν ἑτοῖμοι ἐπαγγείλαντι, τοῦτο δὲ ποιησάμενοι κρητῆρα χάλκεον ζῳδίων τε ἔξωθεν πλήσαντες περὶ τὸ χεῖλος καὶ μεγάθεϊ τριηκοσίους ἀμφορέας χωρέοντα ἄγον, δῶρον βουλόμενοι ἀντιδοῦναι Κροίσῳ. Οὗτος ὁ κρητὴρ οὐκ ἀπίκετο ἐς Σάρδις δι' αἰτίας διφασίας λεγομένας τάσδε. (3) Οἱ μὲν Λακεδαιμόνιοι λέγουσι ὡς ἐπείτε ἀγόμενος ἐς τὰς Σάρδις ὁ κρητὴρ ἐγίνετο κατὰ τὴν Σαμίην, πυθόμενοι Σάμιοι ἀπελοίατο αὐτὸν νηυσὶ μακρῇσι ἐπιπλώσαντες· αὐτοὶ δὲ Σάμιοι λέγουσι ὡς ἐπείτε ὑστέρησαν οἱ ἄγοντες τῶν Λακεδαιμονίων τὸν κρητῆρα, ἐπυνθάνοντο δὲ

Ego vero, quum persuadere omnino mihi non potuissem, fuisse umquam majores quam nunc sunt homines, aperui loculum, et vidi cadaver eadem cum loculo longitudine : cujus postquam mensuram cepi, rursus terra obrui. » (4) Hæc illo quæ viderat referente, Lichas narrata animo volvens, *conjectabat esse hunc Orestem, quem oraculum* dixisset. Conjectabat autem hac ratione. : duos videns fabri ferrarii folles, hos esse ventos illos reperiebat; incudem vero et malleum, pulsum illum et repulsum; procusum porro ferrum, noxam superinditam noxæ; quod quidem ex ea conjectabat ratione, quod in noxam hominis inventum esset ferrum. (5) Quæ quum ita ille conjectasset, Spartam abiit, totamque rem Lacedæmoniis exposuit. Tum illi ex composito fictum crimen homini inferentes, exilio eundem multant. (6) Qui Tegeam profectus, calamitatem suam rettulit fabro, cum eoque egit ut aulam sibi elocaret. Cui dic *quidem reluctanti quum ad extremum persuasisset, ibi* habitavit; moxque effosso sepulcro ossa collegit, Spartamque remigrans transportavit. (7) Quo ex tempore, quoties vires suas invicem tentarunt, semper superiores bello excessere Lacedæmonii : eisdemque jam major etiam pars Peloponnesi erat subjecta.

LXIX. Hæc igitur cuncta quum Crœsus comperisset, legatos Spartam misit dona ferentes, societatem petitum, quibus quæ dicere oporteret mandavit. Qui ubi advenere, his usi sunt verbis « : Misit nos Crœsus, Lydorum rex aliorumque populorum, hæc dicens : O Lacedæmonii, quoniam deus me per oraculum monuit, ut Græcum mihi adsciscerem socium, vos autem audio principatum tenere Græciæ, vos idcirco ex oraculi mandato invito, amicus esse cupiens et socius absque dolo et fraude. » (2) Hæc Crœsus per legatos nunciavit. Quorum adventu gavisi Lacedæmonii, qui et ipsi oraculum Crœso editum cognoverant : hospitium et societatem pacto fœdere cum eo contraxerunt; nam et antea jam beneficiis nonnullis a Crœso fuerant adfecti. (3) Sardes enim quum misissent Lacedæmonii ad *emendum aurum, quo usuri erant in* statuam hanc quæ Apollini posita nunc est in Thornace Laconiæ, Crœsus illud emturis dono dederat.

LXX. Quum hanc igitur ob caussam, tum quod ipsos reliquis omnibus præferens Græcis selegisset amicos, societatem belli admiserunt Lacedæmonii. (2) Ad quam non modo parati erant denuncianti, verum etiam craterem æneum fabricandum curarunt, multis imagunculis circa exterius labium ornatum, ea magnitudine ut trecentas caperet amphoras, quem ad Crœsum miserunt, dono hoc illum remuneraturi. Hic vero crater Sardes non pervenit, cujus rei caussa dupliciter narratur. (3) *Lacedæmonii* quidem aiunt, quum Sardes veheretur crater ille et prope Samum esset, Samios, re cognita, navibus longis advectos, eum intercepisse. Ipsi vero Samii aiunt, Lacedæmonios craterem advehentes, quum sero venissent et Sardes ex-

Σάρδις τε καὶ Κροῖσον ἡλωκέναι, ἀπέδοντο τὸν κρητῆρα ἐν Σάμῳ, ἰδιώτας δὲ ἄνδρας πριαμένους ἀναθεῖναί μιν ἐς τὸ Ἡραῖον· τάχα δὲ ἂν καὶ οἱ ἀποδόμενοι λέγοιεν ἀπικόμενοι ἐς Σπάρτην ὡς ἀπαιρεθείησαν ὑπὸ Σαμίων.

LXXI. Κατὰ μέν νυν τὸν κρητῆρα οὕτω ἔσχε, Κροῖσος δὲ ἁμαρτὼν τοῦ χρησμοῦ ἐποιέετο στρατηίην ἐς Καππαδοκίην, ἐλπίσας καταιρήσειν Κῦρόν τε καὶ τὴν Περσέων δύναμιν. (2) Παρασκευαζομένου δὲ Κροίσου στρατεύεσθαι ἐπὶ Πέρσας, τῶν τις Λυδῶν νομιζόμενος καὶ πρόσθε εἶναι σοφὸς, ἀπὸ δὲ ταύτης τῆς γνώμης καὶ τὸ κάρτα οὔνομα ἐν Λυδοῖσι ἔχων, συνεβούλευσε Κροίσῳ τάδε· οὔνομά οἱ ἦν Σάνδανις· (3) « ὦ βασιλεῦ, ἐπ' ἄνδρας τοιούτους στρατεύεσθαι παρασκευάζεαι, οἳ σκυτίνας μὲν ἀναξυρίδας, σκυτίνην δὲ τὴν ἄλλην ἐσθῆτα φορέουσι, σιτέονται δὲ οὐκ ὅσα ἐθέλουσι, ἀλλ' ὅσα ἔχουσι, χώρην ἔχοντες τρηχέαν· πρὸς δὲ οὐκ οἴνῳ διαχρέονται, ἀλλ' ὑδροποτέουσι, οὐ σῦκα δὲ ἔχουσι τρώγειν, οὐκ ἄλλο ἀγαθὸν οὐδέν. (4) Τοῦτο μὲν δὴ, εἰ νικήσεις, τί σφεας ἀπαιρήσεαι, τοῖσί γε μὴ ἔστι μηδέν; τοῦτο δὲ, ἢν νικηθῇς, μάθε ὅσα ἀγαθὰ ἀποβαλέεις· γευσάμενοι γὰρ τῶν ἡμετέρων ἀγαθῶν περιέξονται οὐδὲ ἀπωστοὶ ἔσονται. Ἐγὼ μέν νυν θεοῖσι ἔχω χάριν, οἳ οὐκ ἐπὶ νόον ποιεῦσι Πέρσῃσι στρατεύεσθαι ἐπὶ Λυδούς. » (5) Ταῦτα λέγων οὐκ ἔπειθε τὸν Κροῖσον· Πέρσῃσι γὰρ, πρὶν Λυδοὺς καταστρέψασθαι, ἦν οὔτε ἁβρὸν οὔτε ἀγαθὸν οὐδέν.

LXXII. Οἱ δὲ Καππαδόκαι ὑπ' Ἑλλήνων Σύριοι οὐνομάζονται· ἔσαν δὲ οἱ Σύριοι οὗτοι τὸ μὲν πρότερον ἦ Πέρσας ἄρξαι Μήδων κατήκοοι, τότε δὲ Κύρου. Ὁ γὰρ οὖρος ἦν τῆς τε Μηδικῆς ἀρχῆς καὶ τῆς Λυδικῆς ὁ Ἅλυς ποταμὸς, ὃς ῥέει ἐξ Ἀρμενίου οὔρεος διὰ Κιλίκων, μετὰ δὲ Ματιηνοὺς μὲν ἐν δεξιῇ ἔχει ῥέων, ἐκ δὲ τοῦ ἑτέρου Φρύγας· παραμειβόμενος δὲ τούτους καὶ ῥέων ἄνω πρὸς βορέην ἄνεμον ἔνθεν μὲν Συρίους Καππαδόκας ἀπέργει, ἐξ εὐωνύμου δὲ Παφλαγόνας. (2) Οὕτω ὁ Ἅλυς ποταμὸς ἀποτάμνει σχεδὸν πάντα τῆς Ἀσίης τὰ κάτω ἐκ θαλάσσης τῆς ἀντίον Κύπρου ἐς τὸν Εὔξεινον πόντον. Ἔστι δὲ αὐχὴν οὗτος τῆς χώρης ταύτης ἁπάσης· μῆκος ὁδοῦ εὐζώνῳ ἀνδρὶ πέντε ἡμέραι ἀναισιμοῦνται.

LXXIII. Ἐστρατεύετο δὲ ὁ Κροῖσος ἐπὶ τὴν Καππαδοκίην τῶνδε εἵνεκεν, καὶ γῆς ἱμέρῳ προσκτήσασθαι πρὸς τὴν ἑωυτοῦ μοῖραν βουλόμενος, καὶ μάλιστα τῷ χρηστηρίῳ πίσυνος ἐὼν καὶ τίσασθαι ἐθέλων ὑπὲρ Ἀστυάγεω Κῦρον. (2) Ἀστυάγεα γὰρ τὸν Κυαξάρεω, ἐόντα Κροίσου μὲν γαμβρὸν, Μήδων δὲ βασιλέα, Κῦρος ὁ Καμβύσεω καταστρεψάμενος εἶχε, γενόμενον γαμβρὸν Κροίσῳ ὧδε. (3) Σκυθέων τῶν νομάδων εἵλη ἀνδρῶν στασιάσασα ὑπεξῆλθε ἐς γῆν τὴν Μηδικήν· ἐτυράννευε δὲ τὸν χρόνον τοῦτον Μήδων Κυαξάρης ὁ Φραόρτεω τοῦ Δηϊόκεω, ὃς τοὺς Σκύθας τούτους τὸ μὲν πρῶτον περιεῖπε εὖ ὡς ἐόντας ἱκέτας, ὥστε δὲ περὶ πολλοῦ ποιεύμενος αὐτοὺς, παῖδάς σφι παρέδωκε τὴν γλῶσσάν τε ἐκμαθέειν καὶ τὴν τέχνην τῶν τόξων. (4) Χρόνου

pugnatas regemque captum esse comperissent, craterem in Samo insula vendidisse, privatosque homines suo ære emtum in Junonis templo consecrasse : fortasse autem hos, qui eum vendiderant, Spartam reversos, dixisse fuisse ipsis illum a Samiis vi ablatum.

LXXI. Ac de cratere quidem ita res se habuit. Crœsus vero, quum ab oraculi sententia aberrasset, Cappadociam bello invasit, Cyrum et Persarum potentiam eversurum se sperans. (2) Dum vero bellum adversus Persas Crœsus parabat, Lydorum aliquis, qui et jam ante habebatur sapiens, et ab hac, quam tunc dixit, sententia vel maxime etiam nomen est inter Lydos adeptus (Sandanis vocabatur) his verbis Crœsum admonuit : (3) « O rex, inquit, tales adversus homines tu bellum paras, qui coriaceas braccas et ex corio reliquam vestem gestant : qui comedunt non quantum volunt, sed quantum habent, aspero solo utentes : ad hæc non vino utuntur, sed aquam bibunt : non ficos habent quas comedant, nec aliud bonum ullum. (4) Hos igitur sive viceris, quid eis auferes, nihil habentibus? sin victus fueris, vide quot quantaque bona sis amissurus. Nostra enim bona postquam degustaverint, nolent ea e manibus dimittere, neque se abigi patientur. Equidem igitur diis habeo gratias, quod Persis non in animum inducunt bello invadere Lydos. » (5) Hæc ille dicens, Crœso non persuasit. Etenim Persis, priusquam Lydos subegissent, nihil delicati, nihil boni fuerat.

LXXII. Cappadoces illi a Græcis Syrii nominantur. Fuerant autem hi Syrii, priusquam Persæ obtinuissent imperium Medorum potestati subjecti : tunc vero Cyro parebant. Limes enim Medici imperii et Lydici Halys fluvius erat ; qui ex Armenio monte ortus per Ciliciam fluit, deinde a dextra Matienos habet, a sinistra Phrygas; quos præterlapsus versus boream sursum fluens, ab altera parte Syrios Cappadocas, a læva vero Paphlagonas disjungit. (2) Ita Halys fluvius omnem fere inferiorem disterminat Asiam, a mari quod Cypro oppositum est ad Pontum usque Euxinum ; estque hæc cervix totius hujus regionis : longitudinem quod attinet itineris, expedito viro quinque dies insumuntur.

LXXIII. Bellum autem Crœsus Cappadociæ intulit his de caussis : partim quidem potiundæ regionis illius desiderio, quam suæ adjicere ditioni cupiebat ; maxime vero, quod oraculo confisus ultionem capere de Cyro vellet Astyagis caussa. (2) Astyagem enim, Cyaxaris filium, Crœsi adfinem, Mediæ regem, Cyrus Cambysis filius bello victum captumque tenebat. Adfinis autem Crœsi factus erat Astyages hac ratione. (3) Scytharum nomadum turma per seditionem in terram Medicam secesserat, quo tempore Medis imperabat Cyaxares, Phraortæ filius, Dejocis nepos, qui Scythas istos, ut supplices advenientes, benigne exceperat. Idem, quum eos magni faceret, pueros eisdem tradidit, qui et linguam eorum et sagittandi artem addiscerent. (4) Inter-

δὲ γενομένου, καὶ αἰεὶ φοιτεόντων τῶν Σκυθέων ἐπ' ἄγρην καὶ αἰεί τι φερόντων, καί κοτε συνήνεικε ἐλίειν σφέας μηδέν· νοστήσαντας δὲ αὐτοὺς κεινῇσι χερσὶ ὁ Κυαξάρης (ἦν γὰρ, ὡς διέδεξε, ὀργὴν ἄκρος) τρηχέως κάρτα περιέσπε ἀεικίῃ. (5) Οἱ δὲ ταῦτα πρὸς Κυαξάρεω παθόντες, ὥστε ἀνάξια σφέων αὐτῶν πεπονθότες, ἐβουλεύσαντο τῶν παρὰ σφίσι διδασκομένων παίδων ἕνα κατακόψαι, σκευάσαντες δὲ αὐτὸν ὥσπερ ἐώθεσαν καὶ τὰ θηρία σκευάζειν, Κυαξάρεϊ δοῦναι φέροντες ὡς ἄγρην δῆθεν, δόντες δὲ τὴν ταχίστην κομίζεσθαι παρ' Ἀλυάττεα τὸν Σαδυάττεω ἐς Σάρδις. (6) Ταῦτα καὶ ἐγένετο· καὶ γὰρ Κυαξάρης καὶ οἱ παρεόντες δαιτυμόνες τῶν κρεῶν τούτων ἐπάσαντο, καὶ οἱ Σκύθαι ταῦτα ποιήσαντες Ἀλυάττεω ἱκέται ἐγένοντο.

LXXIV. Μετὰ δὲ ταῦτα (οὐ γὰρ δὴ ὁ Ἀλυάττης ἐξεδίδου τοὺς Σκύθας ἐξαιτέοντι Κυαξάρεϊ) πόλεμος τοῖσι Λυδοῖσι καὶ τοῖσι Μήδοισι ἐγεγόνεε ἐπ' ἔτεα πέντε, ἐν τοῖσι πολλάκις μὲν οἱ Μῆδοι τοὺς Λυδοὺς ἐνίκησαν, πολλάκις δὲ οἱ Λυδοὶ τοὺς Μήδους· ἐν δὲ καὶ νυκτομαχίην τινὰ ἐποιήσαντο. (2) Διαφέρουσι δέ σφι ἐπ' ἴσης τὸν πόλεμον τῷ ἕκτῳ ἔτεϊ συμβολῆς γενομένης συνήνεικε ὥστε τῆς μάχης συνεστεώσης τὴν ἡμέρην ἐξαπίνης νύκτα γενέσθαι. (3) Τὴν δὲ μεταλλαγὴν ταύτην τῆς ἡμέρης Θαλῆς ὁ Μιλήσιος τοῖσι Ἴωσι προηγόρευσε ἔσεσθαι, οὖρον προθέμενος ἐνιαυτὸν τοῦτον ἐν τῷ δὴ καὶ ἐγένετο ἡ μεταβολή. (4) Οἱ δὲ Λυδοί τε καὶ οἱ Μῆδοι ἐπείτε εἶδον νύκτα ἀντ' ἡμέρης γινομένην, τῆς μάχης τε ἐπαύσαντο καὶ μᾶλλόν τι ἔσπευσαν καὶ ἀμφότεροι εἰρήνην ἑωυτοῖσι γενέσθαι. Οἱ δὲ συμβιβάσαντες αὐτοὺς ἦσαν οἵδε, Συέννεσίς τε ὁ Κίλιξ καὶ Λαβύνητος ὁ Βαβυλώνιος. (5) Οὗτοί σφι καὶ τὸ ὅρκιον οἱ σπεύσαντες γενέσθαι ἦσαν, καὶ γάμων ἐπαλλαγὴν ἐποίησαν· Ἀλυάττεα γὰρ ἔγνωσαν δοῦναι τὴν θυγατέρα Ἀρύηνιν Ἀστυάγεϊ τῷ Κυαξάρεω παιδί· ἄνευ γὰρ ἀναγκαίης ἰσχυρῆς συμβάσιες ἰσχυραὶ οὐκ ἐθέλουσι συμμένειν. (6) Ὅρκια δὲ ποιέεται ταῦτα τὰ ἔθνεα τά περ τε Ἕλληνες, καὶ πρὸς τούτοισι, ἐπεὰν τοὺς βραχίονας ἐπιτάμωνται ἐς τὴν ὁμοχροίην, τὸ αἷμα ἀναλείχουσι ἀλλήλων.

LXXV. Τοῦτον δὴ ὦν τὸν Ἀστυάγεα Κῦρος ἐόντα ἑωυτοῦ μητροπάτορα καταστρεψάμενος ἔσχε δι' αἰτίην τὴν ἐγὼ ἐν τοῖσι ὀπίσω λόγοισι σημανέω· τὰ Κροῖσος ἐπιμεμφόμενος τῷ Κύρῳ ἐς τε τὰ χρηστήρια ἔπεμπε εἰ στρατεύηται ἐπὶ Πέρσας, καὶ δὴ καὶ ἀπικομένου χρησμοῦ κιβδήλου, ἐλπίσας πρὸς ἑωυτοῦ τὸν χρησμὸν εἶναι, ἐστρατεύετο ἐς τὴν Περσέων μοῖραν. (2) Ὡς δὲ ἀπίκετο ἐπὶ τὸν Ἅλυν ποταμὸν ὁ Κροῖσος, τὸ ἐνθεῦτεν, ὡς μὲν ἐγὼ λέγω, κατὰ τὰς ἑούσας γεφύρας διεβίβασε τὸν στρατὸν, ὡς δὲ ὁ πολλὸς λόγος Ἑλλήνων, Θαλῆς οἱ ὁ Μιλήσιος διεβίβασε. (3) Ἀπορέοντος γὰρ Κροίσου ὅκως οἱ διαβήσεται τὸν ποταμὸν ὁ στρατός (οὐ γὰρ δὴ εἶναί κω τοῦτον τὸν χρόνον τὰς γεφύρας ταύτας) λέγεται παρεόντα τὸν Θαλῆν ἐν τῷ στρατοπέδῳ ποιῆσαι αὐτῷ τὸν ποταμὸν ἐξ ἀριστερῆς χειρὸς ῥέοντα τοῦ στρατοῦ

jecto tempore, quum venatum semper exirent Scythæ, et nunquam non aliquid adferrent, accidit aliquando ut nihil caperent: quos vacuis manibus reversos Cyaxares, vir (ut tum ostendit) ad iram præceps, aspere admodum et contumeliose accepit. (5) Tum illi, indigne secum actum ægerrime ferentes, consilio habito decreverunt unum ex eis pueris, qui in ipsorum disciplinam dati essent, in frusta concidere, et eodem modo paratum quo ferinam parare consuevissent, Cyaxari tamquam feram a se captam adferre, protinusque inde ad Alyatten, Sadyattæ filium, Sardes sese recipere. (6) Atque ita etiam, ut illi decreverant, facta res est. Nam et Cyaxares, et qui cum eo erant convivæ, carnes istas gustarunt; et Scythæ, perpetrato facinore, ad Alyatten supplices venerunt.

LXXIV. Post hæc, quum Alyattes repetenti Cyaxari Scythas tradere nollet, bellum Lydos inter et Medos gestum est per quinque continuos annos: quo in bello Medi sæpe de Lydis, sæpe vero etiam de Medis Lydi victoriam retulerunt; semel etiam nocturno quodam prælio dimicarunt. (2) Scilicet pari utrimque fortuna bellum continuantibus accidit sexto anno, ut, postquam signa contulissent, jamque ferveret pugna, subito dies in noctem converteretur: (3) quam diei mutationem Thales Milesius Ionibus prædixerat, hunc ipsum annum præfiniens, quo facta est illa immutatio. (4) Lydi vero et Medi, quum loco diei subito noctem ingruere viderent, pugnandi finem fecerunt, et aliquanto etiam magis utrique componendæ paci cœperunt studere. Auctores vero conventionis hi erant, Syennesis Cilix, et Labynetus Babylonius; (5) quibus rem urgentibus factum est ut et fœdus inter partes pangeretur, et mutua jungerentur connubia: decreverunt quippe, ut Alyattes filiam suam Aryenin Astyagi, Cyaxaris filio, daret uxorem. Nam absque firmo necessitudinis vinculo non solent conventiones firmæ manere. (6) Fœdus autem sanciunt hi populi eodem ritu atque Græci, nisi quod præterea brachia incidunt summa in cute, et sanguinem mutuo lingunt.

LXXV. Hunc igitur Astyagem, avum suum maternum, Cyrus regno dejectum in sua potestate tenebat, eam ob causam quam in sequentibus exponam. Quo nomine Crœsus ei infensus, ad oracula miserat qui consulerent an bellum Persis inferret; et ambiguum responsum nactus, ratus sibi favere responsum, expeditionem in Persarum ditionem suscepit. (2) Ubi vero ad Halyn fluvium pervenit Crœsus, deinde, ut ego quidem aio, pontibus eis, qui ibi erant, copias traduxit; ut vero vulgo Græci narrant, Thales eas Crœso traduxit Milesius. (3) Dubitante enim rege quo pacto flumen transmitterent copiæ suæ (necdum enim eo tempore pontes hos exstitisse), Thaletem aiunt, quum in castris adesset, effecisse ut flumen, quod a læva exercitus fluebat, a

καὶ ἐκ δεξιῆς ῥέειν, ποιῆσαι δὲ ὧδε· (4) ἄνωθεν τοῦ στρατοπέδου ἀρξάμενον διώρυχα βαθέαν ὀρύσσειν, ἄγοντα μηνοειδέα, ὅκως ἂν τὸ στρατόπεδον ἱδρυμένον κατὰ νώτου λάβοι, ταύτῃ κατὰ τὴν διώρυχα ἐκτραπόμενος ἐκ τῶν ἀρχαίων ῥεέθρων, καὶ αὖτις παραμειβόμενος τὸ στρατόπεδον ἐς τὰ ἀρχαῖα ἐσβάλλοι, ὥστε ἐπείτε καὶ ἐσχίσθη τάχιστα ὁ ποταμὸς, ἀμφοτέρῃ διαβατὸς ἐγένετο. (5) Οἱ δὲ καὶ τὸ παράπαν λέγουσι καὶ τὸ ἀρχαῖον ῥέεθρον ἀποξηρανθῆναι. Ἀλλὰ τοῦτο μὲν οὐ προσίεμαι· κῶς γὰρ ὀπίσω πορευόμενοι διέβησαν αὐτόν;

LXXVI. Κροῖσος δὲ ἐπείτε διαβὰς σὺν τῷ στρατῷ ἀπίκετο τῆς Καππαδοκίης ἐς τὴν Πτερίην καλευμένην (ἡ δὲ Πτερίη ἐστὶ τῆς χώρης ταύτης τὸ ἰσχυρότατον, κατὰ Σινώπην πόλιν τὴν ἐν Εὐξείνῳ πόντῳ μάλιστά κη κειμένη), ἐνθαῦτα ἐστρατοπεδεύετο φθείρων τῶν Συρίων τοὺς κλήρους. (2) Καὶ εἶλε μὲν τῶν Πτερίων τὴν πόλιν καὶ ἠνδραποδίσατο, εἶλε δὲ τὰς περιοικίδας αὐτῆς πάσας, Συρίους τε οὐδὲν ἐόντας αἰτίους ἀναστάτους ἐποίησε. (3) Κῦρος δὲ ἀγείρας τὸν ἑωυτοῦ στρατὸν καὶ παραλαβὼν τοὺς μεταξὺ οἰκέοντας πάντας ἠντιοῦτο Κροίσῳ. Πρὶν δὲ ἐξελαύνειν ὁρμῆσαι τὸν στρατὸν, πέμψας κήρυκας ἐς τοὺς Ἴωνας ἐπειρᾶτό σφεας ἀπὸ Κροίσου ἀπιστάναι. (4) Ἴωνες μέν νυν οὐκ ἐπείθοντο, Κῦρος δὲ ὡς ἀπίκετο καὶ ἀντεστρατοπεδεύσατο Κροίσῳ, ἐνθαῦτα ἐν τῇ Πτερίῃ χώρῃ ἐπειρῶντο κατὰ τὸ ἰσχυρὸν ἀλλήλων. Μάχης δὲ καρτερῆς γενομένης καὶ πεσόντων ἀμφοτέρων πολλῶν, τέλος οὐδέτεροι νικήσαντες διέστησαν νυκτὸς ἐπελθούσης. Καὶ τὰ μὲν στρατόπεδα ἀμφότερα οὕτω ἠγωνίσατο.

LXXVII. Κροῖσος δὲ μεμφθεὶς κατὰ τὸ πλῆθος τὸ ἑωυτοῦ στράτευμα (ἦν γάρ οἱ ὁ συμβαλὼν στρατὸς πολλὸν ἐλάσσων ἢ ὁ Κύρου), τοῦτο μεμφθεὶς, ὡς τῇ ὑστεραίῃ οὐκ ἐπειρᾶτο ἐπιὼν ὁ Κῦρος, ἀπήλαυνε ἐς τὰς Σάρδις, ἐν νόῳ ἔχων παρακαλέσας μὲν Αἰγυπτίους κατὰ τὸ ὅρκιον (ἐποιήσατο γὰρ καὶ πρὸς Ἄμασιν βασιλεύοντα Αἰγύπτου συμμαχίην πρότερον ἤπερ πρὸς Λακεδαιμονίους), μεταπεμψάμενος δὲ καὶ Βαβυλωνίους (καὶ γὰρ πρὸς τούτους αὐτῷ ἐπεποίητο συμμαχίη), ἐτυράννευε δὲ τῶν Βαβυλωνίων τὸν χρόνον τοῦτον Λαβύνητος), ἐπαγγείλας δὲ καὶ Λακεδαιμονίοισι παρεῖναι ἐς χρόνον ῥητὸν, ἁλίσας τε δὴ τούτους καὶ τὴν ἑωυτοῦ συλλέξας στρατιὴν ἐννέωντο, τὸν χειμῶνα παρεὶς, ἅμα τῷ ἔαρι στρατεύειν ἐπὶ τοὺς Πέρσας. (2) Καὶ ὁ μὲν ταῦτα φρονέων, ὡς ἀπίκετο ἐς τὰς Σάρδις, ἔπεμπε κήρυκας κατὰ τὰς συμμαχίας προερέοντας ἐς πέμπτον μῆνα συλλέγεσθαι ἐς Σάρδις· τὸν δὲ παρεόντα καὶ μαχεσάμενον στρατὸν Πέρσῃσι, ὃς ἦν αὐτοῦ ξεινικὸς, πάντα ἀπεὶς διεσκέδασε, οὐδαμὰ ἐλπίσας μή κοτε ἄρα ἀγωνισάμενος οὕτω παραπλησίως Κῦρος ἐλάσῃ ἐπὶ Σάρδις.

LXXVIII. Ταῦτα ἐπιλεγομένῳ Κροίσῳ τὸ προάστειον πᾶν ὀφίων ἐνεπλήσθη· φανέντων δὲ αὐτῶν οἱ ἵπποι μετιέντες τὰς νομὰς νέμεσθαι, φοιτέοντες κατήdextra etiam flueret. Effecisse autem aiunt hunc in modum: (4) exorsum ab ea fluvii parte, quæ supra castra erat, altam effodisse fossam, et lunata specie ita duxisse, ut, postquam castra ad fluvium locata circuisset a tergo, flumen illac ex pristino alveo per fossam aversum, et castra rursus præterlapsum, in pristinum alveum influeret. Ita, simulatque divisum fuisset flumen, ab utraque parte permeabile factum esse. (5) Nonnulli vero etiam aiunt, pristinum alveum prorsus exaruisse. At mihi quidem hoc non persuadent; quo enim modo, quum reversi sunt, flumen transierunt?

LXXVI. Crœsus igitur, superato cum copiis fluvio, in eam Cappadociæ partem pervenit, quæ Pteria nominatur, estque totius hujus regionis pars validissima, ex adverso fere Sinopes urbis ad Pontum Euxinum sita. Ibi castris positis, prædia devastavit Syriorum, (2) et oppidum Pteriorum cepit in servitutemque redegit: cunctaque etiam finitima cepit oppida, Syriosque nihil commeritos funditus evertit. (3) Tum Cyrus, coactu exercitu, adsumtisque omnibus qui in medio incolebant, obviam Crœso ivit. Priusquam autem educere aggrederetur copias, caduceatores ad Iones misit solicitandos ut a Crœso deficerent. (4) Et Iones quidem non paruerunt: Cyrus vero ut advenit, castra Crœso opposuit; et ibidem in terra Pteria valido impetu vires invicem tentarunt. Acri prælio commisso, multis utrimque occisis, ad extremum, quum nox ingrueret, neutram in partem inclinante victoria discesserunt. Et hunc quidem in modum uterque exercitus pugnaverat.

LXXVII. Crœsus vero, quem copiarum suarum paucitatis pœnitebat: nam militum ejus, qui conflixerant, multo minor, quam Cyri, numerus fuerat: ea de caussa, quum postridie ejus diei Cyrus adgredi illum non conaretur, Sardes reversus est, habens in animo et Ægyptios evocare ex fœdere (quorum cum rege Amasi, prius quam cum Lacedæmoniis, fœdus inierat), et Babylonios arcessere (nam et cum his societatem armorum pepigerat; rex autem per id tempus Babyloniorum Labynetus erat), et Lacedæmoniis denunciare, ut ad definitum tempus adsint: denique hisce conjunctis, suisque ipsius copiis contractis, constituerat, simulatque præteriisset hiems, primo vere expeditionem in Persas suscipere. (2) Hæc ille animo agens, ut Sardes venit, nuncios misit ad socios, qui illis edicerent, ut ad quintum mensem Sardes convenirent. Præsentem vero exercitum, qui cum Persis pugnaverat, qui ibi aderat mercede conductus, omnem dimisit dispersitque; nequaquam ratus fore ut Cyrus, qui pari adeo Marte pugnasset, adversus Sardes copias suas duceret.

LXXVIII. Hæc dum secum reputat Crœsus, suburbana omnia serpentibus impleta sunt: quos equi, ut adparuerunt, omissis pascuis consuetis, accedentes deglutiebant. Id Crœso

σθιον. Ἰδόντι δὲ τοῦτο Κροίσῳ, ὥσπερ καὶ ἦν, ἔδοξε τέρας εἶναι· αὐτίκα δὲ ἔπεμπε θεοπρόπους ἐς τοὺς ἐξηγητὰς Τελμησέων. (2) Ἀπικομένοισι δὲ τοῖσι θεοπρόποισι καὶ μαθοῦσι πρὸς Τελμησέων τὸ ἐθέλει σημαίνειν τὸ τέρας, οὐκ ἐξεγένετο Κροίσῳ ἀπαγγεῖλαι· πρὶν γὰρ ἢ ὀπίσω σφέας ἀναπλῶσαι ἐς τὰς Σάρδις ἦλω ὁ Κροῖσος. (3) Τελμησέες μέντοι τάδε ἔγνωσαν, στρατὸν ἀλλόθροον προσδόκιμον εἶναι Κροίσῳ ἐπὶ τὴν χώρην, ἀπικόμενον δὲ τοῦτον καταστρέψεσθαι τοὺς ἐπιχωρίους, λέγοντες ὅφιν εἶναι γῆς παῖδα, ἵππον δὲ πολέμιόν τε καὶ ἐπήλυδα. (4) Τελμησέες μέν νυν ταῦτα ὑπεκρίναντο Κροίσῳ ἤδη ἡλωκότι, οὐδέν κω εἰδότες τῶν ἦν περὶ Σάρδις τε καὶ αὐτὸν Κροῖσον.

LXXIX. Κῦρος δὲ αὐτίκα ἀπελαύνοντος Κροίσου μετὰ τὴν μάχην τὴν γενομένην ἐν τῇ Πτερίῃ, μαθὼν ὡς ἀπελάσας μέλλοι Κροῖσος διασκεδᾶν τὸν στρατὸν, βουλευόμενος εὕρισκε πρῆγμά οἱ εἶναι ἐλαύνειν ὡς δύναιτο τάχιστα ἐπὶ τὰς Σάρδις, πρὶν ἢ τὸ δεύτερον ἁλισθῆναι τῶν Λυδῶν τὴν δύναμιν. (2) Ὡς δέ οἱ ταῦτα ἔδοξε, καὶ ἐποίεε κατὰ τάχος· ἐλάσας γὰρ τὸν στρατὸν ἐς τὴν Λυδίην αὐτὸς ἄγγελος Κροίσῳ ἐληλύθεε. (3) Ἐνταῦθα Κροῖσος ἐς ἀπορίην πολλὴν ἀπιγμένος, ὥς οἱ παρὰ δόξαν ἔσχε τὰ πρήγματα ἢ ὡς αὐτὸς κατεδόκεε, ὅμως τοὺς Λυδοὺς ἐξῆγε ἐς μάχην. (4) Ἦν δὲ τοῦτον τὸν χρόνον ἔθνος οὐδὲν ἐν τῇ Ἀσίῃ οὔτε ἀνδρηϊώτερον οὔτε ἀλκιμώτερον τοῦ Λυδίου. Ἡ δὲ μάχη σφέων ἦν ἀπ' ἵππων, δούρατά τε ἐφόρεον μεγάλα, καὶ αὐτοὶ ἔσαν ἱππεύεσθαι ἀγαθοί.

LXXX. Ἐς τὸ πεδίον δὲ συνελθόντων τοῦτο τὸ πρὸ τοῦ ἄστεός ἐστι τοῦ Σαρδιηνοῦ, ἐὸν μέγα τε καὶ ψιλόν (διὰ δὲ αὐτοῦ ποταμοὶ ῥέοντες καὶ ἄλλοι καὶ Ὕλλος συρρηγνῦσι ἐς τὸν μέγιστον, καλεύμενον δὲ Ἕρμον, ὃς ἐξ οὔρεος ἱροῦ μητρὸς Δινδυμήνης ῥέων ἐκδιδοῖ ἐς θάλασσαν κατὰ Φώκαιαν πόλιν), ἐνταῦθα ὁ Κῦρος ὡς εἶδε τοὺς Λυδοὺς ἐς μάχην τασσομένους, καταρρωδήσας τὴν ἵππον ἐποίησε Ἁρπάγου ὑποθεμένου ἀνδρὸς Μήδου τοιόνδε. (2) Ὅσαι τῷ στρατῷ τῷ ἑωυτοῦ εἵποντο σιτοφόροι τε καὶ σκευοφόροι κάμηλοι, ταύτας πάσας ἁλίσας καὶ ἀπελὼν τὰ ἄχθεα ἄνδρας ἐπ' αὐτὰς ἀνέβησε ἱππάδα στολὴν ἐσταλμένους, σκευάσας δὲ αὐτοὺς προσέταξε τῆς ἄλλης στρατιῆς προϊέναι πρὸς τὴν Κροίσου ἵππον, τῇ δὲ καμήλῳ ἕπεσθαι τὸν πεζὸν στρατὸν ἐκέλευε, ὄπισθε δὲ τοῦ πεζοῦ ἐπέταξε τὴν πᾶσαν ἵππον. (3) Ὡς δέ οἱ πάντες διετετάχατο, παραίνεσε τῶν μὲν ἄλλων Λυδῶν μὴ φειδομένους κτείνειν πάντα τὸν ἐμποδὼν γινόμενον, Κροῖσον δὲ αὐτὸν μὴ κτείνειν, μηδ' ἢν συλλαμβανόμενος ἀμύνηται. (4) Ταῦτα μὲν παραίνεσε, τὰς δὲ καμήλους ἔταξε ἀντία τῆς ἵππου τῶνδε εἵνεκεν· κάμηλον ἵππος φοβέεται, καὶ οὐκ ἀνέχεται οὔτε τὴν ἰδέην αὐτῆς ὁρέων οὔτε τὴν ὀδμὴν ὀσφραινόμενος. Αὐτοῦ δὴ ὧν τούτου εἵνεκεν ἐσεσόφιστο, ἵνα τῷ Κροίσῳ ἄχρηστον ᾖ τὸ ἱππικὸν, τῷ δή τι καὶ ἐπεῖχε ἑλλάμψεσθαι ὁ Λυδός. (5) Ὡς δὲ καὶ συνῄεσαν ἐς τὴν μάχην, ἐνταῦθα ὡς ὄσφραντο τάχιστα τῶν καμήλων οἱ

cernenti visum est, ut erat, esse portentum: itaque e vestigio misit qui haruspices consulerent Telmessenses. (2) Sed consultoribus Telmessum profectis, ibique quid significaret prodigium edoctis, non contigit, ut Crœso renunciare responsum possent; nam priusquam Sardes renavigassent, captus Crœsus erat. (3) Atqui Telmessenses ita censuerant, exercitum peregrinum ingressurum esse terram Crœsi, et incolas oppressurum: serpentes enim, aiebant, esse terræ filios; equos autem, hostes et advenas. (4) Et hæc quidem responderunt Telmessenses Crœso jam capto, sed nescii adhuc ipsi quid Sardibus ageretur aut quid Crœso accidisset.

LXXIX. At Cyrus certior factus Crœsum, quum continuo post pugnam in Pteria pugnatam copias suas domum reduceret, decrevisse post reditum dimittere copias, consilio inito intellexit e re sua esse, quam celerrime posset adversus Sardes ducere, priusquam Lydorum copiæ rursus collectæ essent. (2) Atque, ut ei visum erat, ita protinus fecit. Nam exercitum in Lydiam ducens, ipse nuncius Crœso advenit. (3) Ibi tum Crœsus in magnam consilii inopiam adductus, quum longe secus atque exspectaverat res cecidisset, tamen Lydos in prælium eduxit. (4) Erat autem ea ætate nullus Asiæ populus fortior, nec magis strenuus, quam Lydius. Pugnandi genus erat ex equis; hastasque gestabant prælongas, et equitandi inprimis erant periti.

LXXX. Quum in campo esset concursum, ante urbem Sardianam sito, magno et nudo, quem perfluentes cum alii amnes, tum Hyllus, perrumpunt omnes in eum qui maximus est, cui nomen Hermus; qui, e monte Matri Diudymenæ sacro ortus, in mare se exonerat juxta Phocæam urbem: hic ubi Lydos ad pugnandum instructos vidit Cyrus, reformidans equitatum, monitu Harpagi Medi tale iniit consilium. (2) Coactis omnibus quæ exercitum ipsius sequebantur camelis, vel frumentum vel vasa portantibus, sarcinas detraxit, et viros imposuit equestri cultu ornatos: quibus ita instructis præcepit, ut cæteras copias præirent adversus Crœsi equitatum; peditatum vero jussit camelorum aciem subsequi; denique post pedestrem aciem equitatum omnem locavit. (3) His omnibus ita ordinatis, edixit ne cui parcerent Lydorum cæterorum, sed occiderent cunctos qui resisterent, Crœsum vero ipsum non occiderent, ne si captus quidem repugnaret. (4) Hoc imperium dedit. Camelos autem adversus equitatum instruxit hac de caussa: camelum equus reformidat, edeo quidem ut nec speciem ejus intueri, nec odorem percipere sustineat. Ob id ipsum igitur rationem istam inierat, ut Crœso inutiles essent equestres copiæ, quibus vel maxime se prævaliturum Lydus cogitaverat. (5) Atque etiam, postquam ad pugnam concursum est, ibi tum equi, simulatque

ἵπποι καὶ εἶδον αὐτὰς, ὀπίσω ἀνέστρεφον, διέφθαρτό τε τῷ Κροίσῳ ἡ ἐλπίς. (6) Οὐ μέντοι οἵ γε Λυδοὶ τὸ ἐνθεῦτεν δειλοὶ ἦσαν, ἀλλ' ὡς ἔμαθον τὸ γινόμενον, ἀποθορόντες ἀπὸ τῶν ἵππων πεζοὶ τοῖσι Πέρσῃσι συνέβαλον. Χρόνῳ δὲ πεσόντων ἀμφοτέρων πολλῶν ἐτράποντο οἱ Λυδοὶ, κατειληθέντες δὲ ἐς τὸ τεῖχος ἐπολιορκεῦντο ὑπὸ τῶν Περσέων.

LXXXI. Τοῖσι μὲν δὴ κατεστήκεε πολιορκίη, Κροῖσος δὲ δοκέων οἱ χρόνον ἐπὶ μακρὸν ἔσεσθαι τὴν πολιορκίην ἔπεμπε ἐκ τοῦ τείχεος ἄλλους ἀγγέλους ἐς τὰς συμμαχίας· οἱ μὲν γὰρ πρότερον διεπέμποντο ἐς πέμπτον μῆνα προερέοντες συλλέγεσθαι ἐς Σάρδις, τούτους δὲ ἐξέπεμπε τὴν ταχίστην δέεσθαι βωθέειν ὡς πολιορκευμένου Κροίσου.

LXXXII. Ἐς τε δὴ ὧν τὰς ἄλλας ἔπεμπε συμμαχίας καὶ δὴ καὶ ἐς Λακεδαίμονα. Τοῖσι δὲ καὶ αὐτοῖσι τοῖσι Σπαρτιήτῃσι κατ' αὐτὸν τοῦτον τὸν χρόνον συνεπεπτώκεε ἔρις ἐοῦσα πρὸς Ἀργείους περὶ χώρου καλευμένου Θυρέης· τὰς γὰρ Θυρέας ταύτας ἐούσας τῆς Ἀργολίδος μοίρης ἀποταμόμενοι ἔσχον οἱ Λακεδαιμόνιοι. (2) Ἦν δὲ καὶ ἡ μέχρι Μαλεῶν ἡ πρὸς ἑσπέρην Ἀργείων, ἥ τε ἐν τῇ ἠπείρῳ χώρη καὶ ἡ Κυθηρίη νῆσος καὶ αἱ λοιπαὶ τῶν νήσων. (3) Βωθησάντων δὲ Ἀργείων τῇ σφετέρῃ ἀποταμνομένῃ, ἐνταῦθα συνέβησαν ἐς λόγους συνελθόντες ὥστε τριηκοσίους ἑκατέρων μαχέσασθαι, ὁκότεροι δ' ἂν περιγένωνται, τούτων εἶναι τὸν χῶρον· τὸ δὲ πλῆθος τοῦ στρατοῦ ἀπαλλάσσεσθαι ἑκάτερον ἐς τὴν ἑωυτοῦ μηδὲ παραμένειν ἀγωνιζομένων, τῶνδε εἵνεκεν, ἵνα μὴ παρεόντων τῶν στρατοπέδων ὁρέοντες οἱ ἕτεροι ἐσσουμένους τοὺς σφετέρους ἐπαμύνοιεν. (4) Συνθέμενοι ταῦτα ἀπαλλάσσοντο, λογάδες δὲ ἑκατέρων ὑπολειφθέντες συνέβαλον. Μαχομένων δέ σφεων καὶ γινομένων ἰσοπαλέων ὑπελείποντο ἐξ ἀνδρῶν ἑξακοσίων τρεῖς, Ἀργείων μὲν Ἀλκήνωρ τε καὶ Χρομίος, Λακεδαιμονίων δὲ Ὀθρυάδης· ὑπελείφθησαν δὲ οὗτοι νυκτὸς ἐπελθούσης. (5) Οἱ μὲν δὴ δύο τῶν Ἀργείων ὡς νενικηκότες ἔθεον ἐς τὸ Ἄργος, ὁ δὲ τῶν Λακεδαιμονίων Ὀθρυάδης σκυλεύσας τοὺς Ἀργείων νεκροὺς καὶ προσφορήσας τὰ ὅπλα πρὸς τὸ ἑωυτοῦ στρατόπεδον ἐν τῇ τάξι εἶχε ἑωυτόν. Ἡμέρῃ δὲ δευτέρῃ παρῆσαν πυνθανόμενοι ἀμφότεροι. (6) Τέως μὲν δὴ αὐτοὶ ἑκάτεροι ἔφασαν νικᾶν, λέγοντες οἱ μὲν ὡς ἑωυτῶν πλεῦνες περιγεγόνασι, οἱ δὲ τοὺς μὲν ἀποφαίνοντες πεφευγότας, τὸν δὲ σφέτερον παραμείναντα καὶ σκυλεύσαντα τοὺς ἐκείνων νεκρούς· τέλος δὲ ἐκ τῆς ἔριδος συμπεσόντες ἐμάχοντο, πεσόντων δὲ καὶ ἀμφοτέρων πολλῶν ἐνίκων Λακεδαιμόνιοι. (7) Ἀργεῖοι μέν νυν ἀπὸ τούτου τοῦ χρόνου κατακειράμενοι τὰς κεφαλὰς, πρότερον ἐπάναγκες κομέοντες, ἐποιήσαντο νόμον τε καὶ κατάρην μὴ πρότερον θρέψειν κόμην Ἀργείων μηδένα, μηδὲ τὰς γυναῖκας σφι χρυσοφορήσειν, πρὶν ἂν Θυρέας ἀνασώσωνται· Λακεδαιμόνιοι δὲ τὰ ἐναντία τούτων ἔθεντο νόμον· οὐ γὰρ κομέοντες πρὸ τοῦ ἀπὸ τούτου κομέειν. (8) Τὸν δὲ ἕνα λέγουσι τὸν περιλειφθέντα τῶν τριηκοσίων,

olfecerunt camelos conspexeruntque, protinus retro se averterunt, et elusa Crœso spes erat. (6) Nec vero idcirco Lydi continuo abjecere animos; sed, re cognita, ab equis desilientes, pedibus conflixere cum Persis. Postremo vero, multis utrimque cæsis, in fugam versi sunt Lydi: itaque intra murum compulsi, obsidebantur a Persis.

LXXXI. Dum vero obsidionem parant Persæ, Crœsus in longius processuram obsidionem ratus, alios ex arce nuncios mittit ad socios. Nam qui prius dimissi erant, hi ad coeundum Sardes quintum mensem edixerant: nunc hos emisit oratum, ut quam celerrime auxilia sibi mitterentur, quippe ab hostibus obsesso.

LXXXII. Igitur cum ad alios socios misit, tum ad Lacedæmonios. Per idem vero illud tempus ipsis etiam Spartanis acciderat ut contentionem haberent cum Argivis, de loco cui nomen Thyrea. Hasce quippe Thyreas, quum essent Argolicæ ditionis, Lacedæmonii Argivis ademtas tenebant. (2) Etenim Argivorum etiam erat ad Maleas usque regio ad occasum sita, cum in continente, tum insula Cytheria, reliquæque insulæ. (3) Igitur quum ad opem ferendam ademto suo territorio adcurrissent Argivi, in colloquium ibi convenerunt cum Lacedæmoniis, pactique sunt ut trecenti utrimque pugnarent, et, utri superiores excessissent, eorum regio foret; reliquus autem exercitus utrorumque domum discederet, neque præsto esset dum illi pugnarent; ea scilicet caussa, ne, si adessent exercitus, parti quam succumbentem alterutri viderent, auxilium sui ferrent. (4) His conventis disgressi sunt; selecti vero ex utrisque relicti, certamen inierunt: qui quum æquo Marte pugnassent, ex sexcentis tres omnino reliqui fuere; ex Argivis Alcenor et Chromius, ex Lacedæmoniis Othryades. Hi autem interveniente nocte supererant. (5) Duo igitur Argivi, ut qui vicissent, cursu Argos repetierunt; Lacedæmonius vero Othryades, spoliatis Argivorum cadaveribus, armisque in ipsius castra delatis, in statione mansit. Postridie utrique, re audita, advenere: (6) ac statim quidem utrique, vicisse se, contendebant; Argivi, dicentes suorum plures superfuisse; Lacedæmonii vero, illos profugisse demonstrantes, suum vero perstitisse, et cadavera spoliasse Argivorum. Ad extremum, ex contentione ad arma concurrentes, pugnam capessunt; et, multis utrimque cæsis, Lacedæmonii victores discedunt. (7) Quo ex tempore Argivi, tonsis capitibus, quum antea necessario comati essent, legem condiderunt, sese devoventes, ne prius comam aleret quisquam Argivorum, neve mulieres aurum gestarent, quam Thyreas recepissent. E contrario Lacedæmonii, quum antehac non comarentur, legem tulerunt, ut ab hoc tempore alerent comam. (8) Unum autem illum ex trecentis superstitem, Othryadem, aiunt pudore retentum ne

Ὀθρυάδεα, αἰσχυνόμενον ἀπονοστέειν ἐς Σπάρτην τῶν οἱ συλλοχιτέων διεφθαρμένων, αὐτοῦ μιν ἐν τῇσι Θυρέῃσι καταχρήσασθαι ἑωυτόν.

LXXXIII. Τοιούτων δὲ τοῖσι Σπαρτιήτῃσι ἐνεστεώτων πρηγμάτων ἦκε ὁ Σαρδιηνὸς κῆρυξ δεόμενος Κροίσῳ βωθέειν πολιορκευμένῳ. Οἱ δὲ ὅμως, ἐπείτε ἐπύθοντο τοῦ κήρυκος, ὡρμέατο βωθέειν. Καί σφι ἤδη παρεσκευασμένοισι, καὶ νεῶν ἑουσέων ἑτοίμων, ἦλθε ἄλλη ἀγγελίη, ὡς ἡλώκοι τὸ τεῖχος τῶν Λυδῶν καὶ ἔχοιτο Κροῖσος ζωγρηθείς. Οὕτω δὴ οὗτοι μὲν συμφορὴν ποιησάμενοι μεγάλην ἐπέπαυντο.

LXXXIV. Σάρδιες δὲ ἥλωσαν ὧδε. Ἐπειδὴ τεσσερεσκαιδεκάτη ἐγένετο ἡμέρη πολιορκευμένῳ Κροίσῳ, Κῦρος τῇ στρατιῇ τῇ ἑωυτοῦ, διαπέμψας ἱππέας, προεῖπε τῷ πρώτῳ ἐπιβάντι τοῦ τείχεος δῶρα δώσειν. (2) Μετὰ δὲ τοῦτο πειρησαμένης τῆς στρατιῆς, ὡς οὐ προεχώρεε, ἐνθαῦτα τῶν ἄλλων πεπαυμένων ἀνὴρ Μάρδος ἐπειρᾶτο προσβαίνων, τῷ οὔνομα ἦν Ὑροιάδης, κατὰ τοῦτο τῆς ἀκροπόλιος τῇ οὐδεὶς ἐτέτακτο φύλακος· οὐ γὰρ ἦν δεινὸν κατὰ τοῦτο μὴ ἁλῷ κοτέ. (3) Ἀπότομός τε γάρ ἐστι ταύτῃ ἡ ἀκρόπολις καὶ ἄμαχος· τῇ οὐδὲ Μήλης ὁ πρότερον βασιλεὺς Σαρδίων μούνῃ οὐ περιήνεικε τὸν λέοντα τόν οἱ ἡ παλλακὴ ἔτεκε, Τελμησέων δικασάντων ὡς περιενειχθέντος τοῦ λέοντος τὸ τεῖχος ἔσονται Σάρδιες ἀνάλωτοι. (4) Ὁ δὲ Μήλης κατὰ τὸ ἄλλο τεῖχος περιενείκας, τῇ ἦν ἐπίμαχον τὸ χωρίον τῆς ἀκροπόλιος, κατηλόγησε τοῦτο ὡς ἐὸν ἄμαχόν τε καὶ ἀπότομον· ἔστι δὲ πρὸς τοῦ Τμώλου τετραμμένον τῆς πόλιος. (5) Ὁ ὦν δὴ Ὑροιάδης οὗτος ὁ Μάρδος ἰδὼν τῇ προτεραίῃ τῶν τινὰ Λυδῶν κατὰ τοῦτο τῆς ἀκροπόλιος καταβάντα ἐπὶ κυνέην ἄνωθεν κατακυλισθεῖσαν καὶ ἀνελόμενον, ἐφράσθη καὶ ἐς θυμὸν ἐβάλετο. Τότε δὲ δὴ αὐτός τε ἀναβεβήκεε καὶ κατ' αὐτὸν ἄλλοι Περσέων ἀνέβαινον. Προσβάντων δὲ συχνῶν, οὕτω δὴ Σάρδιές τε ἡλώκεσαν καὶ πᾶν τὸ ἄστυ ἐπορθέετο.

LXXXV. Κατ' αὐτὸν δὲ Κροῖσον τάδε ἐγένετο. Ἦν οἱ παῖς, τοῦ καὶ πρότερον ἐπεμνήσθην, τὰ μὲν ἄλλα ἐπιεικὴς, ἄφωνος δέ. Ἐν τῇ ὦν παρελθούσῃ εὐεστοῖ ὁ Κροῖσος τὸ πᾶν ἐς αὐτὸν ἐπεποιήκεε ἄλλα τε ἐπιφραζόμενος καὶ δὴ καὶ ἐς Δελφοὺς περὶ αὐτοῦ ἐπεπόμφεε χρησομένους. (2) Ἡ δὲ Πυθίη οἱ εἶπε τάδε,

> Λυδὲ γένος, πολλῶν βασιλεῦ, μέγα νήπιε Κροῖσε,
> μὴ βούλευ πολύευκτον ἰὴν ἀνὰ δώματ' ἀκούειν
> παιδὸς φθεγγομένου. Τὸ δέ σοι πολὺ λώϊον ἀμφὶς
> ἔμμεναι· αὐδήσει γὰρ ἐν ἤματι πρῶτον ἀνόλβῳ.

Ἁλισκομένου δὲ τοῦ τείχεος, ἤϊε γάρ τῶν τις Περσέων ἀλλογνώσας Κροῖσον ὡς ἀποκτενέων, Κροῖσος μέν νυν ὀρέων ἐπιόντα ὑπὸ τῆς παρεούσης συμφορῆς παρημελήκεε, οὐδέ τί οἱ διέφερε πλησσόμενος ἀποθανέειν· (3) ὁ δὲ παῖς οὗτος ὁ ἄφωνος ὡς εἶδε ἐπιόντα τὸν Πέρσην, ὑπὸ δέους τε καὶ κακοῦ ἔρρηξε φωνὴν, εἶπε δὲ, « ὦνθρωπε, μὴ κτεῖνε Κροῖσον. » Οὗτος μὲν δὴ τοῦτο πρῶτον ἐφθέγξατο, μετὰ δὲ τοῦτο ἤδη ἐφώνεε τὸν πάντα χρόνον τῆς ζόης.

occisis commilitonibus Spartam rediret, illic apud Thyreas mortem sibi conscivisse.

LXXXIII. Hæc dum apud Spartanos aguntur, advenit Sardianus legatus, orans ut obsesso Crœso suppetias ferrent. Et illi nihilo minus, audito legato, ad succurrendum se accinxerunt. Sed quum jam parati essent, et in promtu starent naves, alius adfertur nuncius, arcem Lydorum expugnatam esse, Crœsumque vivum ab hostibus captum. Ita quidem Lacedæmonii, casum regis vehementer dolentes, auxilia mittere supersederunt.

LXXXIV. Expugnatæ autem sunt Sardes hoc maxime modo. Quartodecimo quam obsideri cœptæ erant die, Cyrus, dimissis per castra equitibus, edixerat copiis suis, dona se daturum ei qui murum primus conscendisset. (2) Mox periculo a militibus facto, postquam conatui non respondit successus, ibi tum, quiescentibus cæteris, vir Mardus genere, cui nomen Hyrœades, adscendere conatus est ea parte arcis, qua nulli locati custodes erant; quia non verendum visum erat, ne ab illa parte umquam arx caperetur. (3) Est enim ibi abrupta arx et inexpugnabilis : qua una etiam parte Meles, rex antiquus Sardium, non circumtulerat leonem, quem ipsi pellex pepererat; quum responsum edidissent Telmessenses, si leo ille circa murum circumferretur, inexpugnabiles fore Sardes. (4) Meles igitur circa reliquum murum circumferens, qua expugnabile munimentum arcis erat, hanc partem spreverat, ut inexpugnabilem et abruptam : est autem ea Tmolo opposita pars urbis. (5) Hyrœades igitur hic Mardus, quum pridie vidisset Lydorum aliquem ab illa parte arcis descendentem, recepturum galeam quæ superne devoluta erat, eandemque reportantem; advertens animum, deliberaverat secum. Tunc igitur et ipse adscendit, et ejus vestigia legentes plures Persarum adscendebant. Quum igitur frequenti numero adscendissent, ita Sardes captæ sunt, atque urbs omnis direpta.

LXXXV. Ad ipsum autem Crœsum quod spectat, gesta sunt hæcce. Erat ei filius, cujus etiam supra mentionem feci, cætera quidem non ineptus, sed mutus. Superiore igitur felici rerum statu omnia pro viribus fecerat Crœsus hujus pueri caussa, cum aliis initis rationibus, tum Delphos missis legatis qui super eo oraculum consulerent. (2) Responderat autem ei Pythia hæc :

> Lyde genus, rex multorum, valde inscie Crœse,
> ne cura gnati exoptatam audisse loquentis
> intra ædes vocem, sine qua mellus tibi longe :
> ille die quoniam primum infelice loquetur.

Nunc capta arce quum Persarum aliquis, cui ignotus Crœsus erat, illum peteret occisurus; Crœsus quidem, invadentem se conspiciens, ob præsentem casum insuper habuit, quum nihil ipsius interesset percussum oppetere mortem : (3) at puer hic mutus, ubi Persam vidit irruentem, præ metu doloreque rupit vocem, dixitque : « Homo, ne occide Crœsum ! » Sic igitur hic tum primum vocem edidit: et post hæc jam per omne vitæ tempus loquela usus est.

LXXXVI. Οἱ δὲ Πέρσαι τάς τε δὴ Σάρδις ἔσχον καὶ αὐτὸν Κροῖσον ἐζώγρησαν, ἄρξαντα ἔτεα τεσσερεσκαίδεκα καὶ τεσσερεσκαίδεκα ἡμέρας πολιορκηθέντα, κατὰ τὸ χρηστήριόν τε καταπαύσαντα τὴν ἑωυτοῦ μεγάλην ἀρχήν. Λαβόντες δὲ αὐτὸν οἱ Πέρσαι ἤγαγον παρὰ Κῦρον. (2) Ὁ δὲ συννήσας πυρὴν μεγάλην, ἀνεβίβασε ἐπ' αὐτὴν τὸν Κροῖσόν τε ἐν πέδῃσι δεδεμένον καὶ δὶς ἑπτὰ Λυδῶν παρ' αὐτὸν παῖδας, ἐν νόῳ ἔχων εἴτε δὴ ἀκροθίνια ταῦτα καταγιέειν θεῶν ὁτεῳδὴ, εἴτε καὶ εὐχὴν ἐπιτελέσαι θέλων, εἴτε καὶ πυθόμενος τὸν Κροῖσον εἶναι θεοσεβέα, τοῦδε εἵνεκεν ἀνεβίβασε ἐπὶ τὴν πυρὴν, βουλόμενος εἰδέναι εἴ τίς μιν δαιμόνων ῥύσεται τοῦ μὴ ζώοντα κατακαυθῆναι. (3) Τὸν μὲν δὴ ποιέειν ταῦτα· τῷ δὲ Κροίσῳ ἑστεῶτι ἐπὶ τῆς πυρῆς ἐσελθεῖν, καίπερ ἐν κακῷ ἐόντι τοσούτῳ, τὸ τοῦ Σόλωνος, ὡς οἱ εἴη σὺν θεῷ εἰρημένον, τὸ μηδένα εἶναι τῶν ζωόντων ὄλβιον. (4) Ὡς δὲ ἄρα μιν προσστῆναι τοῦτο, ἀνενεικάμενόν τε καὶ ἀναστενάξαντα ἐκ πολλῆς ἡσυχίης ἐς τρὶς οὐνομάσαι Σόλωνα. Καὶ τὸν Κῦρον ἀκούσαντα κελεῦσαι τοὺς ἑρμηνέας ἐπείρεσθαι τὸν Κροῖσον τίνα τοῦτον ἐπικαλέοιτο, καὶ τοὺς προσελθόντας ἐπειρωτᾶν. (5) Κροῖσον δὲ τέως μὲν σιγὴν ἔχειν εἰρωτεώμενον, μετὰ δὲ, ὡς ἠναγκάζετο, εἶπαι, « τὸν ἂν ἐγὼ πᾶσι τυράννοισι προετίμησα μεγάλων χρημάτων ἐς λόγους ἐλθεῖν. » Ὡς δέ σφι ἄσημα ἔφραζε, πάλιν ἐπειρώτεον τὰ λεγόμενα. (6) Αἰπαρεόντων δὲ αὐτῶν καὶ ὄχλον παρεχόντων ἔλεγε δὴ ὡς ἦλθε ἀρχὴν ὁ Σόλων ἐὼν Ἀθηναῖος, καὶ θηησάμενος πάντα τὸν ἑωυτοῦ ὄλβον ἀποφλαυρίσειε οἱ ἁδὴ εἴπας, ὥς τε αὐτῷ πάντα ἀποβεβήκοι τῇ περ ἐκεῖνος εἶπε, οὐδέν τι μᾶλλον ἐς ἑωυτὸν λέγων ἢ ἐς ἅπαν τὸ ἀνθρώπινον καὶ μάλιστα τοὺς παρὰ σφίσι αὐτοῖσι δοκέοντας ὀλβίους εἶναι. Τὸν μὲν Κροῖσον ταῦτα ἀπηγέεσθαι, τῆς δὲ πυρῆς ἤδη ἁμμένης καίεσθαι τὰ περιέσχατα. (7) Καὶ τὸν Κῦρον ἀκούσαντα τῶν ἑρμηνέων τὰ εἶπε Κροῖσος, μεταγνόντα τε καὶ ἐννώσαντα ὅτι καὶ αὐτὸς ἄνθρωπος ἐὼν ἄλλον ἄνθρωπον, γενόμενον ἑωυτοῦ εὐδαιμονίῃ οὐκ ἐλάσσω, ζώοντα πυρὶ διδοίη, πρός τε τούτοισι δείσαντα τὴν τίσιν καὶ ἐπιλεξάμενον ὡς οὐδὲν εἴη τῶν ἐν ἀνθρώποισι ἀσφαλέως ἔχον, κελεύειν σβεννύναι τὴν ταχίστην τὸ καιόμενον πῦρ καὶ καταβιβάζειν Κροῖσόν τε καὶ τοὺς μετὰ Κροίσου. Καὶ τοὺς πειρεωμένους οὐ δύνασθαι ἔτι τοῦ πυρὸς ἐπικρατῆσαι.

LXXXVII. Ἐνθαῦτα λέγεται ὑπὸ Λυδῶν Κροῖσον μαθόντα τὴν Κύρου μετάγνωσιν, ὡς ὥρα πάντα μὲν ἄνδρα σβεννύντα τὸ πῦρ, δυναμένους δὲ οὐκέτι καταλαβέειν, ἐπιβώσασθαι τὸν Ἀπόλλωνα ἐπικαλεύμενον, εἴ τί οἱ κεχαρισμένον ἐξ αὐτοῦ ἐδωρήθη, παραστῆναι καὶ ῥύσασθαί μιν ἐκ τοῦ παρεόντος κακοῦ. (2) Τὸν μὲν δακρύοντα ἐπικαλέεσθαι τὸν θεὸν, ἐκ δὲ αἰθρίης τε καὶ νηνεμίης συνδραμέειν ἐξαπίνης νέφεα καὶ χειμῶνά τε καταρραγῆναι καὶ ὖσαι ὕδατι λαβροτάτῳ, κατασβεσθῆναί τε τὴν πυρήν. (3) Οὕτω δὴ μαθόντα τὸν Κῦρον ὡς εἴη ὁ Κροῖσος καὶ θεοφιλὴς καὶ ἀνὴρ ἀγα-

LXXXVI. Persæ vero et Sardibus potiti erant, et Crœsum vivum ceperant, postquam regnaverat quattuordecim annos, totidemque dies erat obsessus; qui adeo ex oraculi responso finem imposuit magno suo imperio. Captum vero Persæ ad Cyrum duxerunt: (2) qui ingenti rogo, ad id ipsum exstructo, compedibus vinctum Crœsum jussit imponi, et circa eum bis septem Lydorum filios; sive primitias has deo alicui offerre habens in animo, sive votum aliquod persolvere; sive etiam religiosum esse Crœsum compererat, et rogo imposuit cupidus sciendi, an deus aliquis eum esset liberaturus, ne vivus combureretur. (3) Hoc quidem fecisse Cyrum aiunt; Crœso vero super pyram stanti in mentem venisse, quamquam cum tanta calamitate colluctanti, illud Solonis, quod sibi divino nutu fuisset dictum, Neminem viventem esse beatum. (4) Hoc ergo dictum ubi animum ejus subierit, post longum silentium fertur ex imo pectore vocem edidisse, et ingemiscens ter nominasse Solonem. Tum Cyrum, aiunt, hoc audito, jussisse interpretes e Crœso quærere, quis ille esset quem invocaret; illosque accedentes quæsivisse. (5) Sed Crœsum initio nihil iis respondisse; ad extremum vero, quum urgeretur, dixisse: « Is est qui ut omnibus regibus in colloquium veniret, ego ingenti pecuniarum copiæ prætulissem. » Cujus responsi vim quum parum illi intelligerent, denuo quærebant quid esset quod diceret. (6) Instantibus et operose urgentibus dixit demum quod res erat, quo pacto olim Solon ad se venisset Atheniensis, qui postquam omnes suas opes esset contemplatus, pro nihilo eas duxisset, talia scilicet loquutus, et ut sibi omnia evenerint prout ille dixisset; nec vero ea illum in se magis dixisse, quam in universum genus hominum, et in eos maxime qui sibi ipsis viderentur esse beati. Hæc dum Crœsus referebat, jam incenso rogo arsisse aiunt extrema circumcirca: (7) Cyrum vero, ubi ex interpretibus cognovit quæ Crœsus dixisset, pœnitentia ductum, cogitantemque quid esset quod, quum ipse homo esset, alium hominem, qui sese non inferior fuisset felicitate, vivum igni traderet, ad hæc veritum deorum vindictam, reputantemque quam nihil esset in rebus humanis stabile, ocyus restingui jussisse accensum ignem, Crœsumque et qui cum eo erant deduci; verum eos, quibus id mandatum esset, vim flammæ non amplius potuisse superare.

LXXXVII. Ibi tum Crœsum, aiunt Lydi, cognita Cyri mutatione sententiæ, quum cerneret omnes homines restinguendo igni dare operam, nec coercere illum posse, exclamantem invocasse Apollinem, si quod a se donum ei gratum fuisset oblatum, nunc sibi adesset et ex præsenti malo se liberaret. (2) Ita inter lacrimas deum invocante Crœso, repente nubes, quum serenum et tranquillum adhuc fuisset cœlum, esse contractas; coortaque tempestate, et vehementissimo effuso imbre, ignem esse exstinctum. (3) Tum Cyrum, qui ita intellexisset et deo acceptum et bo-

θὸς, καταβιβάσαντα αὐτὸν ἀπὸ τῆς πυρῆς εἵρεσθαι τάδε, « Κροῖσε, τίς σε ἀνθρώπων ἀνέγνωσε ἐπὶ γῆν τὴν ἐμὴν στρατευσάμενον πολέμιον ἀντὶ φίλου ἐμοὶ καταστῆναι; » (4) Ὁ δὲ εἶπε, « ὦ βασιλεῦ, ἐγὼ ταῦτα ἔπρηξα τῇ σῇ μὲν εὐδαιμονίῃ, τῇ ἐμεωυτοῦ δὲ κακοδαιμονίῃ. Αἴτιος δὲ τούτων ἐγένετο ὁ Ἑλλήνων θεὸς ἐπαείρας ἐμὲ στρατεύεσθαι. Οὐδεὶς γὰρ οὕτω ἀνόητός ἐστι ὅστις πόλεμον πρὸ εἰρήνης αἱρέεται· ἐν μὲν γὰρ τῇ οἱ παῖδες τοὺς πατέρας θάπτουσι, ἐν δὲ τῷ οἱ πατέρες τοὺς παῖδας. Ἀλλὰ ταῦτα δαίμοσί κου φίλον ἦν οὕτω γενέσθαι. »

LXXXVIII. Ὁ μὲν ταῦτα ἔλεγε, Κῦρος δὲ αὐτὸν λύσας κάτισέ τε ἐγγὺς ἑωυτοῦ καὶ κάρτα ἐν πολλῇ προμηθίῃ εἶχε, ἀπεθώμαζέ τε ὁρέων καὶ αὐτὸς καὶ οἱ περὶ ἐκεῖνον ἐόντες πάντες. (2) Ὁ δὲ συννοίῃ ἐχόμενος ἡσυχος ἦν. Μετὰ δὲ ἐπιστραφείς τε καὶ ἰδόμενος τοὺς Πέρσας τὸ τῶν Λυδῶν ἄστυ κεραίζοντας εἶπε, « ὦ βασιλεῦ, κότερον λέγειν πρὸς σὲ τὰ νοέων τυγχάνω ἢ σιγᾶν ἐν τῷ παρεόντι χρή; » Κῦρος δέ μιν θαρσέοντα ἐκέλευε λέγειν ὅ τι βούλοιτο. Ὁ δὲ αὐτὸν εἰρώτα λέγων, « οὗτος ὁ πολλὸς ὅμιλος τί ταῦτα σπουδῇ πολλῇ ἐργάζεται »; (3) Ὁ δὲ εἶπε, « πόλιν τε τὴν σὴν διαπράζει καὶ χρήματα τὰ σὰ διαφορέει. » Κροῖσος δὲ ἀμείβετο, « οὔτε πόλιν τὴν ἐμὴν οὔτε χρήματα τὰ ἐμὰ διαρπάζει· οὐδὲν γὰρ ἐμοὶ ἔτι τούτων μέτα· ἀλλὰ φέρουσί τε καὶ ἄγουσι τὰ σά. »

LXXXIX. Κύρῳ δὲ ἐπιμελὲς ἐγένετο τὰ Κροῖσος εἶπε· μεταστησάμενος δὲ τοὺς ἄλλους, εἴρετο Κροῖσον ὅ τι οἱ ἐνορῴη ἐν τοῖσι ποιευμένοισι. Ὁ δὲ εἶπε, « ἐπείτε με θεοὶ ἔδωκαν δοῦλόν σοι, δικαιῶ, εἴ τι ἐνορέω πλέον, σημαίνειν σοι. (2) Πέρσαι φύσιν ἐόντες ὑβρισταὶ εἰσὶ ἀχρήματοι. Ἢν ὦν σὺ τούτους περιίδῃς διαρπάσαντας καὶ κατασχόντας χρήματα μεγάλα, τάδε τοι ἐξ αὐτῶν ἐπίδοξα γενέσθαι· ὃς ἂν αὐτῶν πλεῖστα κατάσχῃ, τοῦτον προσδέχεσθαί τοι ἐπαναστησόμενον. (3) Νῦν ὦν ποίησον ὧδε, εἴ τοι ἀρέσκει τὰ ἐγὼ λέγω. Κάτισον τῶν δορυφόρων ἐπὶ πάσῃσι τῇσι πύλῃσι φυλάκους, οἳ λεγόντων πρὸς τοὺς ἐκφέροντας τὰ χρήματα ἀπαιρεόμενοι ὡς σφεα ἀναγκαίως ἔχει δεκατευθῆναι τῷ Διί. Καὶ σύ τέ σφι οὐκ ἀπεχθήσεαι βίῃ ἀπαιρεόμενος τὰ χρήματα, καὶ ἐκεῖνοι συγγνόντες ποιέειν σε δίκαια ἑκόντες προήσουσι. »

XC. Ταῦτα ἀκούων ὁ Κῦρος ὑπερήδετο, ὡς οἱ ἐδόκεε εὖ ὑποτίθεσθαι· αἰνέσας δὲ πολλὰ, καὶ ἐντειλάμενος τοῖσι δορυφόροισι τὰ Κροῖσος ὑπεθήκατο ἐπιτελέειν, εἶπε πρὸς Κροῖσον τάδε, « Κροῖσε, ἀναρτημένου σεῦ ἀνδρὸς βασιλέος χρηστὰ ἔργα καὶ ἔπεα ποιέειν, αἰτέρ δόσιν ἤντινα βούλεαί τοι γενέσθαι παραυτίκα. » (2) Ὁ δὲ εἶπε, « ὦ δέσποτα, ἐάσας με χαριέαι μάλιστα τὸν θεὸν τῶν Ἑλλήνων, τὸν ἐγὼ ἐτίμησα θεῶν μάλιστα, ἐπείρεσθαι, πέμψαντα τάσδε τὰς πέδας, εἰ ἐξαπατᾶν τοὺς εὖ ποιεῦντας νόμος ἐστί οἱ. » (3) Κῦρος δὲ εἴρετο ὅ τι οἱ τοῦτο ἐπαγορεύων παραιτέοιτο. Κροῖσος δέ οἱ ἐπαλιλλόγησε πᾶσαν τὴν ἑωυτοῦ διάνοιαν καὶ

num virum esse Crœsum, a rogo ad se jussisse eum deduci, atque in hunc modum interrogasse : « quis tibi hominum, Crœse, persuasit, ut irruptione meam in ditionem facta hostis mihi quam amicus esse malueris? » (4) Cui ille respondit : « hæc ego, o rex, feci tuo prospero, meo infausto fato. Caussa autem incepti fuit Græcorum deus, qui me ad bellum impulit suscipiendum. Nemo enim ita amens est, ut bellum præferat paci, quum in hac filii sepeliant patres, in illo autem a patribus filii sepeliantur. Sed, hæc ut ita fierent, diis puto placuerat. »

LXXXVIII. Hæc postquam Crœsus locutus est, Cyrus vinculis solutum prope se jussit adsidere, et plurima eum observantia prosequebatur, intuensque mirabatur eum, cum ipse, tum omnes qui cum eo erant. (2) At ille, cogitabundus, silentium tenuit. Deinde vero conversus, ubi Persas vidit Lydorum urbem vastantes, « Utrum eloqui tibi, inquit, o rex, quod nunc sentio, an tacere hoc in tempore debeo? » Quem ubi Cyrus fidenter quæ vellet dicere jussit, interrogans ille eum, ait : « Ingens hæc hominum turba quid tandem tanto studio facere properat. ? » (3) Tum rex, « Urbem, inquit, tuam diripit, et opes tuas dissipat. » At Crœsus respondit : « Neque meam urbem, nec meas opes diripit; nihil enim horum amplius ad me pertinet : sed tua agunt feruntque. »

LXXXIX. Advertit hoc Crœsi dictum animum Cyri : itaque remotis cæteris interrogavit Crœsum, quid animadverteret utile ipsi in his, quæ fierent? Tum ille : « Quoniam dii, inquit, me tibi servum tradiderunt, æquum censeo ut, si quid melius in rebus video, id tibi indicem. (2) Persæ natura protervi sunt, iidemque inopes. Quodsi igitur hos passus fueris raptam ingentem pecuniæ vim sibi retinere, hoc tibi ab his credibile est eventurum : ut quisque istorum plurimis opibus fuerit potitus, ita maxime exspectare debebis hunc adversus te insurrecturum. (3) Nunc igitur ita fac, si tibi placuerit quod ego dico. Adpone ad omnes portas custodes ex satellitibus, qui exportantibus res auferant, dicentes, necesse esse ut earum decimæ Jovi offerantur. Sic nec tu in odium illorum incurres, per vim eis res auferendo; et illi, justa te facere intelligentes, facient non inviti. »

XC. Hæc audiens Cyrus supra modum gavisus est, ita illi bene monita videbantur. Igitur valde laudato Crœso, jussisque satellitibus exsequi quæ ille monuerat, his verbis eum est adlocutus : « Crœse, quoniam hoc tibi institutum est, ut viri regis bene facta dictaque exsequaris, pete quidquid muneris a me volueris in præsentia tibi dari. » (2) Et ille : « Domine, inquit, maxime gratum mihi feceris, si siveris me deum Græcorum, quem maxime omnium veneratus eram, missis hisce compedibus interrogare, Numquid illi fas sit bene de ipso meritos decipere? » (3) Quærenti dein Cyro, quid rei esset, de qua illum accusans hanc a se gratiam peteret; altius repetens Crœsus, consilia

τῶν χρηστηρίων τὰς ὑποκρίσις καὶ μάλιστα τὰ ἀναθήματα, καὶ ὡς ἐπαρθεὶς τῷ μαντηίῳ ἐστρατεύσατο ἐπὶ Πέρσας. Λέγων δὲ ταῦτα, κατέβαινε αὖτις παραιτεόμενος ἐπεῖναί οἱ τῷ θεῷ τούτων ὀνειδίσαι. (4) Κῦρος δὲ γελάσας εἶπε, « καὶ τούτου τεύξεαι παρ' ἐμεῦ, Κροῖσε, καὶ ἄλλου παντὸς τοῦ ἂν ἑκάστοτε δέῃ. » Ὡς δὲ ταῦτα ἤκουσε ὁ Κροῖσος, πέμπων τῶν Λυδῶν ἐς Δελφοὺς ἐνετέλλετο τιθέντας τὰς πέδας ἐπὶ τοῦ νηοῦ τὸν οὐδὸν εἰρωτᾶν εἰ οὐ τι ἐπαισχύνεται τοῖσι μαντηίοισι ἐπαείρας Κροῖσον στρατεύεσθαι ἐπὶ Πέρσας ὡς καταπαύσοντα τὴν Κύρου δύναμιν, ἀπ' ἧς οἱ ἀκροθίνια τοιαῦτα γενέσθαι, δεικνύντας τὰς πέδας· ταῦτά τε ἐπειρωτᾶν, καὶ εἰ ἀχαρίστοισι νόμος εἶναι τοῖσι Ἕλληνικοῖσι θεοῖσι.

XCI. Ἀπικομένοισι δὲ τοῖσι Λυδοῖσι καὶ λέγουσι τὰ ἐντεταλμένα τὴν Πυθίην λέγεται εἶπαι τάδε, « τὴν πεπρωμένην μοῖραν ἀδύνατά ἐστι ἀποφυγέειν καὶ θεῷ. Κροῖσος δὲ πέμπτου γονέος ἁμαρτάδα ἐξέπλησε, ὃς ἐὼν δορυφόρος Ἡρακλειδέων, δόλῳ γυναικηίῳ ἐπισπόμενος ἐφόνευσε τὸν δεσπότεα καὶ ἔσχε τὴν ἐκείνου τιμὴν οὐδέν οἱ προσήκουσαν. (2) Προθυμεομένου δὲ Λοξίεω ὅκως ἂν κατὰ τοὺς παῖδας τοὺς Κροίσου γένοιτο τὸ Σαρδίων πάθος καὶ μὴ κατ' αὐτὸν Κροῖσον, οὐκ οἷός τε ἐγένετο παραγαγεῖν μοίρας. Ὅσον δὲ ἐνέδωκαν αὗται, ἤνυσέ τε καὶ ἐχαρίσατό οἱ· τρία γὰρ ἔτεα ἐπανεβάλετο τὴν Σαρδίων ἅλωσιν, καὶ τοῦτο ἐπιστάσθω Κροῖσος ὡς ὕστερον τοῖσι ἔτεσι τούτοισι ἁλοὺς τῆς πεπρωμένης. (3) Δεύτερα δὲ τούτων καιομένῳ αὐτῷ ἐπήρκεσε. Κατὰ δὲ τὸ μαντήϊον τὸ γενόμενον οὐκ ὀρθῶς Κροῖσος μέμφεται. Προηγόρευε γάρ οἱ Λοξίης, ἢν στρατεύηται ἐπὶ Πέρσας, μεγάλην ἀρχὴν αὐτὸν καταλύσειν. Τὸν δὲ πρὸς ταῦτα χρῆν εὖ μέλλοντα βουλεύεσθαι ἐπείρεσθαι πέμψαντα κότερα τὴν ἑωυτοῦ ἢ τὴν Κύρου λέγοι ἀρχήν. Οὐ συλλαβὼν δὲ τὸ ῥηθὲν οὐδ' ἐπανειρόμενος ἑωυτὸν αἴτιον ἀποφαινέτω. (4) Τῷ καὶ τὸ τελευταῖον χρηστηριαζομένῳ εἶπε τὰ εἶπε Λοξίης περὶ ἡμιόνου· οὐδὲ τοῦτο συνέλαβε. Ἦν γὰρ δὴ ὁ Κῦρος οὗτος ἡμίονος· ἐκ γὰρ δυοῖν οὐκ ὁμοεθνέων ἐγεγόνεε, μητρὸς ἀμείνονος, πατρὸς δὲ ὑποδεεστέρου· ἡ μὲν γὰρ ἦν Μηδὶς καὶ Ἀστυάγεω θυγάτηρ τοῦ Μήδων βασιλέος, ὁ δὲ Πέρσης τε ἦν καὶ ἀρχόμενος ὑπ' ἐκείνοισι καὶ ἐνερθε ἐὼν τοῖσι ἅπασι δεσποίνῃ τῇ ἑωυτοῦ συνοίκεε. » (5) Ταῦτα μὲν ἡ Πυθίη ὑπεκρίνατο τοῖσι Λυδοῖσι, οἱ δὲ ἀνήνεικαν ἐς Σάρδις καὶ ἀπήγγειλαν Κροίσῳ. Ὁ δὲ ἀκούσας συνέγνω ἑωυτοῦ εἶναι τὴν ἁμαρτάδα καὶ οὐ τοῦ θεοῦ. Κατὰ μὲν δὴ τὴν Κροίσου τε ἀρχὴν καὶ Ἰωνίης τὴν πρώτην καταστροφὴν ἔσχε οὕτω.

XCII. Κροίσῳ δέ ἐστι καὶ ἄλλα ἀναθήματα ἐν τῇ Ἑλλάδι πολλὰ καὶ οὐ τὰ εἰρημένα μοῦνα. Ἐν μὲν γὰρ Θήβῃσι τῇσι Βοιωτῶν τρίπους χρύσεος, τὸν ἀνέθηκε τῷ Ἀπόλλωνι τῷ Ἰσμηνίῳ, ἐν δὲ Ἐφέσῳ αἵ τε βόες αἱ χρύσεαι καὶ τῶν κιόνων αἱ πολλαί, ἐν δὲ Προνηίης τῆς ἐν Δελφοῖσι ἀσπὶς χρυσέη μεγάλη. (2) Ταῦτα

sua omnia exposuit, et oraculorum responsa, maximeque donaria deo a se dicata, et quo pacto concitatus oraculi responso bellum adversus Persas suscepisset. Hæc commemorans eo devenit ut preces suas repeteret, nimirum ut sibi liceret ista exprobrare deo. (4) Cui adridens Cyrus, « Et hoc, inquit, a me impetrabis, et quidquid aliud idemtidem a me rogaveris. » His auditis Crœsus Lydorum nonnullos Delphos misit, jussos positis ad templi limen compedibus sciscitari, annon puderet deum, quod oraculi responsis excitasset Crœsum ad bellum Persis inferendum, injecta spe eversurum eum esse Cyri potentiam, unde tales ipsi primitiæ evenissent? nempe compedes ei ostenderent. Hoc igitur sciscitari jussi sunt, et, num fas sit diis Græcorum, esse ingratis.

XCI. Lydis illuc profectis ac mandata exsecutis, Pythia fertur ita respondisse : « Sortem fato destinatam effugere etiam deus non potest. Crœsus autem quinti genitoris peccatum luit; qui quum satelles fuisset Heraclidarum, mulieris dolo obsecutus, interemit dominum, illiusque dignitate potitus est, nihil ad ipsum pertinente. (2) Quamvis autem studuerit Apollo, ut ista Sardium calamitas incideret filiorum Crœsi ætate, non vivente ipso Crœso, mutare tamen fata non potuit : sed, quantum illa permiserunt, tantum effecit, eique gratificatus est. Nam tribus annis distulit Sardium expugnationem : et hoc sciat Crœsus, tribus post annis, quam fata destinarant, captum se esse. (3) Secundo loco quum in eo esset ut igne cremaretur, opem ei tulit. Jam quod ad oraculum spectat, immerito Crœsus deum accusat. Prædixerat enim ei Apollo, si bellum Persis inferret, fore ut ingens everteret imperium. Crœsus autem ad hæc, si recte sibi consulere voluisset, debuerat denuo mittere sciscitatum, suumne, an Cyri imperium dixerit deus? Igitur quum non intellexerit responsum, nec denuo quæsierit, sibi ipsi tribuat culpam. (2) Eidem vere etiam postremum consulenti respondit Apollo ea quæ de mulo respondit : at ille ne hoc quidem intellexit. Nam mulus hic, Cyrus erat : quippe ex duabus diversis gentibus ortus, matre melioris conditionis, patre vero inferioris. Illa enim Meda erat, et quidem Astyagis filia, regis Medorum : hic vero Persa fuit, illorum subjectus imperio, et, quum inferior esset rebus omnibus, dominam suam in matrimonium duxit. » (5) Hæc Lydis Pythia respondit; quæ illi Sardes retulerunt, Crœsoque nunciarunt. Quibus auditis, ille suam ipsius agnovit esse culpam, non dei. Quod igitur ad Crœsi imperium spectat, et ad primam Ioniæ sub alienum imperium redactionem, eo modo quo exposuimus res gestæ sunt.

XCII. Donaria autem Crœsi non ea solum, quæ commemoravimus, sed et alia multa exstant in Græcia. Etenim Thebis Bœotiis tripus est aureus, quem Apollini dicavit Ismenio : Ephesi vero, boves aureæ, et columnarum pleræque : tum in Pronæa æde Delphis, clypeus aureus ingens. (2) Et hæc quidem ad meam usque ætatem superfuerunt;

μὲν καὶ ἔτι ἐς ἐμὲ ἦν περιεόντα, τὰ δ' ἐξαπόλωλε τῶν ἀναθημάτων. Τὰ δ' ἐν Βραγχίδῃσι τοῖσι Μιλησίων ἀναθήματα Κροίσῳ, ὡς ἐγὼ πυνθάνομαι, ἴσα τε σταθμὸν ὁμοῖα τοῖσι καὶ ἐν Δελφοῖσι. (3) Τὰ μέν νυν ἐς τε Δελφοὺς καὶ ἐς τοῦ Ἀμφιάρεω ἀνέθηκε οἰκήϊά τε ἐόντα καὶ τῶν πατρωίων χρημάτων ἀπαρχήν· τὰ δὲ ἄλλα ἀναθήματα ἐξ ἀνδρὸς ἐγένετο οὐσίης ἐχθροῦ, ὃς οἱ πρὶν ἢ βασιλεῦσαι ἀντιστασιώτης κατεστήκεε, συσπεύδων Πανταλέοντι γενέσθαι τὴν Λυδῶν ἀρχήν. (4) Ὁ δὲ Πανταλέων ἦν Ἀλυάττεω μὲν παῖς, Κροίσου δὲ ἀδελφεὸς οὐκ ὁμομήτριος· Κροῖσος μὲν γὰρ ἐκ Καείρης ἦν γυναικὸς Ἀλυάττῃ, Πανταλέων δὲ ἐξ Ἰάδος. (5) Ἐπείτε δὲ δόντος τοῦ πατρὸς ἐκράτησε τῆς ἀρχῆς ὁ Κροῖσος, τὸν ἄνθρωπον τὸν ἀντιπρήσσοντα ἐπὶ κνάφου ἕλκων διέφθειρε, τὴν δὲ οὐσίην αὐτοῦ ἔτι πρότερον κατιρώσας, τότε τρόπῳ τῷ εἰρημένῳ ἀνέθηκε ἐς τὰ εἴρηται. Καὶ περὶ μὲν ἀναθημάτων τοσαῦτα εἰρήσθω.

XCIII. Θώματα δὲ γῆ Λυδίη ἐς συγγαφὴν οὐ μάλα ἔχει, οἷά τε καὶ ἄλλη χώρη, πάρεξ τοῦ ἐκ τοῦ Τμώλου καταφερομένου ψήγματος. Ἔν δὲ ἔργον πολλὸν μέγιστον παρέχεται χωρὶς τῶν τε Αἰγυπτίων ἔργων καὶ τῶν Βαβυλωνίων. (2) Ἔστι αὐτόθι Ἀλυάττεω τοῦ Κροίσου πατρὸς σῆμα, τοῦ ἡ κρηπὶς μέν ἐστι λίθων μεγάλων, τὸ δὲ ἄλλο σῆμα χῶμα γῆς. Ἐξεργάσαντο δέ μιν οἱ ἀγοραῖοι ἄνθρωποι καὶ οἱ χειρώνακτες καὶ αἱ ἐνεργαζόμεναι παιδίσκαι. (3) Οὖροι δὲ πέντε ἐόντες ἔτι καὶ ἐς ἐμὲ ἦσαν ἐπὶ τοῦ σήματος ἄνω, καὶ σφι γράμματα ἐνεκεκόλαπτο τὰ ἕκαστοι ἐξεργάσαντο, καὶ ἐφαίνετο μετρεόμενον τὸ τῶν παιδισκέων ἔργον ἐὸν μέγιστον. (4) Τοῦ γὰρ δὴ Λυδῶν δήμου αἱ θυγατέρες πορνεύονται πᾶσαι, συλλέγουσαι σφίσι φερνὰς, ἐς ὃ ἂν συνοικήσωσι τοῦτο ποιεῦσαι· ἐκδιδόασι δὲ αὐταὶ ἑωυτάς. (5) Ἡ μὲν δὴ περίοδος τοῦ σήματός εἰσι στάδιοι ἓξ καὶ δύο πλέθρα, τὸ δὲ εὖρός ἐστι πλέθρα τριακαίδεκα. Λίμνη δὲ ἔχεται τοῦ σήματος μεγάλη, τὴν λέγουσι Λυδοὶ ἀέναον εἶναι· καλέεται δὲ αὖτη Γυγαίη. Τοῦτο μὲν δὴ τοιοῦτό ἐστι.

XCIV. Λυδοὶ δὲ νόμοισι μὲν παραπλησίοισι χρέονται καὶ Ἕλληνες, χωρὶς ἢ ὅτι τὰ θήλεα τέκνα καταπορνεύουσι, πρῶτοι δὲ ἀνθρώπων τῶν ἡμεῖς ἴδμεν νόμισμα χρυσοῦ καὶ ἀργύρου κοψάμενοι ἐχρήσαντο, πρῶτοι δὲ καὶ κάπηλοι ἐγένοντο. (2) Φασὶ δὲ αὐτοὶ Λυδοὶ καὶ τὰς παιγνίας τὰς νῦν σφίσι τε καὶ Ἕλλησι κατεστεώσας ἑωυτῶν ἐξεύρημα γενέσθαι. Ἅμα δὲ ταύτας τε ἐξευρεθῆναι παρὰ σφίσι λέγουσι καὶ Τυρσηνίην ἀποικίσαι, ὧδε περὶ αὐτῶν λέγοντες, ἐπὶ Ἄτυος τοῦ Μάνεω βασιλέος σιτόδειαν ἰσχυρὴν ἀνὰ τὴν Λυδίην πᾶσαν γενέσθαι, καὶ τοὺς Λυδοὺς τέως μὲν διάγειν λιπαρέοντας, μετὰ δὲ, ὡς οὐ παύεσθαι, ἄκεα δίζησθαι, ἄλλον δὲ ἄλλο ἐπιμηχανᾶσθαι αὐτῶν. (3) Ἐξευρεθῆναι δὴ ὧν τότε καὶ τῶν κύβων καὶ τῶν ἀστραγάλων καὶ τῆς σφαίρης καὶ τῶν ἄλλων πασέων παιγνιέων τὰ εἴδεα, πλὴν πεσσῶν· τούτων γὰρ ὧν τὴν ἐξεύρεσιν οὐκ οἰκηϊοῦνται Λυδοί. (4) Ποιέειν δὲ ὧδε πρὸς τὸν λιμὸν

alia vero interciderunt donaria. Ea autem, quæ apud Branchidas Milesiorum consecraverat, æqualia erant pondere, ut audio, et similia eis quæ sunt Delphis. (3) Et quæ quidem Delphis et Amphiarai oraculo donavit, propria ipsius fuerant et paternarum opum primitiæ : reliqua vero donaria e facultatibus viri fuerunt inimici, qui Crœso, priusquam regnaret, fuerat in republica adversarius, Pantaleonti conciliare studens Lydorum regnum. (4) Erat autem Pantaleon Alyattæ quidem filius, Crœsi frater, at non ex eadem matre : nam Crœsus ex Carica uxore natus erat Alyattæ, Pantaleon vero ex Ionica. (5) Postquam autem tradito a patre imperio potitus erat Crœsus, hominem illum, qui sibi erat adversatus, tribulis cruciatum necavit; et bona ejus, jam ante a se diis dicata, tunc eo quo diximus modo locis istis consecravit. Et hæc quidem de donariis hactenus dicta sunto.

XCIII. Res admirandas, quæ scripto consignentur, terra Lydia nullas admodum habet, prout aliæ regiones; præter auri ramenta, quæ e Tmolo deferuntur. Unum vero opus hominum exhibet multo maximum, post Ægyptiorum utique et Babyloniorum opera. (2) Est ibi Alyattæ sepulcrum, patris Crœsi; cujus basis ex grandibus lapidibus confecta, reliquum monumentum terræ tumulus est, manibus hominum aggestus. Confecerunt illud homines forenses, opifices, et puellæ corpore quæstum facientes. (3) Fuerunt autem ad meam usque ætatem in summo tumulo quinque termini, in quibus incisa scriptura indicabat quid a singulis confectum fuisset : adparebatque ex mensura, puellarum partem operis fuisse maximam. (4) Nam filiæ populi Lydorum meretricantur omnes, dotem sibi colligentes hoc quæstu, quem faciunt donec nupturæ sunt : se autem ipsæ in matrimonium elocant. (5) Circuitus monumenti sex stadiorum est et duorum plethrorum : latitudo, plethrorum tredecim. Monumento contiguus est lacus ingens, quem Lydi referunt esse perennem; vocatur autem Gygæus. Atque hæc quidem ita se habent.

XCIV. Legibus autem utuntur Lydi similibus atque Græci, præterquam quod filias suas vitæ tradant meretriciæ. Primi vero hominum, quos novimus, aureos et argenteos procuderunt numos eisque usi sunt : primique etiam fuerunt mercium institores. (2) Narrant porro ipsi Lydi, lusus etiam hos, qui nunc et apud ipsos et apud Græcos in usu sunt, ipsorum fuisse inventum : per idem autem tempus, quo lusus isti apud se sint inventi, Tyrrheniam colonis a Lydis esse frequentatam. Eas res hunc in modum accidisse referunt. Regnante Atye, Manis filio, gravem annonæ caritatem per totam fuisse Lydiam : et Lydos quidem aliquamdiu patienter tolerasse malum; deinde vero, quum non cessaret, quæsisse remedium, et alium aliud excogitasse. (3) Eo igitur tempore inventos esse et tesserarum et talorum ludum, et pilæ cæterorumque lusuum omnium genera, exceptis calculis : horum enim inventionem sibi non vindicant Lydi. (4) Inventis autem istis adversus famem

ἐξευρόντας, τὴν μὲν ἑτέρην τῶν ἡμερέων παίζειν πᾶσαν, ἵνα δὴ μὴ ζητέοιεν σιτία, τὴν δὲ ἑτέρην σιτέεσθαι παυομένους τῶν παιγνιέων. Τοιούτῳ τρόπῳ διάγειν ἐπ' ἔτεα δυῶν δέοντα εἴκοσι. (5) Ἐπείτε δὲ οὐκ ἀνιέναι τὸ κακὸν, ἀλλ' ἐπὶ μᾶλλον ἔτι βιάζεσθαι, οὕτω δὴ τὸν βασιλέα αὐτῶν δύο μοίρας διελόντα Λυδῶν πάντων κληρῶσαι τὴν μὲν ἐπὶ μονῇ, τὴν δὲ ἐπ' ἐξόδῳ ἐκ τῆς χώρης, καὶ ἐπὶ μὲν τῇ μένειν αὐτοῦ λαγχανούσῃ τῶν μοιρέων ἑωυτὸν τὸν βασιλέα προστάσσειν, ἐπὶ δὲ τῇ ἀπαλλασσομένῃ τὸν ἑωυτοῦ παῖδα, τῷ οὔνομα εἶναι Τυρσηνόν. (6) Λαχόντας δὲ αὐτῶν τοὺς ἑτέρους ἐξιέναι ἐκ τῆς χώρης καταβῆναι ἐς Σμύρνην καὶ μηχανήσασθαι πλοῖα, ἐς τὰ ἐσθεμένους τὰ πάντα ὅσα σφι ἦν χρηστὰ ἐπίπλοα, ἀποπλώειν κατὰ βίου τε καὶ γῆς ζήτησιν, ἐς ὃ ἔθνεα πολλὰ παραμειψαμένους ἀπικέσθαι ἐς Ὀμβρικούς, ἔνθα σφέας ἐνιδρύσασθαι πόλιας καὶ οἰκέειν τὸ μέχρι τοῦδε. (7) Ἀντὶ δὲ Λυδῶν μετουνομασθῆναι αὐτοὺς ἐπὶ τοῦ βασιλέος τοῦ παιδὸς, ὃς σφεας ἀνήγαγε· ἐπὶ τούτου τὴν ἐπωνυμίην ποιευμένους οὐνομασθῆναι Τυρσηνούς. Λυδοὶ μὲν δὴ ὑπὸ Πέρσῃσι δεδούλωντο.

XCV. Ἐπιδίζηται δὲ δὴ τὸ ἐνθεῦτεν ἡμῖν ὁ λόγος τόν τε Κῦρον, ὅστις ἐὼν τὴν Κροίσου ἀρχὴν κατεῖλε, καὶ τοὺς Πέρσας, ὅτεῳ τρόπῳ ἡγήσαντο τῆς Ἀσίης. (2) Ὡς ὦν Περσέων μετεξέτεροι λέγουσι, οἱ μὴ βουλόμενοι σεμνοῦν τὰ περὶ Κῦρον, ἀλλὰ τὸν ἐόντα λέγειν λόγον, κατὰ ταῦτα γράψω, ἐπιστάμενος περὶ Κύρου καὶ τριφασίας ἄλλας λόγων ὁδοὺς φῆναι. (3) Ἀσσυρίων ἀρχόντων τῆς ἄνω Ἀσίης ἐπ' ἔτεα εἴκοσι καὶ πεντακόσια, πρῶτοι ἀπ' αὐτῶν Μῆδοι ἤρξαντο ἀπίστασθαι, καί κως οὗτοι περὶ τῆς ἐλευθερίης μαχεσάμενοι τοῖσι Ἀσσυρίοισι ἐγένοντο ἄνδρες ἀγαθοὶ, καὶ ἀπωσάμενοι τὴν δουλοσύνην ἠλευθερώθησαν. Μετὰ δὲ τούτους καὶ τὰ ἄλλα ἔθνεα ἐποίεε τὠυτὸ τοῖσι Μήδοισι.

XCVI. Ἐόντων δὲ αὐτονόμων πάντων ἀνὰ τὴν ἤπειρον, ὧδε αὖτις ἐς τυραννίδας περιῆλθον. Ἀνὴρ ἐν τοῖσι Μήδοισι ἐγένετο σοφὸς, τῷ οὔνομα ἦν Δηϊόκης, παῖς δ' ἦν Φραόρτεω. Οὗτος ὁ Δηϊόκης ἐρασθεὶς τυραννίδος ἐποίεε τοιάδε. (2) Κατοικημένων τῶν Μήδων κατὰ κώμας, ἐν τῇ ἑωυτοῦ ἐὼν καὶ πρότερον δόκιμος καὶ μᾶλλόν τι καὶ προθυμότερον δικαιοσύνην ἐπιθέμενος ἤσκεε· καὶ ταῦτα μέντοι ἐούσης ἀνομίης πολλῆς ἀνὰ πᾶσαν τὴν Μηδικὴν ἐποίεε, ἐπιστάμενος ὅτι τῷ δικαίῳ τὸ ἄδικον πολέμιον ἐστι. (3) Οἱ δ' ἐκ τῆς αὐτῆς κώμης Μῆδοι ὁρέοντες αὐτοῦ τοὺς τρόπους δικαστήν μιν ἑωυτῶν αἱρέοντο. Ὁ δὲ δὴ, οἷα μνεώμενος ἀρχὴν, ἰθύς τε καὶ δίκαιος ἦν. Ποιέων τε ταῦτα ἔπαινον εἶχε οὐκ ὀλίγον πρὸς τῶν πολιητέων, οὕτω ὥστε πυνθανόμενοι οἱ ἐν τῇσι ἄλλῃσι κώμῃσι ὡς Δηϊόκης εἴη ἀνὴρ μοῦνος κατὰ τὸ ὀρθὸν δικάζων, πρότερον περιπίπτοντες ἀδίκοισι γνώμῃσι, τότε, ἐπείτε ἤκουσαν, ἀσμενοι ἐφοίτεον παρὰ τὸν Δηϊόκεα καὶ αὐτοὶ δικασόμενοι, τέλος δὲ οὐδενὶ ἄλλῳ ἐπετράποντο.

XCVII. Πλεῦνος δὲ αἰεὶ γινομένου τοῦ ἐπιφοιτέοντος

hunc in modum usos se esse narrant: duorum quorumque dierum alterum ludendo traduxisse totum, ne scilicet cibum requirerent: altero vero, intermissis lusibus, cibum cepisse. Hoc modo per duodeviginti annos traduxisse vitam. (5) Quum vero non remitteret malum, sed magis atque magis ingravesceret; tum quidem regem Lydos, bifariam divisos, in sortem misisse; quorum altera pars maneret, altera e patria terra exiret: et se ipsum quidem ei parti adtribuisse regem, cui sors eventura esset manendi, filium autem suum, cui nomen Tyrrheno, ei parti quæ domo esset egressura. (6) Sortitione facta, hos quibus sors obvenerat patrio solo excedendi, Smyrnam descendisse, et constructis navibus, impositisque supellectilibus quæcumque ad usum commoda habuissent, profectos esse, victum et novas sedes quærentes; donec multos prætervecti populos, in Umbriam pervenissent: ibi oppida condidisse, atque ad hunc usque diem habitare. (7) Mutato vero Lydorum nomine, adscita denominatione a regis filio, qui coloniam deduxerat, Tyrrhenos ab ea se ipsos vocasse. Lydi igitur, ut diximus, a Persis in servitutem sunt redacti.

XCV. Hinc jam anquirit narratio nostra, Cyrus ille quisnam fuerit, qui Crœsi evertit imperium, et Persæ qua ratione imperio Asiæ sint potiti. (2) Igitur, quemadmodum quidam memorant Persarum, qui non extollere res Cyri, sed prout illæ se habent referre student, ita ego scribam; quum possim triplices etiam alias de Cyro narrandi vias indicare. (3) Postquam Assyrii per annos quingentos et viginti superioris Asiæ tenuerant imperium, primi deficere ab illis Medi cœperunt; qui pro libertate pugnantes cum Assyriis, strenue se gesserunt, excussoque servitutis jugo libertatem obtinuerunt. Post quos et reliquæ gentes idem fecere quod Medi.

XCVI. Cæterum quum jam omnes per continentem populi propriis viverent legibus, tali modo rursus tyrannidi subjecti sunt. Fuit inter Medos vir sapiens, cui nomen erat Dejoces, filius Phraortæ; qui quum ad tyrannidem adspiraret, ita se gessit. (2) Quum per vicos habitarent Medi, Dejoces jam ante apud suos probatus, tum magis etiam studiosiusque æquitatem data opera exercebat; idque, quum multa iniquitas per universam Mediam obtineret, tamen faciebat, quamvis sciret injustos inimicos esse justis. (3) Cujus mores ubi perspexerunt cives eumdem vicum incolentes, judicem illum sibi constituerunt. Et ille, ut qui principatum ambiret, rectum se æquumque præbuit, eaque re laudem apud populares obtinuit haud exiguam; ita quidem ut reliquorum vicorum incolæ, intelligentes Dejocem unum esse virum qui ex æquo jus diceret, quum antea iniquis sententiis sæpe succubuissent, tunc, postquam hoc cognoverunt, libenter et ipsi Dejocem adirent qui lites suas dirimeret, et postremo nulli alii caussarum suarum judicium permitterent.

XCVII. Crescente vero in dies numero adcurrentium,

τος οἷα πυνθανομένων τὰς δίκας ἀποβαίνειν κατὰ τὸ ἐὸν, γνοὺς ὁ Δηϊόκης ἐς ἑωυτὸν πᾶν ἀνακείμενον, οὔτε κατίζειν ἔτι ἤθελε ἔνθα περ πρότερον προκατίζων ἐδίκαζε, οὔτ' ἔφη δικᾶν ἔτι· οὐ γάρ οἱ λυσιτελέειν τῶν ἑωυτοῦ ἐξημελημκότα τοῖσι πέλας δι' ἡμέρης δικάζειν. (2) Ἐούσης ὧν ἁρπαγῆς καὶ ἀνομίης ἔτι πολλῷ μᾶλλον ἀνὰ τὰς κώμας ἢ πρότερον ἦν, συνελέχθησαν οἱ Μῆδοι ἐς τὠυτὸ καὶ ἐδίδοσαν σφίσι λόγον, λέγοντες περὶ τῶν κατηκόντων. (3) Ὡς δ' ἐγὼ δοκέω, μάλιστα ἔλεγον οἱ τοῦ Δηϊόκεω φίλοι, « οὐ γὰρ δὴ τρόπῳ τῷ παρεόντι χρεώμενοι δυνατοί εἰμεν οἰκέειν τὴν χώρην, φέρε στήσωμεν ἕνα ἡμέων αὐτῶν βασιλέα· καὶ οὕτω ἥ τε χώρη εὐνομήσεται καὶ αὐτοὶ πρὸς ἔργα τρεψόμεθα, οὐδὲ ὑπ' ἀνομίης ἀνάστατοι ἐσόμεθα. » Ταῦτά κῃ λέγοντες πείθουσι ἑωυτοὺς βασιλεύεσθαι.

XCVIII. Αὐτίκα δὲ προβαλλομένων ὁντινα στήσονται βασιλέα, ὁ Δηϊόκης ἦν πολλὸς ὑπὸ παντὸς ἀνδρὸς καὶ προβαλλόμενος καὶ αἰνεόμενος, ἐς ὃ τοῦτον καταινέουσι βασιλέα σφίσι εἶναι. Ὁ δ' ἐκέλευε αὐτοὺς οἰκία τε ἑωυτῷ ἄξια τῆς βασιληίης οἰκοδομῆσαι καὶ κρατῦναι αὐτὸν δορυφόροισι. (2) Ποιεῦσι δὴ ταῦτα οἱ Μῆδοι· οἰκοδομέουσί τε γὰρ αὐτῷ οἰκία μεγάλα τε καὶ ἰσχυρὰ, ἵνα αὐτὸς ἔφρασε τῆς χώρης, καὶ δορυφόρους αὐτῷ ἐπιτράπουσι ἐκ πάντων Μήδων καταλέξασθαι· (3) Ὁ δὲ ὡς ἔσχε τὴν ἀρχὴν, τοὺς Μήδους ἠνάγκασε ἓν πόλισμα ποιήσασθαι, καὶ τοῦτο περιστέλλοντας τῶν ἄλλων ἔσσον ἐπιμέλεσθαι. Πειθομένων δὲ καὶ ταῦτα τῶν Μήδων οἰκοδομέει τείχεα μεγάλα τε καὶ καρτερὰ, ταῦτα τὰ νῦν Ἀγβάτανα κέκληται, ἕτερον ἑτέρῳ κύκλον ἐνεστεῶτα. (4) Μεμηχάνηται δὲ οὕτω τοῦτο τὸ τεῖχος, ὥστε ὁ ἕτερος τοῦ ἑτέρου κύκλος τοῖσι προμαχεῶσι μούνοισι ἐστι ὑψηλότερος. Τὸ μέν κού τι καὶ τὸ χωρίον συμμαχέει κολωνὸς ἐὼν ὥστε τοιοῦτο εἶναι, τὸ δὲ καὶ μᾶλλόν τι ἐπετηδεύθη, κύκλων ἐόντων τῶν συναπάντων ἑπτά· ἐν δὲ τῷ τελευταίῳ τὰ βασιλήϊα ἐνεστι καὶ οἱ θησαυροί. (5) Τὸ δὲ αὐτῶν μέγιστόν ἐστι τεῖχος κατὰ τὸν Ἀθηνέων κύκλον μάλιστά κῃ τὸ μέγαθος. Τοῦ μὲν δὴ πρώτου κύκλου οἱ προμαχεῶνές εἰσι λευκοὶ, τοῦ δὲ δευτέρου μέλανες, τρίτου δὲ κύκλου φοινίκεοι, τετάρτου δὲ κυάνεοι, πέμπτου δὲ σανδαράκινοι. (6) Οὕτω πάντων τῶν κύκλων οἱ προμαχεῶνες ἠνθισμένοι εἰσὶ φαρμάκοισι. Δύο δὲ οἱ τελευταῖοι εἰσὶ ὁ μὲν καταργυρωμένους, ὁ δὲ κατακεχρυσωμένους ἔχων τοὺς προμαχεῶνας.

XCIX. Ταῦτα μὲν δὴ ὁ Δηϊόκης ἑωυτῷ τε ἐτείχεε καὶ περὶ τὰ ἑωυτοῦ οἰκία, τὸν δὲ ἄλλον δῆμον πέριξ ἐκέλευε τὸ τεῖχος οἰκέειν. (2) Οἰκοδομηθέντων δὲ πάντων κόσμον τόνδε Δηϊόκης πρῶτός ἐστι ὁ καταστησάμενος, μήτε ἐσιέναι παρὰ βασιλέα μηδένα, δι' ἀγγέλων δὲ πάντα χρέεσθαι, ὁρᾶσθαί τε βασιλέα ὑπὸ μηδενὸς, πρός τε τούτοισι ἔτι γελᾶν τε καὶ πτύειν ἀντίον καὶ ἄπασι τοῦτό γε εἶναι αἰσχρόν. (3) Ταῦτα δὲ περὶ ἑωυτὸν ἐσέμνυνε τῶνδε εἵνεκεν, ὅκως ἂν μὴ ὁρέοντες οἱ ὁμήλικες ἐόντες σύντροφοί τε ἐκείνῳ καὶ

utpote qui intelligerent lites ex vero terminari, animadvertens Dejoces omnia in se esse sita, jam non amplius pro tribunali sedere, ubi antea jus dicere consueverat, voluit, negavitque se porro lites judicaturum; nec enim e re sua esse, neglectis suis rebus totum diem dirimendis aliorum litibus impendere. (2) Inde quum rapinæ iniquitatesque per vicos multo etiam magis, quam ante, grassarentur; concilio convocato Medi colloqui inter se de præsente rerum statu deliberareque instituerunt. (3) Ut autem ego existimo, amici maxime Dejocis verba fecerunt hujusmodi : « Profecto, hoc more utentes, non possumus amplius hanc terram incolere. Agite igitur, regem nobis constituamus : sic terra nostra bonis legibus administrabitur, et nos ad negotia nostra redibimus, nec ob hominum iniquitatem solum vertere cogemur. » Talia fere dicentes persuaserunt Medis, ut a rege gubernari vellent.

XCVIII. Tum continuo in deliberationem adducitur, quemnam sibi regem constituant; et frequens ab unoquoque proponitur laudaturque Dejoces, ad extremum communi consensu Rex creatur. Tum ille jussit eos ædes sibi ædificare dignas regno, et satellitibus ipsum munire : (2) quod et fecerunt Medi, ædesque ei ædificarunt amplas munitasque in ea regionis parte quam ipse definivit, et satellites ex universis Medis sibi eligere permiserunt. (3) Ille vero, postquam obtinuit imperium, coegit Medos unam urbem condere; quo hanc tuentes, reliqua oppida minus curarent. Obsequentibus etiam hac in re Medis, arcem exstruxit amplam validamque, hanc quæ nunc Ecbatana vocatur, ita ut alius mœnium orbis alio esset circumdatus : (4) et sic instituta erat hæc arx, ut alius mœnium orbis alio nonnisi propugnaculis esset excelsior. Quod ut fieret, adjuvabat partim quidem ipsius loci commoditas, quum esset collis : sed magis etiam data opera institutum est opus, quum orbes universi sint septem, quorum in postremo regia est et thesauri. (5) Qui autem murus maximum conficit orbem, is Athenarum fere ambitum mœnium amplitudine æquat. Jam primi orbis propugnacula alba sunt; secundi nigra; tertii orbis purpurea; quarti cærulea, quinti sandaracina : (6) ita cunctorum orbium propugnacula pigmentis sunt obducta; duorum vero postremorum orbium alter argentata propugnacula habet, alter inaurata.

XCIX. Hæc igitur munimenta Dejoces sibi exstruxit et circa ædes suas : tum vero reliquum populum jussit circumcirca arcem habitare. (2) Constructis autem istis omnibus, ordinem primus Dejoces instituit hunc, ut nemini ad regem liceret ingredi, sed per internuncios omnia transigerentur, nec conspiceretur rex a quoquam : ad hæc, ut ridere aut exspuere coram illo, utique omnibus factu turpe haberetur. (3) Adfectabat autem gravitatem istam hoc consilio, ne cernentes eum æquales et una cum eo educati, domoque orti

οἰκίης οὐ φλαυροτέρης, οὐδὲ ἐς ἀνδραγαθίην λειπόμενοι, λυπεοίατο καὶ ἐπιβουλεύοιεν, ἀλλ' ἑτεροῖός σφι δοκέοι εἶναι μὴ ὀρέουσι.

C. Ἐπείτε δὲ ταῦτα διεκόσμησε καὶ ἐκράτυνε ἑωυτὸν τῇ τυραννίδι, ἦν τὸ δίκαιον φυλάσσων χαλεπός· καὶ τάς τε δίκας γράφοντες ἔσω παρ' ἐκεῖνον ἐσπέμπεσκον, καὶ ἐκεῖνος διακρίνων τὰς ἐσφερομένας ἐκπέμπεσκε. (2) Ταῦτα μὲν κατὰ τὰς δίκας ἐποίεε, τὰ δὲ δὴ ἄλλα ἐκεκοσμέατό οἱ· εἴ τινα πυνθάνοιτο ὑβρίζοντα, τοῦτον δκως μεταπέμψαιτο, κατ' ἀξίην ἑκάστου ἀδικήματος ἐδικαίευ, καὶ οἱ κατάσκοποί τε καὶ κατήκοοι ἔσαν ἀνὰ πᾶσαν τὴν χώρην τῆς ἦρχε.

CI. Δηϊόκης μέν νυν τὸ Μηδικὸν ἔθνος συνέστρεψε μοῦνον, καὶ τούτου ἦρξε. Ἔστι δὲ Μήδων τοσάδε γένεα, Βοῦσαι, Παρητακηνοί, Στρούχατες, Ἀριζαντοί, Βούδειοι, Μάγοι. Γένεα μὲν δὴ Μήδων ἐστὶ τοσάδε.

CII. Δηϊόκεω δὲ παῖς γίνεται Φραόρτης, ὃς τελευτήσαντος Δηϊόκεω, βασιλεύσαντος τρία καὶ πεντήκοντα ἔτεα, παρεδέξατο τὴν ἀρχήν, παραδεξάμενος δὲ οὐκ ἀπεχρᾶτο μούνων ἄρχειν τῶν Μήδων, ἀλλὰ στρατευσάμενος ἐπὶ τοὺς Πέρσας πρώτοισί τε τούτοισι ἐπεθήκατο καὶ πρώτους Μήδων ὑπηκόους ἐποίησε. (2) Μετὰ δὲ ἔχων δύο ταῦτα ἔθνεα, καὶ ἀμφότερα ἰσχυρά, κατεστρέφετο τὴν Ἀσίην ἀπ' ἄλλου ἐπ' ἄλλο ἰὼν ἔθνος, ἐς ὃ στρατευσάμενος ἐπὶ τοὺς Ἀσσυρίους, καὶ Ἀσσυρίων τούτους οἳ Νίνον εἶχον καὶ ἦρχον πρότερον πάντων, τότε δὲ ἔσαν μεμουνωμένοι μὲν συμμάχων ἅτε ἀπεστεώτων, ἄλλως μέντοι ἑωυτῶν εὖ ἥκοντες, ἐπὶ τούτους δὴ στρατευσάμενος ὁ Φραόρτης αὐτός τε διεφθάρη, ἄρξας δύο καὶ εἴκοσι ἔτεα, καὶ ὁ στρατὸς αὐτοῦ ὁ πολλός.

CIII. Φραόρτεω δὲ τελευτήσαντος ἐξεδέξατο Κυαξάρης ὁ Φραόρτεω τοῦ Δηϊόκεω παῖς. Οὗτος λέγεται πολλὸν ἔτι γενέσθαι ἀλκιμώτερος τῶν προγόνων, καὶ πρῶτός τε ἐλόχισε κατὰ τέλεα τοὺς ἐν τῇ Ἀσίῃ, καὶ πρῶτος διέταξε χωρὶς ἑκάστους εἶναι, τούς τε αἰχμοφόρους καὶ τοὺς τοξοφόρους καὶ τοὺς ἱππέας· πρὸ τοῦ δὲ ἀναμὶξ ἦν πάντα ὁμοίως ἀναπεφυρμένα. (2) Οὗτος ὁ τοῖσι Λυδοῖσί ἐστι μαχεσάμενος ὅτε νὺξ ἡ ἡμέρη ἐγένετο σφι μαχομένοισι, καὶ ὁ τὴν Ἅλυος ποταμοῦ ἄνω Ἀσίην πᾶσαν συστήσας ἑωυτῷ. Συλλέξας δὲ τοὺς ὑπ' ἑωυτῷ ἀρχομένους πάντας ἐστρατεύετο ἐπὶ τὴν Νίνον, τιμωρέων τε τῷ πατρὶ καὶ τὴν πόλιν ταύτην θέλων ἐξελεῖν. (3) Καί οἱ, ὡς συμβαλὼν ἐνίκησε τοὺς Ἀσσυρίους, περικατημένῳ τὴν Νίνον ἐπῆλθε Σκυθέων στρατὸς μέγας, ἦγε δὲ αὐτοὺς βασιλεὺς ὁ Σκυθέων Μαδύης Πρωτοθύεω παῖς· οἳ ἐσέβαλον μὲν ἐς τὴν Ἀσίην Κιμμερίους ἐκβαλόντες ἐκ τῆς Εὐρώπης, τούτοισι δὲ ἐπισπόμενοι φεύγουσι οὕτω ἐς τὴν Μηδικὴν χώρην ἀπίκοντο.

CIV. Ἔστι δὲ ἀπὸ τῆς λίμνης τῆς Μαιήτιδος ἐπὶ Φᾶσιν ποταμὸν καὶ ἐς Κόλχους τριήκοντα ἡμερέων εὐζώνῳ ὁδός, ἐκ δὲ τῆς Κολχίδος οὐ πολλὸν ὑπερβῆναι

non viliori, nec virtute inferiores, dolerent eique insidiarentur; sed ut diversæ naturæ homo illis videretur, ipsum non intuentibus.

C. His ita ordinatis, quum firmasset sibi imperium, in exercenda justitia valde severum se præbuit. Litigantes caussas suas scripto consignatas ad eum per internuncios intro mittebant; quas ille judicatas remittebat. (2) Hunc morem in judicandis caussis sequebatur: et reliqua etiam omnia recte ab eo ordinata erant. Si quem intellexisset protervius agentem, hunc ad se arcessitum inflicta pro delicti modo pœna multabat: eaque caussa exploratores auscultatoresque per universam, cui imperabat, regionem habebat.

CI. Dejoces igitur solam Medicam nationem in unam contraxit, eique imperavit. Cujus nationis tot numero gentes [*id est, tribus*] sunt: Busæ, Paretaceni, Struchates, Arizanti, Budei, Magi. Hæ sunt tot Medorum gentes.

CII. Fuit autem Dejocis filius Phraortes, qui, mortuo Dejoce postquam tres et quinquaginta annos regnasset, suscepit imperium. Hic non contentus solis imperare Medis, expeditionem in Persas suscepit, hosque primos adgressus est, primosque imperio Medorum subjecit. (2) Deinde vero, quum esset horum duorum populorum dominus, validi utriusque, Asiam subegit, ab alio populo ad alium transiens. Postremo adversus Assyrios arma convertens, nempe Assyriorum illos qui Ninum tenebant, quique, quum antea omnibus imperassent, tunc sociis, quippe qui ab illis defecerant, erant nudati, cæterum felici rerum suarum statu utebantur; adversus hos postquam arma convertit Phraortes, periit et ipse, secundo et vicesimo anno quam regno erat potitus, et plurima pars copiarum ipsius.

CIII. Mortuo Phraorti successit Cyaxares, Phraortis filius, Dejocis nepos. Hic dicitur multo majoribus suis fortior fuisse: et primus in Asia centuriavit milites et per cohortes distribuit, primusque ordinavit ut seorsum in acie staret unumquodque militum genus, hastati, sagittarii, equites; quum prius omnia promiscue pariter fuissent confusa. (2) Idem hic est qui cum Lydis bellum gessit, quo tempore in ipsa pugna dies in noctem est conversus; quique totam supra Halyn fluvium Asiam sibi subjectam tenuit. Tum undique contractis copiis, quascumque sub potestate sua habebat, adversus Ninum arma convertit, patrem ulturus, et urbem hanc exscindere cupiens. (3) At, superatis prælio Assyriis, dum Ninum circumsedit, ingruit adversus eum ingens Scytharum exercitus, duce rege Scytharum Madye, Protothyæ filio: qui in Asiam irruperant, quum Cimmerios ex Europa ejecissent; quos dum fugientes persequebantur, ita in Medicam terram pervenerunt.

CIV. Est autem a Mæotide palude ad Phasin flumen atque Colchos expedito viatori iter triginta dierum; e Colchis vero non ita longo itinere perveniri potest in Mediam,

ἐς τὴν Μηδικήν, ἀλλ' ἔν τὸ διὰ μέσου ἔθνος αὐτῶν ἐστι, Σάσπειρες, τοῦτο δὲ παραμειβομένοισι εἶναι ἐν τῇ Μηδικῇ. (2) Οὐ μέντοι οἵ γε Σκύθαι ταύτῃ ἐσέβαλον ἀλλὰ τὴν κατύπερθε ὁδὸν πολλῷ μακροτέρην ἐκτραπόμενοι, ἐν δεξιῇ ἔχοντες τὸ Καυκάσιον οὖρος. Ἐνθαῦτα οἱ μὲν Μῆδοι συμβαλόντες τοῖσι Σκύθῃσι καὶ ἐσσωθέντες τῇ μάχῃ τῆς ἀρχῆς κατελύθησαν, οἱ δὲ Σκύθαι τὴν Ἀσίην πᾶσαν ἐπέσχον.

CV. Ἐνθεῦτεν δὲ ἤϊσαν ἐπ' Αἴγυπτον· καὶ ἐπείτε ἐγένοντο ἐν τῇ Παλαιστίνῃ Συρίῃ, Ψαμμίτιχός σφεας Αἰγύπτου βασιλεὺς ἀντιάσας δώροισί τε καὶ λιτῇσι ἀποτράπει τὸ προσωτέρω μὴ πορεύεσθαι. Οἱ δὲ ἐπείτε ἀναχωρέοντες ὀπίσω ἐγένοντο τῆς Συρίης ἐν Ἀσκάλωνι πόλι, τῶν πλεύνων Σκυθέων παρεξελθόντων ἀσινέων ὀλίγοι τινὲς αὐτῶν ὑπολειφθέντες ἐσύλησαν τῆς οὐρανίης Ἀφροδίτης τὸ ἱρόν. (2) Ἔστι δὲ τοῦτο τὸ ἱρὸν, ὡς ἐγὼ πυνθανόμενος εὑρίσκω, πάντων ἀρχαιότατον ἱρῶν, ὅσα ταύτης τῆς θεοῦ· καὶ γὰρ τὸ ἐν Κύπρῳ ἱρὸν ἐνθεῦτεν ἐγένετο, ὡς αὐτοὶ λέγουσι Κύπριοι, καὶ τὸ ἐν Κυθήροισι Φοινικές εἰσι οἱ ἱδρυσάμενοι ἐκ ταύτης τῆς Συρίης ἐόντες. (3) Τοῖσι δὲ τῶν Σκυθέων συλήσασι τὸ ἱρὸν τὸ ἐν Ἀσκάλωνι καὶ τοῖσι τούτων αἰεὶ ἐκγόνοισι ἐνέσκηψε ἡ θεὸς θήλεαν νοῦσον· ὥστε ἅμα λέγουσί τε οἱ Σκύθαι διὰ τοῦτό σφεας νοσέειν, καὶ ὁρᾶν παρ' ἑωυτοῖσι τοὺς ἀπικνεομένους ἐς τὴν Σκυθικὴν χώρην ὡς διακέαται, τοὺς καλεῦσι ἐναρέας οἱ Σκύθαι.

CVI. Ἐπὶ μέν νυν ὀκτὼ καὶ εἴκοσι ἔτεα ἦρχον τῆς Ἀσίης οἱ Σκύθαι, καὶ τὰ πάντα σφι ὑπό τε ὕβριος καὶ ὀλιγωρίης ἀνάστατα ἦν· χωρὶς μὲν γὰρ φόνων ἔπρησσον παρ' ἑκάστων τὸ ἑκάστοισι ἐπέβαλλον, χωρὶς δὲ τοῦ φόρου ἥρπαζον περιελαύνοντες τοῦτο ὅ τι ἔχοιεν ἕκαστοι. (2) Καὶ τούτων μὲν τοὺς πλεῦνας Κυαξάρης τε καὶ Μῆδοι ξεινίσαντες καὶ καταμεθύσαντες κατεφόνευσαν, καὶ οὕτω ἀνεσώσαντο τὴν ἀρχὴν Μῆδοι, καὶ ἐπεκράτεον τῶν περ καὶ πρότερον, (3) καὶ τήν τε Νίνον εἷλον (ὡς δὲ εἷλον, ἐν ἑτέροισι λόγοισι δηλώσω) καὶ τοὺς Ἀσσυρίους ὑποχειρίους ἐποιήσαντο πλὴν τῆς Βαβυλωνίης μοίρης. Μετὰ δὲ ταῦτα Κυαξάρης μὲν, βασιλεύσας τεσσεράκοντα ἔτεα σὺν τοῖσι Σκύθαι ἦρξαν, τελευτᾷ.

CVII. Ἐκδέκεται δὲ Ἀστυάγης ὁ Κυαξάρεω παῖς τὴν βασιληίην. Καί οἱ ἐγένετο θυγάτηρ τῇ οὔνομα ἔθετο Μανδάνην, τὴν ἐδόκεε Ἀστυάγης ἐν τῷ ὕπνῳ οὐρῆσαι τοσοῦτον ὥστε πλῆσαι μὲν τὴν ἑωυτοῦ πόλιν, ἐπικατακλύσαι δὲ καὶ τὴν Ἀσίην πᾶσαν. Ὑπερθέμενος δὲ τῶν μάγων τοῖσι ὀνειροπόλοισι τὸ ἐνύπνιον, ἐφοβήθη παρ' αὐτῶν αὐτὰ ἕκαστα μαθών. (2) Μετὰ δὲ τὴν Μανδάνην ταύτην ἐοῦσαν ἤδη ἀνδρὸς ὡραίην Μήδων μὲν τῶν ἑωυτοῦ ἀξίων οὐδενὶ διδοῖ γυναῖκα, δεδοικὼς τὴν ὄψιν· ὁ δὲ Πέρσῃ διδοῖ τῷ οὔνομα ἦν Καμβύσης, τὸν εὕρισκε οἰκίης μὲν ἐόντα ἀγαθῆς, τρόπου δὲ ἡσυχίου, πολλῷ ἔνερθε ἄγων αὐτὸν μέσου ἀνδρὸς Μήδου.

CVIII. Συνοικεούσης δὲ τῷ Καμβύσῃ τῆς Μανδάνης ὁ Ἀστυάγης τῷ πρώτῳ ἔτεϊ εἶδε ἄλλην ὄψιν· ἐδόσed unus duntaxat interjectus est populus, Saspires; quos ubi transieris, continuo Media occurrit. (2) Scythæ tamen hac non irruperunt, sed per deflexum alia via superiore et multo longiore, Caucasum montem a dextra habentes. Ibi tum Medi cum Scythis congressi, prælioque superati, Asiæ imperium amiserunt; Scythæ vero universa Asia sunt potiti.

CV. Inde Ægyptum versus intendebant viam : sed Syriam Palæstinam ingressis occurrens Ægypti rex Psammiticlus, muneribus precibusque effecit, ut ulterius non progrederentur. Ubi regredientes Ascalonem venerunt, Syriæ oppidum; maxima Scytharum parte sine maleficio prætergressa, pauci ex illis, pone sequentes, Veneris Cœlestis templum despoliarunt. (2) Est autem illud, quantum sciscitans intelligo, ex omnibus hujus deæ templis vetustissimum. Nam quod in Cypro est templum, hinc prodiit, ut ipsi etiam Cyprii narrant : et, quod Cytheris est, id Phœnices condiderunt, ex hac Syria oriundi. (3) His autem Scythis, qui templum Ascalonis exspoliarunt, eorumque semper posteris, inflixit dea muliebrem morbum; ita quidem ut etiam Scythæ dicant, ob hanc caussam morbo hoc laborare illos, et apud se ab adeuntibus Scythicam terram conspici quo pacto adfecti sint, quos Enareas (*sive androgynos*) Scythæ adpellant.

CVI. Igitur per octo et viginti annos Asiæ imperium obtinuerunt Scythæ; per eorumque proterviam et contemtum omnia susque deque versa sunt. Nam, præter cædes, tributum exigebant quod a singulis imposuerant, et præter tributum obequitantes rapiebant quod quique haberent. (2) Sed horum quidem majorem numerum Cyaxares et Medi, hospitio exceptos et mero inebriatos, obtruncarunt : atque ita regnum receperunt Medi, et rerum, quarum antea domini fuerant, denuo sunt potiti. (3) Tum vero et Ninum ceperunt (quam quo pacto ceperint, in aliis historiarum libris exponam), et Assyrios, excepta Babylonica ditione, sub potestatem suam redegerunt. Post hæc Cyaxares, postquam quadraginta annos (simul numeratis his, quibus penes Scythas fuerat imperium) regnaverat, fato functus est.

CVII. Cyaxari in regnum successit filius Astyages. Huic nata erat filia, cui Mandanæ imposuerat nomen : quæ ei per somnum visa est tantum urinæ fundere, ut et urbs ejus impleretur et tota inundaretur Asia. Quod somnium quum communicasset cum illis ex Magorum numero, qui somniorum interpretationi dabant operam, conterritus est, singula quæque ab iis edoctus. (2) Tum deinde Mandanen, viro jam maturam, Medorum nulli, qui ipsius familia dignus fuisset, in matrimonium dedit, visum istud reformidans; verum Persæ cuidam junxit, cui nomen Cambyses, quem repererat quidem bona familia ortum, et tranquillo hominem ingenio, cæterum quem inferioris esse conditionis, quam mediocrem Medum, judicaverat.

CVIII. Postquam domum duxit Cambyses Mandanen, primo anno aliud vidit visum Astyages. Videbatur ei ex

κει δέ οἱ ἐκ τῶν αἰδοίων τῆς θυγατρὸς ταύτης φῦναι ἄμπελον, τὴν δὲ ἄμπελον ἐπισχεῖν τὴν Ἀσίην πᾶσαν. (2) Ἰδὼν δὲ τοῦτο καὶ ὑπερθέμενος τοῖσι ὀνειροπόλοισι, μετεπέμψατο ἐκ τῶν Περσέων τὴν θυγατέρα ἐπίτεκα ἐοῦσαν, ἀπικομένην δὲ ἐφύλασσε βουλόμενος τὸ γεννώμενον ἐξ αὐτῆς διαφθεῖραι· ἐκ γάρ οἱ τῆς ὄψιος οἱ τῶν μάγων ὀνειροπόλοι ἐσήμαινον ὅτι μέλλοι ὁ τῆς θυγατρὸς αὐτοῦ γόνος βασιλεύσειν ἀντ' ἐκείνου. (3) Ταῦτα δὴ ὧν φυλασσόμενος ὁ Ἀστυάγης, ὡς ἐγένετο ὁ Κῦρος, καλέσας Ἅρπαγον ἄνδρα οἰκήϊον καὶ πιστότατόν τε Μήδων καὶ πάντων ἐπίτροπον τῶν ἑωυτοῦ, ἔλεγέ οἱ τοιάδε, « Ἅρπαγε, πρῆγμα τὸ ἄν τοι προσθέω, μηδαμὰ παραχρήσῃ, μηδὲ ἐμέ τε παραβάλῃ καὶ ἄλλους ἑλόμενος ἐξ ὑστέρης σεωυτῷ περιπέσῃς. Λάβε τὸν Μανδάνη ἔτεκε παῖδα, φέρων δὲ ἐς σεωυτοῦ ἀπόκτεινον· μετὰ δὲ θάψον τρόπῳ ὅτεῳ αὐτὸς βούλεαι· » (4) Ὁ δὲ ἀμείβεται, « ὦ βασιλεῦ, οὔτε ἄλλοτέ κω παρεῖδες ἀνδρὶ τῷδε ἄχαρι οὐδέν, φυλασσόμεθα δὲ ἐς σὲ καὶ ἐς τὸν μετέπειτεν χρόνον μηδὲν ἐξαμαρτέειν. Ἀλλ' εἴ τοι φίλον τοῦτο οὕτω γίνεσθαι, χρὴ δὴ τό γε ἐμὸν ὑπηρετέεσθαι ἐπιτηδέως. »

CIX. Τούτοισι ἀμειψάμενος ὁ Ἅρπαγος, ὡς οἱ παρεδόθη τὸ παιδίον κεκοσμημένον τὴν ἐπὶ θανάτῳ, ἤϊε κλαίων ἐς τὰ οἰκία. Παρελθὼν δὲ ἔφραζε τῇ ἑωυτοῦ γυναικὶ τὸν πάντα Ἀστυάγεω ῥηθέντα λόγον. (2) Ἡ δὲ πρὸς αὐτὸν λέγει, « νῦν ὦν τί σοι ἐν νόῳ ἐστὶ ποιέειν; » Ὁ δὲ ἀμείβεται, « οὐ τῇ ἐνετέλλετο Ἀστυάγης, οὐδ' εἰ παραφρονήσει τε καὶ μανέεται κάκιον ἢ νῦν μαίνεται, οὔ οἱ ἔγωγε προσθήσομαι τῇ γνώμῃ, οὐδὲ ἐς φόνον τοιοῦτον ὑπηρετήσω. (3) Πολλῶν δὲ εἵνεκεν οὐ φονεύσω μιν, καὶ ὅτι αὐτῷ μοι συγγενής ἐστιν ὁ παῖς, καὶ ὅτι Ἀστυάγης μέν ἐστι γέρων καὶ ἄπαις ἔρσενος γόνου· εἰ δ' ἐθελήσει τούτου τελευτήσαντος ἐς τὴν θυγατέρα ταύτην ἀναβῆναι ἡ τυραννὶς, τῆς νῦν τὸν υἱὸν κτείνει δι' ἐμεῦ, ἄλλο τι ἢ λείπεται τὸ ἐνθεῦτεν ἐμοὶ κινδύνων ὁ μέγιστος; Ἀλλὰ τοῦ μὲν ἀσφαλέος εἵνεκεν ἐμοὶ δεῖ τοῦτον τελευτᾶν τὸν παῖδα, δεῖ μέντοι τῶν τινὰ Ἀστυάγεω αὐτοῦ φονέα γενέσθαι, καὶ μὴ τῶν ἐμῶν. »

CX. Ταῦτα εἶπε, καὶ αὐτίκα ἄγγελον ἔπεμπε ἐπὶ τῶν βουκόλων τῶν Ἀστυάγεω τὸν ἥπιστατο νομάς τε ἐπιτηδεωτάτας νέμοντα καὶ οὔρεα θηριωδέστατα, τῷ οὔνομα ἦν Μιτραδάτης. (2) Συνοίκεε δὲ ἑωυτοῦ συνδούλῃ, οὔνομα δὲ τῇ γυναικὶ ἦν, τῇ συνοίκεε, Κυνώ κατὰ τὴν Ἑλλήνων γλῶσσαν, κατὰ δὲ τὴν Μηδικὴν Σπακώ· τὴν γὰρ κύνα καλεῦσι σπάκα Μῆδοι. (3) Αἱ δὲ ὑπώρεαί εἰσι τῶν οὀρέων, ἔνθα τὰς νομὰς τῶν βοῶν εἶχε οὗτος δὴ ὁ βουκόλος, πρὸς βορέεω τε ἀνέμου τῶν Ἀγβατάνων καὶ πρὸς τοῦ πόντου τοῦ Εὐξείνου· ταύτῃ μὲν γὰρ ἡ Μηδικὴ χώρη πρὸς Σασπείρων ὀρεινή ἐστι κάρτα καὶ ὑψηλή τε καὶ ἰδῃσι συνηρεφὴς, ἡ δὲ ἄλλη Μηδικὴ χώρη ἐστὶ πᾶσα ἄπεδος. (4) Ἐπεὶ ὦν ὁ βουκόλος σπουδῇ πολλῇ καλεύμενος ἀπίκετο, ἔλεγε ὁ Ἅρπαγος τάδε, « κελεύει σε Ἀστυάγης τὸ παιδίον τοῦτο

naturalibus hujus filiæ enasci vitis, eaque vitis universam obtinere Asiam. (2) Quo de viso sibi oblato quum retulisset ad somniorum interpretes, arcessivit ex Persis filiam partui vicinam; eamque, postquam advenit, in custodia habuit, interimere cogitans prolem ex ea nasciturum : nam ex viso illo significaverant ei magi somniorum interpretes, prolem filiæ hujus, loco ipsius, regno esse potiturum. (3) Hæc igitur cavens Astyages, simul atque natus erat Cyrus, vocatum ad se Harpagum, virum sibi cognatum, et Medorum fidissimum, cui res suas crederet omnes, his compellavit verbis : « Harpage, quod tibi committo negotium, id cave ne ullo pacto neglectim tractes, neve me decipias, aliisque hominibus studens, tuis ipse artibus dehinc capiaris. Cape quem Mandane peperit puerum, et domum tuam deportatum occide; dein, quoquo modo volueris, sepelito. » (4) Respondit ille « : Nec alias, o rex, vidisti in hoc homine aliquid quod ingratum tibi fuisset; cavebimus vero etiam, ne in posterum quidquam in te delinquamus. Quare si tibi gratum est hoc ita fieri, oportet nempe, quod in me est, idoneam operam præstare. »

CIX. Hoc dato responso Harpagus, quum ei traditus esset puerulus ornatus ut in mortem, abiit flens domum suam : quo ubi venit, sermonem, quem secum Astyages habuerat, uxori suæ retulit. (2) Cui illa, « Nunc ergo, inquit, quidnam facere cogitas? » Et ille : « Non quemadmodum mandavit Astyages; nec, si vel pejus, quam nunc, insanierit furiosusque fuerit, voluntati ejus obsequar, nec hujus cædis minister ero. (3) Multis autem de caussis hunc non occidam; quoniam et mihi cognatus est puer, et ætate provectus est Astyages, proleque caret mascula. Quodsi igitur post illius obitum in hanc filiam regnum transiturum est, cujus nunc puerum per me vult occidere, nonne mihi supererit ut hoc facto in summum discrimen adducar? Verumtamen meæ ipsius salutis caussa necesse est ut moriatur hic puer : oportet autem ut interfector ejus sit non aliquis meorum, sed ex ipsius Astyagis ministris »

CX. His dictis, protinus nuncium misit ad unum ex Astyagis pastoribus, quem noverat pascua habere maxime idonea et montes feris frequentissimos. Nomen huic erat Mitradates; (2) uxorem autem habebat conservam suam, cui nomen, græca lingua, erat Cyno; Medorum vero idiomate Spaco : canem enim spaca dicunt Medi. (3) Saltus autem montium, ubi boum pascua habebat hic bubulcus, ad septemtriones erant Ecbatanorum, Pontum Euxinum versus. Hoc enim in tractu, quem versus Saspires incolunt, montosa admodum est Medica terra, et alta, silvisque opaca, reliqu, vero Media plana est omnis. (4) Vocatus igitur bubulcus postquam nulla interposita mora advenit, hæc ei dixit Harpagus : « Jubet te Astyages hunc puerulum sumere, et locu

λαβόντα θεῖναι ἐς τὸ ἐρημότατον τῶν οὀρέων, ὅκως ἂν τάχιστα διαφθαρείη. Καὶ τάδε τοι ἐκέλευσε εἶπαι, ἢν μὴ ἀποκτείνῃς αὐτὸ, ἀλλά τεῳ τρόπῳ περιποιήσῃ, ὀλέθρῳ τῷ κακίστῳ σε διαχρήσεσθαι. Ἐπορᾶν δὲ ἐκκείμενον τέταγμαι ἐγώ. »

CXI. Ταῦτα ἀκούσας ὁ βουκόλος καὶ ἀναλαβὼν τὸ παιδίον ἦιε τὴν αὐτὴν ὀπίσω ὁδὸν, καὶ ἀπικνέεται ἐς τὴν ἔπαυλιν. Τῷ δ' ἄρα καὶ αὐτῷ ἡ γυνὴ ἐπίτεξ ἐοῦσα πᾶσαν ἡμέρην, τότε κως κατὰ δαίμονα τίκτει οἰχομένου τοῦ βουκόλου ἐς πόλιν. (2) Ἦσαν δὲ ἐν φροντίδι ἀμφότεροι ἀλλήλων πέρι, ὁ μὲν τοῦ τόκου τῆς γυναικὸς ἀρρωδέων, ἡ δὲ γυνὴ ὅ τι οὐκ ἐωθὼς ὁ Ἅρπαγος μεταπέμψαιτο αὐτῆς τὸν ἄνδρα. Ἐπείτε δὲ ἀπονοστήσας ἐπέστη, οἷα ἐξ ἀέλπτου ἰδοῦσα ἡ γυνὴ εἴρετο προτέρη ὅ τι μιν οὕτω προθύμως Ἅρπαγος μεταπέμψαιτο. (3) Ὁ δὲ εἶπε, « ὦ γύναι, εἶδόν τε ἐς πόλιν ἐλθὼν καὶ ἤκουσα τὸ μήτε ἰδέειν ὄφελον μήτε κοτὲ γενέσθαι ἐς δεσπότας τοὺς ἡμετέρους. Οἶκος μὲν πᾶς Ἁρπάγου κλαυθμῷ κατείχετο, ἐγὼ δὲ ἐκπλαγεὶς ἦια ἔσω. Ὡς δὲ τάχιστα ἐσῆλθον, ὁρέω παιδίον προκείμενον ἀσπαίρόν τε καὶ κραυγανόμενον, κεκοσμημένον χρυσῷ τε καὶ ἐσθῆτι ποικίλῃ. (4) Ἅρπαγος δὲ ὡς εἶδέ με, ἐκέλευε τὴν ταχίστην ἀναλαβόντα τὸ παιδίον οἰχεσθαι φέροντα, καὶ θεῖναι ἔνθα θηριωδέστατον εἴη τῶν οὀρέων, φὰς Ἀστυάγεα εἶναι τὸν ταῦτα ἐπιθέμενόν μοι, πολλὰ ἀπειλήσας, εἰ μή σφεα ποιήσαιμι. Καὶ ἐγὼ ἀναλαβὼν ἔφερον, δοκέων τῶν τινὸς οἰκετέων εἶναι· οὐ γὰρ ἄν κοτε κατέδοξα ἔνθεν γε ἦν. (5) Ἐθάμβεον δὲ ὁρέων χρυσῷ τε καὶ εἵμασι κεκοσμημένον, πρὸς δὲ καὶ κλαυθμὸν κατεστεῶτα ἐμφανέα ἐν Ἁρπάγου. Καὶ πρόκατε δὴ κατ' ὁδὸν πυνθάνομαι τὸν πάντα λόγον θεράποντος, ὃς ἐμὲ προπέμπων ἔξω πόλιος ἐνεχείρισε τὸ βρέφος, ὡς ἄρα Μανδάνης τε εἴη παῖς τῆς Ἀστυάγεω θυγατρὸς καὶ Καμβύσεω τοῦ Κύρου, καί μιν Ἀστυάγης ἐντέλλεται ἀποκτεῖναι. Νῦν τε ὅδε ἐστί. »

CXII. Ἅμα δὲ ταῦτα ἔλεγε ὁ βουκόλος καὶ ἐκκαλύψας ἀπεδείκνυε. Ἡ δὲ ὡς εἶδε τὸ παιδίον μέγα τε καὶ εὐειδὲς ἐὸν, δακρύσασα καὶ λαβομένη τῶν γουνάτων τοῦ ἀνδρὸς ἐχρήιζε μηδεμιῇ τέχνῃ ἐκθεῖναί μιν. Ὁ δὲ οὐκ ἔφη οἷός τ' εἶναι ἄλλως αὐτὰ ποιέειν· ἐπιφοιτήσειν γὰρ κατασκόπους ἐξ Ἁρπάγου ἐποψομένους, ἀπολέεσθαί τε κάκιστα ἢν μή σφεα ποιήσῃ. (2) Ὡς δὲ οὐκ ἔπειθε ἄρα τὸν ἄνδρα, δεύτερα λέγει ἡ γυνὴ τάδε, « ἐπεὶ τοίνυν οὐ δύναμαί σε πείθειν μὴ ἐκθεῖναι, σὺ δὲ ὧδε ποίησον, εἰ δὴ πᾶσά γε ἀνάγκη ὀφθῆναι ἐκκείμενον. Τέτοκα γὰρ καὶ ἐγὼ, τέτοκα δὲ τεθνεός. (3) Τοῦτο μὲν φέρων πρόθες, τὸν δὲ τῆς Ἀστυάγεω θυγατρὸς παῖδα ὡς ἐξ ἡμέων ἐόντα τρέφωμεν. Καὶ οὕτω οὔτε σὺ ἁλώσεαι ἀδικέων τοὺς δεσπότας, οὔτε ἡμῖν κακῶς βεβουλευμένα ἔσται· ὅ τε γὰρ τεθνεὼς βασιλήιης ταφῆς κυρήσει καὶ ὁ περιεὼν οὐκ ἀπολέει τὴν ψυχήν. »

CXIII. Κάρτα τε ἔδοξε τῷ βουκόλῳ πρὸς τὰ παρεόντα εὖ λέγειν ἡ γυνὴ, καὶ αὐτίκα ἐποίεε ταῦτα. Τὸν

maxime deserto montium deponere, ut quam citissime pereat. Et hoc præterea me jussit tibi dicere, nisi illum occideris, sed quocumque modo superstitem esse curaveris, pessimo exitio te ab ipso periturum. Mihi autem injunctum est, ut expositum inspiciam. »

CXI. His auditis bubulcus, accepto puerulo, rediit eadem via, et ad stabula pervenit. Forte autem fortuna accidit ut pastoris etiam hujus uxor, quum per totum diem parturiisset, tunc pepererit, quum pastor in urbem esset profectus. (2) Erant autem anxii uterque alterius caussa, ille timens partui uxoris; uxor autem, quod alioquin non solitus esset Harpagus ad se vocare ipsius maritum. Ut vero ex itinere redux adstitit pastor, tamquam ex insperato eum conspiciens mulier, prior ex illo quæsivit, quid esset quod tam propere eum ad se vocasset Harpagus. (3) Tum ille, « O mulier, inquit, urbem ingressus vidi audivique quæ numquam videre me fas erat, nec unquam cadere debebant nostros in dominos. Tota Harpagi domus fletu erat oppleta; et ego consternatus ivi intro. Ut primum intravi, vidi puerulum in medio positum, palpitantem clamitantemque, auro et variegata veste ornatum. (4) Harpagus ut me conspexit, jussit acceptum ocyus puerum asportare, in locoque feris maxime obnoxio montium deponere; Astyagem esse dicens, qui hoc mihi injungeret, multas adjiciens minas ni mandata exsequerer. Et ego sumens puerum asportavi, ratus esse alicujus e domesticis; nunquam enim exputare potuissem unde esset. (5) Stupebam autem videns auro pretiosaque veste ornatum puerum, ad hæc vero planctum manifestum in Harpagi ædibus. Sed protinus in itinere totam rem cognovi ex famulo, qui me urbe egredientem comitatus est, infantemque mihi tradidit; esse scilicet puerum Mandana natum, Astyagis filia, et Cambyse, Cyri filio; Astyagemque occidi eum jubere. Et ecce hic ille est! »

CXII. Hæc dicens bubulcus, puerum detectum ostendit. Et illa, ut vidit puerum, magnum et formosum, lacrimans genuaque complectens mariti, oravit ut neutiquam illum exponeret. At ille negavit se aliter facere posse; adventuros enim ab Harpago speculatores, rem inspecturos; seque misere periturum, nisi imperata fecisset. (2) Mulier, ut viro non persuasit, iterum hæc ei verba fecit: « Quoniam ergo persuadere tibi, ne exponas puerum, non possum; at tu, si utique necesse est ut conspiciatur expositus, ita fac. Nempe et ego peperi, et quidem mortuum enixa sum. (3) Hunc tu asporta et expone; puerum vero filiæ Astyagis alamus ut a nobis progenitum: ita nec tu convinceris deliquisse adversus heros nostros, nec nobis male fuerit consultum. Defunctus enim regiam consequetur sepulturam; et, qui superstes est, vitam non amittet. »

CXII. Optime ad rem præsentem dicere mulier visa est pastori, et statim rem est exsecutus. Quem puerum

μὲν ἔφερε θανατώσων παῖδα, τοῦτον μὲν παραδιδοῖ τῇ ἑωυτοῦ γυναικὶ, τὸν δὲ ἑωυτοῦ ἐόντα νεκρὸν λαβὼν ἔθηκε ἐς τὸ ἄγγος ἐν τῷ ἔφερε τὸν ἕτερον· κοσμήσας δὲ τῷ κόσμῳ παντὶ τοῦ ἑτέρου παιδὸς, φέρων ἐς τὸ ἐρημότατον τῶν οὐρέων τιθεῖ. (2) Ὡς δὲ τρίτη ἡμέρη τῷ παιδίῳ ἐκκειμένῳ ἐγένετο, ἦϊε ἐς πόλιν ὁ βουκόλος, τῶν τινὰ προβοσκῶν φύλακον αὐτοῦ καταλιπών, ἐλθὼν δὲ ἐς τοῦ Ἅρπάγου ἀποδεικνύναι ἔφη ἑτοῖμος εἶναι τοῦ παιδίου τὸν νέκυν. (3) Πέμψας δὲ ὁ Ἅρπαγος τῶν ἑωυτοῦ δορυφόρων τοὺς πιστοτάτους, εἶδέ τε διὰ τούτων καὶ ἔθαψε τοῦ βουκόλου τὸ παιδίον. Καὶ τὸ μὲν ἐτέθαπτο, τὸν δὲ ὕστερον τούτων Κῦρον οὐνομασθέντα παραλαβοῦσα ἔτρεφε ἡ γυνὴ τοῦ βουκόλου, οὔνομα ἄλλο κού τι καὶ οὐ Κῦρον θεμένη.

CXIV. Καὶ ὅτε δὴ ἦν δεκαέτης ὁ παῖς, πρῆγμα ἐς αὐτὸν τοιόνδε γενόμενον ἐξέφηνέ μιν. Ἔπαιζε ἐν τῇ κώμῃ ταύτῃ ἐν τῇ ἔσαν καὶ αἱ βουκολίαι αὗται, ἔπαιζε δὲ μετ' ἄλλων ἡλίκων ἐν ὁδῷ. (2) Καὶ οἱ παῖδες παίζοντες εἵλοντο ἑωυτῶν βασιλέα εἶναι τοῦτον δὴ τὸν τοῦ βουκόλου ἐπίκλησιν παῖδα. Ὁ δὲ αὐτῶν διέταξε τοὺς μὲν οἰκίας οἰκοδομέειν, τοὺς δὲ δορυφόρους εἶναι, τὸν δέ κού τινα αὐτῶν ὀφθαλμὸν βασιλέος εἶναι, τῷ δέ τινι τὰς ἀγγελίας ἐσφέρειν ἐδίδου γέρας, ὡς ἑκάστῳ ἔργον προστάσσων. (3) Εἷς δὴ τούτων τῶν παίδων συμπαίζων, ἐὼν Ἀρτεμβάρεω παῖς ἀνδρὸς δοκίμου ἐν Μήδοισι, οὐ γὰρ δὴ ἐποίησε τὸ προσταχθὲν ἐκ τοῦ Κύρου, ἐκέλευε αὐτὸν τοὺς ἄλλους παῖδας διαλαβέειν, πειθομένων δὲ τῶν παίδων ὁ Κῦρος τὸν παῖδα τρηχέως κάρτα περιέσπε μαστιγέων. (4) Ὁ δὲ ἐπείτε μετείθη τάχιστα, ὡς γε δὴ ἀνάξια ἑωυτοῦ παθὼν, μᾶλλόν τι περιημέκτεε, κατελθὼν δὲ ἐς πόλιν πρὸς τὸν πατέρα ἀποικτίζετο τῶν ὑπὸ Κύρου ἤντησε, λέγων δὲ οὐ Κύρου (οὐ γάρ κω ἦν τοῦτο τὸ οὔνομα) ἀλλὰ πρὸς τοῦ βουκόλου τοῦ Ἀστυάγεω παιδός. (5) Ὁ δὲ Ἀρτεμβάρης ὀργῇ, ὡς εἶχε, ἐλθὼν παρὰ τὸν Ἀστυάγεα, καὶ ἅμα ἀγόμενος τὸν παῖδα, ἀνάρσια πρήγματα ἔφη πεπονθέναι, λέγων, « ὦ βασιλεῦ, ὑπὸ τοῦ σοῦ δούλου, βουκόλου δὲ παιδὸς ὧδε περιυβρίσμεθα, » δεικνὺς τοῦ παιδὸς τοὺς ὤμους.

CXV. Ἀκούσας δὲ καὶ ἰδὼν ὁ Ἀστυάγης, ἐθέλων τιμωρῆσαι τῷ παιδὶ τιμῆς τῆς Ἀρτεμβάρεω εἵνεκεν, μετεπέμπετο τόν τε βουκόλον καὶ τὸν παῖδα. Ἐπείτε δὲ παρῆσαν ἀμφότεροι, βλέψας πρὸς τὸν Κῦρον ὁ Ἀστυάγης ἔφη, « σὺ δὴ ἐὼν τοῦδε τοιούτου ἐόντος παῖς ἐτόλμησας τὸν τοῦδε παῖδα ἐόντος πρώτου παρ' ἐμοὶ ἀεικίῃ τοιῇδε περισπεῖν; » (2) Ὁ δὲ ἀμείβετο ὧδε, « ὦ δέσποτα, ἐγὼ ταῦτα τοῦτον ἐποίησα σὺν δίκῃ. Οἱ γάρ με ἐκ τῆς κώμης παῖδες, τῶν καὶ ὅδε ἦν, παίζοντες σφέων αὐτῶν ἐστήσαντο βασιλέα· ἐδόκεον γάρ σφι εἶναι ἐς τοῦτο ἐπιτηδεώτατος. (3) Οἱ μέν νυν ἄλλοι παῖδες τὰ ἐπιτασσόμενα ἐπετέλεον, οὗτος δὲ ἀνηκούστεέ τε καὶ λόγον εἶχε οὐδένα, ἐς ὃ ἔλαβε τὴν δίκην. Εἰ ὧν δὴ τοῦδε εἵνεκεν ἄξιός τευ κακοῦ εἰμὶ, ὅδε τοι πάρειμι. »

CXVI. Ταῦτα λέγοντος τοῦ παιδὸς τὸν Ἀστυάγεα

morti traditurus attulerat, eum tradidit uxori: suum vero, qui mortuus erat, in vas illud, in quo alterum attulerat, imposuit; et omni cultu alterius pueri ornatum, in desertissimam regionem montium deportatum exposuit. (2) Postquam in tertium diem expositus infans fuit, in urbem proficiscitur pastor, subbubulcorum aliquo custode illius relicto; et ad Harpagum ingressus, paratum se esse, ait, cadaver pueruli ostendere. (3) Harpagus, missis satellitum suorum fidissimis, per hos inspexit, sepelivitque pastoris puerum. Quo sepulto, illum qui postmodum Cyrus adpellatus est sumsit enutrivitque pastoris uxor, aliud ei nomen, non Cyri, imponens.

CXIV. Is quum decem annorum esset puer, res quædam accidit hujusmodi, quæ eum cognitum fecit. Ludebat in eo vico, in quo erant boum greges quos diximus, ludebat autem in via publica: (2) et pueri cum eo colludentes regem suum elegerant hunc quem pastoris filium vulgo nominabant. Ille igitur horum aliis partes distribuebat ædificandi domos, aliis ut essent satellites, uni etiam eorum ut esset regis oculus, alii munus dedit intro ferendi nuncios; atque ita singulis proprias adsignaverat partes. (3) Quum autem unus horum puerorum colludens cum reliquis, qui erat Artembarei filius, nobilis inter Medos viri, mandatis Cyri non paruisset; jussit Cyrus ceteros pueros medium illum comprehendere. Qui quum ei morem gessissent, aspere admodum Cyrus tractavit puerum. (4) Ille vero, simul atque dimissus est, gravissime offensus, ut qui indigna sese passus esset, in urbem abiit; et apud patrem de his, quæ ei a Cyro accidissent, acriter est conquestus; non a Cyro dicens) nec enim jam tum erat ei hoc nomen), sed a filio bubulci Astyagis. (5) Et Artembares ira excandescens regem e vestigio adiit, filium secum ducens, et indigna se passum esse aiebat, dicens: « O rex, a tuo servo, qui bubulci est filius, in hunc modum (hic humeros filii ostendebat) contumelia sumus adfecti. »

CXV. Hæc audiens conspiciensque Astyages, quum vellet honoris Artembaris gratia ulcisci filium, arcessivit bubulcum et puerum. Qui ubi adfuerunt ambo, Cyrum intuitus Astyages ait: « Tu vero, quum sis hujus talis hominis gnatus, ausus es filium hujus viri, qui apud me principe loco est, ita contumeliose tractare! » (2) Cui Cyrus ita respondit: » At equidem, o domine, cum eo sic egi jure meritoque. Nam colludentes ex vico nostro pueri, quorum in numero hic fuit, regem me constituerant: visus enim illis eram ad hoc maxime idoneus. (3) Igitur reliqui pueri imperata faciebant; at hic dicto non erat audiens, et mandata nihili faciebat, donec tandem pœna ei est inflicta. Quodsi ergo hujus rei caussa malum aliquod commerui; en tibi præsto sum! »

CXVI. Hæc dum puer loquebatur, subiit Astyagem ut il-

ἐσήϊε ἀνάγνωσις αὐτοῦ, καί οἱ ὅ τε χαρακτὴρ τοῦ προσώπου προσφέρεσθαι ἐδόκεε ἐς ἑωυτὸν καὶ ἡ ὑπόκρισις ἐλευθεριωτέρη εἶναι, ὅ τε χρόνος τῆς ἐκθέσιος τῇ ἡλικίῃ τοῦ παιδὸς ἐδόκεε συμβαίνειν. (2) Ἐκπλαγεὶς δὲ τούτοισι ἐπὶ χρόνον ἄφθογγος ἦν. Μόγις δὲ δή κοτε ἀνενειχθεὶς εἶπε, θέλων ἐκπέμψαι τὸν Ἀρτεμβάρεα, ἵνα τὸν βουκόλον μοῦνον λαβὼν βασανίσῃ, « Ἀρτέμβαρες, ἐγὼ ταῦτα ποιήσω ὥστε σὲ καὶ τὸν παῖδα τὸν σὸν μηδὲν ἐπιμέμφεσθαι. » (3) Τὸν μὲν δὴ Ἀρτεμβάρεα πέμπει, τὸν δὲ Κῦρον ἦγον ἔσω οἱ θεράποντες κελεύσαντος τοῦ Ἀστυάγεω. Ἐπεὶ δὲ ὑπελέλειπτο ὁ βουκόλος μοῦνος μουνόθεν, τάδε αὐτὸν εἴρετο ὁ Ἀστυάγης, κόθεν λάβοι τὸν παῖδα καὶ τίς εἴη ὁ παραδούς. (4) Ὁ δὲ ἐξ ἑωυτοῦ τε ἔφη γεγονέναι καὶ τὴν τεκοῦσαν αὐτὸν ἔτι εἶναι παρ' ἑωυτῷ. Ἀστυάγης δέ μιν οὐκ εὖ βουλεύεσθαι ἔφη ἐπιθυμέοντα ἐς ἀνάγκας μεγάλας ἀπικνέεσθαι. Ἅμα τε λέγων ταῦτα ἐσήμαινε τοῖσι δορυφόροισι λαμβάνειν αὐτόν. (5) Ὁ δὲ ἀγόμενος ἐς τὰς ἀνάγκας οὕτω δὴ ἔφαινε τὸν ἐόντα λόγον. Ἀρχόμενος δὴ ἀπ' ἀρχῆς διεξῄϊε τῇ ἀληθείῃ χρεώμενος, καὶ κατέβαινε ἐς λιτάς τε καὶ συγγνώμην ἑωυτῷ κελεύων ἔχειν αὐτόν.

CXVII. Ἀστυάγης δὲ τοῦ μὲν βουκόλου τὴν ἀλήθειαν ἐκφήναντος λόγον ἤδη καὶ ἐλάσσω ἐποιέετο, Ἁρπάγῳ δὲ καὶ μεγάλως μεμφόμενος καλέειν αὐτὸν τοὺς δορυφόρους ἐκέλευε. Ὡς δέ οἱ παρῆν ὁ Ἅρπαγος, εἴρετό μιν ὁ Ἀστυάγης, « Ἅρπαγε, τέῳ δὴ μόρῳ τὸν παῖδα κατεχρήσαο τόν τοι παρέδωκα ἐκ θυγατρὸς γεγονότα τῆς ἐμῆς; » (2) Ὁ δὲ Ἅρπαγος ὡς εἶδε τὸν βουκόλον ἔνδον ἐόντα, οὐ τράπεται ἐπὶ ψευδέα ὁδὸν, ἵνα μὴ ἐλεγχόμενος ἁλίσκηται, ἀλλὰ λέγει τάδε, « ὦ βασιλεῦ, ἐπείτε παρέλαβον τὸ παιδίον, ἐβούλευον σκοπέων ὅκως σοί τε ποιήσω κατὰ νόον, καὶ ἐγὼ πρὸς σὲ γινόμενος ἀναμάρτητος μήτε θυγατρὶ τῇ σῇ μήτε αὐτῷ σοὶ εἶην αὐθέντης. (3) Ποιέω δὴ ὧδε. Καλέσας τὸν βουκόλον τόνδε παραδίδωμι τὸ παιδίον, φὰς σέ τε εἶναι τὸν κελεύοντα ἀποκτεῖναι αὐτό. Καὶ λέγων τοῦτό γε οὐκ ἐψευδόμην· σὺ γὰρ ἐνετέλλεο οὕτω. (4) Παραδίδωμι μέντοι τῷδε κατὰ τάδε, ἐντειλάμενος θεῖναί μιν ἐς ἐρῆμον οὖρος καὶ παραμένοντα φυλάσσειν ἄχρι οὗ τελευτήσῃ, ἀπειλήσας παντοῖα τῷδε, ἢν μὴ τάδε ἐπιτελέα ποιήσῃ. (5) Ἐπείτε δὲ ποιήσαντος τούτου τὰ κελευόμενα ἐτελεύτησε τὸ παιδίον, πέμψας τῶν εὐνούχων τοὺς πιστοτάτους καὶ εἶδον δι' ἐκείνων καὶ ἔθαψά μιν. Οὕτω ἔσχε, ὦ βασιλεῦ, περὶ τοῦ πρήγματος τούτου, καὶ τοιούτῳ μόρῳ ἐχρήσατο ὁ παῖς. » Ἅρπαγος μὲν δὴ τὸν ἰθὺν ἔφαινε λόγον.

CXVIII. Ἀστυάγης δὲ κρύπτων τόν οἱ ἐνεῖχε χόλον διὰ τὸ γεγονὸς, πρῶτα μὲν, κατά περ ἤκουσε αὐτὸς πρὸς τοῦ βουκόλου τὸ πρῆγμα, πάλιν ἀπηγέετο τῷ Ἁρπάγῳ, μετὰ δὲ, ὡς οἱ ἐπαλιλλόγητο, κατέβαινε λέγων ὡς περίεστί τε ὁ παῖς καὶ τὸ γεγονὸς ἔχει καλῶς· « τῷ τε γὰρ πεποιημένῳ » ἔφη λέγων « ἐς τὸν παῖδα τοῦτον ἔκαμνον μεγάλως, καὶ θυγατρὶ τῇ ἐμῇ διαβεβλημένος οὐκ ἐν ἐλαφρῷ ἐποιεύμην. (2) Ὡς ὦν τῆς

lum agnosceret; quum et faciei species convenire cum sua videretur, et responsum esse liberalius, et tempus expositionis cum ætate pueri videretur congruere. (2) Quibus rebus perculsus, aliquantum temporis continuit vocem. Ægre tandem se recipiens, volensque Artembarem dimittere, quo pastorem solum secum relictum posset percunctari : « Artembares, inquit, hæc equidem ita confecturus sum, ut nec tu nec filius tuus habeatis de quo conqueramini. » (3) Dimisso Artembare, Cyrum in interiora ædium introducunt famuli jussu Astyagis. Jamque solum relictum pastorem interrogavit Astyages, puerum hunc unde acceperit, et quis esset qui eum illi tradidisset : (4) et ille ex se progenitum, ait, matremque pueri adhuc domi suæ vivere. Astyages vero, non bene illum sibi consulere, inquit, qui velit tormentis ad confitendum adigi : dumque hæc loquitur, signum dat satellitibus ut corripiant hominem. (5) Tum ille, tormentis expromtis, ita demum rem, ut erat, declaravit : nempe a principio orsus, omnia persecutus est, nihil a veritate deflectens; denique ad preces descendit, et, ut veniam sibi rex daret, oravit.

CXVII. Astyages, postquam verum pastor erat confessus, jam minorem rationem culpæ ejus habuit; sed Harpago vehementer indignatus, jussit satellites eum vocare. Qui ubi adfuit, quæsivit ex eo Astyages : Harpage, quonam genere mortis interfecisti puerum, quem tibi tradidi ex filia mea natum? (2) Harpagus, quum pastorem videret intus esse, non ad mendacia se convertit, ne veritate convictus caperetur; sed in hunc modum locutus est : « O rex, postquam puerum accepi, deliberavi mecum, anquirens quo pacto et tibi ex voluntate tua facerem, et, dum apud te culpa vacarem, nec filiæ tuæ, nec ipsi tibi, essem mea manu carnifex. (3) Igitur ita statui agendum. Pastori huic, ad me vocato, tradidi puerum, dicens te esse qui illum occidi juberes : atque hoc dicens, non sum mentitus; tu enim ita jusseras. (4) Tradidi autem ei hoc modo, ut mandaverim, exponeret illum in deserto monte, et maneret observaretque donec vitam finiisset; multa huic comminatus nisi hæc effecta dedisset. (5) Postquam hic imperata fecit, obiitque puer, tum eunuchorum fidelissimos misi, per eosque inspexi mortuum, et sepelivi. Tali modo, rex, gesta est hæc res, talique fato functus est puer. » Sic igitur Harpagus ex vero rem exposuit.

CXVIII. Astyages autem, tegens iram quam adversus eum ob id factum animo conceptam habebat, primum ei rursus narravit rem prouti ex bubulco ipse audiverat; tum, postquam ei hoc repetierat, ad extremum dixit, superesse puerum, et, quæ facta sint, bene habere. « Etenim (sic perrexit dicere) admissum in hunc puerum facinus et graviter ipse dolebam, et, quod in filiæ meæ offensionem incurrissem, haud leviter ferebam. (2) Nunc ergo feliciter

τύχης εὖ μετεστεώσης, τοῦτο μὲν τὸν σεωυτοῦ παῖδα ἀπόπεμψον παρὰ τὸν παῖδα τὸν νεήλυδα, τοῦτο δὲ (σῶστρα γὰρ τοῦ παιδὸς μέλλω θύειν, τοῖσι θεῶν τιμὴ αὕτη προσκέεται) πάρισθί μοι ἐπὶ δεῖπνον. »

CXIX. Ἅρπαγος μὲν ὡς ἤκουσε ταῦτα, προσκυνήσας καὶ μεγάλα ποιησάμενος ὅτι τε ἡ ἁμαρτάς οἱ ἐς δέον ἐγεγόνεε καὶ ὅτι ἐπὶ τύχῃσι χρηστῇσι ἐπὶ δεῖπνον ἐκέκλητο, ἤϊε ἐς τὰ οἰκία. Ἐσελθὼν δὲ τὴν ταχίστην, ἦν γάρ οἱ παῖς εἷς μοῦνος, ἔτεα τρία καὶ δέκα κου μάλιστα γεγονὼς, τοῦτον ἐκπέμπει, ἑναί τε κελεύων ἐς Ἀστυάγεω καὶ ποιέειν ὅ τι ἂν ἐκεῖνος κελεύῃ. Αὐτὸς δὲ περιχαρὴς ἐὼν φράζει τῇ γυναικὶ τὰ συγκυρήσαντα. (2) Ἀστυάγης δὲ, ὡς οἱ ἀπίκετο ὁ Ἅρπάγου παῖς, σφάξας αὐτὸν καὶ κατὰ μέλεα διελὼν τὰ μὲν ὤπτησε, τὰ δὲ ἥψησε τῶν κρεῶν, εὖτυκτα δὲ ποιησάμενος εἶχε ἑτοῖμα. (3) Ἐπείτε δὲ τῆς ὥρης γινομένης τοῦ δείπνου παρῆσαν οἵ τε ἄλλοι δαιτυμόνες καὶ ὁ Ἅρπαγος, τοῖσι μὲν ἄλλοισι καὶ αὐτῷ Ἀστυάγεϊ παρετιθέατο τράπεζαι ἐπίπλεαι μηλείων κρεῶν, Ἁρπάγῳ δὲ τοῦ παιδὸς τοῦ ἑωυτοῦ, πλὴν κεφαλῆς τε καὶ ἄκρων χειρῶν τε καὶ ποδῶν, τἆλλα πάντα· ταῦτα δὲ χωρὶς ἐκέετο ἐπὶ κανέῳ κατακεκαλυμμένα. (4) Ὡς δὲ τῷ Ἁρπάγῳ ἐδόκεε ἅλις ἔχειν τῆς βορῆς, Ἀστυάγης εἴρετό μιν εἰ ἡσθείη τι τῇ θοίνῃ. Φαμένου δὲ Ἁρπάγου καὶ κάρτα ἡσθῆναι, παρέφερον, τοῖσι προσεκέετο, τὴν κεφαλὴν τοῦ παιδὸς κατακεκαλυμμένην καὶ τὰς χεῖρας καὶ τοὺς πόδας, Ἅρπαγον δὲ ἐκέλευον προσστάντες ἀποκαλύπτειν τε καὶ λαβέειν τὸ βούλεται αὐτῶν. (5) Πειθόμενος δὲ ὁ Ἅρπαγος καὶ ἀποκαλύπτων ὁρᾷ τοῦ παιδὸς τὰ λείμματα. Ἰδὼν δὲ οὔτε ἐξεπλάγη, ἐντός τε ἑωυτοῦ γίνεται. (6) Εἴρετο δὲ αὐτὸν ὁ Ἀστυάγης εἰ γινώσκοι ὅτευ θηρίου κρέα βεβρώκοι. Ὁ δὲ καὶ γινώσκειν ἔφη, καὶ ἀρεστὸν εἶναι πᾶν τὸ ἂν βασιλεὺς ἔρδῃ. Τούτοισι δὲ ἀμειψάμενος, καὶ ἀναλαβὼν τὰ λοιπὰ τῶν κρεῶν, ἤϊε ἐς τὰ οἰκία. Ἐνθεῦτεν δὲ ἔμελλε, ὡς ἐγὼ δοκέω, ἁλίσας θάψειν τὰ πάντα.

CXX. Ἅρπάγῳ μὲν Ἀστυάγης δίκην ταύτην ἐπέθηκε, Κύρου δὲ πέρι βουλεύων ἐκάλεε τοὺς αὐτοὺς τῶν μάγων οἳ τὸ ἐνύπνιόν οἱ ταύτῃ ἔκριναν. Ἀπικομένους δὲ εἴρετο ὁ Ἀστυάγης τῇ ἔκρινάν οἱ τὴν ὄψιν. Οἱ δὲ κατὰ ταὐτὰ εἶπαν, λέγοντες ὡς βασιλεῦσαι χρῆν τὸν παῖδα, εἰ ἐπέζησε καὶ μὴ ἀπέθανε πρότερον. (2) Ὁ δὲ ἀμείβεται αὐτοὺς τοισίδε, « ἔστι τε ὁ παῖς καὶ περίεστι, καί μιν ἐπ' ἀγροῦ διαιτώμενον οἱ ἐκ τῆς κώμης παῖδες ἐστήσαντο βασιλέα. Ὁ δὲ πάντα, ὅσα περ οἱ ἀληθεῖ λόγῳ βασιλέες, ἐτελέωσε ποιήσας· καὶ γὰρ δορυφόρους καὶ θυρωροὺς καὶ ἀγγελιηφόρους καὶ τὰ λοιπὰ πάντα διατάξας ἦρχε. Καὶ νῦν ἐς τί ὑμῖν ταῦτα φαίνεται φέρειν; » (3) Εἶπαν οἱ μάγοι, « εἰ μὲν περίεστί τε καὶ ἐβασίλευσε ὁ παῖς μὴ ἐκ προνοίης τινὸς, θάρσεέ τε τούτου εἵνεκεν καὶ θυμὸν ἔχε ἀγαθόν· οὐ γὰρ ἔτι τὸ δεύτερον ἄρξει. Παρὰ σμικρὰ γὰρ καὶ τῶν λογίων ἡμῖν ἔνια κεχώρηκε, καὶ τά γε τῶν ὀνειράτων ἐχόμενα τελέως ἐς ἀσθενὲς ἔρχεται. » (4) Ἀμείβεται Ἀστυάγης

conversa fortuna, tu tuum filium mitte ad hunc puerum recens advenam, et ipse quoque mihi ad cœnam adesto; nam pro servato puero sacra diis, ad quos hic honos pertinet, sum facturus. »

CXIX. His auditis Harpagus adoravit regem, et admodum gratulatus sibi, quod et delictum commode ipsi cessisset, et quod felicibus auspiciis ad cœnam esset vocatus, domum rediit. Quam ubi ingressus est, protinus filium, quem habuit unicum, tredecim fere annos natum, emittit, adire jubens Astyagis ædes, et facere quidquid ille jussisset. Ipse vero supra modum gavisus, narravit uxori quæ evenissent. (2) At Astyages, ut ad eum venit Harpagi filius, jugulavit eum, et membratim concidens corpus, partim assavit carnes, partim elixavit; easque postquam recte paratæ fuerunt, in promtu habuit. (3) Tum, ubi cœnæ adfuit hora, quum convenissent et reliqui convivæ et Harpagus, aliis convivis et ipsi Astyagi adponebantur mensæ carnibus agninis refertæ; Harpago vero partes omnes corporis filii ipsius, excepto capite et extremis manibus pedibusque : hæc enim seorsum in canistro reposita erant contecta. (4) Postquam satis pastus illo cibo sibi visus erat Harpagus, quæsivit ex eo Astyages, numquid delectatus esset epulo : qui ubi respondit, valde quidem se eo esse delectatum, attulerunt, quibus id mandatum erat, caput pueri obtectum et manus pedesque; et adstantes jusserunt Harpagum detegere, sumereque ex eis quidquid libuisset. (5) Harpagus obtemperans, ubi detexit, conspicit filii sui reliquias : quo quidem spectaculo non consternatus est, sed sui compos mansit. (6) Quæsivit autem ex eo Astyages, cognosceretne cujus feræ carnes comedisset? Cui ille, et noscere se, respondit, et placere sibi quidquid rex faceret. Hoc dato responso, sumtis secum reliquis carnibus, domum abiit. Inde collectas, ut puto, reliquias cunctas erat humaturus.

CXX. Hac ultione de Harpago capta, de Cyro deliberans Astyages eosdem vocavit magos, qui ei insomnium in istam partem interpretati erant. Qui ubi convenerunt, quæsivit ex iis, quam in partem interpretati essent insomnium. Illi vero eodem modo responderunt; dicentes, in fatis fuisse ut regnaret puer, si in vita mansisset, nec ante tempus decessisset. (2) Excepit Astyages : « Atqui vivit puer, et superest : et ruri agentem pueri ejusdem pagi regem elegerunt : atque ille, quæcumque faciunt vere nominati reges, cumulate fecit; nam et satellites, et janitores, et internuncios, et qui reliquis præessent muneribus, habuit constitutos. Et nunc, quorsum vobis hæc valere videntur? » (3) Responderunt magi : « Si superest puer, et regnavit non præmeditato, confide hactenus, et bono esto animo; non enim iterum regnabit. Nam in exiguum quiddam etiam oraculorum nonnulla nobis exierunt; et quæ de genere sunt insomniorum, ea quidem in admodum exile quidpiam subinde desinunt. » (4) Ad hæc Astyages, « Et

τοισίδε, « καὶ αὐτὸς, ὦ μάγοι, ταύτῃ πλεῖστος γνώμην εἰμὶ, βασιλέος οὐνομασθέντος τοῦ παιδὸς ἐξήκειν τε τὸν ὄνειρον καί μοι τὸν παῖδα τοῦτον εἶναι δεινὸν οὐδὲν ἔτι. Ὅμως μέν γέ τοι συμβουλεύσατέ μοι, εὖ περισκεψάμενοι, τὰ μέλλει ἀσφαλέστατα εἶναι οἴκῳ τε τῷ ἐμῷ καὶ ὑμῖν. » (5) Εἶπαν πρὸς ταῦτα οἱ μάγοι, « ὦ βασιλεῦ, καὶ αὐτοῖσι ἡμῖν περὶ πολλοῦ ἐστὶ κατορθοῦσθαι ἀρχὴν τὴν σήν. Ἐκείνως μὲν γὰρ ἀλλοτριοῦται ἐς τὸν παῖδα τοῦτον περιοῦσα ἐόντα Πέρσην, καὶ ἡμεῖς ἐόντες Μῆδοι δουλούμεθά τε καὶ λόγου οὐδενὸς γινόμεθα πρὸς Περσέων, ἐόντες ξεῖνοι· σέο δ' ἐνεστεῶτος βασιλέος, ἐόντος πολιήτεω, καὶ ἄρχομεν τὸ μέρος καὶ τιμὰς πρὸς σέο μεγάλας ἔχομεν. (6) Οὕτω ὦν πάντως ἡμῖν σέο τε καὶ τῆς σῆς ἀρχῆς προοπτέον ἐστί. Καὶ νῦν εἰ φοβερόν τι ὠρέομεν, πᾶν ἄν σοι προεφράζομεν· νῦν δὲ ἀποσκήψαντος τοῦ ἐνυπνίου ἐς φλαῦρον αὐτοί τε θαρσέομεν καὶ σοὶ ἕτερα τοιαῦτα παρακελευόμεθα. Τὸν δὲ παῖδα τοῦτον ἐξ ὀφθαλμῶν ἀπόπεμψαι ἐς Πέρσας τε καὶ τοὺς γειναμένους. »

CXXI. Ἀκούσας ταῦτα ὁ Ἀστυάγης ἐχάρη τε καὶ καλέσας τὸν Κῦρον ἔλεγέ οἱ τάδε, « ὦ παῖ, σὲ γὰρ ἐγὼ δι' ὄψιν ὀνείρου οὐ τελέην ἠδίκεον, τῇ σεωυτοῦ δὲ μοίρῃ περίεις· νῦν ὦν ἴθι χαίρων ἐς Πέρσας, πομποὺς δ' ἐγὼ ἅμα πέμψω. Ἐλθὼν δὲ ἐκεῖ πατέρα τε καὶ μητέρα εὑρήσεις οὐ κατὰ Μιτραδάτεά τε τὸν βουκόλον καὶ τὴν γυναῖκα αὐτοῦ. »

CXXII. Ταῦτα εἶπας ὁ Ἀστυάγης ἀποπέμπει τὸν Κῦρον· νοστήσαντα δέ μιν ἐς τοῦ Καμβύσεω τὰ οἰκία ἐδέξαντο οἱ γεινάμενοι, καὶ δεξάμενοι ὡς ἐπύθοντο, μεγάλως ἠσπάζοντο οἷα δὴ ἐπιστάμενοι αὐτίκα τότε τελευτῆσαι, ἱστόρεόν τε ὅτεῳ τρόπῳ περιγένοιτο. (2) Ὁ δέ σφι ἔλεγε, φὰς πρὸ τοῦ μὲν οὐκ εἰδέναι, ἀλλ' ἡμαρτηκέναι πλεῖστον, κατ' ὁδὸν δὲ πυθέσθαι πᾶσαν τὴν ἑωυτοῦ πάθην· ἐπίστασθαι μὲν γὰρ ὡς βουκόλου τοῦ Ἀστυάγεω εἴη παῖς, ἀπὸ δὲ τῆς ἐκεῖθεν ὁδοῦ τὸν πάντα λόγον τῶν πομπῶν πυθέσθαι. (3) Τραφῆναι δὲ ἔλεγε ὑπὸ τῆς τοῦ βουκόλου γυναικὸς, ἥτέ τε ταύτην αἰνέων διὰ παντὸς, ἦν τέ οἱ ἐν τῷ λόγῳ τὰ πάντα ἡ Κυνώ. Οἱ δὲ τοκέες παραλαβόντες τὸ οὔνομα τοῦτο, ἵνα θειοτέρως δοκέῃ τοῖσι Πέρσῃσι περιεῖναί σφι ὁ παῖς, κατέβαλον φάτιν ὡς ἐκκείμενον Κῦρον κύων ἐξέθρεψε. Ἐνθεῦτεν μὲν ἡ φάτις αὕτη κεχώρηκε.

CXXIII. Κύρῳ δὲ ἀνδρευμένῳ καὶ ἐόντι τῶν ἡλίκων ἀνδρηϊωτάτῳ καὶ προσφιλεστάτῳ προσεκέετο ὁ Ἅρπαγος δῶρα πέμπων, τίσασθαι Ἀστυάγεα ἐπιθυμέων· ἀπ' ἑωυτοῦ γὰρ ἐόντος ἰδιώτεω οὐκ ἐνώρα τιμωρίην ἐσομένην ἐς Ἀστυάγεα, Κῦρον δὲ ὁρέων ἐπιτρεφόμενον ἐποιέετο σύμμαχον, τὰς πάθας τὰς Κύρου τῇσι ἑωυτοῦ ὁμοιεύμενος. (2) Πρὸ δ' ἔτι τούτου τάδε οἱ κατέργαστο· ἐόντος τοῦ Ἀστυάγεω πικροῦ ἐς τοὺς Μήδους, συμμίσγων ἑνὶ ἑκάστῳ ὁ Ἅρπαγος τῶν πρώτων Μήδων ἀνέπειθε ὡς χρὴ Κῦρον προστησαμένους Ἀστυάγεα παῦσαι τῆς βασιληΐης. (3) Κατεργασμένου δέ οἱ τούτου καὶ ἐόντος ἑτοίμου, οὕτω δὴ τῷ Κύρῳ διαιτωμένῳ

ipse ego, inquit, o magi, in hac maxime sum sententia, quod rex nominatus fuit puer, in eo exitum habere insomnium, nec eum porro esse mihi ullo modo timendum. Verum tamen, probe omnia circumspicientes, consulite mihi, quid futurum sit tutissimum et domui meæ et vobis. » (5) Tum magi, « Nostra etiam, inquiunt, plurimi interest, ut firmum stet tuum regnum. Nam isto modo alienatur illud, si in hunc puerum transit, qui est Persa; et hos, Medi quum simus, servituri sumus, et nulla in existimatione erimus apud Persas, utpote extranei : te vero manente rege, qui popularis es noster, et regnamus ex nostra parte, et magnos a te honores obtinemus. (6) Ita igitur omnino et tibi et regno tuo debemus prospicere. Et nunc, si quid quod timendum esset cerneremus, cuncta tibi prædicturi eramus : at, quum jam in rem exilem exierit insomnium, et nos confidimus, et te ut idem facias hortamur. Hunc vero puerum e conspectu dimitte in Persas et ad suos parentes. »

CXXI. His auditis gavisus Astyages, Cyrum ad se vocatum his verbis compellat : « O puer, ego propter insomnii visum vanum injuria te adfeci; tu vero tuo fato superes. Nunc igitur securus abi in Persas; quo qui te comitentur, tecum mittam. Eo quum veneris, patrem ibi et matrem invenies, non ejus sortis cujus sunt Mithradates bubulcus illiusque uxor. »

CXXII. Hæc quum dixisset Astyages, dimisit Cyrum. Quem, ad Cambysis ædes delatum, recepere parentes; receptumque, ubi quis esset cognovere, vehementi cum gaudio sunt amplexati, ut quem protinus a partu vitam finiisse sibi persuasissent : percunctatique sunt, quonam pacto superfuerit. (2) Et ille ipsis rem exposuit; dicens, se ipsum antea nescivisse, sed plurimum a vero aberrasse; in itinere autem omnia, quæ sibi acciderint, rescivisse. Putasse enim esse filium bubulci Astyagis; sed ex Media huc iter facientem totam rem ex comitibus suis cognovisse. (3) Commemorabat autem educatum se fuisse a bubulci uxore; et hanc laudabat continenter, eratque ei sermonum argumentum omne Cyno. Quod nomen adripientes parentes ejus, quo magis divinitus superesse Persis videretur puer, sparserunt famam, fuisse Cyrum, quum expositus esset, a cane enutritum. Inde hæc fama in vulgus manavit.

CXXIII. Jam virilem ætatem ingressum Cyrum, quum et fortissimus esset suorum æqualium et omnibus carissimus, solicitavit Harpagus donis missis, de Astyage cupiens capere ultionem. Nam a se, privato homine, intelligebat vindictam adversus Astyagem non posse existere : sed Cyrum videns subcrescentem, hunc sibi conciliare socium studuit, quæ Cyrus passus erat cum sua conferens calamitate. (2) Sed jam antea hoc ab illo præparatum erat : quum acerbus in Medos esset Astyages, Harpagus cum unoquoque principum Medorum colloquia miscens, persuasèrat illis, necesse esse Cyrum rebus præficere, et finem facere regno Astyagis. (3) His ita præparatis, sic demum Cyro in Per-

ἐν Πέρσῃσι βουλόμενος ὁ Ἅρπαγος δηλῶσαι τὴν ἑωυτοῦ γνώμην, ἄλλως μὲν οὐδαμῶς εἶχε ἅτε τῶν ὁδῶν φυλασσομένων, ὁ δὲ ἐπιτεχνᾶται τοιόνδε. (4) Λαγὸν μηχανησάμενος, καὶ ἀνασχίσας τούτου τὴν γαστέρα καὶ οὐδὲν ἀποτίλας, ὡς δὲ εἶχε, οὕτω ἐσέθηκε βιβλίον, γράψας τά οἱ ἐδόκεε· ἀπορράψας δὲ τοῦ λαγοῦ τὴν γαστέρα, καὶ δίκτυα δοὺς ἅτε θηρευτῇ τῶν οἰκετέων τῷ πιστοτάτῳ, ἀπέστειλε ἐς τοὺς Πέρσας, ἐντειλάμενός οἱ ἀπὸ γλώσσης διδόντα τὸν λαγὸν Κύρῳ ἐπεῖπαι αὐτὸχειρίῃ μιν διελέειν καὶ μηδένα οἱ ταῦτα ποιεῦντι παρεῖναι.

CXXIV. Ταῦτά τε δὴ ὧν ἐπιτελέα ἐγίνετο, καὶ ὁ Κῦρος παραλαβὼν τὸν λαγὸν ἀνέσχισε. Εὑρὼν δὲ ἐν αὐτῷ τὸ βιβλίον ἐνεὸν λαβὼν ἐπελέγετο. (2) Τὰ δὲ γράμματα ἔλεγε τάδε, « ὦ παῖ Καμβύσεω, σὲ γὰρ θεοὶ ἐπορέουσι· οὐ γὰρ ἄν κοτε ἐς τοσοῦτο τύχης ἀπίκευ· σύ νυν Ἀστυάγεα τὸν σεωυτοῦ φονέα τῖσαι. Κατὰ μὲν γὰρ τὴν τούτου προθυμίην τέθνηκας, τὸ δὲ κατὰ θεούς τε καὶ ἐμὲ περίεις. (3) Τά σε καὶ πάλαι δοκέω πάντα ἐκμεμαθηκέναι, σέο τε αὐτοῦ πέρι, ὡς ἐπρήχθη, καὶ οἷα ἐγὼ ὑπ' Ἀστυάγεω πέπονθα, ὅτι σε οὐκ ἀπέκτεινα, ἀλλ' ἔδωκα τῷ βουκόλῳ. Σύ νυν, ἢν βούλῃ ἐμοὶ πείθεσθαι, τῆς περ Ἀστυάγης ἄρχει χώρης, ταύτης ἁπάσης ἄρξεις. (4) Πέρσας γὰρ ἀναπείσας ἀπίστασθαι στρατηλάτεε ἐπὶ Μήδους· καὶ ἢν τε ἐγὼ ὑπ' Ἀστυάγεω ἀποδεχθῶ στρατηγὸς ἀντία σεῦ, ἔσται τοι τὰ σὺ βούλεαι, ἢν τε τῶν τις δοκίμων ἄλλος Μήδων· πρῶτοι γὰρ οὗτοι ἀποστάντες ἀπ' ἐκείνου καὶ γενόμενοι πρὸς σέο Ἀστυάγεα καταιρέειν πειρήσονται. Ὡς ὧν ἑτοίμου τοῦ γε ἐνθάδε ἐόντος, ποίεε ταῦτα, καὶ ποίεε κατὰ τάχος. »

CXXV. Ἀκούσας ταῦτα ὁ Κῦρος ἐφρόντιζε ὅτεῳ τρόπῳ σοφωτάτῳ Πέρσας ἀναπείσει ἀπίστασθαι, φροντίζων δὲ εὑρισκέ τε ταῦτα καιριώτατα εἶναι, καὶ ἐποίεε δὴ ταῦτα. Γράψας ἐς βιβλίον τὰ ἐβούλετο, ἀλίην τῶν Περσέων ἐποιήσατο, μετὰ δὲ ἀναπτύξας τὸ βιβλίον καὶ ἐπιλεγόμενος ἔφη Ἀστυάγεά μιν στρατηγὸν Περσέων ἀποδεικνύναι. « Νῦν, » ἔφη τε λέγων, « ὦ Πέρσαι, προαγορεύω ὑμῖν παρεῖναι ἕκαστον ἔχοντα δρέπανον. » (2) Κῦρος μὲν ταῦτα προηγόρευσε· ἔστι δὲ Περσέων συχνὰ γένεα, καὶ τὰ μὲν αὐτῶν ὁ Κῦρος συνήλισε καὶ ἀνέπεισε ἀπίστασθαι ἀπὸ Μήδων. (3) Ἔστι δὲ τάδε, ἐξ ὧν ὦλλοι πάντες ἀρτέαται Πέρσαι, Πασαργάδαι, Μαράφιοι, Μάσπιοι. Τούτων Πασαργάδαι εἰσὶ ἄριστοι, ἐν τοῖσι καὶ Ἀχαιμενίδαι εἰσὶ φρήτρη, ἔνθεν οἱ βασιλέες οἱ Περσεῖδαι γεγόνασι. (4) Ἄλλοι δὲ Πέρσαι εἰσὶ οἵδε, Πανθιαλαῖοι, Δηρουσιαῖοι, Γερμάνιοι. Οὗτοι μὲν πάντες ἀροτῆρές εἰσι, οἱ δὲ ἄλλοι νομάδες· Δάοι, Μάρδοι, Δροπικοὶ, Σαγάρτιοι.

CXXVI. Ὡς δὲ παρῆσαν ἅπαντες ἔχοντες τὸ προειρημένον, ἐνθαῦτα ὁ Κῦρος, ἦν γάρ τις χῶρος τῆς Περσικῆς ἀκανθώδης ὅσον τε ἐπὶ ὀκτωκαίδεκα σταδίους ἢ εἴκοσι πάντῃ, τοῦτόν σφι τὸν χῶρον προεῖπε ἐξημερῶσαι ἐν ἡμέρῃ. (2) Ἐπιτελεσάντων δὲ τῶν Περσέων

sis versanti aperire consilium suum cupiens Harpagus, quum aliter id efficere, custoditis itineribus, non posset, tali usus est commento. (4) Leporem callide instruxit; cujus ventri, ita rescisso ut nihil pilorum avelleret, prout erat, indidit libellum, in quo quæ voluerat scripta erant: tum, consuto rursus ventre, leporem atque retia, veluti venatori, tradidit servorum fidissimo, eumque in Persas misit, ore tenus hoc adjiciens mandatum, ut Cyro leporem tradens simul diceret, necesse esse ut ille sua manu eum exenteret, neque quisquam hoc facienti adsit.

CXXIV. His rebus ita perfectis, Cyrus acceptum leporem aperit, et libellum in eo repertum perlegit, (2) in quo erant perscripta hæc: « O fili Cambysis! quod te dii respiciunt; hoc enim absque esset, numquam tam mira usus esses fortuna: tu nunc de Astyage, tuo interfectore, cape pœnas. Etenim ex hujus consilio tu perieras; deorum autem beneficio et meo superes. (3) Quæ te omnia pridem puto cognovisse, quum quæ tecum acta sunt, tum quæ ego ab Astyage passus sum eo, quod te non occidi, sed pastori tradidi. Tu nunc, si mea volueris consilia sequi, quibus terris imperat Astyages, earum omnium rex eris. (4) Persuade Persis ut ab illo desciscant, exercitumque duc in Mediam: et, sive ego ab Astyage dux adversus te fuero nominatus, sive alius quisquam nobilium Medorum, habebis quæ voles. Nam primi hi ipsi ab illo deficient, et tecum facientes, tollere Astyagem studebunt. Quare persuasus parata tibi hic quidem esse omnia, fac quæ dixi, et fac celeriter! »

CXXV. His intellectis Cyrus secum deliberavit quo callidissimo modo Persas ad defectionem permoveret. Re deliberata, commodissimum hoc ei visum est consilium, quo nimirum etiam usus est. Conscriptis in libello quæ voluit, concionem convocavit Persarum: tum aperiens libellum le gensque, ait, Astyagem sese ducem constituere Persarum. « Nunc igitur, » perrexit dicere, « edico vobis, Persæ, præsto sitis singuli cum falcibus. » (2) Hæc Cyrus pro concione dixit. Sunt autem Persarum plura genera; quorum nonnulla in concionem vocavit Cyrus, et ad deficiendum a Medis solicitavit. (3) Sunt autem ea hæc, e quibus alii omnes Persæ pendent: Pasargadæ, Maraphii, Maspii. Ex his nobilissimi sunt Pasargadæ, in quibus est Achæmenidarum familia, ex qua reges Persidæ sunt prognati. (4) Alii vero Persæ hi sunt: Panthialæi, Derusiæi, Germanii, qui omnes agrorum culturam exercent; reliqui sunt nomades, Dai, Mardi, Dropici, Sagartii.

CXXVI. Ut convenerunt omnes cum prædicto instrumento, ibi tum Cyrus, quum esset tractus Persicæ regionis spinis obsitus, patens quaquaversum octodecim aut viginti stadia, hunc tractum jussit illos eadem die eruncare. (2) Proposito labore postquam perfuncti sunt Persæ, iterum

τὸν προκείμενον ἄεθλον, δεύτερά σφι προεῖπε ἐς τὴν ὑστεραίην παρεῖναι λελουμένους. Ἐν δὲ τούτῳ τά τε αἰπόλια καὶ τὰς ποίμνας καὶ τὰ βουκόλια ὁ Κῦρος πάντα τοῦ πατρὸς συναλίσας ἐς τὠυτὸ ἔθυε καὶ παρεσκεύαζε ὡς δεξόμενος τῶν Περσέων τὸν στρατὸν, πρὸς δὲ οἴνῳ τε καὶ σιτίοισι ὡς ἐπιτηδεωτάτοισι. (3) Ἀπικομένους δὲ τῇ ὑστεραίῃ τοὺς Πέρσας καταλλίνας ἐς λειμῶνα εὐώχεε. Ἐπείτε δὲ ἀπὸ δείπνου ἔσαν, εἴρετό σφεας ὁ Κῦρος κότερα τὰ τῇ προτεραίῃ εἶχον ἢ τὰ παρεόντα σφι εἴη αἱρετώτερα. (4) Οἱ δὲ ἔφασαν πολλὸν εἶναι αὐτῶν τὸ μέσον· τὴν μὲν γὰρ προτέρην ἡμέρην πάντα σφι κακὰ ἔχειν, τὴν δὲ τότε παρεοῦσαν πάντα ἀγαθά. (5) Παραλαβὼν δὲ τοῦτο τὸ ἔπος ὁ Κῦρος παρεγύμνου τὸν πάντα λόγον, λέγων, « ἄνδρες Πέρσαι, οὕτω ὑμῖν ἔχει. Βουλομένοισι μὲν ἐμέο πείθεσθαι ἔστι τάδε τε καὶ ἄλλα μυρία ἀγαθὰ, οὐδένα πόνον δουλοπρεπέα ἔχουσι· μὴ βουλομένοισι δὲ ἐμέο πείθεσθαι εἰσὶ ὑμῖν πόνοι τῷ χθιζῷ παραπλήσιοι ἀναρίθμητοι. (6) Νῦν ὦν ἐμέο πειθόμενοι γίνεσθε ἐλεύθεροι. Αὐτός τε γὰρ δοκέω θείῃ τύχῃ γεγονὼς τάδε ἐς χεῖρας ἄγεσθαι, καὶ ὑμέας ἥγημαι ἄνδρας Μήδων εἶναι οὐ φλαυροτέρους οὔτε τἆλλα οὔτε τὰ πολέμια. Ὡς ὦν ἐχόντων ὧδε, ἀπίστασθε ἀπ' Ἀστυάγεω τὴν ταχίστην. »

CXXVII. Πέρσαι μέν νυν προστάτεω ἐπιλαβόμενοι ἄσμενοι ἠλευθεροῦντο, καὶ πάλαι δεινὸν ποιεύμενοι ὑπὸ Μήδων ἄρχεσθαι· Ἀστυάγης δὲ ὡς ἐπύθετο Κῦρον πρήσσοντα ταῦτα, πέμψας ἄγγελον ἐκάλεε αὐτόν. (2) Ὁ δὲ Κῦρος ἐκέλευε τὸν ἄγγελον ἀπαγγέλλειν ὅτι πρότερον ἥξοι παρ' ἐκεῖνον ἢ αὐτὸς Ἀστυάγης βουλήσεται. Ἀκούσας δὲ ταῦτα ὁ Ἀστυάγης Μήδους τε ὥπλισε πάντας, καὶ στρατηγὸν αὐτῶν ὥστε θεοβλαβὴς ἐὼν ἀπέδεξε Ἅρπαγον, λήθην ποιεύμενος τά μιν ἐόργεε. (3) Ὡς δ' οἱ Μῆδοι στρατευσάμενοι τοῖσι Πέρσῃσι συνέμισγον, οἱ μέν τινες αὐτῶν ἐμάχοντο, ὅσοι μὴ τοῦ λόγου μετέσχον, οἱ δὲ αὐτομολέον πρὸς τοὺς Πέρσας, οἱ δὲ πλεῖστοι ἠθελοκάκεόν τε καὶ ἔφευγον.

CXXVIII. Διαλυθέντος δὲ τοῦ Μηδικοῦ στρατεύματος αἰσχρῶς, ὡς ἐπύθετο τάχιστα ὁ Ἀστυάγης, ἔφη ἀπειλέων τῷ Κύρῳ, « ἀλλ' οὐδ' ὡς Κῦρός γε χαιρήσει. » (2) Τοσαῦτα εἰπας πρῶτον μὲν τῶν μάγων τοὺς ὀνειροπόλους, οἳ μιν ἀνέγνωσαν μετεῖναι τὸν Κῦρον, τούτους ἀνεσκολόπισε, μετὰ δὲ ὥπλισε τοὺς ὑπολειφθέντας τῶν Μήδων ἐν τῷ ἄστεϊ, νέους τε καὶ πρεσβύτας ἄνδρας. (3) Ἐξαγαγὼν δὲ τούτους καὶ συμβαλὼν τοῖσι Πέρσῃσι ἐσσώθη, καὶ αὐτός τε Ἀστυάγης ἐζωγρήθη καὶ τοὺς ἐξήγαγε τῶν Μήδων ἀπέβαλε.

CXXIX. Ἑόντι δὲ αἰχμαλώτῳ τῷ Ἀστυάγεϊ προστὰς ὁ Ἅρπαγος κατέχαιρέ τε καὶ κατεκερτόμεε, καὶ ἄλλα λέγων ἐς αὐτὸν θυμαλγέα ἔπεα, καὶ δὴ καὶ εἴρετό μιν πρὸς τὸ ἑωυτοῦ δεῖπνον, τό μιν ἐκεῖνος σαρξὶ τοῦ παιδὸς ἐθοίνησε, ὅ τι εἴη ἡ ἐκείνου δουλοσύνη ἀντὶ τῆς βασιληίης. (2) Ὁ δέ μιν προσιδὼν ἀντείρετο εἰ ἑωυτοῦ ποιέεται τὸ Κύρου ἔργον. Ἅρπαγος δὲ ἔφη, αὐτὸς γὰρ γράψαι, τὸ πρῆγμα δὴ ἑωυτοῦ δικαίως εἶναι. (3)

eisdem prædixit, ut in posterum diem adessent loti. Interim vero Cyrus caprarum oviumque et boum greges patris sui omnes in unum congregatos mactavit paravitque, quippe Persarum exercitum hisce excepturus, et vino farinaceisque cibis commodissimis; (3) utque postridie convenerunt Persæ, recumbere in prato jussos lauto excepit epulo. Dein, postquam a cœna surrexerunt, quæsivit ex his Cyrus, utra optabiliora ipsis viderentur: quæ pridie habuerint, an præsentia? (4) Et illi, multum interesse, dixerunt: pridie enim omnia se mala habuisse, præsente vero die bona omnia. (5) Id verbum adripiens Cyrus, rem omnem, quam eis propositurus erat, aperuit dicens: « Viri Persæ! ita vobis se res habet. Quod si me sequi volueritis, erunt vobis hæc et infinita alia bona, eritisque omnibus servilibus laboribus expertes: me vero sequi nolentibus erunt labores hesternis similes innumeri. (6) Nunc ergo, mihi dicto audientes, estote liberi! Nam et ego divina sorte ad hoc natus mihi videor, ut hæc bona in manus nostras congeram; et vos judico viros esse Medis non inferiores, quum aliis rebus, tum militari laude. Quæ quum ita sint, desciscite quam primum ab Astyage! »

CXXVII. Igitur Persæ, quum jam pridem ægre tulissent Medorum imperium, ducem nunc patronumque nacti, libenter in libertatem se vindicabant. Astyages vero, ut intellexit moliri hæc Cyrum, misso nuncio, eum ad se vocavit. (2) Cui renunciare nuncium jussit Cyrus, prius se adventurum, quam gratum futurum esset Astyagi. Quo audito Astyages Medos armavit cunctos, ducemque eis, velut divinitus mente perculsus, præfecit Harpagum, oblitus quæ adversus illum patraverat. (3) Medi, in bellum profecti, ubi Persis ad manus venerunt, pars eorum, quicumque consilii non erant participes, pugnam inibant; alii vero ad Persarum transierunt partes; sed plerique ultro cessantes a pugna, fugam capessebant.

CXXVIII. Ita turpiter dissoluto Medorum exercitu, ut rem cognovit Astyages, minitans Cyro, ait: « At ne sic quidem gaudebit Cyrus. » (2) His dictis, primum magos somniorum interpretes, qui ei ut Cyrum dimitteret persuaserant, e palis suspendit: deinde Medos, qui in urbe relicti erant, armavit, juvenes provectioresque ætate viros. (3) Quibus eductis, prælio cum Persis inito, victus est: et ipse Astyages, amissis quos eduxerat Medis, vivus in hostium venit potestatem.

CXXIX Tum captivo Astyagi adstans Harpagus, lætitia ob illius casum gestiens, insultavit; et quum alia in eum acerba dicteria conjecit, tum respiciens ad cœnam eam, qua filii carnes comedendas illi Astyages proposuerat, ex eo quæsivit, ecquid placeret ei servitus, qui modo rex fuisset? (2) Quem adspiciens Astyages, vicissim interrogavit, an suum faceret Cyri factum? Et Harpagus, suum merito censeri, ait, factum; se enim ipsum de eo suscipiendo ad Cy-

Ἀστυάγης δέ μιν ἀπέφαινε τῷ λόγῳ σκαιότατόν τε καὶ ἀδικώτατον ἐόντα πάντων ἀνθρώπων, σκαιότατον μέν γε, εἰ παρεὸν αὐτῷ βασιλέα γενέσθαι, εἰ δὴ δι' ἑωυτοῦ γε ἐπρήχθη τὰ παρεόντα, ἄλλῳ περιέθηκε τὸ κράτος, ἀδικώτατον δέ, ὅτι τοῦ δείπνου εἵνεκεν Μήδους κατεδούλωσε· εἰ γὰρ δὴ δεῖν πάντως περιθεῖναι ἄλλῳ τέῳ τὴν βασιληίην καὶ μὴ αὐτὸν ἔχειν, δικαιότερον εἶναι Μήδων τέῳ περιβαλέειν τοῦτο τὸ ἀγαθὸν ἢ Περσέων· νῦν δὲ Μήδους μὲν ἀναιτίους τούτου ἐόντας δούλους ἀντὶ δεσποτέων γεγονέναι, Πέρσας δὲ δούλους ἐόντας τὸ πρὶν Μήδων νῦν γεγονέναι δεσπότας.

CXXX. Ἀστυάγης μέν νυν βασιλεύσας ἐπ' ἔτεα πέντε καὶ τριήκοντα οὕτω τῆς βασιληίης κατεπαύθη, Μῆδοι δὲ ὑπέκυψαν Πέρσῃσι διὰ τὴν τούτου πικρότητα, ἄρξαντες τῆς ἄνω Ἅλυος ποταμοῦ Ἀσίης ἐπ' ἔτεα τριήκοντα καὶ ἑκατὸν ὀλίγων δεόντα, πάρεξ ἢ ὅσον οἱ Σκύθαι ἦρχον. (2) Ὑστέρῳ μέντοι χρόνῳ μετεμέλησέ τέ σφι ταῦτα ποιήσασι, καὶ ἀπέστησαν ἀπὸ Δαρείου· ἀποστάντες δὲ ὀπίσω κατεστράφθησαν μάχῃ νικηθέντες. Τότε δὲ ἐπ' Ἀστυάγεω οἱ Πέρσαι τε καὶ ὁ Κῦρος ἐπαναστάντες τοῖσι Μήδοισι ἦρχον τὸ ἀπὸ τούτου τῆς Ἀσίης. Ἀστυάγεα δὲ Κῦρος κακὸν οὐδὲν ἄλλο ποιήσας εἶχε παρ' ἑωυτῷ, ἐς ὃ ἐτελεύτησε. (3) Οὕτω δὴ Κῦρος γενόμενός τε καὶ τραφεὶς καὶ ἐβασίλευσε, καὶ Κροῖσον ὕστερον τούτων ἄρξαντα ἀδικίης κατεστρέψατο, ὡς εἰρηταί μοι τὸ πρότερον. Τοῦτον δὲ καταστρεψάμενος οὕτω πάσης τῆς Ἀσίης ἦρξε.

CXXXI. Πέρσας δὲ οἶδα νόμοισι τοιοισίδε χρεωμένους, ἀγάλματα μὲν καὶ νηοὺς καὶ βωμοὺς οὐκ ἐν νόμῳ ποιευμένους ἱδρύεσθαι, ἀλλὰ καὶ τοῖσι ποιεῦσι μωρίην ἐπιφέρουσι, ὡς μὲν ἐμοὶ δοκέειν, ὅτι οὐκ ἀνθρωποφυέας ἐνόμισαν τοὺς θεοὺς κατά περ οἱ Ἕλληνες εἶναι. (2) Οἱ δὲ νομίζουσι Διὶ μὲν ἐπὶ τὰ ὑψηλότατα τῶν οὐρέων ἀναβαίνοντες θυσίας ἕρδειν, τὸν κύκλον πάντα τοῦ οὐρανοῦ Δία καλεῦντες· θύουσι δὲ ἡλίῳ τε καὶ σελήνῃ καὶ γῇ καὶ πυρὶ καὶ ὕδατι καὶ ἀνέμοισι. (3) Τούτοισι μὲν δὴ μούνοισι θύουσι ἀρχῆθεν· ἐπιμεμαθήκασι δὲ καὶ τῇ Οὐρανίῃ θύειν, παρά τε Ἀσσυρίων μαθόντες καὶ Ἀραβίων. Καλεῦσι δὲ Ἀσσύριοι τὴν Ἀφροδίτην Μύλιττα, Ἀράβιοι δὲ Ἄλιττα, Πέρσαι δὲ Μίτραν.

CXXXII. Θυσίη δὲ τοῖσι Πέρσῃσι περὶ τοὺς εἰρημένους θεοὺς ἥδε κατέστηκε. Οὔτε βωμοὺς ποιεῦνται οὔτε πῦρ ἀνακαίουσι μέλλοντες θύειν· οὐ σπονδῇ χρέονται, οὐκὶ αὐλῷ, οὐ πέμμασι, οὐκὶ οὐλῇσι. (2) Τῶν δὲ ὡς ἑκάστῳ θύειν θέλει, ἐς χῶρον καθαρὸν ἀγαγὼν τὸ κτῆνος καλέει τὸν θεὸν, ἐστεφανωμένος τὸν τιήρην μυρσίνῃ μάλιστα. Ἑωυτῷ μὲν δὴ τῷ θύοντι ἰδίῃ μούνῳ οὔ οἱ ἐγγίνεται ἀρᾶσθαι ἀγαθά· ὁ δὲ πᾶσι τοῖσι Πέρσῃσι κατεύχεται εὖ γίνεσθαι καὶ τῷ βασιλέϊ· ἐν γὰρ δὴ τοῖσι ἅπασι Πέρσῃσι καὶ αὐτὸς γίνεται. Ἐπεὰν δὲ διαμιστύλας κατὰ μέρεα τὸ ἱρήϊον ἑψήσῃ τὰ κρέα, ὑποπάσας ποίην ὡς ἁπαλωτάτην, μάλιστα δὲ τὸ τρίφυλλον, ἐπὶ ταύτης ἔθηκε ὧν πάντα τὰ κρέα. (3) Διαθέντος δὲ αὐτοῦ μάγος ἀνὴρ παρεστεὼς ἐπαείδει θεογονὸν scripsisse. (3) Tum Astyages, longiorem exorsus sermonem, declaravit ineptissimum illum esse hominum omnium, simulque iniquissimum : ineptissimum quidem, qui, quum ipse potuisset rex evadere, si quoniam hæ res per ipsum gestæ sint, ad alium detulerit imperium : iniquissimum vero, quod propter cœnam istam Medos in servitutem conjecisset. Quodsi enim oportuisset in alium quempiam transferre imperium, seseque destituere; æquius fuisse Medorum alicui tribuere hoc bonum, quam cuipiam ex Persis. Nunc vero Medos, culpa vacantes, servos factos esse pro dominis; Persas autem, quum Medorum pridem fuissent servi, dominos eorum evasisse.

CXXX. Igitur Astyages, postquam quinque et triginta annos regnaverat, ita regno exutus est : Medi vero, propter hujus acerbitatem, Persis succubuerunt; postquam imperium superioris trans Halyn fluvium Asiæ per annos trecentos et duodetriginta tenuerant, demtis eis annis quibus penes Scythas fuerat imperium. (2) Postero quidem tempore pœnituit eos hujus facti, desciveruntque a Dario : sed post defectionem denuo subacti sunt, prælio superati. Tunc Persæ cum Cyro, postquam regnante Astyage adversus Medos rebellarant, Asiæ regnum ab eo tempore obtinuere. Astyagem vero Cyrus, nullo alio malo adficiens, apud se tenuit donec vitam finivit. (3) Hoc igitur modo et natus et educatus Cyrus regnum obtinuit, et post hæc Crœsum, qui ipsum adgredi cœperat, devicit, quemadmodum a me supra expositum est : quo superato, universæ Asiæ imperavit.

CXXXI. Persas vero hisce uti institutis compertum habeo. Simulacra et templa et altaria statuere nefas existimant; stultitiamque his, qui hoc faciunt, imputant : scilicet, ut mihi videtur, quod non humanæ similem naturam aut formam habere deos arbitrantur, sicuti Græci. (2) Illis igitur mos est, Jovi in summis montium jugis facere sacra, universum cœli orbem Jovem nominantibus. Faciunt autem et Soli sacra, et Lunæ, et Terræ, et Igni, et Aquæ, et Ventis. (3) Et his quidem solis numinibus a priscis inde temporibus sacra faciunt. Addidicerunt vero etiam Uraniæ sacrificare, ab Assyriis et Arabibus accepto ritu. Venerem autem Assyrii Mylitta nominant, Arabes vero Alitta; Persæ Mitran.

CXXXII. Sacrificiorum autem, quæ hisce diis peraguntur a Persis, talis est ratio. Nec altaria erigunt, nec ignem accendunt sacra facturi : libatione non utuntur, non tibia, non libis, non mola. (2) Ut cuique deo sacra quispiam vult facere, in locum mundum adducit victimam, deumque invocat, tiaram myrto maxime cinctam gestans. Non est autem licitum, ut sibi soli bona precetur sacrificans : sed cunctis Persis atque regi ut bene sit, precatur; quippe in cunctorum Persarum numero et ipse continetur. Postquam in frusta dissecuit victimam, carnesque elixavit, substernit herbas quam tenerrimas, maxime trifolium, hisque carnes omnes imponit. (3) Quibus ita dispositis, vir magus adstans accipit theogoniam quampiam, qualem illi esse in-

νίην, οἵην δὴ ἐκεῖνοι λέγουσι εἶναι τὴν ἐπαοιδήν· ἄνευ γὰρ δὴ μάγου οὔ σφι νόμος ἐστὶ θυσίας ποιέεσθαι. Ἐπισχὼν δὲ ὀλίγον χρόνον ἀποφέρεται ὁ θύσας τὰ κρέα, καὶ χρᾶται ὅ τι μιν ὁ λόγος αἱρέει·

CXXXIII. Ἡμέρην δὲ ἁπασέων μάλιστα ἐκείνην τιμᾶν νομίζουσι τῇ ἕκαστος ἐγένετο. Ἐν ταύτῃ δὲ πλέω δαῖτα τῶν ἄλλων δικαιεῦσι προτίθεσθαι· ἐν τῇ οἱ εὐδαίμονες αὐτῶν βοῦν καὶ ἵππον καὶ κάμηλον καὶ ὄνον προτιθέαται ὅλους ὀπτοὺς ἐν καμίνοισι, οἱ δὲ πένητες αὐτῶν τὰ λεπτὰ τῶν προβάτων προτιθέαται. (2) Σίτοισι δὲ ὀλίγοισι χρέονται, ἐπιφορήμασι δὲ πολλοῖσι καὶ οὐκ ἄλέσι· καὶ διὰ τοῦτό φασι Πέρσαι τοὺς Ἕλληνας σιτεομένους παυνῶντας παύεσθαι, ὅτι σφι ἀπὸ δείπνου παραφορέεται οὐδὲν λόγου ἄξιον· εἰ δέ τι παραφέροιτο, ἐσθίοντας ἂν οὐ παύεσθαι. (3) Οἴνῳ δὲ κάρτα προσκέαται, καί σφι οὐκ ἐμέσαι ἔξεστι, οὐκὶ οὐρῆσαι ἀντίον ἄλλου. Ταῦτα μέν νυν οὕτω φυλάσσεται, μεθυσκόμενοι δὲ ἐώθασι βουλεύεσθαι τὰ σπουδαιέστατα τῶν πρηγμάτων. (4) Τὸ δ' ἂν ἄδῃ σφι βουλευομένοισι, τοῦτο τῇ ὑστεραίῃ νήφουσι προτιθεῖ ὁ στέγαρχος, ἐν τοῦ ἂν ἐόντες βουλεύωνται· καὶ ἢν μὲν ἄδῃ καὶ νήφουσι, χρέονται αὐτῷ, ἢν δὲ μὴ ἄδῃ, μετιεῖσι. Τὰ δ' ἂν νήφοντες προβουλεύσωνται, μεθυσκόμενοι ἐπιδιαγινώσκουσι.

CXXXIV. Ἐντυγχάνοντες δ' ἀλλήλοισι ἐν τῇσι ὁδοῖσι, τῷδε ἄν τις διαγνοίη εἰ ὁμοῖοί εἰσι οἱ συντυγχάνοντες· ἀντὶ γὰρ τοῦ προσαγορεύειν ἀλλήλους φιλέουσι τοῖσι στόμασι, ἢν δὲ ᾖ οὗτερος ὑποδεέστερος ὀλίγῳ, τὰς παρειὰς φιλέονται· ἢν δὲ πολλῷ ᾖ οὗτερος ἀγενέστερος, προσπίπτων προσκυνέει τὸν ἕτερον. (2) Τιμέουσι δὲ ἐκ πάντων τοὺς ἄγχιστα ἑωυτῶν οἰκέοντας μετά γε ἑωυτοὺς, δεύτερα δὲ τοὺς δευτέρους· μετὰ δὲ κατὰ λόγον προβαίνοντες τιμέουσι· ἥκιστα δὲ τοὺς ἑωυτῶν ἑκαστάτω οἰκημένους ἐν τιμῇ ἄγονται, νομίζοντες ἑωυτοὺς εἶναι ἀνθρώπων μακρῷ τὰ πάντα ἀρίστους, τοὺς δὲ ἄλλους κατὰ λόγον τὸν λεγόμενον τῆς ἀρετῆς ἀντέχεσθαι, τοὺς δὲ ἑκαστάτω οἰκέοντας ἀπ' ἑωυτῶν κακίστους εἶναι. (3) Ἐπὶ δὲ Μήδων ἀρχόντων καὶ ἦρχε τὰ ἔθνεα ἀλλήλων, συναπάντων μὲν Μήδοι καὶ τῶν ἄγχιστα οἰκεόντων σφίσι, οὗτοι δὲ καὶ τῶν ὁμούρων, οἱ δὲ μάλα τῶν ἐχομένων. Κατὰ τὸν αὐτὸν δὲ λόγον καὶ οἱ Πέρσαι τιμέουσι· προέβαινε γὰρ δὴ τὸ ἔθνος ἄρχον τε καὶ ἐπιτροπεῦον.

CXXXV. Ξεινικὰ δὲ νόμαια Πέρσαι προσίενται ἀνδρῶν μάλιστα. Καὶ γὰρ δὴ τὴν Μηδικὴν ἐσθῆτα νομίσαντες τῆς ἑωυτῶν εἶναι καλλίω φορέουσι, καὶ ἐς τοὺς πολέμους τοὺς Αἰγυπτίους θώρηκας· καὶ εὐπαθείας τε παντοδαπὰς πυνθανόμενοι ἐπιτηδεύουσι, καὶ δὴ καὶ ἀπ' Ἑλλήνων μαθόντες παισὶ μίσγονται. (2) Γαμέουσι δ' ἕκαστος αὐτῶν πολλὰς μὲν κουριδίας γυναῖκας, πολλῷ δ' ἔτι πλεῦνας παλλακὰς κτέονται.

CXXXVI. Ἀνδραγαθίη δ' αὖτη ἀποδέδεκται, μετὰ τὸ μάχεσθαι εἶναι ἀγαθὸν, ὃς ἂν πολλοὺς ἀποδέξῃ παῖδας· τῷ δὲ τοὺς πλείστους ἀποδεικνύντι δῶρα ἐκπέμ-

cantationem dicunt : nam absque mago non fas est illis sacra facere. Interjecto brevi tempore, qui sacra fecit, carnes aufert, eisque utitur prout ei ratio suadet.

CXXXIII. Dierum omnium eum maxime celebrare moris est Persis, quo quisque natus est. Eo die æquum censent copiosius epulum quam alias adponere : et fortunatiores quidem eo die bovem, equum, camelum aut asinum adponunt integrum, in camino assatum; pauperiores vero minores adponunt pecudes. (2) Farinaceis cibariis paucis utuntur, obsoniis vero et secundis mensis multis, eisque non simul sed paulatim, inlatis. Quapropter Persæ dicunt, Græcos, quum cibum capiunt, desinere esurire; quoniam post cœnam nihil amplius, quod alicujus momenti sit, eis adponitur : si quid enim porro adponeretur, a comedendo non esse cessaturos. (3) Vino largiter admodum indulgent : nec vero vomere illis licet, nec urinam mittere, alio præsente; atque hoc illi ita observant. Dum autem vino largius indulgent, interim de rebus maxime seriis deliberare consueruut : (4) quod vero deliberantibus placuit, id ædium herus, apud quem habita est deliberatio, postridie ejus diei jejunis proponit. Quodsi jejunis idem placet, hoc utuntur; sin minus, omittunt. Contra, quæ jejuni sobriique ante deliberaverunt, ea vino madidi recognoscunt.

CXXXIV. Si qui in via sibi mutuo obviam veniunt, hac re cognoscere aliquis potest utrum eadem conditione sint qui sibi occurrunt : nempe hi, salutationis loco, ora invicem osculantur. Quodsi alteruter paulo est inferior, osculantur genas; si multo inferior, prostratus adorat alterum. (2) In honore autem habent, post sese mutuo, illos qui a se proxime habitant; post hos, qui his finitimi; et sic deinde in honore habendo pro ratione progrediuntur : minimeque omnium in honore habent hos, qui ab ipsis longissime remoti vivunt. Scilicet se ipsos hominum omnium arbitrantur esse longe præstantissimos; alios vero pro præclicta ratione virtutem colere; denique, qui ab ipsis longissime habitent, esse ignavissimos. (3) Quoad vero penes Medos fuerat imperium, etiam populi alter alteri imperabant : cunctis quidem Medi, et præsertim his qui proxime eis habitabant; hi vero, suis finitimis; et illi rursus his qui eos proxime attingebant. Et pari quoque ratione Persæ in honore habent alios populos : nam similiter progrediendo alius populus alii præest, et in illum imperii partem aliquam sibi commissam exercet.

CXXXV. Peregrina autem instituta admittunt Persæ omnium hominum maxime. Etenim Medicam vestem, sua esse honestiorem existimantes, gestant; et ad bella Ægyptiacos adoptarunt thoraces. Atque etiam voluptatum varia genera, ex aliis cognita, sectantur; et quidem pueris etiam ad venerem utuntur, a Græcis edocti. (2) Ducunt autem eorum quisque legitimas uxores multas, multo vero etiam plures habent pellices.

CXXXVI. Strenuitas et boni viri officium apud eos, post bellicam virtutem, æstimatur, si quis multos progenuit filios : et, qui plurimos edidit, huic quotannis dona mit-

πει βασιλεὺς ἀνὰ πᾶν ἔτος. Τὸ πολλὸν δ' ἡγέαται ἰσχυρὸν εἶναι. (2) Παιδεύουσι δὲ τοὺς παῖδας, ἀπὸ πενταέτεος ἀρξάμενοι μέχρι εἰκοσαέτεος, τρία μοῦνα, ἱππεύειν καὶ τοξεύειν καὶ ἀληθίζεσθαι. Πρὶν δὲ ἢ πενταέτης γένηται, οὐκ ἀπικνέεται ἐς ὄψιν τῷ πατρὶ, ἀλλὰ παρὰ τῇσι γυναιξὶ δίαιταν ἔχει. (3) Τοῦδε δὲ εἵνεκεν τοῦτο οὕτω ποιέεται, ἵνα ἢν ἀποθάνῃ τρεφόμενος, μηδεμίαν ἄσην τῷ πατρὶ προσβάλῃ.

CXXXVII. Αἰνέω μέν νυν τόνδε τὸν νόμον, αἰνέω δὲ καὶ τόνδε, τὸ μὴ μιῆς αἰτίης εἵνεκεν μήτε αὐτὸν τὸν βασιλέα μηδένα φονεύειν, μήτε τῶν ἄλλων Περσέων μηδένα τῶν ἑωυτοῦ οἰκετέων ἐπὶ μιῇ αἰτίῃ ἀνήκεστον πάθος ἔρδειν· ἀλλὰ λογισάμενος ἢν εὑρίσκῃ πλέω τε καὶ μέζω τὰ ἀδικήματα ἐόντα τῶν ὑπουργημάτων, οὕτω τῷ θυμῷ χρᾶται. (2) Ἀποκτεῖναι δὲ οὐδένα κω λέγουσι τὸν ἑωυτοῦ πατέρα οὐδὲ μητέρα, ἀλλ' ὁκόσα ἤδη τοιαῦτα ἐγένετο, πᾶσαν ἀνάγκην φασὶ ἀναζητεόμενα ταῦτα ἂν εὑρεθῆναι ἤτοι ὑποβολιμαῖα ἐόντα ἢ μοιχίδια· οὐ γὰρ δή φασι οἰκὸς εἶναι τόν γε ἀληθέως τοκέα ὑπὸ τοῦ ἑωυτοῦ παιδὸς ἀποθνήσκειν.

CXXXVIII. Ὅσσα δέ σφι ποιέειν οὐκ ἔξεστι, ταῦτα οὐδὲ λέγειν ἔξεστι. Αἴσχιστον δὲ αὐτοῖσι τὸ ψεύδεσθαι νενόμισται, δεύτερα δὲ τὸ ὀφείλειν χρέος, πολλῶν μὲν καὶ ἄλλων εἵνεκεν, μάλιστα δὲ ἀναγκαίην φασὶ εἶναι τὸν ὀφείλοντα καί τι ψεῦδος λέγειν. (2) Ὃς ἂν δὲ τῶν ἀστῶν λέπρην ἢ λευκὴν ἔχῃ, ἐς πόλιν οὔτος οὐ κατέρχεται οὐδὲ συμμίσγεται τοῖσι ἄλλοισι Πέρσῃσι· φασὶ δέ μιν ἐς τὸν ἥλιον ἁμαρτόντα τι ταῦτα ἔχειν. (3) Ξεῖνον δὲ πάντα τὸν λαμβανόμενον ὑπὸ τούτων πολλοὶ ἐξελαύνουσι ἐκ τῆς χώρης, καὶ τὰς λευκὰς περιστερὰς, τὴν αὐτὴν αἰτίην ἐπιφέροντες. Ἐς ποταμὸν δὲ οὔτε ἐνουρέουσι οὔτε ἐμπτύουσι, οὐ χεῖρας ἐναπονίζονται, οὐδὲ ἄλλον οὐδένα περιορέουσι, ἀλλὰ σέβονται ποταμοὺς μάλιστα.

CXXXIX. Καὶ τόδε ἄλλο σφι ὧδε συμπέπτωκε γίνεσθαι, τὸ Πέρσας μὲν αὐτοὺς λέληθε, ἡμέας μέντοι οὔ· τὰ οὐνόματά σφι ἐόντα ὁμοῖα τοῖσι σώμασι καὶ τῇ μεγαλοπρεπείῃ τελευτῶσι πάντα ἐς τὠυτὸ γράμμα, τὸ Δωριέες μὲν σὰν καλεῦσι, Ἴωνες δὲ σίγμα. Ἐς τοῦτο διζήμενος εὑρήσεις τελευτῶντα τῶν Περσέων τὰ οὐνόματα, οὐ τὰ μὲν, τὰ δ' οὔ, ἀλλὰ πάντα ὁμοίως.

CXL. Ταῦτα μὲν ἀτρεκέως ἔχω περὶ αὐτῶν εἰδὼς εἶπαι· τάδε μέντοι ὡς κρυπτόμενα λέγεται καὶ οὐ σαφηνέως περὶ τοῦ ἀποθανόντος, ὡς οὐ πρότερον θάπτεται ἀνδρὸς Πέρσεω ὁ νέκυς πρὶν ἂν ὑπ' ὄρνιθος ἢ κυνὸς ἑλκυσθῇ. Μάγους μὲν γὰρ ἀτρεκέως οἶδα ταῦτα ποιεῦντας· ἐμφανέως γὰρ δὴ ποιεῦσι. (2) Κατακηρώσαντες δὴ ὦν τὸν νέκυν Πέρσαι γῇ κρύπτουσι. Μάγοι δὲ κεχωρίδατκι πολλὸν τῶν τε ἄλλων ἀνθρώπων καὶ τῶν ἐν Αἰγύπτῳ ἱρέων. (3) Οἱ μὲν γὰρ ἁγνεύουσι ἐμψυχον μηδὲν κτείνειν, εἰ μὴ ὅσα θύουσι· οἱ δὲ δὴ μάγοι αὐτοχειρίῃ πάντα πλὴν κυνὸς καὶ ἀνθρώπου κτείνουσι, καὶ ἀγώνισμα τοῦτο μέγα ποιεῦνται, κτείνοντες ὁμοίως μύρμηκάς τε καὶ ὄφις καὶ τἆλλα ἑρπετὰ καὶ πετεινά. Καὶ

tuntur a rege. In multitudine enim existimant robur inesse. (2) Puerorum institutio, a quinto anno incipiens usque in vicesimum, ad sola hæc tria refertur, equitare, arcu uti, et verum loqui. Priusquam quinquennis est puer, non venit in patris conspectum, sed apud mulieres vitam agit: (3) id ea fit caussa, ne, si dum ita educatur obit, dolorem adferat patri.

CXXXVII. Laudo equidem istud institutum: sed et hoc laudo, quod propter unam simplicem culpam nec rex ipse quemquam morte plectit, nec reliquorum Persarum quisquam unius culpæ caussa in aliquem suorum atrocius quiddam et irreparabile committit: sed, subductis rationibus, postquam plura et majora esse delicta reperit quam præstita officia, sic demum iræ indulget. (2) Ut autem patrem aliquis aut matrem occiderit, id vero numquam aiunt accidisse: sed quæcumque talia adhuc facta sint, utique necesse esse aiunt, ut caussa curatius cognita reperiantur commissa ea esse aut a supposititiis aut adulterino sanguine natis; nec enim veri simile esse, ut, qui vere pater fuerit, a proprio filio occidatur.

CXXXVIII. Quæcumque vero illis facere non licet, ea nec dicere licitum est. Turpissimum autem apud eos habetur, mendacium dicere; alterum post hoc, æs alienum habere; et hoc quidem quum aliis de caussis, tum quod necesse esse aiunt, ut, qui æs alienum habet, etiam subinde mendacium dicat. (2) Si quis e civibus lepra aut vitiligine est correptus, in urbem hic non intrat, nec cum aliis Persis consuetudinem habet. Dicunt autem, eo huic id accidisse, quod in Solem quidpiam deliquerit. (3) Peregrinum vero quemlibet, qui tali morbo laborat, frequentes terra ejiciunt: etiam columbas albas exturbant, eodem malo eas laborare existimantes. In fluvium neque immingunt, neque exspuunt, nec manus in eo abluunt, nec alium hæc facere patiuntur: sed fluvios præcipue colunt.

CXXXIX. Porro hoc aliud habent Persæ, quod ipsos quidem latet, at nos non præterit. Scilicet nomina eorum, quæ corporibus vel magnificentiæ cujusque ipsorum respondent, desinunt omnia in eandem literam, quam Dores San, Iones Sigma vocant. In hanc literam, si volueris inquirere, reperies desinere Persarum nomina, non unum et alterum, sed pariter omnia.

CXL. Hæc habui quæ de Persis citra dubitationem bene gnarus dicerem. Istud vero ut occultum refertur, nec satis aperte, quod ad vita functos spectat; scilicet, non prius sepeliri hominis Persæ cadaver, quam ab ave aut a cane sit discerptum. Et Magis quidem esse hoc institutum, certo scio: faciunt enim aperte. (2) Cæterum cera obductum cadaver terra condunt Persæ. Magi vero multum, quum ab aliis hominibus differunt, tum a sacerdotibus Ægyptiorum. (3) Hi enim nefas existimant, quidquam vivum necare, præter ea quæ diis immolant: Magi vero omnia manu sua occidunt, excepto cane atque homine; et in hoc studium etiam magnum ponunt, necantes perinde et formicas et angues, et alia reptilia atque volucria. Sed utcumque se

ἀμφὶ μὲν τῷ νόμῳ τούτῳ ἐχέτω ὡς καὶ ἀρχὴν ἐνομίσθη, ἄνειμι δὲ ἐπὶ τὸν πρότερον λόγον.

CXLI. Ἴωνες δὲ καὶ Αἰολέες, ὡς οἱ Λυδοὶ τάχιστα κατεστράφατο ὑπὸ Περσέων, ἔπεμπον ἀγγέλους ἐς Σάρδις παρὰ Κῦρον, ἐθέλοντες ἐπὶ τοῖσι αὐτοῖσι εἶναι τοῖσι καὶ Κροίσῳ ἔσαν κατήκοοι. (2) Ὁ δὲ ἀκούσας αὐτῶν τὰ προίσχοντο, ἔλεξέ σφι λόγον, ἄνδρα φὰς αὐλητὴν ἰδόντα ἰχθῦς ἐν τῇ θαλάσσῃ αὐλέειν, δοκέοντά σφεας ἐξελεύσεσθαι ἐς γῆν· ὡς δὲ ψευσθῆναι τῆς ἐλπίδος, λαβέειν ἀμφίβληστρον καὶ περιβαλέειν τε πλῆθος πολλὸν τῶν ἰχθύων καὶ ἐξειρύσαι, ἰδόντα δὲ παλλομένους εἶπαι ἄρα αὐτὸν πρὸς τοὺς ἰχθῦς, « παύεσθέ μοι ὀρχεόμενοι, ἐπεὶ οὐδ' ἐμέο αὐλέοντος ἠθέλετε ἐκβαίνειν ὀρχεόμενοι. » (3) Κῦρος μὲν τοῦτον τὸν λόγον τοῖσι Ἴωσι καὶ τοῖσι Αἰολεῦσι τῶνδε εἵνεκεν ἔλεξε, ὅτι δὴ οἱ Ἴωνες πρότερον αὐτοῦ Κύρου δεηθέντος δι' ἀγγέλων ἀπίστασθαί σφεας ἀπὸ Κροίσου οὐκ ἐπείθοντο, τότε δὲ κατεργασμένων τῶν πρηγμάτων ἔσαν ἑτοῖμοι πείθεσθαι Κύρῳ. (4) Ὁ μὲν δὴ ὀργῇ ἐχόμενος ἔλεγέ σφι τάδε, Ἴωνες δὲ ὡς ἤκουσαν τούτων ἀνενειχθέντων ἐς τὰς πόλιας, τείχεά τε περιεβάλλοντο ἕκαστοι, καὶ συνελέγοντο ἐς Πανιώνιον οἱ ἄλλοι πλὴν Μιλησίων· πρὸς μούνους γὰρ τούτους ὅρκιον Κῦρος ἐποιήσατο ἐπ' οἷσί περ ὁ Λυδός. Τοῖσι δὲ λοιποῖσι Ἴωσι ἔδοξε κοινῷ λόγῳ πέμπειν ἀγγέλους ἐς Σπάρτην, δεησομένους Ἴωσι τιμωρέειν.

CXLII. Οἱ δὲ Ἴωνες οὗτοι, τῶν καὶ τὸ Πανιώνιόν ἐστι, τοῦ μὲν οὐρανοῦ καὶ τῶν ὡρέων ἐν τῷ καλλίστῳ ἐτύγχανον ἱδρυσάμενοι πόλιας πάντων ἀνθρώπων τῶν ἡμεῖς ἴδμεν· οὔτε γὰρ τὰ ἄνω αὐτῆς χωρία τὠυτὸ ποιέει τῇ Ἰωνίῃ οὔτε τὰ κάτω, οὔτε τὰ πρὸς τὴν ἠῶ οὔτε τὰ πρὸς τὴν ἑσπέρην, τὰ μὲν ὑπὸ τοῦ ψυχροῦ τε καὶ ὑγροῦ πιεζόμενα, τὰ δὲ ὑπὸ τοῦ θερμοῦ τε καὶ αὐχμώδεος. (2) Γλῶσσαν δὲ οὐ τὴν αὐτὴν οὗτοι νενομίκασι, ἀλλὰ τρόπους τέσσερας παραγωγέων. Μίλητος μὲν αὐτῶν πρώτη κέεται πόλις πρὸς μεσαμβρίην, μετὰ δὲ Μυοῦς τε καὶ Πριήνη· αὗται μὲν ἐν τῇ Καρίῃ κατοικέαται κατὰ ταὐτὰ διαλεγόμεναί σφι· αἵδε δὲ ἐν τῇ Λυδίῃ, Ἔφεσος, Κολοφών, Λέβεδος, Τέως, Κλαζομεναί, Φώκαια. (3) Αὗται δὲ αἱ πόλιες τῇσι πρότερον λεχθείσῃσι ὁμολογέουσι κατὰ γλῶσσαν οὐδέν, σφίσι δὲ ὁμοφωνέουσι. Ἔτι δὲ τρεῖς ὑπόλοιποι Ἰάδες πόλιες, τῶν αἱ δύο μὲν νήσους οἰκέαται, Σάμον τε καὶ Χίον, ἡ δὲ μία ἐν τῇ ἠπείρῳ ἵδρυται, Ἐρυθραί. (4) Χῖοι μέν νυν καὶ Ἐρυθραῖοι κατὰ τὠυτὸ διαλέγονται, Σάμιοι δὲ ἐπ' ἑωυτῶν μοῦνοι. Οὗτοι χαρακτῆρες γλώσσης τέσσερες γίνονται.

CXLIII. Τούτων δὴ ὧν τῶν Ἰώνων οἱ Μιλήσιοι μὲν ἔσαν ἐν σκέπῃ τοῦ φόβου, ὅρκιον ποιησάμενοι, τοῖσι δὲ αὐτῶν νησιώτῃσι ἦν δεινὸν οὐδέν· οὔτε γὰρ Φοίνικες ἔσαν κω Περσέων κατήκοοι οὔτε αὐτοὶ οἱ Πέρσαι ναυβάται. (2) Ἀπεσχίσθησαν δὲ ἀπὸ τῶν ἄλλων Ἰώνων οὗτοι κατ' ἄλλο μὲν οὐδέν, ἀσθενέος δὲ ἐόντος τοῦ παντὸς τότε Ἑλληνικοῦ γένεος, πολλῷ δὲ ἦν ἀσθενέστατον τῶν ἐθνέων τὸ Ἰωνικὸν καὶ λόγου ἐλαχίστου· ὅτι γὰρ μὴ Ἀθῆναι, ἦν οὐδὲν ἄλλο πόλισμα λόγιμον. (3) Οἱ μέν

habeat instituti istius genuina ratio, hæc hactenus : redeo ad superiorem narrationem.

CXLI. Simul atque Lydi subacti a Persis fuere, Ionesque Æolesque legatos Sardes miserunt ad Cyrum, volentes eisdem conditionibus imperio ejus esse subjecti, quibus Crœso paruerant. (2) At ille, auditis eorum postulatis, fabulam eis narravit hujusmodi : Fuit olim tibicen, inquit, qui, piscibus conspectis in mari, tibia cecinit, ratus illos in terram esse egressuros. Is ubi spe frustratum se vidit, capit rete, et ingentem piscium numerum reti inclusum extraxit. Quos ubi vidit palpitantes, dixit eis : « Desinite nunc saltare, quum, me tibia canente, egredi saltareque nolueritis. » (3) Hanc fabulam Ionibus Æolibusque hac caussa Cyrus proposuit, quoniam ante id tempus Iones, per legatos invitati a Cyro ut a Crœso desciscerent, non paruerant; et tunc demum, confectis rebus, ad parendum Cyro erant parati. (4) Ille igitur, ira commotus, ista eis respondit. Quo responso ad Ionum civitates relato, muris singuli oppida sua cingebant, et ad Panionium congregabantur reliqui omnes præter Milesios; cum his enim solis Cyrus fœdus fecerat eisdem conditionibus quibus olim Lydus. Reliquis vero Ionibus placuit communi consilio Spartam legatos mittere, qui rogarent Spartanos ut Ionibus auxilio venirent.

CXLII. Iones hi autem, quorum est etiam Panionium illud, præ omnibus quos novimus hominibus oppida condita tenebant in terræ tractu temperie cœli aerisque longe præstantissimo. Etenim neque locorum superius sitorum eadem ratio est atque Ioniæ, neque inferius sitorum; nec eorum quæ orientem spectant, nec quæ occidentem : quorum alia frigore aut humiditate premuntur, alia æstu et siccitate. (2) Lingua autem non utuntur eadem, sed quatuor modis deflexionum [*dialectis*]. Prima civitatum Miletus versus meridiem sita est; dein Myus et Priene : et hæ quidem in Caria sitæ sunt, et dialecto utuntur eadem. Istæ vero in Lydia : Ephesus, Colophon, Lebedus, Teos, Clazomenæ, Phocæa. (3) Atque hæ civitates, ad sermonis characterem quod attinet, cum illis, quas ante nominavi, nihil commune habent, sed inter se conveniunt. Supersunt tres Ionicæ civitates, quarum duæ insulas incolunt, Samum atque Chium : tertia in continente sita est, Erythræ. (4) Ex his Chii et Erythræi eadem utuntur dialecto; Samii vero sua, ab aliis diversa. Hi sunt quattuor sermonis characteres.

CXLIII. Horum igitur Ionum Milesii tuti a metu erant, utpote fœdus cum Cyro pacti. Qui autem ex eisdem insulas incolebant, ne illi quidem quidquam metuebant : necdum enim eo tempore Phœnices Persarum imperio erant subjecti, nec Persæ ipsi mare exercebant. (2) Separaverant se autem hi Iones (*Milesii*) a ceteris Ionibus, non aliam ob caussam, nisi quod, quum universa tunc stirps Hellenica infirma esset, populorum omnium infirmissimus et minimi momenti fuerit Ionicus : nam, præter Athenas, nulla alia erat eorum civitas notabilis. (3) Quare et alii Iones ei

νυν ἄλλοι Ἴωνες καὶ οἱ Ἀθηναῖοι ἔφυγον τὸ οὔνομα, οὐ βουλόμενοι Ἴωνες κεκλῆσθαι, ἀλλὰ καὶ νῦν φαίνονταί μοι οἱ πολλοὶ αὐτῶν ἐπαισχύνεσθαι τῷ οὐνόματι· αἱ δὲ δυώδεκα πόλιες αὗται τῷ τε οὐνόματι ἠγάλλοντο καὶ ἱρὸν ἱδρύσαντο ἐπὶ σφέων αὐτέων, τῷ οὔνομα ἔθεντο Πανιώνιον, ἐβουλεύσαντο δὲ αὐτοῦ μεταδοῦναι μηδαμοῖσι ἄλλοισι Ἰώνων (οὐδ' ἐδεήθησαν δὲ οὐδαμοὶ μετασχεῖν ὅτι μὴ Σμυρναῖοι)·

CXLIV. κατά περ οἱ ἐκ τῆς πενταπόλιος νῦν χώρης Δωριέες, πρότερον δὲ ἑξαπόλιος τῆς αὐτῆς ταύτης καλευμένης, φυλάσσονται ὧν μηδαμοὺς ἐσδέξασθαι τῶν προσοίκων Δωριέων ἐς τὸ Τριοπικὸν ἱρόν, ἀλλὰ καὶ σφέων αὐτέων τοὺς περὶ τὸ ἱρὸν ἀνομήσαντας ἐξεκλῄϊσαν τῆς μετοχῆς. (2) Ἐν γὰρ τῷ ἀγῶνι τοῦ Τριοπίου Ἀπόλλωνος ἐτίθεσαν τὸ πάλαι τρίποδας χαλκέους τοῖσι νικῶσι, καὶ τούτους χρὴν τοὺς λαμβάνοντας ἐκ τοῦ ἱροῦ μὴ ἐκφέρειν, ἀλλ' αὐτοῦ ἀνατιθέναι τῷ θεῷ. Ἀνὴρ ὧν Ἁλικαρνησεὺς, τῷ οὔνομα ἦν Ἀγασικλέης, νικήσας τὸν νόμον κατηλόγησε, φέρων δὲ πρὸς τὰ ἑωυτοῦ οἰκία προσεπασσάλευσε τὸν τρίποδα. (3) Διὰ ταύτην τὴν αἰτίην αἱ πέντε πόλιες, Λίνδος καὶ Ἰήλυσός τε καὶ Κάμειρος καὶ Κῶς τε καὶ Κνίδος, ἐξεκλήϊσαν τῆς μετοχῆς τὴν ἕκτην πόλιν Ἁλικαρνησόν. Τούτοισι μέν νυν ταύτην τὴν ζημίην οὗτοι ἐπέθηκαν.

CXLV. Δοκέουσι δέ μοι δυώδεκα πόλιας ποιήσασθαι οἱ Ἴωνες καὶ οὐκ ἐθελῆσαι πλεῦνας ἐσδέξασθαι τοῦδε εἵνεκεν, ὅτι καὶ ὅτε ἐν Πελοποννήσῳ οἴκεον, δυώδεκα ἦν αὐτῶν μέρεα, κατά περ νῦν Ἀχαιῶν τῶν ἐξελασάντων Ἴωνας δυώδεκά ἐστι μέρεα. (2) Πελλήνη μέν γε πρώτη πρὸς Σικυῶνος, μετὰ δὲ Αἴγειρα καὶ Αἰγαὶ, ἐν τῇ Κρᾶθις ποταμὸς ἀέναός ἐστι, ἀπ' ὅτευ ὁ ἐν Ἰταλίῃ ποταμὸς τὸ οὔνομα ἔσχε, καὶ Βοῦρα καὶ Ἑλίκη, ἐς τὴν κατέφυγον Ἴωνες ὑπ' Ἀχαιῶν μάχῃ ἐσσωθέντες, καὶ Αἴγιον καὶ Ῥύπες καὶ Πατρέες καὶ Φαρέες καὶ Ὦλενος, ἐν τῷ Πεῖρος ποταμὸς μέγας ἐστὶ, καὶ Δύμη καὶ Τριταιέες, οἳ μοῦνοι τούτων μεσόγαιοι οἰκέουσι.

CXLVI. Ταῦτα δυώδεκα μέρεα νῦν Ἀχαιῶν ἐστὶ καὶ τότε γε Ἰώνων ἦν. Τούτων δὴ εἵνεκεν καὶ οἱ Ἴωνες δυώδεκα πόλιας ἐποιήσαντο, ἐπεὶ ὡς γέ τι μᾶλλον οὗτοι Ἰωνέες εἰσὶ τῶν ἄλλων Ἰώνων ἢ κάλλιόν τι γεγόνασι, μωρίη πολλὴ λέγειν· τῶν Ἀβαντες μὲν ἐξ Εὐβοίης εἰσὶ οὐκ ἐλαχίστη μοῖρα, τοῖσι Ἰωνίης μέτα οὐδὲ τοῦ οὐνόματος οὐδέν, Μινύαι δὲ Ὀρχομένιοι ἀναμεμίχαται καὶ Καδμεῖοι καὶ Δρύοπες καὶ Φωκέες ἀποδάσμιοι καὶ Μολοσσοὶ καὶ Ἀρκάδες Πελασγοὶ καὶ Δωριέες Ἐπιδαύριοι, ἄλλα τε ἔθνεα πολλὰ ἀναμεμίχαται· (2) οἱ δὲ αὐτῶν ἀπὸ τοῦ πρυτανηίου τοῦ Ἀθηναίων ὁρμηθέντες καὶ νομίζοντες γενναιότατοι εἶναι Ἰώνων, οὗτοι δὲ οὐ γυναῖκας ἠγάγοντο ἐς τὴν ἀποικίην, ἀλλὰ Καείρας ἔσχον, τῶν ἐφόνευσαν τοὺς γονέας. (3) Διὰ τοῦτον δὲ τὸν φόνον αἱ γυναῖκες αὗται νόμον θέμεναι σφίσι αὐτῇσι ὅρκους ἐπήλασαν καὶ παρέδοσαν τῇσι θυγατράσι, μή κοτε ὁμοσιτῆσαι τοῖσι ἀνδράσι μηδὲ οὐνόματι βῶσαι τὸν ἑωυτῆς ἄνδρα, τοῦδε εἵνεκεν ὅτι ἐφόνευσαν σφέων

ipsi Athenienses nomen etiam fugiebant, nec Iones volebant adpellari : immo etiam nunc plerosque eorum pudet hujus nominis. Sed duodecim illæ civitates gaudebant hoc nomine, et separatim ab aliis templum sibi statuerunt, cui Panionio imposuere nomen; decreveruntque nullos alios Ionas participes illius facere : nec vero etiam alii, ut in consortium reciperentur, petivere, præter Smyrnæos.

CXLIV. Simili ratione Dorienses, Pentapolin quæ nunc vocatur incolentes, quæ olim eadem Hexapolis nominata erat, cavent ne alios ullos ex finitimis Doriensibus in Triopici templi communionem recipiant; verum etiam suo de numero eos, qui adversus id templum scelus admiserant, communione excluserunt. (2) Nam quum in ludis Triopii Apollinis ex prisco instituto aurei tripodes donarentur victoribus; quos tripodas qui acceperant, his non licebat eos extra templum exportare, sed ibidem deo dedicare oportebat; civis quidam Halicarnassensis, cui nomen erat Agasicles, victoriam quum reportasset, spreta lege domum suam detulit tripodem et clavis ibi adfixit. (3) Hanc ob culpam quinque civitates, Lindus, Ialysus, Camirus, Cos et Cnidus, sextam civitatem Halicarnassum communione excluserunt. Talem illi his pœnam inflixere.

CXLV. Quod autem duodecim civitates confecerunt Iones, nec plures voluerunt recipere, id ea caussa fecisse mihi videntur, quod etiam, quo tempore in Peloponneso habitaverant, totidem eorum fuerant regiones; quemadmodum nunc Achæorum, qui Ionas expulerunt, duodecim regiones sunt : (2) prima Pellene, haud procul Sicyone; dein Ægira, et Ægæ, in qua est Crathis amnis perennis, a quo et ille in Italia nomen accepit; tum Bura, et Helice, in quam confugerant Iones ab Achæis prælio superati; et Ægium, et Rhypes, et Patrenses, et Pharenses, et Olenus, in qua Pirus est amnis ingens; et Dyme et Tritæenses, qui soli ex istis omnibus mediterranea habitant.

CXLVI. Hæ sunt nunc duodecim Achæorum regiones, quæ olim ibi Ionum fuerant: qua nimirum de caussa etiam in Asia duodecim civitates confecerunt : nam, esse hos magis Ionas quam reliqui Iones, aut nobiliori quadam stirpe oriundos, id vero dicere magna foret stultitia. Sunt enim horum quidem haud minima pars Abantes ex Eubœa, quibus nihil cum Ionia aut cum nomine isto commune est : admixti porro eis sunt Minyæ Orchomenii, et Cadmei, et Dryopes, et Phocenses, qui a popularibus suis se sejunxerunt, et Molossi, et Arcades Pelasgi, et Dorienses Epidaurii; denique multæ aliæ gentes illis immixtæ sunt. (2) Qui vero eorum ex Athenarum prytaneo sunt profecti, nobilissimique censentur esse Ionum, hi vero uxores secum in coloniam non adduxerant, sed Caricas habebant uxores, quarum parentes occiderant. (3) Quam ob cædem mulieres hæ legem sibi, juramento firmatam, imposuerunt, filiabusque suis tradiderunt, ne unquam cum maritis caperent cibum, nec maritum suum ulla nomine compellaret; hanc

τοὺς πατέρας καὶ ἄνδρας καὶ παῖδας καὶ ἔπειτεν ταῦτα ποιήσαντες αὐτῇσι συνοίκεον. Ταῦτα δὲ ἦν γινόμενα ἐν Μιλήτῳ.

CXLVII. Βασιλέας δὲ ἐστήσαντο οἱ μὲν αὐτῶν Αυκίους ἀπὸ Γλαύκου τοῦ Ἱππολόχου γεγονότας, οἱ δὲ Καύκωνας Πυλίους ἀπὸ Κόδρου τοῦ Μελάνθου, οἱ δὲ καὶ συναμφοτέρους. Ἀλλὰ γὰρ περιέχονται τοῦ οὐνόματος μᾶλλόν τι τῶν ἄλλων Ἰώνων, ἔστωσαν δὲ καὶ οἱ καθαρῶς γεγονότες Ἴωνες· εἰσὶ δὲ πάντες Ἴωνες, ὅσοι ἀπ' Ἀθηνέων γεγόνασι καὶ Ἀπατούρια ἄγουσι ὀρτήν. (2) Ἄγουσι δὲ πάντες πλὴν Ἐφεσίων καὶ Κολοφωνίων· οὗτοι γὰρ μοῦνοι Ἰώνων οὐκ ἄγουσι Ἀπατούρια, καὶ οὗτοι κατὰ φόνου τινὰ σκῆψιν.

CXLVIII. Τὸ δὲ Πανιώνιόν ἐστι τῆς Μυκάλης χῶρος ἱρὸς, πρὸς ἄρκτον τετραμμένος, κοινῇ ἐξαιρημένος ὑπ' Ἰώνων Ποσειδέωνι Ἑλικωνίῳ. (2) Ἡ δὲ Μυκάλη ἐστὶ τῆς ἠπείρου ἄκρη πρὸς ζέφυρον ἄνεμον κατήκουσα Σάμῳ, ἐς τὴν συλλεγόμενοι ἀπὸ τῶν πολίων Ἴωνες ἄγεσκον ὀρτὴν τῇ ἔθεντο οὔνομα Πανιώνια. (3) Πεπόνθασι δὲ οὔτι μοῦναι αἱ Ἰώνων ὁρταὶ τοῦτο, ἀλλὰ καὶ Ἑλλήνων πάντων ὁμοίως πᾶσαι ἐς τὠυτὸ γράμμα τελευτῶσι, κατά περ τῶν Περσέων τὰ οὐνόματα.

CXLIX. Αὗται μὲν αἱ Ἰάδες πόλιές εἰσι· αἵδε δὲ αἱ Αἰολίδες, Κύμη ἡ Φρικωνὶς καλευμένη, Ἀήρισαι, Νέον τεῖχος, Τῆμνος, Κίλλα, Νότιον, Αἰγιρόεσσα, Πιτάνη, Αἰγαῖαι, Μύρινα, Γρύνεια. (2) Αὗται ἑνδεκα Αἰολέων πόλιες αἱ ἀρχαῖαι· μία γάρ σφεων παρελύθη ὑπ' Ἰώνων, Σμύρνη· ἔσαν γὰρ καὶ αὗται δυώδεκα αἱ ἐν τῇ ἠπείρῳ. Οὗτοι δὲ οἱ Αἰολέες χώρην μὲν ἔτυχον κτίσαντες ἀμείνω Ἰώνων, ὡρέων δὲ ἧκουσαν οὐκ ὁμοίως.

CL. Σμύρνην δὲ ὧδε ἀπέβαλον Αἰολέες. Κολοφωνίους ἄνδρας στάσι ἐσσωθέντας καὶ ἐκπεσόντας ἐκ τῆς πατρίδος ὑπεδέξαντο. Μετὰ δὲ οἱ φυγάδες τῶν Κολοφωνίων φυλάξαντες τοὺς Σμυρναίους ὀρτὴν ἔξω τείχεος ποιευμένους Διονύσῳ, τὰς πύλας ἀποκληίσαντες ἔσχον τὴν πόλιν. (2) Βωθησάντων δὲ πάντων Αἰολέων ὁμολογίῃ ἐχρήσαντο, τὰ ἔπιπλα ἀποδόντων τῶν Ἰώνων ἐκλιπεῖν Σμύρνην Αἰολέας. Ποιησάντων δὲ ταῦτα Σμυρναίων ἐπιδιεῖλοντό σφεας αἱ ἕνδεκα πόλιες καὶ ἐποιήσαντο σφέων αὐτέων πολίτας.

CLI. Αὗται μέν νυν αἱ ἠπειρώτιδες Αἰολίδες πόλιες, ἔξω τῶν ἐν τῇ Ἰδῃ οἰκημένων· κεχωρίδαται γὰρ αὗται. Αἱ δὲ τὰς νήσους ἔχουσαι πέντε μὲν πόλιες τὴν Λέσβον νέμονται (τὴν γὰρ ἕκτην ἐν τῇ Λέσβῳ οἰκεομένην Ἀρίσβαν ἠνδραπόδισαν Μηθυμναῖοι, ἐόντας ὁμαίμους), ἐν Τενέδῳ δὲ μία οἰκέεται πόλις, καὶ ἐν τῇσι Ἑκατὸν νήσοισι καλευμένῃσι ἄλλη μία. (2) Λεσβίοισι μέν νυν καὶ Τενεδίοισι, κατά περ Ἰώνων τοῖσι τὰς νήσους ἔχουσι, ἦν δεινὸν οὐδέν· τῇσι δὲ λοιπῇσι πόλισι ἔαδε κοινῇ Ἴωσι ἕπεσθαι τῇ ἂν οὗτοι ἐξηγέωνται.

CLII. Ὡς δὲ ἀπίκοντο ἐς τὴν Σπάρτην τῶν Ἰώνων καὶ Αἰολέων οἱ ἄγγελοι (κατὰ γὰρ δὴ τάχος ἦν ταῦτα πρηνσσόμενα), εἵλοντο πρὸ πάντων λέγειν τὸν Φωκαέα, τῷ οὔνομα ἦν Πύθερμος. Ὁ δὲ πορφύρεόν τε εἷμα πεob caussam, quod ipsarum parentes maritosque et liberos illi occidissent, et dein patrato hoc facinore ipsas duxissent uxores. Hæc autem Mileti facta erant.

CXLVII. Reges vero sibi constituerant, alii Lycios, a Glauco Hippolochi filio oriundos; alii Cauconas Pylios, a Codro Melanthi filio; alii ex utroque genere. Enimvero nomen hi tuentur aliquanto acrius quam reliqui Iones. Sint vero etiam ipsi maxime genuini Iones: sunt tamen Iones omnes, quicumque ex Attica oriundi sunt, et Apaturia celebrant: (2) celebrant autem hoc festum omnes, exceptis Ephesiis et Colophoniis; hi enim soli ex Ionibus Apaturia non celebrant, idque ob cædis quandam quam afferunt caussam.

CXLVIII. Est autem Panionium sacer locus Mycalæ, septentrionem spectans, communi Ionum consilio Neptuno Heliconio dedicatus. (2) Mycale autem promontorium est continentis, ab occidente Samum versus porrectum. Huc convenientes e civitatibus omnibus Iones festum celebrabant, quod Panionia nominabant. (3) Habent hoc autem non solum Ionum festa, sed etiam Græcorum omnium: ut eorum nomina in eandem desinant literam, quemadmodum etiam Persarum nomina.

CXLIX. Hæ igitur, quas dixi, Ionum sunt civitates. Æolides vero civitates hæ sunt: Cyme, Phriconis cognominata, Larissæ, Neotichos, Temnus, Cilla, Notium, Ægiroessa, Pitane, Ægææ, Myrina, Grynea. (2) Hæ sunt undecim Æolensium civitates antiquæ: una enim eis ademta est ab Ionibus, Smyrna. Fuerant enim et hæ civitates duodecim, in continente omnes sitæ. Colebant autem hi Æolenses regionem, cui solum præstantius quam Ionum, cæterum cœli temperie Ionum regioni erat inferior.

CL. Smyrnam vero tali modo amiserant Æolenses. Cives Colophonios, qui in popularium seditione inferiores discesserant, patriaque fuerant pulsi, intra urbem suam receperunt. Post hæc iidem exsules Colophonii, observato die quo Smyrnæi Baccho extra muros sacra faciebant, occlusis portis urbem tenuere. (2) Dein succurrentibus Æolensibus cunctis, fit pactum hac conditione, ut Iones omnia quæ moveri possent Æolensibus redderent, Æolenses Smyrnam relinquerent. Quo facto, reliquæ undecim civitates Smyrnæos inter se dispertitæ, in civium numerum receperunt.

CLI. Hæ sunt igitur Æolensium civitates in continente sitæ, præter eas quæ Idam incolunt; hæ enim ab illis sejunctæ sunt. Qui vero insulas obtinent, eorum quinque civitates Lesbum incolunt: nam sextam, quam in Lesbo condiderant, Arisbam, Methymnæi in servitutem redegerunt, quum essent consanguinei. In Tenedo vero una habitatur civitas; et in Centum-insulis quæ vocantur, itidem una. (2) Lesbii igitur et Tenedii, quemadmodum Iones insulas incolentes, nihil metuebant: reliquis vero civitatibus communi consilio placuit Ionas sequi, quocumque hi ducerent.

CLII. Spartam ut venerunt Ionum Æolensiumque legati, (celeriter enim hæc conficiebantur), oratorem qui nomine omnium verba faceret delegerunt civem Phocæensem, cui nomen erat Pythermus. Et ille purpureo amictus pallio, quo

ριβαλλόμενος, ὡς ἂν πυνθανόμενοι πλεῖστοι συνέλθοιεν Σπαρτιητέων, καὶ καταστὰς ἔλεγε πολλὰ τιμωρέειν ἑωυτοῖσι χρηίζων. (2) Λακεδαιμόνιοι δὲ οὐ κως ἤκουον, ἀλλ' ἀπέδοξέ σφι μὴ τιμωρεῖν Ἴωσι. Οἱ μὲν δὴ ἀπαλλάσσοντο, Λακεδαιμόνιοι δὲ ἀπωσάμενοι τῶν Ἰώνων τοὺς ἀγγέλους ὅμως ἀπέστειλαν πεντηκοντέρῳ ἄνδρας, ὡς μὲν ἐμοὶ δοκέει, κατασκόπους τῶν τε Κύρου πρηγμάτων καὶ Ἰωνίης. (3) Ἀπικόμενοι δὲ οὗτοι ἐς Φώκαιαν ἐπεμπον ἐς Σάρδις ἀνδρῶν αὐτῶν τὸν δοκιμώτατον, τῷ οὔνομα ἦν Λακρίνης, ἀπερέοντα Κύρῳ Λακεδαιμονίων ῥῆσιν, γῆς τῆς Ἑλλάδος μηδεμίαν πολιν σιναμωρέειν ὡς αὐτῶν οὐ περιοψομένων.

CLIII. Ταῦτα εἰπαντος τοῦ κήρυκος, λέγεται Κῦρον ἐπείρεσθαι τοὺς παρεόντας οἱ Ἑλλήνων τίνες ἐόντες ἄνθρωποι Λακεδαιμόνιοι καὶ κόσοι πλῆθος ταῦτα ἑωυτῷ προαγορεύουσι. (2) Πυνθανόμενον δέ μιν εἶπαι πρὸς τὸν κήρυκα τὸν Σπαρτιήτην, « οὐκ ἐδεισά κω ἄνδρας τοιούτους, τοῖσί ἐστι χῶρος ἐν μέσῃ τῇ πόλι ἀποδεδεγμένος ἐς τὸν συλλεγόμενοι ἀλλήλους ὀμνύντες ἐξαπατῶσι. Τοῖσι, ἢν ἐγὼ ὑγιαίνω, οὐ τὰ Ἰώνων πάθεα ἔσται ἔλλεσχα, ἀλλὰ τὰ οἰκήϊα. » (3) Ταῦτα ἐς τοὺς πάντας Ἕλληνας ἀπέρριψε ὁ Κῦρος τὰ ἔπεα, ὅτι ἀγορὰς κτησάμενοι ὠνῇ τε καὶ πρήσι χρέονται· αὐτοὶ γὰρ οἱ Πέρσαι ἀγορῇσι οὐδὲν ἐπίστανται χρέεσθαι, οὐδέ σφι ἔστι τὸ παράπαν ἀγορή. (4) Μετὰ ταῦτα ἐπιτρέψας τὰς μὲν Σάρδις Ταβάλῳ ἀνδρὶ Πέρσῃ, τὸν δὲ χρυσὸν τόν τε Κροίσου καὶ τὸν τῶν ἄλλων Λυδῶν Πακτύῃ ἀνδρὶ Λυδῷ κομίζειν, ἀπήλαυνε αὐτὸς ἐς Ἀγβάτανα, Κροῖσόν τε ἅμα ἀγόμενος καὶ τοὺς Ἴωνας ἐν οὐδενὶ λόγῳ ποιησάμενος τὴν πρώτην εἶναι. (5) Ἦν τε γὰρ Βαβυλών οἱ ἦν ἐμπόδιος καὶ τὸ Βάκτριον ἔθνος καὶ Σάκαι τε καὶ Αἰγύπτιοι, ἐπ' οὓς ἐπεῖχέ τε στρατηλατέειν αὐτὸς, ἐπὶ δὲ Ἴωνας ἄλλον πέμπειν στρατηγόν.

CLIV. Ὡς δὲ ἀπήλασε ὁ Κῦρος ἐκ τῶν Σαρδίων, τοὺς Λυδοὺς ἀπέστησε ὁ Πακτύης ἀπό τε Ταβάλου καὶ Κύρου, καταβὰς δὲ ἐπὶ θάλασσαν, ἅτε τὸν χρυσὸν ἔχων πάντα τὸν ἐκ τῶν Σαρδίων, ἐπικούρους τε ἐμισθοῦτο καὶ τοὺς ἐπιθαλασσίους ἀνθρώπους ἔπειθε σὺν ἑωυτῷ στρατεύεσθαι. Ἐλάσας δὲ ἐπὶ τὰς Σάρδις ἐπολιόρκεε Τάβαλον ἀπεργμένον ἐν τῇ ἀκροπόλι.

CLV. Πυθόμενος δὲ κατ' ὁδὸν ταῦτα ὁ Κῦρος εἶπε πρὸς Κροῖσον τάδε, « Κροῖσε, τί ἔσται τὸ τέλος τῶν γινομένων τούτων ἐμοί; οὐ παύσονται Λυδοὶ, ὡς οἰκασι, πρήγματα παρέχοντες καὶ αὐτοὶ ἔχοντες. Φροντίζω μὴ ἄριστον ᾖ ἐξανδραποδίσασθαί σφεας. (2) Ὁμοίως γάρ μοι νῦν γε φαίνομαι πεποιηκέναι ὡς εἴ τις πατέρα ἀποκτείνας τῶν παίδων αὐτοῦ φείσαιτο. Ὡς δὲ καὶ ἐγὼ Λυδῶν τὸν μὲν πλέον τι ἢ πατέρα ἐόντα σὲ λαβὼν ἄγω, αὐτοῖσι δὲ Λυδοῖσι τὴν πόλιν παρέδωκα, καὶ ἔπειτεν θωμάζω εἰ μοι ἀπεστέασι. » (3) Ὁ μὲν δὴ τά περ ἐνόεε ἔλεγε, ὁ δ' ἀμείβετο τοισίδε, δείσας μὴ ἀναστάτους ποιήσῃ τὰς Σάρδις, « ὦ βασιλεῦ, τὰ μὲν οἰκότα εἴρηκας, σὺ μέντοι μὴ πάντα θυμῷ χρέω, μηδὲ πόλιν ἀρχαίην ἐξαναστήσας ἀναμάρτητον ἐοῦσαν καὶ τῶν πρότερον καὶ τῶν νῦν

major Spartanorum numerus, adventu eorum cognito, conveniret, in medium progressus, multa fecit verba, orans ut ipsis succurrerent. (2) At Lacedæmonii neutiquam audiebant, nec placebat eis opem ferre Ionibus. Itaque illi discesserunt: Lacedæmonii vero, rejectis Ionum legatis, tamen quinquaginta remorum navi viros emiserunt, res Cyri Ioniæque ut mihi quidem videtur, exploraturos. (3) Qui quum Phocæam adpulissent, Sardes miserunt e suis virum probatissimum, Lacrinen nomine, qui Lacedæmoniorum verbis ediceret Cyro, ne ulli civitati terræ Græciæ damnum inferret; se enim eam rem non neglecturos.

CLIII. Hæc quum dixisset legatus, fertur Cyrus ex præsentibus Græcis quæsisse, quinam homines essent Lacedæmonii, quantaque illorum multitudo, qui hæc ei ediderent. (2) Quæ postquam ex his cognovit, legato Spartiatæ respondit: « Numquam timui tales viros, qui in medio oppido locum habent designatum, in quo congregati, interposito juramento, sese invicem decipiunt: quibus, si ego valebo, accidet ut non de his quæ Ionibus, sed quæ sibi impendent, sint confabulaturi. » (3) Hæc Cyrus in universos conjecit Græcos, eo quod fora publica habent, in quibus emtioni et venditioni dant operam: Persæ autem foris non utuntur, nec est omnino apud illos forum rerum venalium. (4) Post hæc vero, Sardium custodia Tabalo tradita, homini Persæ, et auri transferendi cura, quod Crœsi aliorumque Lydorum fuerat, Pactyæ commissa, Lydo homini, ipse Ecbatana proficiscitur, Crœsum secum ducens, Ionum autem, in præsentia certe, rationem nullam habens. (5) Obstabat enim Babylon, et Bactriana gens, et Sacæ atque Ægyptii, in quos ipse expeditionem cogitabat suscipere, adversus Ionas vero alium mittere ducem.

CLIV. Ut vero Sardibus discesserat Cyrus, Lydos Pactyas ad desciscendum a Tabalo et Cyro permovit: et ad mare profectus, quum aurum omne ex Sardibus in potestate haberet, auxilia mercede conduxit, maritimisque hominibus ut secum militarent persuasit. Tum exercitu adversus Sardes ducto, Tabalum oppugnavit, in arce conclusum.

CLV. Ea re in itinere cognita, Cyrus his verbis Crœsum compellavit: « Crœse, quis mihi erit harum rerum finis? Non desinent Lydi, uti videtur, et molestiam creare mihi, et ipsi sibi exhibere. Subit animum cogitatio, optimum fore, ut prorsus in servitutem eos redigam. (2) Similiter enim nunc mihi videor fecisse, atque si quis, quorum patrem occidisset, filiis pepercerit. Sic nempe et ego, quum te in potestate habens mecum ducam, qui amplius etiam aliquid quam pater illis fuisti, ipsis Lydis urbem tradidi: ac dein miror, a me eos descivisse! » (3) Sic ille quæ sentiebat dixit. Cui Crœsus, veritus ne funditus everteret Sardes, his verbis respondit. » Æqua sunt, inquit, o rex, quæ dixisti. At tu tamen ne prorsus indulgeas iræ, nec penitus evertas antiquam urbem, quæ et ante actorum insons est,

ἱστεώτων. (4) Τὰ μὲν γὰρ πρότερον ἐγώ τε ἔπρηξα καὶ ἐγὼ κεφαλῇ ἀναμάξας φέρω· τὰ δὲ νῦν παρεόντα, Πακτύης γάρ ἐστι ὁ ἀδικέων, τῷ σὺ ἐπέτρεψας Σάρδις, οὗτος δότω τοι δίκην. Λυδοῖσι δὲ συγγνώμην ἔχων τάδε αὐτοῖσι ἐπίταζον, ὡς μήτε ἀποστέωσι μήτε δεινοί τοι ἔωσι. (5) Ἄπειπε μέν σφι πέμψας ὅπλα ἀρῆϊα μὴ ἐκτῆσθαι, κέλευε δέ σφεας χιτῶνάς τε ὑποδύνειν τοῖσι εἵμασι καὶ κοθόρνους ὑποδέεσθαι, πρόειπε δ' αὐτοῖσι κιθαρίζειν τε καὶ ψάλλειν καὶ καπηλεύειν τοὺς παῖδας. Καὶ ταχέως σφέας, ὦ βασιλεῦ, γυναῖκας ἀντ' ἀνδρῶν ὄψεαι γεγονότας, ὥστε οὐδὲν δεινοί τοι ἔσονται μὴ ἀποστέωσι. »

CLVI. Κροῖσος μὲν δὴ ταῦτά οἱ ὑπετίθετο, αἱρετώτερα ταῦτα εὑρίσκων Λυδοῖσι ἢ ἀνδραποδισθέντας πρηνῆναι σφέας, ἐπισταμένος ὅτι ἦν μὴ ἀξιόχρεων πρόφασιν προτείνῃ, οὐκ ἀναπείσει μιν μεταβουλεύσασθαι, ἀρρωδέων δὲ μὴ καὶ ὕστερόν κοτε οἱ Λυδοὶ, ἢν τὸ παρεὸν ὑπεκδράμωσι, ἀποστάντες ἀπὸ τῶν Περσέων ἀπόλωνται. (2) Κῦρος δὲ ἡσθεὶς τῇ ὑποθήκῃ καὶ ὑπεὶς τῆς ὀργῆς ἔφη οἱ πείθεσθαι. Καλέσας δὲ Μαζάρεα ἄνδρα Μῆδον, ταῦτά οἱ ἐνετείλατο προεῖπαι Λυδοῖσι τὰ ὁ Κροῖσος ὑπετίθετο, καὶ πρὸς ἐξανδραποδίσασθαι τοὺς ἄλλους πάντας οἳ μετὰ Λυδῶν ἐπὶ Σάρδις ἐστρατεύσαντο, αὐτὸν δὲ Πακτύην πάντως ζώοντα ἀγαγεῖν παρ' ἑωυτόν.

CLVII. Ὁ μὲν δὴ ταῦτα ἐκ τῆς ὁδοῦ ἐντειλάμενος ἀπήλαυνε ἐς ἤθεα τὰ Περσέων· Πακτύης δὲ πυθόμενος ἀγχοῦ εἶναι στρατὸν ἐπ' ἑωυτὸν ἰόντα, δείσας ᾤχετο φεύγων ἐς Κύμην. (2) Μαζάρης δὲ ὁ Μῆδος ἐλάσας ἐπὶ τὰς Σάρδις τοῦ Κύρου στρατοῦ μοῖραν ὁσηνδήκοτε ἔχων, ὡς οὐκ εὗρε ἔτι ἐόντας τοὺς ἀμφὶ Πακτύην ἐν Σάρδισι, πρῶτα μὲν τοὺς Λυδοὺς ἠνάγκασε τὰς Κύρου ἐντολὰς ἐπιτελέειν, ἐκ τούτου δὲ κελευσμοσύνης Λυδοὶ τὴν πᾶσαν δίαιταν τῆς ζόης μετέβαλον. (3) Μαζάρης δὲ μετὰ τοῦτο ἔπεμπε ἐς τὴν Κύμην ἀγγέλους, ἐκδιδόναι κελεύων Πακτύην. Οἱ δὲ Κυμαῖοι ἔγνωσαν συμβουλῆς πέρι ἐς θεὸν ἀνῶσαι τὸν ἐν Βραγχίδῃσι· ἦν γὰρ αὐτόθι μαντήϊον ἐκ παλαιοῦ ἱδρυμένον, τῷ Ἴωνές τε πάντες καὶ Αἰολέες ἐώθεσαν χρέεσθαι. Ὁ δὲ χῶρος οὗτός ἐστι τῆς Μιλησίης ὑπὲρ Πανόρμου λιμένος.

CLVIII. Πέμψαντες ὦν οἱ Κυμαῖοι ἐς τοὺς Βραγχίδας θεοπρόπους εἰρώτευν περὶ Πακτύην ὁκοῖόν τι ποιέοντες θεοῖσι μέλλοιεν χαριέεσθαι. Ἐπειρωτέουσι δέ σφι ταῦτα χρηστήριον ἐγένετο ἐκδιδόναι Πακτύην Πέρσῃσι. Ταῦτα δὲ ὡς ἀπενειχθέντα ἤκουσαν οἱ Κυμαῖοι, ὡρμέατο ἐκδιδόναι. (2) Ὁρμεωμένου δὲ ταύτῃ τοῦ πλήθεος, Ἀριστόδικος ὁ Ἡρακλείδεω ἀνὴρ τῶν ἀστῶν ἐὼν δόκιμος ἔσχε μὴ ποιῆσαι ταῦτα Κυμαίους, ἀπιστέων τε τῷ χρησμῷ καὶ δοκέων τοὺς θεοπρόπους οὐ λέγειν ἀληθέως, ἐς δ τὸ δεύτερον περὶ Πακτύεω ἐπειρησόμενοι ἦϊσαν ἄλλοι θεοπρόποι, τῶν καὶ Ἀριστόδικος ἦν.

CLIX. Ἀπικομένων δὲ ἐς Βραγχίδας ἐχρηστηριάζετο ἐκ πάντων Ἀριστόδικος, ἐπειρωτέων τάδε, « ὦναξ, ἦλθε παρ' ἡμέας ἱκέτης Πακτύης ὁ Λυδὸς, φεύγων

et eorum quæ nunc aguntur. (4) Nam, quæ ante acta sunt, ea ego feci, et meo capite culpam luo : quæ vero nunc aguntur, eorum reus Pactyas est, cujus tu fidei Sardes commisisti; hic igitur tibi det pœnas. Lydis vero dans veniam, hæc illis impone, ne posthac a te deficiant, aut ullo modo metuendi sint. (5) Missis nunciis interdicito illis, ne arma possideant bellica; et tunicas jube eos sub palliis gestare, cothurnosque pro calceis induere : denique edic ut pueros suos instituant citharam pulsare, et canere, et mercaturam exercere : et mox videbis eos, o rex, feminas ex viris factos, ut porro non sit quod verearis ne a te deficiant. »

CLVI. Hæc Cyro Crœsus suasit, optabiliora Lydis ratus, quam in servitutem redigi et pro mancipiis vendi : pulcre quippe intelligebat, nisi probabilem adferret rationem, non persuasurum se esse Cyro, ut mutaret consilium; simul vero timebat, ne in posterum aliquando Lydi, si præsens periculum evasissent, desciscerent a Persis seseque perditum irent. (2) Cyrus admonitione Crœsi gavisus, et de ira remittens, se ei pariturum ait : et vocato ad se Mazari, homini Medo, dat mandatum, ut, quæ ipsi Crœsus suaserat, illis imperaret; cæterum ceteros omnes, qui cum Lydis contra Sardes militassent, sub hasta venderet, ipsum autem Pactyam utique vivum ad se adduceret.

CLVII. His ille mandatis ex itinere datis, Persarum in sedes properavit. Pactyas autem, ubi rescivit in propinquo esse exercitum adversus se proficiscentem, timens sibi fugam capessivit, et Cymen pervenit. (2) Mazares, Medus, cum aliqua parte copiarum Cyri adversus Sardes ducens, ubi Pactyam non amplius Sardibus invenit, primum Lydos coegit Cyri mandata exsequi : cujus mandati consequens erat, ut omnem vitæ rationem Lydi mutarent. (3) Dein nuncios Cymen misit Mazares, tradi Pactyam jubens. Cymæi vero statuerunt de consilio in hac re capiendo ad deum referre qui in Branchidis oracula edit. Erat enim ibi oraculum ab antiquis temporibus constitutum, quo et Iones omnes et Æolenses uti consueverant. Est autem locus ille in Milesiorum ditione, supra Panormum portum.

CLVIII. Missis igitur ad Branchidas legatis Cymæi quæsiverunt de Pactya, quidnam facientes gratum maxime diis essent facturi. Et interrogantibus respondit oraculum, dederent Pactyam Persis. Quod responsum ubi ad se relatum audivere Cymæi, tradere illum pararunt. (2) Quam in partem quum ferretur multitudo, Aristodicus Heraclidæ filius, probatus vir inter cives, inhibuit eos ne id facerent, fidem non adhibens effato oraculi, existimansque vera non retulisse consultores. Denique alii denuo mittuntur legati, qui de Pactya iterum consultarent, quorum in numero Aristodicus erat.

CLIX. Ii ubi ad Branchidas venerunt, unus ex omnibus Aristodicus oraculum consuluit, interrogavitque his verbis : « O rex, venit ad nos supplex Pactyas Lydus mortem effu-

θάνατον βίαιον πρὸς Περσέων· οἱ δέ μιν ἐξαιτέονται, προεῖναι κελεύοντες Κυμαίους. Ἡμεῖς δὲ δειμαίνοντες τὴν Περσέων δύναμιν, τὸν ἱκέτην ἐς τόδε οὐ τετολμήκαμεν ἐκδιδόναι, πρὶν ἂν τὸ ἀπὸ σεῦ ἡμῖν δηλωθῇ ἀτρεκέως ὁκότερα ποιέωμεν. » (2) Ὁ μὲν ταῦτα ἐπειρώτα, ὁ δ' αὖτις τὸν αὐτόν σφι χρησμὸν ἔφαινε, κελεύων ἐκδιδόναι Πακτύην Πέρσῃσι. Πρὸς ταῦτα ὁ Ἀριστόδικος ἐκ προνοίης ἐποίεε τάδε· περιιὼν τὸν νηὸν κύκλῳ ἐξαίρεε τοὺς στρουθοὺς καὶ ἄλλα ὅσα ἦν νενεοσσευμένα ὀρνίθων γένεα ἐν τῷ νηῷ. (3) Ποιεῦντος δὲ αὐτοῦ ταῦτα λέγεται φωνὴν ἐκ τοῦ ἀδύτου γενέσθαι φέρουσαν μὲν πρὸς τὸν Ἀριστόδικον, λέγουσαν δὲ τάδε, « ἀνοσιώτατε ἀνθρώπων, τί τάδε τολμᾷς ποιέειν; τοὺς ἱκέτας μου ἐκ τοῦ νηοῦ κεραΐζεις; » (4) Ἀριστόδικον δὲ οὐκ ἀπορήσαντα πρὸς ταῦτα εἶπαι, « ὦναξ, αὐτὸς μὲν οὕτω τοῖσι ἱκέτῃσι βωθέεις, Κυμαίους δὲ κελεύεις τὸν ἱκέτην ἐκδιδόναι; » Τὸν δὲ αὖτις ἀμείψασθαι τοισίδε, « ναὶ κελεύω, ἵνα γε ἀσεβήσαντες θᾶσσον ἀπόλησθε, ὡς μὴ τὸ λοιπὸν περὶ ἱκετέων ἐκδόσιος ἔλθητε ἐπὶ τὸ χρηστήριον. »

CLX. Ταῦτα ὡς ἀπενειχθέντα ἤκουσαν οἱ Κυμαῖοι, οὐ βουλόμενοι οὔτε ἐκδόντες ἀπολέσθαι οὔτε παρ' ἑωυτοῖσι ἔχοντες πολιορκέεσθαι ἐς Μυτιλήνην αὐτὸν ἐξαπέμπουσι. (2) Οἱ δὲ Μυτιληναῖοι ἐπιπέμποντος τοῦ Μαζάρεος ἀγγελίας ἐκδιδόναι τὸν Πακτύην παρεσκευάζοντο ἐπὶ μισθῷ ὁσῳδή· οὐ γὰρ ἔχω τοῦτό γε εἶπαι ἀτρεκέως· οὐ γὰρ ἐτελεώθη· Κυμαῖοι γὰρ ὡς ἔμαθον ταῦτα πρησσόμενα ἐκ τῶν Μυτιληναίων, πέμψαντες πλοῖον ἐς Λέσβον ἐκκομίζουσι Πακτύην ἐς Χίον. (3) Ἐνθεῦτεν δὲ ἐξ ἱροῦ Ἀθηναίης πολιούχου ἀποσπασθεὶς ὑπὸ Χίων ἐξεδόθη. Ἐξέδοσαν δὲ οἱ Χῖοι ἐπὶ τῷ Ἀταρνεῖ μισθῷ· τοῦ δὲ Ἀταρνέος τούτου ἐστὶ χῶρος τῆς Μυσίης, Λέσβου ἀντίος. (4) Πακτύην μέν νυν παραδεξάμενοι οἱ Πέρσαι εἶχον ἐν φυλακῇ, ἐθέλοντες Κύρῳ ἀποδέξαι· ἦν δὲ χρόνος οὗτος οὐκ ὀλίγος γενόμενος, ὅτε Χίων οὐδεὶς ἐκ τοῦ Ἀταρνέος τούτου οὔτε οὐλὰς κριθέων πρόχυσιν ἐποιέετο θεῶν οὐδενὶ οὔτε πέμματα ἐπέσσετο καρποῦ τοῦ ἐνθεῦτεν, ἀπείχετό τε τῶν πάντων ἱρῶν τὰ πάντα ἐκ τῆς χώρης ταύτης γινόμενα.

CLXI. Χῖοι μέν νυν Πακτύην ἐξέδοσαν, Μαζάρης δὲ μετὰ ταῦτα ἐστρατεύετο ἐπὶ τοὺς συμπολιορκήσαντας Τάβαλον, καὶ τοῦτο μὲν Πριηνέας ἐξηνδραποδίσατο, τοῦτο δὲ Μαιάνδρου πεδίον πᾶν ἐπέδραμε λῃΐην ποιεύμενος τῷ στρατῷ, Μαγνησίην δὲ ὡσαύτως. Μετὰ δὲ ταῦτα αὐτίκα νούσῳ τελευτᾷ.

CLXII. Ἀποθανόντος δὲ τούτου Ἅρπαγος κατέβη διάδοχος τῆς στρατηγίης, γένος καὶ αὐτὸς ἐὼν Μῆδος, τὸν ὁ Μήδων βασιλεὺς Ἀστυάγης ἀνόμῳ τραπέζῃ ἔδαισε, ὁ τῷ Κύρῳ τὴν βασιληίην συγκατεργασάμενος. (2) Οὗτος ὠνὴρ τότε ὑπὸ Κύρου στρατηγὸς ἀποδεχθεὶς ὡς ἀπίκετο ἐς τὴν Ἰωνίην, αἴρεε τὰς πόλιας χώμασι· ὅκως γὰρ τειχήρεας ποιήσειε, τὸ ἐνθεῦτεν χώματα χῶν πρὸς τὰ τείχεα ἐπόρθεε. Πρώτη δὲ Φωκαίη Ἰωνίης ἐπεχείρησε.

giens violentam, a Persis sibi imminentem. Hunc illi repetunt, Cymæos illum sibi tradere jubentes. Nos vero, Persarum metuentes potentiam, tradere illum adhuc non sustinuimus, priusquam a te liquido nobis, utrum facere debeamus, declaretur. » (2) Hic postquam ita interrogavit, rursus idem responsum deus dedit, tradere jubens Pactyam Persis. Tum Aristodicus hoc, a se præmeditatum, instituit facere : circa templum circummeans, passeres disturbavit aliaque avium genera, quæ in templo nidificaverant. (3) Dum ille hoc facit, aiunt ex adyto prodiisse vocem, ad Aristodicum conversam, hæc dicentem : « Scelestissime mortalium, quid est quod hic facere audes? Supplices meos ex meo templo evertis! » (4) Et Aristodicus, nil dubitans, respondisse ad hæc fertur : « O rex, tu tuos supplices ipse ita tueris : Cymæos vero jubes tradere supplicem ! » Cui rursus deus regessit : « Alo et jubeo, quo vos impii ocyus pereatis; ne dehinc de prodendis supplicibus adeatis oraculum. »

CLX. Hæc relata ubi audierunt Cymæi, quum nec prodendo hominem vellent ipsi perire, nec apud se servando oppugnari, Mytilenen eum emiserunt. (2) Mytilenæi vero, quum missis nunciis Mazares Pactyam repetisset, parati erant eum tradere, pacti mercedem nescio quam; nec enim hoc perspicue traditum est; nec res effectum habuit : nam Cymæi, ut intellexerunt id agere Mytilenæos, navi Lesbum missa, in Chium Pactyam transportarunt. (3) Inde vero, ex Minervæ templo urbis Præsidis vi extractus a Chiis, Persis traditus est : tradiderunt eum autem Chii, mercedem pacti Atarneum; est autem Atarnensis hic ager in Mysia, ex adverso Lesbi. (4) Pactyam igitur sibi deditum Persæ in custodia habuerunt, Cyri in conspectum volentes eum producere. Exinde vero multum effluxit temporis, quo nemo Chiorum mola ex hordeo Atarnensis illius agri deorum ulli litavit, aut ex frumento illinc allato libum coxit; quidquid ille progenuit ager, id ab omnibus sacrificiis procul habitum est.

CLXI. Postquam Pactyam Chii tradiderant, bello adgressus est Mazares eos qui cum illo Tabalum oppugnaverant. Et Prienenses quidem devictos sub corona vendidit; Mæandri vero campum universum incursans, itemque Magnesiam, exercitum præda ditavit. His autem rebus gestis, paulo post morbo vitam finiit.

CLXII. Mortuo Mazare, advenit imperii in inferiore Asia successor Harpagus, natione itidem Medus; is qui a rege Medorum Astyage nefario epulo erat acceptus, quique Cyro in comparando regno sociam præstiterat operam. (2) Hic vir tunc a Cyro dux copiarum nominatus, ut in Ioniam pervenit, oppida aggeribus jactis capere instituit : scilicet oppidanos intra muros statim compulit, deinde adgestis ad muros aggeribus oppugnavit. Et primum quidem Ioniæ oppidum, quod adgressus est, Phocæa fuit.

CLXIII. Οἱ δὲ Φωκαιέες οὗτοι ναυτιλίῃσι μακρῇσι πρῶτοι Ἑλλήνων ἐχρήσαντο, καὶ τόν τε Ἀδρίην καὶ τὴν Τυρσηνίην καὶ τὴν Ἰβηρίην καὶ τὸν Ταρτησσὸν οὗτοί εἰσι οἱ καταδέξαντες· ἐναυτίλλοντο δὲ οὐ στρογγύλῃσι νηυσί, ἀλλὰ πεντηκοντέροισι. (2) Ἀπικόμενοι δὲ ἐς τὸν Ταρτησσὸν προσφιλέες ἐγένοντο τῷ βασιλέϊ τῶν Ταρτησσίων, τῷ οὔνομα μὲν ἦν Ἀργανθώνιος, ἐτυράννευσε δὲ Ταρτησσοῦ ὀγδώκοντα ἔτεα, ἐβίωσε δὲ τὰ πάντα εἴκοσι καὶ ἑκατόν. (3) Τούτῳ δὴ τῷ ἀνδρὶ προσφιλέες οἱ Φωκαιέες οὕτω δή τι ἐγένοντο ὡς τὰ μὲν πρῶτά σφεας ἐκλιπόντας Ἰωνίην ἐκέλευε τῆς ἑωυτοῦ χώρης οἰκῆσαι ὅκου βούλονται, μετὰ δὲ, ὡς τοῦτό γε οὐκ ἔπειθε τοὺς Φωκαιέας, ὁ δὲ πυθόμενος τὸν Μῆδον παρ' αὐτῶν ὡς αὔξοιτο, ἐδίδου σφι χρήματα τεῖχος περιβαλέσθαι τὴν πόλιν. Ἐδίδου δὲ ἀφειδέως· καὶ γὰρ καὶ ἡ περίοδος τοῦ τείχεος οὐκ ὀλίγοι στάδιοί εἰσι, τοῦτο δὲ πᾶν λίθων μεγάλων καὶ εὖ συναρμοσμένων.

CLXIV. Τὸ μὲν δὴ τεῖχος τοῖσι Φωκαιεῦσι τρόπῳ τοιῷδε ἐξεποιήθη· ὁ δὲ Ἅρπαγος ὡς ἐπήλασε τὴν στρατιήν, ἐπολιόρκεε αὐτούς, προϊσχόμενος ἔπεα ὡς οἱ καταχρᾷ εἰ βούλονται Φωκαιέες προμαχεῶνα ἕνα μοῦνον τοῦ τείχεος ἐρεῖψαι καὶ οἴκημα ἓν κατιρῶσαι. (2) Οἱ δὲ Φωκαιέες περιημεκτέοντες τῇ δουλοσύνῃ ἔφασαν θέλειν βουλεύσασθαι ἡμέρην μίαν καὶ ἔπειτεν ὑποκρινέεσθαι· ἐν ᾧ δὲ βουλεύονται αὐτοί, ἀπαγαγεῖν ἐκεῖνον ἐκέλευον τὴν στρατιὴν ἀπὸ τοῦ τείχεος. (3) Ὁ δ' Ἅρπαγος ἔφη εἰδέναι μὲν εὖ τὰ ἐκεῖνοι μέλλοιεν ποιέειν, ὅμως δέ σφι παριέναι βουλεύσασθαι. Ἐν ᾧ ὦν ὁ Ἅρπαγος ἀπὸ τοῦ τείχεος ἀπήγαγε τὴν στρατιήν, οἱ Φωκαιέες ἐν τούτῳ κατασπάσαντες τὰς πεντηκοντέρους, ἐσθέμενοι τέκνα καὶ γυναῖκας καὶ ἔπιπλα πάντα, πρὸς δὲ καὶ τὰ ἀγάλματα τὰ ἐκ τῶν ἱρῶν καὶ τὰ ἄλλα ἀναθήματα, χωρὶς ὅ τι χαλκὸς ἢ λίθος ἦ γραφὴ ἦν, τὰ δὲ ἄλλα πάντα ἐσθέντες καὶ αὐτοὶ ἐσβάντες ἔπλωον ἐπὶ Χίου. Τὴν δὲ Φώκαιαν ἐρημωθεῖσαν ἀνδρῶν ἔσχον οἱ Πέρσαι.

CLXV. Οἱ δὲ Φωκαιέες, ἐπείτε σφι Χῖοι τὰς νήσους τὰς Οἰνούσσας καλευμένας οὐκ ἐβούλοντο ὠνευμένοισι πωλέειν, δειμαίνοντες, μὴ ἀί μὲν ἐμπόριον γένωνται, ἡ δὲ αὐτῶν νῆσος ἀποκληῖσθῇ τούτου εἵνεκεν, πρὸς ταῦτα οἱ Φωκαιέες ἐστέλλοντο ἐς Κύρνον· ἐν γὰρ τῇ Κύρνῳ εἴκοσι ἔτεσι πρότερον τούτων ἐκ θεοπροπίου ἀνεστήσαντο πόλιν, τῇ οὔνομα ἦν Ἀλαλίη. (2) Ἀργανθώνιος δὲ τηνικαῦτα ἤδη τετελευτήκεε. Στελλόμενοι δὲ ἐπὶ τὴν Κύρνον, πρῶτα καταπλώσαντες ἐς τὴν Φώκαιαν κατεφόνευσαν τῶν Περσέων τὴν φυλακήν, ἡ ἐφρούρεε παραδεξαμένη παρ' Ἅρπάγου τὴν πόλιν. (3) Μετὰ δὲ, ὡς τοῦτό σφι ἐξέργαστο, ἐποιήσαντο ἰσχυρὰς κατάρας τῷ ὑπολειπομένῳ ἑωυτῶν τοῦ στόλου. Πρὸς δὲ ταύτῃσι καὶ μύδρον σιδήρεον κατεπόντωσαν, καὶ ὤμοσαν μὴ πρὶν ἐς Φώκαιαν ἥξειν πρὶν ἢ τὸν μύδρον τοῦτον ἀναφῆναι. (4) Στελλομένων δὲ αὐτῶν ἐπὶ τὴν Κύρνον, ὑπὲρ ἡμίσεας τῶν ἀστῶν ἔλαβε πόθος τε καὶ οἶκτος τῆς πόλιος καὶ τῶν ἠθέων

CLXIII. Phocæenses hi longinquis navigationibus primi Græcorum usi erant : et Adriaticum mare et Tyrrheniam et Iberiam et Tartessum Græcis ostenderunt. Vehebantur autem non rotundis navibus, sed penteconteris [*quæ quinquaginta remis uno ordine instructæ*]. (2) Ac Tartessum quidem postquam venerunt, cari fuerunt regi Tartessiorum, cui erat nomen Arganthonius, qui octoginta annos Tartessiorum regno præfuit, vixit autem in universum annos centum et viginti. (3) Huic viro ita cari fuerunt Phocæenses, ut primum quidem eos hortaretur, Ioniam relinquerent, et qua parte suæ ditionis vellent, habitatum concederent; dein, ut hoc eis non persuasit, ex eisdem verò cognovit de ingruente Medorum potentia, pecuniam illis dedit ex qua murum urbi circumdarent; et largiter quidem dedit : nam circuitus muri haud pauca sunt stadia, et totus hic murus ex magnis lapidibus, eisque bene coaptatis, est exstructus.

CLXIV. Tali igitur modo perfectus erat Phocæensium murus. Harpagus vero admoto exercitu urbem obsidens, conditionem proposuit, satis sibi fore, dicens, si unum modo propugnaculum muri dejicere Phocæenses vellent, et unam habitationem dedicare (*regi, in obedientiæ ipsi argumentum*). (2) Phocæenses vero, ægerrime ferentes servitutem, unum diem se deliberaturos aiebant, ac deinde responsuros : interim vero dum deliberarent, postulabant ut exercitum a muro abduceret. (3) Quibus Harpagus, probe quidem se nosse, ait, quid essent facturi; verumtamen tempus illis ad deliberandum concedere. Igitur dum a muro exercitum abducit Harpagus, Phocæenses interim deductis quas habebant penteconteris navibus, liberos, et uxores, et quæ moveri poterant omnia, eis imponunt; ad hæc signis deorum templis, aliisque donariis, præterquam quidquid æs aut lapis aut pictura esset, reliquis omnibus in naves impositis, ipsi eas conscendunt, et Chium versus navigant. Phocæam autem hominibus vacuam Persæ tenuerunt.

CLXV. Constituerant Phocæenses a Chiis dato pretio Œnussas quæ vocantur insulas emere. Sed quum vendere eas nollent Chii, metuentes ne emporium fierent hæ insulæ, eaque re ipsorum insulæ mercatu excluderentur, super hæc in Corsicam (Cyrnum Græci vocant) Phocæenses sunt profecti. In Corsica enim vicesimo ante anno, oraculi monitu, oppidum condiderant, cui nomen Alalia. (2) Arganthonius vero illo tempore e vita jam discesserat. In Corsicam vero profecturi, prius ad Phocæam adpulsis navibus, Persarum præsidium, cui ab Harpago custodia urbis mandata erat, interficiunt; (3) dein, hoc patrato, atroces diras imprecantur si quis ipsorum classem desereret. Ad hæc ingentem ferri massam mari demergunt, jurantes non prius Phocæam se redituros, quam massa illa e mari emersisset. (4) Sed dum in Corsicam abire parant, ultra dimidium civium desiderium cepit et misericordia urbis et consuetarum in patria terra sedium. Igitur hi,

τῆς χώρης, ψευδόρκιοι δὲ γενόμενοι ἀπέπλωον ὀπίσω ἐς τὴν Φώκαιαν. Οἱ δὲ αὐτῶν τὸ ὅρκιον ἐφύλασσον, ἀερθέντες ἐκ τῶν Οἰνουσσέων ἔπλωον.

CLXVI. Ἐπείτε δὲ ἐς τὴν Κύρνον ἀπίκοντο, οἰκέον κοινῇ μετὰ τῶν πρότερον ἀπικομένων ἐπ' ἔτεα πέντε, καὶ ἱρὰ ἐνιδρύσαντο. Καὶ ἦγον γὰρ δὴ καὶ ἔφερον τοὺς περιοίκους ἅπαντας· στρατεύονται ὦν ἐπ' αὐτοὺς κοινῷ λόγῳ χρησάμενοι Τυρσηνοὶ καὶ Καρχηδόνιοι, νηυσὶ ἑκάτεροι ἑξήκοντα. (2) Οἱ δὲ Φωκαιέες πληρώσαντες καὶ αὐτοὶ τὰ πλοῖα, ἑόντα ἀριθμὸν ἑξήκοντα, ἀντίαζον ἐς τὸ Σαρδόνιον καλεύμενον πέλαγος. (3) Συμμισγόντων δὲ τῇ ναυμαχίῃ Καδμείη τις νίκη τοῖσι Φωκαιεῦσι ἐγένετο· αἱ μὲν γὰρ τεσσεράκοντά σφισι νέες διεφθάρησαν, αἱ δὲ εἴκοσι αἱ περιεοῦσαι ἦσαν ἄχρηστοι· ἀπεστράφατο γὰρ τοὺς ἐμβόλους. (4) Καταπλώσαντες δὲ ἐς τὴν Ἀλαλίην ἀνέλαβον τὰ τέκνα καὶ τὰς γυναῖκας καὶ τὴν ἄλλην κτῆσιν ὅσην οἷαί τε ἐγίνοντο αἱ νέες σφι ἄγειν, καὶ ἔπειτεν ἀπέντες τὴν Κύρνον ἔπλωον ἐς Ῥήγιον.

CLXVII. Τῶν δὲ διαφθαρεισέων νεῶν τοὺς ἄνδρας οἵ τε Καρχηδόνιοι καὶ οἱ Τυρσηνοὶ * * * ἔλαχόν τε αὐτῶν πολλῷ πλεῦνας, καὶ τούτους ἐξαγαγόντες κατέλευσαν. (2) Μετὰ δὲ Ἀγυλλαίοισι πάντα τὰ παριόντα τὸν χῶρον ἐν τῷ οἱ Φωκαιέες καταλευσθέντες ἐκέατο ἐγίνετο διάστροφα καὶ ἔμπηρα καὶ ἀπόπληκτα, ὁμοίως πρόβατα καὶ ὑποζύγια καὶ ἄνθρωποι. (3) Οἱ δὲ Ἀγυλλαῖοι, ἐς Δελφοὺς ἔπεμπον, βουλόμενοι ἀκέσασθαι τὴν ἁμαρτάδα. Ἡ δὲ Πυθίη σφέας ἐκέλευσε ποιέειν τὰ καὶ νῦν οἱ Ἀγυλλαῖοι ἔτι ἐπιτελέουσι· καὶ γὰρ ἐναγίζουσί σφι μεγάλως καὶ ἀγῶνα γυμνικὸν καὶ ἱππικὸν ἐπιστᾶσι. (4) Καὶ οὗτοι μὲν τῶν Φωκαιέων τοιούτῳ μόρῳ διεχρήσαντο, οἱ δὲ αὐτῶν ἐς τὸ Ῥήγιον καταφυγόντες ἐνθεῦτεν ὁρμεώμενοι ἔκτισαν πόλιν γῆς τῆς Οἰνωτρίης ταύτην ἥτις νῦν Ὑέλη καλέεται. (5) Ἔκτισαν δὲ ταύτην πρὸς ἀνδρὸς Ποσειδωνιήτεω μαθόντες ὡς τὸν Κύρνον σφι ἡ Πυθίη ἔχρησε κτίσαι ἥρων ἐόντα, ἀλλ' οὐ τὴν νῆσον. Φωκαίης μέν νυν πέρι τῆς ἐν Ἰωνίῃ οὕτω ἔσχε.

CLXVIII. Παραπλήσια δὲ τούτοισι καὶ Τήϊοι ἐποίησαν· ἐπείτε γάρ σφεων εἶλε χώματι τὸ τεῖχος Ἅρπαγος, ἐσβάντες πάντες ἐς τὰ πλοῖα οἴχοντο πλώοντες ἐπὶ τῆς Θρηίκης, καὶ ἐνθαῦτα ἔκτισαν πόλιν Ἄβδηρα, τὴν πρότερος τούτων Κλαζομένιος Τιμήσιος κτίσας οὐκ ἀπώνητο, ἀλλ' ὑπὸ Θρηίκων ἐξελαθεὶς τιμὰς νῦν ὑπὸ Τηίων τῶν ἐν Ἀβδήροισι ὡς ἥρως ἔχει.

CLXIX. Οὗτοι μέν νυν Ἰώνων μοῦνοι τὴν δουλοσύνην οὐκ ἀνεχόμενοι ἐξέλιπον τὰς πατρίδας· οἱ δ' ἄλλοι Ἴωνες, πλὴν Μιλησίων, διὰ μάχης μὲν ἀπίκοντο Ἁρπάγῳ κατά περ οἱ ἐκλιπόντες, καὶ ἄνδρες ἐγένοντο ἀγαθοὶ περὶ τῆς ἑωυτοῦ ἕκαστος μαχόμενοι, ἐσσωθέντες δὲ καὶ ἁλόντες ἔμενον κατὰ χώρην ἕκαστοι καὶ τὰ ἐπιτασσόμενα ἐπετέλεον. (2) Μιλήσιοι δὲ, ὡς καὶ πρότερόν μοι εἴρηται, αὐτῷ Κύρῳ ὅρκιον ποιησάμενοι

violato juramento, retro navigant Phocæam. Cæteri vero, jusjurandum servantes, sublatis ancoris ex Œnussis insulis sunt profecti.

CLXVI. Hi postquam in Corsicam pervenere, quinque annos una cum eis qui antea eo migraverant habitarunt, et templa ibi constituerunt. Cæterum quum vicinos omnes incursionibus prædationibusque molestarent, bellum eis communi consilio intulerunt Tyrrheni et Carthaginienses, utrique navibus sexaginta. (2) Quibus Phocæenses, implelis suis navigiis, quæ erant numero sexaginta, obviam ivere in Sardonium quod vocatur mare. (3) Tum commisso prælio navali, Cadmea quædam victoria obtigit Phocæensibus : nam quadraginta ex eorum navibus perierunt ; viginti autem reliquæ, detortis rostris, inutiles sunt factæ. (4) Inde Alaliam revecti, adsumtis liberis et uxoribus, et quidquid ex eorum facultatibus ferre naves possent, relicta Corsica, Rhegium navigarunt.

CLXVII. Homines vero, qui navibus depressis vecti erant, Carthaginienses et Tyrrheni, *** sortitique sunt eorum partem longe maximam : quos, in terram eductos, lapidibus obruêre. (2) Deinde Agyllæis (*sive Cæritibus*), quidquid præter eum locum, in quo lapidati Phocæenses jacebant, præteribat, id omne distortum, mutilum, aut membris captum reddebatur, perinde pecudes, jumenta, homines. (3) Itaque Delphos Agyllæi mittebant quæsituros quo pacto delictum possent expiare. Quos Pythia id facere jussit, quod etiam nunc Agyllæi faciunt : nempe magnifice illis parentant, et in eorum honorem ludos agunt gymnicos et equestres. (4) Igitur hi quidem ex Phocæensium numero fato tali functi sunt. Qui vero eorum Rhegium se receperunt, ii illinc profecti oppidum in terra Œnotria condiderunt hoc quod nunc Hyela (*sive Velia*) nominatur. (5) Condiderunt illud autem, ab homine Posidoniata edocti jussos se esse Pythiæ oraculo Cyrnum heroem colere, non insulam. Et hæc quidem hactenus de rebus Phocæensium, Ionicæ civitatis.

CLXVIII. Similiter vero, atque hi, Teii etiam fecerunt. Nam postquam murum illorum, aggere jacto, cepit Harpagus, cuncti navibus conscensis abierunt, in Thraciamque navigarunt, et ibi Abderam condiderunt coloniam : quam quum ante eos Clazomenius Timesius condidisset, operæ fructum non perceperat, sed a Thracibus erat ejectus : cui nunc honorem, ut heroi, habent Teii Abderam habitantes.

CLXIX. Isti igitur soli ex Ionibus fuere, qui servitutem non sustinentes, patrias sedes reliquerunt. Cæteri Iones, exceptis Milesiis, armis cum Harpago dimicarunt, quemadmodum hi qui terra excessere, fortesque viri fuerunt quique pro sua patria pugnantes ; sed victi expugnatique, in sua quique patria manentes imperata fecerunt. (2) Milesii vero, qui, ut prædictum est, cum ipso Cyro fœdus

ἡσυχίην ἦγον. Οὕτω δὴ τὸ δεύτερον Ἰωνίη ἐδεδούλωτο. Ὡς δὲ τοὺς ἐν τῇ ἠπείρῳ Ἴωνας ἐχειρώσατο Ἅρπαγος, οἱ τὰς νήσους ἔχοντες Ἴωνες καταρρωδήσαντες ταῦτα σφέας αὐτοὺς ἔδοσαν Κύρῳ.

CLXX. Κεκακωμένων δὲ Ἰώνων καὶ συλλεγομένων οὐδὲν ἔσσον ἐς τὸ Πανιώνιον, πυνθάνομαι γνώμην Βίαντα ἄνδρα Πριηνέα ἀποδέξασθαι Ἴωσι χρησιμωτάτην, τῇ εἰ ἐπείθοντο, παρεῖχε ἄν σφι εὐδαιμονέειν Ἑλλήνων μάλιστα· (2) ὃς ἐκέλευε κοινῷ στόλῳ Ἴωνας ἀερθέντας πλώειν ἐς Σαρδὼ καὶ ἔπειτεν πόλιν μίαν κτίζειν πάντων Ἰώνων, καὶ οὕτω ἀπαλλαχθέντας σφέας δουλοσύνης εὐδαιμονήσειν· νήσων τε ἁπασέων μεγίστην νεμομένους καὶ ἄρχοντας ἄλλων· μένουσι δέ σφι ἐν τῇ Ἰωνίῃ οὐκ ἔφη ἐνορᾶν ἐλευθερίην ἔτι ἐσομένην. (3) Αὕτη μὲν Βίαντος τοῦ Πριηνέος γνώμη ἐπὶ διεφθαρμένοισι Ἴωσι γενομένη, χρηστὴ δὲ καὶ πρὶν ἢ διαφθαρῆναι Ἰωνίην Θάλεω ἀνδρὸς Μιλησίου ἐγένετο, τὸ ἀνέκαθεν γένος ἐόντος Φοίνικος, ὃς ἐκέλευε ἓν βουλευτήριον Ἴωνας ἐκτῆσθαι, τὸ δὲ εἶναι ἐν Τέῳ (Τέων γὰρ μέσον εἶναι Ἰωνίης), τὰς δὲ ἄλλας πολιας οἰκεομένας μηδὲν ἔσσον νομίζεσθαι κατά περ εἰ δῆμοι εἶεν. Οὗτοι μὲν δή σφι γνώμας τοιάσδε ἀπεδέξαντο.

CLXXI. Ἅρπαγος δὲ καταστρεψάμενος Ἰωνίην ἐποιέετο στρατηίην ἐπὶ Κᾶρας καὶ Καυνίους καὶ Λυκίους, ἅμα ἀγόμενος καὶ Ἴωνας καὶ Αἰολέας. (2) Εἰσὶ δὲ τούτων Κᾶρες μὲν ἀπιγμένοι ἐς τὴν ἤπειρον ἐκ τῶν νήσων. Τὸ γὰρ παλαιὸν ἐόντες Μίνω τε κατήκοοι καὶ καλεύμενοι Λέλεγες εἶχον τὰς νήσους, φόρον μὲν οὐδένα ὑποτελέοντες, ὅσον καὶ ἐγὼ δυνατός εἰμι μακρότατον ἐξικέσθαι ἀκοῇ· οἱ δὲ, ὅκως Μίνως δέοιτο, ἐπλήρουν οἱ τὰς νέας. (3) Ἅτε δὲ δὴ Μίνω κατεστραμμένου γῆν πολλὴν καὶ εὐτυχέοντος τῷ πολέμῳ, τὸ Καρικὸν ἦν ἔθνος λογιμώτατον τῶν ἐθνέων ἁπάντων κατὰ τοῦτον ἅμα τὸν χρόνον μακρῷ μάλιστα. (4) Καί σφι τριξὰ ἐξευρήματα ἐγένετο τοῖσι οἱ Ἕλληνες ἐχρήσαντο· καὶ γὰρ ἐπὶ τὰ κράνεα λόφους ἐπιδέεσθαι Κᾶρές εἰσι οἱ καταδέξαντες καὶ ἐπὶ τὰς ἀσπίδας τὰ σημήϊα ποιέεσθαι, καὶ ὄχανα ἀσπίσι οὗτοί εἰσι οἱ ποιησάμενοι πρῶτοι· τέως δὲ ἄνευ ὀχάνων ἐφόρεον τὰς ἀσπίδας πάντες οἵ περ ἐώθεσαν ἀσπίσι χρέεσθαι, τελαμῶσι σκυτίνοισι οἰηκίζοντες, περὶ τοῖσι αὐχέσι τε καὶ τοῖσι ἀριστεροῖσι ὦμοισι περικείμενοι. (5) Μετὰ δὲ τοὺς Κᾶρας χρόνῳ ὕστερον πολλῷ Δωριέες τε καὶ Ἴωνες ἐξανέστησαν ἐκ τῶν νήσων, καὶ οὕτω ἐς τὴν ἤπειρον ἀπίκοντο. (6) Κατὰ μὲν δὴ Κᾶρας οὕτω Κρῆτες λέγουσι γενέσθαι· οὐ μέντοι αὐτοί γε ὁμολογέουσι τούτοισι οἱ Κᾶρες, ἀλλὰ νομίζουσι αὐτοὶ ἑωυτοὺς εἶναι αὐτόχθονας ἠπειρώτας, καὶ τῷ οὐνόματι τῷ αὐτῷ αἰεὶ διαχρεωμένους τῷ περ νῦν. (7) Ἀποδεικνῦσι δὲ ἐν Μυλάσοισι Διὸς Καρίου ἱρὸν ἀρχαῖον, τοῦ Μυσοῖσι μὲν καὶ Λυδοῖσι μέτεστι ὡς κασιγνήτοισι ἐοῦσι τοῖσι Καρσί· τὸν γὰρ Λυδὸν καὶ τὸν Μυσὸν λέγουσι εἶναι Καρὸς ἀδελφεούς· τούτοισι μὲν δὴ

pepigerant, quietem habuerunt. Atque ita quidem Ionia iterum in servitutem redacta est. Postquam vero Ionas continentem incolentes subegit Harpagus, insulani Iones, horum exemplo perterriti, ultro se Cyro tradiderunt.

CLXX. His malis adflicti Iones quum nihilo minus ad Panionium convenirent, Biantem civem Prienensem audio saluberrimam illis aperuisse sententiam: quam si essent secuti, potuerant Græcorum omnium esse opulentissimi. (2) Hortabatur ille, ut sociata classe Iones vela darent ventis, et in Sardiniam navigarent, ibique unam Ionum omnium conderent civitatem: ita servitute liberatos, opulentos fore, insulam omnium maximam obtinentes, aliisque imperantes: qui si in Ionia manerent, non videre se, ait, quo pacto libertatem umquam sint recuperaturi. (3) Hæc fuit Biantis sententia, quum jam perditæ essent res Ionum. Sed etiam, priusquam pessum iret Ionia, salutaris fuerat Thaletis sententia, civis Milesii, qui generis originem e Phœnicia repetebat. Is Ionas erat hortatus, ut unam communem curiam haberent, quæ esset Tei: Teum enim meditullium esse Ioniæ: reliquæ autem civitates, ab Ionibus habitatæ nihilo minus suis uterentur institutis, perinde ac si singuli essent populi. Tales illis sententias duo hi viri in medium proposuerunt.

CLXXI. Ionia subacta Harpagus bellum intulit Caribus, Cauniis, atque Lyciis, simul et Ionas et Æolenses secum ducens. (2) Cares, quos dixi, ex insulis in continentem advenerant. Olim enim Minois imperio subjecti, Lelegesque nominati, insulas incoluerant: et tributum quidem, quoad ego auditu, ultima tempora repetens, potui cognoscere, nullum pependerant; sed, quoties Minos eorum opera indigebat, naves ejus compleverant. (3) Quandoquidem igitur multos terræ tractus Minos sibi subjecerat, et felicitate utebatur in bello, Carica gens omnium gentium per id tempus longe fuerat clarissima. (4) Ac tria illis inventa debentur, quibus Græci usi sunt: nam et galeis cristas imponere primi Cares docuere, et signa clypeis insculpere; denique, qui clypeis ansas adjungerent, hi primi fuere, quum antea clypeos absque ansis gestassent quicumque clypeis consueverant uti, coriaceis loris illos regentes, quæ cervicibus et dexteris humeris circumligata habebant. (5) Deinde, multo tempore interjecto, Cares a Doriensibus et Ionibus ex insulis sunt ejecti, atque ita in continentem pervenerunt. (6) Hæc quidem de Caribus Cretenses memorant; at Cares ipsi his non adsentiuntur; sed a prima gentis origine continentem se autumant incoluisse, eodemque nomine semper fuisse adpellatos, quo nunc utuntur. (7) Ostenduntque in oppido, cui Mylasa nomen, priscum Jovis Carii templum, quod quidem cum Mysis atque Lydis commune habent, ut qui consanguinei sint Carum; Lydum enim et Mysum fratres Caris aiunt fuisse. Cum his igitur templum illud commune habent; sed quicumque ex alia

μέτεστι, ὅσοι δὲ ἐόντες ἄλλου ἔθνεος ὁμόγλωσσοι τοῖσι Καρσὶ ἐγένοντο, τούτοισι δὲ οὐ μέτα.

CLXXII. Οἱ δὲ Καύνιοι αὐτόχθονες δοκέειν ἐμοί εἰσι, αὐτοὶ μέντοι ἐκ Κρήτης φασὶ εἶναι. Προσκεχωρήκασι δὲ γλῶσσαν μὲν πρὸς τὸ Καρικὸν ἔθνος, ἢ οἱ Κᾶρες πρὸς τὸ Καυνικόν (τοῦτο γὰρ οὐκ ἔχω ἀτρεκέως διακρῖναι), νόμοισι δὲ χρέονται κεχωρισμένοισι πολλὸν τῶν τε ἄλλων ἀνθρώπων καὶ Καρῶν. (2) Τοῖσι γὰρ κάλλιστόν ἐστι κατ' ἡλικίην τε καὶ φιλότητα εἰλαδὸν συγγίνεσθαι ἐς πόσιν, καὶ ἀνδράσι καὶ γυναιξὶ καὶ παισί. Ἱδρυθέντων δέ σφι ἱρῶν ξεινικῶν, μετέπειτεν, ὡς σφι ἀπέδοξε, ἔδοξε δὲ τοῖσι πατρίοισι μοῦνον χρᾶσθαι θεοῖσι, ἐνδύντες τὰ ὅπλα ἅπαντες Καύνιοι ἠβηδὸν, τύπτοντες δούρασι τὸν ἠέρα, μέχρι οὔρων τῶν Καλυνδικῶν εἴποντο, καὶ ἔφασαν ἐκβάλλειν τοὺς ξεινικοὺς θεούς. Καὶ οὗτοι μὲν τρόποισι τοιούτοισι χρέονται.

CLXXIII. Οἱ δὲ Λύκιοι ἐκ Κρήτης τὼρχαῖον γεγόνασι (τὴν γὰρ Κρήτην εἶχον τὸ παλαιὸν πᾶσαν βάρβαροι)· διενειχθέντων δὲ ἐν Κρήτῃ περὶ τῆς βασιληίης τῶν Εὐρώπης παίδων Σαρπηδόνος τε καὶ Μίνω, ὡς ἐπεκράτησε τῇ στάσι Μίνως, ἐξήλασε αὐτόν τε Σαρπηδόνα καὶ τοὺς στασιώτας αὐτοῦ, οἱ δὲ ἀπωσθέντες ἀπίκοντο τῆς Ἀσίης ἐς γῆν τὴν Μιλυάδα· τὴν γὰρ νῦν Λύκιοι νέμονται, αὗτη τὸ παλαιὸν ἦν Μιλυὰς, οἱ δὲ Μιλύαι τότε Σόλυμοι ἐκαλεῦντο. (2) Τέως μὲν δὴ αὐτῶν Σαρπηδὼν ἦρχε, οἱ δὲ ἐκαλεῦντο τό πέρ τε ἠνείκαντο οὔνομα καὶ νῦν ἔτι καλεῦνται ὑπὸ τῶν περιοίκων οἱ Λύκιοι, Τερμίλαι· ὡς δὲ ἐξ Ἀθηνέων Λύκος ὁ Πανδίονος, ἐξελαθεὶς καὶ οὗτος ὑπὸ τοῦ ἀδελφεοῦ Αἰγέος, ἀπίκετο ἐς τοὺς Τερμίλας παρὰ Σαρπηδόνα, οὕτω δὴ κατὰ τοῦ Λύκου τὴν ἐπωνυμίην Λύκιοι ἀνὰ χρόνον ἐκλήθησαν. (3) Νόμοισι δὲ τὰ μὲν Κρητικοῖσι, τὰ δὲ Καρικοῖσι χρέονται. Ἓν δὲ τόδε ἴδιον νενομίκασι καὶ οὐδαμοῖσι ἄλλοισι συμφέρονται ἀνθρώπων· καλεῦσι ἀπὸ τῶν μητέρων ἑωυτοὺς καὶ οὐκὶ ἀπὸ τῶν πατέρων, εἰρομένου δὲ ἑτέρου τὸν πλησίον τίς εἴη, καταλέξει ἑωυτὸν μητρόθεν καὶ τῆς μητρὸς ἀνανεμέεται τὰς μητέρας. (4) Καὶ ἢν μέν γε γυνὴ ἀστὴ δούλῳ συνοικήσῃ, γενναῖα τὰ τέκνα νενόμισται· ἢν δὲ ἀνὴρ ἀστὸς, καὶ ὁ πρῶτος αὐτῶν, γυναῖκα ξείνην ἢ παλλακὴν ἔχῃ, ἄτιμα τὰ τέκνα γίνεται.

CLXXIV. Οἱ μέν νυν Κᾶρες οὐδὲν λαμπρὸν ἔργον ἀποδεξάμενοι ἐδουλώθησαν ὑπ' Ἁρπάγου, οὔτε αὐτοὶ οἱ Κᾶρες ἀποδεξάμενοι οὐδὲν οὔτε ὅσοι Ἑλλήνων ταύτην τὴν χώρην οἰκέουσι. (2) Οἰκέουσι δὲ καὶ ἄλλοι καὶ Λακεδαιμονίων ἄποικοι Κνίδιοι, οἱ τῆς χώρης τῆς σφετέρης τετραμμένης ἐς πόντον, τὸ δὴ Τριόπιον καλέεται, ἀργμένης δὲ ἐκ τῆς Χερσονήσου τῆς Βυβασσίης, ἐούσης τε πάσης τῆς Κνιδίης πλὴν ὀλίγης περιρρόου (τὰ μὲν γὰρ αὐτῆς πρὸς βορέην ἄνεμον ὁ Κεράμειος κόλπος ἀπέργει, τὰ δὲ πρὸς νότον ἡ κατὰ Σύμνην τε καὶ Ῥόδον θάλασσα), τὸ ὦν δὴ ὀλίγον τοῦτο, ἐὸν ὅσον τε ἐπὶ πέντε στάδια, ὤρυσσον οἱ Κνίδιοι ἐν ὅσῳ

gente sunt, quamvis eadem cum Caribus lingua utentes, ad hos communio illa nihil pertinet.

CLXXII. Caunii vero ex eadem, quam incolunt, terra oriundi mihi videntur; quamquam ipsi se Cretenses esse affirmant. Linguam vero aut ipsi ad Caricum populum adcommodarunt, aut Cares ad Caunium; nec enim hoc dijudicare liquido possum. Institutis autem utuntur longe et ab aliis populis et a Caribus discrepantibus; (2) habetur enim apud illos honestissimum, ut secundum ætatem atque amicitiam catervatim ad compotationes conveniant viri et mulieres et pueri. Iidem, quum prius templa constituta habuissent peregrinorum deorum, deinde mutata sententia, postquam eis placuit nonnisi patriis uti diis, arma capessiverunt cuncti puberes, et hastis aerem ferientes usque ad Calyndicos fines progressi sunt, dicentes se peregrinos ejicere deos. Talibus institutis Caunii utuntur.

CLXXIII. Lycii vero antiquitus ex Creta erant oriundi. Cretam enim omnem olim barbari tenebant. Quum vero de regno in Creta dissiderent Europæ filii, Sarpedon et Minos, superior ex contentione discedens Minos, Sarpedonem ejusque asseclas ejecit. Tum hi, insula expulsi, in Asiam pervenerunt, in terram Milyadem: nam, quam regionem nunc Lycii incolunt, hæc olim Milyas erat: Milyæ vero Solymi tum nominabantur. (2) Aliquantum igitur temporis regnum in eos obtinuit Sarpedon: ipsi vero nominabantur, quod et olim nomen obtinuerant, et quo etiam nunc Lycii a finitimis adpellantur, Termilæ. Ut vero Athenis Lycus, Pandionis filius, et ipse a fratre expulsus Ægeo, in Termilas ad Sarpedonem pervenit, inde demum, a Lyci nomine, successu temporis, Lycii sunt adpellati. (3) Institutis autem utuntur partim Creticis, partim Caricis. Unum autem hocce proprium habent, nec cum ullis aliis hominum commune: sese ipsi a matribus nominant, non a patribus. Si quis ex altero, quis sit, quærit; respondebit illi hic, esse se hujus vel illius matris filium, et matris suæ matres a superioribus temporibus repetet. (4) Porro, si mulier, quæ civis sit, servo nupserit, honesto loco nati censentur liberi: sin vir civis, atque etiam princeps civium, peregrinam aut uxorem aut pellicem habet, ignobiles erunt liberi.

CLXXIV. Jam Cares quidem, nullo claro edito facinore, subjugati sunt ab Harpago: nec vel Cares ipsi memorabile quidquam tunc gesserunt, nec quicumque natione Græci illam regionem incolunt. (2) Incolunt autem quum alii, tum Lacedæmoniorum coloni Cnidii, quorum ager mari est obversus, Triopiumque vocatur. Initium capit Cnidiorum ditio a Bybassia peninsula, et est tota, exiguo excepto spatio, mari circumflua: nam quæ pars ejus ad septentrionem spectat, eam Ceramius sinus includit; quæ vero ad meridiem, mare quod ad Symen et Rhodum est. Istud igitur exiguum spatium, quod quinque fere stadiorum est, perfodere instituerunt Cnidii per id tempus quo Ioniam Har-

Ἅρπαγος τὴν Ἰωνίην κατεστρέφετο, βουλόμενοι νῆσον τὴν χώρην ποιῆσαι. (3) Ἐντὸς δὲ πᾶσά σφι ἐγίνετο· τῇ γὰρ ἡ Κνιδίη χώρη ἐς τὴν ἤπειρον τελευτᾷ, ταύτῃ ὁ ἰσθμός ἐστι τὸν ὦρυσσον. Καὶ δὴ πολλῇ χειρὶ ἐργαζομένων τῶν Κνιδίων, μᾶλλον γάρ τι καὶ θειότερον ἐφαίνοντο τιτρώσκεσθαι οἱ ἐργαζόμενοι τοῦ οἰκότος τά τε ἄλλα τοῦ σώματος καὶ μάλιστα τὰ περὶ τοὺς ὀφθαλμοὺς θραυομένης τῆς πέτρης, ἔπεμπον ἐς Δελφοὺς θεοπρόπους ἐπερησομένους τὸ ἀντίξοον. (4) Ἡ δὲ Πυθίη σφι, ὡς αὐτοὶ Κνίδιοι λέγουσι, χρᾷ ἐν τριμέτρῳ τόνῳ τάδε,

Ἰσθμὸν δὲ μὴ πυργοῦτε μηδ' ὀρύσσετε·
Ζεὺς γάρ κ' ἔθηκε νῆσον, εἰ γ' ἐβούλετο.

Κνίδιοι μὲν ταῦτα τῆς Πυθίης χρησασης τοῦ τε ὀρύγματος ἐπαύσαντο καὶ Ἅρπάγῳ ἐπιόντι σὺν τῷ στρατῷ ἀμαχητὶ σφέας αὐτοὺς παρέδοσαν.

CLXXV. Ἦσαν δὲ Πηδασέες οἰκέοντες ὑπὲρ Ἁλικαρνησσοῦ μεσόγαιαν, τοῖσι ὅκως τι μέλλοι ἀνεπιτήδεον ἔσεσθαι, αὐτοῖσί τε καὶ τοῖσι περιοίκοισι, ἡ ἱρεια τῆς Ἀθηναίης πώγωνα μέγαν ἴσχει. Τρὶς σφι τοῦτο ἐγένετο. (2) Οὗτοι τῶν περὶ Καρίην ἀνδρῶν μοῦνοί τε ἀντέσχον χρόνον Ἅρπάγῳ καὶ πρήγματα παρέσχον πλεῖστα, οὖρος τειχίσαντες τῷ οὔνομά ἐστι Λίδη.

CLXXVI. Πηδασέες μέν νυν χρόνῳ ἐξαιρέθησαν· Λύκιοι δέ, ὡς ἐς τὸ Ξάνθιον πεδίον ἤλασε ὁ Ἅρπαγος τὸν στρατὸν, ἐπεξιόντες καὶ μαχόμενοι ὀλίγοι πρὸς πολλοὺς ἀρετὰς ἀπεδείκνυντο, ἐσσωθέντες δὲ καὶ κατειληθέντες ἐς τὸ ἄστυ συνήλισαν ἐς τὴν ἀκρόπολιν τάς τε γυναῖκας καὶ τὰ τέκνα καὶ τὰ χρήματα καὶ τοὺς οἰκέτας, καὶ ἐπειτεν ὑπῆψαν τὴν ἀκρόπολιν πᾶσαν ταύτην καίεσθαι. (2) Ταῦτα δὲ ποιήσαντες καὶ συνομόσαντες ὅρκους δεινοὺς, ἐπεξελθόντες ἀπέθανον πάντες Ξάνθιοι μαχόμενοι. Τῶν δὲ νῦν Λυκίων φαμένων Ξανθίων εἶναι οἱ πολλοὶ, πλὴν ὀγδώκοντα ἱστιέων, εἰσὶ ἐπήλυδες· αἱ δὲ ὀγδώκοντα ἱστίαι αὗται ἔτυχον τηνικαῦτα ἐκδημέουσαι, καὶ οὕτω περιεγένοντο. (3) Τὴν μὲν δὴ Ξάνθον οὕτω ἔσχε ὁ Ἅρπαγος· παραπλησίως δὲ καὶ τὴν Καῦνον ἔσχε· καὶ γὰρ οἱ Καύνιοι τοὺς Λυκίους ἐμιμήσαντο τὰ πλέω.

CLXXVII. Τὰ μέν νυν κάτω τῆς Ἀσίης Ἅρπαγος ἀνάστατα ἐποίεε, τὰ δὲ ἄνω αὐτῆς αὐτὸς Κῦρος, πᾶν ἔθνος καταστρεφόμενος καὶ οὐδὲν παριείς. Τὰ μέν νυν αὐτῶν πλέω παρήσομεν· τὰ δέ οἱ παρέσχε πόνον τε πλεῖστον καὶ ἀξιαπηγητότατά ἐστι, τούτων ἐπιμνήσομαι.

CLXXVIII. Κῦρος ἐπείτε τὰ πάντα τῆς ἠπείρου ὑποχείρια ἐποιήσατο, Ἀσσυρίοισι ἐπετίθετο. Τῆς δὲ Ἀσσυρίης ἐστὶ μέν κου καὶ ἄλλα πολίσματα μεγάλα πολλὰ, τὸ δὲ οὐνομαστότατον καὶ ἰσχυρότατον, καὶ ἔνθα σφι τῆς Νίνου ἀναστάτου γενομένης τὰ βασιλήϊα κατεστήκεε, ἦν Βαβυλὼν, ἐοῦσα τοιαύτη δή τις πόλις. (2) Κέεται ἐν πεδίῳ μεγάλῳ, μέγαθος ἐοῦσα μέτωπον ἕκαστον εἴκοσι καὶ ἑκατὸν σταδίων ἰούσης τετραγώνου·

pagus subegit, cupientes ex agro suo insulam facere. (3) Erat autem universa eorum ditio intra isthmum; nam ubi illa versus continentem desinit, ibi is isthmus est, quem perfodiebant. Multorum igitur hominum manibus in opere occupatis, quum magis quam consentaneum erat laborarent et alia corporis membra et maxime oculi eorum qui opus faciebant et petram perfringebant, ita ut adpareret non sine deorum numine id fieri; miserunt Delphos qui consulerent oraculum quidnam esset quod ipsis adversaretur. (4) Quibus Pythia, ut ipsi fatentur Cnidii, trimetro tenore hæcce respondit:

Nec aggerate vos nec isthmum fodite:
nam, si placuisset, insulam dederat deus.

Quo accepto responso, Cnidii a fodiendo destitere; et Harpago cum exercitu advenienti ultro sese, nulla inita pugna, dediderunt.

CLXXV. Fuere autem Pedasenses, mediterranea super Halicarnassum habitantes: quibus quoties publice imminet aliquod incommodum, tam ipsis quam accolis, sacerdos femina Minervæ ingentem emittit barbam; quæ res illis ter accidit. (2) Hi soli ex omnibus Cariam habitantibus Harpago aliquamdiu restitere, et plurimam illi molestiam crearunt; quum montem, cui Lida nomen, muro munissent.

CLXXVI. Et Pedasenses quidem haud multo post sunt expugnati. Lycii vero, ut in Xanthium campum Harpagus promovit exercitum, eductis copiis pugnam inierunt, pauci adversus multos, et egregia virtutis specimina edidere. Sed prælio superati, et in oppidum compulsi, congregatis in arcem uxoribus liberisque et rebus pretiosis et servis, ignem subjecerunt arci, ut tota concremaretur. (2) His factis, diris juramentis invicem adstricti, egressi sunt, et fortiter pugnantes Xanthii omnes obierunt. Eorum autem Lyciorum, qui nostra ætate Xanthios se esse prædicant, advenæ sunt plerique, exceptis octoginta familiis; quæ familiæ octoginta tunc temporis forte domo aberant, atque ita superfuerunt. (3) Xantho igitur tali modo potitus Harpagus est. Simili vero ratione etiam Cauno est potitus; nam et Caunii majori ex parte Lycios sunt imitati.

CLXXVII. Inferiorem igitur Asiam subegit Harpagus, superiora autem Asiæ Cyrus ipse, singulos populos in potestatem suam redigens, nullumque prætermittens. Quorum pleraque silentio nos præteribimus: quæ vero plurimo cum labore gessit et quæ præ cæteris maxime sunt memorabilia, eorum faciam mentionem.

CLXXVIII. Universo continente inferioris Asiæ potestati suæ subjecto, Assyrios Cyrus adgressus est. Sunt autem Assyriæ quum aliæ urbes insignes multæ, tum clarissima omnium et munitissima, quæ post Ninum eversam regia sedes erat, Babylon; cujus hæc erat conditio. (2) Sita in ampla planitie, formam habet quadratam, cujus quodque latus centum et viginti stadia metitur: ita totius

οὗτοι στάδιοι τῆς περιόδου τῆς πόλιος γίνονται συνάπαντες ὀγδώκοντα καὶ τετρακόσιοι. Τὸ μέν νυν μέγαθος τοσοῦτόν ἐστι τοῦ ἄστεος τοῦ Βαβυλωνίου, ἐκεκόσμητο δὲ ὡς οὐδὲν ἄλλο πόλισμα τῶν ἡμεῖς ἴδμεν. (3) Τάφρος μὲν πρῶτά μιν βαθέα τε καὶ εὐρέα καὶ πλέη ὕδατος περιθέει, μετὰ δὲ τεῖχος πεντήκοντα μὲν πηχέων βασιληΐων ἐὸν τὸ εὖρος, ὕψος δὲ διηκοσίων πηχέων· ὁ δὲ βασιληΐος πῆχυς τοῦ μετρίου ἐστὶ πήχεος μέζων τρισὶ δακτύλοισι.

CLXXIX. Δεῖ δή με πρὸς τούτοισι ἔτι φράσαι ἵνα τε ἐκ τῆς τάφρου ἡ γῆ ἀναισιμώθη καὶ τὸ τεῖχος ὅντινα τρόπον ἔργαστο. Ὀρύσσοντες ἅμα τὴν τάφρον ἐπλίνθευον τὴν γῆν τὴν ἐκ τοῦ ὀρύγματος ἐκφερομένην, ἑλκύσαντες δὲ πλίνθους ἱκανὰς ὤπτησαν αὐτὰς ἐν καμίνοισι· μετὰ δὲ τέλματι χρεώμενοι ἀσφάλτῳ θερμῇ, καὶ διὰ τριήκοντα δόμων πλίνθου ταρσοὺς καλάμων διαστοιβάζοντες, ἔδειμαν πρῶτα μὲν τῆς τάφρου τὰ χείλεα, δεύτερα δὲ αὐτὸ τὸ τεῖχος τὸν αὐτὸν τρόπον. (2) Ἐπάνω δὲ τοῦ τείχεος παρὰ τὰ ἔσχατα οἰκήματα μουνόχωλα ἔδειμαν, τετραμμένα ἐς ἀλληλα· τὸ μέσον δὲ τῶν οἰκημάτων ἔλιπον τεθριππῳ περιέλασιν. Πύλαι δὲ ἐνεστᾶσι περὶ τοῦ τείχεος ἑκατόν, χάλκεαι πᾶσαι, καὶ σταθμοί τε καὶ ὑπέρθυρα ὡσαύτως. (3) Ἔστι δὲ ἄλλη πόλις ἀπέχουσα ὀκτὼ ἡμερέων ὁδὸν ἀπὸ Βαβυλῶνος· Ἶς οὔνομα αὐτῇ. Ἔνθα ἐστὶ ποταμὸς οὐ μέγας· Ἶς καὶ τῷ ποταμῷ τὸ οὔνομα, ἐσβάλλει δὲ οὗτος ἐς τὸν Εὐφρήτην ποταμὸν τὸ ῥέεθρον. Οὗτος ὦν ὁ Ἶς ποταμὸς ἅμα τῷ ὕδατι θρόμβους ἀσφάλτου ἀναδιδοῖ πολλούς, ἔνθεν ἡ ἄσφαλτος ἐς τὸ ἐν Βαβυλῶνι τεῖχος ἐκομίσθη.

CLXXX. Τετείχιστο μέν νυν ἡ Βαβυλὼν τρόπῳ τοιῷδε, ἔστι δὲ δύο φάρσεα τῆς πόλιος. Τὸ γὰρ μέσον αὐτῆς ποταμὸς διέργει, τῷ οὔνομά ἐστι Εὐφρήτης· ῥέει δὲ ἐξ Ἀρμενίων, ἐὼν μέγας καὶ βαθὺς καὶ ταχύς· ἐξίει δὲ οὗτος ἐς τὴν Ἐρυθρὴν θάλασσαν. (2) Τὸ ὦν δὴ τεῖχος ἑκάτερον τοὺς ἀγκῶνας ἐς τὸν ποταμὸν ἐλήλαται· τὸ δὲ ἀπὸ τούτου αἱ ἐπικαμπαὶ παρὰ χεῖλος ἑκάτερον τοῦ ποταμοῦ αἱμασιὴ πλίνθων ὀπτέων παρατείνει. (3) Τὸ δὲ ἄστυ αὐτὸ ἐὸν πλῆρες οἰκιέων τριωρόφων τε καὶ τετρωρόφων κατατέτμηται τὰς ὁδοὺς ἰθέας, τάς τε ἄλλας καὶ τὰς ἐπικαρσίας τὰς ἐπὶ τὸν ποταμὸν ἐχούσας. (4) Κατὰ δὴ ὦν ἑκάστην ὁδὸν ἐν τῇ αἱμασιῇ τῇ παρὰ τὸν ποταμὸν πυλίδες ἐπῆσαν, ὅσαι περ αἱ λαῦραι, τοσαῦται ἀριθμόν· ἔσαν δὲ καὶ αὗται χάλκεαι, φέρουσαι καὶ αὐταὶ ἐς αὐτὸν τὸν ποταμόν.

CLXXXI. Τοῦτο μὲν δὴ τὸ τεῖχος θώρηξ ἐστί, ἕτερον δὲ ἔσωθεν τεῖχος, οὐ πολλῷ τέῳ ἀσθενέστερον τοῦ ἑτέρου τείχεος, στεινότερον δέ. Ἐν δὲ φάρσεϊ ἑκατέρῳ τῆς πόλιος ἐτετείχιστο ἐν μέσῳ ἐν τῷ μὲν τὰ βασιλήια περιβόλῳ μεγάλῳ τε καὶ ἰσχυρῷ, ἐν δὲ τῷ ἑτέρῳ Διὸς Βήλου ἱρὸν χαλκόπυλον, καὶ ἐς ἐμὲ τοῦτο ἔτι ἐὸν, δύο σταδίων πάντῃ ἐὸν τετράγωνον. (2) Ἐν μέσῳ δὲ τοῦ ἱροῦ πύργος στερεὸς οἰκοδόμηται, σταδίου καὶ τὸ μῆκος καὶ τὸ εὖρος, καὶ ἐπὶ τούτῳ τῷ πύργῳ

urbis circuitus conficitur quadringentorum octoginta stadiorum. Hæc amplitudo est urbis Babyloniæ. Exornata vero instructaque erat ita, ut nulla alia cujus ad nos notitia pervenit. (3) Statim fossa eam circumdat alta lataque, et aqua numquam non repleta: dein murus, cujus latitudo quinquaginta cubitorum regiorum est, altitudo ducentorum cubitorum. Est autem cubitus regius major vulgari tribus digitis.

CLXXIX. Oportet vero ad hæc me declarare, quem in usum insumta sit terra e fossa egesta, et murus ille quo pacto fuerit confectus. Ut fossam fodiebant, ita simul terram e fossa egestam formabant in lateres: utque laterum probabilem numerum duxerant, ita eos in fornacibus coquebant. Tum loco calcis asphalto calida utentes, et tricesimo cuique laterum ordini arundinum texta interstipantes, primum labia construxerunt fossæ, deinde ipsum murum eodem modo. (2) Super muro vero in utriusque lateris ora ædificarunt unius conclavis domunculas, sibi invicem obversas, medium autem spatium tantum reliquerunt, ut circumagi in eo quadrigæ possent. In muro circumcirca centum sunt portæ, æneæ omnes; et postes etiam, et superiora limina, itidem ex ære. (3) Est autem aliud oppidum, octo dierum itinere distans a Babylone, cui nomen Is. Ibi fluvius est, non magnus, cui et ipsi Is nomen, qui in Euphratem undam suam infundit. Hic igitur Is fluvius simul cum unda sua multos edit grumos asphalti: unde ad ædificandum murum Babylonis asphaltus devecta est.

CLXXX. Tali igitur modo munita Babylon est. Sunt autem duæ urbis regiones: mediam enim perfluit et in duas partes dividit flumen, cui nomen Euphrates. Is ex Armenia fluit amplus et altus atque rapidus; exonerat se autem in Erythræum mare. (2) Murus igitur utrimque brachia ad flumen usque ducta habet: inde inflexa procedit utrimque maceria ex coctili latere, quæ utrique fluminis labio prætenditur. (3) Urbs ipsa domibus repleta est trium aut quatuor tabulatorum; per eamque ductæ sunt viæ ad lineam directæ, quum ceteræ, tum eæ quæ e transverso ad flumen pertinent. (4) Ad harum viarum quamque apertæ sunt in maceria juxta flumen decurrente portæ minores, totidem numero quot viæ sunt: atque etiam hæ portæ ex ære sunt, per quas ad ipsum flumen transitur.

CLXXXI. Murus quem dixi, robur præcipuum munimenti est: circumductus est autem interius alius murus, haud multo infirmior altero, sed angustior. In medio autem utriusque regionis, in quas urbs dividitur, exstructa erat, in altera quidem regia aula, vasto circuitu validoque; in altera, Jovis Beli templum æneis portis instructum, quod nunc etiam superest, duo stadia quaquaversum metiens, forma quadrata. (2) Hujus in templi medio turris solida exstructa est, unum stadium tam in longitudinem quam i t

ἄλλος πύργος ἐπιβέβηκε, καὶ ἕτερος μάλα ἐπὶ τούτῳ, μέχρι οὗ ὀκτὼ πύργων. (3) Ἀνάβασις δὲ ἐς αὐτοὺς ἔξωθεν κύκλῳ περὶ πάντας τοὺς πύργους ἔχουσα πεποίηται. Μεσοῦντι δὲ κου τῆς ἀναβάσιός ἐστι καταγωγή τε καὶ θῶκοι ἀμπαυστήριοι, ἐν τοῖσι κατίζοντες ἀμπαύονται οἱ ἀναβαίνοντες. (4) Ἐν δὲ τῷ τελευταίῳ πύργῳ νηὸς ἔπεστι μέγας· ἐν δὲ τῷ νηῷ κλίνη μεγάλη κέεται εὖ ἐστρωμένη, καί οἱ τράπεζα παρακέεται χρυσέη. (5) Ἄγαλμα δὲ οὐκ ἔνι οὐδὲν αὐτόθι ἐνιδρυμένον· οὐδὲ νύκτα οὐδεὶς ἐναυλίζεται ἀνθρώπων ὅτι μὴ γυνὴ μούνη τῶν ἐπιχωρίων, τὴν ἂν ὁ θεὸς ἕληται ἐκ πασέων, ὡς λέγουσι οἱ Χαλδαῖοι ἐόντες ἱρέες τούτου τοῦ θεοῦ.

CLXXXII. Φασὶ δὲ οἱ αὐτοὶ οὗτοι, ἐμοὶ μὲν οὐ πιστὰ λέγοντες, τὸν θεὸν αὐτὸν φοιτᾶν τε ἐς τὸν νηὸν καὶ ἀμπαύεσθαι ἐπὶ τῆς κλίνης, κατά περ ἐν Θήβῃσι τῇσι Αἰγυπτίῃσι κατὰ τὸν αὐτὸν τρόπον, ὡς λέγουσι οἱ Αἰγύπτιοι· καὶ γὰρ δὴ ἐκεῖθι κοιμᾶται ἐν τῷ τοῦ Διὸς τοῦ Θηβαιέος γυνή, ἀμφότεραι δὲ αὗται λέγονται ἀνδρῶν οὐδαμῶν ἐς ὁμιλίην φοιτᾶν· (2) καὶ κατά περ ἐν Πατάροισι τῆς Λυκίης ἡ πρόμαντις τοῦ θεοῦ, ἐπεὰν γένηται· οὐ γὰρ ὦν αἰεί ἐστι χρηστήριον αὐτόθι· ἐπεὰν δὲ γένηται, τότε ὦν συγκατακληίεται τὰς νύκτας ἔσω ἐν τῷ νηῷ.

CLXXXIII. Ἔστι δὲ τοῦ ἐν Βαβυλῶνι ἱροῦ καὶ ἄλλος κάτω νηὸς, ἔνθα ἄγαλμα μέγα τοῦ Διὸς ἔνι κατήμενον χρύσεον, καί οἱ τράπεζα μεγάλη παρακέεται χρυσέη, καὶ τὸ βάθρον οἱ καὶ ὁ θρόνος χρύσεός ἐστι· καὶ ὡς ἔλεγον οἱ Χαλδαῖοι, ταλάντων ὀκτακοσίων χρυσίου πεποίηται ταῦτα. (2) Ἔξω δὲ τοῦ νηοῦ βωμός ἐστι χρύσεος. Ἔστι δὲ καὶ ἄλλος βωμὸς μέγας, ὅπου θύεται τὰ τέλεα τῶν προβάτων· ἐπὶ γὰρ τοῦ χρυσέου βωμοῦ οὐκ ἔξεστι θύειν ὅτι μὴ γαλαθηνὰ μοῦνα. (3) Ἐπὶ δὲ τοῦ μέζονος βωμοῦ καὶ καταγίζουσι λιβανωτοῦ χίλια τάλαντα ἔτεος ἑκάστου οἱ Χαλδαῖοι τότε ἐπεὰν τὴν ὁρτὴν ἄγωσι τῷ θεῷ τούτῳ. (4) Ἦν δὲ ἐν τῷ τεμένεϊ τούτῳ ἔτι τὸν χρόνον ἐκεῖνον καὶ ἀνδριὰς δυώδεκα πηχέων χρύσεος στερεός· ἐγὼ μέν μιν οὐκ εἶδον, τὰ δὲ λέγεται ὑπὸ Χαλδαίων, ταῦτα λέγω. (5) Τοῦτῳ τῷ ἀνδριάντι Δαρεῖος μὲν ὁ Ὑστάσπεος ἐπιβουλεύσας οὐκ ἐτόλμησε λαβέειν, Ξέρξης δὲ ὁ Δαρείου ἔλαβε, καὶ τὸν ἱρέα ἀπέκτεινε ἀπαγορεύοντα μὴ κινέειν τὸν ἀνδριάντα. Τὸ μὲν δὴ ἱρὸν τοῦτο οὕτω κεκόσμηται, ἔστι δὲ καὶ ἴδια ἀναθήματα πολλά.

CLXXXIV. Τῆς δὲ Βαβυλῶνος ταύτης πολλοὶ μέν κου καὶ ἄλλοι ἐγένοντο βασιλέες, τῶν ἐν τοῖσι Ἀσσυρίοισι λόγοισι μνήμην ποιήσομαι, οἳ τά τε τείχεά τε ἐπεκόσμησαν καὶ τὰ ἱρά, ἐν δὲ δὴ καὶ γυναῖκες δύο. (2) Ἡ μὲν πρότερον ἄρξασα, τῆς ὕστερον γενεῇσι πέντε πρότερον γενομένη, τῇ οὔνομα ἦν Σεμίραμις, αὕτη μὲν ἀπεδέξατο χώματα ἀνὰ τὸ πεδίον ἐόντα ἀξιοθέητα· πρότερον δὲ ἐώθεε ὁ ποταμὸς ἀνὰ τὸ πεδίον πᾶν πελαγίζειν.

CLXXXV. Ἡ δὲ δὴ δεύτερον γενομένη ταύτης βασίλεια, τῇ οὔνομα ἦν Νίτωκρις, αὕτη δὲ συνετωτέρη γε-

latitudinem patens: et super hac turri erecta est alia, iterumque super hac alia, ad octo turres numero. (3) Hæ turres conscenduntur extrinsecus, via circum omnes sursum ducente: in medio vero adscensu diversorium est, et sellæ in quibus residentes requiescere possint qui adscendunt. (4) Extremæ turri templum superstructum est amplum: quo in templo stratus lectus magnus, juxtaque eum adposita mensa aurea. (5) Imago autem aut statua nulla inest, neque pernoctat ibi quisquam mortalium, præter unam mulierem ex indigenis, quamcumque ex omnibus selegerit deus, ut Chaldæi aiunt, qui sunt hujus dei sacerdotes.

CLXXXII. Narrant autem iidem, quod mihi quidem non persuadent, ventitare ipsum deum in istud templum, et in lecto illo quiescere, sicut Thebis Ægyptiis fit eodem modo, ut Ægyptii narrant; nam et ibi in Jovis Thebani templo decumbit mulier: utramque autem harum cum nullo viro aiunt habere consuetudinem: (2) similiterque Pataris in Lycia fatidica dei sacerdos, suo quidem tempore; nec enim constanter ibi est oraculum: quod si est, tunc qualibet nocte cum deo illa in templo includitur.

CLXXXIII. Est autem in Babylonico templo alia etiam ædes inferne: ubi magnum est simulacrum Jovis sedentis, aureum, cui mensa magna adposita aurea, et scabellum et sella ex auro: omnia hæc, ut narraverunt Chaldæi, ex octingentis auri talentis confecta. (2) Extra templum vero altare est aureum. Estque præterea alia ara ingens, ubi justæ ætatis mactantur victimæ; nam ad auream illam aram non nisi lactentes mactare pecudes fas est. (3) In majore ara vero adolent etiam singulis annis Chaldæi mille tburis talenta, quo tempore festos dies huic deo agunt. (4) Erat autem illa adhuc ætate in eodem templo statua solida ex auro, duodecim cubitorum: quam ego quidem non vidi, refero autem quæ a Chaldæis narrantur. (5) Huic statuæ insidiatus Darius, Hystaspis filius, non tamen ausus est eam auferre: Xerxes vero Darii filius abstulit, occiso sacerdote, qui, ut statuam loco moveret, conatus erat prohibere. Atque ita quidem exornatum illud templum erat: exstant vero in eodem complura etiam privata donaria.

CLXXXIV. Babylonis hujus quum multi alii fuerant reges, qui et urbem et templa exornarunt, quorum in Assyriarum rerum historia faciam mentionem: tum in his etiam duæ mulieres. (2) Harum illa, quæ prior regnavit, posteriorem quinque generationibus antecessit, eique nomen fuit Semiramis; quæ aggeres per planitiem excitavit spectatu dignos, quum antea fluvius per universum campum solitus esset restagnare.

CLXXXV. Altera, quæ post hanc regnavit, nomine Nitocris, quæ priore regina fuit intelligentior, partim monumenta

νομένη τῆς πρότερον ἀρξάσης τοῦτο μὲν μνημόσυνα ἐλίπετο τὰ ἐγὼ ἀπηγήσομαι, τοῦτο δὲ τὴν Μήδων ὁρέουσα ἀρχὴν μεγάλην τε καὶ οὐκ ἀτρεμίζουσαν, ἀλλ' ἄλλα τε ἀραιρημένα ἄστεα αὐτοῖσι, ἐν δὲ δὴ καὶ τὴν Νίνον, προεφυλάξατο ὅσα ἐδύνατο μάλιστα. (2) Πρῶτα μὲν τὸν Εὐφρήτην ποταμὸν ῥέοντα πρότερον ἰθὺν, ὃς σφι διὰ τῆς πόλιος μέσης ῥέει, τοῦτον ἄνωθεν διώρυχας ὀρύξασα, οὕτω δή τι ἐποίησε σκολιὸν ὥστε δὴ τρὶς ἐς τῶν τινὰ κωμέων τῶν ἐν τῇ Ἀσσυρίῃ ἀπικνέεται ῥεών. (3) Τῇ δὲ κώμῃ οὔνομά ἐστι, ἐς τὴν ἀπικνέεται ὁ Εὐφρήτης, Ἀρδέρικκα. Καὶ νῦν οἱ ἂν κομίζωνται ἀπὸ τῆσδε τῆς θαλάσσης ἐς Βαβυλῶνα, καταπλώοντες ἐς τὸν Εὐφρήτην ποταμὸν τρίς τε ἐς τὴν αὐτὴν ταύτην κώμην παραγίνονται καὶ ἐν τρισὶ ἡμέρῃσι. (4) Τοῦτο μὲν δὴ τοιοῦτο ἐποίησε, χῶμα δὲ παρέχωσε παρ' ἑκάτερον τοῦ ποταμοῦ τὸ χεῖλος ἄξιον θώματος, μέγαθος καὶ ὕψος ὅσον τι ἐστί. (5) Κατύπερθε δὲ πολλῷ Βαβυλῶνος ὤρυσσε ἕλυτρον λίμνῃ, ὀλίγον τι παρατείνουσα ἀπὸ τοῦ ποταμοῦ, βάθος μὲν ἐς τὸ ὕδωρ αἰεὶ ὀρύσσουσα, εὖρος δὲ τὸ περίμετρον αὐτοῦ ποιεῦσα εἴκοσί τε καὶ τετρακοσίων σταδίων· τὸν δὲ ὀρυσσόμενον χοῦν ἐκ τούτου τοῦ ὀρύγματος ἀναισίμου παρὰ τὰ χείλεα τοῦ ποταμοῦ παραχέουσα. (6) Ἐπείτε δέ οἱ ὀρώρυκτο, λίθους ἀγαγομένη κρηπῖδα κύκλῳ περὶ αὐτὴν ἔλασε. Ἐποίεε δὲ ἀμφότερα ταῦτα, τόν τε ποταμὸν σκολιὸν καὶ τὸ ὄρυγμα πᾶν ἕλος, ὡς δ' τε ποταμὸς βραδύτερος εἴη περὶ καμπὰς πολλὰς ἀγνύμενος, καὶ οἱ πλόοι ἔωσι σκολιοὶ ἐς τὴν Βαβυλῶνα, ἔκ τε τῶν πλόων ἐκδέχηται περίοδος τῆς λίμνης μακρή. (7) Κατὰ τοῦτο δὲ ἐργάζετο τῆς χώρης τῇ αἵ τε ἐσβολαὶ ἦσαν καὶ τὰ σύντομα τῆς ἐκ Μήδων ὁδοῦ, ἵνα μὴ ἐπιμισγόμενοι οἱ Μῆδοι ἐκμανθάνοιεν αὐτῆς τὰ πρήγματα.

CLXXXVI. Ταῦτα μὲν δὴ ἐκ βάθεος περιεβάλετο, τοιήνδε δὲ ἐξ αὐτῶν παρενθήκην ἐποιήσατο. Τῆς πόλιος ἐούσης δύο φαρσέων, τοῦ δὲ ποταμοῦ μέσον ἔχοντος, ἐπὶ τῶν πρότερον βασιλέων, ὅκως τις ἐθέλοι ἐκ τοῦ ἑτέρου φάρσεος ἐς τοὔτερον διαβῆναι, χρῆν πλοίῳ διαβαίνειν, καὶ ἦν, ὡς ἐγὼ δοκέω, ὀχληρὸν τοῦτο. (2) Αὕτη δὲ καὶ τοῦτο προεῖδε· ἐπείτε γὰρ ὤρυσσε τὸ ἕλυτρον τῇ λίμνῃ, μνημόσυνον τόδε ἄλλο ἀπὸ τοῦ αὐτοῦ ἔργου ἐλίπετο. Ἐτάμνετο λίθους περιμήκεας, ὡς δέ οἱ ἔσαν οἱ λίθοι ἑτοῖμοι καὶ τὸ χωρίον ὀρώρυκτο, ἐκτρέψασα τοῦ ποταμοῦ τὸ ῥέεθρον πᾶν ἐς τὸ ὤρυσσε χωρίον, ἐν ᾧ ἐπίμπλατο τοῦτο, ἐν τούτῳ ἀπεξηραμένου τοῦ ἀρχαίου ῥεέθρου, τοῦτο μὲν τὰ χείλεα τοῦ ποταμοῦ κατὰ τὴν πόλιν καὶ τὰς καταβάσις τὰς ἐκ τῶν πυλίδων ἐς τὸν ποταμὸν φερούσας ἀνοικοδόμησε πλίνθοισι ὀπτῇσι κατὰ τὸν αὐτὸν λόγον τῷ τείχεϊ, τοῦτο δὲ κατὰ μέσην κου μάλιστα τὴν πόλιν τοῖσι λίθοισι τοὺς ὡρύξατο οἰκοδόμεε γέφυραν, δέουσα τοὺς λίθους σιδήρῳ τε καὶ μολίβδῳ. (3) Ἐπιτείνεσκε δὲ ἐπ' αὐτὴν, ὅκως μὲν ἡμέρη γένοιτο, ξύλα τετράγωνα, ἐπ' ὧν τὴν διάβασιν ἐποιεῦντο οἱ Βαβυλώνιοι· τὰς δὲ νύκτας τὰ ξύλα ταῦτα ἀπαίρεσκον τοῦδε εἵνεκεν, ἵνα μὴ διαφοιτέοντες τὰς νύκτας

reliquit, quæ commemorabo; partim, quum Medorum imperium amplum videret nec agens quietem, quod et alia multa oppida ab illis capta essent, et in his Ninus, præmunivit se adversus illos quam maxime potuit. (2) Primum quidem Euphratem fluvium, qui Babylonem perfluit, quum antea recto cursu fluxisset, hunc illa, fossis superne ductis, ita tortuosum reddidit, ut ter in suo cursu ad quempiam Assyriæ vicum perveniat. (3) Ardericca vici nomen est, ad quem ita Euphrates accedit. Et nunc, qui ab hoc nostro mari Babylonem proficiscuntur, quum Euphrate fluvio versus illam descendunt, ter ad eumdem vicum accedunt, et quidem tribus deinceps diebus. (4) Hoc tale ab illa effectum est. Præterea aggerem ad utramque fluvii ripam adgessit miratu dignum, quum latitudinis caussa, tum altitudinis. (5) Longe vero supra Babylonem alveum effodit recipiendo lacui, nonnihil deflectens a flumine; et in altitudinem quidem ubique fodit usque dum aqua scaturiret, in amplitudinem vero circuitum alvei fecit quadringentorum et viginti stadiorum: terram autem ex fossa egestam insumsit in aggeres juxta ripam fluvii jaciendos. (6) Tum, absoluto effodiendi labore, advectis lapidibus, totum alveum circumcirca crepidine munivit. Duo autem ista opera fecit, flumen tortuosum, et ex effosso alveo lacunam, hoc consilio, ut lentius flueret flumen, multis flexibus facto illius impetu, utque flexuosa fieret navigatio Babylonem, et post navigationem exciperet accedentes longus circa lacunam anfractus. (7) Ab ea autem parte terræ Babyloniæ fecit hæc Nitocris, qua erat ex Media introitus et iter brevissimum; ne Medi sese ingerentes, res ipsius specularentur.

CLXXXVI. Has igitur munitiones illa ex profundo sibi circumdedit: quibus tale quoddam corollarium, alteri instituto veluti medium interponens, adjecit. Quum in duas regiones divisa urbs esset, quarum medium fluvius obtinebat; superiorum regum ætate, quoties ex una regione in alteram vellet aliquis transire, navigio erat transeundum. Quod quum, ut equidem existimo, esset molestum, (2) illa huic quoque rei providit. Ut enim alveum stagno recipiendo effodit, simul aliud hoc monumentum ejusdem operæ reliquit. Lapides cædendos curavit permagnos: qui postquam fuere parati, effossusque locus fuit quem dixi, in hunc ipsum effossum locum cursum omnem fluminis avertit; qui locus ut implebatur, ita vetus fluminis alveus exsiccabatur. Igitur per id tempus partim fluvii labia, qua is per urbem decurrit, ac descensus qui ex minoribus portis ad flumen ducunt, coctis lateribus eodem modo, quo murus structus erat, exædificavit: partim, in media fere urbe, ex lapidibus, quos exscindi jusserat, pontem ædificavit, ferro et plumbo lapides vinciens. (3) Eo super ponte interdiu quotidie tigna quadrata intendebantur, quibus transirent Babylonii; noctu vero tollebantur hæc tigna, ea caussa, ne per noctem ex altera urbis regione in alteram

κλέπτοιεν παρ' ἀλλήλων. (4) Ὡς δὲ τό τε ὀρυχθὲν λίμνη πλήρης ἐγεγόνεε ὑπὸ τοῦ ποταμοῦ καὶ τὰ περὶ τὴν γέφυραν ἐκεκόσμητο, τὸν Εὐφρήτην ποταμὸν ἐς τὰ ἀρχαῖα ῥέεθρα ἐκ τῆς λίμνης ἐξήγαγε, καὶ οὕτω τὸ ὀρυχθὲν ἕλος γενόμενον ἐς δέον ἐδόκεε γεγονέναι καὶ τοῖσι πολιήτῃσι γέφυρα ἦν κατεσκευασμένη.

CLXXXVII. Ἡ δ' αὐτὴ αὕτη βασίλεια καὶ ἀπάτην τοιήνδε τινὰ ἐμηχανήσατο. Ὑπὲρ τῶν μάλιστα λεωφόρων πυλέων τοῦ ἄστεος τάφον ἑωυτῇ κατεσκευάσατο μετέωρον ἐπιπολῆς αὐτέων τῶν πυλέων, ἐνεκόλαψε δὲ ἐς τὸν τάφον γράμματα λέγοντα τάδε, « τῶν τις ἐμεῦ ὕστερον γινομένων Βαβυλώνος βασιλέων ἦν σπανίσῃ χρημάτων, ἀνοίξας τὸν τάφον λαβέτω ὁκόσα βούλεται χρήματα. Μὴ μέντοι γε μὴ σπανίσας γε ἄλλως ἀνοίξῃ· οὐ γὰρ ἄμεινον. » (2) Οὗτος ὁ τάφος ἦν ἀκίνητος μέχρι οὗ ἐς Δαρεῖον περιῆλθε ἡ βασιληίη. Δαρείῳ δὲ καὶ δεινὸν ἐδόκεε εἶναι τῇσι πύλῃσι ταύτῃσι μηδὲν χρέεσθαι, καὶ χρημάτων κειμένων, καὶ αὐτῶν τῶν χρημάτων ἐπικαλευμένων, μὴ οὐ λαβέειν αὐτά. Τῇσι δὲ πύλῃσι ταύτῃσι οὐδὲν ἐχρᾶτο τοιῶδε εἵνεκεν, ὅτι ὑπὲρ κεφαλῆς οἱ ἐγίνετο ὁ νεκρὸς διεξελαύνοντι. (3) Ἀνοίξας δὲ τὸν τάφον εὗρε χρήματα μὲν οὔ, τὸν δὲ νεκρὸν καὶ γράμματα λέγοντα τάδε, « εἰ μὴ ἀπληστός τε ἔας χρημάτων καὶ αἰσχροκερδὴς, οὐκ ἂν νεκρῶν θήκας ἀνέῳγες. » Αὕτη μέν νυν ἡ βασίλεια τοιαύτη τις λέγεται γενέσθαι.

CLXXXVIII. Ὁ δὲ δὴ Κῦρος ἐπὶ ταύτης τῆς γυναικὸς τὸν παῖδα ἐστρατεύετο, ἔχοντά τε τοῦ πατρὸς τοῦ ἑωυτοῦ τὸ οὔνομα Λαβυνήτου καὶ τὴν Ἀσσυρίων ἀρχήν. Στρατεύεται δὲ δὴ βασιλεὺς ὁ μέγας καὶ σιτίοισι εὖ ἐσκευασμένος ἐξ οἴκου καὶ προβάτοισι, καὶ δὴ καὶ ὕδωρ ἀπὸ τοῦ Χοάσπεω ποταμοῦ ἅμα ἄγεται τοῦ παρὰ Σοῦσα ῥέοντος, τοῦ μούνου πίνει βασιλεὺς καὶ ἄλλου οὐδενὸς ποταμοῦ. (2) Τούτου δὲ τοῦ Χοάσπεω τοῦ ὕδατος ἀπεψημένου πολλαὶ κάρτα ἅμαξαι τετράκυκλοι ἡμιόνεαι κομίζουσαι ἐν ἀργυρέοισι ἀγγηίοισι ἕπονται, ὀκὴ ἂν ἐλαύνῃ ἑκάστοτε.

CLXXXIX. Ἐπείτε δὲ ὁ Κῦρος πορευόμενος ἐπὶ τὴν Βαβυλῶνα ἐγίνετο ἐπὶ Γύνδῃ ποταμῷ, τοῦ αἱ μὲν πηγαὶ ἐν Ματιηνοῖσι οὔρεσι, ῥέει δὲ διὰ Δαρδανέων, ἐκδιδοῖ δὲ ἐς ἕτερον ποταμὸν Τίγριν, ὁ δὲ παρ' Ὦπιν πόλιν ῥέων ἐς τὴν Ἐρυθρὴν θάλασσαν ἐκδιδᾷ, τοῦτον δὴ τὸν Γύνδην ποταμὸν ὡς διαβαίνειν ἐπειρᾶτο ὁ Κῦρος ἑόντα νηυσιπέρητον, ἐνθαῦτά οἱ τῶν τις ἱρῶν ἵππων τῶν λευκῶν ὑπ' ὕβριος ἐσβὰς ἐς τὸν ποταμὸν διαβαίνειν ἐπειρᾶτο, ὁ δέ μιν συμψήσας ὑποβρύχιον οἰχώκεε φέρων. (2) Κάρτα τε δὴ ἐχαλέπαινε τῷ ποταμῷ ὁ Κῦρος τοῦτο ὑβρίσαντι, καί οἱ ἐπηπείλησε οὕτω δή μιν ἀσθενέα ποιήσειν ὥστε τοῦ λοιποῦ καὶ γυναῖκας μιν εὐπετέως, τὸ γόνυ οὐ βρεχούσας, διαβήσεσθαι. (3) Μετὰ δὲ τὴν ἀπειλὴν μετεὶς τὴν ἐπὶ Βαβυλῶνα στράτευσιν διαιρέε τὴν στρατιὴν δίχα, διελὼν δὲ κατέτεινε σχοινοτενέας ὑποδέξας διώρυχας ὀγδώκοντα καὶ ἑκατὸν παρ' ἑκάτερον τὸ χεῖλος τοῦ Γύνδεω τετραμμέ-

transeuntes furta exercerent. (4) Postquam fossa lacus fuerat factus aqua fluminis repletus, perfectusque pons fuerat; tum deinde Euphrates fluvius in pristinum alveum ex lacu iterum est derivatus: atque ita, quum effossus locus palus fieret, commode hoc recteque factum visum est, et civibus pons erat exstructus.

CLXXXVII. Eadem regina dolum etiam quempiam machinata est hujusmodi. Super porta urbis celeberrima sepulcrum exstrui sibi jussit sublime, in summo ipsius portæ. Ei sepulcro inscriptionem incidi curavit in hanc sententiam: SI QUIS EORUM, QUI POST ME REGES ERUNT BABYLONIS, PECUNIA INDIGUERIT, APERIAT HOC SEPULCRUM, ET SUMAT QUANTUM VOLUERIT PECUNIÆ. AT, NISI ADMODUM INDIGUERIT, UTIQUE NON APERIAT. NEC ENIM ID ILLI PROFUERIT. (2) Hoc sepulcrum intactum stetit, donec regnum ad Darium pervenit. Dario vero indigna res esse videbatur, hac porta non uti, et pecuniam quæ ibi deposita esset, atque etiam ipsa invitaret, non auferre. Porta hac autem non utebatur eo, quod per illam transeunti cadaver capiti immineret. (3) Igitur aperuit sepulcrum: at pecuniam quidem repperit nullam, sed cadaver, et aliam inscriptionem his fere verbis conceptam: NISI INSATIABILIS ESSES ET TURPI LUCRO INHIANS, DEFUNCTORUM LOCULOS NON APERUISSES. Hæc sunt quæ de regione hac memorantur.

CLXXXVIII. Ejusdem hujus reginæ filium, Assyriæ regem, cui nomen erat Labynetus, idem quod patri, bello petiit Cyrus. Proficiscitur autem in bellum rex magnus, bene instructus domo farinaceis cibariis et pecudibus: atque etiam aquam ex Choaspe fluvio secum vehit, qui Susa præterfluit, ex quo solo rex bibit neque ex ullo alio fluvio. (2) Hoc ex Choaspe aquam decoctam vehentes in vasis argenteis quam plurimi currus quadruplices rotarum mulis juncti constanter eum sequuntur quocumque proficiscitur.

CLXXXIX. Cyrus igitur adversus Babylonem proficiscens ubi ad Gynden amnem pervenit; qui fontes in Matianis montibus habens, postquam per Dardanenses perfluit, in alium fluvium Tigrin sese exonerat, qui Opin oppidum præterfluens in Erythræum mare infunditur; hunc Gynden fluvium, qui navibus poterat trajici, quum transire Cyrus conaretur; ibi tunc unus e sacris equis candidis, ferox et petulans ut erat, ingressus flumen, transire conabatur: at fluminis impetus, illum contorquens, demersum abripuit. (2) Cui fluvio vehementer ob hanc contumeliam iratus Cyrus, minatus est, ita tenuem illum se effecturum, ut posthac mulieres etiam, ne genu quidem madefacientes, possint transire. (3) Hæc minatus, omissa adversus Babylonem expeditione, exercitum bifariam divisit: eoque facto, intentis funibus designavit ab utraque Gyndæ ripa centum et octoginta fossas, quaquaversum ducendas; distributam-

νας πάντα τρόπον, διατάξας δὲ τὸν στρατὸν ὀρύσσειν ἐκέλευε. (4) Οἷα δὲ ὁμίλου πολλοῦ ἐργαζομένου ἦνετο μὲν τὸ ἔργον, ὅμως μέντοι τὴν θέρειαν πᾶσαν αὐτοῦ ταύτῃ διέτριψαν ἐργαζόμενοι.

CXC. Ὡς δὲ τὸν Γύνδην ποταμὸν ἐτίσατο Κῦρος ἐς τριηκοσίας καὶ ἑξήκοντά μιν διώρυχας διαλαβών, καὶ τὸ δεύτερον ἔαρ ὑπέλαμπε, οὕτω δὴ ἤλαυνε ἐπὶ τὴν Βαβυλῶνα. (2) Οἱ δὲ Βαβυλώνιοι ἐκστρατευσάμενοι ἐμενον αὐτόν. Ἐπεὶ δὲ ἐγένετο ἐλαύνων ἀγχοῦ τῆς πόλιος, συνέβαλόν τε οἱ Βαβυλώνιοι καὶ ἐσσωθέντες τῇ μάχῃ κατειλήθησαν ἐς τὸ ἄστυ. Οἷα δὲ ἐξεπιστάμενοι ἔτι πρότερον τὸν Κῦρον οὐκ ἀτρεμίζοντα, ἀλλ' ὀρέοντες αὐτὸν παντὶ ἔθνεϊ ὁμοίως ἐπιχειρέοντα, προεσάξαντο σιτία ἐτέων κάρτα πολλῶν. (3) Ἐνθαῦτα οὗτοι μὲν λόγον εἶχον τῆς πολιορκίης οὐδένα, Κῦρος δὲ ἀπορίῃσι ἐνείχετο ἅτε χρόνου τε ἐγγινομένου συχνοῦ ἀνωτέρω τε οὐδὲν τῶν πρηγμάτων προκοπτομένων.

CXCI. Εἴτε δὴ ὦν ἄλλος οἱ ἀπορέοντι ὑπεθήκατο, εἴτε καὶ αὐτὸς ἔμαθε τὸ ποιητέον οἱ ἦν, ἐποίεε δὴ τοιόνδε. Τάξας τὴν στρατιὴν ἅπασαν ἐξ ἐμβολῆς τοῦ ποταμοῦ, τῇ ἐς τὴν πόλιν ἐσβάλλει, καὶ ὄπισθε αὖτις τῆς πόλιος τάξας ἕτερους, τῇ ἐξίει ἐκ τῆς πόλιος ὁ ποταμὸς, προεῖπε τῷ στρατῷ, ὅταν διαβατὸν τὸ ῥέεθρον ἴδωνται γενόμενον, ἐσιέναι ταύτῃ ἐς τὴν πόλιν. (2) Οὕτω τε δὴ τάξας καὶ κατὰ ταῦτα παραινέσας ἀπῆλαυνε αὐτὸς σὺν τῷ ἀχρηίῳ τοῦ στρατοῦ. Ἀπικόμενος δὲ ἐπὶ τὴν λίμνην, τά περ ἡ τῶν Βαβυλωνίων βασίλεια ἐποίησε κατά τε τὸν ποταμὸν καὶ κατὰ τὴν λίμνην, ἐποίεε καὶ ὁ Κῦρος ἕτερα τοιαῦτα· (3) τὸν γὰρ ποταμὸν διώρυχι ἐσαγαγὼν ἐς τὴν λίμνην ἑοῦσαν ἕλος, τὸ ἀρχαῖον ῥέεθρον διαβατὸν εἶναι ἐποίησε, ὑπονοστήσαντος τοῦ ποταμοῦ. Γενομένου δὲ τούτου τοιούτου, οἱ Πέρσαι οἵ περ ἐτετάχατο ἐπ' αὐτῷ τούτῳ κατὰ τὸ ῥέεθρον τοῦ Εὐφρήτεω ποταμοῦ ὑπονενοστηκότος ἀνδρὶ ὡς ἐς μέσον μηρὸν μάλιστά κη, κατὰ τοῦτο ἐσήϊσαν ἐς τὴν Βαβυλῶνα. (4) Εἰ μέν νυν προεπύθοντο οἱ Βαβυλώνιοι ἢ ἔμαθον τὸ ἐκ τοῦ Κύρου ποιεύμενον, οὐκ ἂν περιιδόντες τοὺς Πέρσας ἐσελθεῖν ἐς τὴν πόλιν διέφθειραν κάκιστα· κατακλήσαντες γὰρ ἂν πάσας τὰς ἐς τὸν ποταμὸν πυλίδας ἐχούσας, καὶ αὐτοὶ ἐπὶ τὰς αἰμασιὰς ἀναβάντες τὰς παρὰ τὰ χείλεα τοῦ ποταμοῦ ἑλκυσμένας, ἕλαβον ἂν σφέας ὡς ἐν κύρτῃ. (5) Νῦν δὲ ἐξ ἀπροσδοκήτου σφι παρέστησαν οἱ Πέρσαι· ὑπὸ δὲ μεγάθεος τῆς πόλιος, ὡς λέγεται ὑπὸ τῶν ταύτῃ οἰκημένων, τῶν περὶ τὰ ἔσχατα τῆς πόλιος ἁλωκότων τοὺς τὸ μέσον οἰκέοντας τῶν Βαβυλωνίων οὐ μανθάνειν ἁλωκότας, ἀλλὰ τυχεῖν γάρ σφι ἑοῦσαν ὁρτὴν, χορεύειν τε τοῦτον τὸν χρόνον καὶ ἐν εὐπαθείῃσι εἶναι, ἐς ὃ δὴ καὶ τὸ κάρτα ἐπύθοντο. Καὶ Βαβυλὼν μὲν οὕτω τότε πρῶτον ἁραίρητο.

CXCII. Τὴν δὲ δύναμιν τῶν Βαβυλωνίων πολλοῖσι μὲν καὶ ἄλλοισι δηλώσω ὅση τις ἐστὶ, ἐν δὲ δὴ καὶ τῷδε. Βασιλεῖ τῷ μεγάλῳ ἐς τροφὴν αὐτοῦ τε καὶ τῆς στρατιῆς διαραίρηται, πάρεξ τοῦ φόρου, γῆ πᾶσα ὅσης

que exercitum has fossas fodere jussit. (4) Igitur, magna hominum multitudine opus faciente, effectum quidem est opus; verumtamen totam æstatem in eodem hoc loco opus facientes consumsere.

CXC. Postquam Gyndæ fluvio hanc pœnam inflixit Cyrus, ut in trecentos sexaginta canales esset diductus, altero demum adpetente vere adversus Babylonem exercitum duxit. (2) Et Babylonii; copiis extra urbem eductis, eum exspectarunt. Ubi propius urbem accessit, prælio cum eo conflixerunt Babylonii, quo prælio superati, in urbem sunt compulsi. Jam pridem vero, bene gnari non quieturum Cyrum, quum vidissent eum cunctos pariter populos adgredi, permultorum annorum commeatum in urbem comportaverant. (3) Quare hi quidem non admodum graviter ferebant obsidionem : at Cyrus magnis difficultatibus premebatur, quandoquidem multo jam tempore circumacto nihil admodum promotæ res ejus erant.

CXCI. Igitur, sive quis alius ei dubitanti consilium subgessit, sive ipse quid faciendum esset intellexit, hoc facere instituit. Universo exercitu circa flumen disposito, ab ea maxime parte qua urbem influit, partim vero etiam a tergo ubi ex urbe egreditur, prædixit militibus, ut, quum viderint vado transiri flumen posse, tunc ea via urbem ingrediantur. (2) Hoc dato mandato, ipse cum inutili copiarum parte abiit, et ad lacunam contendit. Quo ut pervenit, quod Babyloniorum regina circa flumen et circa paludem fecerat, idem nunc ipse Cyrus fecit. (3) Fluvio per fossam in eum locum, qui nunc palus erat, derivato, pristinum alveum vado pervium reddidit, subsidente aqua. Quo facto Persæ, qui ad hoc ipsum ibi dispositi erant, per alveum Euphratis flavii, cujus aqua in tantum retrogressa erat, ut vix medium femur hominis attingeret, per hunc alveum Babylonem sunt ingressi. (4) Quodsi igitur aut ante cognovissent aut animadvertissent Babylonii quæ Cyrus instituebat, sane non passi essent Persas urbem intrare, sed misere perdidissent. Quippe si portulas omnes, quæ ad flumen pertinent, clausissent, ipsique macerias conscendissent secundum utramque fluminis ripam ductas, veluti in nassa capturi illos fuerant. (5) Nunc ex inopinato adstiterunt eis Persæ. Propter amplitudinem vero urbis, ut aiunt ejus incolæ, postquam captæ jam erant extremæ urbis partes, qui mediam Babylonem incolebant, non animadverterunt captos se esse; sed quum festus forte tunc ageretur dies, saltabant per id tempus et voluptatibus indulgebant, donec tandem verum resciverunt. Atque ita quidem tunc primum capta est Babylon.

CXCII. Opes autem quantæ sint Babyloniorum, quum aliis documentis declarabo, tum hoc. Magno regi, præter tributa quæ ei penduntur, universa terra cui imperat, ad alendum ipsum et exercitum ejus, in certas partes est

ἄρχει. (2) Δυώδεκα ὧν μηνῶν ἐόντων ἐς τὸν ἐνιαυτὸν τοὺς τέσσερας μῆνας τρέφει μιν ἡ Βαβυλωνίη χώρη, τοὺς δὲ ὀκτὼ τῶν μηνῶν ἡ λοιπὴ πᾶσα Ἀσίη. Οὕτω τριτημορίη ἡ Ἀσσυρίη χώρη τῇ δυνάμι τῆς ἄλλης Ἀσίης. (3) Καὶ ἡ ἀρχὴ τῆς χώρης ταύτης, τὴν οἱ Πέρσαι σατραπηίην καλεῦσι, ἐστὶ ἁπασέων τῶν ἀρχέων πολλόν τι κρατίστη, ὅκου Τριτανταίχμῃ τῷ Ἀρταβάζου ἐκ βασιλέος ἔχοντι τὸν νομὸν τοῦτον ἀργυρίου μὲν προσήϊε ἑκάστης ἡμέρης ἀρτάβη μεστή (ἡ δὲ ἀρτάβη μέτρον ἐὸν Περσικὸν χωρέει μεδίμνου Ἀττικῆς πλεῦν χοίνιξι τρισὶ Ἀττικῇσι), ἵπποι δέ οἱ αὐτοῦ ἦσαν ἰδίῃ, πάρεξ τῶν πολεμιστηρίων, οἱ μὲν ἀναβαίνοντες τὰς θηλέας ὀκτακόσιοι, αἱ δὲ βαινόμεναι ἑξακισχίλιαι καὶ μύριαι· ἀνέβαινε γὰρ ἕκαστος τῶν ἐρσένων τούτων εἴκοσι ἵππους. (4) Κυνῶν δὲ Ἰνδικῶν τοσοῦτο δή τι πλῆθος ἐτρέφετο ὥστε τέσσερες τῶν ἐν τῷ πεδίῳ κῶμαι μεγάλαι, τῶν ἄλλων ἐοῦσαι ἀτελέες, τοῖσι κυσὶ προσετετάχατο σιτία παρέχειν. Τοιαῦτα μὲν τῷ ἄρχοντι τῆς Βαβυλῶνος ὑπῆρχε ἐόντα.

CXCIII. Ἡ δὲ γῆ τῶν Ἀσσυρίων ὕεται μὲν ὀλίγῳ, καὶ τὸ ἐκτρέφον τὴν ῥίζαν τοῦ σίτου ἐστὶ τοῦτο· ἀρδόμενον μέντοι ἐκ τοῦ ποταμοῦ ἀρύνεταί τε τὸ λῆϊον καὶ παραγίνεται ὁ σῖτος, οὐ κατά περ ἐν Αἰγύπτῳ αὐτοῦ τοῦ ποταμοῦ ἀναβαίνοντος ἐς τὰς ἀρούρας, ἀλλὰ χερσί τε καὶ κηλωνηΐοισι ἀρδόμενος. (2) Ἡ γὰρ Βαβυλωνίη χώρη πᾶσα, κατά περ ἡ Αἰγυπτίη, κατατέτμηται ἐς διώρυχας· καὶ ἡ μεγίστη τῶν διωρύχων ἐστὶ νηυσιπέρητος, πρὸς ἥλιον τετραμμένη τὸν χειμερινόν, ἐσέχει δὲ ἐς ἄλλον ποταμὸν ἐκ τοῦ Εὐφρήτεω, ἐς τὸν Τίγριν, παρ' ὃν Νίνος πόλις οἴκητο. (3) Ἔστι δὲ χωρέων αὕτη ἁπασέων μακρῷ ἀρίστη τῶν ἡμεῖς ἴδμεν Δήμητρος καρπὸν ἐκφέρειν· τὰ γὰρ δὴ ἄλλα δένδρεα οὐδὲ πειρᾶται ἀρχὴν φέρειν, οὔτε συκέην οὔτε ἄμπελον οὔτε ἐλαίην. Τὸν δὲ τῆς Δήμητρος καρπὸν ὧδε ἀγαθὴ ἐκφέρειν ἐστὶ ὥστε ἐπὶ δικόσια μὲν τὸ παράπαν ἀποδιδοῖ, ἐπεὰν δὲ ἄριστα αὐτὴ ἑωυτῆς ἐνείκῃ, ἐπὶ τριηκόσια ἐκφέρει. (4) Τὰ δὲ φύλλα αὐτόθι τῶν τε πυρῶν καὶ τῶν κριθέων τὸ πλάτος γίνεται τεσσέρων εὐπετέως δακτύλων. Ἐκ δὲ κέγχρου καὶ σησάμου ὅσον τι δένδρεον μέγαθος γίνεται, ἐξεπιστάμενος μνήμην οὐ ποιήσομαι, εὖ εἰδὼς ὅτι τοῖσι μὴ ἀπιγμένοισι ἐς τὴν Βαβυλωνίην χώρην καὶ τὰ εἰρημένα καρπῶν ἐχόμενα ἐς ἀπιστίην πολλὴν ἀπῖκται. Χρέονται δὲ οὐδὲν ἐλαίῳ, ἀλλ' ἐκ τῶν σησάμων ποιεῦνται. (5) Εἰσὶ δέ σφι φοίνικες πεφυκότες ἀνὰ πᾶν τὸ πεδίον, οἱ πλεῦνες αὐτῶν καρποφόροι, ἐκ τῶν καὶ σιτία καὶ οἶνον καὶ μέλι ποιεῦνται· τοὺς συκέεων τρόπον θεραπεύουσι τά τε ἄλλα, καὶ φοινίκων τοὺς ἔρσενας Ἕλληνες καλεῦσι, τούτων τὸν καρπὸν περιδέουσι τῇσι βαλανηφόροισι τῶν φοινίκων, ἵνα πεπαίνῃ τέ αφι ὁ ψὴν τὴν βάλανον ἐσδύνων καὶ μὴ ἀπορρέῃ ὁ καρπὸς τοῦ φοίνικος· ψῆνας γὰρ δὴ φορέουσι ἐν τῷ καρπῷ οἱ ἔρσενες κατά περ οἱ ὄλυνθοι.

CXCIV. Τὸ δὲ ἁπάντων θῶμα μέγιστόν μοί ἐστι τῶν ταύτῃ μετά γε αὐτὴν τὴν πόλιν, ἔρχομαι φράσων.

distributa. (2) Jam quum in anno duodecim sint menses, per quattuor menses alit eum Babylonia terra; per octo reliquos menses, tota reliqua Asia. Ita Assyria hæc terra tertiam partem possidet opum totius Asiæ: (3) et præfectura hujus regionis (Satrapias Persæ vocant) omnium præfecturarum longe est præstantissima; quandoquidem Tritantæchmæ, Artabazi filio, cui hic districtus a rege commissus erat, quotidie redibat artaba pecunia repleta: est autem artaba mensura Persica, capiens medimnum Atticum cum tribus chœnicibus Atticis. Equos autem ibidem rex suum in usum alebat, exceptis his qui ad belli usum erant destinati, admissarios quidem octingentos, equas autem, quibus illi admittebantur, decies sexies mille; nam singuli mares vicenis feminis admittebantur. (4) Canum autem Indicorum tanta alebatur multitudo, ut quattuor essent ampli vici in planitie siti, aliorum tributorum immunes, quibus hoc injunctum erat, ut canes illos alerent. Has opes possidebat is, qui Babyloni imperabat.

CXCIII. In agro Assyriaco pluit quidem aliquantulum, et hoc est ex quo radix frumenti primum capit nutrimentum; dein vero ex fluvio irrigata seges augetur, et maturescit triticum, non quod fluvius ipse, sicut in Ægypto, arva inundet, sed manibus hominum et tollenonibus hæc irrigantur. (2) Est enim tota Babylonia terra fossis discissa: quarum fossarum maxima, orienti hiberno obversa, navibus trajicitur; influit autem ex Euphrate in alium fluvium, Tigrin, ad quem Ninus urbs ædificata erat. (3) Est autem hæc regio omnium, quas quidem novimus, longe fertilissima ferendo cereali frumento. Nam alias fruges ex arboribus ne conatur quidem proferre, nec ficum, nec vitem progignens, nec oleam. Sed cereali frumento progignendo ita opportunum solum est, ut ducena plerumque reddat: quando vero plurimum, etiam tricena profert. (4) Folia autem tritici atque hordei quattuor admodum digitorum latitudinem habent. Ex milio et sesamo quantæ magnitudinis arbor existat, bene equidem cognitum habens, commemorare nolo; satis gnarus, eos qui Babyloniam terram non adierunt, ne his quidem, quæ de aliis frumenti generibus dicta sunt, fidem ullam adhibituros. Oleo non utuntur, nisi quod e sesamo paratur. (5) Palmas vero arbores habent, per totam planitiem plantatas; quarum pleræque frugiferæ sunt, e quibus et cibum et vinum et mel parant. Has arbores colunt fictum more, quum aliis rebus, tum quod masculariim quas Græci vocant palmarum fructum glandiferis palmis circumligant, quo glandem maturet culex sese insinuans, nec decidat fructus palmæ. Nam culices in suo fructu generant masculæ palmæ, similiter ut apud nos caprificorum grossi.

CXCIV. Quod vero eorum quæ sunt in illa regione, post ipsam quidem urbem, maxime mihi mirabile visum

Τὰ πλοῖα αὐτοῖσί ἐστι τὰ κατὰ τὸν ποταμὸν πορευόμενα ἐς τὴν Βαβυλῶνα ἐόντα κυκλοτερέα πάντα σκύτινα. (2) Ἐπεὰν γὰρ ἐν τοῖσι Ἀρμενίοισι τοῖσι κατύπερθε Ἀσσυρίων οἰκημένοισι νομέας ἰτέης ταμόμενοι ποιήσωνται, περιτείνουσι τούτοισι διφθέρας στεγαστρίδας ἔξωθεν ἐδάφεος τρόπον, οὔτε πρύμνην ἀποκρίνοντες οὔτε πρῴρην συνάγοντες, ἀλλ' ἀσπίδος τρόπον κυκλοτερέα ποιήσαντες καὶ καλάμης πλήσαντες πᾶν τὸ πλοῖον τοῦτο ἀπιεῖσι κατὰ τὸν ποταμὸν φέρεσθαι, φορτίων πλήσαντες· μάλιστα δὲ βίκους φοινικηίου κατάγουσι οἴνου πλέους. (3) Ἰθύνεται δὲ ὑπό τε δύο πλήκτρων καὶ δύο ἀνδρῶν ὀρθῶν ἑστεώτων, καὶ ὁ μὲν ἔσω ἕλκει τὸ πλῆκτρον, ὁ δὲ ἔξω ὠθέει. Ποιέεται δὲ καὶ κάρτα μεγάλα ταῦτα τὰ πλοῖα καὶ ἐλάσσω· τὰ δὲ μέγιστα αὐτῶν καὶ πεντακισχιλίων ταλάντων γόμον ἔχει. (4) Ἐν ἑκάστῳ δὲ πλοίῳ ὄνος ζωὸς ἔνεστι, ἐν δὲ τοῖσι μέζοσι πλεῦνες. Ἐπεὰν ὦν ἀπίκωνται πλώοντες ἐς τὴν Βαβυλῶνα καὶ διαθέωνται τὸν φόρτον, νομέας μὲν τοῦ πλοίου καὶ τὴν καλάμην πᾶσαν ἀπ' ὧν ἐκήρυξαν, τὰς δὲ διφθέρας ἐπισάξαντες ἐπὶ τοὺς ὄνους ἀπελαύνουσι ἐς τοὺς Ἀρμενίους. (5) Ἀνὰ τὸν ποταμὸν γὰρ δὴ οὐκ οἷά τέ ἐστι πλώειν οὐδενὶ τρόπῳ ὑπὸ τάχεος τοῦ ποταμοῦ· διὰ γὰρ ταῦτα καὶ οὐκ ἐκ ξύλων ποιεῦνται τὰ πλοῖα, ἀλλ' ἐκ διφθερέων. (6) Ἐπεὰν δὲ τοὺς ὄνους ἐλαύνοντες ἀπίκωνται ὀπίσω ἐς τοὺς Ἀρμενίους, ἄλλα τρόπῳ τῷ αὐτῷ ποιεῦνται πλοῖα. Τὰ μὲν δὴ πλοῖα αὐτοῖσί ἐστι τοιαῦτα.

CXCV. Ἐσθῆτι δὲ τοιῇδε χρέονται, κιθῶνι ποδηνεκεῖ λινέῳ· καὶ ἐπὶ τοῦτον ἄλλον εἰρίνεον κιθῶνα ἐπενδύνει καὶ χλανίδιον λευκὸν περιβαλλόμενος, ὑποδήματα ἔχων ἐπιχώρια, παραπλήσια τῇσι Βοιωτίῃσι ἐμβάσι. Κομέοντες δὲ τὰς κεφαλὰς μίτρῃσι ἀναδέονται, μεμυρισμένοι πᾶν τὸ σῶμα. (2) Σφρηγῖδα δ' ἕκαστος ἔχει καὶ σκῆπτρον χειροποίητον· ἐπ' ἑκάστῳ δὲ σκήπτρῳ ἔπεστι πεποιημένον ἢ μῆλον ἢ ῥόδον ἢ κρίνον ἢ αἰετὸς ἢ ἄλλο τι· ἄνευ γὰρ ἐπισήμου οὔ σφι νόμος ἐστὶ ἔχειν σκῆπτρον. Αὕτη μὲν δή σφι ἄρτισις περὶ τὸ σῶμα ἐστί.

CXCVI. Νόμοι δὲ αὐτοῖσι ὧδε κατεστέασι· ὁ μὲν σοφώτατος ὅδε κατὰ γνώμην τὴν ἡμετέρην, τῷ καὶ Ἰλλυριῶν Ἐνετοὺς πυνθάνομαι χρέεσθαι. Κατὰ κώμας ἑκάστας ἅπαξ τοῦ ἔτεος ἑκάστου ἐποιέετο τάδε. (2) Ὡς ἂν αἱ παρθένοι γινοίατο γάμων ὡραῖαι, ταύτας ὅκως συναγάγοιεν πάσας, ἐς ἓν χωρίον ἐσάγεσκον ἁλέας, πέριξ δὲ αὐτὰς ἵστατο ὄμιλος ἀνδρῶν, ἀνιστὰς δὲ κατὰ μίαν ἑκάστην κῆρυξ πωλέεσκε, πρῶτα μὲν τὴν εὐειδεστάτην ἐκ πασέων· μετὰ δὲ, ὅκως αὕτη εὑροῦσα πολλὸν χρυσίον πρηθείη, ἄλλην ἀνεκήρυσσε ἡ μετ' ἐκείνην ἔσκε εὐειδεστάτη. Ἐπωλέοντο δὲ ἐπὶ συνοικήσι. (3) Ὅσοι μὲν δὴ ἔσκον εὐδαίμονες τῶν Βαβυλωνίων ἐπίγαμοι, ὑπερβάλλοντες ἀλλήλους ἐξωνέοντο τὰς καλλιστευούσας· ὅσοι δὲ τοῦ δήμου ἔσκον ἐπίγαμοι, οὗτοι δὲ εἶδεος μὲν οὐδὲν ἐδέοντο χρηστοῦ, οἱ δ' ἂν χρήματά τε καὶ αἰσχίονας παρθένους ἐλάμβανον. (4) Ὡς γὰρ δὴ διεξέλθοι ὁ κῆρυξ πωλέων τὰς εὐειδεστάτας

est, exponere adgredior. Navigia, quibus utuntur qui secundo flumine Babylonem proficiscuntur, rotunda sunt, et ex corio confecta cuncta. (2) Scilicet in Armeniis, qui supra Assyrios incolunt, ex sectis salicibus costas conficiunt: his, fundi loco, pelles extrinsecus tectorias prætendunt, nec puppim distinguentes, nec proram in angustius contrahentes, sed clypei instar rotunda facientes navigia. Tale navigium, mercibus impositis, totum stramine complent, et flumini permittunt deferendum: maxime vero dolia palmeo vino onusta devehunt. (3) Regitur autem navis duobus remis, a duobus viris, quorum alter introrsus trahit remum, alter extrorsus pellit, uterque stans rectus. Conficiuntur autem hujusmodi navigia etiam admodum magna, itemque minora: et maxima quidem onus ferunt quinque millium talentorum. (4) In quoque navigio asinus inest vivus, in majoribus plures. Postquam igitur navi Babylonem pervenerunt, mercesque distraxerunt, tum et costas navigii et stramentum venumdant; pelles vero asinis imponunt, hosque retro agunt in Armeniam. (5) Nam adverso flumine navigari nullo pacto potest, propter fluminis impetum: quam ob caussam etiam non ex ligno, sed ex pellibus, conficiunt navigia. (6) Postquam asinos agitando in Armeniam redierunt, alia navigia eodem modo conficiunt. Talis igitur illis est navigiorum ratio.

CXCV. Vestimento autem utuntur hujusmodi: tunica ad pedes promissa linea, cui aliam superinduunt tunicam laneam, tum candidam pœnulam superne circumjiciunt. Calceamenta gestant sui moris, Bœotiis soccis fere similia. Comam alunt; mitris caput redimiunt: toto corpore unguntur. (2) Annulum signatorium unusquisque gestat, et baculum arte factum: in quoque baculo superne vel malum est fabrefactum, vel rosa, vel lilium, vel aquila, aut aliud quidpiam: nec enim illis mos est baculum absque insigni gestare. Talis igitur illis est corporis cultus.

CXCVI. Institutis vero utuntur hujusmodi. Uno quidem hoc, ut mea fert sententia, prudentissimo; quo etiam Venetos uti, Illyricum populum, fando accepi. In singulis vicis, semel quotannis, hæc faciebant. (2) Virgines, quotquot viro maturæ essent, congregatas simul omnes, in unum locum deducebant: ibi eas virorum circulus circumstabat. Tunc præco singulas deinceps, quamque sigillatim, in medio statuens venum exponebat; incipiens ab ea quæ omnium pulcerrima esset: deinde, hac magno auri pretio venum data, aliam proclamabat, quæ huic venustate formæ proxima erat. Vendebantur autem hac conditione, ut matrimonio jungerentur. (3) Igitur ex Babyloniis nuptiarum cupidis quicumque erant locupletes, hi licitando quisque alterum superantes emebant sibi formosissimas: qui vero de plebe erant, hi formæ speciem nihil curantes, pecuniam accipiebant et virgines deformiores. (4) Nam præco, postquam speciosissimarum virgi-

τῶν παρθένων, ἀνίστα ἂν τὴν ἀμορφεστάτην ἢ εἴ τις αὐτέων �έμπηρος ἦν, καὶ ταύτην ἀνεκήρυσσε, ὅστις θέλοι ἐλάχιστον χρυσίον λαβὼν συνοικέειν αὐτῇ, ἐς ὃ τῷ τὸ ἐλάχιστον ὑπισταμένῳ προσεκέετο. Τὸ δὲ ἂν χρυσίον ἐγίνετο ἀπὸ τῶν εὐειδέων παρθένων, καὶ οὕτω αἱ εὔμορφοι τὰς ἀμόρφους καὶ ἐμπήρους ἐξεδίδοσαν. (5) Ἐκδοῦναι δὲ τὴν ἑωυτοῦ θυγατέρα ὅτεῳ βούλοιτο ἕκαστος οὐκ ἐξῆν, οὐδὲ ἄνευ ἐγγυητέω ἀπαγαγέσθαι τὴν παρθένον πριάμενον, ἀλλ' ἐγγυητὰς χρῆν καταστήσαντα ἢ μὲν συνοικήσειν αὐτῇ, οὕτω ἀπάγεσθαι. Εἰ δὲ μὴ συμφεροίατο, ἀποφέρειν τὸ χρυσίον ἐκέετο νόμος. Ἐξῆν δὲ καὶ ἐξ ἄλλης ἐλθόντα κώμης τὸν βουλόμενον ὠνέεσθαι. (6) Ὁ μέν νυν κάλλιστος νόμος οὗτός σφι ἦν, οὐ μέντοι νῦν γε διετέλεσε ἐών, ἄλλο δέ τι ἐξευρήκασι νεωστὶ γενέσθαι, ἵνα μὴ ἀδικέοιεν αὐτὰς μηδ' ἐς ἑτέρην πόλιν ἄγωνται· ἐπείτε γὰρ ἁλόντες ἐκακώθησαν καὶ οἰκοφθορήθησαν, πᾶς τις τοῦ δήμου βίου σπανίζων καταπορνεύει τὰ θήλεα τέκνα.

CXCVII. Δεύτερος δὲ σοφίῃ ὅδε ἄλλος σφι νόμος κατέστηκε. Τοὺς κάμνοντας ἐς τὴν ἀγορὴν ἐκφορέουσι· οὐ γὰρ δὴ χρέονται ἰητροῖσι. Προσιόντες ὦν πρὸς τὸν κάμνοντα συμβουλεύουσι περὶ τῆς νούσου, εἴ τις καὶ αὐτὸς τοιοῦτο ἔπαθε ὁκοῖον ἔχει ὁ κάμνων, ἢ ἄλλον εἶδε παθόντα· ταῦτα προσιόντες συμβουλεύουσι καὶ παραινέουσι, ἅσσα αὐτὸς ποιήσας ἐξέφυγε ὁμοίην νοῦσον ἢ ἄλλον εἶδε ἐκφυγόντα. Σιγῇ δὲ παρεξελθεῖν τὸν κάμνοντα οὐ σφι ἔξεστι, πρὶν ἂν ἐπείρηται ἥντινα νοῦσον ἔχει.

CXCVIII. Ταφαὶ δέ σφι ἐν μέλιτι, θρῆνοι δὲ παραπλήσιοι τοῖσι ἐν Αἰγύπτῳ. Ὁσάκις δ' ἂν μιχθῇ γυναικὶ τῇ ἑωυτοῦ ἀνὴρ Βαβυλώνιος, περὶ θυμίημα καταγιζόμενον ἵζει, ἑτέρωθι δὲ ἡ γυνὴ τὠυτὸ τοῦτο ποιέει. Ὀρθρου δὲ γενομένου λοῦνται καὶ ἀμφότεροι· ἄγγεος γὰρ οὐδενὸς ἅψονται πρὶν ἂν λούσωνται. Ταὐτὰ καὶ Ἀράβιοι ποιεῦσι.

CXCIX. Ὁ δὲ δὴ αἴσχιστος τῶν νόμων ἐστὶ τοῖσι Βαβυλωνίοισι ὅδε. Δεῖ πᾶσαν γυναῖκα ἐπιχωρίην ἱζομένην ἐς ἱρὸν Ἀφροδίτης ἅπαξ ἐν τῇ ζόῃ μιχθῆναι ἀνδρὶ ξείνῳ. (2) Πολλαὶ δὲ καὶ οὐκ ἀξιεύμεναι ἀναμίσγεσθαι τῇσι ἄλλῃσι οἷα πλούτῳ ὑπερφρονέουσαι, ἐπὶ ζευγέων ἐκ καμάρῃσι ἐλάσασαι πρὸς τὸ ἱρὸν ἑστᾶσι, θεραπηίη δὲ σφι ὄπισθε ἕπεται πολλή. (3) Αἱ δὲ πλεῦνες ποιεῦσι ὧδε. Ἐν τεμένεϊ Ἀφροδίτης κατέαται στέφανον περὶ τῇσι κεφαλῇσι ἔχουσαι θώμιγγος πολλαὶ γυναῖκες· αἱ μὲν γὰρ προσέρχονται, αἱ δὲ ἀρπέρχονται· σχοινοτενέες δὲ διέξοδοι πάντα τρόπον ὁδῶν ἔχουσι διὰ τῶν γυναικῶν, δι' ὧν οἱ ξεῖνοι διεξιόντες ἐκλέγονται. (4) Ἔνθα ἐπεὰν ἵζηται γυνή, οὐ πρότερον ἀπαλλάσσεται ἐς τὰ οἰκία ἡ τίς οἱ ξείνων ἀργύριον ἐμβαλὼν ἐς τὰ γούνατα μιχθῇ ἔξω τοῦ ἱροῦ. (5) Ἐμβαλόντα δὲ δεῖ εἶπαι τοσόνδε, « ἐπικαλέω τοι τὴν θεὸν Μύλιττα· » Μύλιττα δὲ καλεῦσι τὴν Ἀφροδίτην Ἀσσύριοι. Τὸ δὲ ἀργύριον μέγαθός ἐστι ὁσονῶν· οὐ γὰρ

num peregerat venditionem, tum vero deformissimam excitabat, aut si qua illarum manca esset, et hanc proclamabat quis vellet, accepto minimo auri pondere, in matrimonium ducere; et, qui minimo se contentum fore declarasset, ei hæc tradebatur. Aurum autem conficiebatur a formosioribus virginibus : atque ita formosiores elocabant deformes et mancas. (5) Nemini autem licitum erat, filiam suam cui ipse vellet in matrimonium dare : neque emptori absque fidejussore domum ducere virginem licebat; sed dato prædе spondere quisque tenebatur, in matrimonium se eam utique accepturum, et sic demum abducere secum licebat : si sibi mutuo non convenissent, lege cautum erat ut pecuniam acceptam sponsus repræsentaret. Licitum vero etiam erat homini, qui ex alio vico adfuisset, aliquam ex virginibus, si quam vellet, sibi emere. (6) Hoc igitur pulcerrimum institutum apud eos olim valebat. At nunc quidem non amplius est in usu : sed recens aliud quiddam invenerunt, ne injuria adficerentur filiæ aut in aliam civitatem abducerentur : ubi capta urbe malis premi cœperunt, resque eorum perditæ sunt, quilibet homo de plebe, inopia victus laborans, filias suas ad quæstum corpore faciendum adigit.

CXCVII. Alio, post istud, prudenti instituto utuntur hocce. Ægrotos in forum publicum exportant; medicis enim non utuntur : ibi accedunt ad ægrotum, eique de curando morbo consulunt, si quis vel eodem morbo, quo ille, olim laboravit, aut alium vidit laborantem. Adeuntes igitur consulunt huic ea suadentque, quibus quisque remediis adhibitis vel ipse morbum evaserat, vel alium vidit evasisse. Silentio vero præterire ægrotum nemini licet, quin eum interrogaverit quonam morbo laboret.

CXCVIII. Mortuos melle condunt. Luctus funebres, Ægyptiis similes. Quoties cum uxore sua concubuit vir Babylonius, incenso thuri adsidet, et ex alia parte idem facit mulier : tum, ubi illucescit, lavantur ambo; nullum enim vas tangunt priusquam se abluerint. Idem institutum Arabes sequuntur.

CXCIX. Est autem institutorum, quibus Babylonii utuntur, turpissimum hocce. Quamlibet indigenam mulierem oportet, in Veneris templo sedentem, semel in vita cum peregrino viro consuetudinem habere. (2) Multæ igitur, dedignantes ceteris se immiscere mulieribus, quippe divitiis superbientes, plaustris vectæ in camaris stant ad templum, et ingens illas famularum numerus sequitur. (3) Pleræque autem hoc modo faciunt. In septo Veneri consecrato sedent corona funiculi modo torta caput redimitæ mulieres numero multæ; aliæ enim adveniunt, aliæ abeunt. Sunt autem per medias mulieres transitus viarum ad lineam quaquaversum directi, quibus transeuntes viri seligunt quas volunt. (4) Ibi postquam consedit mulier, non prius domum abit, quam peregrinorum quispiam, pecunia in sinum conjecta, cum ea extra fanum concubuit. (5) Qui pecuniam ei projicit, is compellare eam his verbis debet : « Mylitta deam, ut tibi adsit, precor. » Mylitta autem Venerem vocant Assyrii. Pecunia vero quantulacunque

μὴ ἀπώσηται· οὐ γάρ οἱ θέμις ἐστί· γίνεται γὰρ ἱρὸν τοῦτο τὸ ἀργύριον. (6) Τῷ δὲ πρώτῳ ἐμβαλόντι ἕπεται, οὐδὲ ἀποδοχιμᾷ οὐδένα. Ἐπεὰν δὲ μιχθῇ, ἀποσωσαμένη τῇ θεῷ ἀπαλλάσσεται ἐς τὰ οἰκία, καὶ τὸ ἀπὸ τούτου οὐκ οὕτω μέγα τί οἱ δώσεις ὥς μιν λάμψεαι. (7) Ὅσαι μέν νυν εἰδεός τε ἐπαμμέναι εἰσὶ καὶ μεγάθεος, ταχὺ ἀπαλλάσσονται, ὅσαι δὲ ἄμορφοι αὐτέων εἰσί, χρόνον πολλὸν προσμένουσι οὐ δυνάμεναι τὸν νόμον ἐκπλῆσαι· καὶ γὰρ τριέτεα καὶ τετραέτεα μετεξέτεραι χρόνον μένουσι. Ἐνιαχῇ δὲ καὶ τῆς Κύπρου ἐστὶ παραπλήσιος τούτῳ νόμος.

CC. Νόμοι μὲν δὴ τοῖσι Βαβυλωνίοισι οὗτοι κατεστέασι, εἰσὶ δὲ αὐτῶν πατριαὶ τρεῖς αἳ οὐδὲν ἄλλο σιτέονται εἰ μὴ ἰχθῦς μοῦνον, τοὺς ἐπείτε ἂν θηρεύσαντες αὐήνωσι πρὸς ἥλιον, ποιεῦσι τάδε· ἐσβάλλουσι ἐς ὅλμον, καὶ λεήναντες ὑπέροισι σῶσι διὰ σινδόνος, καὶ ὃς μὲν ἂν βούληται αὐτῶν, ἄτε μᾶζαν μαξάμενος ἔχει, ὁ δὲ ἄρτου τρόπον ὀπτήσας.

CCI. Ὡς δὲ τῷ Κύρῳ καὶ τοῦτο τὸ ἔθνος κατέργαστο, ἐπεθύμησε Μασσαγέτας ὑπ' ἑωυτῷ ποιήσασθαι. Τὸ δὲ ἔθνος τοῦτο καὶ μέγα λέγεται εἶναι καὶ ἄλκιμον, οἰκημένον δὲ πρὸς ἠῶ τε καὶ ἡλίου ἀνατολὰς, πέρην τοῦ Ἀράξεω ποταμοῦ, ἀντίον δὲ Ἰσσηδόνων ἀνδρῶν. Εἰσὶ δὲ οἵτινες καὶ Σκυθικὸν λέγουσι τοῦτο τὸ ἔθνος εἶναι.

CCII. Ὁ δὲ Ἀράξης λέγεται καὶ μέζων καὶ ἐλάσσων εἶναι τοῦ Ἴστρου. Νήσους δ' ἐν αὐτῷ Λέσβῳ μεγάθεα παραπλησίας συχνάς φασι εἶναι, ἐν δὲ αὐτῇσι ἀνθρώπους οἳ σιτέονται μὲν ῥίζας τὸ θέρος ὀρύσσοντες παντοίας, καρποὺς δὲ ἀπὸ δενδρέων ἐξευρημένους σφι ἐς φορβὴν κατατίθεσθαι ὡραίους, καὶ τούτους σιτέεσθαι τὴν χειμερινήν. (2) Ἄλλα δέ σφι ἐξευρῆσθαι δένδρεα καρποὺς τοιούσδε τινὰς φέροντα, τοὺς ἐπείτε ἂν ἐς τὠυτὸ συνέλθωσι κατὰ εἵλας καὶ πῦρ ἀνακαύσωνται κύκλῳ περιζομένους ἐπιβάλλειν ἐπὶ τὸ πῦρ, ὀσφραινομένους δὲ καταγιζομένου τοῦ καρποῦ τοῦ ἐπιβαλλομένου μεθύσκεσθαι τῇ ὀδμῇ κατά περ Ἕλληνας τῷ οἴνῳ, πλεῦνος δὲ ἐπιβαλλομένου τοῦ καρποῦ μᾶλλον μεθύσκεσθαι, ἐς ὃ ἐς ὄρχησίν τε ἀνίστασθαι καὶ ἐς ἀοιδὴν ἀπικνέεσθαι. (3) Τούτων μὲν αὕτη λέγεται δίαιτα εἶναι. Ὁ δὲ Ἀράξης ποταμὸς ῥέει μὲν ἐκ Ματιηνῶν, ὅθεν περ ὁ Γύνδης, τὸν ἐς τὰς διώρυχας τὰς ἑξήκοντά τε καὶ τριηκοσίας διέλαβε ὁ Κῦρος, στόμασι δὲ ἐξερεύγεται τεσσεράκοντα, τῶν τὰ πάντα πλὴν ἑνὸς ἐς ἕλεά τε καὶ τενάγεα ἐκδιδοῖ, ἐν τοῖσι ἀνθρώπους κατοικῆσθαι λέγουσι ἰχθῦς ὠμοὺς σιτεομένους, ἐσθῆτι δὲ νομίζοντας χρᾶσθαι φωκέων δέρμασι. (4) Τὸ δὲ ἓν τῶν στομάτων τοῦ Ἀράξεω ῥέει διὰ καθαροῦ ἐς τὴν Κασπίην θάλασσαν. Ἡ δὲ Κασπίη θάλασσά ἐστι ἐπ' ἑωυτῆς, οὐ συμμίσγουσα τῇ ἑτέρῃ θαλάσσῃ. Τὴν μὲν γὰρ Ἕλληνες ναυτίλλονται πᾶσαν, καὶ ἡ ἔξω στηλέων θάλασσα ἡ Ἀτλαντὶς καλευμένη καὶ ἡ Ἐρυθρὴ μία τυγχάνει ἐοῦσα.

CCIII. Ἡ δὲ Κασπίη ἐστὶ ἑτέρη ἐπ' ἑωυτῆς, ἐοῦσα

fuerit, mulier eam non rejecerit : nam nefas hoc ei est; fit enim sacra pecunia. (6) Sequitur igitur eum qui primus pecuniam projecit, nec enim ullum repudiat. Postquam vero cum illo rem habuit et religioni deæ satisfecit, domum abit : ab eoque tempore, quantumcumque sit quod ei offeras, non poteris rem cum ea habere. (7) Quæ igitur speciosa sunt forma præditæ et statura, eæ cito redeunt : quæ vero deformes, multum manent temporis, priusquam legi possint satisfacere; manent enim nonnullæ ad tres et quattuor annos. Obtinet autem alicubi etiam in Cypro simile institutum.

CC. Sed de institutis Babyloniorum hæc hactenus. Sunt autem inter illos tres familiæ sive tribus, quæ nulla re alia nisi piscibus vescuntur. Hos illi postquam ceperunt, siccant ad solem, deinde tali modo parant : in mortarium conjectos, et pistillis contusos, per sindonem tamquam cribro incernunt. Tum, qui his vesci cupit, vel tamquam mazam subigit, vel coquit veluti panem.

CCI. Jam Cyrum, hoc etiam subacto populo, incessit cupido Massagetas sub potestatem suam redigendi. Populus hic et magnus dicitur esse et validus, habitans versus orientem solem trans Araxen fluvium, ex adverso Issedonum. Aiuntque etiam nonnulli, esse Scythicum hunc populum.

CCII. Araxes autem ab aliis major, ab aliis minor esse perhibetur Istro : esse autem in illo aiunt insulas frequentes, Lesbi fere magnitudine. In his habitare homines, qui æstate radicibus vescantur cujusque generis, quas e terra effodiant; fruges autem arborum, quas reperiunt, in cibum seponant maturas, eisque vescantur per hiemem. (2) Repertas autem ab his etiam esse alias arbores, hujusmodi fructus ferentes, quos catervatim congressi, accensoque igni circumsedentes, in ignem conjiciant, tum olfacientes fructum in igne ardentem, odore inebrientur, perinde atque Græci vino : majore vero copia injecto fructu, magis inebriari; denique ad saltandum surgere, et ad canendum progredi. (3) Talem his esse vitæ rationem narrant. Fluit autem Araxes ex Matianis, indidem atque Gyndes ille quem in trecentos sexaginta fossas Cyrus diduxit. Erumpit autem ex quadraginta orificiis, quæ omnia, uno excepto, in paludes et lacunas exeunt, quibus in paludibus habitare aiunt homines crudis piscibus vescentes, et pro vestimento pellibus utentes phocarum. (4) Unus ille, quem dixi, alveorum Araxis nullo obstante impedimento in Caspium mare influit. Exsistit autem Caspium mare seorsum per se, et cum reliquo mari non miscetur. Nam et totum quod Græci navigant mare, et quod est extra columnas, quod Atlanticum vocatur, et Erythræum, hæc omnia unum sunt mare et continuum.

CCIII. Caspium vero aliud est, ab illo disjunctum,

μῆκος μὲν πλόου εἰρεσίῃ χρεωμένῳ πεντεκαίδεκα ἡμερέων, εὖρος δὲ, τῇ εὐρυτάτη ἐστὶ αὐτὴ ἑωυτῆς, ὀκτὼ ἡμερέων. Καὶ τὰ μὲν πρὸς τὴν ἑσπέρην φέροντα τῆς θαλάσσης ταύτης ὁ Καύκασος παρατείνει, ἐὼν οὐρέων καὶ πλήθεϊ μέγιστον καὶ μεγάθεϊ ὑψηλότατον. (2) Ἔθνεα δὲ ἀνθρώπων πολλὰ καὶ παντοῖα ἐν ἑωυτῷ ἔχει ὁ Καύκασος, τὰ πολλὰ πάντα ἀπ' ὕλης ἀγρίης ζώοντα· ἐν τοῖσι καὶ δένδρεα φύλλα τοιῆσδε ἰδέης παρεχόμενα εἶναι λέγεται, τὰ τρίβοντάς τε καὶ παραμίσγοντας ὕδωρ ζῷα ἑωυτοῖσι ἐς τὴν ἐσθῆτα ἐγγράφειν· τὰ δὲ ζῷα οὐκ ἐκπλύνεσθαι, ἀλλὰ συγκαταγηράσκειν τῷ ἄλλῳ εἰρίῳ κατά περ ἐνυφανθέντα ἀρχήν. Μίζιν δὲ τούτων τῶν ἀνθρώπων εἶναι ἐμφανέα κατά περ τοῖσι προβάτοισι.

CCIV. Τὰ μὲν δὴ πρὸς ἑσπέρην τῆς θαλάσσης ταύτης τῆς Κασπίης καλευμένης ὁ Καύκασος ἀπέργει, τὰ δὲ πρὸς ἠῶ τε καὶ ἥλιον ἀνατέλλοντα πεδίον ἐκδέκεται πλῆθος ἄπειρον ἐς ἄποψιν. Τοῦ ὧν δὴ πεδίου τοῦ μεγάλου οὐκ ἐλαχίστην μοῖραν μετέχουσι οἱ Μασσαγέται, ἐπ' οὓς ὁ Κῦρος ἔσχε προθυμίην στρατεύσασθαι. (2) Πολλά τε γάρ μιν καὶ μεγάλα τὰ ἐπαείροντα καὶ ἐποτρύνοντα ἦν, πρῶτον μὲν ἡ γένεσις, τὸ δοκέειν πλέον τι εἶναι ἀνθρώπου, δεύτερα δὲ ἡ εὐτυχίη ἡ κατὰ τοὺς πολέμους γενομένη· ὅκῃ γὰρ ἰθύσειε στρατεύεσθαι Κῦρος, ἀμήχανον ἦν ἐκεῖνο τὸ ἔθνος διαφυγέειν.

CCV. Ἦν δὲ τοῦ ἀνδρὸς ἀποθανόντος γυνὴ τῶν Μασσαγετέων βασίλεια· Τόμυρις οἱ ἦν οὔνομα. Ταύτην πέμπων ὁ Κῦρος ἐμνᾶτο τῷ λόγῳ, θέλων γυναῖκα ἣν ἔχειν. Ἡ δὲ Τόμυρις συνιεῖσα οὐκ αὐτήν μιν μνώμενον, ἀλλὰ τὴν Μασσαγετέων βασιληΐην, ἀπείπατο τὴν πρόσοδον. (2) Κῦρος δὲ μετὰ τοῦτο, ὡς οἱ δόλῳ οὐ προεχώρεε, ἐλάσας ἐπὶ τὸν Ἀράξεα ἐποιέετο ἐκ τοῦ ἐμφανέος ἐπὶ τοὺς Μασσαγέτας στρατηΐην, γεφύρας τε ζευγνύων ἐπὶ τοῦ ποταμοῦ διάβασιν τῷ στρατῷ, καὶ πύργους ἐπὶ πλοίων τῶν διαπορθμευόντων τὸν ποταμὸν οἰκοδομεόμενος.

CCVI. Ἔχοντι δέ οἱ τοῦτον τὸν πόνον πέμψασα ἡ Τόμυρις κήρυκα ἔλεγε τάδε, « ὦ βασιλεῦ Μήδων, παῦσαι σπεύδων τὰ σπεύδεις· οὐ γὰρ ἂν εἰδείης εἴ τοι ἐς καιρὸν ἔσται ταῦτα τελεύμενα· παυσάμενος δὲ βασίλευε τῶν σεωυτοῦ, καὶ ἡμέας ἀνέχευ ὁρέων ἄρχοντας τῶν περ ἄρχομεν. (2) Οὐκ ὧν ἐθελήσεις ὑποθήκησι τῇσίδε χρέεσθαι, ἀλλὰ πάντα μᾶλλον ἢ δι' ἡσυχίης εἶναι. Σὺ δὲ εἰ μεγάλως προθυμέεαι Μασσαγετέων πειρηθῆναι, φέρε, μόχθον μὲν τὸν ἔχεις ζευγνὺς τὸν ποταμὸν ἄπες, σὺ δὲ ἡμέων ἀναχωρησάντων ἀπὸ τοῦ ποταμοῦ τριῶν ἡμερέων ὁδὸν διάβαινε ἐς τὴν ἡμετέρην. Εἰ δ' ἡμέας βούλεαι ἐσδέξασθαι μᾶλλον ἐς τὴν ὑμετέρην, σὺ τὠυτὸ ποίεε. » (3) Ταῦτα δὲ ἀκούσας ὁ Κῦρος συνεκάλεσε Περσέων τοὺς πρώτους, συναγείρας δὲ τούτους ἐς μέσον σφι προετίθεε τὸ πρῆγμα, συμβουλευόμενος ὁκότερα ποιέῃ. (4) Τῶν δὲ κατὰ τὠυτὸ αἱ γνῶμαι συνεξέπιπτον, κελευόντων ἐσδέκεσθαι Τόμυριν τε καὶ τὸν στρατὸν αὐτῆς ἐς τὴν χώρην.

longitudinem habens navigationis dierum quindecim, navi remis agitata; latitudinem, ubi latissime patet, octo dierum. Et ei quidem parti hujus maris quæ ad occidentem spectat, Caucasus mons prætenditur, montium omnium et amplissimus et altissimus. (2) Populos autem multos et *multiplicis generis in se comprehendit Caucasus*; quorum plerique fructibus silvestrium arborum arbustorumque vitam sustentant. In his aiunt esse arbores, folia hujusmodi ferentes, quibus contritis, admixta aqua, varias in vestimentis figuras pingant; easque figuras non elui, sed *cum reliqua lana senescere, ac si initio intextæ fuissent.* Concubitum autem horum hominum in propatulo fieri aiunt, veluti pecudum.

CCIV. Occidentalem igitur plagam hujus maris, quod *Caspium vocatur, Caucasus mons includit*: versus auroram vero et orientem solem excipit planities, immensæ amplitudinis prospectu: cujus amplæ planitiei haud minimam partem tenebant hi Massagetæ, quos Cyrus bello adgredi studiose parabat. (2) Fuerunt autem multæ res magnæque, quæ ad hoc bellum illum excitaverant atque stimulaverant. Primum quidem, ipsius ortus, quo fiebat ut aliquid amplius quam hominem se esse existimaret: tum vero felicitas, *qua in bellis usus erat*; nam quocumque arma sua Cyrus direxisset, nullo pacto fieri poterat ut ea gens vim illius effugeret.

CCV. Erat ea tempestate Massagetarum regnum penes feminam, quam mortuus rex viduam reliquerat: Tomyris reginæ nomen fuit. Hanc Cyrus, missis legatis, voluit sibi, ut aiebat, despondere, cupiens in matrimonio habere. At Tomyris intelligens, non se, sed regnum ambiri Massagetarum, aditu illi interdixit. (2) Post hæc Cyrus, ut dolo res ei non successit, exercitu ad Araxen ducto, aperto bello Massagetas adortus est, fluvium pontibus jungens, quibus traduceret copias, et turres in navigiis ædificans, quibus pars copiarum transveheretur.

CCVI. Qui dum his rebus occupatur, mittit ad eum Tomyris *caduceatorem, qui reginæ* verbis hæc Cyro diceret: « O rex Medorum, desine urgere quæ tu urges: nec enim nosti an tuo commodo sit futurum ut hæc perficiantur. His vero omissis, regna in tuis, et patere ut nos videas regnare apud hos quibus imperamus. (2) Noles autem meis monitis uti; immo quidlibet potius, quam quietem agere, voles. Quodsi ergo vehementer cupis pugnæ discrimen *cum* Massagetis experiri; age, omisso labore quem jungendo flumini impendis, ingredere nostram terram: nos interim trium dierum itinere a fluvio recedemus. Sin malueris nos in vestram recipere, tu similiter fac. » (3) His auditis Cyrus, convocatis Persarum primatibus, rem in medium proposuit, una cum eis deliberaturus quidnam facere debeat. (4) Quorum cunctorum sententiæ in hoc consentiebant, ut illum *juberent* Tomyrin ejusque exercitum in suam regionem recipere.

CCVII. Παρεὼν δὲ καὶ μεμφόμενος τὴν γνώμην ταύτην Κροῖσος ὁ Λυδὸς ἀπεδείκνυτο ἐναντίην τῇ προκειμένῃ γνώμῃ, λέγων τάδε, « ὦ βασιλεῦ, εἶπα μὲν καὶ πρότερόν τοι ὅτι ἐπεί με Ζεὺς ἔδωκέ τοι, τὸ ἂν ὁρέω σφάλμα ἐὸν οἴκῳ τῷ σῷ, κατὰ δύναμιν ἀποτρέψειν· τὰ δέ μοι παθήματα ἐόντα ἀχάριτα μαθήματα γέγονε. (2) Εἰ μὲν ἀθάνατος δοκέεις εἶναι καὶ στρατιῆς τοιαύτης ἄρχειν, οὐδὲν ἂν εἴη πρῆγμα γνώμας ἐμὲ σοὶ ἀποφαίνεσθαι· εἰ δ' ἔγνωκας ὅτι ἄνθρωπος καὶ σὺ εἷς καὶ ἑτέρων τοιῶνδε ἄρχεις, ἐκεῖνο πρῶτον μάθε, ὡς κύκλος τῶν ἀνθρωπηίων ἐστὶ πρηγμάτων, περιφερόμενος δὲ οὐκ ἐᾷ αἰεὶ τοὺς αὐτοὺς εὐτυχέειν. (3) Ἤδη ὦν ἐγὼ γνώμην ἔχω περὶ τοῦ προκειμένου πρήγματος τὰ ἐμπαλίν ἢ οὗτοι. Εἰ γὰρ ἐθελήσομεν ἐσδέξασθαι τοὺς πολεμίους ἐς τὴν χώρην, ὅδε τοι ἐν αὐτῷ κίνδυνος ἔνι. (4) Ἐσσωθεὶς μὲν προσαπολλύεις πᾶσαν τὴν ἀρχήν· δῆλα γὰρ δὴ ὅτι νικῶντες Μασσαγέται οὐ τὸ ὀπίσω φεύξονται, ἀλλ' ἐπ' ἀρχὰς τὰς σὰς ἐλῶσι· νικῶν δὲ οὐ νικᾷς τοσοῦτον ὅσον εἰ διαβὰς ἐς τὴν ἐκείνων, νικῶν Μασσαγέτας, ἔποιο φεύγουσι· τοὐτὸ γὰρ ἀντιθήσω ἐκείνῳ, ὅτι νικήσας τοὺς ἀντιουμένους ἑλᾷς ἰθὺ τῆς ἀρχῆς τῆς Τομύριος. (5) Χωρίς τε τοῦ ἀπηγημένου αἰσχρὸν οὐκ ἀνασχετὸν Κῦρόν γε τὸν Καμβύσεω γυναικὶ εἴξαντα ὑποχωρῆσαι τῆς χώρης. Νῦν ὦν μοι δοκέει διαβάντας προελθεῖν ὅσον ἂν ἐκεῖνοι διεξίωσι, ἐνθεῦτεν δὲ τάδε ποιεῦντας πειρᾶσθαι ἐκείνων περιγενέσθαι. (6) Ὡς γὰρ ἐγὼ πυνθάνομαι, Μασσαγέται εἰσὶ ἀγαθῶν τε Περσικῶν ἄπειροι καὶ καλῶν μεγάλων ἀπαθέες· τούτοισι ὦν τοῖσι ἀνδράσι τῶν προβάτων ἀφειδέως πολλὰ κατακόψαντας καὶ σκευάσαντας προθεῖναι ἐν τῷ στρατοπέδῳ τῷ ἡμετέρῳ δαῖτα, πρὸς δὲ καὶ κρητῆρας ἀφειδέως οἴνου ἀκρήτου καὶ σιτία παντοῖα· ποιήσαντας δὲ ταῦτα, ὑπολειπομένους τῆς στρατιῆς τὸ φλαυρότατον, τοὺς λοιποὺς αὖτις ἐξαναχωρέειν ἐπὶ τὸν ποταμόν. (7) Ἦν γὰρ ἐγὼ γνώμης μὴ ἁμάρτω, ἐκεῖνοι ἰδόμενοι ἀγαθὰ πολλὰ τρέψονταί τε πρὸς αὐτὰ καὶ ἡμῖν τὸ ἐνθεῦτεν λείπεται ἀπόδεξις ἔργων μεγάλων. »

CCVII. At consilio quum interesset Crœsus Lydus, hanc ille sententiam improbans, contrariam proposuit, his usus verbis : « O rex, jam alias tibi professus sum, quoniam me Juppiter tibi in manus tradidit, si quem videro casum domui tuæ impendere, pro viribus me illum aversurum. Quæ mihi acciderant tristia, documenta mihi fuere. (2) Quodsi immortalis existimas esse, et exercitui imperare immortali, nil opus fuerit me meam tibi sententiam declarare : sin te et hominem esse intelligis, et hominibus imperare; illud primum cogita, orbem quemdam esse rerum humanarum, qui dum convertitur, non sinit eosdem semper esse felices. (3) Jam igitur ego de re proposita contra, quam hi, sentio. Si enim hostes voluerimus in nostram recipere terram, hoc tibi in ea re periculum inest : (4) si inferior discesseris, simul universum regnum perdes; manifestum est enim, victores Massagetas non retro fugituros, sed in tua regna irrupturos : sin viceris, non tanta erit victoria, quanta si trajecto flumine viceris Massagetas, et fugientes insequaris; nam hoc idem priori oppono, victorem te hostium continuo in medium regnum Tomyrios ducturum exercitum. (5) Sed, præter hæc quæ exposui, turpe est, nec ferendum, ut Cyrus Cambysis filius, feminæ cedens, pedem referat ex regione quam occupavit. Nunc ergo mihi videtur, trajecto fluvio progrediendum esse quantum illi recesserint, ac deinde operam dandam ut illos superes tali inita ratione. (6) Scilicet quum Massagetæ, ut equidem audio, bonorum Persicorum sint insueti, et magnorum vitæ commodorum expertes; hisce hominibus, cæsa parataque magna pecudum copia, ad hæc vini meri crateribus et farinaceis omnis generis cibariis largiter adpositis, epulum parandum est nostris in castris; ac deinde, relicta vilissima copiarum parte, cum reliquis versus fluvium retrogrediendum. (7) Nisi enim me fallit sententia, illi conspecto bonarum rerum adparatu, in has se conjicient, et nobis oblata erit magnorum edendorum facinorum occasio. »

CCVIII. Γνῶμαι μὲν αὗται συνέστασαν, Κῦρος δὲ μετεὶς τὴν προτέρην γνώμην, τὴν Κροίσου δὲ ἑλόμενος, προηγόρευε Τομύρι ἐξαναχωρέειν ὡς αὐτοῦ διαβησομένου ἐπ' ἐκείνην. (2) Ἡ μὲν δὴ ἐξανεχώρεε κατὰ ὑπέσχετο πρῶτα· Κῦρος δὲ Κροῖσον ἐς τὰς χεῖρας ἐσθεὶς τῷ ἑωυτοῦ παιδὶ Καμβύσῃ, τῷ περ τὴν βασιληίην ἐδίδου, καὶ πολλὰ ἐντειλάμενός οἱ τιμᾶν τε αὐτὸν καὶ εὖ ποιέειν, ἢν ἡ διάβασις ἡ ἐπὶ Μασσαγέτας μὴ ὀρθωθῇ, ταῦτα ἐντειλάμενος καὶ ἀποστείλας τούτους ἐς Πέρσας αὐτὸς διέβαινε τὸν ποταμὸν καὶ ὁ στρατὸς αὐτοῦ.

CCVIII. Hæ quum inter se oppositæ essent sententiæ, Cyrus, repudiata priore, Crœsi sententiam amplexus est, et Tomyri prædixit, ut retro cederet; se enim, trajecto flumine, illi occursurum. (2) Illa igitur retro cessit, quemadmodum prius pollicita erat. Et Cyrus, postquam Crœsum in manus filii sui Cambysis, cui etiam regnum reliquit, tradiderat, multisque verbis filio mandarat, ut illum in honore haberet, beneque ei faceret, si transitus in Massagetas minus prospere cessisset; hisce datis mandatis, illos remisit in Persidem, ipse vero cum exercitu flumen trajecit.

CCIX. Ἐπείτε δὲ ἐπεραιώθη τὸν Ἀράξεα, νυκτὸς ἐπελθούσης εἶδε ὄψιν, εὕδων ἐν τῶν Μασσαγετέων τῇ χώρῃ, τοιήνδε. Ἐδόκεε ὁ Κῦρος ἐν τῷ ὕπνῳ ὁρᾶν τῶν Ὑστάσπεος παίδων τὸν πρεσβύτατον ἔχοντα ἐπὶ τῶν ὤμων πτέρυγας, καὶ τούτων τῇ μὲν τὴν Ἀσίην, τῇ δὲ τὴν Εὐρώπην ἐπισκιάζειν. (2) Ὑστάσπεϊ δὲ

CCIX. Trajecto Araxe, prima nocte in Massagetarum terra quiescenti Cyro visum oblatum est tale. Visus sibi est per somnum conspicere filiorum Hystapis maximum natu, alas in humeris habentem, et harum altera Asiam obumbrantem, altera Europam. (2) Erat autem Hystaspi

τῷ Ἀρσάμεος, ἐόντι ἀνδρὶ Ἀχαιμενίδῃ, ἦν τῶν παίδων Δαρεῖος πρεσβύτατος, ἐὼν τότε ἡλικίην ἐς εἴκοσί κου μάλιστα ἔτεα, καὶ οὗτος καταλέλειπτο ἐν Πέρσῃσι· οὐ γὰρ εἶχέ κω ἡλικίην στρατεύεσθαι. (3) Ἐπεὶ ὦν δὴ ἐξεγέρθη ὁ Κῦρος, ἐδίδου λόγον ἑωυτῷ περὶ τῆς ὄψιος. Ὡς δέ οἱ ἐδόκεε μεγάλη εἶναι ἡ ὄψις, καλέσας Ὑστάσπεα καὶ ἀπολαβὼν μοῦνον εἶπε, « Ὑστασπες, παῖς σὸς ἐπιβουλεύων ἐμοί τε καὶ τῇ ἐμῇ ἀρχῇ ἑάλωκε. Ὡς δὲ ἀτρεκέως ταῦτα οἶδα, ἐγὼ σημανέω. (4) Ἐμεῦ θεοὶ κήδονται, καί μοι πάντα προδεικνύουσι τὰ ἐπιφερόμενα. Ἤδη ὦν ἐν τῇ παροιχομένῃ νυκτὶ εὕδων εἶδον τῶν σῶν παίδων τὸν πρεσβύτατον ἔχοντα ἐπὶ τῶν ὤμων πτέρυγας, καὶ τούτων τῇ μὲν τὴν Ἀσίην, τῇ δὲ τὴν Εὐρώπην ἐπισκιάζειν. (5) Οὐκ ὦν ἐστὶ μηχανὴ ἀπὸ τῆς ὄψιος ταύτης οὐδεμία τὸ μὴ ἐκεῖνον ἐπιβουλεύειν ἐμοί. Σὺ τοίνυν τὴν ταχίστην πορεύεο ὀπίσω ἐς Πέρσας, καὶ ποίεε ὅκως, ἐπεὰν ἐγὼ τάδε καταστρεψάμενος ἔλθω ἐκεῖ, ὥς μοι καταστήσεις τὸν παῖδα ἐς ἔλεγχον. »

CCX. Κῦρος μὲν δοκέων Δαρεῖόν οἱ ἐπιβουλεύειν ἔλεγε τάδε· τῷ δὲ ὁ δαίμων προέφαινε ὡς αὐτὸς μὲν τελευτήσειν αὐτοῦ ταύτῃ μέλλοι, ἡ δὲ βασιληίη αὐτοῦ περιχωρέοι ἐς Δαρεῖον. (2) Ἀμείβεται ὦν δὴ ὁ Ὑστάσπης τοισίδε, « ὦ βασιλεῦ, μὴ εἴη ἀνὴρ Πέρσης γεγονὼς ὅστις τοι ἐπιβουλεύσει, εἰ δ' ἔστι, ἀπόλοιτο ὡς τάχιστα· ὃς ἀντὶ μὲν δούλων ἐποίησας ἐλευθέρους Πέρσας εἶναι, ἀντὶ δὲ τοῦ ἄρχεσθαι ὑπ' ἄλλων ἄρχειν ἁπάντων. (3) Εἰ δέ τίς τοι ὄψις ἀπαγγέλλει παῖδα τὸν ἐμὸν νεώτερα βουλεύειν περὶ σέο, ἐγώ τοι παραδίδωμι χρέεσθαι αὐτῷ τοῦτο ὅ τι σὺ βούλεαι. » Ὑστάσπης μὲν τούτοισι ἀμειψάμενος καὶ διαβὰς τὸν Ἀράξεα ἤϊε ἐς Πέρσας, φυλάξων Κύρῳ τὸν παῖδα Δαρεῖον.

CCXI. Κῦρος δὲ προελθὼν ἀπὸ τοῦ Ἀράξεω ἡμέρης ὁδὸν ἐποίεε τὰς Κροίσου ὑποθήκας. Μετὰ δὲ ταῦτα Κύρου τε καὶ Περσέων τοῦ καθαροῦ στρατοῦ ἀπελάσαντος ὀπίσω ἐπὶ τὸν Ἀράξεα, λειφθέντος δὲ τοῦ ἀχρηίου, ἐπελθοῦσα τῶν Μασσαγετέων τριτημορὶς τοῦ στρατοῦ τούς τε λειφθέντας τῆς Κύρου στρατιῆς ἐφόνευε ἀλεξομένους, καὶ τὴν προκειμένην ἰδόντες δαῖτα, ὡς ἐχειρώσαντο τοὺς ἐναντίους, κλιθέντες ἐδαίνυντο, πληρωθέντες δὲ φορβῆς καὶ οἴνου εὖδον. (2) Οἱ δὲ Πέρσαι ἐπελθόντες πολλοὺς μέν σφεων ἐφόνευσαν, πολλῷ δ' ἔτι πλεῦνας ἐζώγρησαν, καὶ ἄλλους καὶ τὸν τῆς βασιλείης Τομύριος παῖδα στρατηγέοντα Μασσαγετέων, τῷ οὔνομα ἦν Σπαργαπίσης.

CCXII. Ἡ δὲ πυθομένη τά τε περὶ τὴν στρατιὴν γεγονότα καὶ τὰ περὶ τὸν παῖδα, πέμπουσα κήρυκα παρὰ Κῦρον ἔλεγε τάδε, « ἄπληστε αἵματος Κῦρε, μηδὲν ἐπαρθῇς τῷ γεγονότι τῷδε πρήγματι, εἰ ἀμπελίνῳ καρπῷ, τῷ περ αὐτοὶ ἐμπιπλάμενοι μαίνεσθε οὕτω ὥστε κατιόντος τοῦ οἴνου ἐς τὸ σῶμα ἐπαναπλώειν ὑμῖν ἔπεα κακὰ, τοιούτῳ φαρμάκῳ δολώσας ἐκράτησας παιδὸς τοῦ ἐμοῦ, ἀλλ' οὐ μάχῃ κατὰ τὸ καρτερόν. (2) Νῦν ὦν μευ εὖ παραινεούσης ὑπόλαβε τὸν λόγον. Ἀπο-

Arsamis filio, ex Achæmenidarum familia, filius natu maximus Darius, juvenis tunc temporis viginti maxime annorum : isque relictus erat in Perside, quippe militarem nondum habens ætatem. (3) Et somno experrectus Cyrus, de oblato viso secum cogitabat. Quod quum illi magni videretur esse momenti, Hystaspem ad se vocat, remotisque arbitris ei dicit : « Hystaspes! filius tuus deprehensus est mihi et meo regno insidiari : id qua ratione certo cognoverim, tibi dicam. (4) Mei curam gerunt dii, mihique ante significant omnia quæ imminent. Nunc igitur proxima nocte per quietem vidi filiorum tuorum natu maximum alas in humeris habentem, earum altera Asiam obumbrantem, altera Europam. (5) Quod quum mihi oblatum sit visum, fieri prorsus nullo modo potest quin mihi illum insidiari intelligam. Quare tu ocyus retro proficiscere in Persidem, et fac, postquam rebus hic bene gestis illuc rediero, filium tuum mihi sistas, ut ejus caussam cognoscam. »

CCX: Hæc Cyrus dixit, ratus sibi Darium insidias struere : at illi deus significaverat, ipsum eodem loco, ubi erat, periturum, regnumque ipsius ad Darium transiturum. (2) Hystaspes illi his verbis respondit : « O rex, ne sit is homo Persa natus, si quis tibi insidias est structurus! Sin fuerit, pereat quam primum! Tibi-ne insidiari, qui Persas ex servitute in libertatem vindicasti; et, quum aliis fuissent subjecti, fecisti ut imperent omnibus! (3) Quodsi vero visum aliquod tibi significat, filium meum res novas adversus te moliri, ego illum tibi tradam, ut de eo facias quodcumque placuerit. » Hæc postquam respondit Hystaspes, trajecto Araxe in Persas profectus est, Cyro filium suum Darium custoditurus.

CCXI. Cyrus ab Araxe unius diei itinere progressus, fecit quod Crœsus illum monuerat. Deinde postquam ipse, inutili copiarum parte in castris relicta, cum flore exercitus Persarum, ad Araxem regressus est, adcurrit castra invadens tertia pars exercitus Massagetarum. Hi eos, qui de Cyri exercitu relicti erant, repugnantes occidunt; tum, paratum conspicati epulum, superatis adversariis, ad epulandum discumbunt; denique cibo potuque repleti, sopore opprimuntur. (2) Inter hæc supervenientes Persæ magnum eorum numerum interficiunt, multo vero plures vivos capiunt, quum alios, tum reginæ Tomyrios filium, ducem Massagetarum, cui nomen erat Spargapises.

CCXII. Tum illa, cognitis quæ et exercitui et filio suo acciderant, misso ad Cyrum legato hæc ei edixit : « Inexplebilis sanguine Cyre! ne utique efferaris re gesta, quod viteo fructu, quo repleti vos ita insanitis, ut postquam vinum in corpus descendit, scelestis vocibus exundetis, tali veneno deceptum filium meum superasti, non justo prælio et bellica virtute vicisti. (2) Nunc ergo consilium, quod tibi bono animo profero, accipe. Redde mihi filium, et abi ex

δούς μοι τὸν παῖδα ἄπιθι ἐκ τῆσδε τῆς χώρης ἀζήμιος, Μασσαγετέων τριτημορίδι τοῦ στρατοῦ κατυβρίσας· εἰ δὲ μή, ἥλιον ἐπόμνυμί τοι τὸν Μασσαγετέων δεσπότεα, ἢ μέν σε ἐγὼ καὶ ἄπληστον ἐόντα αἵματος κορέσω. »

CCXIII. Κῦρος μὲν τῶν ἐπέων οὐδένα τούτων ἀνενειχθέντων ἐποιέετο λόγον· ὁ δὲ τῆς βασιλείης Τομύριος παῖς Σπαργαπίσης, ὡς μιν ὁ τε οἶνος ἀνῆκε καὶ ἔμαθε ἵνα ἦν κακοῦ, δεηθεὶς Κύρου ἐκ τῶν δεσμῶν λυθῆναι ἔτυχε, ὡς δὲ ἐλύθη τε τάχιστα καὶ τῶν χειρῶν ἐκράτησε, διεργάζεται ἑωυτόν. Καὶ δὴ οὗτος μὲν τρόπῳ τοιούτῳ τελευτᾷ.

CCXIV. Τόμυρις δὲ, ὡς οἱ Κῦρος οὐκ ἐσήκουσε, συλλέξασα πᾶσαν τὴν ἑωυτῆς δύναμιν συνέβαλε Κύρῳ. Ταύτην τὴν μάχην, ὅσαι δὴ βαρβάρων ἀνδρῶν μάχαι ἐγένοντο, κρίνω ἰσχυροτάτην γενέσθαι, καὶ δὴ καὶ πυνθάνομαι οὕτω τοῦτο γενόμενον. (2) Πρῶτα μὲν γὰρ λέγεται αὐτοὺς διαστάντας ἐς ἀλλήλους τοξεύειν, μετὰ δὲ, ὡς σφι τὰ βέλεα ἐξετετόξευτο, συμπεσόντας τῇσι αἰχμῇσί τε καὶ τοῖσι ἐγχειριδίοισι συνέχεσθαι. (3) Χρόνον τε δὴ ἐπὶ πολλὸν συνεστάναι μαχομένους καὶ οὐδετέρους ἐθέλειν φεύγειν· τέλος δὲ οἱ Μασσαγέται περιεγίνοντο. (4) Ἥ τε δὴ πολλὴ τῆς Περσικῆς στρατιῆς αὐτοῦ ταύτῃ διεφθάρη, καὶ δὴ καὶ αὐτὸς Κῦρος τελευτᾷ, βασιλεύσας τὰ πάντα ἐνὸς δέοντα τριήκοντα ἔτεα. (5) Ἀσκὸν δὲ πλήσασα αἵματος ἀνθρωπηίου Τόμυρις ἐδίζητο ἐν τοῖσι τεθνεῶσι τῶν Περσέων τὸν Κύρου νέκυν, ὡς δὲ εὗρε, ἐναπῆκε αὐτοῦ τὴν κεφαλὴν ἐς τὸν ἀσκόν. (6) Λυμαινομένη δὲ τῷ νεκρῷ ἐπέλεγε τάδε, « σὺ μὲν ἐμὲ ζώουσάν τε καὶ νικῶσάν σε μάχῃ ἀπώλεσας, παῖδα τὸν ἐμὸν ἑλὼν δόλῳ· σὲ δ' ἐγὼ, κατά περ ἠπείλησα, αἵματος κορέσω. » Τὰ μὲν δὴ κατὰ τὴν Κύρου τελευτὴν τοῦ βίου, πολλῶν λόγων λεγομένων ὧδε μοι ὁ πιθανώτατος εἴρηται.

CCXV. Μασσαγέται δὲ ἐσθῆτά τε ὁμοίην τῇ Σκυθικῇ φορέουσι καὶ δίαιταν ἔχουσι, ἱππόται δέ εἰσι καὶ ἀνιπποι (ἀμφοτέρων γὰρ μετέχουσι) καὶ τοξόται τε καὶ αἰχμοφόροι, σαγάρις νομίζοντες ἔχειν. (2) Χρυσῷ δὲ καὶ χαλκῷ τὰ πάντα χρέονται· ὅσα μὲν γὰρ ἐς αἰχμὰς καὶ ἄρδις καὶ σαγάρις, χαλκῷ τὰ πάντα χρέονται, ὅσα δὲ περὶ κεφαλὴν καὶ ζωστῆρας καὶ μασχαλιστῆρας, χρυσῷ κοσμέονται. (3) Ὡς δ' αὕτως τῶν ἵππων τὰ μὲν περὶ τὰ στέρνα χαλκέους θώρηκας περιβάλλουσι, τὰ δὲ περὶ τοὺς χαλινοὺς καὶ στόμια καὶ φάλαρα χρυσῷ. Σιδήρῳ δὲ οὐδ' ἀργύρῳ χρέονται οὐδέν· οὐδὲ γάρ σφι ἔστι ἐν τῇ χώρῃ, ὁ δὲ χρυσὸς καὶ ὁ χαλκὸς ἄπλετος.

CCXVI. Νόμοισι δὲ χρέονται τοιοισίδε. Γυναῖκα μὲν γαμέει ἕκαστος, ταύτῃσι δὲ ἐπίκοινα χρέονται· τὸ γὰρ Σκύθας φασὶ Ἕλληνες ποιέειν, οὐ Σκύθαι εἰσὶ οἱ ποιεῦντες, ἀλλὰ Μασσαγέται· τῆς γὰρ ἐπιθυμήσει γυναικὸς Μασσαγέτης ἀνὴρ, τὸν φαρετρεῶνα ἀποκρεμάσας πρὸ τῆς ἁμάξης μίσγεται ἀδεῶς. (2) Οὖρος δὲ ἡλικίης σφι προκέεται ἄλλος μὲν οὐδείς· ἐπεὰν δὲ γέρων γένηται κάρτα, οἱ προσήκοντές οἱ πάντες συνελθόντες θύουσι καὶ σφάζουσι αὐτὸν καὶ κρέα ἑψήσαντες δαῖτα ποιεῦνται. (3) Ταῦτα μὲν τοῖσι ἀπὸ γῆς ἐστὶ ἀρχαιοτάτοισι τῶν ἀνθρώπων εἰδέναι· ἐκ γὰρ τούτου ἐς τὸν ἀσκὸν ἐνέβαλε τὴν κεφαλὴν καὶ ἐς τοῦτον ἐνύβριζε. Κῦρος μὲν δὴ οὕτω τελευτᾷ.

hac terra, impune ferens quod tertiam exercitus Massagetarum partem hac contumelia adfecisti. Quodsi hæc non feceris, Solem juro, dominum Massagetarum, certe me te, quamvis inexplebilem, sanguine satiaturam. »

CCXIII. Horum verborum ad se relatorum nullam Cyrus habuit rationem. Reginæ autem Tomyrios filius Spargapises, postquam remissa vi vini didicit quonam in malo esset, oravit Cyrum ut vinculis solveretur, idque ei rex indulsit. At simulatque solutus erat et manuum suarum potens, se ipse interemit. Et hoc vitæ exitu ille usus est.

CCXIV. Sed Tomyris, ubi ei morem non gessit Cyrus, contractis omnibus copiis, prælio cum illo conflixit. Hoc prælium, quotquot a barbaris hominibus prælia commissa sunt, equidem existimo omnium fuisse acerrimum; rem enim tali modo gestam esse accepi. (2) Primum ex aliquo spatio distantes, tela invicem conjecisse; dein, absumtis telis, concurrisse, et hastis conflixisse gladiisque; (3) atque diutius ita consertis manibus pugnasse, neutris fugam capessere volentibus. Ad extremum vero superiores Massagetæ discesserunt. (4) Igitur maxima pars Persici exercitus eodem in loco est interemta, et ipse Cyrus obiit, postquam annos regnaverat undetriginta. (5) Tum Tomyris, sacco sanguine repleto humano, Cyri cadaver inter cæsorum Persarum stragem jussit perquiri : ubi repperit, caput ejus in saccum demisit, (6) mortuo his verbis insultans : « Tu me vivam, tuique victricem, perdidisti, qui filium meum dolo cepisti : te vero ego, sicuti minata sum, sanguine satiabo. » Quod igitur ad vitæ finem Cyri spectat, multa quidem alia diversaque narrantur, sed ista mihi maxime verisimilis visa erat narratio.

CCXV. Utuntur Massagetæ et vestimento et vitæ ratione simili Scytharum. Ex equis pugnant, et pedites : nam utroque genere valent. Et arcu et hastis utuntur, bipennesque gestare consuerunt. (2) Ad omnia auro utuntur aut ære. Ad hastas, ad sagittarum cuspides, ad bipennes non nisi ære utuntur; ad capitis ornatum, et ad cingula circum lumbos et circa axillas, auro. (3) Similiter equis circa pectus æneos circumponunt thoraces : habenarum autem ornatum et frenos et phaleras ex auro habent. Argento vero et ferro nihil utuntur; nec enim in eorum terra metalla hæc reperiuntur, sed æris et auri immensa copia.

CCXVI. Institutis utuntur hisce. Uxorem quidem ducit unusquisque; his autem in commune utuntur. Nam, quod Græci aiunt a Scythis fieri, id non Scythæ faciunt, sed Massagetæ : nempe cujuscumque mulieris cupido incessit Massagetam, cum ea, pharetra pro plaustro suspensa, impune concumbit. (2) Terminum quidem ætatis nullum statutum habent : sed quando quis admodum ætate prove-

θόντες θύουσί μιν, καὶ ἄλλα πρόβατα ἅμα αὐτῷ, ἐψήσαντες δὲ τὰ κρέα κατευωχέονται. Ταῦτα μὲν τὰ ὀλβιώτατά σφι νενόμισται, τὸν δὲ νούσῳ τελευτήσαντα οὐ κατασιτέονται, ἀλλὰ γῇ κρύπτουσι, συμφορὴν ποιεύμενοι ὅτι οὐκ ἵκετο ἐς τὸ τυθῆναι. (3) Σπείρουσι δὲ οὐδέν, ἀλλ' ἀπὸ κτηνέων ζώουσι καὶ ἰχθύων· οἱ δὲ ἄφθονοί σφι ἐκ τοῦ Ἀράξεω ποταμοῦ παραγίνονται· γαλακτοπόται δέ εἰσι. (4) Θεῶν δὲ μοῦνον ἥλιον σέβονται, τῷ θύουσι ἵππους. Νόμος δὲ οὗτος τῆς θυσίης· τῶν θεῶν τῷ ταχίστῳ πάντων τῶν θνητῶν τὸ τάχιστον δατέονται.

etus est, convenientes propinqui mactant eum, et alias simul cum eo pecudes, coctisque carnibus laute epulantur. Et hæc eis sors felicissima habetur. Qui vero morbo obiit, eum non comedunt, sed terra condunt; miserum reputantes quod eo non pervenerit ut immolaretur. (3) Sementem nullam faciunt; sed pecoribus victitant, et piscibus, quos ingenti copia Araxes fluvius illis suppeditat: lacte pro potu utuntur. (4) Deorum unum Solem colunt, cui equos immolant. Lex autem et ratio hujus sacrificii hæc est: deorum pernicissimo tribuunt pernicissimum mortalium.

ΗΡΟΔΟΤΟΥ

ΙΣΤΟΡΙΩΝ ΔΕΥΤΕΡΗ.

(ΕΥΤΕΡΠΗ.)

I. Τελευτήσαντος δὲ Κύρου παρέλαβε τὴν βασιληίην Καμβύσης, Κύρου ἐὼν παῖς καὶ Κασσανδάνης τῆς Φαρνάσπεω θυγατρὸς, τῆς προαποθανούσης Κῦρος αὐτός τε μέγα πένθος ἐποιήσατο καὶ τοῖσι ἄλλοισι προεῖπε πᾶσι, τῶν ἦρχε, πένθος ποιέεσθαι. (2) Ταύτης δὲ τῆς γυναικὸς ἐὼν παῖς καὶ Κύρου Καμβύσης Ἴωνας μὲν καὶ Αἰολέας ὡς δούλους πατρωίους ἐόντας ἐνόμιζε, ἐπὶ δὲ Αἴγυπτον ἐποιέετο στρατηλασίην, ἄλλους τε παραλαβὼν τῶν ἦρχε καὶ δὴ καὶ Ἑλλήνων τῶν ἐπεκράτεε.

II. Οἱ δὲ Αἰγύπτιοι, πρὶν μὲν ἢ Ψαμμίτιχον σφέων βασιλεῦσαι, ἐνόμιζον ἑωυτοὺς πρώτους γενέσθαι πάντων ἀνθρώπων· ἐπειδὴ δὲ Ψαμμίτιχος βασιλεύσας ἠθέλησε εἰδέναι οἵτινες γενοίατο πρῶτοι, ἀπὸ τούτου νομίζουσι Φρύγας προτέρους γενέσθαι ἑωυτῶν, τῶν δὲ ἄλλων ἑωυτούς. Ψαμμίτιχος δὲ ὡς οὐκ ἐδύνατο πυνθανόμενος πόρον οὐδένα τούτου ἀνευρέειν, οἳ γενοίατο πρῶτοι ἀνθρώπων, ἐπιτεχνᾶται τοιόνδε. (2) Παιδία δύο νεογνὰ ἀνθρώπων τῶν ἐπιτυχόντων διδοῖ ποιμένι τρέφειν ἐς τὰ ποίμνια τροφήν τινα τοιήνδε, ἐντειλάμενος μηδένα ἀντίον αὐτῶν μηδεμίαν φωνὴν ἱέναι, ἐν στέγῃ δὲ ἐρήμῃ ἐπ' ἑωυτῶν κέεσθαι αὐτά, καὶ τὴν ὥρην ἐπαγινέειν σφι αἶγας, πλήσαντα δὲ τοῦ γάλακτος τἆλλα διαπρήσσεσθαι. (3) Ταῦτα δ' ἐποιέε τε καὶ ἐνετέλλετο ὁ Ψαμμίτιχος θέλων ἀκοῦσαι τῶν παιδίων, ἀπαλλαχθέντων τῶν ἀσήμων κνυζημάτων, ἥντινα φωνὴν ῥήξουσι πρώτην. (4) Τά περ ὦν καὶ ἐγένετο· ὡς γὰρ διετὴς χρόνος ἐγεγόνεε ταῦτα τῷ ποιμένι πρήσσοντι, ἀνοίγοντι τὴν θύρην καὶ ἐσιόντι τὰ παιδία ἀμφότερα προσπίπτοντα βεκὸς ἐφώνεον, ὀρέγοντα τὰς χεῖρας. (5) Τὰ μὲν δὴ πρῶτα ἀκούσας ἡσυχος ἦν ὁ ποιμήν· ὡς δὲ πολλάκις φοιτέοντι καὶ ἐπιμελομένῳ πολλὸν ἦν τοῦτο τὸ ἔπος, οὕτω δὴ σημήνας τῷ δεσπότῃ ἤγαγε

HERODOTI

HISTORIARUM LIBER SECUNDUS.

(EUTERPE.)

I. Vita functo Cyro, regnum suscepit Cambyses, Cyri filius et Cassandanæ, Pharnaspis filiæ, quæ quum antea fato esset functa, ingenti luctu eam Cyrus erat prosequutus, et aliis omnibus, quibus imperabat, luctu eam prosequi præceperat. (2) Hujus igitur mulieris et Cyri filius Cambyses, quum Ionas et Æolenses pro servis a patre acceptis haberet, adversus Ægyptum expeditionem suscepit, quum alios ad id bellum faciendum ducens, quibus imperabat, tum nimirum et Græcos qui ipsius potestati erant subjecti.

II. Ægyptii, priusquam apud eos regnum obtinuisset Psammitichus, antiquissimos sese omnium hominum esse existimaverant. Postquam vero Psammitichus, regnum adeptus, voluit cognoscere, quinam fuerint primi et antiquissimi, ab illo tempore Phrygas sese priores arbitrantur, se autem reliquis omnibus. Psammitichus autem, quum perquisitione instituta nullum exitum hujus quæstionis, quinam essent primi hominum, potuisset reperire, tale quiddam est machinatus. (2) Duo pueros recens natos ex humilis sortis parentibus tradidit pastori, qui eos apud greges tali modo aleret: præcepit ut nemo coram illis vocem ullam ederet, sed jacerent in solitaria casa seorsim, et justis temporibus capræ ad eos adducerentur: ubi lacte expleti forent, alia omnia pastor ageret. (3) Hæc fecit præcepitque Psammitichus, cupiens cognoscere, quamnam post obscuros infantum vagitus primam vocem essent edituri. (4) Atque id etiam factum est. Nam postquam per duos continuos annos mandata exsecutus erat pastor, aperienti januam intrantique adlabentes ambo pueruli *becos* clamabant, manusque porrigebant. (5) Quod pastor primum audiens, tacuit: sed, quum crebrius adeunti puerosque curanti idem semper verbum repeteretur, ita demum significavit hero, ejusque jussu pueros in conspectum ejus pro-

τὰ παιδία κελεύσαντος ἐς ὄψιν τὴν ἐκείνου. (6) Ἀκούσας δὲ καὶ αὐτὸς ὁ Ψαμμίτιχος ἐπυνθάνετο οἵτινες ἀνθρώπων βεκός τι καλεῦσι, πυνθανόμενος δὲ εὕρισκε Φρύγας καλεῦντας τὸν ἄρτον. Οὕτω συνεχώρησαν Αἰγύπτιοι, καὶ τοιούτῳ σταθμησάμενοι πρήγματι, τοὺς Φρύγας πρεσβυτέρους εἶναι ἑωυτῶν. (7) Ὧδε μὲν γενέσθαι τῶν ἱρέων τοῦ Ἡφαίστου ἐν Μέμφι ἤκουον· Ἕλληνες δὲ λέγουσι ἄλλα τε μάταια πολλὰ καὶ ὡς γυναικῶν τὰς γλώσσας ὁ Ψαμμίτιχος ἐκταμὼν τὴν δίαιταν οὕτω ἐποιήσατο τῶν παιδίων παρὰ ταύτῃσι τῇσι γυναιξί.

III. Κατὰ μὲν δὴ τὴν τροφὴν τῶν παιδίων τοσαῦτα ἔλεγον, ἤκουσα δὲ καὶ ἄλλα ἐν Μέμφι, ἐλθὼν ἐς λόγους τοῖσι ἱρεῦσι τοῦ Ἡφαίστου. Καὶ δὴ καὶ ἐς Θήβας τε καὶ ἐς Ἡλίου πόλιν αὐτῶν τούτων εἵνεκεν ἐτραπόμην, ἐθέλων εἰδέναι εἰ συμβήσονται τοῖσι λόγοισι τοῖσι ἐν Μέμφι· οἱ γὰρ Ἡλιοπολιῆται λέγονται Αἰγυπτίων εἶναι λογιώτατοι. (2) Τὰ μέν νυν θεῖα τῶν ἀπηγημάτων, οἷα ἤκουον, οὐκ εἰμὶ πρόθυμος ἐξηγέεσθαι, ἔξω ἢ τὰ οὐνόματα αὐτῶν μοῦνον, νομίζων πάντας ἀνθρώπους ἴσον περὶ αὐτῶν ἐπίστασθαι· τὰ δ' ἂν ἐπιμνησθῶ αὐτῶν, ὑπὸ τοῦ λόγου ἐξαναγκαζόμενος ἐπιμνησθήσομαι.

IV. Ὅσα δὲ ἀνθρωπήϊα πρήγματα, ὧδε ἔλεγον ὁμολογέοντες σφίσι, πρώτους Αἰγυπτίους ἀνθρώπων ἁπάντων ἐξευρέειν τὸν ἐνιαυτὸν, δυώδεκα μέρεα δασαμένους τῶν ὡρέων ἐς αὐτόν. (2) Ταῦτα δὲ ἐξευρέειν ἐκ τῶν ἄστρων ἔλεγον. Ἄγουσι δὲ τοσῷδε σοφώτερον Ἑλλήνων, ἐμοὶ δοκέειν, ὅσῳ Ἕλληνες μὲν διὰ τρίτου ἔτεος ἐμβόλιμον ἐπεμβάλλουσι τῶν ὡρέων εἵνεκεν, Αἰγύπτιοι δὲ τριηκοντημέρους ἄγοντες τοὺς δυώδεκα μῆνας ἐπάγουσι ἀνὰ πᾶν ἔτος πέντε ἡμέρας πάρεξ τοῦ ἀριθμοῦ, καί σφι ὁ κύκλος τῶν ὡρέων ἐς τὠυτὸ περιιὼν παραγίνεται. (3) Δυώδεκά τε θεῶν ἐπωνυμίας ἔλεγον πρώτους Αἰγυπτίους νομίσαι καὶ Ἕλληνας παρὰ σφέων ἀναλαβέειν, βωμούς τε καὶ ἀγάλματα καὶ νηοὺς θεοῖσι ἀπονεῖμαι σφέας πρώτους, καὶ ζῷα ἐν λίθοισι ἐγγλύψαι. (4) Καὶ τούτων μέν νυν τὰ πλέω ἔργῳ ἐδήλουν οὕτω γενόμενα, βασιλεῦσαι δὲ πρῶτον Αἰγύπτου ἀνθρώπων ἔλεγον Μῆνα. Ἐπὶ τούτου, πλὴν τοῦ Θηβαϊκοῦ νομοῦ, πᾶσαν Αἴγυπτον εἶναι ἕλος, καὶ αὐτῆς εἶναι οὐδὲν ὑπερέχον τῶν νῦν ἑνερθε λίμνης τῆς Μοίριος ἐόντων, ἐς τὴν ἀνάπλοος ἀπὸ θαλάσσης ἑπτὰ ἡμερέων ἐστὶ ἀνὰ τὸν ποταμόν.

V. Καὶ εὖ μοι ἐδόκεον λέγειν περὶ τῆς χώρης· δῆλα γὰρ δὴ καὶ μὴ προακούσαντι, ἰδόντι δὲ, ὅστις γε σύνεσιν ἔχει, ὅτι Αἴγυπτος, ἐς τὴν Ἕλληνες ναυτίλλονται, ἐστὶ Αἰγυπτίοισι ἐπίκτητός τε γῆ καὶ δῶρον τοῦ ποταμοῦ, καὶ τὰ κατύπερθε ἔτι τῆς λίμνης ταύτης μέχρι τριῶν ἡμερέων πλόου, τῆς πέρι ἐκείνοι οὐδὲν ἔτι τοιόνδε ἔλεγον, ἔστι δ' ἕτερον τοιοῦτο. (2) Αἰγύπτου γὰρ φύσις τῆς χώρης ἐστὶ τοιήδε. Πρῶτα μὲν προσπλώων ἔτι καὶ ἡμέρης δρόμον ἀπέχων ἀπὸ γῆς, κατεὶς καταπειρητηρίην πηλόν τε ἀνοίσεις καὶ ἐν ἕνδεκα ὀργυιῇσι

duxit. (6) Quod ubi ipse etiam Psammitichus cognovit, sciscitatus est, quinam hominum rem aliquam *becos* vocarent : et sciscitando comperit, Phrygas eo vocabulo panem significare. Ita Ægyptii, ex eo quidem ducto argumento, Phrygibus concessere, esse illos se antiquiores. (7) Ita quidem rem actam esse, ex Vulcani sacerdotibus Memphi audivi. Græci vero et alia narrant vana multa, et in his, mulierum linguas exscidisse Psammitichum, hisque mulieribus pueros illos tradidisse nutriendos.

III. De puerorum igitur illorum nutritione mihi ista narrata sunt. Sed et alia (ad Ægyptiorum antiquitatem pertinentia) Memphi audivi, cum Vulcani sacerdotibus sermones miscens. Atque earumdem rerum caussa Thebas etiam et Heliopolim me contuli, scire cupiens, an illorum narrationes conveniant cum his quæ Memphi narrantur. Heliopolitæ enim dicuntur ex omnibus Ægyptiis peritissimi antiquitatis. (2) Quæ igitur audivi ad res divinas spectantia, ea non est mihi animus in publicum edere, exceptis deorum nominibus, existimans omnes (in Ægypto) homines idem de his nosse : quæcumque vero de illis rebus præterea commemoravero, eorum nonnisi a narrationis serie coactus faciam mentionem.

IV. Quod ad res humanas spectat, hæc illi secum consentientes dixerunt : primos hominum omnium Ægyptios annum invenisse, duodecim partes succedentium invicem temporum per illum distribuentes. (2) Hæc autem illos ex astris invenisse aiebant. Agunt autem annum Ægyptii tanto prudentius, ut equidem arbitror, quam Græci; quod Græci tertio quoque anno, vicissitudinis temporum caussa, intercalarem mensem coguntur adjicere; Ægyptii vero duodecim menses tricenorum dierum agentes, singulis annis quinque dies extra numerum adjiciunt, atque ita illis circumactus vicissitudinum anniversariarum circulus eodem semper tempore redit. (3) Ad hæc duodecim deorum nomina Ægyptios primos aiebant instituisse, et ab illis Græcos accepisse : aras item et imagines et templa diis primos eosdem tribuisse, et figuras lapidibus insculpsisse. (4) Et horum pleraque re ipsa demonstrabant ita se habere. Regnasse autem in Ægypto, ex hominum numero, primum dixere Menem. Hoc regnante totam Ægyptum, excepto Thebano districtu, paludem fuisse; et tunc temporis nihil ex aqua emminuisse eorum, quæ nunc sunt infra Mœridem lacum, ad quem est ex mari navigatio adverso flumine septem dierum.

V. Et recte quidem hoc, quod ad terram spectat, dixisse mihi visi sunt. Etenim cuilibet, qui, etiam si non ante audiverit, tamen oculis suis hanc terram adspexerit, si modo non prorsus destitutus fuerit intelligentia, manifestum est, Ægyptum hanc, quam Græci navibus adeunt, adquisitam Ægyptiis terram esse, et fluminis donum; atque etiam eorum, quæ supra hunc lacum sita sunt ad trium dierum navigationem, eamdem esse rationem; quamquam de hoc tractu nihil amplius tale illi narraverunt. (2) Est enim natura hujus regionis, quæ Ægyptus vocatur, hujusmodi. Primum quidem, navi eam petens, quando unius etiam diei cursu adhuc abfueris a terra, si bolidem demiseris,

ἔσεαι. Τοῦτο μὲν ἐπὶ τοσοῦτο δηλοῖ πρόχυσιν τῆς γῆς ἐοῦσαν.

VI. Αὐτῆς δὲ τῆς Αἰγύπτου ἐστὶ μῆκος τὸ παρὰ θάλασσαν ἑξήκοντα σχοῖνοι, κατὰ ἡμεῖς διαιρέομεν εἶναι Αἴγυπτον ἀπὸ τοῦ Πλινθινήτεω κόλπου μέχρι Σερβωνίδος λίμνης, παρ' ἣν τὸ Κάσιον οὖρος τείνει· ταύτης ὦν ἄπο οἱ ἑξήκοντα σχοῖνοι εἰσί. (2) Ὅσοι μὲν γὰρ γεωπεῖναί εἰσι ἀνθρώπων, ὀργυιῇσι μεμετρήκασι τὴν χώρην, ὅσοι δὲ ἔσσον γεωπεῖναι, σταδίοισι, οἳ δὲ πολλὴν ἔχουσι, παρασάγγῃσι, οἳ δὲ ἄφθονον λίην, σχοίνοισι. Δύναται δὲ ὁ μὲν παρασάγγης τριήκοντα στάδια, ὁ δὲ σχοῖνος ἕκαστος, μέτρον ἐὸν Αἰγύπτιον, ἑξήκοντα στάδια. Οὕτω ἂν εἴησαν Αἰγύπτου στάδιοι ἑξακόσιοι καὶ τρισχίλιοι τὸ παρὰ θάλασσαν.

VII. Ἐνθεῦτεν μὲν καὶ μέχρι Ἡλίου πόλιος ἐς τὴν μεσόγαιάν ἐστι εὐρέα Αἴγυπτος, ἐοῦσα πᾶσα ὑπτίη τε καὶ ἔνυδρος καὶ εἰλύς. Ἔστι δὲ ὁδὸς ἐς τὴν Ἡλίου πόλιν ἀπὸ θαλάσσης ἄνω ἰόντι παραπλησίη τὸ μῆκος τῇ ἐξ Ἀθηνέων ὁδῷ τῇ ἀπὸ τῶν δυώδεκα θεῶν τοῦ βωμοῦ φερούσῃ ἔς τε Πῖσαν καὶ ἐπὶ τὸν νηὸν τοῦ Διὸς τοῦ Οὐλυμπίου. (2) Σμικρόν τι τὸ διάφορον εὕροι τις ἂν λογιζόμενος τῶν ὁδῶν τούτων, τὸ μὴ ἴσας μῆκος εἶναι, οὐ πλέον πεντεκαίδεκα σταδίων· ἡ μὲν γὰρ ἐς Πῖσαν ἐξ Ἀθηνέων καταδεῖ πεντεκαίδεκα σταδίων ὡς μὴ εἶναι πεντακοσίων καὶ χιλίων, ἡ δὲ ἐς Ἡλίου πόλιν ἀπὸ θαλάσσης πληροῖ ἐς τὸν ἀριθμὸν τοῦτον.

VIII. Ἀπὸ δὲ Ἡλίου πόλιος ἄνω ἰόντι στεινή ἐστι Αἴγυπτος. Τῇ μὲν γὰρ τῆς Ἀραβίης οὖρος παρατέτακται, φέρον ἀπ' ἄρκτου πρὸς μεσαμβρίης τε καὶ νότου, αἰεὶ ἄνω τεῖνον ἐς τὴν Ἐρυθρὴν καλευμένην θάλασσαν· ἐν τῷ αἱ λιθοτομίαι ἔνεισι αἱ ἐς τὰς πυραμίδας κατατμηθεῖσαι τὰς ἐν Μέμφι. (2) Ταύτῃ μὲν λῆγον ἀνακάμπτει ἐς τὰ εἴρηται τὸ οὖρος· τῇ δὲ αὐτὸ ἑωυτοῦ ἐστὶ μακρότατον, ὡς ἐγὼ ἐπυνθανόμην, δύο μηνῶν αὐτὸ εἶναι τῆς ὁδοῦ ἀπ' ἠοῦς πρὸς ἑσπέρην, τὰ δὲ πρὸς τὴν ἠῶ λιβανωτοφόρα αὐτοῦ τὰ τέρματα εἶναι. (3) Τοῦτο μέν νυν τὸ οὖρος τοιοῦτο ἐστί, τὸ δὲ πρὸς Λιβύης τῆς Αἰγύπτου οὖρος ἄλλο πέτρινον τείνει, ἐν τῷ αἱ πυραμίδες ἕνεισι, ψάμμῳ κατειλυμένον, τεταμένον τὸν αὐτὸν τρόπον τὸν καὶ τοῦ Ἀραβίου τὰ πρὸς μεσαμβρίην φέροντα. (4) Τὸ ὦν δὴ ἀπ' Ἡλίου πόλιος οὐκέτι πολλὸν χωρίον ὡς εἶναι Αἰγύπτου, ἀλλ' ὅσον τε ἡμερέων τεσσέρων ἀναπλόου στεινή ἐστι Αἴγυπτος ἐοῦσα. Τῶν δὲ οὐρέων τῶν εἰρημένων τὸ μεταξὺ πεδιὰς μὲν γῆ, στάδιοι δὲ μάλιστα ἐδόκεόν μοι εἶναι, τῇ στεινότατόν ἐστι, διηκοσίων οὐ πλεῦνες ἐκ τοῦ Ἀραβίου οὔρεος ἐς τὸ Λιβυκὸν καλεύμενον. Τὸ δ' ἐνθεῦτεν αὖτις εὐρέα Αἴγυπτός ἐστι.

IX. Πέφυκε μέν νυν ἡ χώρη αὕτη οὕτω, ἀπὸ δὲ Ἡλίου πόλιος ἐς Θήβας ἐστὶ ἀνάπλοος ἐννέα ἡμερέων, στάδιοι δὲ τῆς ὁδοῦ ἑξήκοντα καὶ ὀκτακόσιοι καὶ τετρακισχίλιοι, σχοίνων ἑνὸς καὶ ὀγδώκοντα ἐόντων. Οὗτοι συντιθέμενοι στάδιοι Αἰγύπτου, τὸ μὲν παρὰ θάλασσαν ἤδη μοι καὶ πρότερον δεδήλωται ὅτι ἑξακοσίων limum extrahes, et in undecim orgyiis [66 *pedibus*] eris: quod quidem ostendit, in tantum progredi telluris profusionem.

VI. Ipsius autem Ægypti longitudo secundum mare est sexaginta schœnorum, quatenus quidem nos Ægyptum definimus, ut a Plinthinete sinu pertineat usque ad Serbonidem lacum, ad quem Casius mons porrigitur: ab hoc igitur lacu sunt sexaginta illi schœni. (2) Nam qui haud multum terræ possident homines, hi eam orgyiis metiuntur; qui paulo plus, stadiis; qui multum possident, parasangis; qui valde amplam regionem, hi schœnis eam metiuntur. Valet autem parasanga triginta stadia; schœnus vero unusquisque (quæ Ægyptia est mensura) sexaginta stadia. Ita Ægypti longitudo secundum mare ter mille sexcentorum fuerit stadiorum.

VII. Inde versus interiora, usque Heliopolin, in latitudinem patet Ægyptus, tota plana est, aquis irrigua, limosa. Est autem iter a mari Heliopolin adscendenti par fere longitudine viæ ei, quæ Athenis a duodecim deorum ara Pisam ducit ad Olympii Jovis templum. (2) Exiguum quiddam interesse reperiet, si quis computaverit, quominus æqualis sit longitudo utriusque itineris; haud amplius quam quindecim stadia: nam via Athenis Pisam eget quindecim stadiis ad explendum mille quingenta; a mari autem Heliopolin plenus hic numerus est.

VIII. Ab Heliopoli superiora petenti angusta Ægyptus est: nam ab altera parte mons Arabiæ prætenditur, a septemtrione versus meridiem et austrum excurrens, semper in altius tendens ad Erythræum quod vocatur mare; quo in monte lapicidinæ sunt, unde Memphin ducti sunt lapides ad exstruendas pyramides. (2) Hoc loco desinens mons flectitur in eam quam dixi partem. Qua vero est maxima ejus longitudo, duorum mensium itineris esse accepi ab oriente versus occidentem; et extrema quidem illius, orientem spectantia, thuris esse feracia. (3) Hæc igitur hujus montis ratio est. Ab altera Ægypti parte, Libyam versus, alius mons prætenditur saxeus, in quo pyramides exstructæ sunt, arena obvolutus, pari modo porrectus atque ea pars Arabici montis quæ ad meridiem tendit. (4) Ab Heliopoli igitur non multum in latitudinem patet regio quæ Ægyptus esse censetur, sed ad quattuor dierum adverso flumine navigationem angusta Ægyptus est. Est autem regio, inter duos quos dixi montes interjecta, campestris; cujus latitudo, ubi minima, ducentorum admodum stadiorum esse, haud amplius, mihi visa est, ab Arabico monte ad Libycum: exinde vero rursus fit latior Ægyptus.

IX. Hæc igitur est hujus regionis natura. Est vero Heliopoli Thebas naviganti adverso flumine iter novem dierum: stadia sunt autem quater mille octingenta et sexaginta; schœni enim numerantur octoginta et unus. Hæc stadia si inter se componantur, quum latitudinem secundum mare porrectam jam supra dixerim esse trium millium sex

τέ ἐστι σταδίων καὶ τρισχιλίων, ὅσον δέ τι ἀπὸ θαλάσσης ἐς μεσόγαιαν μέχρι Θηβέων ἐστὶ, σημανέω· στάδιοι γάρ εἰσι εἴκοσι καὶ ἑκατὸν καὶ ἑξακισχίλιοι. Τὸ δὲ ἀπὸ Θηβέων ἐς Ἐλεφαντίνην καλευμένην πόλιν στάδιοι χίλιοι καὶ ὀκτακόσιοί εἰσι.

X. Ταύτης ὦν τῆς χώρης τῆς εἰρημένης ἡ πολλὴ, κατά περ οἱ ἱρέες ἔλεγον, ἐδόκεε καὶ αὐτῷ μοι εἶναι ἐπίκτητος Αἰγυπτίοισι. Τῶν γὰρ οὐρέων τῶν εἰρημένων τῶν ὑπὲρ Μέμφιν πόλιν κειμένων τὸ μεταξὺ ἐφαίνετό μοι εἶναι κοτε κόλπος θαλάσσης, ὥσπερ γε τὰ περὶ Ἴλιον καὶ Τευθρανίην καὶ Ἔφεσόν τε καὶ Μαιάνδρου πεδίον, ὥστε εἶναι σμικρὰ ταῦτα μεγάλοισι συμβαλέειν· τῶν γὰρ ταῦτα τὰ χωρία προσχωσάντων ποταμῶν ἑνὶ τῶν στομάτων τοῦ Νείλου, ἐόντος πενταστόμου, οὐδεὶς αὐτῶν πλήθεος πέρι ἄξιος συμβληθῆναι ἐστί. (2) Εἰσὶ δὲ καὶ ἄλλοι ποταμοὶ, οὐ κατὰ τὸν Νεῖλον ἐόντες μεγάθεα, οἵτινες ἔργα ἀποδεξάμενοι μεγάλα εἰσί· τῶν ἐγὼ φράσαι ἔχω οὐνόματα καὶ ἄλλων καὶ οὐκ ἥκιστα Ἀχελῴου, ὃς ῥέων δι' Ἀκαρνανίης καὶ ἐξιεὶς ἐς θάλασσαν τῶν Ἐχινάδων νήσων τὰς ἡμισέας ἤδη ἤπειρον πεποίηκε.

XI. Ἔστι δὲ τῆς Ἀραβίης χώρης, Αἰγύπτου δὲ οὐ πρόσω, κόλπος θαλάσσης ἐσέχων ἐκ τῆς Ἐρυθρῆς καλευμένης θαλάσσης, μακρὸς οὕτω δή τι καὶ στεινὸς ὡς ἔρχομαι φράσων. (2) Μῆκος μὲν πλόου, ἀρξαμένῳ ἐκ μυχοῦ διεκπλῶσαι ἐς τὴν εὐρέαν θάλασσαν, ἡμέραι ἀναισιμοῦνται τεσσεράκοντα εἰρεσίῃ χρεωμένῳ· εὖρος δὲ, τῇ εὐρύτατός ἐστι ὁ κόλπος, ἥμισυ ἡμέρης πλόου. Ῥηχίη δ' ἐν αὐτῷ καὶ ἄμπωτις ἀνὰ πᾶσαν ἡμέρην γίνεται. (3) Ἕτερον τοιοῦτον κόλπον καὶ τὴν Αἴγυπτον δοκέω γενέσθαι κου, τὸν μὲν ἐκ τῆς βορηΐης θαλάσσης κόλπον ἐσέχοντα ἐπ' Αἰθιοπίης, τὸν δὲ Ἀράβιον, τὸν ἔρχομαι λέξων, ἐκ τῆς νοτίης φέροντα ἐπὶ Συρίης, σχεδὸν μὲν ἀλλήλοισι συντετραίνοντας τοὺς μυχοὺς, ὀλίγον δέ τι παραλλάσσοντας τῆς χώρης. (4) Εἰ ὦν ἐθελήσει ἐκτρέψαι τὸ ῥέεθρον ὁ Νεῖλος ἐς τοῦτον τὸν Ἀράβιον κόλπον, τί μιν κωλύει ῥέοντος τούτου ἐκχωσθῆναι ἐντός γε δισμυρίων ἐτέων; ἐγὼ μὲν γὰρ ἔλπομαί γε καὶ μυρίων ἐντὸς χωσθῆναι ἄν· κοῦ γε δὴ ἐν τῷ προαναισιμωμένῳ χρόνῳ πρότερον ἢ ἐμὲ γενέσθαι οὐκ ἂν χωσθείη κόλπος καὶ πολλῷ μέζων ἔτι τούτου ὑπὸ τοσούτου τε ποταμοῦ καὶ οὕτω ἐργατικοῦ;

XII. Τὰ περὶ Αἴγυπτον ὦν καὶ τοῖσι λέγουσι αὐτὰ πείθομαι, καὶ αὐτὸς οὕτω κάρτα δοκέω εἶναι, ἰδών τε τὴν Αἴγυπτον προκειμένην τῆς ἐχομένης γῆς κογχύλιά τε φαινόμενα ἐπὶ τοῖσι οὔρεσι καὶ ἅλμην ἐπανθέουσαν, ὥστε καὶ τὰς πυραμίδας δηλέεσθαι, καὶ ψάμμον μοῦνον Αἰγύπτου οὖρος τοῦτο τὸ ὑπὲρ Μέμφιος ἔχον· (2) Πρὸς δὲ τῇ χώρῃ οὔτε τῇ Ἀραβίῃ προσούρῳ ἐούσῃ τὴν Αἴγυπτον προσικέλην οὔτε τῇ Λιβύῃ, οὐ μὴν οὐδὲ τῇ Συρίῃ (τῆς γὰρ Ἀραβίης τὰ παρὰ θάλασσαν Σύριοι νέμονται), ἀλλὰ μελάγγαιόν τε καὶ κατερρηγμένην ὥστε ἐοῦσαν ἰλύν τε καὶ πρόχυσιν ἐξ Αἰθιοπίης κατενηνειγμένην ὑπὸ τοῦ ποταμοῦ· (3) τὴν δὲ

centorum stadiorum, quænam sit longitudo a mari versus mediterranea Thebas usque, nunc declarabo : est nempe stadiorum sexies mille centum et viginti. Thebis autem usque Elephantinen sunt mille et octingenta stadia.

X. Hujus igitur quam dixi regionis plurima pars, quemadmodum et narrarunt sacerdotes, et mihi ipsi visum erat, adquisita Ægyptiis terra est. Etenim, quod inter prædictos montes supra Memphin sitos interjectum est, id mihi visum erat olim sinus maris fuisse, quemadmodum ea quæ circa Ilium sunt et Teuthraniam, et quæ circa Ephesum et Mæandri campum, si licet parva conferre cum magnis : nam neuter eorum fluviorum, quorum ex proluvie hæc loca enata sunt, ne cum uno quidem ex Nili ostiis, quæ numero quinque sunt, magnitudinem si spectes, meretur comparari. (2) Sunt vero etiam alii fluvii, magnitudine cum Nilo neutiquam conferendi, qui tamen res maximas efficiunt : quorum ego nomina edere possum, quum aliorum, tum maxime Acheloi ; qui Acarnaniam perfluens, ibique in mare se exonerans, Echinadum jam dimidiam partem ex insulis fecit confinentem.

XI. Est autem in Arabia, haud procul ab Ægypto, maris sinus, ex Rubro quod vocatur mari in terram pertinens, ita longus et angustus, uti dicturus sum. (2) Longitudo navigationis, si ab intimo sinus recessu proficiscaris navi remis agitata, donec in mare apertum perveneris, tanta est ut dies in ea consumantur quadraginta : latitudo autem, ubi latissimus sinus, dimidii unius diei navigatio. Obtinet autem in illo quotidie fluxus maris et refluxus. (3) Alium igitur similem fere huic sinum olim Ægyptum fuisse existimo, e septentrionali mari versus Æthiopiam influentem, sicut Arabius ille, de quo dicturus sum, ex australi mari Syriam versus tendit ; ambo propemodum sibi invicem recessus suos perforantes, exiguo terræ spatio interjecto. (4) Quodsi igitur Nilus in hunc Arabium sinum voluerit alveum suum avertere, quid impedit quominus hic sinus intra viginti annorum millia ingesto limo compleatur? Ego quidem arbitror, etiam intra decem millia annorum posse compleri. Cur igitur intra temporis spatium, quod ante meam ætatem effluxit, sinus multo etiam major quam hic non potuerit compleri a fluvio tam ingente tamque valido?

XII. Itaque hæc, quæ de Ægypto retuli, et his qui ea referunt credo, et ipse per me ita se habere existimo; quum et prominere videam Ægyptum ultra terram continentem, et conchylia videam reperiri in montibus, et salsuginem ubique efflorescere, ita ut ab ea etiam pyramides corrodantur, et eum solummodo montem Ægypti, qui supra Memphin est, arena obtectum : (2) ad hæc nec finitimæ regioni Arabicæ similem Ægyptum videmus, nec Libycæ, nec vero etiam Syriacæ ; (nam Arabiæ partem secundum mare porrectam Syri tenent) ; sed nigram terram atque confractam, utpote limum et proluvie n ex Æthiopia a fluvio delatam : (3) contra, Libyæ solum scimus rubicun-

Λιβύην ἴδμεν ἐρυθροτέρην τε γῆν καὶ ὑποψαμμοτέρην, τὴν δὲ Ἀραβίην τε καὶ Συρίην ἀργιλωδεστέρην τε καὶ ὑπόπετρον ἐοῦσαν.

XIII. Ἔλεγον δὲ καὶ τόδε μοι μέγα τεκμήριον περὶ τῆς χώρης ταύτης οἱ ἱρέες, ὡς ἐπὶ Μοίριος βασιλέος, ὅκως ἔλθοι ὁ ποταμὸς ἐπ' ὀκτὼ πήχεας τὸ ἐλάχιστον, ἄρδεσκε Αἴγυπτον τὴν ἔνερθε Μέμφιος· καὶ Μοίρι οὔκω ἦν ἔτεα εἰνακόσια τετελευτηκότι, ὅτε τῶν ἱρέων ταῦτα ἐγὼ ἤκουον. (2) Νῦν δὲ, ἢν μὴ ἐπ' ἑκκαίδεκα ἢ πεντεκαίδεκα πήχεας ἀναβῇ τὸ ἐλάχιστον ὁ ποταμὸς, οὐκ ὑπερβαίνει ἐς τὴν χώρην. (3) Δοκέουσί τέ μοι Αἰγυπτίων οἱ ἔνερθε τῆς λίμνης τῆς Μοίριος οἰκέοντες τά τε ἄλλα χωρία καὶ τὸ καλεύμενον Δέλτα, ἢν οὕτω ἡ χώρη αὕτη κατὰ λόγον ἐπιδιδῷ ἐς ὕψος καὶ τὸ ὁμοῖον ἀποδιδῷ ἐς αὔξησιν, μὴ κατακλύζοντος αὐτὴν τοῦ Νείλου πείσεσθαι τὸν πάντα χρόνον τὸν ἐπίλοιπον Αἰγύπτιοι τό κοτε αὐτοὶ Ἕλληνας ἔφασαν πείσεσθαι. (4) Πυθόμενοι γὰρ ὡς ὕεται πᾶσα ἡ χώρη τῶν Ἑλλήνων, ἀλλ' οὐ ποταμοῖσι ἄρδεται κατά περ ἡ σφετέρη, ἔφασαν Ἕλληνας ψευσθέντας κοτὲ ἐλπίδος μεγάλης κακῶς πεινήσειν. Τὸ δὲ ἔπος τοῦτο ἐθέλει λέγειν ὡς, εἰ μὴ ἐθελήσει σφι ὕειν ὁ θεὸς, ἀλλ' αὐχμῷ διαχρᾶσθαι, λιμῷ οἱ Ἕλληνες αἱρεθήσονται· οὐ γὰρ δή σφί ἐστι ὕδατος οὐδεμία ἄλλη ἀποστροφὴ ὅτι μὴ ἐκ τοῦ Διὸς μοῦνον.

XIV. Καὶ ταῦτα μὲν ἐς Ἕλληνας Αἰγυπτίοισι ὀρθῶς ἔχοντα εἴρηται. Φέρε δὲ νῦν καὶ αὐτοῖσι Αἰγυπτίοισι ὡς ἔχει φράσω. Εἰ σφι ἐθέλοι, ὡς καὶ πρότερον εἶπα, ἡ χώρη ἡ ἔνερθε Μέμφιος (αὕτη γάρ ἐστι ἡ αὐξανομένη) κατὰ λόγον τοῦ παροιχομένου χρόνου ἐς ὕψος αὐξάνεσθαι, ἄλλο τι ἢ οἱ ταύτῃ οἰκέοντες Αἰγυπτίων πεινήσουσι, εἰ μήτε γε ὕσεταί σφι ἡ χώρη μήτε ὁ ποταμὸς οἷός τ' ἔσται ἐς τὰς ἀρούρας ὑπερβαίνειν; (2) Ἦ γὰρ δὴ νῦν γε οὗτοι ἀπονητότατα καρπὸν κομίζονται ἐκ γῆς τῶν τε ἄλλων ἀνθρώπων ἁπάντων καὶ τῶν λοιπῶν Αἰγυπτίων· οἳ οὔτε ἀρότρῳ ἀναρρηγνύντες αὔλακας ἔχουσι πόνους οὔτε σκάλλοντες οὔτε ἄλλο ἐργαζόμενοι οὐδὲν τῶν ὄλλοι ἄνθρωποι περὶ λήϊον πονέουσι, ἀλλ' ἐπεάν σφι ὁ ποταμὸς αὐτόματος ἐπελθὼν ἄρσῃ τὰς ἀρούρας, ἄρσας δὲ ἀπολίπῃ ὀπίσω, τότε σπείρας ἕκαστος τὴν ἑωυτοῦ ἄρουραν ἐσβάλλει ἐς αὐτὴν ὗς, ἐπεὰν δὲ καταπατήσῃ τῇσι ὑσὶ τὸ σπέρμα, ἄμητον τὸ ἀπὸ τούτου μένει, ἀποδινήσας δὲ τῇσι ὑσὶ τὸν σῖτον οὕτω κομίζεται.

XV. Εἰ ὦν βουλόμεθα γνώμῃσι τῇσι Ἰώνων χρᾶσθαι τὰ περὶ Αἴγυπτον, οἳ φασι τὸ Δέλτα μοῦνον εἶναι Αἴγυπτον, ἀπὸ Περσέος καλευμένης σκοπιῆς λέγοντες τὸ παρὰ θάλασσαν εἶναι αὐτῆς μέχρι Ταριχεέων τῶν Πηλουσιακέων, τῇ δὴ τεσσεράκοντά εἰσι σχοῖνοι, τὸ δὲ ἀπὸ θαλάσσης λεγόντων ἐς μεσόγαιαν τείνειν αὐτὴν μέχρι Κερκασώρου πόλιος, κατ' ἣν σχίζεται ὁ Νεῖλος ἔς τε Πηλούσιον ῥέων καὶ ἐς Κάνωβον, τὰ δὲ ἄλλα λεγόντων τῆς Αἰγύπτου τὰ μὲν Λιβύης τὰ δὲ Ἀραβίης εἶναι, ἀποδεικνύοιμεν ἂν τούτῳ τῷ λόγῳ χρεώμενοι Αἰγυπτίοισι οὐκ ἐοῦσαν πρότερον χώρην. (2) Ἤδη γάρ

dum esse et arenosius, Arabiæ vero et Syriæ magis argillosum petrosumque.

XIII. Magnum vero etiam hoc mihi documentum memorarunt sacerdotes, ex quo de hujus terræ natura possit judicari: scilicet regnante Mœride, quando fluvius ad octo minimum cubitos auctus erat, irrigabat Ægyptum quæ infra Memphin est: a Mœridis autem obitu usque ad id tempus, quo ego hoc e sacerdotibus audivi, nondum efluxerant anni nongenti. (2) Nunc vero, nisi ad sedecim, aut ad quindecim minimum, cubitos augeatur fluvius, in terram non exundat. (3) Videnturque mihi ex Ægyptiis hi qui infra Mœridem lacum quum alia loca, tum Delta quod vocatur, incolunt, si pro eadem portione paulatim exaltabitur ea terra, et magis proinde magisque augebitur; videntur, inquam, mihi Ægyptii, quum terram eorum non amplius inundare Nilus potuerit, tunc per omne reliquum ævum idem passuri esse, quod ipsi aiebant Græcos aliquando passuros. (4) Nam quum audissent, universam Græcorum terram pluvia irrigari, non fluviis, quemadmodum Ægyptus; dixerunt, fore ut Græci aliquando, magna spe frustrati, misere esuriant. Quod verbum eo valebat, si quando ipsis deus noluerit pluere, sed siccitatem immittere, fame pressum iri Græcos; nec enim aliud illis esse refugium unde aquam petant, nisi a solo Jove.

XIV. Et hoc quidem, ad Græcos spectans, recte dixere Ægyptii. Age vero, ipsorum etiam Ægyptiorum quænam conditio sit, dicam. Si acciderit, quod paulo ante dixi, ut regio infra Memphin sita (hæc est enim quæ augetur) eadem ratione, qua præterito tempore, in altitudinem augeatur, quid aliud eveniet, nisi ut fame premantur Ægyptii regionem illam incolentes, quandoquidem nec pluvia irrigabitur illorum terra, nec fluvius poterit arva inundare? (2) Nam profecto nunc quidem hi, præ aliis hominibus cunctis, et præ reliquis Ægyptiis, minimo labore fructum e terra percipiunt: qui neque aratro sulcos findendo, nec terram fodiendo molestiam habent, nec opus ullum faciunt eorum, quibus alii omnes homines circa segetem multo cum labore occupantur: sed, postquam fluvius sponte accedens arva inundavit, et irrigata rursus reliquit, semen quisque in arvum suum spargit, tum sues in illud immittit; deinde, conculcato a suibus semine, messis tempus exspectat: denique, postquam per sues [*ni potius*, per boves] frumentum extrivit, ita illud domum comportat.

XV. Quodsi igitur Ionum de Ægypto sequi vellemus sententiam, qui Delta solum aiunt esse Ægyptum, quam secundum mare a Persei quæ vocatur specula usque ad Pelusiacas Taricheas porrigi dicunt, qua sunt quadraginta schœni; a mari vero versus mediterranea pertinere Ægyptum aiunt usque ad Cercasorum oppidum, ad quod scinditur Nilus, partim Pelusium versus fluens, partim Canobum; reliquos autem omnes Ægypti tractus, alios Libyæ esse aiunt, alios Arabiæ: hac, inquam, ratione utendo demonstrare possemus, nullam olim terram habuisse Ægyptios; (2) quandoquidem Delta hoc, ut ipsi adfirmant Ægyptii, utque

σφι τό γε Δέλτα, ὡς αὐτοὶ λέγουσι Αἰγύπτιοι καὶ ἐμοὶ δοκέει, ἐστὶ κατάρρυτόν τε καὶ νεωστὶ ὡς λόγῳ εἶπαι ἀναπεφηνός. Εἰ τοίνυν σφι χώρη γε μηδεμία ὑπῆρχε, τί περιεργάζοντο δοκέοντες πρῶτοι ἀνθρώπων γεγονέναι; οὐδὲ ἔδεε σφέας ἐς διάπειραν τῶν παιδίων ἰέναι, τίνα γλῶσσαν πρώτην ἀπήσουσι. (3) Ἀλλ' οὕτε Αἰγυπτίους δοκέω ἅμα τῷ Δέλτα τῷ ὑπ' Ἰώνων καλευμένῳ γενέσθαι, αἰεί τε εἶναι ἐξ οὗ ἀνθρώπων γένος ἐγένετο, προϊούσης δὲ τῆς χώρης πολλοὺς μὲν τοὺς ὑπολειπομένους αὐτῶν γενέσθαι, πολλοὺς δὲ τοὺς ὑποκαταβαίνοντας. Τὸ δ' ὦν πάλαι αἱ Θῆβαι Αἴγυπτος ἐκαλέετο, τῆς τὸ περίμετρον στάδιοί εἰσι εἴκοσι καὶ ἑκατὸν καὶ ἑξακισχίλιοι.

XVI. Εἰ ὦν ἡμεῖς ὀρθῶς περὶ αὐτῶν γινώσκομεν, Ἴωνες οὐκ εὖ φρονέουσι περὶ Αἰγύπτου· εἰ δὲ ὀρθή ἐστι ἡ τῶν Ἰώνων γνώμη, Ἕλληνάφτε καὶ αὐτοὺς Ἴωνας ἀποδείκνυμι οὐκ ἐπισταμένους λογίζεσθαι, οἳ φασι τρία μόρια εἶναι γῆν πᾶσαν, Εὐρώπην τε καὶ Ἀσίην καὶ Λιβύην· τέταρτον γάρ σφεας δεῖ προσλογίζεσθαι Αἰγύπτου τὸ Δέλτα, εἰ μήτε γέ ἐστι τῆς Ἀσίης μήτε τῆς Λιβύης. (2) Οὐ γὰρ δὴ ὁ Νεῖλός γέ ἐστι κατὰ τοῦτον τὸν λόγον ὁ τὴν Ἀσίην οὐρίζων τῆς Λιβύης· τοῦ Δέλτα δὲ τούτου κατὰ τὸ ὀξὺ περιῤῥήγνυται ὁ Νεῖλος, ὥστε ἐν τῷ μεταξὺ Ἀσίης τε καὶ Λιβύης γίνοιτ' ἄν.

XVII. Καὶ τὴν μὲν Ἰώνων γνώμην ἀπίεμεν, ἡμεῖς δὲ ὧδέ κη περὶ τούτων λέγομεν, Αἴγυπτον μὲν πᾶσαν εἶναι ταύτην τὴν ὑπ' Αἰγυπτίων οἰκεομένην κατά περ Κιλικίην τὴν ὑπὸ Κιλίκων καὶ Ἀσσυρίην τὴν ὑπ' Ἀσσυρίων, οὐρισμα δὲ Ἀσίῃ καὶ Λιβύῃ οἴδαμεν οὐδὲν ἐὸν ὀρθῷ λόγῳ εἰ μὴ τοὺς Αἰγυπτίων οὔρους. (2) Εἰ δὲ τῷ ὑπ' Ἑλλήνων νενομισμένῳ χρησόμεθα, νομιέομεν Αἴγυπτον πᾶσαν ἀρξαμένην ἀπὸ Καταδούπων τε καὶ Ἐλεφαντίνης πόλιος δίχα διαιρέεσθαι καὶ ἀμφοτέρων τῶν ἐπωνυμιέων ἔχεσθαι· τὰ μὲν γὰρ αὐτῆς εἶναι τῆς Λιβύης, τὰ δὲ τῆς Ἀσίης. (3) Ὁ γὰρ δὴ Νεῖλος ἀρξάμενος ἐκ τῶν Καταδούπων ῥέει μέσην Αἴγυπτον σχίζων ἐς θάλασσαν. Μέχρι μέν νυν Κερκασώρου πόλιος ῥέει εἷς ἐὼν ὁ Νεῖλος, τὸ δὲ ἀπὸ ταύτης τῆς πόλιος σχίζεται τριφασίας ὁδούς. (4) Καὶ ἡ μὲν πρὸς ἠῶ τράπεται, τὸ καλέεται Πηλούσιον στόμα, ἡ δὲ ἑτέρη τῶν ὁδῶν πρὸς ἑσπέρην ἔχει· τοῦτο δὲ Κανωβικὸν στόμα κέκληται. Ἡ δὲ δὴ ἰθέα τῶν ὁδῶν τῷ Νείλῳ ἐστὶ ἥδε· ἄνωθεν φερόμενος ἐς τὸ ὀξὺ τοῦ Δέλτα ἀπικνέεται, τὸ δὲ ἀπὸ τούτου σχίζων μέσον τὸ Δέλτα ἐς θάλασσαν ἐξίει, οὔτε ἐλαχίστην μοῖραν τοῦ ὕδατος παρεχόμενος ταύτῃ οὔτε ἥκιστα οὐνομαστήν· τὸ καλέεται Σεβεννυτικὸν στόμα. (5) Ἔστι δὲ καὶ ἕτερα διφάσια στόματα ἀπὸ τοῦ Σεβεννυτικοῦ ἀποσχισθέντα, φέροντα ἐς θάλασσαν· τοῖσι οὐνόματα κέεται τάδε, τῷ μὲν Σαϊτικὸν αὐτῶν, τῷ δὲ Μενδήσιον. Τὸ δὲ Βολβίτινον στόμα καὶ τὸ Βουκολικὸν οὐκ ἰθαγενέα στόματά ἐστι, ἀλλ' ὀρυκτά.

XVIII. Μαρτυρέει δέ μοι τῇ γνώμῃ, ὅτι τοσαύτη ἐστὶ Αἴγυπτος ὅσην τινὰ ἐγὼ ἀποδείκνυμι τῷ λόγῳ, καὶ τὸ Ἀμμωνος χρηστήριον γενόμενον· τὸ ἐγὼ τῆς ἐμεωυτοῦ γνώμης οὐδέν πρότερον ἤκουσα ἢ ἐπεὶ τοῦτο ἐγένετο, ἐστὶ δὲ ὧδε· Οἱ Θηβαίων τῶν ἐκ Διὸς ἱρέες ἐπύθοντο ἐμεῦ ἀπικόμενον ἐς τὴν Θήβην, ἐπειρώμενοι τὰ ἐγὼ ἐπυνθανόμην περὶ τοῦ Ἡρακλέος, ἐπύθοντο ἐμεῦ ἀπικόμενον ὅτι ἐνόμιζον πολλοὶ Ἑλλήνων, καὶ ἐποιεῦντο ἐμεῦ ἐπὶ τὸν Ἡρακλέα ἀπικόμενον ὅτι ἐνόμιζον πολλοὶ Ἑλλήνων, καὶ ἐποιεῦντο ἐμεῦ ἐπὶ τὸν Ἡρακλέα ἀπικόμενον θυσίην μεγάλην τε καὶ πολυτελέα. Ἐπιστάμενοι δὲ ἔφασαν ἐπιμελέως τὸν χρόνον τοῦτον, εἰ ἔστι τις καὶ ἄλλος ἀνθρώπων ἀπικόμενος ἐς τὴν Αἴγυπτον ὅτι ἐνόμιζον πολλοὶ Ἑλλήνων, καὶ ἐποιεῦντο ἐμεῦ ἐπὶ τὸν Ἡρακλέα ἀπικόμενον θυσίην μεγάλην τε καὶ πολυτελέα. Ἐπιστάμενοι δὲ ἔφασαν ἐπιμελέως τὸν χρόνον τοῦτον, εἰ ἔστι τις καὶ ἄλλος ἀνθρώπων ἀπικόμενος ἐς τὴν Αἴγυπτον ὅτι ἐνόμιζον πολλοὶ Ἑλλήνων, καὶ ἐποιεῦντο ἐμεῦ ἐπὶ τὸν Ἡρακλέα ἀπικόμενον θυσίην μεγάλην τε καὶ πολυτελέα. Ἐπιστάμενοι δὲ ἔφασαν ἐπιμελέως τὸν χρόνον τοῦτον, εἰ ἔστι τις καὶ ἄλλος ἀνθρώπων ἀπικόμενος ἐς τὴν Αἴγυπτον

mihi videtur, adluta terra est, et, verbo ut dicam, nuper enata. Quodsi igitur nulla olim fuit Ægyptiorum terra, quas tandem nugas egerunt, primos se hominum fuisse existimantes? Nec vero oportebat eos experimentum facere in puerulis, quemnam sermonem primum essent emissuri. (3) Ego vero existimo, Ægyptios non simul cum Delta, quod Iones vocant, originem cepisse, quin potius semper exstitisse, ex quo hominum exstitit genus; postquam vero proluvione aucta fuit eorum terra, multos quidem eorum in pristinis sedibus mansisse, alios vero paulatim versus inferiora descendisse. Olim igitur Thebæ (Thebais) Ægyptus nominabatur; cujus est circuitus sexies mille centum et viginti stadiorum.

XVI. Quodsi igitur nos recte de his statuimus, Iones non recte de Ægypto sentiunt: Sin vera est Ionum sententia, demonstrabo equidem, Græcos et ipsos Ionas nescire computare numeros. Nam quum tres esse dicant universæ terræ partes, Europam, Asiam, et Libyam; oportebat sane his quartam adnumerare, Delta Ægyptiacum; si quidem (ut iidem hi aiunt) nec Asiæ illud est, nec Libyæ. (2) Nam, secundum hanc utique rationem, non Nilus est qui Asiam a Libya disterminat: sed, quum circa apicem hujus Delta in duas partes frangatur Nilus, consequens est ut inter Asiam et Libyam medium Delta sit interjectum.

XVII. Sed Ionum omittamus opinionem; nos vero de his ita statuimus: Ægyptum dicimus esse universam hanc regionem ab Ægyptiis habitatam, quemadmodum Ciliciam quæ a Cilicibus, et Assyriam quæ ab Assyriis. Limitem vero qui Asiam a Libya disterminet, rectam si sequamur rationem, nullum alium novimus nisi Ægyptiorum fines. (2) Sin ea ratione utamur, quam Græci sequuntur, statuemus Ægyptum universam, initium sumentem a Cataduplis [*Catarrhacte minore*] et Elephantine oppido, in duas secari partes, et utrumque nomen participare; alteram enim ejus partem Africæ esse, alteram Asiæ. (3) Nilus enim postquam ad Cataduplas Ægyptum primum intravit, mediam illam dividens fluit in mare. Usque ad Cercasorum igitur oppidum nonnisi uno alveo fluit: ab hoc vero oppido tres in vias scinditur, (4) quarum una orientem versus tendit, quod Pelusium ostium vocatur; altera via occidentem versus tendens, Canobicum nominatur ostium. Quæ autem Nili via recta progreditur, hæc est: postquam e superiore regione delatus ad apicem illius Delta pervenit, inde medium Delta scindens in mare undas suas exonerat, nec minimam aquarum portionem, nec minime notabilem, huic viæ tribuens: quæ Sebennyticum ostium vocatur. (5) Sunt vero etiam duo alia ostia a Sebennytico diremta et per se in mare exeuntia: quorum alterum Saiticum, alterum nominatur Mendesium. Bolbitinum vero ostium et Bucolicum, non nativa sunt ostia, sed manu effossa.

XVIII. Confirmatur autem mea sententia, tantam esse Ægyptum quantam ego ratione demonstravi, effato etiam quod Ammonis oraculum edidit; quod effatum ego tum

τοῦ γνώμης ὕστερον περὶ Αἰγυπτον ἐπυθόμην. (2) Οἱ γὰρ δὴ ἐκ Μαρέης τε πόλιος καὶ Ἄπιος οἰκέοντες Αἰγύπτου τὰ πρόσουρα Λιβύῃ, αὐτοί τε δοκέοντες εἶναι Λίβυες καὶ οὐκ Αἰγύπτιοι, καὶ ἀχθόμενοι τῇ περὶ τὰ ἱρὰ θρησκηίῃ, βουλόμενοι θηλέων βοῶν μὴ ἔργεσθαι, ἐπεμψαν ἐς Ἄμμωνα φάμενοι οὐδὲν σφίσι τε καὶ Αἰγυπτίοισι κοινὸν εἶναι· οἰκέειν τε γὰρ ἔξω τοῦ Δέλτα καὶ οὐκ ὁμολογέειν αὐτοῖσι, βούλεσθαί τε πάντων σφίσι ἐξεῖναι γεύεσθαι. (3) Ὁ δὲ θεὸς σφεας οὐκ ἔα ποιέειν ταῦτα, φὰς Αἴγυπτον εἶναι ταύτην τὴν ὁ Νεῖλος ἐπιὼν ἄρδει, καὶ Αἰγυπτίους εἶναι τούτους οἳ ἔνερθε Ἐλεφαντίνης πόλιος οἰκέοντες ἀπὸ τοῦ ποταμοῦ τούτου πίνουσι. Οὕτω σφι ταῦτα ἐχρήσθη.

XIX. Ἐπέρχεται δὲ ὁ Νεῖλος, ἐπεὰν πληθύῃ, οὐ μόνον τὸ Δέλτα, ἀλλὰ καὶ τοῦ Λιβυκοῦ τε λεγομένου χώρου εἶναι καὶ τοῦ Ἀραβίου, ἐνιαχῇ καὶ ἐπὶ δύο ἡμερέων ἑκατέρωθι ὁδὸν, καὶ πλεῦν ἔτι τούτου καὶ ἔλασσον. (2) Τοῦ ποταμοῦ δὲ φύσιος πέρι οὔτε τι τῶν ἱρέων οὔτε ἄλλου οὐδενὸς παραλαβέειν ἐδυνάσθην. Πρόθυμος δὲ ἔα τάδε παρ' αὐτῶν πυθέσθαι, ὅ τι κατέρχεται μὲν ὁ Νεῖλος πληθύων ἀπὸ τροπέων τῶν θερινέων ἀρξάμενος ἐπ' ἑκατὸν ἡμέρας, πελάσας δ' ἐς τὸν ἀριθμὸν τούτων τῶν ἡμερέων ὀπίσω ἀπέρχεται, ἀπολείπων τὸ ῥέεθρον, ὥστε βραχὺς τὸν χειμῶνα ἅπαντα διατελέει ἐὼν μέχρι οὗ αὖτις τροπέων τῶν θερινέων. (3) Τούτων ὦν πέρι οὐδενὸς οὐδὲν οἷός τ' ἐγενόμην παραλαβέειν παρὰ τῶν Αἰγυπτίων, ἱστορέων αὐτοὺς ἥντινα δύναμιν ἔχει ὁ Νεῖλος τὰ ἔμπαλιν πεφυκέναι τῶν ἄλλων ποταμῶν. Ταῦτά τε δὴ τὰ λελεγμένα βουλόμενος εἰδέναι ἱστόρεον, καὶ ὅτι αὔρας ἀποπνεούσας μοῦνος πάντων ποταμῶν οὐ παρέχεται.

XX. Ἀλλ' Ἑλλήνων μέν τινες ἐπίσημοι βουλόμενοι γενέσθαι σοφίην ἔλεξαν περὶ τοῦ ὕδατος τούτου τριφασίας ὁδοὺς, τῶν τὰς μὲν δύο τῶν ὁδῶν οὐδ' ἀξιῶ μνησθῆναι εἰ μὴ ὅσον σημῆναι βουλόμενος μοῦνον. (2) Τῶν ἡ ἑτέρη μὲν λέγει τοὺς ἐτησίας ἀνέμους εἶναι αἰτίους πληθύειν τὸν ποταμὸν, κωλύοντας ἐς θάλασσαν ἐκρέειν τὸν Νεῖλον. Πολλάκις δὲ ἐτησίαι μὲν οὐκ ὦν ἔπνευσαν, ὁ δὲ Νεῖλος τὠυτὸ ἐργάζεται. Πρὸς δὲ, εἰ ἐτησίαι αἴτιοι ἔσαν, χρῆν καὶ τοὺς ἄλλους ποταμοὺς, ὅσοι τοῖσι ἐτησίῃσι ἀντίοι ῥέουσι, ὁμοίως πάσχειν καὶ κατὰ τὰ αὐτὰ τῷ Νείλῳ, καὶ μᾶλλον ἔτι τοσούτῳ ὅσῳ ἐλάσσονες ἐόντες ἀσθενέστερα τὰ ῥεύματα παρέχονται. (3) Εἰσὶ δὲ πολλοὶ μὲν ἐν τῇ Συρίῃ ποταμοὶ, πολλοὶ δὲ ἐν τῇ Λιβύῃ, οἳ οὐδὲν τοιοῦτο πάσχουσι οἷόν τι καὶ ὁ Νεῖλος.

XXI. Ἡ δ' ἑτέρη ἀνεπιστημονεστέρη μέν ἐστι τῆς λελεγμένης, λόγῳ δὲ εἶπαι θωμασιωτέρη· ἡ λέγει ἀπὸ τοῦ Ὠκεανοῦ ῥέοντα αὐτὸν ταῦτα μηχανᾶσθαι, τὸν δ' Ὠκεανὸν γῆν περὶ πᾶσαν ῥέειν.

XXII. Ἡ δὲ τρίτη τῶν ὁδῶν πολλὸν ἐπιεικεστάτη ἐοῦσα μάλιστα ἔψευσται. Λέγει γὰρ δὴ οὐδ' αὐτὴ οὐδὲν, φαμένη τὸν Νεῖλον ῥέειν ἀπὸ τηκομένης χιόνος, ὃς ῥέει μὲν ἐκ Λιβύης διὰ μέσων Αἰθιόπων, ἐκδιδοῖ δὲ ἐς Αἴγυπτον. (1) Κῶς ὦν δῆτα ῥέοι ἂν ἀπὸ χιόνος, ἀπὸ

demum cognovi, postquam meam de Ægypto sententiam mecum jam constitutam habueram. (2) Scilicet Mareæ oppidi et Apidis incolæ, quorum ager Libyæ est confinis, ipsi sese Libyes existimantes esse, non Ægyptios; quum ægre ferrent cærimonias sacrorum quæ in Ægypto observantur, cuperentque non prohiberi esu boum feminarum; ad Ammonem miserunt, dicentes, sibi nihil cum Ægyptiis esse commune; habitare enim extra Delta, nec sibi cum illis convenire, [*sive*, nec eadem, qua illos, lingua uti], postulareque ut sibi liceat omni genere carnium vesci. (3) Hoc vero eos deus vetuit facere, dicens, Ægyptum esse hanc terram quam Nilus affluens irrigat; et Ægyptios esse hos, qui infra Elephantinen urbem habitantes, ex hoc fluvio bibant. Hoc illis oraculum editum est.

XIX. Inundat autem Nilus, ubi justum augmentum cepit, non modo Delta, verum etiam eas regiones, quæ vel Libyæ dicuntur esse, vel Arabiæ, et quidem alicubi ad bidui utrimque viam, alibi etiam amplius, alibi minus. (2) De natura autem hujus fluvii nec a sacerdotibus, nec ab alio quoquam discere quidquam potui. Cupidus autem eram ex illis cognoscere, cur Nilus descendat augmentum capiens inde a solstitio æstivo ad centum dies, dein, expleto fere hoc numero dierum, retro cedat, diminuta paulatim aquæ copia ita ut constanter per totam hiemem brevis sit, donec redeat æstivum solstitium. (3) De his igitur nihil quidquam potui comperire ab Ægyptiis, quum ex eis quærerem, quamnam vim habeat Nilus, quod natura contraria esset atque reliqui fluvii. Hæc igitur, quæ divi, cognoscere cupiens, sciscitatus sum, tum vero etiam, cur unus omnium fluviorum nullas efflantes auras præberet.

XX. Græcorum vero nonnulli, insignes esse cupientes sapientiæ nomine, triplices vias explicandæ fluvii hujus naturæ inierunt: quarum viarum duas ne commemorare quidem operæ pretium duco, nisi quod nude significare eas volo. (2) Nempe earum altera [*quæ Thaletem auctorem habet*] ait, ventos etesias efficere ut augeatur flumen, prohibentes Nilum quominus in mare influat. At sæpius accidisse novimus, ut non flarent etesiæ, et idem tamen fecerit Nilus. Ad hæc, si etesiæ in caussa essent, oporteret ut aliis etiam fluviis, qui adversus etesias fluunt, idem quod Nilo et eodem modo accideret; atque eo etiam magis, quo minores sunt illi, adeoque cursum habent debiliorem. (3) Sunt autem in Syria multi fluvii, sunt item in Libya, quibus nihil tale accidit quale Nilo.

XXI. Altera via [*Hecataei*] inscitior est quidem, quam prædicta, sed (ut ita dicam) mirabilior: ait enim, eo id facere Nilum, quod ab Oceano fluat; Oceanum autem totam circumfluere terram.

XXII. Jam tertia illarum viarum, [*Anaxagoræ*] quum maxime speciosa sit, maxime omnium a vero aberrat. Nam et hæc nihil dicit, quum ait, e liquefacta nive fluere Nilum; qui quidem ex Libya per mediam fluit Æthiopiam, ac tum demum Ægyptum intrat. (2) Quo igitur pacto e nive

τῶν θερμοτάτων τόπων ῥέων ἐς τὰ ψυχρότερα; τῶν τὰ πολλά ἐστι ἀνδρί γε λογίζεσθαι τοιούτων πέρι οἵῳ τε ἐόντι, ὡς οὐδὲ οἰκὸς ἀπὸ χιόνος μιν ῥέειν. (3) Πρῶτον μὲν καὶ μέγιστον μαρτύριον οἱ ἄνεμοι παρέχονται πνέοντες ἀπὸ τῶν χωρέων τούτων θερμοί· δεύτερον δὲ, ὅτι ἀνομβρος ἡ χώρη καὶ ἀκρύσταλλος διατελέει ἐοῦσα, ἐπὶ δὲ χιόνι πεσούσῃ πᾶσα ἀνάγκη ἐστὶ ὅσαι ἐν πέντε ἡμέρῃσι, ὥστε εἰ ἐχιόνιζε, ὕετο ἂν ταῦτα τὰ χωρία. (4) Τρίτα δὲ οἱ ἄνθρωποι ὑπὸ τοῦ καύματος μέλανες ἐόντες· ἰκτῖνοι δὲ καὶ χελιδόνες δι' ἔτεος ἐόντες οὐκ ἀπολείπουσι, γέρανοι δὲ φεύγουσαι τὸν χειμῶνα τὸν ἐν τῇ Σκυθικῇ χώρῃ γινόμενον φοιτέουσι ἐς χειμασίην ἐς τοὺς τόπους τούτους. (5) Εἰ τοίνυν ἐχιόνιζε καὶ ὁσονῶν ταύτην τὴν χώρην δι' ἧς τε ῥέει καὶ ἐκ τῆς ἄρχεται ῥέων ὁ Νεῖλος, ἦν ἂν τούτων οὐδέν, ὡς ἡ ἀνάγκη ἐλέγχει.

XXIII. Ὁ δὲ περὶ τοῦ Ὠκεανοῦ λέξας ἐς ἀφανὲς τὸν μῦθον ἀνενείκας οὐκ ἔχει ἔλεγχον· οὐ γάρ τινα ἔγωγε οἶδα ποταμὸν Ὠκεανὸν ἐόντα, Ὅμηρον δὲ ἢ τινα τῶν πρότερον γενομένων ποιητέων δοκέω τὸ οὔνομα εὑρόντα ἐς τὴν ποίησιν ἐσενείκασθαι.

XXIV. Εἰ δὲ δεῖ μεμψάμενον γνώμας τὰς προκειμένας αὐτὸν περὶ τῶν ἀφανέων γνώμην ἀποδέξασθαι, φράσω διότι μοι δοκέει πληθύνεσθαι ὁ Νεῖλος τοῦ θέρεος. Τὴν χειμερινὴν ὥρην ἀπελαυνόμενος ὁ ἥλιος ἐκ τῆς ἀρχαίης διεξόδου ὑπὸ τῶν χειμώνων ἔρχεται τῆς Λιβύης τὰ ἄνω. (2) Ὡς μέν νυν ἐν ἐλαχίστῳ δηλῶσαι, πᾶν εἴρηται· τῆς γὰρ ἂν ἀγχοτάτω ᾖ χώρης οὗτος ὁ θεὸς καὶ κατ' ἥντινα, ταύτην οἰκὸς διᾳῆν τε ὑδάτων μάλιστα καὶ τὰ ἐγχώρια ῥεύματα μαραίνεσθαι τῶν ποταμῶν.

XXV. Ὡς δὲ ἐν πλέονι λόγῳ δηλῶσαι, ὧδε ἔχει. Διεξιὼν τῆς Λιβύης τὰ ἄνω ὁ ἥλιος τάδε ποιέει· ἅτε διὰ παντὸς τοῦ χρόνου αἰθρίου τε ἐόντος τοῦ ἠέρος τοῦ κατὰ ταῦτα τὰ χωρία καὶ ἀλεεινῆς τῆς χώρης ἐούσης, οὐκ ἐόντων ἀνέμων ψυχρῶν, διεξιὼν ποιέει οἷόν περ καὶ τὸ θέρος ἐωθὲ ποιέειν ἰὼν τὸ μέσον τοῦ οὐρανοῦ· (2) ἕλκει γὰρ ἐπ' ἑωυτὸν τὸ ὕδωρ, ἑλκύσας δὲ ἀπωθέει ἐς τὰ ἄνω χωρία, ὑπολαμβάνοντες δὲ οἱ ἄνεμοι καὶ διασκιδνάντες τήκουσι· καί εἰσι οἰκότως οἱ ἀπὸ ταύτης τῆς χώρης πνέοντες, ὅ τε νότος καὶ ὁ λίψ, ἀνέμων πολλὸν τῶν πάντων ὑετώτατοι. (3) Δοκέει δέ μοι οὐδὲ πᾶν τὸ ὕδωρ τὸ ἐπέτεον ἑκάστοτε ἀποπέμπεσθαι τοῦ Νείλου ὁ ἥλιος, ἀλλὰ καὶ ὑπολείπεσθαι περὶ ἑωυτόν. Πρηϋνομένου δὲ τοῦ χειμῶνος ἀπέρχεται ὁ ἥλιος ἐς μέσον τὸν οὐρανὸν ὀπίσω, καὶ τὸ ἐνθαῦτεν ἤδη ὁμοίως ἀπὸ πάντων ἕλκει τῶν ποταμῶν. (4) Τέως δὲ οἱ μὲν ὀμβρίου ὕδατος συμμισγομένου πολλοῦ αὐτοῖσι, ἅτε ὑομένης τε τῆς χώρης καὶ κεχαραδρωμένης, ῥέουσι μεγάλοι· τοῦ δὲ θέρεος τῶν τε ὄμβρων ἐπιλειπόντων αὐτοὺς καὶ ὑπὸ τοῦ ἡλίου ἑλκόμενοι ἀσθενέες εἰσί. (5) Ὁ δὲ Νεῖλος ἐὼν ἀνομβρος, ἑλκόμενος δὲ ὑπὸ τοῦ ἡλίου, μοῦνος ποταμῶν τοῦτον τὸν χρόνον οἰκότως αὐτὸς ἑωυτοῦ ῥέει πολλῷ ὑποδεέστερος ἢ τοῦ θέρεος· τότε μὲν γὰρ μετὰ

fluat, qui e calidissimis locis fluit in frigidiora? Quarum rerum pleræque sunt ejusmodi, ut homini, qui quidem judicare de talibus rebus valet, nullo modo probabile videatur Nilum fluere ex nive. (3) Primum quidem et maximum documentum exhibent venti, qui ex illis locis calidi perflant. Deinde hoc, quod constanter illa regio absque imbribus et absque glacie est: postquam autem nix decidit, omnino necesse est ut intra quinque dies pluat; quare, si ningeret in illis regionibus, plueret etiam. (4) Tertium documentum sunt homines, ab æstu nigri: tum quod milvi et hirundines non desinunt istic perennes esse; grues vero, hiemem Scythicæ terræ fugientes, in hæc loca tamquam in hiberna confugiunt. (5) Quodsi ergo ningeret, vel quantulumcumque, in hac regione per quam fluit et ubi initium capit Nilus, nihil horum esset futurum, quemadmodum necessitas arguit.

XXIII. Qui vero de Oceano dixit, is quum rem, de qua quæritur, in obscurum rejecerit, refutari non meretur. Ego enim fluvium Oceanum nullum novi: Homerum vero, aut alium ex antiquioribus poetis, puto invenisse nomen, et in poesin introduxisse.

XXIV. Jam si, improbatis sententiis quæ ab aliis sunt propositæ, nunc meam de rebus tam occultis debeo declarare, dicam qua de caussa fieri mihi videatur, ut æstate Nilus augeatur. Hiberno tempore sol, a priore cursu per hiemes depulsus, per superiora Libyæ transit. (2) Ita brevissimis verbis res tota declarata est: cui enim regioni proximus est hic deus, et supra quam ille transit, eam consentaneum est maxime sitire et aquæ inopiam pati, adeoque maxime exsiccari fluviorum scaturigines quæ sunt in ea regione.

XXV. Ut vero pluribus verbis rem declarem, ita se habet. Sol, per superiora Libyæ transiens, facit hocce: quum in illis locis constanter serenus sit aer, quumque calida sit ipsa regio, nec venti frigidi; per ea loca transiens sol facit idem, quod æstate facere consuevit, quando per medium cœlum transit. (2) Scilicet attrahit ad se aquam, attractamque in superiora loca dispellit, quam suscipientes venti dissipantesque liquefaciunt; ex quo consequitur ut venti ex illa regione flantes, Notus et Africus, omnium ventorum maxime sint pluvii. (3) Videtur autem mihi sol ne omnem quidem Nili aquam, quam quotannis attrahit, semper demittere, sed partem etiam circum se retinere. Mitescente vero hieme, redit sol in medium cœlum, et ab eo inde tempore pariter ex omnibus fluminibus aquam attrahit. (4) Ante id tempus igitur, quum multa de cœlo aqua fluvios misceatur, quippe imbribus perfusa terra, torrentibusque excavata, grandes illi fluunt: æstate vero, quum imbres eos deficiunt et sol aquam fluviorum attrahit, fluunt tenues. (5) Quare consentaneum est ut Nilus, quum imbribus non augeatur, aqua vero ejus a sole attrahatur, solus fluviorum per hiemem multo tenuior fluat quam æstate: æstate enim

πάντων τῶν ὑδάτων ἴσον ἕλκεται, τὸν δὲ χειμῶνα μοῦνος πιέζεται. Οὕτω τὸν ἥλιον νενόμικα τούτων αἴτιον εἶναι.

XXVI. Αἴτιος δὲ ὡυτὸς οὗτος κατὰ γνώμην τὴν ἐμὴν καὶ τὸν ἠέρα ξηρὸν τὸν ταύτῃ εἶναι, διακαίων τὴν διέξοδον αὐτοῦ· οὕτω τῆς Λιβύης τὰ ἄνω θέρος αἰεὶ κατέχει. (2) Εἰ δὲ ἡ στάσις ἤλλακτο τῶν ὡρέων, καὶ τοῦ οὐρανοῦ τῇ μὲν νῦν ὁ βορέης τε καὶ ὁ χειμὼν ἑστᾶσι, ταύτῃ μὲν τοῦ νότου ἦν ἡ στάσις καὶ τῆς μεσαμβρίης, τῇ δὲ ὁ νότος νῦν ἕστηκε, ταύτῃ δὲ ὁ βορέης, εἰ ταῦτα οὕτω εἶχε, ὁ ἥλιος ἂν ἀπελαυνόμενος ἐκ μέσου τοῦ οὐρανοῦ ὑπὸ τοῦ χειμῶνος καὶ τοῦ βορέεω ἦϊε ἂν τὰ ἄνω τῆς Εὐρώπης κατά περ νῦν τῆς Λιβύης ἔρχεται, διεξιόντα δ' ἄν μιν διὰ πάσης Εὐρώπης ἔλπομαι ποιέειν ἂν τὸν Ἴστρον τά περ νῦν ἐργάζεται τὸν Νεῖλον.

XXVII. Τῆς αὔρης δὲ πέρι, ὅτι οὐκ ἀποπνέει, τήνδε ἔχω γνώμην, ὡς κάρτα ἀπὸ θερμέων χωρέων οὐκ οἰκός ἐστι οὐδὲν ἀποπνέειν, αὔρη δὲ ἀπὸ ψυχροῦ τινὸς φιλέει πνέειν.

XXVIII. Ταῦτα μέν νυν ἔστω ὡς ἔστι τε καὶ ὡς ἀρχὴν ἐγένετο· τοῦ δὲ Νείλου τὰς πηγὰς οὔτε Αἰγυπτίων οὔτε Λιβύων οὔτε Ἑλλήνων τῶν ἐμοὶ ἀπικομένων ἐς λόγους οὐδεὶς ὑπέσχετο εἰδέναι, εἰ μὴ ἐν Αἰγύπτῳ ἐν Σάϊ πόλι ὁ γραμματιστὴς τῶν ἱρῶν χρημάτων τῆς Ἀθηναίης. (2) Οὗτος δ' ἔμοιγε παίζειν ἐδόκεε φάμενος εἰδέναι ἀτρεκέως. Ἔλεγε δὲ ὧδε, εἶναι δύο οὔρεα ἐς ὀξὺ τὰς κορυφὰς ἀπηγμένα, μεταξὺ Συήνης τε πόλιος κείμενα τῆς Θηβαΐδος καὶ Ἐλεφαντίνης, οὐνόματα δὲ εἶναι τοῖσι οὔρεσι τῷ μὲν Κρῶφι, τῷ δὲ Μῶφι· (3) τὰς ὧν δὴ πηγὰς τοῦ Νείλου ἐούσας ἀβύσσους ἐκ τοῦ μέσου τῶν οὐρέων τούτων ῥέειν, καὶ τὸ μὲν ἥμισυ τοῦ ὕδατος ἐπ' Αἰγύπτου ῥέειν καὶ πρὸς βορέην ἄνεμον, τὸ δ' ἕτερον ἥμισυ ἐπ' Αἰθιοπίης τε καὶ νότου. (4) Ὡς δὲ ἄβυσσοί εἰσι αἱ πηγαί, ἐς διάπειραν ἔφη τούτου Ψαμμίτιχον Αἰγύπτου βασιλέα ἀπικέσθαι· πολλέων γὰρ αὐτὸν χιλιάδων ὀργυιέων πλεξάμενον κάλον κατεῖναι ταύτῃ καὶ οὐκ ἐξικέσθαι ἐς βυσσόν. (5) Οὕτω μὲν δὴ ὁ γραμματιστὴς, εἰ ἄρα ταῦτα γενόμενα ἔλεγε, ἀπέφαινε, ὡς ἐμὲ κατανοέειν, δίνας τινὰς ταύτῃ ἐούσας ἰσχυρὰς καὶ παλίρροιαν, οἷα δὲ ἐμβάλλοντος τοῦ ὕδατος τοῖσι οὔρεσι, μὴ δύνασθαι κατιεμένην καταπειρητηρίην ἐς βυσσὸν ἰέναι.

XXIX. Ἄλλου δὲ οὐδενὸς οὐδὲν ἐδυνάμην πυθέσθαι, ἀλλὰ τοσόνδε μὲν ἄλλο ἐπὶ μακρότατον ἐπυθόμην, μέχρι μὲν Ἐλεφαντίνης πόλιος αὐτόπτης ἐλθὼν, τὸ δ' ἀπὸ τούτου ἀκοῇ ἤδη ἱστορέων. (2) Ἀπ' Ἐλεφαντίνης πόλιος ἄνω ἰόντι ἀναντές ἐστι χωρίον· ταύτῃ ὦν δεῖ τὸ πλοῖον διαδήσαντας ἀμφοτέρωθεν κατά περ βοῦν πορεύεσθαι· ἢν δὲ ἀπορραγῇ, τὸ πλοῖον οἴχεται φερόμενον ὑπ' ἰσχύος τοῦ ῥόου. Τὸ δὲ χωρίον τοῦτό ἐστι ἐπ' ἡμέρας τέσσερας πλόος, σκολιὸς δὲ ταύτῃ κατά περ ὁ Μαίανδρος ἐστὶ ὁ Νεῖλος· σχοῖνοι δὲ δυώδεκά εἰσι οὗτοι τοὺς δεῖ τούτῳ τῷ τρόπῳ διεκπλῶσαι. (3) Καὶ ἐπειpariter atque aliæ omnes aquæ attrahitur, hieme vero solus hoc patitur. Ita equidem mihi persuasi, solem esse hujus rei caussam.

XXVI. Est autem, ut mea fert opinio, idem sol etiam caussa, quæ ut aer ibi siccus sit efficit, omnia qua transit exurens: unde fit, ut superiora Libyæ perpetuo æstu premantur. (2) Quodsi permutaretur statio plagarum; si in ea cœli parte, qua nunc stat Boreas et hiems, foret Notus et meridies; contra, ubi nunc Notus, ibi Boreas staret: hæc si ita haberent, sol ab hieme et Borea e medio cœlo depulsus, transiturus esset superiora Europæ, quemadmodum nunc transit superiora Libyæ. Quodsi ergo per Europam omnem transiret, existimo eum Istro flumini idem esse facturum quod nunc Nilo facit.

XXVII. De aura vero, quod ex Nilo non perflat, hæc est mea sententia: nullo modo esse consentaneum ut e calidis locis aura perflet: aura enim e frigido aliquo spirat.

XXVIII. Sed sint hæc uti sunt, utque a principio fuerunt. Fontes vero Nili nemo neque Ægyptiorum, nec Libyum, nec Græcorum, quibuscum ego sermones miscui, se scire professus est, nisi in Ægypto, in Sai oppido, scriba rerum pretiosarum quæ Minervæ consecratæ sunt. (2) At is ludere mihi visus est, dicens adcurate se nosse. Dixit autem hoc modo: esse duos montes, cacuminibus in acutum desinentibus, inter Syenen Thebaidis oppidum et inter Elephantinen sitos; quorum alter Crophi, alter Mophi nominetur. (3) E medio horum montium fluere Nili fontes, fundum nullum habentes; et dimidium quidem aquarum versus Ægyptum et septemtrionem fluere, alterum dimidium versus Æthiopiam et meridiem. (4) Quod autem fundo careant hi fontes, id experimento cognovisse, aiebat, Psamnitichum Ægypti regem; etenim funem eo loci demisisse, multa millia orgyiarum continentem, neque ad fundum pervenisse. (5) Ita scriba ille, si modo vera sunt quæ dixit, declaravit, ut equidem intelligo, propter validos quosdam gurgites et aquarum repercussionem, quippe quæ montibus illidantur, descendere in fundum non potuisse demissam bolidem.

XXIX. Ex alio vero nemine nihil quidquam potui comperire. Sed hæc certe alia, quæ ad superiorem Ægyptum spectant, quoad longissime potui, exquirendo cognovi; quum usque ad Elephantinen oppidum ipse spectator accesserim, ulteriora vero auditu acceperim. (2) Ab Elephantine oppido superiora petenti acclivis locus est. Eó igitur loco navi utrimque, veluti bove, alligata oportet iter facere: quodsi rumpatur funis, retrogreditur navigium, vi fluminis abreptum. Est autem ille locus quattuor dierum navigatio; et tortuosus ibi Nilus est, quemadmodum Mæander: schœni autem sunt duodecim, per quos isto modo navigare

τεν ἀπίξεαι ἐς πεδίον λεῖον, ἐν τῷ νῆσον περιρρέει ὁ Νεῖλος· Ταχομψὼ οὔνομα αὐτῇ ἐστί. Οἰκέουσι δὲ τὰ ἀπ' Ἐλεφαντίνης ἄνω Αἰθίοπες ἤδη, καὶ τῆς νήσου τὸ ἥμισυ, τὸ δὲ ἥμισυ Αἰγύπτιοι. (4) Ἔχεται δὲ τῆς νήσου λίμνη μεγάλη, τὴν περιζ νομάδες Αἰθίοπες νέμονται· τὴν διεκπλώσας ἐκ τοῦ Νείλου τὸ ῥέεθρον ἥξεις, τὸ ἐς τὴν λίμνην ταύτην ἐκδιδοῖ. Καὶ ἔπειτεν ἀποβὰς παρὰ τὸν ποταμὸν ὁδοιπορίην ποιήσεαι ἡμερέων τεσσεράκοντα· σκόπελοί τε γὰρ ἐν τῷ Νείλῳ ὀξέες ἀνέχουσι καὶ χοιράδες πολλαί εἰσι, δι' ὧν οὐκ οἷά τέ ἐστι πλώειν. (5) Διεξελθὼν δὲ ἐν τῇσι τεσσεράκοντα ἡμέρῃσι τοῦτο τὸ χωρίον, αὖτις ἐς ἕτερον πλοῖον ἐμβὰς δυώδεκα ἡμέρας πλώσεαι, καὶ ἔπειτεν ἥξεις ἐς πόλιν μεγάλην τῇ οὔνομά ἐστι Μερόη· λέγεται δὲ αὕτη ἡ πόλις εἶναι μητρόπολις τῶν ἄλλων Αἰθιόπων. (6) Οἱ δ' ἐν ταύτῃ Δία θεῶν καὶ Διόνυσον μούνους σέβονται, τούτους τε μεγάλως τιμέουσι, καί σφι μαντήϊον Διὸς κατέστηκε. Στρατεύονται δ' ἐπεάν σφεας ὁ θεὸς οὗτος κελεύῃ διὰ θεσπισμάτων, καὶ τῇ ἂν κελεύῃ, ἐκεῖσε.

XXX. Ἀπὸ δὲ ταύτης τῆς πόλιος πλώων ἐν ἴσῳ χρόνῳ ἄλλῳ ἥξεις ἐς τοὺς αὐτομόλους ἐν ὅσῳ περ ἐξ Ἐλεφαντίνης ἦλθες ἐς τὴν μητρόπολιν τὴν Αἰθιόπων. Τοῖσι δὲ αὐτομόλοισι τούτοισι οὔνομά ἐστι Ἀσμάχ, δύναται δὲ τοῦτο τὸ ἔπος κατὰ τὴν Ἑλλήνων γλῶσσαν οἱ ἐξ ἀριστερῆς χειρὸς παριστάμενοι βασιλέϊ. (2) Ἀπέστησαν δὲ αὗται τέσσερες καὶ εἴκοσι μυριάδες Αἰγυπτίων τῶν μαχίμων ἐς τοὺς Αἰθίοπας τούτους δι' αἰτίην τοιήνδε. Ἐπὶ Ψαμμιτίχου βασιλέος φυλακαὶ κατέστασαν ἔν τε Ἐλεφαντίνῃ πόλι πρὸς Αἰθιόπων καὶ ἐν Δάφνῃσι τῇσι Πηλουσίῃσι ἄλλη πρὸς Ἀραβίων καὶ Σύρων, καὶ ἐν Μαρέῃ πρὸς Λιβύης ἄλλη. (3) Ἔτι δὲ ἐπ' ἐμεῦ καὶ Περσέων κατὰ ταὐτὰ αἱ φυλακαὶ ἔχουσι ὡς καὶ ἐπὶ Ψαμμιτίχου ἔσαν· καὶ γὰρ ἐν Ἐλεφαντίνῃ Πέρσαι φρουρέουσι καὶ ἐν Δάφνῃσι. Τοὺς ὦν δὴ Αἰγυπτίους τρία ἔτεα φρουρήσαντας ἀπέλυε οὐδεὶς τῆς φρουρῆς· οἱ δὲ βουλευσάμενοι καὶ κοινῷ λόγῳ χρησάμενοι πάντες ἀπὸ τοῦ Ψαμμιτίχου ἀποστάντες ἤϊσαν ἐς Αἰθιοπίην. (4) Ψαμμίτιχος δὲ πυθόμενος ἐδίωκε· ὡς δὲ κατέλαβε, ἐδέετο πολλὰ λέγων, καί σφεας θεοὺς πατρωίους ἀπολιπεῖν οὐκ ἔα καὶ τέκνα καὶ γυναῖκας. Τῶν δέ τινα λέγεται δείξαντα τὸ αἰδοῖον εἶπαι, ἔνθα ἂν τοῦτο ᾖ, ἔσεσθαι αὐτοῖσι ἐνθαῦτα καὶ τέκνα καὶ γυναῖκας. (5) Οὗτοι ἐπείτε ἐς Αἰθιοπίην ἀπίκοντο, διδοῦσι σφέας αὐτοὺς τῷ Αἰθιόπων βασιλέϊ. Ὁ δέ σφεας τῷδε ἀντιδωρέεται· ἔσαν οἱ διάφοροί τινες γεγονότες τῶν Αἰθιόπων· τούτους ἐκέλευε ἐξελόντας τὴν ἐκείνων γῆν οἰκέειν. Τούτων δὲ ἐσοικισθέντων ἐς τοὺς Αἰθίοπας ἡμερώτεροι γεγόνασι Αἰθίοπες, ἤθεα μαθόντες Αἰγύπτια.

XXXI. Μέχρι μέν νυν τεσσέρων μηνῶν πλόου καὶ ὁδοῦ γινώσκεται ὁ Νεῖλος πάρεξ τοῦ ἐν Αἰγύπτῳ ῥεύματος· τοσοῦτοι γὰρ συμβαλλομένῳ μῆνες εὑρίσκονται ἀναισιμούμενοι ἐξ Ἐλεφαντίνης πορευομένῳ ἐς τοὺς αὐτομόλους τούτους. Ῥέει δὲ ἀπ' ἑσπέρης τε καὶ ἠ-

oportet. (3) Inde in planum pervenis campum, in quo insulam Nilus circumfluit, cui nomen est Tachompso. Jam regionem supra Elephantinen sitam, et insulæ, quam dixi, dimidiam partem, Æthiopes incolunt; alteram insulæ partem Ægyptii. (4) Insulæ contiguus est lacus ingens, circum quem nomades incolunt Æthiopes: hunc lacum ubi pernavigaveris, rursus in alveum Nili pervenies, qui in hunc lacum perfluit. Inde progrediens, secundum flumen iter facies quadraginta dierum: eminent enim ex Nilo scopuli acuti, frequentiaque saxa sunt, per quæ navigare non licet. (5) Hoc tractu intra quadraginta dies peragrato, rursus aliud navigium conscendes, et post dierum duodecim navigationem ad magnum pervenies oppidum, cui nomen Meroe; quod oppidum dicitur esse metropolis reliquorum Æthiopum. (6) In hoc ex diis omnibus unum Jovem colunt et Bacchum; hos vero magnis honoribus venerantur: estque ibi Jovis oraculum constitutum. Bellum hi Æthiopes faciunt, quando hic deus illos per oraculum jussit; et quo ille jubet, eo bellum inferunt.

XXX. Ab hoc oppido navi profectus, eodem temporis spatio, quo ex Elephantine ad metropolin pervenisti Æthiopum, ad Automolos [*id est*, Transfugas] pervenies. Automolis his nomen est Asmach; quod vocabulum nostro sermone significat Regi a sinistra manu stantes. (2) Erant autem hi Ægyptii, ex bellatorum ordine, numero ducenta quadraginta millia, qui ad Æthiopes defecerant hac de caussa. Regnante Psammitticho præsidia constituta erant Ægyptiorum, adversus Æthiopas, in Elephantine oppido; adversus Arabes vero et Syros aliud præsidium Daphnis Pelusiacis; rursusque aliud Mareæ, adversus Libyam. (3) Et mea etiam ætate adhuc eodem modo se habent Persarum præsidia atque olim sub Psammitticho erant: nam et Elephantinæ in præsidio sunt Persæ, et Daphnis. Jam Ægyptiis, qui tunc Elephantinen tribus continuis annis præsidio tenuerant, nemo advenit qui eis in præsidium succederet: itaque hi, re deliberata, communi consilio omnes a Psammitticho descíscentes, ad Æthiopas transierunt. (4) Qua re cognita, Psammitichus illos persecutus est: adsecutusque multis verbis oravit dehortatusque est, patrios ne desererent deos, et liberos atque uxores. Cui unum ex his, pudenda ostendentem, respondisse ferunt, ubi hæc essent, ibi non defore ipsis liberos, nec uxores. (5) Hi postquam in Æthiopiam pervenere, tradiderunt se regi Æthiopiæ; qui illos ita remuneratus est: erat illi cum nonnullis Æthiopum contentio; jussit igitur hos sedibus suis expellere et eorum terram habitare. Ita, Ægyptiis intra Æthiopum fines receptis, mitiores facti sunt Æthiopes, mores Ægyptiacos edocti.

XXXI. Ad quattuor igitur mensium navigationem viamque cognitus est Nilus, ultra eum cursum quem per Ægyptum conficit. Etenim dierum summam colligendo, reperies tot insumendos esse menses, si quis ab Elephantine ad hos Automolos voluerit proficisci. Fluit autem Nilus a

λίου δυσμέων. Τὸ δὲ ἀπὸ τοῦδε οὐδεὶς ἔχει σαφέως φράσαι· ἐρῆμος γάρ ἐστι ἡ χώρη αὕτη ὑπὸ καύματος.

XXXII. Ἀλλὰ τάδε μὲν ἤκουσα ἀνδρῶν Κυρηναίων φαμένων ἐλθεῖν τε ἐπὶ τὸ Ἄμμωνος χρηστήριον καὶ ἀπικέσθαι ἐς λόγους Ἐτεάρχῳ τῷ Ἀμμωνίων βασιλεΐ, καί κως ἐκ λόγων ἄλλων ἀπικέσθαι ἐς λέσχην περὶ τοῦ Νείλου, ὡς οὐδεὶς αὐτοῦ οἶδε τὰς πηγάς, καὶ τὸν Ἐτέαρχον φάναι ἐλθεῖν κοτὲ παρ' αὐτὸν Νασαμῶνας ἄνδρας· (2) τὸ δὲ ἔθνος τοῦτο ἐστὶ μὲν Λιβυκὸν, νέμεται δὲ τὴν Σύρτιν τε καὶ τὴν πρὸς ἠῶ χώρην τῆς Σύρτιος οὐκ ἐπὶ πολλόν· ἀπικομένους δὲ τοὺς Νασαμῶνας καὶ εἰρωτεωμένους εἴ τι ἔχουσι πλέον λέγειν περὶ τῶν ἐρήμων τῆς Λιβύης, φάναι παρὰ σφίσι γενέσθαι ἀνδρῶν δυναστέων παῖδας ὑβριστὰς, τοὺς ἄλλα τε μηχανᾶσθαι ἀνδρωθέντας περισσὰ καὶ δὴ καὶ ἀποκληρῶσαι πέντε ἑωυτῶν ὀψομένους τὰ ἐρῆμα τῆς Λιβύης, καὶ εἴ τι πλέον ἴδοιεν τῶν τὰ μακρότατα ἰδομένων. (3) (Τῆς γὰρ Λιβύης τὰ μὲν κατὰ τὴν βορηΐην θάλασσαν ἀπ' Αἰγύπτου ἀρξάμενοι μέχρι Σολόεντος ἄκρης, ἢ τελευτᾷ τὰ τῆς Λιβύης, παρήκουσι παρὰ πᾶσαν Λίβυες καὶ Λιβύων ἔθνεα πολλὰ, πλὴν ὅσον Ἕλληνες καὶ Φοίνικες ἔχουσι· τὰ δ' ὑπὲρ θαλάσσης τε καὶ τῶν ἐπὶ θάλασσαν κατηκόντων ἀνθρώπων, τὰ κατύπερθε θηριώδης ἐστὶ ἡ Λιβύη· τὰ δὲ κατύπερθε τῆς θηριώδεος ψάμμος τέ ἐστι καὶ ἄνυδρος δεινῶς καὶ ἐρῆμος πάντων.) (4) Ἐκείνους ὦν τοὺς νεηνίας ἀποπεμπομένους ὑπὸ τῶν ἡλίκων, ὕδασί τε καὶ σιτίοισι εὖ ἐξηρτυμένους, ἰέναι τὰ πρῶτα μὲν διὰ τῆς οἰκεομένης, ταύτην δὲ διεξελθόντας ἐς τὴν θηριώδεα ἀπικέσθαι, ἐκ δὲ ταύτης τὴν ἐρῆμον διεξιέναι, τὴν ὁδὸν ποιευμένους πρὸς ζέφυρον ἄνεμον, διεξελθόντας δὲ χῶρον πολλὸν ψαμμώδεα καὶ ἐν πολλῇσι ἡμέρῃσι ἰδέειν δή κοτε δένδρεα ἐν πεδίῳ πεφυκότα, καί σφεας προσελθόντας ἅπτεσθαι τοῦ ἐπεόντος ἐπὶ τῶν δενδρέων καρποῦ, ἅπτομένοισι δέ σφι ἐπελθεῖν ἄνδρας μικροὺς, μετρίων ἐλάσσονας ἀνδρῶν, λαβόντας δὲ ἄγειν σφέας· φωνῆς δὲ οὔτε τι τῆς ἐκείνων τοὺς Νασαμῶνας γινώσκειν οὔτε τοὺς ἄγοντας τῶν Νασαμώνων. (5) Ἄγειν τε δὴ αὐτοὺς δι' ἑλέων μεγίστων, καὶ διεξελθόντας ταῦτα ἀπικέσθαι ἐς πόλιν ἐν τῇ πάντας εἶναι τοῖσι ἄγουσι τὸ μέγαθος ἴσους, χρῶμα δὲ μέλανας. Παρὰ δὲ τὴν πόλιν ῥέειν ποταμὸν μέγαν, ῥέειν δὲ ἀπ' ἑσπέρης αὐτὸν πρὸς ἥλιον ἀνατέλλοντα, φαίνεσθαι δὲ ἐν αὐτῷ κροκοδείλους.

XXXIII. Ὁ μὲν δὴ τοῦ Ἀμμωνίου Ἐτεάρχου λόγος ἐς τοῦτό μοι δεδηλώσθω, πλὴν ὅτι ἀπονοστῆσαί τε ἔφασκε τοὺς Νασαμῶνας, ὡς οἱ Κυρηναῖοι ἔλεγον, καὶ ἐς τοὺς οὗτοι ἀπίκοντο ἀνθρώπους, γόητας εἶναι πάντας· τὸν δὲ δὴ ποταμὸν τοῦτον τὸν παραρρέοντα καὶ Ἐτέαρχος συνεβάλλετο εἶναι Νεῖλον, καὶ δὴ καὶ ὁ λόγος οὕτω αἰρέει. (2) Ῥέει γὰρ ἐκ Λιβύης ὁ Νεῖλος, καὶ μέσην τάμνων Λιβύην· καὶ ὡς ἐγὼ συμβάλλομαι τοῖσι ἐμφανέσι τὰ μὴ γινωσκόμενα τεκμαιρόμενος, τῷ Ἴστρῳ ἐκ τῶν ἴσων μέτρων δρμᾶται. Ἴστρος τε γὰρ

vespera et solis occasu. Quæ vero ultra sunt, nemo novit: est enim deserta terra ob solis fervorem.

XXXII. Verumtamen hæcce audivi ex hominibus nonnullis Cyrenæis, qui se dicebant ad Ammonis venisse oraculum, ibique sermones miscuisse cum Etearcho, rege Ammoniorum. Tum forte, ex aliis sermonibus incidisse se, aiebant, in confabulationem de Nilo, cujus fontes nemini sint cogniti: et dixisse Etearchum, venisse ad se olim homines Nasamonas: (2) est autem hic Libycus populus, Syrtin incolens et terræ tractum a Syrti orientem versus haud ita magnum; hos Nasamonas, ubi ex eis quæsisset an aliquid amplius haberent quæ de desertis dicerent Libyæ, narrasse: fuisse apud se dynastarum quorumdam filios petulantes; qui, postquam virilem attigissent ætatem, quum alia curiosius machinati sint, tum vero quinque e suo numero sorte designaverint, solitudines Africæ lustraturos, operamque daturos, ut aliquid amplius viderent quam hi qui eas quam longissime inspexissent. (3) (Nam Libyæ totum tractum secundum mare boreale porrectum, ab Ægypto inde usque ad Soloentem promontorium, ubi desinit Libyca, Libyes incolunt, et multi quidem Libyci populi, præter eas partes quas Græci atque Phœnices obtinent. Quæ vero supra oram maritimam sita sunt, et supra eorum hominum ditionem quorum sedes usque ad mare pertinent; superiora ista Libyæ a feris habitantur: supra vero tractum feris refertum, arena est, arida prorsus et aqua carens terra, denique omnino deserta.) (4) Juvenes igitur illos, ab æqualibus suis emissos, aqua et cibariis bene instructos, primum terram peragrasse habitatam: eaque trajecta, pervenisse in eam quæ feris est referta; tum ex hac transisse in desertam, iter Zephyrum ventum versus per eam facientes. Postquam multum terræ arenosæ permeassent, post multos dies conspexisse tandem aliquando arbores, quæ in planitie creverant; accessisseque et fructum arborum gustasse. Gustantibus vero supervenisse homines parvos, minores modica statura, qui eos prehensos abduxissent: sermonem vero illorum non intellexisse Nasamonas, nec illos sermonem ipsorum. (5) Ab his igitur abductos esse per maximas paludes, easque prætergressos pervenisse in oppidum, in quo cunctos fuisse his, qui illos abduxerant, statura æquales, nigros autem colore. Ad oppidum illud fluere flumen ingens: fluere autem ab occidente versus orientem solem, in eoque reperiri crocodilos.

XXXIII. Hactenus igitur a me exposita sit Ammonii Etearchi narratio: hoc unum adjiciam, dixisse eum, rediisse hos Nasamonas, ut quidem narraverint Cyrenæi; et homines illos, ad quos pervenissent, præstigiatores esse omnes. Jam vero fluvium illum præterfluentem et Etearchus conjectabat esse Nilum, atque etiam ratio ita suadet. (2) Fluit enim ex Libya Nilus, mediam illam secans; et, ut ego conjicio, ex manifestis de his quæ minus cognita sunt conjecturam capiens, similum Istro cursus rationem habet. Nam

ποταμὸς ἀρξάμενος ἐκ Κελτῶν καὶ Πυρήνης πόλιος ῥέει μέσην σχίζων τὴν Εὐρώπην. (3) Οἱ δὲ Κελτοί εἰσι ἔξω Ἡρακλέων στηλέων, ὁμουρέουσι δὲ Κυνησίοισι, οἳ ἔσχατοι πρὸς δυσμέων οἰκέουσι τῶν ἐν τῇ Εὐρώπῃ κατοικημένων. Τελευτᾷ δὲ ὁ Ἴστρος ἐς θάλασσαν τὴν τοῦ Εὐξείνου πόντου, τῇ Ἰστρίην οἱ Μιλησίων οἰκέουσι ἄποικοι.

XXXIV. Ὁ μὲν δὴ Ἴστρος, ῥέει γὰρ δι' οἰκευμένης, πρὸς πολλῶν γινώσκεται, περὶ δὲ τῶν τοῦ Νείλου πηγέων οὐδεὶς ἔχει λέγειν· ἀοίκητός τε γάρ ἐστι καὶ ἐρῆμος ἡ Λιβύη δι' ἧς ῥέει. Περὶ δὲ τοῦ ῥεύματος αὐτοῦ, ἐπ' ὅσον μακρότατον ἱστορεῦντα ἦν ἐξικέσθαι, εἴρηται· ἐκδιδοῖ δὲ ἐς Αἴγυπτον. (2) Ἡ δὲ Αἴγυπτος τῆς ὀρεινῆς Κιλικίης μάλιστά κῃ ἀντίη κέεται· ἐνθεῦτεν δὲ ἐς Σινώπην τὴν ἐν τῷ Εὐξείνῳ πόντῳ πέντε ἡμερέων ἰθέα ὁδὸς εὐζώνῳ ἀνδρί· ἡ δὲ Σινώπη τῷ Ἴστρῳ ἐκδιδόντι ἐς θάλασσαν ἀντίον κέεται. Οὕτω τὸν Νεῖλον δοκέω διὰ πάσης τῆς Λιβύης διεξιόντα ἐξισοῦσθαι τῷ Ἴστρῳ. Νείλου μέν νυν πέρι τοσαῦτα εἰρήσθω.

XXXV. Ἔρχομαι δὲ περὶ Αἰγύπτου μηκυνέων τὸν λόγον, ὅτι πλέω θωμάσια ἔχει ἢ ἄλλη πᾶσα χώρη καὶ ἔργα λόγου μέζω παρέχεται πρὸς πᾶσαν χώρην· τούτων εἵνεκεν πλέω περὶ αὐτῆς εἰρήσεται. (2) Αἰγύπτιοι ἅμα τῷ οὐρανῷ τῷ κατὰ σφέας ἐόντι ἑτεροίῳ καὶ τῷ ποταμῷ φύσιν ἀλλοίην παρεχομένῳ ἢ οἱ ἄλλοι ποταμοί, τὰ πολλὰ πάντα ἐμπαλιν τοῖσι ἄλλοισι ἀνθρώποισι ἐστήσαντο ἤθεά τε καὶ νόμους· ἐν τοῖσι αἱ μὲν γυναῖκες ἀγοράζουσι καὶ καπηλεύουσι, οἱ δὲ ἄνδρες κατ' οἴκους ἐόντες ὑφαίνουσι. (3) Ὑφαίνουσι δὲ οἱ μὲν ἄλλοι ἄνω τὴν κρόκην ὠθέοντες, Αἰγύπτιοι δὲ κάτω. Τὰ ἄχθεα οἱ μὲν ἄνδρες ἐπὶ τῶν κεφαλέων φορέουσι, αἱ δὲ γυναῖκες ἐπὶ τῶν ὤμων. (4) Οὐρέουσι αἱ μὲν γυναῖκες ὀρθαί, οἱ δὲ ἄνδρες κατήμενοι. Εὐμαρίῃ χρέονται ἐν τοῖσι οἴκοισι, ἐσθίουσι δὲ ἔξω ἐν τῇσι ὁδοῖσι, ἐπιλέγοντες ὡς τὰ μὲν αἰσχρὰ ἀναγκαῖα δὲ ἐν ἀποκρύφῳ ἐστὶ ποιέειν χρεών, τὰ δὲ μὴ αἰσχρὰ ἀναφανδόν. (5) Ἱρᾶται γυνὴ μὲν οὐδεμία οὔτε ἔρσενος θεοῦ οὔτε θηλέης, ἄνδρες δὲ πάντων τε καὶ πασέων. Τρέφειν τοὺς τοκέας τοῖσι μὲν παισὶ οὐδεμία ἀνάγκη μὴ βουλομένοισι, τῇσι δὲ θυγατράσι πᾶσα ἀνάγκη καὶ μὴ βουλομένῃσι.

XXXVI. Οἱ ἱρέες τῶν θεῶν τῇ μὲν ἄλλῃ κομέουσι, ἐν Αἰγύπτῳ δὲ ξυρεῦνται. Τοῖσι ἄλλοισι ἀνθρώποισι νόμος ἅμα κήδεϊ κεκάρθαι τὰς κεφαλὰς τοὺς μάλιστα ἰκνέεται· Αἰγύπτιοι δὲ ὑπὸ τοὺς θανάτους ἀνιεῖσι τὰς τρίχας αὔξεσθαι τάς τε ἐν τῇ κεφαλῇ καὶ τῷ γενείῳ, τέως ἐξυρημένοι. (2) Τοῖσι μὲν ἄλλοισι ἀνθρώποισι χωρὶς θηρίων ἡ δίαιτα ἀποκέκριται, Αἰγυπτίοισι δὲ ὁμοῦ θηρίοισι ἡ δίαιτά ἐστι. Ἀπὸ πυρῶν καὶ κριθέων ὄλλοι ζώουσι, Αἰγυπτίων δὲ τῷ ποιευμένῳ ἀπὸ τούτων τὴν ζόην ὀνειδος μέγιστόν ἐστι, ἀλλ' ἀπ' ὀλυρέων ποιεῦνται σιτία, τὰς ζειὰς μετεξέτεροι καλεῦσι. (3) Φυρῶσι τὸ μὲν σταῖς τοῖσι ποσὶ, τὸν δὲ πηλὸν τῇσι χερσὶ, καὶ τὴν κόπρον ἀναιρέονται. Τὰ αἰδοῖα ὄλλοι μὲν ἐῶσι

Ister fluvius, a Celtis et Pyrene oppido initium sumens, mediam perfluit scinditque Europam. (3) Habitant autem Celtæ extra Herculis columnas, finitimique sunt Cynesiorum, qui sunt extremus populus versus occidentem eorum qui Europam incolunt. Desinit autem Ister, in mare influens Ponti Euxini, ubi Istriam habitant coloni Milesiorum.

XXXIV. Ister igitur, quum per habitatam fluat terram, multis hominibus notus est. Nili autem fontes docere nemo nos potest, quoniam non habitata desertaque est Libya, quam perfluit. De ejus cursu vero, quoad longissime eum cognoscere percunctando potui, dictum est. Exit autem Nilus in Ægyptum. (2) Sita est autem Ægyptus ex adverso maxime montanæ Ciliciæ, unde ad Sinopen oppidum ad Pontum Euxinum via recta est expedito homini quinque dierum : Sinope autem est ex adverso Istri, qua is in mare influit. Ita Nilum quidem, qui totam Libyam percurrit, æqualem censeo Istro. Sed de Nilo hæc dicta sufficiant.

XXXV. Progredior nunc, longiorem de Ægypto narrationem exordiens, quoniam et plures res mirabiles habet, quam alia quælibet regio, et narrationem omnem superantia opera exhibet præ quavis alia : qua de causa copiosius de ea exponam. (2) Ægyptii, quemadmodum apud eos cælum diversum est, et fluvii natura longe differt ceterorum natura fluviorum, sic et ipsi plerisque omnibus in rebus mores sequuntur et instituta ceteris hominibus contraria. Apud eos mulieres forum frequentant et mercantur; viri autem, domi sedentes, telam texunt. (3) Texunt autem alii homines tramam sursum adigentes, Ægyptii deorsum. Onera viri in capitibus ferunt; feminæ in humeris. (4) Mingunt feminæ, rectæ stantes; viri, se deprimentes. Alvum exonerant intra domos; cibum vero capiunt extra, in viis publicis : dicentes, quæ turpia quidem sint, sed necessaria, ea in occulto facienda; quæ vero non turpia, in aperto. (5) Femina nulla sacerdotio fungitur, nec dei ullius, nec deæ : viri sacerdotes sunt tam dearum omnium, quam deorum. Nutrire parentes non tenentur filii, nisi ultro id faciant; filiæ vero, etiam si nolint, lege tenentur.

XXXVI. Deorum sacerdotes aliis in terris comam alunt; in Ægypto tondentur. Apud alios homines institutum est, ut in propinquorum funeribus tondeant caput : Ægyptii, mortuo aliquo suorum, capillos et barbam augeri sinunt, antea tonsi. (2) Alii homines seorsum ab animalibus vitam agunt : Ægyptii una cum animalibus degunt. Alii tritico et hordeo vescuntur : apud Ægyptios, qui hisce vitam sustentat, ei id maximo probro est; ex olyra vero panem et alia farinacea parant, quam nonnulli zeam vocant. (3) Farinam Ægyptii pedibus subigunt, lutum vero manibus; manibus item stercus tollunt. Pudenda alii homines si-

ὡς ἐγένοντο, πλὴν ὅσοι ἀπὸ τούτων ἔμαθον, Αἰγύπτιοι δὲ περιτάμνονται. (4) Εἵματα τῶν μὲν ἀνδρῶν ἕκαστος ἔχει δύο, τῶν δὲ γυναικῶν ἓν ἑκάστη. Τῶν ἱστίων τοὺς κρίκους καὶ τοὺς κάλους οἱ μὲν ἄλλοι ἔξωθεν προσδέουσι, Αἰγύπτιοι δὲ ἔσωθεν. (5) Γράμματα γράφουσι καὶ λογίζονται ψήφοισι Ἕλληνες μὲν ἀπὸ τῶν ἀριστερῶν ἐπὶ τὰ δεξιὰ φέροντες τὴν χεῖρα, Αἰγύπτιοι δὲ ἀπὸ τῶν δεξιῶν ἐπὶ τὰ ἀριστερά· καὶ ποιεῦντες ταῦτα αὐτοὶ μέν φασι ἐπὶ δεξιὰ ποιέειν, Ἕλληνας δὲ ἐπ' ἀριστερά. Διφασίοισι δὲ γράμμασι χρέονται, καὶ τὰ μὲν αὐτῶν ἱρά, τὰ δὲ δημοτικὰ καλέεται.

XXXVII. Θεοσεβέες δὲ περισσῶς ἐόντες μάλιστα πάντων ἀνθρώπων νόμοισι τοισισίδε χρέονται. Ἐκ χαλκέων ποτηρίων πίνουσι, διασμέοντες ἀνὰ πᾶσαν ἡμέρην, οὐκ ὁ μέν, ὁ δ' οὔ, ἀλλὰ πάντες. (2) Εἵματα δὲ λίνεα φορέουσι αἰεὶ νεόπλυτα, ἐπιτηδεύοντες τοῦτο μάλιστα. Τά τε αἰδοῖα περιτάμνονται καθαριότητος εἵνεκεν, προτιμέοντες καθαροὶ εἶναι ἢ εὐπρεπέστεροι. (3) Οἱ δὲ ἱρέες ξυρεῦνται πᾶν τὸ σῶμα διὰ τρίτης ἡμέρης, ἵνα μήτε φθεὶρ μήτε ἄλλο μυσαρὸν μηδὲν ἐγγίνηταί σφι θεραπεύουσι τοὺς θεούς. (4) Ἐσθῆτα δὲ φορέουσι οἱ ἱρέες λινέην μούνην, καὶ ὑποδήματα βύβλινα· ἄλλην δέ σφι ἐσθῆτα οὐκ ἔξεστι λαβέειν, οὐδὲ ὑποδήματα ἄλλα. Λοῦνται δὲ δὶς τῆς ἡμέρης ἑκάστης ψυχρῷ, καὶ δὶς ἑκάστης νυκτός. Ἄλλας τε θρησκηίας ἐπιτελέουσι μυρίας ὡς εἶπαι λόγῳ. (5) Πάσχουσι δὲ καὶ ἀγαθὰ οὐκ ὀλίγα· οὔτε τι γὰρ τῶν οἰκηίων τρίβουσι οὔτε δαπανέονται, ἀλλὰ καὶ σιτία σφί ἐστι ἱρὰ πεσσόμενα, καὶ κρεῶν βοέων καὶ χηνέων πλῆθός τι ἑκάστῳ γίνεται πολλὸν ἑκάστης ἡμέρης, δίδοται δέ σφι καὶ οἶνος ἀμπέλινος. (6) Ἰχθύων δὲ οὐ σφι ἔξεστι πάσασθαι. Κυάμους δὲ οὔτε τι μάλα σπείρουσι Αἰγύπτιοι ἐν τῇ χώρῃ, τούς τε γενομένους οὔτε τρώγουσι οὔτε ἕψοντες πατέονται. Οἱ δὲ δὴ ἱρέες οὐδὲ ὁρέοντες ἀνέχονται, νομίζοντες οὐ καθαρόν μιν εἶναι ὄσπριον. (7) Ἱρῆες δὲ οὐκ εἷς ἑκάστου τῶν θεῶν, ἀλλὰ πολλοί, τῶν εἷς ἐστὶ ἀρχιέρεως· ἐπεὰν δέ τις ἀποθάνῃ, τούτου ὁ παῖς ἀντικατίσταται.

XXXVIII. Τοὺς δὲ βοῦς τοὺς ἔρσενας τοῦ Ἔπάφου εἶναι νομίζουσι, καὶ τούτου εἵνεκεν δοκιμάζουσι αὐτοὺς ὧδε. Τρίχα ἢν καὶ μίαν ἴδηται ἐπεοῦσαν μέλαιναν, οὐ καθαρὸν εἶναι νομίζει. (2) Δίζηται δὲ ταῦτα ἐπὶ τούτῳ τεταγμένος τῶν τις ἱρέων καὶ ὀρθοῦ ἑστεῶτος τοῦ κτήνεος καὶ ὑπτίου, καὶ τὴν γλῶσσαν ἐξειρύσας, εἰ καθαρὴ τῶν προκειμένων σημηίων, τὰ ἐγὼ ἐν ἄλλῳ λόγῳ ἐρέω. Κατορᾷ δὲ καὶ τὰς τρίχας τῆς οὐρῆς, εἰ κατὰ φύσιν ἔχει πεφυκυίας. (3) Ἢν δὲ τούτων πάντων ἢ καθαρὸς, σημαίνεται βύβλῳ περὶ τὰ κέρεα εἰλίσσων, καὶ ἐπειτεν γῆν σημαντρίδα ἐπιπλάσας ἐπιδάλλει τὸν δακτύλιον· καὶ οὕτω ἀπάγουσι. Ἀσήμαντον δὲ θύσαντι θάνατος ἡ ζημίη ἐπικέεται. Δοκιμάζεται μέν νιν τὸ κτῆνος τρόπῳ τοιῷδε.

XXXIX. Θυσίη δέ σφι ἥδε κατέστηκε. Ἀγαγόντες τὸ σεσημασμένον κτῆνος πρὸς τὸν βωμὸν, ὅκου ἂν

nunt uti natura sunt, nisi qui ab his didicere, Ægyptii ea circumcidunt. (4) Vestes vir quilibet binas habet; femina unam. Velorum annulos et funes alii extrinsecus adligant, Ægyptii intrinsecus. (5) Literarum elementa scribunt et calculis computant Græci a sinistra parte ad dextram promoventes manum: Ægyptii a dextra ad sinistram; atque id facientes, dextrorsum se scribere dicunt, Græcos autem ad sinistram. Utuntur autem duplici genere scripturæ, quorum alterum sacrum vocatur, alterum populare.

XXXVII. Religiosi quum sint supra modum, et magis quam alii omnes homines, ritibus utuntur hujusmodi. Ex æneis bibunt poculis, eaque quotidie operose eluunt exterguntque; non hic, nec vero ille; sed ad unum omnes. (2) Vestimenta gestant linea, semper recens lota; hoc enim quam maxime curant. Pudenda autem circumcidunt munditiei caussa; maluntque mundi esse, quam decori. (3) Sacerdotes tertio quoque die totum radunt corpus, ne aut pediculus aut aliud quid sordidum illis insit, dum diis officia præstant. (4) Vestem sacerdotes nonnisi lineam gestant, et calceamenta ex papyro; aliam vestem, aut alia calceamenta gestare, non est illis licitum. Bis quotidie lavantur frigida, et bis unaquaque nocte. Denique alias observant cærimonias, verbo ut dicam, infinitas. (5) Fruuntur vero etiam commodis haud paucis. Nihil enim suarum rerum vel usu deterunt vel consumunt: sed adponuntur illis quotidie sacri cibi cocti, et carnis bovinæ et anserinæ copia quædam haud exigua: etiam vinum viteum eisdem præbetur. (6) Piscibus autem vesci nefas illis est. Fabas nullas utique serunt Ægyptii, et, si quæ nascuntur, has nec crudas manducant, nec coctis vescuntur: sacerdotes vero ne adspicere quidem eas sustinent, immundum esse legumen existimantes. (7) Non est autem cuique deo sacerdos unus; sed plures, quorum unus est princeps sacerdos: qui si moritur, ei succedit filius.

XXXVIII. Boves mares Epapho sacros esse æstimant; et hac de caussa in hunc modum eos explorant. Si vel unum pilum nigrum in bove conspicit is qui explorat, hunc non censet esse mundum. (2) Est autem sacerdos ad id constitutus, qui et recto stante bove, et resupinato, et lingua ejus exserta, inquirat an mundus sit respectu præscriptorum signorum, quæ ego alibi exponam. Inspicitque ille etiam caudæ pilos, an habeat illos bos secundum naturam constitutos. (3) Quodsi his omnibus rebus mundus bos est, tum notat illum sacerdos papyro cornibus circumvoluto, deinde inlita terra signatoria annulum imprimit; atque ita bos abducitur: non signatum autem immolanti, capitis pœna dicta est. Hic est ritus, quo exploratur victima.

XXXIX. Sacrificium autem tali modo instituitur. Postquam justa nota signatus bos ad aram adductus est, ad

θύωσι, πυρὴν καίουσι, ἔπειτεν δὲ ἐπ' αὐτοῦ οἶνον κατὰ τοῦ ἱρηίου ἐπισπείσαντες καὶ ἐπικαλέσαντες τὸν θεὸν σφάζουσι, σφάξαντες δὲ ἀποτάμνουσι τὴν κεφαλήν. (2) Σῶμα μὲν δὴ τοῦ κτήνεος δείρουσι, κεφαλῇ δὲ ἐκείνῃ πολλὰ καταρησάμενοι φέρουσι, τοῖσι μὲν ἂν ᾖ ἀγορὴ καὶ Ἕλληνές σφι ἔωσι ἐπιδήμιοι ἔμποροι, οἱ μὲν φέροντες ἐς τὴν ἀγορὴν ἀπ' ὧν ἔδοντο, τοῖσι δὲ ἂν μὴ παρέωσι Ἕλληνες, οἱ δ' ἐκβάλλουσι ἐς τὸν ποταμόν. (3) Καταρέονται δὲ τάδε λέγοντες τῇσι κεφαλῇσι, εἴ τι μέλλοι ἢ σφίσι τοῖσι θύουσι ἢ Αἰγύπτῳ τῇ συναπάσῃ κακὸν γενέσθαι, ἐς κεφαλὴν ταύτην τραπέσθαι. Κατὰ μέν νυν τὰς κεφαλὰς τῶν θυομένων κτηνέων καὶ τὴν ἐπίσπεισιν τοῦ οἴνου πάντες Αἰγύπτιοι νόμοισι τοῖσι αὐτοῖσι χρέονται ὁμοίως ἐς πάντα τὰ ἱρά, καὶ ἀπὸ τούτου τοῦ νόμου οὐδὲ ἄλλου οὐδενὸς ἐμψύχου κεφαλῆς γεύσεται Αἰγυπτίων οὐδείς.

XL. Ἡ δὲ δὴ ἐξαίρεσις τῶν ἱρῶν καὶ ἡ καῦσις ἄλλη περὶ ἄλλο ἱρόν σφι κατέστηκε. Τὴν δ' ὧν μεγίστην τε δαίμονα ἡγέαται εἶναι καὶ μεγίστην οἱ ὀρτὴν ἀνάγουσι, ταύτην ἔρχομαι ἐρέων. (2) Ἐπεὰν ἀποδείρωσι τὸν βοῦν, κατευξάμενοι κοιλίην μὲν κεινὴν πᾶσαν ἐξ ὧν εἶλον, σπλάγχνα δὲ αὐτοῦ λείπουσι ἐν τῷ σώματι καὶ τὴν πιμελὴν, σκέλεα δὲ ἀποτάμνουσι καὶ τὴν ὀσφὺν ἄκρην καὶ τοὺς ὤμους τε καὶ τὸν τράχηλον. (3) Ταῦτα δὲ ποιήσαντες τὸ ἄλλο σῶμα τοῦ βοὸς πιμπλᾶσι ἄρτων καθαρῶν καὶ μέλιτος καὶ ἀσταφίδος καὶ σύκων καὶ λιβανωτοῦ καὶ σμύρνης καὶ τῶν ἄλλων θυωμάτων, πλήσαντες δὲ τούτων καταγίζουσι, ἔλαιον ἄφθονον καταχέοντες. Προνηστεύσαντες δὲ θύουσι, κατομένων δὲ τῶν ἱρῶν τύπτονται πάντες. Ἐπεὰν δὲ ἀποτύψωνται, δαῖτα προτίθενται τὰ ἐλίποντο τῶν ἱρῶν.

XLI. Τοὺς μέν νυν καθαροὺς βοῦς τοὺς ἔρσενας καὶ τοὺς μόσχους οἱ πάντες Αἰγύπτιοι θύουσι, τὰς δὲ θηλέας οὐ σφι ἔξεστι θύειν, ἀλλ' ἱραί εἰσι τῆς Ἴσιος· τὸ γὰρ τῆς Ἴσιος ἄγαλμα ἐὸν γυναικήϊον βούκερων ἐστι, κατά περ Ἕλληνες τὴν Ἰοῦν γράφουσι, καὶ τὰς βοῦς τὰς θηλέας Αἰγύπτιοι πάντες ὁμοίως σέβονται προβάτων πάντων μάλιστα μακρῷ. (2) Τῶν εἵνεκεν οὔτ' ἀνὴρ Αἰγύπτιος οὔτε γυνὴ ἄνδρα Ἕλληνα φιλήσειε ἂν τῷ στόματι, οὐδὲ μαχαίρῃ ἀνδρὸς Ἕλληνος χρήσεται οὐδ' ὀβελοῖσι οὐδὲ λέβητι, οὐδὲ κρέως καθαροῦ βοὸς διατετμημένου Ἑλληνικῇ μαχαίρῃ γεύσεται. (3) Θάπτουσι δὲ τοὺς ἀποθνήσκοντας βοῦς τρόπον τόνδε. Τὰς μὲν θηλέας ἐς τὸν ποταμὸν ἀπιᾶσι, τοὺς δὲ ἔρσενας κατορύσσουσι ἕκαστοι ἐν τοῖσι προαστείοισι, τὸ κέρας τὸ ἕτερον ἢ καὶ ἀμφότερα ὑπερέχοντα σημηίου εἵνεκεν· ἐπεὰν δὲ σαπῇ καὶ προσίῃ ὁ τεταγμένος χρόνος, ἀπικνέεται ἐς ἑκάστην πόλιν βᾶρις ἐκ τῆς Προσωπίτιδος καλευμένης νήσου. Ἡ δ' ἔστι μὲν ἐν τῷ Δέλτα, περίμετρον δὲ αὐτῆς εἰσὶ σχοῖνοι ἐννέα. (4) Ἐν ταύτῃ ὧν τῇ Προσωπίτιδι νήσῳ ἔνεισι μὲν καὶ ἄλλαι πόλιες συχναὶ, ἐκ τῆς δὲ αἱ βάριες παραγίνονται ἀναιρησόμεναι τὰ ὀστέα τῶν βοῶν, οὔνομα τῇ πόλι Ἀτάρβηχις, ἐν δ' αὐτῇ Ἀφροδίτης ἱρὸν ἅγιον ἵδρυται. (5)

quam peragere volunt sacrificium, pyram accendunt. Deinde super ara vinum adversus victimam libant, invocatoque deo illam mactant, mactatæque caput abscindunt. (2) Tum corpus quidem pecudis excoriant; capiti vero illi multa mala imprecantur, eoque facto, qui forum venale habent, et quorum in oppido Græci mercatores cum ipsis habitant, hi caput illud in forum ferunt venduntque; quibus vero non adsunt Græci, hi illud in fluvium abjiciunt. (3) Imprecantur autem capitibus, hæc verba pronunciantes: Si quid mali aut nobis sacrificantibus aut universæ imminet Ægypto, illud in hoc caput vertito! Quod igitur ad capita mactatarum victimarum attinet, et ad vinum super eas effusum, Ægyptii omnes, omnibus in sacrificiis, eisdem ritibus perinde utuntur: atque inde fit ut nullius etiam alius animantis caput quisquam Ægyptius vescatur.

XL. Exenteratio autem victimæ et crematio, pro diversis sacris, diversa est. Quam igitur maximam deam censent esse, cui item maximum agunt festum, huic quo ritu fiat exenteratio et crematio dicam. (2) Postquam excoriarunt bovem, peractis precibus, totam inferiorem alvum exenterant, viscera vero et adipem in corpore relinquunt: pedes autem amputant, et extremam coxam, armosque, et cervicem. (3) His factis, reliquum bovis corpus implent panibus mundis, melle, uva passa, ficis, thure, myrrha, aliisque aromatibus: tum ita repletum incendunt, oleum largiter infundentes. Priusquam autem id sacrum faciant, jejunium agunt. Dum ardet victima, plangunt omnes: denique, plangendi fine facto, epulum adponunt ex victimarum reliquiis.

XLI. Mundos igitur boves mares et vitulos immolant Ægyptii omnes. feminas vero immolare nefas est, sed sacræ illæ sunt Isidi. Est enim Isidis imago muliebris, bubulis instructa cornibus, quemadmodum Io pingitur a Græcis: et boves feminas cuncti perinde colunt Ægyptii pecudum omnium longe maxime. (2) Quapropter nec vir Ægyptius, neque mulier, Græcum virum osculabitur, aut cultro hominis Græci aut veru aut olla utetur; et ne mundi quidem bovis carnem, quæ græco cultro dissecta fuerit, gustabit. (3) Mortuos vero boves hoc modo sepeliunt. Feminas quidem in fluvium conjiciunt: mares autem defodiunt quique in suis suburbiis, ita ut alterum cornu aut etiam utrumque emineat e terra signi caussa. Putrefacto cadavere, quando statutum adest tempus, venit in unumquodque oppidum navis ex Prosopitide quæ vocatur insula, quæ in Delta est, novem schœnos in circuitu habens. (4) In hac igitur Prosopitide insula quum alia insunt oppida multa, tum illud e quo naves circummittuntur boum ossa ablaturæ, cui nomen Atarbechis; in qua est templum Veneri sacrum. (5) Ex hoc igitur oppido multi homines, alii

Ἐκ ταύτης τῆς πόλιος πλανέονται πολλοὶ ἄλλοι ἐς ἄλλας πόλις, ἀνορύξαντες δὲ τὰ ὀστέα ἀπάγουσι καὶ θάπτουσι ἐς ἕνα χῶρον πάντες. Κατὰ ταὐτὰ δὲ τοῖσι βουσὶ καὶ τἆλλα κτήνεα θάπτουσι ἀποθνήσκοντα· καὶ γὰρ περὶ ταῦτα οὕτω σφι νενομοθέτηται· κτείνουσι γὰρ δὴ οὐδὲ ταῦτα.

XLII. Ὅσοι μὲν δὴ Διὸς Θηβαιέος ἱδρύαται ἱρὸν ἢ νομοῦ τοῦ Θηβαίου εἰσί, οὗτοι μέν νυν πάντες οἰῶν ἀπεχόμενοι αἶγας θύουσι· (θεοὺς γὰρ δὴ οὐ τοὺς αὐτοὺς ἅπαντες ὁμοίως Αἰγύπτιοι σέβονται πλὴν Ἶσίός τε καὶ Ὀσίριος, τὸν δὴ Διόνυσον εἶναι λέγουσι· τούτους δὲ ὁμοίως ἅπαντες σέβονται·) ὅσοι δὲ τοῦ Μένδητος ἐκτέαται ἱρὸν ἢ νομοῦ τοῦ Μενδησίου εἰσί, οὗτοι δὲ αἰγῶν ἀπεχόμενοι ὄις θύουσι. (2) Θηβαῖοι μέν νυν, καὶ ὅσοι διὰ τούτους οἰῶν ἀπέχονται, διὰ τάδε λέγουσι τὸν νόμον τόνδε σφι τεθῆναι, Ἡρακλέα θελῆσαι πάντως ἰδέσθαι τὸν Δία καὶ τὸν οὐκ ἐθέλειν ὀφθῆναι ὑπ' αὐτοῦ, τέλος δὲ, ἐπείτε λιπαρέειν τὸν Ἡρακλέα, τὸν Δία μηχανήσασθαι κριὸν ἐκδείραντα προέχεσθαί τε τὴν κεφαλὴν ἀποταμόντα τοῦ κριοῦ, καὶ ἐνδύντα τὸ νάκος οὕτω οἱ ἑωυτὸν ἐπιδέξαι. (3) Ἀπὸ τούτου κριοπρόσωπον τῶγαλμα τοῦ Διὸς ποιεῦσι Αἰγύπτιοι, ἀπὸ δὲ Αἰγυπτίων Ἀμμώνιοι, ἐόντες Αἰγυπτίων τε καὶ Αἰθιόπων ἄποικοι καὶ φωνὴν μεταξὺ ἀμφοτέρων νομίζοντες. (4) Δοκέειν δ' ἐμοὶ καὶ τὸ οὔνομα Ἀμμώνιοι ἀπὸ τοῦδέ σφι τὴν ἐπωνυμίην ἐποιήσαντο· Ἄμμωνα γὰρ Αἰγύπτιοι καλεῦσι τὸν Δία. Τοὺς δὲ κριοὺς οὐ θύουσι Θηβαῖοι, ἀλλ' εἰσί σφι ἱροὶ διὰ τοῦτο. (5) Μιῇ δὲ ἡμέρῃ τοῦ ἐνιαυτοῦ, ἐν ὀρτῇ τοῦ Διὸς, κριὸν ἕνα κατακόψαντες καὶ ἀποδείραντες κατὰ τὠυτὸ ἐνδύουσι τῶγαλμα τοῦ Διός, καὶ ἔπειτεν ἄλλο ἄγαλμα Ἡρακλέος προσάγουσι πρὸς αὐτό. Ταῦτα δὲ ποιήσαντες τύπτονται οἱ περὶ τὸ ἱρὸν ἅπαντες τὸν κριὸν, καὶ ἔπειτεν ἐν ἱρῇ θήκῃ θάπτουσι αὐτόν.

XLIII. Ἡρακλέος δὲ πέρι τόνδε τὸν λόγον ἤκουσα, ὅτι εἴη τῶν δυώδεκα θεῶν. Τοῦ ἑτέρου δὲ πέρι Ἡρακλέος, τὸν Ἕλληνες οἴδασι, οὐδαμῇ Αἰγύπτου ἐδυνάσθην ἀκοῦσαι. Καὶ μὴν ὅτι γε οὐ παρ' Ἑλλήνων ἔλαβον τὸ οὔνομα τοῦ Ἡρακλέος Αἰγύπτιοι, ἀλλ' Ἕλληνες μᾶλλον παρ' Αἰγυπτίων, καὶ Ἑλλήνων οὗτοι οἱ θέμενοι τῷ Ἀμφιτρύωνος γόνῳ οὔνομα Ἡρακλέα, πολλά μοι καὶ ἄλλα τεκμήρια ἐστι τοῦτο οὕτω ἔχειν, (2) ἐν δὲ καὶ τόδε, ὅτι τε τοῦ Ἡρακλέος τούτου οἱ γονέες ἀμφότεροι ἔσαν Ἀμφιτρύων καὶ Ἀλκμήνη γεγονότες τὸ ἀνέκαθεν ἀπ' Αἰγύπτου, καὶ διότι Αἰγύπτιοι οὔτε Ποσειδέωνος οὔτε Διοσκούρων τὰ οὐνόματά φασι εἰδέναι, οὐδέ σφι θεοὶ οὗτοι ἐν τοῖσι ἄλλοισι θεοῖσι ἀποδεδέχαται. (3) Καὶ μὴν εἴ γε παρ' Ἑλλήνων ἔλαβον οὔνομά τευ δαίμονος, τούτων οὐκ ἥκιστα, ἀλλὰ μάλιστα ἔμελλον μνήμην ἕξειν, εἴ περ καὶ τότε ναυτιλίῃσι ἐχρέοντο, καὶ ἔσαν Ἑλλήνων τινὲς ναυτίλοι, ὡς ἔλπομαί τε καὶ ἐμὴ γνώμη αἱρέει· ὥστε τούτων ἂν καὶ μᾶλλον τῶν θεῶν τὰ οὐνόματα ἐξηπιστέατο Αἰγύπτιοι ἢ τοῦ Ἡρακλέος. (4) Ἀλλά τις ἀρχαῖός ἐστι

in alia oppida, circumvehuntur, qui ossa illa effodiunt, et abducta sepeliunt unum in locum cuncta. Eodem vero modo, atque boves, sepeliunt etiam alia pecora mortua: est enim etiam de his ita lege cautum; nam ne hæc quidem mactant.

XLII. Jam quicumque templum habent Jovi Thebano sacrum, aut qui præfecturam incolunt Thebanam, hi omnes ovibus abstinent, capras vero immolant. (Nec enim omnes Ægyptii eosdem perinde deos colunt, exceptis Iside et Osiride, quem esse Bacchum aiunt: hos enim pariter colunt omnes.) Qui vero templum habent Mendeti sacrum, aut qui ex Mendesia sunt præfectura, hi capris abstinent, oves vero immolant. (2) Thebani igitur, et quicumque alii, horum sacra sequentes, ovibus abstinent, hac de caussa legem illam sibi constitutam dicunt: cupivisse Herculem utique conspicere Jovem, hunc autem ab illo conspici noluisse; ad extremum, quum assidue rogaret Hercules, hoc invento usum esse Jovem: excoriasse arietem, tum abscissum arietis caput sibi prætendentem, et vellere ejus indutum, ita se ei ostendisse. (3) Inde Jovis imaginem faciunt Ægyptii arietina facie; et ab Ægyptiis hoc accepere Ammonii, qui sunt Ægyptiorum Æthiopumque colonia, et sermone utuntur ex utrisque mixto. (4) Videturque mihi ipsum etiam nomen Ammoniorum indidem originem cepisse; nam Jovem Ægyptii Ammoun vocant. Thebani igitur arietes non mactant: sed sacros eos istam ob caussam habent. (5) Verumtamen uno die quotannis, in Jovis festo unum arietem cædunt; cujus detracto vellere similiter induunt Jovis simulacrum, deinde aliud simulacrum Herculis ad illud adducunt: eoque facto omnes, qui circa templum sunt, plangunt hircum, et deinde sacro in loculo eum sepeliunt.

XLIII. Ad Herculem vero quod spectat, hunc sermonem audivi, esse eum ex duodecim deorum numero. De altero vero Hercule, quem Græci norunt, nusquam in Ægypto comperire quidquam potui. Ac sane, nomen Herculis non a Græcis accepisse Ægyptios, sed Græcos potius ab Ægyptiis, et Græcorum eos ipsos qui Amphitryonis filio nomen Herculis imposuerunt; hoc, inquam, ita esse, quum alia multa documenta habeo, (2) tum vero et hoc, quod hujus Herculis parentes ambo, Amphitryo et Alcmena, origine Ægyptii fuere, et quod Ægyptii nec Neptuni nomen, nec Dioscurorum, se nosse aiunt, neque hi dii ab illis in reliquorum deorum numerum sunt relati. (3) Atqui si a Græcis ullius dei nomen accepissent, horum haud minime, immo vel maxime, memoriam erant conservaturi (quandoquidem jam tunc navigationibus utebantur, atque etiam Græcorum nonnulli mare exercebant), ut existimo equidem, et non temere persuasum habeo: quare horum deorum nomina magis etiam, quam Herculis, ad Ægyptiorum notitiam erant perventura. (4) At est Ægyptiis antiquus aliquis deus Her-

θεὸς Αἰγυπτίοισι Ἡρακλέης· ὡς δὲ αὐτοὶ λέγουσι, ἐτεά ἐστι ἑπτακισχίλια καὶ μύρια ἐς Ἄμασιν βασιλεύσαντα, ἐπείτε ἐκ τῶν ὀκτὼ θεῶν οἱ δυώδεκα θεοὶ ἐγένοντο, τῶν Ἡρακλέα ἕνα νομίζουσι εἶναι.

XLIV. Θέλων δὲ τούτων πέρι σαφές τι εἰδέναι ἐξ ὧν οἷόν τε ἦν, ἔπλωσα καὶ ἐς Τύρον τῆς Φοινίκης, πυνθανόμενος αὐτόθι εἶναι ἱρὸν Ἡρακλέος ἅγιον. (2) Καὶ εἶδον πλουσίως κατεσκευασμένον ἄλλοισί τε πολλοῖσι ἀναθήμασι, καὶ ἐν αὐτῷ ἔσαν στῆλαι δύο, ἡ μὲν χρυσοῦ ἀπέφθου, ἡ δὲ σμαράγδου λίθου λάμποντος τὰς νύκτας μέγαθος. Ἐς λόγους δὲ ἐλθὼν τοῖσι ἱρεῦσι τοῦ θεοῦ εἰρόμην ὁκόσος χρόνος εἴη ἐξ οὗ σφι τὸ ἱρὸν ἵδρυται. (3) Εὗρον δὲ οὐδὲ τούτους τοῖσι Ἕλλησι συμφερομένους· ἔφασαν γὰρ ἅμα Τύρῳ οἰκιζομένη καὶ τὸ ἱρὸν τοῦ θεοῦ ἱδρυθῆναι, εἶναι δὲ ἔτεα ἀπ' οὗ Τύρον οἰκέουσι τριηκόσια καὶ δισχίλια. (4) Εἶδον δὲ ἐν τῇ Τύρῳ καὶ ἄλλο ἱρὸν Ἡρακλέος ἐπωνυμίην ἔχοντος Θασίου εἶναι. (5) Ἀπικόμην δὲ καὶ ἐς Θάσον, ἐν τῇ εὗρον ἱρὸν Ἡρακλέος ὑπὸ Φοινίκων ἱδρυμένον, οἳ κατ' Εὐρώπης ζήτησιν ἐκπλώσαντες Θάσον ἔκτισαν· καὶ ταῦτα καὶ πέντε γενεῇσι ἀνδρῶν πρότερά ἐστι ἢ τὸν Ἀμφιτρύωνος Ἡρακλέα ἐν τῇ Ἑλλάδι γενέσθαι. (6) Τὰ μέν νυν ἱστορημένα δηλοῖ σαφέως παλαιὸν θεὸν Ἡρακλέα ἐόντα· καὶ δοκέουσι δέ μοι οὗτοι ὀρθότατα Ἑλλήνων ποιέειν, οἳ διξὰ Ἡράκλεια ἱδρυσάμενοι ἐκτέαται, καὶ τῷ μὲν ὡς ἀθανάτῳ, Ὀλυμπίῳ δὲ ἐπωνυμίην θύουσι, τῷ δ' ἑτέρῳ ὡς ἥρωϊ ἐναγίζουσι.

XLV. Λέγουσι δὲ πολλὰ καὶ ἄλλα ἀνεπισκέπτως οἱ Ἕλληνες· εὐήθης δὲ αὐτῶν καὶ ὅδε ὁ μῦθός ἐστι τὸν περὶ τοῦ Ἡρακλέος λέγουσι, ὡς αὐτὸν ἀπικόμενον ἐς Αἴγυπτον στέψαντες οἱ Αἰγύπτιοι ὑπὸ πομπῆς ἐξῆγον ὡς θύσοντες τῷ Διί· τὸν δὲ τέως μὲν ἡσυχίην ἔχειν, ἐπεὶ δὲ αὐτοῦ πρὸς τῷ βωμῷ κατάρχοντο, ἐς ἀλκὴν τραπόμενον πάντας σφέας καταφονεῦσαι. (2) Ἐμοὶ μέν νυν δοκέουσι ταῦτα λέγοντες τῆς Αἰγυπτίων φύσιος καὶ τῶν νόμων πάμπαν ἀπείρως ἔχειν οἱ Ἕλληνες· τοῖσι γὰρ οὐδὲ κτήνεα ὁσίη θύειν ἐστὶ χωρὶς οἰῶν καὶ ἐρσένων βοῶν καὶ μόσχων, ὅσοι ἂν καθαροὶ ἔωσι, καὶ χηνῶν, κῶς ἂν οὗτοι ἀνθρώπους θύοιεν; (3) Ἔτι δὲ ἕνα ἐόντα τὸν Ἡρακλέα, καὶ ἔτι ἄνθρωπον, ὡς δή φασι, κῶς φύσιν ἔχει πολλὰς μυριάδας φονεῦσαι; Καὶ περὶ μὲν τούτων τοσαῦτα ἡμῖν εἴπασι καὶ παρὰ τῶν θεῶν καὶ παρὰ τῶν ἡρώων εὐμένεια εἴη.

XLVI. Τὰς δὲ δὴ αἶγας καὶ τοὺς τράγους τῶνδε εἵνεκεν οὐ θύουσι Αἰγυπτίων οἱ εἰρημένοι. Τὸν Πᾶνα τῶν ὀκτὼ θεῶν λογίζονται εἶναι οἱ Μενδήσιοι, τοὺς δὲ ὀκτὼ θεοὺς τούτους προτέρους τῶν δυώδεκα θεῶν φασὶ γενέσθαι. (2) Γράφουσί τε δὴ καὶ γλύφουσι οἱ ζωγράφοι καὶ οἱ ἀγαλματοποιοὶ τοῦ Πανὸς τὤγαλμα κατάπερ Ἕλληνες, αἰγοπρόσωπον καὶ τραγοσκελέα, οὔτι τοιοῦτον νομίζοντες εἶναί μιν, ἀλλ' ὅμοιον τοῖσι ἄλλοισι θεαῖσι· ὅτευ δὲ εἵνεκεν τοιοῦτον γράφουσι αὐτὸν, οὐ μοι ἡδιόν ἐστι λέγειν. (3) Σέβονται δὲ πάντας τοὺς αἶγας οἱ Μενδήσιοι, καὶ μᾶλλον τοὺς ἔρσενας τῶν θηλες: nam, ut ipsi dicunt, septemdecim millia annorum usque ad Amasidis regnum effluxerant, postquam ex primis octo diis exstiterunt illi duodecim, quorum in numero Herculem ponunt.

XLIV. Qua de re cupiens certius aliquid, undecumque possem, cognoscere, Tyrum etiam navigavi in Phœnice, quum audivissem esse ibi Herculis templum præcipua religione cultum: (2) conspexique id templum, quum aliis multis donariis largiter instructum, tum duæ in eo columnæ erant, altera purissimo ex auro, altera ex smaragdo lapide, quæ noctu eximie splendebat. Sermones autem miscens cum illis dei sacerdotibus, quæsivi ex eis quantum temporis esset ex quo id templum esset statutum. (3) Reperi autem, ne his quidem convenire cum Græcis: dixerunt enim, simul cum Tyro condita templum etiam illud esse constitutum; esse autem, ex quo condita Tyrus sit, annos bis mille et trecentos. (4) Vidi vero Tyri aliud etiam Herculis templum, cognomine Thasii. (5) Adii autem etiam Thasum, ibique templum reperi a Phœnicibus illis exstructum, qui, quum ad quærendam Europam navibus essent profecti, Thasum condiderunt: quod quidem quinque hominum generationibus prius accidit, quam in Græcia natus est Hercules, Amphitryonis filius. (6) Ex hactenus igitur narratis clare patet, antiquum deum Herculem esse. Quare rectissime mihi videntur illi ex Græcis facere, qui bina Herculis templa constituta habent; et alteri Herculi ut immortali, cognomine Olympio, sacra faciunt; alterum heroicis honoribus prosequuntur.

XLV. Narrant autem Græci quum alia multa inconsiderate, tum et hæc fatua eorum fabula est, quam de Hercule memorant; dicentes, quum in Ægyptum venisset, coronatum ab Ægyptiis veluti victimam fuisse, et cum pompa eductum, ut Jovi immolaretur: illumque initio quidem quietem egisse, deinde vero quum ad altare auspicarentur sacrificium, exserto robore cunctos interfecisse. (2) Mihi vero hæc dicentes Græci prorsus ignari videntur esse naturæ Ægyptiorum, institutorumque quibus illi utuntur. Quibus enim nefas est vel pecudes mactare, exceptis ovibus et bobus maribus vitulisque, si mundi fuerint, et anseribus; hi quo pacto hominem mactarent? (3) Præterea, quum unus fuerit Hercules, atque etiam tum homo, ut ipsi aiunt; quo pacto fieri potuit ut multas hominum myriades occideret? Sed hæc a me hactenus hisce de rebus dicta dii et heroes, quæso, in bonam partem accipiant!

XLVI. Capras autem et hircos hac de caussa non mactant ii ex Ægyptiis, quos supra dixi. Pan in octo deorum numero habetur apud Mendesios: quos octo deos priores aiunt fuisse duodecim diis. (2) Pingunt autem et exsculpunt pictores et sculptores simulacrum Panis prorsus ut Græci, facie caprina, et pedibus hirci: non quod eum talem esse arbitrentur; sed similem illum ceteris diis existimant. Cur autem ita pingant eum, non mihi lubet exponere. (2) Religiose autem colunt Mendesii caprarum omne genus, sed magis etiam mares quam feminas; et horum eos majore in

λέων, καὶ τούτων οἱ κόλοι τιμὰς μέζονας ἔχουσι· ἐκ δὲ τούτων εἷς μάλιστα, ὅστις ἐπεὰν ἀποθάνῃ, πένθος μέγα παντὶ τῷ Μενδησίῳ νόμῳ τίθεται. (4) Καλέεται δὲ ὅ τε τράγος καὶ ὁ Πὰν Αἰγυπτιστὶ Μένδης. Ἐγένετο δ' ἐν τῷ νομῷ τούτῳ ἐπ' ἐμεῦ τοῦτο τὸ τέρας· γυναικὶ τράγος ἐμίσγετο ἀναφανδόν. Τοῦτο ἐς ἐπίδειξιν ἀνθρώπων ἀπίκετο.

XLVII. Ὗν δὲ Αἰγύπτιοι μιαρὸν ἡγέαται θηρίον εἶναι· καὶ τοῦτο μὲν, ἤν τις ψαύσῃ αὐτῶν παριὼν ὑός, αὐτοῖσι ἱματίοισι ἀπ' ὧν ἔβαψε ἑωυτὸν βὰς ἐπὶ τὸν ποταμὸν, τοῦτο δὲ οἱ συβῶται ἐόντες Αἰγύπτιοι ἐγγενέες ἐς ἱρὸν οὐδὲν τῶν ἐν Αἰγύπτῳ ἐσέρχονται μοῦνοι πάντων, οὐδέ σφι ἐκδίδοσθαι θυγατέρα οὐδεὶς ἐθέλει οὐδ' ἄγεσθαι ἐξ αὐτῶν, ἀλλ' ἐκδίδονταί τε οἱ συβῶται καὶ ἄγονται ἐξ ἀλλήλων. (2) Τοῖσι μέν νυν ἄλλοισι θεοῖσι θύειν ὗς οὐ δικαιεῦσι Αἰγύπτιοι· Σελήνῃ δὲ καὶ Διονύσῳ μούνοισι τοῦ αὐτοῦ χρόνου, τῇ αὐτῇ πανσελήνῳ, τοὺς ὗς θύσαντες πατέονται τῶν κρεῶν. (3) Διότι δὲ τοὺς ὗς ἐν μὲν τῇσι ἄλλῃσι ὁρτῇσι ἀπεστυγήκασι, ἐν δὲ ταύτῃ θύουσι, ἔστι μὲν λόγος περὶ αὐτοῦ ὑπ' Αἰγυπτίων λεγόμενος, ἐμοὶ μέντοι ἐπισταμένῳ οὐκ εὐπρεπέστερός ἐστι λέγεσθαι. (4) Θυσίῃ δὲ ἥδε τῶν ὑῶν τῇ Σελήνῃ ποιέεται· ἐπεὰν θύσῃ, τὴν οὐρὴν ἄκρην καὶ τὸν σπλῆνα καὶ τὸν ἐπίπλοον συνθεὶς ὁμοῦ κατ' ὧν ἐκάλυψε πάσῃ τοῦ κτήνεος τῇ πιμελῇ τῇ περὶ τὴν νηδὺν γινομένῃ, καὶ ἔπειτεν καταγίζει πυρί· τὰ δὲ ἄλλα κρέα σιτέονται ἐν τῇ πανσελήνῳ ἐν τῇ ἂν τὰ ἱρὰ θύσωσι, ἐν ἄλλῃ δὲ ἡμέρῃ οὐκ ἂν ἔτι γευσαίατο. Οἱ δὲ πένητες αὐτῶν ὑπ' ἀσθενείης βίου σταιτίνας πλάσαντες ὗς καὶ ὀπτήσαντες ταύτας θύουσι.

XLVIII. Τῷ δὲ Διονύσῳ τῆς ὀρτῆς τῇ δορπίῃ χοῖρον πρὸ τῶν θυρέων σφάξας ἕκαστος διδοῖ ἀποφέρεσθαι τὸν χοῖρον αὐτῷ τῷ ἀποδομένῳ τῶν συβωτέων. (2) Τὴν δὲ ἄλλην ἀνάγουσι ὁρτὴν τῷ Διονύσῳ οἱ Αἰγύπτιοι πλὴν χορῶν κατὰ ταὐτὰ σχεδὸν πάντα Ἕλλησι· ἀντὶ δὲ φαλλῶν ἄλλα σφί ἐστι ἐξευρημένα ὅσον τε πηχυαῖα ἀγάλματα νευρόσπαστα, τὰ περιφορέουσι κατὰ κώμας γυναῖκες, νεῦον τὸ αἰδοῖον, οὐ πολλῷ τέῳ ἔλασσον ἐὸν τοῦ ἄλλου σώματος. (3) Προηγέεται δὲ αὐλὸς, αἱ δὲ ἕπονται ἀείδουσαι τὸν Διόνυσον. Διότι δὲ μέζον τε ἔχει τὸ αἰδοῖον καὶ κινέει μοῦνον τοῦ σώματος, ἔστι λόγος περὶ αὐτοῦ ἱρὸς λεγόμενος.

XLIX. Ἤδη ὦν δοκέει μοι Μελάμπους ὁ Ἀμυθέωνος τῆς θυσίης ταύτης οὐκ εἶναι ἀδαὴς, ἀλλ' ἔμπειρος· Ἕλλησι γὰρ δὴ Μελάμπους ἐστὶ ὁ ἐξηγησάμενος τοῦ Διονύσου τό τε οὔνομα καὶ τὴν θυσίην καὶ τὴν πομπὴν τοῦ φαλλοῦ. (2) Ἀτρεκέως μὲν οὐ πάντα συλλαβὼν τὸν λόγον ἔφηνε, ἀλλ' οἱ ἐπιγενόμενοι τούτῳ σοφισταὶ μεζόνως ἐξέφηναν· τὸν δ' ὦν φαλλὸν τὸν τῷ Διονύσῳ πεμπόμενον Μελάμπους ἐστὶ ὁ κατηγησάμενος, καὶ ἀπὸ τούτου μαθόντες ποιεῦσι τὰ ποιεῦσι Ἕλληνες. (3) Ἐγὼ μέν νύν φημι Μελάμποδα γενόμενον ἄνδρα σοφὸν μαντικήν τε ἑωυτῷ συστῆσαι καὶ πυθόμενον ἀπ' Αἰγύπτου ἄλλα τε πολλὰ ἐσηγήσασθαι Ἕλλησι καὶ τὰ

honore habent qui cornua non emittunt. Ex his autem unus est maxime, qui quando moritur, universa Mendesia præfectura ingenti in luctu versatur. (4) Nominatur vero et hircus et Pan sermone Ægyptiorum Mendes. Accidit autem in hac præfectura mea ætate hoc prodigium : hircus cum muliere coiit propalam : eaque res ad omnium hominum notitiam pervenit.

XLVII. Suem vero sordidum animal esse censent Ægyptii; ita quidem, ut, si quis inter transeundum vel solis vestimentis suem tetigerit, ad flumen abeat, et immergens sese abluat. Itaque etiam subulci, quamvis sint indigenæ Ægyptii, soli ex omnibus Ægyptiis nullum templum ingrediuntur : neque quisquam illis filiam vult elocare, nec illorum filiam ducere uxorem : sed inter se subulci filias elocant, et matrimonia ineunt. (2) Aliis igitur diis sues immolare nefas ducunt Ægyptii : Lunæ vero et Baccho solis, eodem tempore, eodem plenilunio, sues immolant, et carne eorum vescuntur. (3) Cur autem ceteris in festis a suibus abhorreant, in hoc vero eas immolent, caussam hujus rei adferunt Ægyptii; quam licet noverim, non valde me decet referre. (4) Sacrificantur autem sues Lunæ in hunc modum : qui sacrum facit, is mactata sue extremam ejus caudam, splenem, et omentum, in unum componit, omnique adipe, qui in pecudis abdomine est, obtegit, tum accenso igne adolet. Deinde reliqua carne vescuntur eodem plenilunii die, quo sacra fecerunt : alio vero die nemo amplius gustaverit. Pauperes vero, ob victus tenuitatem, farinaceas fingunt sues, eisque coctis sacrificium peragunt.

XLVIII. Baccho vero, vespera quæ festum antecedit, unusquisque suem ante januam ædium suarum mactat; mactatam vero eidem subulco, qui illi eam vendiderat, tradit auferendam. (2) Reliquum vero festum Baccho, choros si excipias, Ægyptii eodem prorsus modo agunt atque Græci. Loco phallorum autem alio invento utuntur; imaginibus fere cubitalibus, nervo mobilibus, quas per vicos circumferunt mulieres, nutante veretro, haud multo minori quam reliquum totum corpus. (3) Præcedit tibia, sequunturque mulieres, Baccho carmina canentes. Cur autem veretrum sit majus, et hoc unum in corpore moveatur, ejus rei sacra quædam redditur ratio.

XLIX. Jam igitur hujus sacri videtur mihi Melampus, Amythaonis filius, non fuisse ignarus, sed cognitum illud habuisse. Qui enim Græcos et nomen et sacra Bacchi et phalli pompam docuit, is Melampus est. (2) Sed non totam rem recte perceptam aperuit : alii autem post eum docti viri amplius illam patefecerunt. Phallum certe, qui in Bacchi pompa circumfertur, Melampus instituit, et ab illo edocti faciunt Græci quæ faciunt. (3) Ego itaque affirmo, Melampodem, quum esset vir doctrina et ingenio præstans, et divinandi artem sibi comparasse, et quum alia multa, quæ ex Ægypto cognoverat, tum ea quæ ad Bac-

περὶ τὸν Διόνυσον, ὀλίγα αὐτῶν παραλλάξαντα. (4) Οὐ γὰρ δὴ συμπεσέειν γε φήσω τά τε ἐν Αἰγύπτῳ ποιεύμενα τῷ θεῷ καὶ τὰ ἐν τοῖσι Ἕλλησι· ὁμότροπα γὰρ ἂν ἦν τοῖσι Ἕλλησι καὶ οὐ νεωστὶ ἐσηγμένα. Οὐ μὴν οὐδὲ φήσω ὅκως Αἰγύπτιοι παρ' Ἑλλήνων ἔλαβον ἢ τοῦτο ἢ ἄλλο κού τι νόμαιον. (5) Πυθέσθαι δέ μοι δοκέει μάλιστα Μελάμπους τὰ περὶ τὸν Διόνυσον παρὰ Κάδμου τε τοῦ Τυρίου καὶ τῶν σὺν αὐτῷ ἐκ Φοινίκης ἀπικομένων ἐς τὴν νῦν Βοιωτίην καλευμένην χώρην.

L. Σχεδὸν δὲ καὶ πάντων τῶν θεῶν τὰ οὐνόματα ἐξ Αἰγύπτου ἐλήλυθε ἐς τὴν Ἑλλάδα. Διότι μὲν γὰρ ἐκ τῶν βαρβάρων ἥκει, πυνθανόμενος οὕτω εὑρίσκω ἐόν. Δοκέω δ' ὦν μάλιστα ἀπ' Αἰγύπτου ἀπῖχθαι. (2) Ὅτι γὰρ δὴ μὴ Ποσειδέωνος καὶ Διοσκούρων, ὡς καὶ πρότερόν μοι ταῦτα εἴρηται, καὶ Ἥρης καὶ Ἱστίης καὶ Θέμιος καὶ Χαρίτων καὶ Νηρηίδων, τῶν ἄλλων θεῶν Αἰγυπτίοισι αἰεί κοτε τὰ οὐνόματά ἐστι ἐν τῇ χώρῃ. Λέγω δὲ τὰ λέγουσι αὐτοὶ Αἰγύπτιοι. (3) Τῶν δὲ οὐ φασι θεῶν γινώσκειν τὰ οὐνόματα, οὗτοι δέ μοι δοκέουσι ὑπὸ Πελασγῶν οὐνομασθῆναι, πλὴν Ποσειδέωνος· τοῦτον δὲ τὸν θεὸν παρὰ Λιβύων ἐπύθοντο· οὐδαμοὶ γὰρ ἀπ' ἀρχῆς Ποσειδέωνος οὔνομα ἐκτέαται εἰ μὴ Λίβυες, καὶ τιμέουσι τὸν θεὸν τοῦτον αἰεί. Νομίζουσι δ' ὦν Αἰγύπτιοι οὐδ' ἥρωσι οὐδέν.

LI. Ταῦτα μέν νυν καὶ ἄλλα πρὸς τούτοισι, τὰ ἐγὼ φράσω, Ἕλληνες ἀπ' Αἰγυπτίων νενομίκασι· τοῦ δὲ Ἑρμέω τὰ ἀγάλματα ὀρθὰ ἔχειν τὰ αἰδοῖα ποιεῦντες οὐκ ἀπ' Αἰγυπτίων μεμαθήκασι, ἀλλ' ἀπὸ Πελασγῶν πρῶτοι μὲν Ἑλλήνων ἁπάντων Ἀθηναῖοι παραλαβόντες, παρὰ δὲ τούτων ὕστερον ἄλλοι. (2) Ἀθηναίοισι γὰρ ἤδη τηνικαῦτα ἐς Ἕλληνας τελέουσι Πελασγοὶ σύνοικοι ἐγένοντο ἐν τῇ χώρῃ, ὅθεν περ καὶ Ἕλληνες ἤρξαντο νομισθῆναι. Ὅστις δὲ τὰ Καβείρων ὄργια μεμύηται, τὰ Σαμοθρῃϊκες ἐπιτελέουσι παραλαβόντες παρὰ Πελασγῶν, οὗτος ὡνὴρ οἶδε τὸ λέγω· (3) τὴν γὰρ Σαμοθρῃκην οἰκεον πρότερον Πελασγοὶ οὗτοι οἵ περ Ἀθηναίοισι σύνοικοι ἐγένοντο, καὶ παρὰ τούτων Σαμοθρῃκες τὰ ὄργια παραλαμβάνουσι. Ὀρθὰ ὦν ἔχειν τὰ αἰδοῖα τἀγάλματα τοῦ Ἑρμέω Ἀθηναῖοι πρῶτοι Ἑλλήνων μαθόντες παρὰ Πελασγῶν ἐποιήσαντο· οἱ δὲ Πελασγοὶ ἱρόν τινα λόγον περὶ αὐτοῦ ἔλεξαν, τὰ ἐν τοῖσι ἐν Σαμοθρῃκῃ μυστηρίοισι δεδήλωται.

LII. Ἔθυον δὲ πάντα πρότερον οἱ Πελασγοὶ θεοῖσι ἐπευχόμενοι, ὡς ἐγὼ ἐν Δωδώνῃ οἶδα ἀκούσας, ἐπωνυμίην δ' οὐδ' οὔνομα ἐποιεῦντο οὐδενὶ αὐτῶν· οὐ γὰρ ἀκηκόεσάν κω. (2) Θεοὺς δὲ προσωνόμασάν σφεας ἀπὸ τοῦ τοιούτου, ὅτι κόσμῳ θέντες τὰ πάντα πρήγματα καὶ πάσας νομὰς εἶχον. (3) Ἔπειτεν δὲ χρόνου πολλοῦ διεξελθόντος ἐπύθοντο ἐκ τῆς Αἰγύπτου ἀπιγμένα τὰ οὐνόματα τῶν θεῶν τῶν ἄλλων, Διονύσου δὲ ὕστερον πολλῷ ἐπύθοντο. Καὶ μετὰ χρόνον ἐχρηστηριάζοντο περὶ τῶν οὐνομάτων ἐν Δωδώνῃ· τὸ γὰρ δὴ μαντήϊον τοῦτο νενόμισται ἀρχαιότατον τῶν ἐν Ἕλλησι χρηστηρίων εἶναι, καὶ ἦν τὸν χρόνον τοῦτον μοῦνον.

chum spectant, Græcos docuisse, pauca ex illis immutantem. (4) Nec enim dicam equidem, fortuito congruere ea quæ in Ægypto peraguntur huic deo, et quæ apud Græcos : forent enim reliquis Græcorum moribus institutisque conformia, nec recens introducta : nec vero rursus dicam, a Græcis accepisse Ægyptios sive hoc, sive aliud ullum institutum. (5) Accepisse autem Melampus hæc quæ ad Bacchi cultum spectant, maxime a Cadmo Tyrio mihi videtur et ab his qui cum eo ex Phœnice in hanc terram, quæ nunc Bœotia vocatur, advenerant.

L. Enimvero omnia propemodum deorum nomina ex Ægypto in Græciam pervenerunt. Nam, a barbaris advenisse, perquirendo compertum habeo : puto autem, ex Ægypto maxime fuisse adlata. (2) Etenim si Neptunum et Dioscuros excipias, ut jam ante dixi, tum Junonem, Vestam, Themidem, Charitas et Nereidas; reliquorum deorum omnium nomina ab omni retro tempore in Ægypto exstitere. Dico autem quæ dicunt ipsi Ægyptii. (3) Quorum vero deorum ignorare se nomina aiunt, his mihi videntur Pelasgi nomina imposuisse, excepto Neptuno : hujus autem dei notitia ex Libya ad Græcos pervenit : nullus enim populus, præter Libyes, Neptuni olim nomen habuit : Libyes vero deum hunc perpetuo coluerunt. Porro nec heroas ullo cultu prosequuntur Ægyptii.

LI. Ista igitur, quæ dixi, et præterea alia, de quibus dicturus sum, ab Ægyptiis receperunt Græci. Quod vero Mercurii imagines faciunt erecta pudenda habentes, id non ab Ægyptiis didicerunt; sed a Pelasgis acceperunt primi Græcorum omnium Athenienses, ac deinde ab his ceteri. (2) Nam cum Atheniensibus, qui jam tum Hellenibus accensebantur, simul in eadem regione habitabant Pelasgi; unde etiam ipsi cœperunt in Hellenum numero haberi. Quisquis mysteriis Cabirorum initiatus est, quæ Samothraces celebrant, is novit quid sit quod dico. (3) Samothraciam enim prius incoluerant hi Pelasgi, qui cum Atheniensibus habitaverunt : et ab his Samothraces mysteria acceperunt. Igitur Mercurii imagines pudendis erectis primi Græcorum Athenienses fecerunt, a Pelasgis edocti. Pelasgi vero ejus rei sacram quamdam rationem adferebant, quæ in Samothracicis mysteriis explicatur.

LII. Sacrificia autem omnia olim peragebant Pelasgi deos precantes, ut ego Dodonæ mihi adfirmatum cognovi : sed cognomento aut nomine nullum eorum compellabant; necdum enim audiverant. (2) Simpliciter deos, θεούς, adpellabant, eo quod illi omnes res ordine posuissent, θέντες (*a* θεῖναι, *ponere*), et distributionem earum omnem in manu haberent. (3) Deinde vero, multo interjecto tempore, didicerunt ex Ægypto adlata deorum nomina ceterorum præter Bacchum, cujus nomen multo post cognoverunt Aliquanto post, Dodonam miserunt, horum nominum caussa oraculum consulentes : est enim antiquissimum Græcis oraculum hoc constitutum, et tunc temporis nullum aliud

(4) Ἐπεὶ ὦν ἐχρηστηριάζοντο ἐν τῇ Δωδώνῃ οἱ Πελασγοὶ εἰ ἀνέλωνται τὰ οὐνόματα τὰ ἀπὸ τῶν βαρβάρων ἥκοντα, ἀνεῖλε τὸ μαντήϊον χρᾶσθαι. Ἀπὸ μὲν δὴ τούτου τοῦ χρόνου ἔθυον τοῖσι οὐνόμασι τῶν θεῶν χρεώμενοι. Παρὰ δὲ Πελασγῶν Ἕλληνες ἐξεδέξαντο ὕστερον.

LIII. Ἔνθεν δὲ ἐγένετο ἕκαστος τῶν θεῶν, εἴτε δ' αἰεὶ ἦσαν πάντες, ὁκοῖοί τέ τινες τὰ εἴδεα, οὐκ ἠπιστέατο μέχρι οὗ πρώην τε καὶ χθὲς ὡς εἶπαι λόγῳ. (2) Ἡσίοδον γὰρ καὶ Ὅμηρον ἡλικίην τετρακοσίοισι ἔτεσι δοκέω μευ πρεσβυτέρους γενέσθαι, καὶ οὐ πλέοσι· οὗτοι δέ εἰσι οἱ ποιήσαντες θεογονίην Ἕλλησι, καὶ τοῖσι θεοῖσι τὰς ἐπωνυμίας δόντες καὶ τιμάς τε καὶ τέχνας διελόντες, καὶ εἴδεα αὐτῶν σημήναντες. (3) Οἱ δὲ πρότερον ποιηταὶ λεγόμενοι τούτων τῶν ἀνδρῶν γενέσθαι ὕστερον, ἔμοιγε δοκέειν, ἐγένοντο. Τούτων τὰ μὲν πρῶτα αἱ Δωδωνίδες ἱρειαι λέγουσι, τὰ δὲ ὕστερα τὰ ἐς Ἡσίοδόν τε καὶ Ὅμηρον ἔχοντα ἐγὼ λέγω.

LIV. Χρηστηρίων δὲ πέρι τοῦ τε ἐν Ἕλλησι καὶ τοῦ ἐν Λιβύῃ τόνδε Αἰγύπτιοι λόγον λέγουσι. Ἔφασαν οἱ ἱρέες τοῦ Θηβαιέος Διὸς δύο γυναῖκας ἱρείας ἐκ Θηβέων ἐξαχθῆναι ὑπὸ Φοινίκων, καὶ τὴν μὲν αὐτέων πυθέσθαι ἐς Λιβύην πρηθεῖσαν, τὴν δὲ ἐς τοὺς Ἕλληνας, ταύτας δὲ τὰς γυναῖκας εἶναι τὰς ἱδρυσαμένας τὰ μαντήϊα πρώτας ἐν τοῖσι εἰρημένοισι ἔθνεσι. (2) Εἰρομένου δέ μευ ὁκόθεν οὕτω ἀτρεκέως ἐπιστάμενοι λέγουσι, ἔφασαν πρὸς ταῦτα ζήτησιν μεγάλην ἀπὸ σφέων γενέσθαι τῶν γυναικῶν τούτων, καὶ ἀνευρέειν μέν σφεας οὐ δυνατοὶ γενέσθαι, πυθέσθαι δὲ ὕστερον ταῦτα περὶ αὐτέων τά περ δὴ ἔλεγον.

LV. Ταῦτα μέν νυν τῶν ἐν Θήβῃσι ἱρέων ἤκουον· τάδε δὲ Δωδωναίων φασὶ αἱ προμάντιες, δύο πελειάδας μελαίνας ἐκ Θηβέων τῶν Αἰγυπτιέων ἀναπταμένας τὴν μὲν αὐτέων ἐς Λιβύην, τὴν δὲ παρὰ σφέας ἀπικέσθαι, ἱζομένην δέ μιν ἐπὶ φηγὸν αὐδάξασθαι φωνῇ ἀνθρωπηΐῃ ὡς χρεὼν εἴη μαντήϊον αὐτόθι Διὸς γενέσθαι, καὶ αὐτοὺς ὑπολαβέειν θεῖον εἶναι τὸ ἐπαγγελλόμενον αὐτοῖσι, καὶ σφέας ἐκ τούτου ποιῆσαι. (2) Τὴν δὲ ἐς τοὺς Λίβυας οἰχομένην πελειάδα λέγουσι Ἄμμωνος χρηστήριον κελεῦσαι τοὺς Λίβυας ποιέειν· ἔστι δὲ καὶ τοῦτο Διός. (3) Δωδωναίων δὲ αἱ ἱρειαι, τῶν τῇ πρεσβυτάτῃ οὔνομα ἦν Προμένεια, τῇ δὲ μετὰ ταύτην Τιμαρέτη, τῇ δὲ νεωτάτῃ Νικάνδρη, ἔλεγον ταῦτα· συνωμολόγεον δέ σφι καὶ οἱ ἄλλοι Δωδωναῖοι οἱ περὶ τὸ ἱρόν.

LVI. Ἐγὼ δ' ἔχω περὶ αὐτέων γνώμην τήνδε. Εἰ ἀληθέως οἱ Φοίνικες ἐξήγαγον τὰς ἱρὰς γυναῖκας καὶ τὴν μὲν αὐτέων ἐς Λιβύην, τὴν δὲ ἐς τὴν Ἑλλάδα ἀπέδοντο, δοκέει ἐμοὶ ἡ γυνὴ αὕτη τῆς νῦν Ἑλλάδος, πρότερον δὲ Πελασγίης καλευμένης τῆς αὐτῆς ταύτης, πρηθῆναι ἐς Θεσπρωτούς, ἔπειτεν δουλεύουσα αὐτόθι ἱδρύσασθαι ὑπὸ φηγῷ πεφυκυίῃ Διὸς ἱρὸν, ὥσπερ ἦν οἰκὸς ἀμφιπολεύουσαν ἐν Θήβῃσι ἱρὸν Διὸς, ἔνθα ἀπίκετο, ἐνθαῦτα μνήμην αὐτοῦ ἔχειν. (2) Ἐκ δὲ

præter hoc erat. (4) Consulentibus igitur Dodonæ oraculum Pelasgis, an nomina susciperent deorum a barbaris adlata, datum est responsum, Uterentur illis. Ab hoc igitur tempore in sacris faciendis usi sunt Pelasgi nominibus deorum : a Pelasgis vero postmodum acceperunt ea Hellenes.

LIII. Unde autem exstiterit unusquisque deorum, an vero semper fuerint omnes, tum qua sint specie, ignorarunt Græci, usque ad nuperrimum diem, ut verbo dicam. (2) Hesiodum enim et Homerum quadringentis annis me antiquiores esse existimo, non amplius. Hi sunt autem qui deorum generationem Græcis condiderunt, et cognomina ac nomina diis imposuerunt, et honores artesque distribuerunt, et eorum formas delinearunt. (3) Qui vero dicuntur his antiquiores fuisse poetæ, hi post illos, ut equidem puto, exstiterunt. Jam quæ prius dixi, ea ex ore Dodonidarum sacerdotum retuli: quæ vero deinde, ad Hesiodum et Homerum spectantia, ea meis verbis dico.

LIV. De oraculis autem, quum de illo quod apud Græcos (*Dodonæ*) est, tum eo quod in Libya, hancce historiam narrant Ægyptii. Dixerunt mihi Jovis Thebani sacerdotes duas mulieres, templi ministras, Thebis olim abductas fuisse a Phœnicibus; compertumque esse, alteram earum venditam fuisse in Libyam, alteram in Græciam: hasque esse mulieres, quæ oracula illa apud prædictos populos primum instituissent. (2) Quum vero ex illis quæsissem, unde hæc, quæ adfirment, tam adcurate nossent, responderunt ad hæc : magnam curam fuisse adhibitam ad investigandas mulieres, sed reperiri eas non potuisse : deinde vero compertum ipsis esse id quod dixissent.

LV. Ista igitur ex Thebanis audivi sacerdotibus; Dodonæorum vero prophetissæ hæc narrant : duas nigras columbas Thebis Ægyptiis avolasse, earum alteram in Libyam, alteram ad se venisse. Et hanc quidem in fago residentem, humana lingua locutam dixisse, instituendum ibi esse Jovis oraculum. Dodonæos igitur existimasse, divinitus id sibi præcipi, et continuo mandata fecisse. (2) Illam autem columbam quæ in Libyam abierat, dicunt, jussisse Libyas, ut Ammonis instituerent oraculum. Est autem et hoc, Jovis oraculum. (3) Hæc mihi dixerunt mulieres quæ apud Dodonæos sacerdotio funguntur; quarum natu maximæ nomen est Promeneæ; alteri, Timaretæ; natu minimæ, Nicandræ. Atque his consentiebant ceteri Dodonæi, qui circa id templum ministrant.

LVI. Quibus de rebus hæc est mea sententia. Quodsi revera Phœnices sacras mulieres abduxerunt, earumque alteram in Libyam vendiderunt, alteram in Græciam; videtur mihi hæc altera in hujus terræ, quæ nunc Græcia, olim vero Pelasgia vocabatur, eam regionem vendita fuisse, quam Thesproti incolunt; deinde vero, quum ibi serviret, sub fago arbore ædem Jovi statuisse : quemadmodum consentaneum est, eam quæ Thebis in Jovis templo famulata esset, eo in loco, quo nunc delata esset, memoriam illius servasse. (2) Deinde, postquam Græcum ad-

τούτου χρηστήριον κατηγήσατο, ἐπείτε συνέλαβε τὴν Ἑλλάδα γλῶσσαν. Φάναι δέ οἱ ἀδελφεὴν ἐν Λιβύῃ περπρῆσθαι ὑπὸ τῶν αὐτῶν Φοινίκων ὑφ' ὧν καὶ αὐτὴ ἐπρήθη.

LVII. Πελειάδες δέ μοι δοκέουσι κληθῆναι πρὸς Δωδωναίων ἐπὶ τοῦδε αἱ γυναῖκες, διότι βάρβαροι ἔσαν, ἐδόκεον δέ σφι ὁμοίως ὄρνισι φθέγγεσθαι. (2) Μετὰ δὲ χρόνον τὴν πελειάδα ἀνθρωπηίῃ φωνῇ αὐδάξασθαι λέγουσι, ἐπείτε τὰ συνετά σφι ηὔδα ἡ γυνή· ἐως δὲ ἐβαρβάριζε, ὄρνιθος τρόπον ἐδόκεέ σφι φθέγγεσθαι, ἐπεὶ τέῳ τρόπῳ ἂν πελειάς γε ἀνθρωπηίῃ φωνῇ φθέγξαιτο; Μέλαιναν δὲ λέγοντες εἶναι τὴν πελειάδα σημαίνουσι ὅτι Αἰγυπτίη ἡ γυνὴ ἦν.

LVIII. Ἡ δὲ μαντηίη ἥ τε ἐν Θήβῃσι τῇσι Αἰγυπτίῃσι καὶ ἐν Δωδώνῃ παραπλήσιαι ἀλλήλῃσι τυγχάνουσι ἐοῦσαι. Ἔστι δὲ καὶ τῶν ἱρῶν ἡ μαντικὴ ἀπ' Αἰγύπτου ἀπιγμένη. (2) Πανηγύρις δὲ ἄρα καὶ πομπὰς καὶ προσαγωγὰς πρῶτοι ἀνθρώπων Αἰγύπτιοί εἰσι οἱ ποιησάμενοι, καὶ παρὰ τούτων Ἕλληνες μεμαθήκασι. Τεκμήριον δέ μοι τούτου τόδε· αἱ μὲν γὰρ φαίνονται ἐκ πολλοῦ τευ χρόνου ποιεύμεναι, αἱ δὲ Ἑλληνικαὶ νεωστὶ ἐποιήθησαν.

LIX. Πανηγυρίζουσι δὲ Αἰγύπτιοι οὐκ ἅπαξ τοῦ ἐνιαυτοῦ, πανηγύρις δὲ συχνὰς, μάλιστα μὲν καὶ προθυμότατα ἐς Βούβαστιν πόλιν τῇ Ἀρτέμιδι, δεύτερα ἐς Βούσιριν πόλιν τῇ Ἴσι· ἐν ταύτῃ γὰρ δὴ τῇ πόλι ἐστὶ μέγιστον Ἴσιος ἱρὸν, ἵδρυται δὲ ἡ πόλις αὕτη τῆς Αἰγύπτου ἐν μέσῳ τῷ Δέλτα, Ἶσις δέ ἐστι κατὰ τὴν Ἑλλήνων γλῶσσαν Δημήτηρ. Τρίτα δ' ἐς Σαΐν πόλιν τῇ Ἀθηναίῃ πανηγυρίζουσι, τέταρτα δὲ ἐς Ἡλίου πόλιν τῷ Ἡλίῳ, πέμπτα δὲ ἐς Βουτοῦν πόλιν τῇ Λητοῖ, ἕκτα δὲ ἐς Πάπρημιν πόλιν τῷ Ἄρεϊ.

LX. Ἐς μέν νυν Βούβαστιν πόλιν ἐπεὰν κομίζωνται, ποιεῦσι τοιάδε. Πλώουσί τε γὰρ δὴ ἅμα ἄνδρες γυναιξὶ, καὶ πολλόν τι πλῆθος ἑκατέρων ἐν ἑκάστῃ βάρι· αἱ μέν τινες τῶν γυναικῶν κρόταλα ἔχουσαι κροταλίζουσι, οἱ δὲ αὐλέουσι κατὰ πάντα τὸν πλόον, αἱ δὲ λοιπαὶ γυναῖκες καὶ ἄνδρες ἀείδουσι καὶ τὰς χεῖρας κροτέουσι. (2) Ἐπεὰν δὲ πλώοντες κατά τινα πόλιν ἄλλην γένωνται, ἐγχρίμψαντες τὴν βᾶριν τῇ γῇ ποιεῦσι τοιάδε· αἱ μέν τινες τῶν γυναικῶν ποιεῦσι τά περ εἴρηκα, αἱ δὲ τωθάζουσι βοῶσαι τὰς ἐν τῇ πόλι ταύτῃ γυναῖκας, αἱ δ' ὀρχέονται, αἱ δ' ἀνασύρονται ἀνιστάμεναι. (3) Ταῦτα παρὰ πᾶσαν πόλιν παραποταμίην ποιεῦσι. Ἐπεὰν δὲ ἀπίκωνται ἐς τὴν Βούβαστιν, ὀρτάζουσι μεγάλας ἀνάγοντες θυσίας, καὶ οἶνος ἀμπέλινος ἀναισιμοῦται πλέων ἐν τῇ ὀρτῇ ταύτῃ ἢ ἐν τῷ ἅπαντι ἐνιαυτῷ τῷ ἐπιλοίπῳ. (4) Συμφοιτέουσι δὲ, ὅ τι ἀνὴρ καὶ γυνή ἐστι πλὴν παιδίων, καὶ ἐς ἑβδομήκοντα μυριάδας, ὡς οἱ ἐπιχώριοι λέγουσι. Ταῦτα μὲν δὴ ταύτῃ ποιέεται.

LXI. Ἐν δὲ Βουσίρι πόλι ὡς ἀνάγουσι τῇ Ἴσι τὴν ὀρτὴν, εἴρηται πρότερόν μοι. Τύπτονται μὲν γὰρ δὴ μετὰ τὴν θυσίην πάντες καὶ πᾶσαι, μυριάδες κάρτα

didicit sermonem, oraculum ibidem instituit. Probabile est etiam, dixisse eam, sororem suam in Libyam esse venditam ab eisdem Phœnicibus, a quibus et ipsa vendita fuisset.

LVII. Quod autem columbæ nominatæ sint a Dodonæis istæ mulieres, id ea re factum mihi videtur, quod barbaræ fuissent: eo enim visæ illis erant vocem edere similem avibus. (2) Post aliquod tempus autem humana voce aiunt locutam esse columbam; scilicet postquam eo sermone, quem ipsi intelligebant, loqui cœpit: quoad vero barbare loquebatur, avium more sonum edere illis visa erat. Nam quo pacto columba humana lingua loqueretur? Quod vero nigram fuisse dicunt columbam, significant Ægyptiam fuisse mulierem.

LVIII. Est autem modus quo oracula redduntur similis Thebis Ægyptiacis atque Dodonæ. Est vero etiam divinatio in templis ab Ægyptiis profecta. (2) Jam panegyres (*sacros conventus*) et pompas et adductiones *victimarum ad aras* primi utique Ægyptii instituerunt; et ab his Græci acceperunt. Cujus rei documentum mihi hoc est, quod apud illos ab longo inde tempore instituti sunt hi ritus; apud Græcos autem nuper introducti.

LIX. Celebrant autem panegyres Ægyptii non semel quotannis, sed frequentius. Maxime quidem et præcipuo cum studio panegyrin agunt Bubastin oppidum, in Dianæ honorem: deinde Busirin, Isidi; est enim in hoc oppido maximum Isidis templum. Situm est autem id oppidum in medio Delta Ægyptiaco; Isis vero Græco sermone Demeter (*Ceres*) est. Tertiam panegyrin in Sain oppidum agunt Minervæ: quartam, Heliopolin, Soli: quintam, in oppidum cui Buto nomen, Latonæ: sextam, Papremin oppidum, Marti.

LX. Quæ Bubastin agitur panegyris, tali modo instituitur. Navigant una viri et mulieres, et quidem magna utrorumque multitudo in quaque navi. Per totum navigationis cursum, mulierum aliæ crotala pulsant, viri vero tibiis canunt: reliquæ mulieres virique canunt et manibus plaudunt. (2) Quoties inter navigandum prope aliud oppidum accedunt, navi ad terram adpulsa, talia agunt: ex mulieribus aliæ pergunt ea facere quæ dixi; aliæ clamantes dicteriis incessunt oppidi illius mulieres; aliæ tripudiant; aliæ stantes attracta veste corpora nudant. (3) Hæc ad quodlibet oppidum juxta fluvium situm faciunt. Ubi vero Bubastin venerunt, festum celebrant, magna sacrificia offerentes: et vini vitei in festo illo plus absumitur, quam reliquo toto anno. (4) Conveniunt autem, viri et mulieres, non comprehensis in eo numero pueris puellisque, ad septingenta utique millia, ut aiunt indigenæ. Hæc igitur ita peragunt.

LXI. In Busiride vero oppido qua ratione Isidi festum agant, supra dixi. Plangunt ibi, post peractum sacrificium, viri omnes mulieresque, multæ admodum myriades ho-

πολλαὶ ἀνθρώπων· τὸν δὲ τύπτονται, οὐ μοι ὅσιόν ἐστι λέγειν. (2) Ὅσοι δὲ Καρῶν εἰσὶ ἐν Αἰγύπτῳ οἰκέοντες, οὗτοι δὲ τοσούτῳ ἔτι πλέω ποιεῦσι τούτων ὅσῳ καὶ τὰ μέτωπα κόπτονται μαχαίρῃσι, καὶ τούτῳ εἰσὶ δῆλοι ὅτι εἰσὶ ξεῖνοι καὶ οὐκ Αἰγύπτιοι.

LXII. Ἐς Σαΐν δὲ πόλιν ἐπεὰν συλλεχθέωσι τῇσι θυσίῃσι, ἐν τινι νυκτὶ λύχνα καίουσι πάντες πολλὰ ὑπαίθρια περὶ τὰ δώματα κύκλῳ. Τὰ δὲ λύχνα ἐστὶ ἐμβάφια ἔμπλεα ἁλὸς καὶ ἐλαίου· ἐπιπολῆς δὲ ἔπεστι αὐτὸ τὸ ἐλλύχνιον· καὶ τοῦτο καίεται παννύχιον, καὶ τῇ ὀρτῇ οὔνομα κέεται λυχνοκαΐη. (2) Οἱ δ' ἂν μὴ ἔλθωσι τῶν Αἰγυπτίων ἐς τὴν πανήγυριν ταύτην, φυλάσσοντες τὴν νύκτα τῆς θυσίης καίουσι καὶ αὐτοὶ πάντες τὰ λύχνα, καὶ οὕτω οὐκ ἐν Σαΐ μούνῃ καίεται, ἀλλὰ καὶ ἀνὰ πᾶσαν Αἴγυπτον. Ὅτευ δὲ εἵνεκεν φῶς ἔλαχε καὶ τιμὴν ἡ νὺξ αὕτη, ἔστι ἱρὸς περὶ αὐτοῦ λόγος λεγόμενος.

LXIII. Ἐς δὲ Ἡλίου πόλιν καὶ Βουτοῦν θυσίας μούνας ἐπιτελέουσι φοιτέοντες. Ἐν δὲ Παπρήμι θυσίας μὲν καὶ ἱρὰ κατά περ καὶ τῇ ἄλλῃ ποιεῦσι· εὖτ' ἂν δὲ γίνηται καταφερὴς ὁ ἥλιος, ὀλίγοι μέν τινες τῶν ἱρέων περὶ τὠγαλμα πεπονέαται, ὁ δὲ πολλοὶ αὐτῶν ἐκ ξύλων κορύνας ἔχοντες ἑστᾶσι τοῦ ἱροῦ ἐν τῇ ἐσόδῳ· ἄλλοι δὲ εὐχωλὰς ἐπιτελέοντες, πλεῦνες χιλίων ἀνδρῶν, ἕκαστοι ἔχοντες ξύλα καὶ οὗτοι ἐπὶ τὰ ἕτερα ἁλέες ἑστᾶσι. (2) Τὸ δὲ ἄγαλμα ἐὸν ἐν νηῷ μικρῷ ξυλίνῳ κατακεχρυσωμένῳ προεκκομίζουσι τῇ προτεραίῃ ἐς ἄλλο οἴκημα ἱρόν. Οἱ μὲν δὴ ὀλίγοι οἱ περὶ τὠγαλμα λελειμμένοι ἕλκουσι τετράκυκλον ἅμαξαν ἄγουσαν τὸν νηόν τε καὶ τὸ ἐν τῷ νηῷ ἐνεὸν ἄγαλμα, οἱ δὲ οὐκ ἐῶσι ἐν τοῖσι προπυλαίοισι ἑστεῶτες ἐσιέναι, οἱ δὲ εὐχωλιμαῖοι τιμωρέοντες τῷ θεῷ παίουσι αὐτοὺς ἀλεξομένους. (3) Ἐνθαῦτα μάχη ξύλοισι καρτερὴ γίνεται, κεφαλάς τε συναράσσονται, καὶ ὡς ἐγὼ δοκέω, πολλοὶ καὶ ἀποθνήσκουσι ἐκ τῶν τρωμάτων· οὐ μέντοι οἵ γε Αἰγύπτιοι ἔφασαν ἀποθνήσκειν οὐδένα.

LXIV. Τὴν δὲ πανήγυριν ταύτην ἐκ τοῦδε νομίσαι φασὶ οἱ ἐπιχώριοι, οἰκέειν ἐν τῷ ἱρῷ τούτῳ τοῦ Ἄρεος τὴν μητέρα, καὶ τὸν Ἄρεα ἀπότροφον γενόμενον ἐλθεῖν ἐξανδρωμένον ἐθέλοντα τῇ μητρὶ συμμῖξαι, καὶ τοὺς προπόλους τῆς μητρὸς, οἷα οὐκ ὀπωπότας αὐτὸν πρότερον, οὐ περιορᾶν παριέναι, ἀλλ' ἀπερύκειν, τὸν δ' ἐξ ἄλλης πόλιος ἀγαγόμενον ἀνθρώπους τούς τε προπόλους τρηχέως περισπεῖν καὶ ἐσελθεῖν παρὰ τὴν μητέρα. Ἀπὸ τούτου τῷ Ἄρεϊ ταύτην τὴν πληγὴν ἐν τῇ ὀρτῇ νενομικέναι φασί. (2) Καὶ τὸ μὴ μίσγεσθαι γυναιξὶ ἐν ἱροῖσι μηδὲ ἀλούτους ἀπὸ γυναικῶν ἐς ἱρὰ ἐσιέναι οὗτοί εἰσι οἱ πρῶτοι θρησκεύσαντες. Οἱ μὲν γὰρ ἄλλοι σχεδὸν πάντες ἄνθρωποι, πλὴν Αἰγυπτίων καὶ Ἑλλήνων, μίσγονται ἐν ἱροῖσι καὶ ἀπὸ γυναικῶν ἀνιστάμενοι ἄλουτοι ἐσέρχονται ἐς ἱρὸν, νομίζοντες ἀνθρώπους εἶναι κατά περ τὰ ἄλλα κτήνεα· καὶ γὰρ τὰ ἄλλα κτήνεα ὁρᾶν καὶ ὀρνίθων γένεα ὀχευόμενα ἔν τε τοῖσι νηοῖσι τῶν θεῶν καὶ ἐν τοῖσι τεμένεσι· εἰ ὧν εἶναι τῷ

minum : quis sit vero quem plangunt, nefas mihi est declarare. (2) Qui vero Cares natione in Ægypto habitant, hi tanto etiam amplius faciunt quam ceteri, ut frontes quoque cultris concidant; et ea re produnt se peregrinos esse, non Ægyptios.

LXII. Quum in Sain oppidum solennis sacrificii caussa conveniunt, certa quadam nocte lucernas accendunt omnes sub dio circum domos suas. Sunt autem hæ lucernæ vascula sale repleta et oleo; superne est ellychnium, quod per totam noctem ardet; adpellantque festum illud, Accensionem lucernarum. (2) Alii autem Ægyptii, qui conventui non intersunt, observantes noctem sacrificii, lucernas et ipsi accendunt omnes : ita fit ut non solum in Sai oppido, sed per totam Ægyptum lucernæ ardeant. Qua vero de caussa nox hæc lumine ita honoretur, ea de re sacra quædam ratio adfertur.

LXIII. Heliopolin et in Buto oppidum quum conveniunt, nonnisi sacrificia peragunt : Papremi vero et sacrificia et alios sacros ritus celebrant, sicut ceteris in locis. Ibi vero, quando sol occasui vicinus est, pauci nonnulli ex sacerdotibus circa dei simulacrum occupantur; plerique vero eorum, ligneis clavis instructi, stant in templi introitu; alii vero, susceptum votum exsequentes, plures quam mille homines, ex adverso stant, fuste quisque instructus. (2) Simulacrum autem dei, quod in parva ædicula inest lignea deaurata, pridie ejus diei in aliam sacram ædem transportant. Jam pauci illi, qui apud simulacrum relicti sunt, trahunt plaustrum quattuor rotarum, cui imposita est ædicula et quod ei inest simulacrum : isti vero, qui in propylæo stant, hos non sinunt intrare. Atque hi, qui vota susceperunt, deo opem ferentes, pugnam ineunt, illosque fustibus cædunt : (3) fitque ibi acre prælium, multisque contunduntur capita; nec pauci, ut equidem arbitror, moriuntur etiam ex vulneribus; quamquam adfirmant Ægyptii neminem interire.

LXIV. Hanc autem panegyrin hac caussa institutam esse aiunt indigenæ : habitasse in illo templo matrem Martis : Martem autem, alibi educatum, postquam ad virilem pervenit ætatem, voluisse matri in commercium venire : ministros autem matris, ut qui illum numquam ante vidissent, non sivisse eum accedere, sed prohibuisse : tum illum, adductis secum ex alio oppido hominibus, male mulcasse ministros et ad matrem introivisse. In ejus rei memoriam verberationem hanc in festo Marti sacro a se aiunt esse institutam. (2) Etiam hanc religionem primi coluerunt Ægyptii, ut nefas ducant in templo coire cum mulieribus, aut a concubitu intrare in templa illotum. Ceteri enim fere omnes homines, exceptis Ægyptiis et Græcis, coeunt in locis sacris, et ab uxoribus surgentes, templum intrant illoti : existimantes nihil inter homines et alias pecudes differre. Videre se enim alias pecudes et avium varia genera coire in ipsis deorum ædibus et in locis deo alicui con-

θεῷ τοῦτο μὴ φίλον, οὐκ ἂν οὐδὲ τὰ κτήνεα ποιέειν. Οὗτοι μέν νυν τοιαῦτα ἐπιλέγοντες ποιεῦσι ἔμοιγε οὐκ ἀρεστά.

LXV. Αἰγύπτιοι δὲ θρησκεύουσι περισσῶς τά τε ἄλλα περὶ τὰ ἱρὰ καὶ δὴ καὶ τάδε. Ἐοῦσα ἡ Αἴγυπτος ὅμουρος τῇ Λιβύῃ οὐ μάλα θηριώδης ἐστί· τὰ δὲ ἐόντα σφι ἅπαντα ἱρὰ νενόμισται, καὶ τὰ μὲν σύντροφα αὐτοῖσι ἀνθρώποισι, τὰ δὲ οὔ. (2) Τῶν δὲ εἵνεκεν ἀνείται τὰ ἱρὰ εἰ λέγοιμι, καταβαίην ἂν τῷ λόγῳ ἐς τὰ θεῖα πρήγματα, τὰ ἐγὼ φεύγω μάλιστα ἀπηγέεσθαι· τὰ δὲ καὶ εἴρηκα αὐτῶν ἐπιψαύσας, ἀναγκαίῃ καταλαμβανόμενος εἶπα. (3) Νόμος δέ ἐστι περὶ τῶν θηρίων ὧδε ἔχων. Μελεδωνοὶ ἀποδεδέχαται τῆς τροφῆς χωρὶς ἑκάστων, καὶ ἕρσενες καὶ θήλεαι τῶν Αἰγυπτίων, τῶν παῖς παρὰ πατρὸς ἐκδέκεται τὴν τιμήν. (4) Οἱ δὲ ἐν τῇσι πόλισι ἕκαστοι εὐχὰς τάσδε σφι ἀποτελέουσι· εὐχόμενοι τῷ θεῷ τοῦ ἂν ᾖ τὸ θηρίον, ξυρεῦντες τῶν παιδίων ἢ πᾶσαν τὴν κεφαλὴν ἢ τὸ ἥμισυ ἢ τὸ τρίτον μέρος τῆς κεφαλῆς, ἱστᾶσι σταθμῷ πρὸς ἀργύριον τὰς τρίχας· τὸ δ' ἂν ἑλκύσῃ, τοῦτο τῇ μελεδωνῷ τῶν θηρίων διδοῖ, ἡ δ' ἀντ' αὐτοῦ τάμνουσα ἰχθῦς παρέχει βορὴν τοῖσι θηρίοισι. (5) Τροφὴ μὲν δὴ αὐτοῖσι τοιαύτη ἀποδέδεκται· τὸ δ' ἄν τις τῶν θηρίων τούτων ἀποκτείνῃ, ἢν μὲν ἑκών, θάνατος ἡ ζημίη, ἢν δὲ ἀέκων, ἀποτίνει ζημίην τὴν ἂν οἱ ἱρέες τάξωνται. Ὃς δ' ἂν ἶβιν ἢ ἱρηκα ἀποκτείνῃ, ἤν τε ἑκὼν ἤν τε ἀέκων, τεθνάναι ἀνάγκη.

LXVI. Πολλῶν δὲ ἐόντων τῶν δμοτρόφων τοῖσι ἀνθρώποισι θηρίων πολλῷ ἂν ἔτι πλέω ἐγίνετο, εἰ μὴ κατελάμβανε τοὺς αἰελούρους τοιάδε. Ἐπεὰν τέκωσι αἱ θήλεαι, οὐκέτι φοιτέουσι παρὰ τοὺς ἔρσενας· οἱ δὲ διζήμενοι μίσγεσθαι αὐτῆσι οὐκ ἔχουσι. Πρὸς ὧν ταῦτα σοφίζονται τάδε· ἁρπάζοντες ἀπὸ τῶν θηλέων καὶ ὑπαιρεόμενοι τὰ τέκνα κτείνουσι, κτείναντες μέντοι οὐ πατέονται. Αἱ δὲ στερισκόμεναι τῶν τέκνων, ἄλλων δὲ ἐπιθυμέουσαι, οὕτω δὴ ἀπικνέονται παρὰ τοὺς ἔρσενας· φιλότεκνον γὰρ τὸ θηρίον. (2) Πυρκαϊῆς δὲ γενομένης θεῖα πρήγματα καταλαμβάνει τοὺς αἰελούρους· οἱ μὲν γὰρ Αἰγύπτιοι διαστάντες φυλακὰς ἔχουσι τῶν αἰελούρων, ἀμελήσαντες σβεννύναι τὸ καιόμενον, οἱ δὲ αἰέλουροι διαδύοντες καὶ ὑπερθρώσκοντες τοὺς ἀνθρώπους ἐσάλλονται ἐς τὸ πῦρ. (3) Ταῦτα δὲ γινόμενα πένθεα μεγάλα τοὺς Αἰγυπτίους καταλαμβάνει. Ἐν ὁτέοισι δ' ἂν οἰκίοισι αἰέλουρος ἀποθάνῃ ἀπὸ τοῦ αὐτομάτου, οἱ ἐνοικέοντες πάντες ξυρεῦνται τὰς ὀφρῦς μούνας, παρ' ὁτέοισι δ' ἂν κύων, πᾶν τὸ σῶμα καὶ τὴν κεφαλήν.

LXVII. Ἀπάγονται δὲ οἱ αἰέλουροι ἀποθανόντες ἐς ἱρὰς στέγας, ἔνθα θάπτονται ταριχευθέντες, ἐν Βουβάστι πόλι· τὰς δὲ κύνας ἐν τῇ ἑωυτῶν ἕκαστοι πόλι θάπτουσι ἐν ἱρῇσι θήκῃσι. (2) Ὡς δ' αὕτως τῇσι κυσὶ οἱ ἰχνευταὶ θάπτονται. Τὰς δὲ μυγαλέας καὶ τοὺς ἱρηκας ἀπάγουσι ἐς Βουτοῦν πόλιν, τὰς δὲ ἴβις ἐς Ἑρμέω πόλιν. (3) Τὰς δὲ ἄρκτους ἐούσας σπανίας καὶ τοὺς λύ-

secratis : id si ingratum esset deo, pecudes non esse facturas. Talia illi prætexentes faciunt ista, mihi quidem minime probata.

LXV. Sed Ægyptii, quum aliis in rebus, tum nimirum et hac in parte, curiose colunt templorum religionem. Ægyptus, quamvis sit Libyæ confinis, non est tamen bestiis frequens. Quæ vero in ea reperiuntur, sacræ habentur omnes : et illarum quidem aliæ cum ipsis hominibus aluntur; aliæ non item. (2) Quodsi vero declarare vellem, cur deorum cuique consecratæ sint hæ quæ sacræ habentur, descenderem ad sermonem faciendum de divinis rebus, quas exponere equidem imprimis devito : quarum si quas ego in narratione mea tetigi, necessitate adductus de eis sum locutus. (3) Obtinet autem, quod ad hasce bestias spectat, institutum hujusmodi. Constituti sunt, quibus earum alendarum, et quidem cujusque generis sigillatim, cura commissa est, viri Ægyptii mulieresque; quæ in munere patri filius succedit. (4) Præterea singuli oppidorum incolæ vota illis exsolvunt hæc, quæ deo ei fecerunt cui sacrata est bestia : scilicet liberorum suorum sive totum caput, sive dimidium, aut tertiam radunt partem; deinde capillos in trutina argentum contra pendunt, et, quantum fuerit capillorum pondus, tantum argenti solvunt curatrici bestiarum : illaque, pro hoc, escam bestiis concisos pisces præbet; (5) hoc enim eis alimenti genus adsignatum est. Si quis vero harum bestiarum quampiam occiderit, si sponte id fecerit, capite delictum luit; sin invitus, mulctam pendit, quantam irrogaverint sacerdotes. Qui vero ibin aut accipitrem necavit, sive volens, sive invitus, eum mori necesse est.

LXVI. Quamvis autem multæ sint bestiæ quæ cum hominibus aluntur vitamque agunt, multo etiam plures forent, nisi felibus accideret hocce. Postquam pepererunt feminæ, non amplius accedunt ad mares : at hi, coire cum illis concupiscentes, quum non possint, tali utuntur invento : rapiunt illarum fœtus, raptosque interficiunt; nec tamen comedunt occisos. Tum illæ, fœtu privatæ, et alium desiderantes, sic demum iterum ad mares accedunt : est enim amans prolis bestia. (2) Quodsi vero incidit incendium, divinitus quasi furore quodam corripiuntur feles. Nam Ægyptii quidem, per intervalla dispositi, custodiam felium agunt, incendium interim nihil curantes; at feles, aut sese insinuantes per hominum intervalla, aut superne transilientes, in ignem insiliunt : (3) quod ubi fit, ingens luctus capit Ægyptios. Quodsi ultro in domo quadam moritur felis, omnes ædium illarum incolæ supercilia sola radunt; apud quos vero canis mortuus fuerit, hi totum radunt corpus et caput.

LXVII. Abducuntur autem mortuæ feles in sacra sepulcra, quæ in Bubasti sunt oppido, ubi conditæ sepeliuntur. Canes autem mortuos in suo quisque oppido sacris in conditoriis sepeliunt : (2) et similiter, atque canes, sepeliuntur ichneumones. Mures autem araneos et accipitres in Buto oppidum deducunt : ibes vero, *Mercurio sacras*, Hermopolin. (3) Ursos autem, raros illos quidem in Ægypto, et lu-

κους οὐ πολλῷ τέῳ ἐόντας ἀλωπέκων μέζονας αὐτοῦ θάπτουσι τῇ ἂν εὑρεθέωσι κείμενοι.

LXVIII. Τῶν δὲ κροκοδείλων ἡ φύσις ἐστὶ τοιήδε. Τοὺς χειμεριωτάτους μῆνας τέσσερας ἐσθίει οὐδέν, ἐὸν δὲ τετράπουν χερσαῖον καὶ λιμναῖον ἐστί· τίκτει μὲν γὰρ ᾠὰ ἐν γῇ καὶ ἐκλέπει, καὶ τὸ πολλὸν τῆς ἡμέρης διατρίβει ἐν τῷ ξηρῷ, τὴν δὲ νύκτα πᾶσαν ἐν τῷ ποταμῷ· θερμότερον γὰρ δή ἐστι τὸ ὕδωρ τῆς τε αἰθρίης καὶ τῆς δρόσου. (2) Πάντων δὲ τῶν ἡμεῖς ἴδμεν θνητῶν τοῦτο ἐξ ἐλαχίστου μέγιστον γίνεται· τὰ μὲν γὰρ ᾠὰ χηνέων οὐ πολλῷ μέζονα τίκτει, καὶ ὁ νεοσσὸς κατὰ λόγον τοῦ ᾠοῦ γίνεται, αὐξανόμενος δὲ γίνεται καὶ ἐς ἑπτακαίδεκα πήχεας, καὶ μέζων ἔτι. (3) Ἔχει δὲ ὀφθαλμοὺς μὲν ὑός, ὀδόντας δὲ μεγάλους καὶ χαυλιόδοντας κατὰ λόγον τοῦ σώματος. Γλῶσσαν δὲ μοῦνον θηρίων οὐκ ἔφυσε. Οὐδὲ τὴν κάτω κινέει γνάθον, ἀλλὰ καὶ τοῦτο μοῦνον θηρίων τὴν ἄνω γνάθον προσάγει τῇ κάτω. (4) Ἔχει δὲ καὶ ὄνυχας καρτεροὺς καὶ δέρμα λεπιδωτὸν ἄρρηκτον ἐπὶ τοῦ νώτου. Τυφλὸν δὲ ἐν ὕδατι, ἐν δὲ τῇ αἰθρίῃ ὀξυδερκέστατον. Ἅτε δὴ ὦν ἐν ὕδατι δίαιταν ποιεύμενον, τὸ στόμα ἔνδοθεν φορέει πᾶν μεστὸν βδελλέων. (5) Τὰ μὲν δὴ ἄλλα ὄρνεα καὶ θηρία φεύγει μιν, ὁ δὲ τροχίλος εἰρηναῖόν οἱ ἐστι ἅτε ὠφελευμένῳ πρὸς αὐτοῦ· ἐπεὰν γὰρ ἐς τὴν γῆν ἐκβῇ ἐκ τοῦ ὕδατος ὁ κροκόδειλος καὶ ἔπειτεν χάνῃ (ἔωθε γὰρ τοῦτο ὡς ἐπίπαν ποιέειν πρὸς τὸν ζέφυρον), ἐνθαῦτα ὁ τροχίλος ἐσδύνων ἐς τὸ στόμα αὐτοῦ καταπίνει τὰς βδέλλας· ὁ δὲ ὠφελεύμενος ἥδεται καὶ οὐδὲν σίνεται τὸν τροχίλον.

LXIX. Τοῖσι μὲν δὴ τῶν Αἰγυπτίων ἱροί εἰσι οἱ κροκόδειλοι, τοῖσι δ' οὔ, ἀλλ' ἅτε πολεμίους περιέπουσι. Οἱ δὲ περί τε Θήβας καὶ τὴν Μοίριος λίμνην οἰκέοντες καὶ κάρτα ἡγέαται αὐτοὺς εἶναι ἱρούς. (2) Ἐκ πάντων δὲ ἕνα ἑκάτεροι τρέφουσι κροκόδειλον, δεδιδαγμένον εἶναι χειροήθεα, ἀρτήματά τε λίθινα χυτὰ καὶ χρύσεα ἐς τὰ ὦτα ἐνθέντες καὶ ἀμφιδέας περὶ τοὺς προσθίους πόδας, καὶ σιτία ἀποτακτὰ διδόντες καὶ ἱρήϊα, καὶ περιέποντες ὡς κάλλιστα ζώοντας· ἀποθανόντας δὲ ταριχεύοντες θάπτουσι ἐν ἱρῇσι θήκῃσι. (3) Οἱ δὲ περὶ Ἐλεφαντίνην πόλιν οἰκέοντες καὶ ἐσθίουσι αὐτούς, οὐκ ἡγεύμενοι ἱροὺς εἶναι. Καλεῦνται δὲ οὐ κροκόδειλοι, ἀλλὰ χάμψαι· κροκοδείλους δὲ Ἴωνες ὠνόμασαν, εἰκάζοντες αὐτῶν τὰ εἴδεα τοῖσι παρὰ σφίσι γινομένοισι κροκοδείλοισι τοῖσι ἐν τῇσι αἰμασιῇσι.

LXX. Ἄγραι δὲ σφέων πολλαὶ κατεστέασι καὶ παντοῖαι· ἡ δ' ὦν ἔμοιγε δοκέει ἀξιωτάτη ἀπηγήσιος εἶναι, ταύτην γράφω. Ἐπεὰν νῶτον ὑὸς δελεάσῃ περὶ ἄγκιστρον, μετίει ἐς μέσον τὸν ποταμόν, αὐτὸς δὲ ἐπὶ τοῦ χείλεος τοῦ ποταμοῦ ἔχων δέλφακα ζωὴν, ταύτην τύπτει. (2) Ἐπακούσας δὲ τῆς φωνῆς ὁ κροκόδειλος ἴεται κατὰ τὴν φωνὴν, ἐντυχὼν δὲ τῷ νώτῳ καταπίνει· οἱ δὲ ἕλκουσι. Ἐπεὰν δὲ ἐξελκυσθῇ ἐς γῆν, πρῶτον ἁπάντων ὁ θηρευτὴς πηλῷ κατ' ὦν ἔπλασε αὐτοῦ τοὺς ὀφθαλμούς. Τοῦτο δὲ ποιήσας κάρτα εὐπετέως τὰ λοιπὰ χειροῦται, μὴ ποιήσας δὲ τοῦτο, σὺν πόνῳ.

pos, qui vulpibus haud multo sunt majores, ibi sepeliunt, ubi mortui reperiuntur.

LXVIII. Crocodilorum autem hæc natura est. Per quatuor menses maxime hibernos nullum cibum capiunt. Quadrupes est, terram pariter et aquam habitans : ova enim parit excluditque in terra, et majorem diei partem in sicco versatur, noctem vero totam in fluvio agit : est enim aqua tum magis calida quam aer et ros. (2) Omnium vero, quæ novimus, animalium hoc ex minimo fit maximum. Nam ova parit haud multo majora anserinis, et exclusus fœtus pro ovi portione est : at, ubi incrementum cepit, pervenit ad septemdecim cubitorum longitudinem, et ultra. (3) Habet autem oculos porci, dentes vero magnos et exsertos, pro ratione magnitudinis corporis. Linguam natura non habet, unum ex omnibus animantibus : neque inferiorem movet, maxillam, sed ex omnibus item animantibus unum est quod superiorem maxillam admoveat inferiori. (4) Habet autem ungues robustos, et cutem squamatam, quæ in tergo perrumpi non potest. In aqua quidem cæcus est, in aere vero perspicacissimus. Quum igitur in aqua degat, os intus oppletum habet hirudinibus. (5) Jam aliæ quidem aves et bestiæ illum fugiunt : cum trochilo autem pacem colit, quippe qui utilem ei operam præstat : nam postquam ex aqua in terram exiit crocodilus, ibique ore hiante recubat (quod facere ille plerumque contra zephyrum consuevit), tum trochilus in os ejus sese insinuans, hirudines devorat; atque ille hac opera sibi præstita gaudens, neutiquam lædit trochilum.

LXIX. Sunt autem crocodili aliis Ægyptiis sacri; aliis non item, sed hi illos ut hostes persequuntur. Qui circa Thebas et Mœridis lacum habitant, hi vel maxime sacros illos ducunt : (2) et horum utrique unum crocodilum eximium alunt, manu tractari edoctum; cujus auribus inaures ex fusis lapidibus et auro inserunt, et anteriores pedes ornant armillis; demensoque cibo, quum farinaceo, tum ex victimis, eumdem pascunt, curantes ut quam lautissime vivat; denique mortuum condiunt, et sacro in sepulcro sepeliunt. (3) Qui vero circa Elephantinen habitant, hi non modo non sacros habent crocodilos, sed et carne eorum vescuntur. Vocantur autem ab Ægyptiis, non crocodili, sed *champsæ*. Crocodilos enim Iones illos nominarunt, formam illorum conferentes cum crocodilis (*id est lacertis*) qui apud illos in maceriis versantur.

LXX. Venatio crocodilorum multis atque variis modis instituitur : quorum ego illum, qui maxime mihi memoratu dignus videtur, exponam. Suis tergus, pro esca hamo insertum, in medium flumen demittit venator : ipse in ripa fluminis vivum habet porcellum, quem ferit. (2) Crocodilus, audita voce, ad ejus sonum adcurrit; in tergus vero suis incidens, illud deglutit; deinde eum in terram attrahunt. Postquam in terram extractus est, primum omnium oculos ejus luto oblinit venator : eo facto, facile admodum reliqua administrat; si facere non potuit, difficulter.

LXXI. Οἱ δὲ ἵπποι οἱ ποταμιοι νομῷ μὲν τῷ Παπρημίτῃ ἱροί εἰσι, τοῖσι δὲ ἄλλοισι Αἰγυπτίοισι οὐκ ἱροί. Φύσιν δὲ παρέχονται ἰδέης τοιήνδε· τετράπουν ἐστὶ, διχηλὸν, ὁπλαὶ βοὸς, σιμὸν, λοφιὴν ἔχον ἵππου, χαυλιόδοντας φαῖνον, οὐρὴν ἵππου καὶ φωνὴν, μέγαθος ὅσον τε βοῦς ὁ μέγιστος· τὸ δέρμα δ' αὐτοῦ οὕτω δή τι παχύ ἐστι ὥστε αὔου γενομένου ξυστὰ ποιέεσθαι ἀκόντια ἐξ αὐτοῦ.

LXXII. Γίνονται δὲ καὶ ἐνύδριες ἐν τῷ ποταμῷ, τὰς ἱρὰς ἡγέαται εἶναι. Νομίζουσι δὲ καὶ τῶν ἰχθύων τὸν καλεύμενον λεπιδωτὸν ἱρὸν εἶναι καὶ τὴν ἔγχελυν· ἱροὺς δὲ τούτους τοῦ Νείλου φασὶ εἶναι, καὶ τῶν ὀρνίθων τοὺς χηναλώπεκας.

LXXIII. Ἔστι δὲ καὶ ἄλλος ὄρνις ἱρὸς, τῷ οὔνομα φοῖνιξ. Ἐγὼ μέν μιν οὐκ εἶδον εἰ μὴ ὅσον γραφῇ· καὶ γὰρ δὴ καὶ σπάνιος ἐπιφοιτᾷ σφι, δι' ἐτέων, ὡς Ἡλιοπολιῆται λέγουσι, πενταχοσίων· φοιτᾶν δὲ τότε φασὶ ἐπεάν οἱ ἀποθάνῃ ὁ πατήρ. (2) Ἔστι δὲ, εἰ τῇ γραφῇ παρόμοιος, τοσόσδε καὶ τοιόσδε· τὰ μὲν αὐτοῦ χρυσόκομα τῶν πτερῶν, τὰ δὲ ἐρυθρά· ἐς τὰ μάλιστα αἰετῷ περιήγησιν ὁμοιότατος καὶ τὸ μέγαθος. (3) Τοῦτον δὲ λέγουσι μηχανᾶσθαι τάδε, ἐμοὶ μὲν οὐ πιστὰ λέγοντες, ἐξ Ἀραβίης ὁρμεώμενον ἐς τὸ ἱρὸν τοῦ Ἡλίου κομίζειν τὸν πατέρα ἐν σμύρνῃ ἐμπλάσσοντα, καὶ θάπτειν ἐν τοῦ Ἡλίου τῷ ἱρῷ. (4) Κομίζειν δὲ οὕτω· πρῶτον τῆς σμύρνης ᾠὸν πλάσσειν ὅσον τε δυνατός ἐστι φέρειν, μετὰ δὲ πειρᾶσθαι αὐτὸ φορέοντα, ἐπεὰν δὲ ἀποπειρηθῇ, οὕτω δὴ κοιλήναντα τὸ ᾠὸν τὸν πατέρα ἐς αὐτὸ ἐντιθέναι, σμύρνῃ δὲ ἄλλῃ ἐμπλάσσειν τοῦτο κατ' ὅ τι τοῦ ᾠοῦ ἐγκοιλήνας ἐνέθηκε τὸν πατέρα, ἐγκειμένου δὲ τοῦ πατρὸς γίνεσθαι τὠυτὸ βάρος, ἐμπλάσαντα δὲ κομίζειν μιν ἐπ' Αἰγύπτου ἐς τοῦ Ἡλίου τὸ ἱρόν. Ταῦτα μὲν τοῦτον τὸν ὄρνιν λέγουσι ποιέειν.

LXXIV. Εἰσὶ δὲ περὶ Θήβας ἱροὶ ὄφιες, ἀνθρώπων οὐδαμῶς δηλήμονες, οἱ μεγάθεϊ ἐόντες σμικροὶ δύο κέρεα φορέουσι πεφυκότα ἐξ ἄκρης τῆς κεφαλῆς, τοὺς ἀποθανόντας θάπτουσι ἐν τῷ ἱρῷ τοῦ Διός· τούτου γάρ σφεας τοῦ θεοῦ φασὶ εἶναι ἱρούς.

LXXV. Ἔστι δὲ χῶρος τῆς Ἀραβίης κατὰ Βουτοῦν πόλιν μάλιστά κῃ κείμενος, καὶ ἐς τοῦτο τὸ χωρίον ἦλθον πυνθανόμενος περὶ τῶν πτερωτῶν ὀφίων. Ἀπικόμενος δὲ εἶδον ὀστέα ὀφίων καὶ ἀκάνθας πλήθεϊ μὲν ἀδύνατα ἀπηγήσασθαι, σωροὶ δὲ ἔσαν ἀκανθέων καὶ μεγάλοι καὶ ὑποδεέστεροι καὶ ἐλάσσονες ἔτι τούτων, πολλοὶ δὲ ἔσαν οὗτοι. (2) Ἔστι δὲ ὁ χῶρος οὗτος, ἐν τῷ αἱ ἀκανθαι κατακεχύαται, τοιόσδε τις, ἐσβολὴ ἐξ οὐρέων στεινῶν ἐς πεδίον μέγα· τὸ δὲ πεδίον τοῦτο συνάπτει τῷ Αἰγυπτίῳ πεδίῳ. Λόγος δέ ἐστι ἅμα τῷ ἔαρι πτερωτοὺς ὄφις ἐκ τῆς Ἀραβίης πέτεσθαι ἐπ' Αἴγυπτον, τὰς δ' ἶβις τὰς ὄρνιθας ἀπαντώσας ἐς τὴν ἐσβολὴν ταύτης τῆς χώρης οὐ παριέναι τοὺς ὄφις, ἀλλὰ κατακτείνειν. (3) Καὶ τὴν ἶβιν διὰ τοῦτο τὸ ἔργον τετιμῆσθαι λέγουσι Ἄραβιοι μεγάλως πρὸς Αἰγυπτίων·

LXXI. Hippopotami in Papremite præfectura sacri habentur; reliquis vero Ægyptiis non sunt sacri. Horum natura atque species talis est: quadrupes animal, bisulcum, ungulis bovinis, simo naso, juba equina, dentibus prominentibus in conspicuo, cauda et voce equina; magnitudine maxima tauri; corio eum in modum crasso, ut ex arefacto conficiantur hastæ.

LXXII. Gignuntur in fluvio etiam lutræ, quas sacras ducunt Ægyptii. Ex piscium autem genere sacrum reputant esse eum qui vocatur lepidotus (*quasi squamatum dicas*), et anguillam: quos pisces Nilo sacros esse aiunt; itemque ex avium genere vulpanseres.

LXXIII. Est autem etiam alia avis sacra, cui nomen phœnix: quem ego quidem non vidi, nisi pictum; perraro quippe Ægyptum visitat, nonnisi ex quingentorum, ut Heliopolitæ aiunt, annorum intervallo: advenire autem dicunt tunc, quum pater ejus obiit. (2) Est autem, si modo pictura recte ejus formam refert, tantus atque talis: pennarum color, aliarum aureus, aliarum ruber; cæterum tota avis, habitu et magnitudine, aquilæ maxime simillima. (3) Phœnicem hunc aiunt, mihi quidem parum credibilia narrantes, hæcce machinari: ex Arabia proficiscentem, in Solis templum portare patrem suum, myrrha circumlitum, et in templo Solis sepelire. (4) Portare autem eum hoc modo: primum myrrham in ovi formam fingere tanti ponderis, quantum ferre ipse possit; dein ferendo illud experiri; factoque experimento, excavare ovum, et patrem intus ponere, et qua parte ovi excavati patrem inseruerit, eam alia myrrha oblinere: ita pondus impositi patris idem esse atque fuerat ovi pondus: hoc denique modo circumlitum patrem gestare eum in Solis templum. Hæc facere avem illam narrant.

LXXIV. Sunt autem circa Thebas sacri serpentes, nihil hominibus noxii, haud sane magni, duobus cornibus instructi e summo capite enatis. Hos, postquam mortui sunt, in Jovis templo sepeliunt: huic enim deo sacros esse eos dicunt.

LXXV. Est vero in Arabia locus, ex adverso oppidi Buto maxime situs; quem locum ipse adii, quum audirem quæ de serpentibus volucribus narrantur. Eo ut perveni, vidi ossa et spinas serpentum, ineffabili multitudine: erant enim spinarum acervi, majores alii, alii minores, atque rursus minores, ingenti numero. (2) Est autem locus, ubi effusæ hæ spinæ jacent, hujusmodi: ex angustis montibus introitus est in magnam planitiem; ea planities contigua est planitiei Ægypti. Narrant igitur, ineunte vere ex Arabia Ægyptum versus advolare volucres serpentes; ibes autem aves, occurrentes illis in faucibus hujus regionis, aditu prohibere serpentes, illosque necare. (3) Et hoc quia facere solita sit, magno in honore ab Ægyptiis haberi ibin,

ὁμολογέουσι δὲ καὶ Αἰγύπτιοι διὰ ταῦτα τιμᾶν τὰς ὄρνιθας ταύτας.

LXXVI. Εἶδος δὲ τῆς μὲν ἴβιος τόδε· μέλαινα δεινῶς πᾶσα, σκέλεα δὲ φορέει γεράνου, πρόσωπον δὲ ἐς τὰ μάλιστα ἐπίγρυπον, μέγαθος ὅσον κρέξ. (2) Τῶν μὲν δὴ μελαινέων τῶν μαχομένων πρὸς τοὺς ὄφις ἥδ' ἰδέη, τῶν δ' ἐν ποσὶ μᾶλλον εἰλευμένων τοῖσι ἀνθρώποισι (διξαὶ γὰρ δή εἰσι αἱ ἴβιες) ψιλὴ τὴν κεφαλὴν καὶ τὴν δειρὴν πᾶσαν, λευκὴ πτεροῖσι πλὴν κεφαλῆς καὶ τοῦ αὐχένος καὶ ἄκρων τῶν πτερύγων καὶ τοῦ πυγαίου ἄκρου (ταῦτα δὲ τὰ εἶπα πάντα μέλαινά ἐστι δεινῶς), σκέλεα δὲ καὶ πρόσωπον ἐμφερὴς τῇ ἑτέρῃ. (3) Τοῦ δὲ ὄφιος ἡ μορφὴ οἵη περ τῶν ὕδρων. Πτίλα δὲ οὐ πτερωτὰ φορέει, ἀλλὰ τοῖσι τῆς νυκτερίδος πτεροῖσι μάλιστά κη ἐμφερέστατα. Τοσαῦτα μὲν θηρίων πέρι ἱρῶν εἰρήσθω.

LXXVII. Αὐτῶν δὲ δὴ Αἰγυπτίων οἱ μὲν περὶ τὴν σπειρομένην Αἴγυπτον οἰκέουσι, μνήμην ἀνθρώπων πάντων ἐπασκέοντες μάλιστα λογιώτατοί εἰσι μακρῷ τῶν ἐγὼ ἐς διάπειραν ἀπικόμην. (2) Τρόπῳ δὲ ζόης τοιῷδε διαχρέονται. Συρμαίζουσι τρεῖς ἡμέρας ἑπεξῆς μηνὸς ἑκάστου, ἐμέτοισι θηρώμενοι τὴν ὑγίειαν καὶ κλύσμασι, νομίζοντες ἀπὸ τῶν τρεφόντων σιτίων πάσας τὰς νούσους τοῖσι ἀνθρώποισι γίνεσθαι. (3) Εἰσὶ μὲν γὰρ καὶ ἄλλως Αἰγύπτιοι μετὰ Λίβυας ὑγιηρέστατοι πάντων ἀνθρώπων, τῶν ὡρέων ἐμοὶ δοκέειν εἵνεκεν, ὅτι οὐ μεταλλάσσουσι αἱ ὧραι· ἐν γὰρ τῇσι μεταβολῇσι τοῖσι ἀνθρώποισι αἱ νοῦσοι μάλιστα γίνονται, τῶν τε ἄλλων πάντων καὶ δὴ καὶ τῶν ὡρέων μάλιστα. (4) Ἀρτοφαγέουσι δὲ ἐκ τῶν ὀλυρέων ποιεῦντες ἄρτους, τοὺς ἐκεῖνοι κυλλήστις οὐνομάζουσι. Οἴνῳ δ' ἐκ κριθέων πεποιημένῳ διαχρέονται· οὐ γάρ σφί εἰσι ἐν τῇ χώρῃ ἄμπελοι. Ἰχθύων δὲ τοὺς μὲν πρὸς ἥλιον αὐήναντες ὠμοὺς σιτέονται, τοὺς δ' ἐξ ἅλμης τεταριχευμένους. (5) Ὀρνίθων δὲ τούς τε ὄρτυγας καὶ τὰς νήσσας καὶ τὰ σμικρὰ τῶν ὀρνίθων ὠμὰ σιτέονται προταριχεύσαντες· τὰ δὲ ἄλλα ὅσα ἢ ὀρνίθων ἢ ἰχθύων ἐστί σφι ἐχόμενα, χωρὶς ἢ ὁκόσοι σφι ἱροὶ ἀποδεδέχαται, τοὺς λοιποὺς ὀπτοὺς καὶ ἑφθοὺς σιτέονται.

LXXVIII. Ἐν δὲ τῇσι συνουσίῃσι τοῖσι εὐδαίμοσι αὐτῶν, ἐπεὰν ἀπὸ δείπνου γένωνται, περιφέρει ἀνὴρ νεκρὸν ἐν σορῷ ξύλινον πεποιημένον, μεμιμημένον ἐς τὰ μάλιστα καὶ γραφῇ καὶ ἔργῳ, μέγαθος ὅσον τε πάντῃ πηχυαῖον ἢ δίπηχυν, δεικνὺς δὲ ἑκάστῳ τῶν συμποτέων λέγει « ἐς τοῦτον ὁρέων πῖνέ τε καὶ τέρπευ· ἔσεαι γὰρ ἀποθανὼν τοιοῦτος. » Ταῦτα μὲν παρὰ τὰ συμπόσια ποιεῦσι.

LXXIX. Πατρίοισι δὲ χρεώμενοι νόμοισι ἄλλον οὐδένα ἐπικτέονται· τοῖσι ἄλλα τε ἐπάξιά ἐστι νόμιμα καὶ δὴ καὶ ἄεισμα ἕν ἐστι, Λίνος, ὅσπερ ἔν τε Φοινίκῃ ἀοίδιμός ἐστι καὶ ἐν Κύπρῳ καὶ ἄλλῃ, κατὰ μέντοι ἔθνεα οὔνομα ἔχει, συμφέρεται δὲ ὡυτὸς εἶναι τὸν οἱ Ἕλληνες Λίνον οὐνομάζοντες ἀείδουσι, ὥστε πολλὰ μὲν

aiunt Arabes; et profitentur etiam Ægyptii, ea caussa se hasce aves in honore habere.

LXXVI. Species autem ibidis talis est : colore admodum nigro avis est per totum corpus, pedibus gruis, rostro quam maxime adunco, magnitudine quanta crex. (2) Nigrarum scilicet, quæ cum serpentibus pugnant, hæc species est : sed, quæ ante pedes hominum magis versantur (duo enim sunt ibium genera), hæ capite et gula tota glabræ sunt; pennæ quidem corporis albæ, sed caput et cervix et extremæ alæ extremaque cauda, omnia hæc, quæ dixi, nigra admodum : crura et rostrum simile alteri generi. (3) Porro serpentum illorum forma similis est hydrorum : alas autem habent non pennatas, sed vespertilionis alis admodum similes. Et hæc quidem hactenus de sacris bestiis dicta sunto.

LXXVII. Ad Ægyptios ipsos quod attinet, hi qui eam Ægypti partem incolunt, quæ sepinari solet, omnium hominum maxime memoriæ rerum gestarum dant operam; suntque longe omnium, cum quibus aliquam notitiam contraxerim, eruditissimi. (2) Vitæ autem ratione utuntur tali. Singulis mensibus per tres continuos dies purgant corpus, vomitibus et clysteribus sanitatem sectantes, rati a cibis, quos sumunt homines, oriri morborum omne genus. (3) Sunt enim cæteroquin Ægyptii, post Libyas, præ cæteris omnibus populis robustissima valetudine, ob cœli puto temperiem, tempestatemque nullis mutationibus obnoxiam. Ex mutationibus enim, quum aliarum rerum, tum præsertim ex tempestatum vicissitudinibus, maxime oriuntur morbi hominibus. (4) Vescuntur autem panibus ex zea coctis, quos *cyllestes* nominant. Vino vulgo utuntur ex hordeo confecto, quum vites non ferat regio. Pisces alios comedunt crudos, ad solem siccatos; alios sale conditos. (5) Ex avibus coturnices et anates et minores aviculas crudas edunt, sale quidem ante conditas; reliqua autem apud ipsos vel avium genera vel piscium, exceptis his quæ sacra habentur, ea partim assata comedunt, partim elixa.

LXXVIII. In conviviis opulentiorum, postquam cœnare desierunt, circumfert aliquis in loculo mortui hominis simulacrum ex ligno factum, pictura et opere maxime ad naturam expressum, longitudine cubitali omnino, aut duorum cubitorum. Hoc simulacrum ostendens ille unicuique convivarum, ait : « In hunc intuens bibe et delectare; post mortem enim talis eris. » Hoc in conviviis faciunt.

LXXIX. Patriis institutis ita sunt deditI, ut alienum nullum adsciscant. Habent autem quum alia instituta memorabilia, tum est apud illos in usu cantilena quædam, Linus, qui et in Phœnice et in Cypro cantatur et alibi; pro diversis autem populis nomen habet diversum, congruit vero atque adeo idem est quem Græci cantant, Linum no-

καὶ ἄλλα ἀποθωμάζειν με τῶν περὶ Αἴγυπτον ἐόντων, ἐν δὲ δὴ καὶ τὸν Λίνον ὁκόθεν ἔλαβον. Φαίνονται δὲ αἰεί κοτε τοῦτον ἀείδοντες. (2) Ἔστι δὲ Αἰγυπτιστὶ ὁ Λίνος καλεύμενος Μανέρως. Ἔφασαν δέ μιν Αἰγύπτιοι τοῦ πρώτου βασιλεύσαντος Αἰγύπτου παῖδα μουνογενέα γενέσθαι, ἀποθανόντα δ' αὐτὸν ἄνωρον θρήνοισι ὑπ' Αἰγυπτίων τιμηθῆναι, καὶ ἀοιδήν τε ταύτην πρώτην καὶ μούνην σφίσι γενέσθαι.

LXXX. Συμφέρονται δὲ καὶ τόδε ἄλλο Αἰγύπτιοι Ἑλλήνων μούνοισι Λακεδαιμονίοισι· οἱ νεώτεροι αὐτῶν τοῖσι πρεσβυτέροισι συντυγχάνοντες εἴχουσι τῆς ὁδοῦ καὶ ἐκτράπονται καὶ ἐπιοῦσι ἐξ ἕδρης ὑπανιστέαται. Τόδε μέντοι ἄλλο Ἑλλήνων οὐδαμοῖσι συμφέρονται· ἀντὶ τοῦ ποσαγορεύειν ἀλλήλους ἐν τῇσι ὁδοῖσι προσκυνέουσι κατιέντες μέχρι τοῦ γούνατος τὴν χεῖρα.

LXXXI. Ἐνδεδύκασι δὲ χιθῶνας λινέους περὶ τὰ σκέλεα θυσανωτοὺς, τοὺς καλεῦσι καλασίρις· ἐπὶ τούτοισι δὲ εἰρίνεα εἵματα λευκὰ ἐπαναβληδὸν φορέουσι. Οὐ μέντοι ἔς γε τὰ ἱρὰ ἐσφέρεται εἰρίνεα, οὐδὲ συγκαταθάπτεταί σφι· οὐ γὰρ ὅσιον. (2) Ὁμολογέουσι δὲ ταῦτα τοῖσι Ὀρφικοῖσι καλευμένοισι καὶ Βακχικοῖσι, ἐοῦσι δὲ Αἰγυπτίοισι καὶ Πυθαγορείοισι· οὐδὲ γὰρ τούτων τῶν ὀργίων μετέχοντα ὅσιόν ἐστι ἐν εἰρινέοισι εἵμασι θαφθῆναι. Ἔστι δὲ περὶ αὐτῶν ἱρὸς λόγος λεγόμενος.

LXXXII. Καὶ τάδε ἄλλα Αἰγυπτίοισί ἐστι ἐξευρημένα, μείς τε καὶ ἡμέρη ἑκάστη θεῶν ὅτευ ἐστὶ, καὶ τῇ ἕκαστος ἡμέρῃ γενόμενος ὁτέοισι ἐγκυρήσει καὶ ὅκως τελευτήσει καὶ ὁκοῖός τις ἔσται. Καὶ τούτοισι τῶν Ἑλλήνων οἱ ἐν ποιήσι γενόμενοι ἐχρήσαντο. (2) Τέρατά τε πλέω σφι ἀνεύρηται ἢ τοῖσι ἄλλοισι ἅπασι ἀνθρώποισι· γενομένου γὰρ τέρατος φυλάσσουσι γραφόμενοι τὠποβαῖνον, καὶ ἤν κοτε ὕστερον παραπλήσιον τούτῳ γένηται, κατὰ τὠυτὸ νομίζουσι ἀποβήσεσθαι.

LXXXIII. Μαντικὴ δὲ αὐτοῖσι ὧδε διακέεται. Ἀνθρώπων μὲν οὐδενὶ προσκέεται ἡ τέχνη, τῶν δὲ θεῶν μετεξετέροισι· καὶ γὰρ Ἡρακλέος μαντήϊον αὐτόθι ἐστὶ καὶ Ἀπόλλωνος καὶ Ἀθηναίης καὶ Ἀρτέμιδος καὶ Ἄρεος καὶ Διὸς, καὶ τό γε μάλιστα ἐν τιμῇ ἄγονται πάντων τῶν μαντηίων, Λητοῦς ἐν Βουτοῖ πόλι ἐστί. Οὐ μέντοι αἵ γε μαντηίαι σφι κατὰ τὠυτὸ ἑστᾶσι, ἀλλὰ διάφοροί εἰσι.

LXXXIV. Ἡ δὲ ἰητρικὴ κατὰ τάδε σφι δέδασται· μιῆς νούσου ἕκαστος ἰητρός ἐστι καὶ οὐ πλεύνων. Πάντα δ' ἰητρῶν ἐστὶ πλέα· οἱ μὲν γὰρ ὀφθαλμῶν ἰητροί κατεστέασι, οἱ δὲ κεφαλῆς, οἱ δὲ ὀδόντων, οἱ δὲ τῶν κατὰ νηδὺν, οἱ δὲ τῶν ἀφανέων νούσων.

LXXXV. Θρῆνοι δὲ καὶ ταφαὶ σφεων εἰσὶ αἵδε. Τοῖσι ἂν ἀπογένηται ἐκ τῶν οἰκίων ἄνθρωπος τοῦ τις καὶ λόγος ἦ, τὸ θῆλυ γένος πᾶν τὸ ἐκ τῶν οἰκίων τούτων κατ' ὧν ἐπλάσατο τὴν κεφαλὴν πηλῷ ἢ καὶ τὸ πρόσωπον, κἄπειτεν ἐν τοῖσι οἰκίοισι λιποῦσαι τὸν νεκρὸν αὐταὶ ἀνὰ τὴν πόλιν στρωφώμεναι τύπτονται ἐπεζωσμέναι καὶ φαίνουσαι τοὺς μαζοὺς, σὺν δέ σφι αἱ προσήκουσαι πᾶσαι· ἑτέρωθεν δὲ οἱ ἄνδρες τύπτονται, ἐπεζωσμένοι

minantes. Quare, ut multa alia eorum quæ in Ægypto sunt, sic et hoc mirabar, Linum unde acceperint satis vero compertum est, ab antiquissimis temporibus hunc ab illis cani solitum. (2) Nominatur autem Linus Ægyptiorum lingua Maneros. Dicunt vero Ægyptii, fuisse illum primi regis, qui in Ægypto regnarit, filium unicum : hunc, ante pubertatem mortuum, lamentis his prosequi Ægyptios : et esse hanc apud se primam et unicam cantilenam.

LXXX. Etiam alterum hoc commune habent Ægyptii cum solis quidem Græcorum Lacedæmoniis : juniores apud illos ubi obviam veniunt senioribus, cedunt his via, ac deflectunt; et advenientibus e sedili adsurgunt. Sed est aliud apud eos quod a Græcorum omnium moribus abhorret : in via publica, loco salutationis, adorant alter alterum, manum usque ad genua demittentes.

LXXXI. Vestes induuntur lineas, circa crura fimbriatas, quas *calasires* vocant : super his candida gestant amicula lanea superinjecta. Nec vero templa ingrediuntur cum laneis amiculis, nec his induti sepeliuntur : nefas est enim. (2) Qui mos congruit cum Orphicis (quæ vocantur et Bacchicis institutis, quæ sunt eadem Ægyptiaca et Pythagorica. Nam, qui horum sacrorum est particeps, eum nefas est in laneis vestimentis sepeliri : cujus rei sacra quædam redditur ratio.

LXXXII. Sunt porro alia ab Ægyptiis inventa, hæcce : mensium et dierum unusquisque cuinam ex diis sit consecratus; et, quo quisque die natus est, quænam sint hujus hominis fata futura, quo mortis genere periturus, quodnam ejus futurum sit ingenium et natura : quibus rebus etiam Græcorum nonnulli, qui poesin tractarunt, usi sunt. (2) Prodigia etiam plura ab his inventa sunt, quam ab aliis omnibus hominibus. Incidente enim prodigio, observant scriptoque consignant ea quæ deinde eveniunt : et, si quando postea aliud simile huic incidit, similia existimant eventura.

LXXXIII. Quod ad divinationem spectat, ejus apud illos hæc ratio est. Hominum nulli ars divinandi inesse putatur, sed deorum quibusdam. Nam et Herculis in Ægypto oraculum est, et Apollinis, et Minervæ, et Dianæ, et Martis, et Jovis; denique id, quod maxime omnium in honore habent, Latonæ oraculum in Buto oppido. Modus vero quo eduntur oracula, non idem illis constitutus ubique est, sed diversus.

LXXXIV. Ars medica apud eos in hunc modum distributa est, ut singulorum morborum singuli sint medici, nec plura morborum genera unus idemque curet. Suntque apud illos medicorum plena omnia : nam alii oculorum sunt medici, capitis alii, alii dentium, alii alvi, alii occultorum morborum.

LXXXV. Lamenta et sepulturæ in hunc modum apud eos instituuntur. Quando ex domo quadam decessit homo, cujus aliqua ratio habetur, feminæ ex ea domo omnes luto oblinunt caput aut ipsam etiam faciem, ac dein, relicto domi cadavere, ipsæ per urbem discurrentes plangunt, succinctæ, mammasque exserentes, et cum his propinquæ omnes.

καὶ οὗτοι. Ἐπεὰν δὲ ταῦτα ποιήσωσι, οὕτω ἐς τὴν ταρίχευσιν κομίζουσι.

LXXXVI. Εἰσὶ δὲ οἱ ἐπ' αὐτῷ τούτῳ κατέαται καὶ τέχνην ἔχουσι ταύτην. Οὗτοι, ἐπεάν σφι κομισθῇ νεκρὸς, δεικνῦσι τοῖσι κομίσασι παραδείγματα νεκρῶν ξύλινα, τῇ γραφῇ μεμιμημένα, καὶ τὴν μὲν σπουδαιεστάτην αὐτέων φασὶ εἶναι τοῦ οὐκ ὅσιον ποιεῦμαι τὸ οὔνομα ἐπὶ τοιούτῳ πρήγματι οὐνομάζειν· τὴν δὲ δευτέρην δεικνῦσι ὑποδεεστέρην τε ταύτης καὶ εὐτελεστέρην, τὴν δὲ τρίτην εὐτελεστάτην· φράσαντες δὲ πυνθάνονται παρ' αὐτῶν κατ' ἥντινα βούλονταί σφι σκευασθῆναι τὸν νεκρόν. (2) Οἱ μὲν δὴ ἐκποδὼν μισθῷ ὁμολογήσαντες ἀπαλλάσσονται, οἱ δὲ ὑπολειπόμενοι ἐν οἰκήμασι ὧδε τὰ σπουδαιέστατα ταριχεύουσι. (3) Πρῶτα μὲν σκολιῷ σιδήρῳ διὰ τῶν μυξωτήρων ἐξάγουσι τὸν ἐγκέφαλον, τὰ μὲν αὐτοῦ οὕτω ἐξάγοντες, τὰ δὲ ἐγχέοντες φάρμακα· μετὰ δὲ λίθῳ Αἰθιοπικῷ ὀξέϊ παρασχίσαντες παρὰ τὴν λαπάρην ἐξ ὧν εἷλον τὴν κοιλίην πᾶσαν, ἐκκαθήραντες δὲ αὐτὴν καὶ διηθήσαντες οἴνῳ φοινικηίῳ αὖτις διηθέουσι θυμιήμασι τετριμμένοισι· ἔπειτεν τὴν νηδὺν σμύρνης ἀκηράτου τετριμμένης καὶ κασίης καὶ τῶν ἄλλων θυωμάτων, πλὴν λιβανωτοῦ, πλήσαντες συρράπτουσι ὀπίσω. (4) Ταῦτα δὲ ποιήσαντες ταριχεύουσι λίτρῳ, κρύψαντες ἡμέρας ἑβδομήκοντα· πλεῦνας δὲ τούτων οὐκ ἔξεστι ταριχεύειν. Ἐπεὰν δὲ παρέλθωσι αἱ ἑβδομήκοντα, λούσαντες τὸν νεκρὸν κατειλίσσουσι πᾶν αὐτοῦ τὸ σῶμα σινδόνος βυσσίνης τελαμῶσι κατατετμημένοισι, ὑποχρίοντες τῷ κόμμι, τῷ δὴ ἀντὶ κόλλης τὰ πολλὰ χρέονται Αἰγύπτιοι. (5) Ἐνθεῦτεν δὲ παραδεξάμενοί μιν οἱ προσήκοντες ποιεῦνται ξύλινον τύπον ἀνθρωποειδέα, ποιησάμενοι δὲ ἐσεργνῦσι τὸν νεκρὸν, καὶ κατακλήσαντες οὕτω θησαυρίζουσι ἐν οἰκήματι θηκαίῳ, ἱστάντες ὀρθὸν πρὸς τοῖχον. Οὕτω μὲν τοὺς τὰ πολυτελέστατα σκευάζουσι νεκρούς.

LXXXVII. Τοὺς δὲ τὰ μέσα βουλομένους, τὴν δὲ πολυτέλειαν φεύγοντας σκευάζουσι ὧδε. Ἐπεὰν τοὺς κλυστῆρας πλήσωνται τοῦ ἀπὸ κέδρου ἀλείφατος γινομένου, ἐν ὧν ἔπλησαν τοῦ νεκροῦ τὴν κοιλίην, οὔτε ἀναταμόντες αὐτὸν οὔτε ἐξελόντες τὴν νηδὺν, κατὰ δὲ τὴν ἕδρην ἐσηθήσαντες καὶ ἐπιλαβόντες τὸ κλύσμα τῆς ὀπίσω ὁδοῦ ταριχεύουσι τὰς προκειμένας ἡμέρας, τῇ δὲ τελευταίῃ ἐξιεῖσι ἐκ τῆς κοιλίης τὴν κεδρίην τὴν ἐσῆκαν πρότερον. (2) Ἡ δὲ ἔχει τοσαύτην δύναμιν ὥστε ἅμα ἑωυτῇ τὴν νηδὺν καὶ τὰ σπλάγχνα κατατετηκότα ἐξάγει· τὰς δὲ σάρκας τὸ λίτρον κατατήκει, καὶ δὴ λείπεται τοῦ νεκροῦ τὸ δέρμα μοῦνον καὶ τὰ ὀστέα. Ἐπεὰν δὲ ταῦτα ποιήσωσι, ἀπ' ὧν ἔδωκαν οὕτω τὸν νεκρὸν, οὐδὲν ἔτι πρηγματευθέντες.

LXXXVIII. Ἡ δὲ τρίτη ταρίχευσίς ἐστι ἥδε, ἣ τοὺς χρήμασι ἀσθενεστέρους σκευάζει· συρμαίῃ διηθήσαντες τὴν κοιλίην ταριχεύουσι τὰς ἑβδομήκοντα ἡμέρας, καὶ ἔπειτεν ἀπ' ὧν ἔδωκαν ἀποφέρεσθαι.

LXXXIX. Τὰς δὲ γυναῖκας τῶν ἐπιφανέων ἀνδρῶν, ἐπεὰν τελευτήσωσι, οὐ παραυτίκα διδοῦσι ταριχεύειν, ex parte viri plangunt, et ipsi succincti. Hæc postquam fecerunt, ita demum corpus ad condiendum efferunt.

LXXXVI. Sunt autem qui hoc ipso occupantur et artem hanc condiendi mortuos exercent. Hi, ubi illis adlatum est cadaver, ostendunt his qui illud adferunt exemplaria lignea cadaverum, pictura verum imitantia. Et præstantissimam quidem condiendi rationem dicunt ejus esse, cujus nomen in tali re effari nefas duco. Monstrant vero et exemplar alterius, quæ huic inferior est et minus pretiosa; denique tertiam, vilissimam. Quibus expositis, quærunt ex illis, quonam genere parari velint cadaver. (2) Tum hi, postquam de mercede convenit, abeunt: et illi, suis in ædibus manentes, si præstantissima ratione condiendum cadaver fuerit, rem ita peragunt. (3) Primum incurvo ferro per nares extrahunt cerebrum; et partem quidem cerebri ita extrahunt, partim vero infusis medicamentis. Deinde acuto lapide Æthiopico circa ilia incidunt cadaver, et totam alvum exenterant, et purgatam eluunt vino palmeo, iterumque tritis aromatibus extergunt: tum trita purissima myrrha et casia aliisque odoribus, thure excepto, alvum complent, atque completam rursus consuunt. (4) His ita factis, nitro condiunt, conduntque cadaver per dies septuaginta; nec enim licet plures condiendo insumere. Elapsis septuaginta diebus, lavant cadaver, et totum corpus sectis ex sindone byssina fasciis involvunt, gummi illo sublitis, quo pro glutine maxime utuntur Ægyptii. (5) Inde ubi cadaver receperunt propinqui, capsam conficiendam curant hominis figura, cui includunt cadaver, atque inclusum reponunt in conditorio sepulcrali, rectum statuentes ad parietem. Hæc est ratio adparandi ea cadavera, quæ pretiosissime condita volunt.

LXXXVII. Qui vero mediam rationem cupiunt, nimium sumtum fugientes, eorum cadavera ita instruunt. Clysteribus adhibitis implent cadaveris ventrem oleo cedrino, non incidentes cadaver, nec alvum exenterantes, sed per anum ingerentes: tum cohibentes illud lavacrum ne eadem via retro exeat, nitro condiunt cadaver, per statutum dierum numerum. Horum dierum postremo cedriam, prius ingestam, e ventre emittunt: (2) cujus tanta vis est, ut secum et intestina et viscera prorsus commacerata educat: carnes autem consumit nitrum; atque ita relinquitur cadaveris cutis tantum et ossa. His ita peractis, reddunt cadaver propinquis, nihil amplius negotii suscipientes.

LXXXVIII. Tertia condiendi ratio hæc est, qua adparantur eorum cadavera, quibus tenuis admodum res familiaris est. Vulgari liquore purgatorio eluunt ventrem, tum per septuaginta dies nitro condiunt cadaver, atque ita dein propinquis reddunt auferendum.

LXXXIX. Uxores vero illustrium virorum, postquam decesserunt, non statim condiendas tradunt; nec si quæ for-

οὐδὲ ὅσαι ἂν ἕωσι εὐειδέες κάρτα καὶ λόγου πλεῦνος γυναῖκες· ἀλλ' ἐπεὰν τριταῖαι ἢ τεταρταῖαι γένωνται, οὕτω παραδιδοῦσι τοῖσι ταριχεύουσι. (2) Τοῦτο δὲ ποιεῦσι οὕτω τοῦδε εἵνεκεν, ἵνα μή σφι οἱ ταριχευταὶ μίσγωνται τῇσι γυναιξί· λαμφθῆναι γάρ τινά φασι μισγόμενον νεκρῷ προσφάτῳ γυναικὸς, κατεῖπαι δὲ τὸν δημότεχνον.

XC. Ὅς δ' ἂν ἢ αὐτῶν Αἰγυπτίων ἢ ξείνων ὁμοίως ὑπὸ κροκοδείλου ἁρπαχθεὶς ἢ ὑπ' αὐτοῦ τοῦ ποταμοῦ φαίνηται τεθνεὼς, κατ' ἣν ἂν πόλιν ἐξενειχθῇ, τούτους πᾶσα ἀνάγκη ἐστὶ ταριχεύσαντας αὐτὸν καὶ περιστείλαντας ὡς κάλλιστα θάψαι ἐν ἱρῇσι θήκῃσι· (2) οὐδὲ ψαῦσαι ἔξεστι αὐτοῦ ἄλλον οὐδένα οὔτε τῶν προσηκόντων οὔτε τῶν φίλων, ἀλλά μιν οἱ ἱρέες αὐτοὶ οἱ τοῦ Νείλου, ἅτε πλέον τι ἢ ἀνθρώπου νεκρὸν, χειραπτάζοντες θάπτουσι.

XCI. Ἑλληνικοῖσι δὲ νομαίοισι φεύγουσι χρᾶσθαι, τὸ δὲ σύμπαν εἶπαι, μηδ' ἄλλων μηδαμὰ μηδαμῶν ἀνθρώπων νομαίοισι. Οἱ μέν νυν ἄλλοι Αἰγύπτιοι οὕτω τοῦτο φυλάσσουσι· ἔστι δὲ Χέμμις πόλις μεγάλη νομοῦ τοῦ Θηβαϊκοῦ ἐγγὺς Νέης πόλιος· ἐν ταύτῃ τῇ πόλι ἐστὶ Περσέος τοῦ Δανάης ἱρὸν τετράγωνον, πέριξ δὲ αὐτοῦ φοίνικες πεφύκασι. (2) Τὰ δὲ πρόπυλα τοῦ ἱροῦ λίθινά ἐστι, κάρτα μεγάλα· ἐπὶ δὲ αὐτοῖσι ἀνδριάντες δύο ἑστᾶσι λίθινοι μεγάλοι. Ἐν δὲ τῷ περιβεβλημένῳ τούτῳ νηός τε ἔνι καὶ ἄγαλμα ἐν αὐτῷ ἐνέστηκε τοῦ Περσέος. (3) Οὗτοι οἱ Χεμμῖται λέγουσι τὸν Περσέα πολλάκις μὲν ἀνὰ τὴν γῆν φαίνεσθαί σφι, πολλάκις δὲ ἔσω τοῦ ἱροῦ, σανδάλιόν τε αὐτοῦ πεφορημένον εὑρίσκεσθαι, ἐὸν τὸ μέγαθος δίπηχυ, τὸ ἐπεὰν φανῇ, εὐθενέειν ἅπασαν Αἴγυπτον. (4) Ταῦτα μὲν λέγουσι, ποιεῦσι δὲ τάδε Ἑλληνικὰ τῷ Περσέϊ· ἀγῶνα γυμνικὸν τιθεῖσι διὰ πάσης ἀγωνίης ἔχοντα, παρέχοντες ἆεθλα κτήνεα καὶ χλαίνας καὶ δέρματα. (5) Εἰρομένου δέ μευ ὅ τι σφι μούνοισι ἔωθε ὁ Περσεὺς ἐπιφαίνεσθαι καὶ ὅ τι κεχωρίδαται Αἰγυπτίων τῶν ἄλλων ἀγῶνα γυμνικὸν τιθέντες, ἔφασαν τὸν Περσέα ἐκ τῆς ἑωυτῶν πόλιος γεγονέναι· τὸν γὰρ Δαναὸν καὶ τὸν Λυγκέα ἐόντας Χεμμίτας ἐκπλῶσαι ἐς τὴν Ἑλλάδα, ἀπὸ δὲ τούτων γενεηλογέοντες κατέβαινον ἐς τὸν Περσέα. (6) Ἀπικόμενον δὲ αὐτὸν ἐς Αἴγυπτον κατ' αἰτίην τὴν καὶ Ἕλληνες λέγουσι, οἴσοντα ἐκ Λιβύης τὴν Γοργοῦς κεφαλὴν, ἔφασαν ἐλθεῖν καὶ παρὰ σφέας καὶ ἀναγνῶναι τοὺς συγγενέας πάντας· ἐκπεμαθηκότα δέ μιν ἀπικέσθαι ἐς Αἴγυπτον τὸ τῆς Χέμμιος οὔνομα, πεπυσμένον παρὰ τῆς μητρός· ἀγῶνα δέ οἱ γυμνικὸν αὐτοῦ κελεύσαντος ἐπιτελέειν.

XCII. Ταῦτα μὲν πάντα οἱ κατύπερθε τῶν ἑλέων οἰκέοντες Αἰγύπτιοι νομίζουσι· οἱ δὲ δὴ ἐν τοῖσι ἕλεσι κατοικημένοι τοῖσι μὲν αὐτοῖσι νόμοισι χρέονται τοῖσι καὶ οἱ ἄλλοι Αἰγύπτιοι, καὶ τἆλλα καὶ γυναικὶ μιῇ ἕκαστος αὐτῶν συνοικέει κατά περ Ἕλληνες. (2) Ἀτὰρ πρὸς εὐτέλειαν τῶν σιτίων τάδε σφι ἄλλα ἐξεύρηται. Ἐπεὰν πλήρης γένηται ὁ ποταμὸς καὶ τὰ πεδία πελαγίσῃ, φύεται ἐν τῷ ὕδατι κρίνεα πολλὰ, τὰ Αἰγύπτιοι κρεῦσι λωτόν. (3) Ταῦτ' ἐπεὰν δρέψωσι, αὐαίνουσι

mosæ admodum et in æstimatione fuerunt : sed post tres demum aut quattuor dies unctoribus hæ traduntur. (2) Id faciunt ea caussa, ne cum his mulieribus coeant unctores. Deprehensum enim esse aiunt eorum aliquem cum cadavere recens defunctæ mulieris coeuntem, delatumque esse ab artificii socio.

XC. Quodsi quis vero reperitur, sive Ægyptius, sive perinde peregrinus homo, qui a crocodilo raptus, aut ab ipso flumine haustus periit ; apud quodcumque oppidum cadaver ejus in terram fuerit ejectum, ejus oppidi incolæ necessario tenentur condiendum illud curare, et quam maximo honore adfectum in sacris conditoriis sepelire : (2) neque alii cuiquam, nec cognato, nec amico, licitum est tangere tale cadaver; sed soli sacerdotes Nili, tamquam aliquid amplius quam hominis cadaver, tractant illud atque sepeliunt.

XCI. Græcorum institutis recusant uti, et, verbo ut dicam, populorum quorumcumque. Et hoc quidem reliqui Ægyptii ita observant. Est autem Chemmis, oppidum magnum Thebaidis præfecturæ, prope Neapolin; in quo templum inest Persei, Danaæ filii, quadratum, palmeto circumdatum : (2) propylæa templi lapidea, ingentia admodum; super quibus duæ collocatæ sunt statuæ lapideæ ingenti mole. Intra hoc septum ædes est, in qua est Persei simulacrum : (3) narrantque hi Chemmitæ, sæpius in ea regione adparere ipsis Perseum, frequenter vero intra ædem, reperirique subinde sandalium quod ille gestaverit, magnitudine bicubitali; quod quoties adpareat, tunc florenti rerum statu universam uti Ægyptum. (4) Hoc illi narrant : sacra autem faciunt Perseo, Græcanicis similia, hujusmodi : ludos gymnicos celebrant, omnia certaminum genera continentes; præmiaque proponunt pecudes, et lænas, et pelles. (5) Interroganti vero mihi, cur ipsis solis adparere Perseus consuesset, et cur singulare hoc præ aliis omnibus Ægyptiis ipsi haberent, ut gymnicos ludos ei instituant, dixerunt, suo ex oppido oriundum esse Perseum : Danaum enim et Lynceum, qui in Græciam navigassent, Chemmitas fuisse : et horum deinde genus recensentes, descenderunt usque ad Perseum. (6) Hunc autem, aiebant, quum ob eam caussam, quam eamdem Græci memorant, Ægyptum adiisset, ut Gorgonis caput ex Libya adferret, etiam ad se venisse, et cognatos omnes agnovisse ; adiisse autem Ægyptum cognito Chemmios nomine, quod ei mater indicasset. Huic igitur se ludos gymnicos celebrare, ipsius jussu.

XCII. Istis quæ exposui institutis utuntur ii Ægyptii, qui supra paludes habitant. Qui vero paludes incolunt, eisdem quidem utuntur quibus reliqui quoque Ægyptii, quum aliis in rebus, tum quod non nisi unam quisque uxorem in matrimonio habet, quemadmodum Græci. (2) Cæterum ad victus facilitatem alia hæc ab iis inventa sunt. Postquam auctus est fluvius, camposque inundavit, nascuntur in aqua lilia multa, quæ ab Ægyptiis lotus vocantur. (3) Hæc ubi demessuerunt, siccant ad solem : deinde

πρὸς ἥλιον, καὶ ἔπειτεν τὸ ἐκ μέσου τοῦ λωτοῦ, τῇ μήκωνι ἐὸν ἐμφερὲς, πτίσαντες ποιεῦνται ἐξ αὐτοῦ ἄρτους ὀπτοὺς πυρί. Ἔστι δὲ καὶ ἡ ῥίζα τοῦ λωτοῦ τούτου ἐδωδίμη καὶ ἐγγλύσσει ἐπιεικέως, ἐὸν στρογγύλον, μέγαθος κατὰ μῆλον. (4) Ἔστι δὲ καὶ ἄλλα κρίνεα ῥόδοισι ἐμφερέα, ἐν τῷ ποταμῷ γινόμενα καὶ ταῦτα, ἐξ ὧν ὁ καρπὸς ἐν ἄλλῃ κάλυκι παραφυομένῃ ἐκ τῆς ῥίζης γίνεται, κηρίῳ σφηκῶν ἰδέην ὁμοιότατον· ἐν τούτῳ τρωκτὰ, ὅσον τε πυρὴν ἐλαίης, ἐγγίνεται συχνὰ, τρώγεται δὲ καὶ ἁπαλὰ ταῦτα καὶ αὖα. (5) Τὴν δὲ βύβλον τὴν ἐπέτεον γινομένην ἐπεὰν ἀνασπάσωσι ἐκ τῶν ἑλέων, τὰ μὲν ἄνω αὐτῆς ἀποτάμνοντες ἐς ἄλλο τι τράπουσι, τὸ δὲ κάτω λελειμμένον ὅσον τε ἐπὶ πῆχυν τρώγουσι καὶ πωλέουσι. (6) Οἱ δὲ ἂν καὶ κάρτα βούλωνται χρηστῇ τῇ βύβλῳ χρᾶσθαι, ἐν κλιβάνῳ διαφανεῖ πνίξαντες οὕτω τρώγουσι. Οἱ δέ τινες αὐτῶν ζώουσι ἀπὸ τῶν ἰχθύων μούνων, τοὺς ἐπεὰν λάβωσι καὶ ἐξέλωσι τὴν κοιλίην, αὐαίνουσι πρὸς ἥλιον καὶ ἔπειτεν αὔους ἐόντας σιτέονται.

XCIII. Οἱ δὲ ἰχθύες οἱ ἀγελαῖοι ἐν μὲν τοῖσι ποταμοῖσι οὐ μάλα γίνονται, τρεφόμενοι δὲ ἐν τῇσι λίμνῃσι τοιάδε ποιεῦσι. Ἐπεάν σφεας ἐσίῃ οἶστρος κυίσκεσθαι, ἀγεληδὸν ἐκπλώουσι ἐς θάλασσαν· ἡγέονται δὲ οἱ ἔρσενες ἀπορραίνοντες τοῦ θορου, αἱ δὲ ἐπόμεναι ἀναλάπτουσι καὶ ἐξ αὐτοῦ κυίσκονται. Ἐπεὰν δὲ πλήρεες γένωνται ἐν τῇ θαλάσσῃ, ἀναπλώουσι ὀπίσω ἐς ἤθεα τὰ ἑωυτῶν ἕκαστοι. (2) Ἡγέονται μέντοι γε οὐκέτι οἱ αὐτοὶ, ἀλλὰ τῶν θηλέων γίνεται ἡ ἡγεμονίη. Ἡγεύμεναι δὲ ἀγεληδὸν ποιεῦσι οἷόν περ ἐποίευν οἱ ἔρσενες· τῶν γὰρ ὠῶν ἀπορραίνουσι κατ' ὀλίγους τῶν κέγχρων, οἱ δὲ ἔρσενες καταπίνουσι ἑπόμενοι. (3) Εἰσὶ δὲ οἱ κέγχροι οὗτοι ἰχθύες. Ἐκ δὲ τῶν περιγινομένων καὶ μὴ καταπινομένων κέγχρων οἱ τρεφόμενοι ἰχθύες γίνονται. Οἱ δ' ἂν αὐτῶν ἁλῶσι ἐκπλώοντες ἐς θάλασσαν, φαίνονται τετριμμένοι τὰ ἐπ' ἀριστερὰ τῶν κεφαλέων, οἱ δ' ἂν ὀπίσω ἀναπλώοντες, τὰ ἐπὶ δεξιὰ τετρίφαται. (4) Πάσχουσι δὲ ταῦτα διὰ τόδε· ἐχόμενοι τῆς γῆς ἐπ' ἀριστερὰ καταπλώουσι ἐς θάλασσαν, καὶ ἀναπλώοντες ὀπίσω τῆς αὐτῆς ἀντέχονται, ἐγχριμπτόμενοι καὶ ψαύοντες ὡς μάλιστα, ἵνα δὴ μὴ ἁμάρτοιεν τῆς ὁδοῦ διὰ τὸν ῥόον. (5) Ἐπεὰν δὲ πληθύνεσθαι ἄρχηται ὁ Νεῖλος, τά τε κοῖλα τῆς γῆς καὶ τὰ τέλματα τὰ παρὰ τὸν ποταμὸν πρῶτα ἄρχεται πίμπλασθαι διηθέοντος τοῦ ὕδατος ἐκ τοῦ ποταμοῦ· καὶ αὐτίκα τε πλέα γίνεται ταῦτα, καὶ παραχρῆμα ἰχθύων σμικρῶν πίμπλαται πάντα. (6) Κόθεν δὲ οἰκὸς αὐτοὺς γίνεσθαι, ἐγώ μοι δοκέω κατανοέειν τοῦτο. Τοῦ προτέρου ἔτεος ἐπεὰν ἀπολίπῃ ὁ Νεῖλος, οἱ ἰχθύες οἱ ἐντεκόντες ᾠὰ ἐς τὴν ἰλὺν ἅμα τῷ ἐσχάτῳ ὕδατι ἀπαλλάσσονται· ἐπεὰν δὲ περιελθόντος τοῦ χρόνου πάλιν ἐπέλθῃ τὸ ὕδωρ, ἐκ τῶν ᾠῶν τούτων παραυτίκα γίνονται οἱ ἰχθύες. Καὶ περὶ μὲν τοὺς ἰχθῦς οὕτω ἔχει.

XCIV. Ἀλείφατι δὲ χρέονται Αἰγυπτίων οἱ περὶ τὰ ἕλεα οἰκέοντες ἀπὸ τῶν σιλλικυπρίων τοῦ καρποῦ, τὸ καλεῦσι μὲν Αἰγύπτιοι κίκι, ποιεῦσι δὲ ὧδε. (2) Παρὰ

quod in loto intus est, papaveri simile, id pinsunt, panesque ex eo coquunt. Est vero etiam radix hujus loti esculenta, sapore satis dulci, rotunda, magnitudine mali. (4) Sunt et alia lilia, rosis similia, quæ et ipsa in flumine nascuntur : quorum fructus in alio calice inest, ex radice adnato, specie favo vesparum simillima; in quo insunt (baccæ sive grana) esculenta permulta, magnitudine nuclei olivæ, quæ vel tenera comeduntur, vel siccata. (5) Porro byblum (*sive papyrum*), quæ quotannis in paludibus nascitur, postquam extraxerunt, superiora abscindunt in aliosque usus convertunt; quod vero inferius relinquitur ad cubiti longitudinem, id partim manducant, partim vendunt. (6) Qui vero delicata admodum byblo volunt uti, hi eam in ardente furno torrefactam manducant. Nonnulli vero nonnisi piscibus vitam sustentant : hi postquam captos exenterarunt, ad solem eos siccant, et ita siccatos comedunt.

XCIII. Gregales pisces in fluminibus non fere gignuntur; sed, postquam in stagnis enutriti sunt, faciunt hæc quæ dicam. Ubi incessit eos gignendi libido, gregatim enatant in mare. Gregem ducunt mares, genituram spargentes : sequuntur feminæ, quæ illam deglutiunt, atque inde concipiunt. Postquam gravidæ factæ sunt in mari, retro natant in suos quodque genus sedes. (2) Tum vero non jam mares præeunt, sed feminæ ducunt gregem : quæ dum præeunt, similiter faciunt atque antea mares fecerant; spargunt paulatim ovorum grana, sequunturque mares illa deglutientes. (3) Sunt autem grana ista, pisces : et ex reliquis granis, quæ non sunt deglutita, existunt pisces qui deinde enutriuntur. Qui ex gregibus illis, quum in mare enatant, capiuntur pisces, horum capita a lævo latere attrita reperiuntur; qui in renatando capiuntur, dextrum latus attritum habent. (4) Accidit hoc autem illis hac de caussa. Quum in mare enatant, presse legunt terram a parte sinistra : ubi retro natant, rursus ad eamdem sese adplicant, illamque attingunt quam proxime possunt, ne a via aberrent propter fluminis cursum. (5) Quando vero augeri incipit Nilus, tum cava terræ loca et lacunæ fluvio vicinæ primum incipiunt repleri, percolante aqua ex flumine : et prout illa loca implentur, continuo minutis pisciculis plena sunt omnia. (6) Hi pisciculi si unde oriantur quæris, videor mihi equidem verisimillimam hanc caussam intellexisse. Superiore anno, postquam deficere cœpit Nilus, pisces ova in limum deposuerunt, et simul cum postrema aqua abierunt : nunc, quando tempore circumacto redit aqua, ex ovis istis protinus hi pisciculi nascuntur. Et circa pisces quidem ita se res habet.

XCIV. Oleo utuntur hi ex Ægyptiis qui circa paludes habitant, ex fructu sillicyprionum, quod *kiki* vocant Ægyptii, parantque in hunc modum. (2) Ad fluminum et stagno

τα χελεα τῶν τε ποταμῶν καὶ τῶν λιμνέων σπείρουσι τὰ σιλλικύπρια ταῦτα, τὰ ἐν Ἕλλησι αὐτόματα ἄγρια φύεται· ταῦτα ἐν τῇ Αἰγύπτῳ σπειρόμενα καρπὸν φέρει πολλὸν μέν, δυσώδεα δέ· τοῦτον ἐπεὰν συλλέξωνται, οἱ μὲν κόψαντες ἀπιποῦσι, οἱ δὲ καὶ φρύξαντες ἀπέψουσι, καὶ τὸ ἀπορρέον ἀπ' αὐτοῦ συγκομίζονται. (3) Ἔστι δὲ πῖον καὶ οὐδὲν ἔσσον τοῦ ἐλαίου τῷ λύχνῳ προσηνές, ὀδμὴν δὲ βαρέαν παρέχεται.

XCV. Πρὸς δὲ τοὺς κώνωπας ἀφθόνους ἐόντας τάδε σφί ἐστι μεμηχανημένα. Τοὺς μὲν τὰ ἄνω τῶν ἑλέων οἰκέοντας οἱ πύργοι ὠφελέουσι, ἐς τοὺς ἀναβαίνοντες κοιμέονται· οἱ γὰρ κώνωπες ὑπὸ τῶν ἀνέμων οὐκ οἷοί τέ εἰσι ὑψοῦ πέτεσθαι. (2) Τοῖσι δὲ περὶ τὰ ἕλεα οἰκέουσι τάδε ἀντὶ τῶν πύργων ἄλλα μεμηχάνηται· πᾶς ἀνὴρ αὐτῶν ἀμφίβληστρον ἕκτηται, τῷ τῆς μὲν ἡμέρης ἰχθῦς ἀγρεύει, τὴν δὲ νύκτα τάδε αὐτῷ χρᾶται· ἐν τῇ ἀναπαύεται κοίτῃ, περὶ ταύτην ἵστησι τὸ ἀμφίβληστρον, καὶ ἕπειτεν ἐνδὺς ὑπ' αὐτῷ καθεύδει. (3) Οἱ δὲ κώνωπες, ἢν μὲν ἐν ἱματίῳ ἐνελιξάμενος εὕδῃ ἢ σινδόνι, διὰ τούτων δάκνουσι, διὰ δὲ τοῦ δικτύου οὐδὲ πειρῶνται ἀρχήν.

XCVI. Τὰ δὲ δὴ πλοῖά σφι, τοῖσι φορτηγέουσι, ἐστὶ ἐκ τῆς ἀκάνθης ποιεύμενα, τῆς ἡ μορφὴ μέν ἐστι δμοιοτάτη τῷ Κυρηναίῳ λωτῷ, τὸ δὲ δάκρυον κόμμι ἐστί. Ἐκ ταύτης ὦν τῆς ἀκάνθης κοψάμενοι ξύλα ὅσον τε διπήχεα πλινθηδὸν συντιθεῖσι, ναυπηγεύμενοι τρόπον τοιόνδε· (2) περὶ γόμφους πυκνοὺς καὶ μακροὺς περιείρουσι τὰ διπήχεα ξύλα· ἐπεὰν δὲ τῷ τρόπῳ τούτῳ ναυπηγήσωνται, ζυγὰ ἐπιπολῆς τείνουσι αὐτῶν. Νομεῦσι δὲ οὐδὲν χρέονται· ἔσωθεν δὲ τὰς ἁρμονίας ἐν ὧν ἐπάκτωσαν τῇ βύβλῳ. Πηδάλιον δὲ ἓν ποιεῦνται, καὶ τοῦτο διὰ τῆς τρόπιος διαβύνεται. Ἱστῷ δὲ ἀκανθίνῳ χρέονται, ἱστίοισι δὲ βυβλίνοισι. (3) Ταῦτα τὰ πλοῖα ἀνὰ μὲν τὸν ποταμὸν οὐ δύναται πλώειν, ἢν μὴ λαμπρὸς ἄνεμος ἐπέχῃ, ἐκ γῆς δὲ παρέλκεται. (4) Κατὰ ῥόον δὲ κομίζεται ὧδε· ἔστι ἐκ μυρίκης πεποιημένη θύρη, κατερραμμένη ῥίπεϊ καλάμων, καὶ λίθος τετρημένος διταλάντου μάλιστά κῃ σταθμόν· τούτων τὴν μὲν θύρην δεδεμένην κάλῳ ἔμπροσθε τοῦ πλοίου ἀπίει ἐπιφέρεσθαι, τὸν δὲ λίθον ἄλλῳ κάλῳ ὄπισθε. (5) Ἡ μὲν δὴ θύρη τοῦ ῥόου ἐμπίπτοντος χωρέει ταχέως καὶ ἕλκει τὴν βᾶριν (τοῦτο γὰρ δὴ οὔνομά ἐστι τοῖσι πλοίοισι τούτοισι), ὁ δὲ λίθος ὄπισθε ἑπελκόμενος καὶ ἐὼν ἐν βυσσῷ κατιθύνει τὸν πλόον. Ἔστι δέ σφι τὰ πλοῖα ταῦτα πλήθεϊ πολλά, καὶ ἄγει ἔνια πολλὰς χιλιάδας ταλάντων.

XCVII. Ἐπεὰν δ' ἐπέλθῃ ὁ Νεῖλος τὴν χώρην, αἱ πόλιες μοῦναι φαίνονται ὑπερέχουσαι, μάλιστά κῃ ἐμφερέες τῇσι ἐν τῷ Αἰγαίῳ πόντῳ νήσοισι· τὰ μὲν γὰρ ἄλλα τῆς Αἰγύπτου πέλαγος γίνεται, αἱ δὲ πόλιες μοῦναι ὑπερέχουσι. (2) Πορθμεύονται ὦν, ἐπεὰν τοῦτο γένηται, οὐκέτι κατὰ τὰ ῥέεθρα τοῦ ποταμοῦ, ἀλλὰ διὰ μέσου τοῦ πεδίου. Ἐς μέν γε Μέμφιν ἐκ Ναυ-

rum ripas serunt hæc sillicypria, quæ apud Græcos sponte nascuntur. Hæc in Ægypto sata, fructum ferunt magna copia, sed graveolentem. Hunc illi quum collegerunt, alii contusum exprimunt; alii etiam tostum excoquunt, et quod ex eo defluit, in usum suum reponunt. (3) Est autem pingue, et lucernæ non minus commodum quam nostrum oleum; sed gravem spargit odorem.

XCV. Adversus culices, quorum magna vis est, hoc utuntur invento. Qui regiones paludibus superiores incolunt, hos juvant turres, in quas dormituri adscendunt; nam a ventis prohibentur culices altius volare. (2) Qui vero circa paludes habitant, hi turrium loco hac ratione sese muniunt: quilibet vir rete possidet, quo per diem pisces venatur, noctu autem ad hunc illud usum convertit: in quo quiescit cubili, ei circumponit rete; deinde subrepens, sub illo dormit. (3) Culices enim, si quis pallio aut sindone involutus cubitum ivit, per hæc vestimenta eum mordent; per rete vero ne conantur quidem omnino.

XCVI. Naves illorum onerariæ ex spina arbore confectæ sunt, cujus species simillima loto Cyrenaico, lacrima autem gummi est. Ex hac igitur spina cædunt ligna fere bicubitalia, quæ laterum in morem componunt, ex eisque naves fabricantur tali modo: (2) bicubitalia illa ligna circum frequentes prælongosque clavos ligneos inserunt et innectunt, illisque ita in ratis formam compactis transtra superne intendunt. Costis vero non utuntur, commissuras autem intus byblo obturant. Gubernaculum unum faciunt, et hoc per carinam trajiciunt. Malo utuntur ex spina arbore, velis ex papyro. (3) Hæc navigia adverso flumine, nisi secundus ventus, isque satis validus, obtineat, navigare non possunt, sed ex terra juxta ripam trahuntur. (4) Secundo vero flumine deferuntur hoc modo: tabula sive crates oblonga est januæ forma, ex myrica frutice (*sive tamarice*) confecta, et vimine ex arundinibus consuta; tum lapis perforatus, duorum fere talentorum pondere. Januam illam, fune religatam, in fluvium demittit nauta, ut ante navem secundo flumine deferatur; lapidem vero ex alio fune a postica parte demittit. (5) Itaque janua, incidente aquæ impetu, celeriter progreditur, et trahit barin; hoc enim his navigiis nomen est; lapis vero, dum a tergo trahitur, et in fundo est, dirigit cursum. Habent Ægyptii navigiorum horum ingentem multitudinem, vehuntque illarum nonnulla multa millia talentorum.

XCVII. Postquam vero terram Nilus inundavit, sola oppida conspiciuntur ex aquis eminentia, insulis Ægæi maris admodum similia: reliqua enim omnis Ægyptus tunc pelagus est, solaque oppida eminent. (2) Hoc ubi fit, non jam per fluvii alveos navigant, sed medios per campos. Nam, qui Naucrati Memphin proficiscitur, is præter ipsas

κράτιος ἀναπλώοντι παρ' αὐτὰς τὰς πυραμίδας γίνεται ὁ πλόος· ἔστι δὲ οὐκ οὗτος, ἀλλὰ παρὰ τὸ ὀξὺ τοῦ Δέλτα καὶ παρὰ Κερκάσωρον πολιν· ἐς δὲ Ναύκρατιν ἀπὸ θαλάσσης καὶ Κανώβου διὰ πεδίου πλώων ἥξεις κατ' Ἀνθυλλάν τε πολιν καὶ τὴν Ἀρχάνδρου καλευμένην.

XCVIII. Τούτων δὲ ἡ μὲν Ἀνθυλλα ἐοῦσα λογίμη πολις ἐς ὑποδήματα ἐξαίρετος δίδοται τοῦ αἰεὶ βασιλεύοντος Αἰγύπτου τῇ γυναικί (τοῦτο δὲ γίνεται ἐξ ὅσου ὑπὸ Πέρσῃσί ἐστι Αἴγυπτος)· ἡ δ' ἑτέρη πόλις δοκέει μοι τὸ οὔνομα ἔχειν ἀπὸ τοῦ Δαναοῦ γαμβροῦ, Ἀρχάνδρου τοῦ Φθίου τοῦ Ἀχαιοῦ· καλέεται γὰρ δὴ Ἀρχάνδρου πόλις. Εἴη δ' ἂν καὶ ἄλλος τις Ἄρχανδρος, οὐ μέντοι γε Αἰγύπτιον τὸ οὔνομα.

XCIX. Μέχρι μὲν τούτου ὄψις τε ἐμὴ καὶ γνώμη καὶ ἱστορίη ταῦτα λέγουσά ἐστι· τὰ δὲ ἀπὸ τοῦδε Αἰγυπτίους ἔρχομαι λόγους ἐρέων, κατὰ ἤκουον· προσέσται δὲ αὐτοῖσί τι καὶ τῆς ἐμῆς ὄψιος. (2) Τὸν Μῆνα τὸν πρῶτον βασιλεύσαντα Αἰγύπτου οἱ ἱρέες ἔλεγον τοῦτο μὲν ἀπογεφυρῶσαι τὴν Μέμφιν. Τὸν γὰρ ποταμὸν πάντα ῥέειν παρὰ τὸ οὖρος τὸ ψάμμινον πρὸς Λιβύης, τὸν δὲ Μῆνα ἀνωθεν, ὅσον τε ἑκατὸν σταδίους ἀπὸ Μέμφιος, τὸν πρὸς μεσαμβρίης ἀγκῶνα προσχώσαντα τὸ μὲν ἀρχαῖον ῥέεθρον ἀποξηρᾶναι, τὸν δὲ ποταμὸν ὀχετεῦσαι τὸ μέσον τῶν οὐρέων ῥέειν. (3) Ἔτι δὲ καὶ νῦν ὑπὸ Περσέων ὁ ἀγκὼν οὗτος τοῦ Νείλου, ὃς ἀπεργμένος ῥέει, ἐν φυλακῇσι μεγάλῃσι ἔχεται, φρασσόμενος ἀνὰ πᾶν ἔτος· εἰ γὰρ ἐθελήσει ῥήξας ὑπερβῆναι ὁ ποταμὸς ταύτῃ, κίνδυνος πάσῃ Μέμφι κατακλυσθῆναι ἐστί. (4) Ὡς δὲ τῷ Μῆνι τούτῳ τῷ πρώτῳ γενομένῳ βασιλεῖ χέρσον γεγονέναι τὸ ἀπεργμένον, τοῦτο μὲν ἐν αὐτῷ πόλιν κτίσαι ταύτην ἥτις νῦν Μέμφις καλέεται (ἔστι γὰρ καὶ ἡ Μέμφις ἐν τῷ στεινῷ τῆς Αἰγύπτου), ἔξωθεν δὲ αὐτῆς περιορύξαι λίμνην ἐκ τοῦ ποταμοῦ πρὸς βορέην τε καὶ πρὸς ἑσπέρην (τὸ γὰρ πρὸς τὴν ἠῶ αὐτὸς ὁ Νεῖλος ἀπέργει), τοῦτο δὲ τοῦ Ἡφαίστου τὸ ἱρὸν ἱδρύσασθαι ἐν αὐτῇ, ἐὸν μέγα τε καὶ ἀξιαπηγητότατον.

C. Μετὰ δὲ τοῦτον κατέλεγον οἱ ἱρέες ἐκ βίβλου ἄλλων βασιλέων τριηκοσίων τε καὶ τριήκοντα οὐνόματα. Ἐν τοσαύτῃσι δὲ γενεῇσι ἀνθρώπων ὀκτωκαίδεκα μὲν Αἰθίοπες ἔσαν, μία δὲ γυνὴ ἐπιχωρίη, οἱ δὲ ἄλλοι ἄνδρες Αἰγύπτιοι. (2) Τῇ δὲ γυναικὶ οὔνομα ἦν, ἥτις ἐβασίλευσε, τό περ τῇ Βαβυλωνίῃ, Νίτωκρις· τὴν ἔλεγον τιμωρέουσαν ἀδελφεῷ, τὸν Αἰγύπτιοι βασιλεύοντα σφέων ἀπέκτειναν, ἀποκτείναντες δὲ οὕτω ἐκείνῃ ἀπέδοσαν τὴν βασιληίην, τούτῳ τιμωρέουσαν πολλοὺς Αἰγυπτίων διαφθεῖραι δόλῳ. (3) Ποιησαμένην γάρ μιν οἴκημα περίμηκες ὑπόγαιον καινοῦν τῷ λόγῳ, νόῳ δὲ ἄλλα μηχανᾶσθαι· καλέσασαν δέ μιν Αἰγυπτίων τοὺς μάλιστα μεταιτίους τοῦ φόνου ἥδεε, πολλοὺς ἱστιᾶν, δαινυμένοισι δὲ ἐπεῖναι τὸν ποταμὸν δι' αὐλῶνος κρυπτοῦ μεγάλου. (4) Ταύτης μὲν πέρι τοσαῦτα ἔλεγον, πλὴν ὅτι αὐτήν μιν, ὡς τοῦτο ἐξέργαστο, βίψαι ἐς οἴκημα σποδοῦ πλέον, ὄκως ἀτιμώρητος γένηται.

CI. Τῶν δὲ ἄλλων βασιλέων οὐ γὰρ ἔλεγον οὐδεμίαν

pyramides navigat; quum alioquin non hac sit iter, sed præter apicem regionis Delta et juxta Cercasorum oppidum: et Canobo e mari Naucratin tendens, per campos navigas, juxtaque Anthyllam et Archandropolin præterveheris.

XCVIII. Anthylla, quam modo nominavi, nobile oppidum, singulariter attributa semper est uxori satrapæ qui in Ægypto regnat, ex cujus reditibus illa sibi comparet calceamenta: idque ita obtinet ex quo sub Persarum imperio Ægyptus est. Alterum, quod dixi, oppidum videtur ab Archandro Phthio (*vel* Phthii filio) nomen accepisse, Achæi filio (*vel* nepote), Danai genero; quare etiam Archandri oppidum nominatur. Fuerit quidem fortasse etiam alius Archander: et Ægyptium certe nomen non est.

XCIX. Hactenus ea dixi, quæ partim ipse vidi, partim quæ equidem sentio, partim quæ sciscitando cognovi. Accedo nunc ad exponendas Ægyptiorum historias, resque gestas, quemadmodum narratas audivi; quibus tamen nonnulla etiam, quæ ipse meis oculis vidi, adjiciam. (2) Menem illum, qui primus in Ægypto regnavit, quum alia fecisse aiebant sacerdotes, tum hoc primum, quod Memphin jactis aggeribus a Nili inundatione secluserit. Olim enim fluvium universum juxtà ipsum montem arena obsitum Libyam versus fluxisse; Menem vero superne, centum fere stadiis a Memphi, Nili brachium illud, quod meridiem versus tendebat, humo adgesta complesse; atque ita, exsiccato prisco alveo, fluvium duxisse, ut inter montes medius interflueret. (3) Atque etiam nunc Persæ brachium illud, quod nunc fluit ab altero seclusum, magna cura observant, et quotannis eum *eo loco, ubi a vetere alveo deflexit*, adgesta humo muniunt; quoniam, si eo loci perrumpens fluvius exundare pararet, timendum foret ne universa Memphis fluctibus operiretur. (4) Deinde vero eundem Menem, primum Ægypti regem, aiunt, postquam regionem circa Memphin obstructo fluvio in sicco posuisset, in eadem regione urbem hanc, quæ nunc Memphis vocatur, condidisse: (est enim Memphis etiam in angusta Ægypti parte:) extra illam vero circumfodisse lacum ex fluvio versus septentrionem et versus occidentem, nam versus orientem ipse Nilus eam terminat. Porro eundem in ipsa urbe Vulcani templum, quod magnum ibi et eximie memorabile est, statuisse.

C. Post hunc ex libro recensuerunt mihi sacerdotes regum trecentorum et triginta nomina. In tot generationibus hominum octodecim Æthiopes erat, et una mulier indigena, cæteri vero viri Ægyptii. (2) Mulieri huic, quæ in Ægypto regnavit, idem nomen fuit atque Babyloniæ, Nitocris. Eam memorant ultam esse fratrem, quem Ægyptii, quum apud eos regnasset, occiderant, post ejusque cædem regnum ipsi tradiderant: hujus ulciscendi caussa multos Ægyptios dolo interfecisse. (3) Postquam enim conclave prælongum subterraneum, curaverit faciendum, verbo quidem ut inauguraret, revera autem alia meditatam, Ægyptiorum magnum numerum, quos cædis maxime auctores fuisse noverat, ad cœnam vocatos, epulo ibidem excepisse; inter cœnandum vero fluvium in conclave immisisse per occultum ingentem canalem. (4) De hac igitur hæc memorarunt, istud adjicientes, post id factum reginam se ipsam in conclave cineribus repletum conjecisse, quo vindictam effugeret.

CI. Reliquorum regum nullum vel opus memorabile re-

ἔργων ἀπόδεξιν, κατ' οὐδὲν εἶναι λαμπρότητος, πλὴν ἑνὸς τοῦ ἐσχάτου αὐτῶν Μοίριος. (2) Τοῦτον δὲ ἀποδέξασθαι μνημόσυνα τοῦ Ἡφαίστου τὰ πρὸς βορέην ἄνεμον τετραμμένα προπύλαια, λίμνην τε ὀρύξαι, τῆς ἡ περίοδος ὅσων ἐστὶ σταδίων ὕστερον δηλώσω, πυραμίδας τε ἐν αὐτῇ οἰκοδομῆσαι, τῶν τοῦ μεγάθεος πέρι ὑμοῦ αὐτῇ τῇ λίμνῃ ἐπιμνήσομαι. Τοῦτον μὲν τοσαῦτα ἀποδέξασθαι, τῶν δὲ ἄλλων οὐδένα οὐδέν.

CII. Παραμειψάμενος ὧν τούτους τοῦ ἐπὶ τούτοισι γενομένου βασιλέος, τῷ οὔνομα ἦν Σέσωστρις, τούτου μνήμην ποιήσομαι· τὸν ἔλεγον οἱ ἱρέες πρῶτον μὲν πλοίοισι μακροῖσι δρμηθέντα ἐκ τοῦ Ἀραβίου κόλπου τοὺς παρὰ τὴν Ἐρυθρὴν θάλασσαν κατοικημένους καταστρέφεσθαι, ἐς ὃ πλώοντά μιν πρόσω ἀπικέσθαι ἐς θάλασσαν οὐκέτι πλωτὴν ὑπὸ βραχέων. (2) Ἐνθεῦτεν δὲ ὡς ὀπίσω ἀπίκετο ἐς Αἴγυπτον, κατὰ τῶν ἱρέων τὴν φάτιν στρατιὴν πολλὴν λαβὼν ἤλαυνε διὰ τῆς ἠπείρου, πᾶν ἔθνος τὸ ἐμποδὼν καταστρεφόμενος. (3) Ὁτέοισι μέν νυν αὐτῶν ἀλκίμοισι ἐνετύγχανε καὶ δεινῶς γλιχομένοισι περὶ τῆς ἐλευθερίης, τούτοισι μὲν στήλας ἐνίστα ἐς τὰς χώρας διὰ γραμμάτων λεγούσας τό τε ἑωυτοῦ οὔνομα καὶ τῆς πάτρης, καὶ ὡς δυνάμι τῇ ἑωυτοῦ κατεστρέψατό σφεας· ὁτέων δὲ ἀμαχητὶ καὶ εὐπετέως παρέλαβε τὰς πόλις, τούτοισι δὲ ἐνέγραφε ἐν τῇσι στήλῃσι κατὰ ταὐτὰ καὶ τοῖσι ἀνδρηίοισι τῶν ἐθνέων γενομένοισι, καὶ δὴ καὶ αἰδοῖα γυναικὸς προσενέγραφε, δῆλα βουλόμενος ποιέειν ὡς εἶησαν ἀνάλκιδες.

CIII. Ταῦτα δὲ ποιέων διεξήϊε τὴν ἤπειρον, ἐς ὃ ἐκ τῆς Ἀσίης ἐς τὴν Εὐρώπην διαβὰς τούς τε Σκύθας κατεστρέψατο καὶ τοὺς Θρῄϊκας. (2) Ἐς τούτους δέ μοι δοκέει καὶ προσώτατα ἀπικέσθαι ὁ Αἰγύπτιος στρατός· ἐν μὲν γὰρ τῇ τούτων χώρῃ φαίνονται σταυεῖσαι αἱ στῆλαι, τὸ δὲ προσωτέρω τούτων οὐκέτι. (3) Ἐνθεῦτεν δὲ ἐπιστρέψας ὀπίσω ἤϊε, καὶ ἐπείτε ἐγένετο ἐπὶ Φάσι ποταμῷ, οὐκ ἔχω τὸ ἐνθεῦτεν ἀτρεκέως εἰπεῖν εἴτε αὐτὸς ὁ βασιλεὺς Σέσωστρις ἀποδασάμενος τῆς ἑωυτοῦ στρατιῆς μόριον ὁσονδὴ αὐτοῦ κατέλιπε τῆς χώρης οἰκήτορας, εἴτε τῶν τινὲς στρατιωτέων τῇ πλάνῃ αὐτοῦ ἀχθεσθέντες περὶ Φᾶσιν ποταμὸν κατέμειναν.

CIV. Φαίνονται μὲν γὰρ ἐόντες οἱ Κόλχοι Αἰγύπτιοι· νώσας δὲ πρότερον αὐτὸς ἢ ἀκούσας ἄλλων λέγω. Ὡς δέ μοι ἐν φροντίδι ἐγένετο, εἰρόμην ἀμφοτέρους, καὶ μᾶλλον οἱ Κόλχοι ἐμεμνέατο τῶν Αἰγυπτίων ἢ οἱ Αἰγύπτιοι τῶν Κόλχων· νομίζειν δ' ἔφασαν οἱ Αἰγύπτιοι τῆς Σεσώστριος στρατιῆς εἶναι τοὺς Κόλχους. (2) Αὐτὸς δὲ εἰκασα τῇδε, καὶ ὅτι μελάγχροές εἰσι καὶ οὐλότριχες. Καὶ τοῦτο μὲν ἐς οὐδὲν ἀνήκει· εἰσὶ γὰρ καὶ ἕτεροι τοιοῦτοι· ἀλλὰ τοισίδε καὶ μᾶλλον, ὅτι μοῦνοι πάντων ἀνθρώπων Κόλχοι καὶ Αἰγύπτιοι καὶ Αἰθίοπες περιτάμνονται ἀπ' ἀρχῆς τὰ αἰδοῖα. (3) Φοίνικες δὲ καὶ Σύριοι οἱ ἐν τῇ Παλαιστίνῃ καὶ αὐτοὶ ὁμολογέουσι παρ' Αἰγυπτίων μεμαθηκέναι, Σύριοι δὲ οἱ περὶ Θερμώδοντα καὶ Παρθένιον ποταμὸν καὶ Μάκρωνες, ἐγγὺς οἰκέοντες τούτων, παραχρᾶσθαι τὸ αὐτὸ τοῦτο λέγουσι μαθόντες παρὰ Κόλχων. (4) Εἰσὶ δὲ οὗτοι μοῦνοι δὴ τῶν ἐν τῇ Ἀσίῃ ἀνθρώπων οἱ τὸ αὐτὸ τοῦτο ποιεῦντες, καὶ φανερῶς ὁρέουσι τὸ νῦν ὁμοτρόπους ἐόντας Αἰγυπτίοισι καὶ Αἰθίοψι. Τῶν δὲ Αἰθιόπων καὶ Αἰγυπτίων οὐκ ἔχω φάναι τοὺς ἀπ' ἑωυτῶν ἀπικομένους τὸ ἔθος τοῦτο μᾶλλον ἑτέρους ἑτέροισι παραδοῦναι· ἐμοὶ δὲ πολλὰ τεκμήρια ἐστὶ μεγάλα ὡς Αἰγύπτιοι ἐόντες ἀπῖκται ἐς τὴν Κολχίδα.

liquisse dixerunt, vel re ulla insignem fuisse, præter postremum eorum, Mœrin. (2) Hunc memorabilia edidisse opera, propylæa ad Vulcani templum, septentrionem spectantia; lacumque effodisse, cujus quantus sit circuitus, posterius exponam; pyramidesque in eo exstruxisse, quarum de magnitudine simul cum ipso lacu faciam mentionem. Hunc igitur ista edidisse opera; reliquorum autem nullum quidquam.

CII. Igitur hos omittens, eum memorabo, qui post illos regnavit, cui nomen Sesostris fuit. Hunc dixere sacerdotes primum navibus longis ex Arabico sinu profectum, accolas Erythræi maris subegisse; donec, quum ulterius navigaret, in mare pervenisset quod propter brevia non amplius potuerit navigari. (2) Inde in Ægyptum reversus, ut narrant sacerdotes, ingentem contractum exercitum per continentem duxit, omnesque quos adiit populos armis subegit. (3) Ibi tum quos offendisset fortes populos et libertatis vehementer studiosos, in horum terris columnas erigebat, quarum inscriptio declarabat quum suum nomen atque patriam, tum hos vi ab ipso esse subactos. Quorum vero oppida citra pugnam et facile cepisset, in horum columnis eadem quidem, quæ in fortium populorum columnis, inscribebat; insuper vero pudenda insculpi jussit muliebria, molles eos esse atque ignavos significans.

CIII. Hæc igitur faciens continentem obiit, donec ex Asia in Europam transgressus, Scythas subegit et Thraces. (2) Hi, ut mihi videtur, extremi fuerunt, ad quos pervenerit Ægyptius exercitus: nam in horum terra conspiciuntur columnæ ab illo erectæ, non vero ulterius. (3) Inde converso itinere domum repetiit: sed ubi ad Phasin fluvium fuit, haud satis certo adfirmare possum, ipsene rex Sesostris segregatam aliquam quantamcumque partem sui exercitus ibi reliquerit, an milites nonnulli, itinerum errores pertæsi, circa Phasin flumen remanserint.

CIV. Manifestum est enim Colchos esse Ægyptios: idque dico, ut qui prius hoc ipsum mecum cogitaverim, quam ex aliis audivi. Quum vero curæ mihi hæc res esset, quæsivi ex utrisque: et magis Colchi recordabantur Ægyptiorum, quam Ægyptii Colchorum. Ægyptii autem existimare se dixerunt Colchos esse ex Sesostris exercitu. (2) Ego vero conjectaveram partim ex hoc, quod nigro (*fusco*) colore et crispis capillis sint Colchi: quamquam hoc solo nihil efficitur, quum et alii sint populi tales: hoc igitur potius argumento id collegeram, quod soli omnium hominum Colchi, præter Ægyptios et Æthiopes, ab antiquissimis temporibus circumcidant pudenda. (3) Nam Phœnices, et Syri Palæstinam incolentes (*Judæi*), profitentur ipsi, ab Ægyptiis se hoc accepisse. Syri vero qui circa Thermodontem et Parthenium fluvium habitant (*Cappadoces*), et

χρωνες οἱ τούτοισι ἀστυγείτονες ἐόντες ἀπὸ Κόλχων φασὶ νεωστὶ μεμαθηκέναι. (4) Οὗτοι γάρ εἰσι οἱ περιταμνόμενοι ἀνθρώπων μοῦνοι, καὶ οὗτοι Αἰγυπτίοισι φαίνονται ποιεῦντες κατὰ ταὐτά. (5) Αὐτῶν δὲ Αἰγυπτίων καὶ Αἰθιόπων οὐκ ἔχω εἰπεῖν ὁκότεροι παρὰ τῶν ἑτέρων ἐξέμαθον· ἀρχαῖον γὰρ δή τι φαίνεται ἐόν. Ὡς δ' ἐπιμισγόμενοι Αἰγύπτῳ ἐξέμαθον, μέγα μοι καὶ τόδε τεκμήριον γίνεται· Φοινίκων ὁκόσοι τῇ Ἑλλάδι ἐπιμίσγονται, οὐκέτι Αἰγυπτίους μιμέονται κατὰ τὰ αἰδοῖα, ἀλλὰ τῶν ἐπιγινομένων οὐ περιτάμνουσι τὰ αἰδοῖα.

CV. Φέρε νυν καὶ ἄλλο εἶπω περὶ τῶν Κόλχων, ὡς Αἰγυπτίοισι προσφερέες εἰσί. Λίνον μοῦνοι οὗτοί τε καὶ Αἰγύπτιοι ἐργάζονται κατὰ ταὐτά, καὶ ἡ ζόη πᾶσα καὶ ἡ γλῶσσα ἐμφερής ἐστι ἀλλήλοισι. Λίνον δὲ τὸ μὲν Κολχικὸν ὑπ' Ἑλλήνων Σαρδικὸν κέκληται, τὸ μέντοι ἀπ' Αἰγύπτου ἀπικνεύμενον καλέεται Αἰγύπτιον.

CVI. Τὰς δὲ στήλας τὰς ἵστα κατὰ τὰς χώρας ὁ Αἰγύπτου βασιλεὺς Σέσωστρις, αἱ μὲν πλεῦνες οὐκέτι φαίνονται περιεοῦσαι, ἐν δὲ τῇ Παλαιστίνῃ Συρίῃ αὐτὸς ὥρεον ἐούσας καὶ τὰ γράμματα τὰ εἰρημένα ἐνεόντα καὶ γυναικὸς αἰδοῖα. (2) Εἰσὶ δὲ καὶ περὶ Ἰωνίην δύο τύποι ἐν πέτρῃσι ἐγκεκολαμμένοι τούτου τοῦ ἀνδρὸς, τῇ τε ἐκ τῆς Ἐφεσίης ἐς Φώκαιαν ἔρχονται καὶ τῇ ἐκ Σαρδίων ἐς Σμύρνην. Ἑκατέρωθι δὲ ἀνὴρ ἐγγέγλυπται, μέγαθος πέμπτης σπιθαμῆς, τῇ μὲν δεξιῇ χερὶ ἔχων αἰχμὴν, τῇ δὲ ἀριστερῇ τόξα, καὶ τὴν ἄλλην σκευὴν ὡσαύτως· καὶ γὰρ Αἰγυπτίην καὶ Αἰθιοπίδα ἔχει· ἐκ δὲ τοῦ ὤμου ἐς τὸν ἕτερον ὦμον διὰ τῶν στηθέων γράμματα ἱρὰ Αἰγύπτια διήκει ἐγκεκολαμμένα, λέγοντα τάδε, « ἐγὼ τήνδε τὴν χώρην ὤμοισι τοῖσι ἐμοῖσι ἐκτησάμην. » (3) Ὅστις δὲ καὶ ὁκόθεν ἐστὶ, ἐνθαῦτα μὲν οὐ δηλοῖ, ἑτέρωθι δὲ δεδήλωκε. Τὰ δὴ καὶ μετεξέτεροι τῶν θηησαμένων Μέμνονος εἰκόνα εἰκάζουσί μιν εἶναι, πολὺ τῆς ἀληθείης ἀπολελειμμένοι.

CVII. Τοῦτον δὴ τὸν Αἰγύπτιον Σέσωστριν ἀναχωρέοντα καὶ ἀνάγοντα πολλοὺς ἀνθρώπους τῶν ἐθνέων τῶν τὰς χώρας κατεστρέψατο, ἔλεγον οἱ ἱρέες, ἐπείτε ἐγένετο ἀνακομιζόμενος ἐν Δάφνῃσι τῇσι Πηλουσίῃσι, τὸν ἀδελφεὸν ἑωυτοῦ, τῷ ἐπέτρεψε Σέσωστρις τὴν Αἴγυπτον, τοῦτον ἐπὶ ξείνια αὐτὸν καλέσαντα καὶ πρὸς αὐτῷ τοὺς παῖδας, περινῆσαι ἔξωθεν τὴν οἰκίην ὕλῃ, περινήσαντα δὲ ὑποπρῆσαι. (2) Τὸν δὲ ὡς μαθέειν τοῦτο, αὐτίκα συμβουλεύεσθαι τῇ γυναικί· καὶ γὰρ δὴ καὶ τὴν γυναῖκα αὐτὸν ἅμα ἄγεσθαι· τὴν δέ οἱ συμβουλεῦσαι τῶν παίδων ἐόντων ἓξ τοὺς δύο ἐπὶ τὴν πυρὴν ἐκτείναντα γεφυρῶσαι τὸ καιόμενον, αὐτοὺς δ' ἐπ' ἐκείνων ἐπιβαίνοντας ἐκσώζεσθαι. (3) Ταῦτα ποιῆσαι τὸν Σέσωστριν, καὶ δύο μὲν τῶν παίδων κατακαῆναι τρόπῳ τοιούτῳ, τοὺς δὲ λοιποὺς ἀποσωθῆναι ἅμα τῷ πατρί.

CVIII. Νοστήσας δὲ ὁ Σέσωστρις ἐς τὴν Αἴγυπτον καὶ τισάμενος τὸν ἀδελφεὸν τῷ μὲν ὁμίλῳ τὸν ἐπηγάγετο τῶν τὰς χώρας κατεστρέψατο, τούτῳ μὲν τάδε

Macrones, horum finitimi, a Colchis nuper se accepisse fatentur. (4) Hi enim soli ex omnibus hominibus circumciduntur; et hi manifeste Ægyptios in hac re imitantur. (5) Ægyptii vero utrum ab Æthiopibus, an hi ab illis acceperint, adfirmare non possum; perantiquum enim ritum esse adparet. Istos autem ex Ægyptiorum commercio hunc ritum adoptasse, magnum mihi etiam documentum videtur hoc esse: Phœnices, qui inter Græcos vivunt, in hoc ritu ad pudenda pertinente non amplius imitantur Ægyptios, et eorum qui post nascuntur non circumcidunt virilia.

CV. Age vero, etiam aliud de Colchis commemorabo, in quo Ægyptiis similes sunt. Linum soli hi et Ægyptii fabricantur eodem modo: atque etiam tota vitæ ratio et sermo utrorumque similis est. Linum quidem Colchicum a Græcis Sardicum vocatur; illud vero quod ex Ægypto adfertur, Ægyptium nominatur.

CVI. Columnarum quas variis in regionibus posuit Ægyptius rex Sesostris, pleræque non amplius supersunt: in Syria vero Palæstina ipse superstites vidi, in quibus erat prædicta inscriptio, et pudenda muliebria. (2) Sunt etiam in Ionia duæ imagines hujus viri saxis insculptæ, altera in via qua Epheso Phocæam itur, altera qua Sardibus Smyrnam. Utrobique vir exsculptus est, magnitudine quattuor cubitorum cum una spithama, dextra manu hastam tenens, sinistra sagittas, et reliquo cultu simili; habet enim partim Ægyptiacum cultum, partim Æthiopicum: ab altero vero humero ad alterum per pectus pertinet insculpta inscriptio sacris literis Ægyptiorum exarata, in hanc sententiam: « Ego hanc regionem meis humeris (*lacertis*) mihi adquisivi. » (3) Quis vero, aut unde sit, ibi non declarat; alibi vero declaravit. Itaque istas nonnulli, qui viderunt, Memnonis conjiciunt imagines esse, longe a vero aberrantes.

CVII. Hunc Ægyptium Sesostrin, dicebant sacerdotes, redeuntem, multosque homines ex gentibus subactis secum ducentem, eundem, postquam in reditu ad Daphnas Pelusiacas pervenisset, a fratre, cujus fidei Ægyptum commiserat, una cum filiis hospitio esse exceptum: at illum circa domum, in qua rex et filii erant, materiam congeri, congestamque jussisse incendi. (2) Qua re animadversa, statim deliberasse regem cum uxore, quippe illam quoque comitem secum habuisse. Hanc ei suasisse, quum sex essent filii, duobus ex his super pyram extensis pontem sic in ardente materia faceret, quem ipsi superantes effugerent. (3) Id fecisse Sesostrin, et duos filios ita igne fuisse absumtos, reliquos vero una cum patre fuga servatos.

CVIII. Postquam in Ægyptum advenit, pœnasque de fratre sumsit, tum vero multitudine hominum, quos e terris subactis adduxerat, ea in hunc modum usus est: (2)

ἐχρήσατο· (2) τούς τέ οἱ λίθους τοὺς ἐπὶ τούτου τοῦ βασιλέος κομισθέντας ἐς τοῦ Ἡφαίστου τὸ ἱρὸν, ἐόντας μεγάθεϊ περιμήκεας, οὗτοι ἔσαν οἱ ἑλκύσαντες, καὶ τὰς διώρυχας τὰς νῦν ἐούσας ἐν Αἰγύπτῳ πάσας οὗτοι ἀναγκαζόμενοι ὤρυσσον, ἐποίευν τε οὐκ ἑκόντες Αἴγυπτον, τὸ πρὶν ἐοῦσαν ἱππασίμην καὶ ἁμαξευομένην πᾶσαν, ἐνδεᾶ τούτων. (3) Ἀπὸ γὰρ τούτου τοῦ χρόνου Αἴγυπτος ἐοῦσα πεδιὰς πᾶσα ἄνιππος καὶ ἀναμάξευτος γέγονε· αἴτιαι δὲ τούτων αἱ διώρυχες γεγόνασι ἐοῦσαι πολλαὶ καὶ παντοίους τρόπους ἔχουσαι. (4) Κατέταμνε δὲ τοῦδε εἵνεκεν τὴν χώρην ὁ βασιλεύς· ὅσοι τῶν Αἰγυπτίων μὴ ἐπὶ τῷ ποταμῷ ἐκτέατο τὰς πόλις, ἀλλ' ἀναμέσους, οὗτοι, ὅκως τε ἀπίοι ὁ ποταμὸς, σπανίζοντες ὑδάτων πλατυτέροισι ἐχρέοντο τοῖσι πόμασι, ἐκ φρεάτων ἀρυόμενοι. Τούτων μὲν δὴ εἵνεκεν κατετμήθη ἡ Αἴγυπτος.

CIX. Κατανεῖμαι δὲ τὴν χώρην Αἰγυπτίοισι ἅπασι τοῦτον ἔλεγον τὸν βασιλέα, κλῆρον ἴσον ἑκάστῳ τετράγωνον διδόντα, καὶ ἀπὸ τούτου τὰς προσόδους ποιήσασθαι, ἐπιτάξαντα ἀποφορὴν ἐπιτελέειν κατ' ἐνιαυτόν. (2) Εἰ δέ τινος τοῦ κλήρου ὁ ποταμός τι παρέλοιτο, ἐλθὼν ἂν πρὸς αὐτὸν ἐσήμαινε τὸ γεγενημένον· ὁ δὲ ἔπεμπε τοὺς ἐπισκεψομένους καὶ ἀναμετρήσοντας ὅσῳ ἐλάσσων ὁ χῶρος γέγονε, ὅκως τοῦ λοιποῦ κατὰ λόγον τῆς τεταγμένης ἀποφορῆς τελέοι. (3) Δοκέει δέ μοι ἐνθεῦτεν γεωμετρίη εὑρεθεῖσα ἐς τὴν Ἑλλάδα ἐπανελθεῖν· πόλον μὲν γὰρ καὶ γνώμονα καὶ τὰ δυώδεκα μέρεα τῆς ἡμέρης παρὰ Βαβυλωνίων ἔμαθον οἱ Ἕλληνες.

CX. Βασιλεὺς μὲν δὴ οὗτος μοῦνος Αἰγύπτιος Αἰθιοπίης ἦρξε· μνημόσυνα δὲ ἐλίπετο πρὸ τοῦ Ἡφαιστείου ἀνδριάντας λιθίνους, δύο μὲν τριήκοντα πηχέων, ἑωυτόν τε καὶ τὴν γυναῖκα, τοὺς δὲ παῖδας ἐόντας τέσσερας εἴκοσι πηχέων ἕκαστον. (2) Τῶν δὴ ὁ ἱρεὺς τοῦ Ἡφαίστου χρόνῳ μετέπειτεν πολλῷ Δαρεῖον τὸν Πέρσην οὐ περιεῖδε ἱστάντα ἔμπροσθε ἀνδριάντα, φὰς οὔ οἱ πεποιῆσθαι ἔργα οἷά περ Σεσώστρι τῷ Αἰγυπτίῳ· Σέσωστριν μὲν γὰρ ἄλλα τε καταστρέψασθαι ἔθνεα οὐκ ἐλάσσω ἐκείνου καὶ δὴ καὶ Σκύθας, Δαρεῖον δὲ οὐ δυνασθῆναι Σκύθας ἐλέειν· οὐκ ὦν δίκαιον εἶναι ἑστάναι ἔμπροσθε τῶν ἐκείνου ἀναθημάτων μὴ οὐκ ὑπερβαλλόμενον τοῖσι ἔργοισι. Δαρεῖον μέν νυν λέγουσι πρὸς ταῦτα συγγνώμην ποιήσασθαι.

CXI. Σεσώστριος δὲ τελευτήσαντος ἐκδέξασθαι ἔλεγον τὴν βασιληίην τὸν παῖδα αὐτοῦ Φερῶν, τὸν ἀποδέξασθαι μὲν οὐδεμίαν στρατηίην, συνενειχθῆναι δέ οἱ τυφλὸν γενέσθαι διὰ τοιόνδε πρῆγμα. (2) Τοῦ ποταμοῦ κατελθόντος μέγιστα δὴ τότε ἐπ' ὀκτωκαίδεκα πήχεας, ὡς ὑπερέβαλε τὰς ἀρούρας, πνεύματος ἐμπεσόντος κυματίης ὁ ποταμὸς ἐγένετο· τὸν δὲ βασιλέα λέγουσι τοῦτον ἀτασθαλίῃ χρησάμενον, λαβόντα αἰχμὴν βαλέειν ἐς μέσας τὰς δίνας τοῦ ποταμοῦ, μετὰ δὲ αὐτίκα καμόντα αὐτὸν τοὺς ὀφθαλμοὺς τυφλωθῆναι. (3) Δέκα μὲν δὴ ἔτεα εἶναί μιν τυφλὸν, ἑνδεκάτῳ δὲ ἔτεϊ ἀπικέ-

lapides eos, qui hoc regnante ad Vulcani templum congesti sunt, immani magnitudine, hi sunt qui traxerunt: iidemque canales cunctos, qui nunc in Ægypto sunt, coacti foderunt; atque ita inviti quidem fecerunt, ut Ægyptus, quæ ante id tempus tota equis et plaustris opportuna fuerat, hoc commodo careret. (3) Nam ab illo tempore Ægyptus, tota licet plana et campestris, equis et plaustris inhabilis facta est: cujus rei caussa est multitudo fossarum, variis modis omnes in partes ductarum. (4) Regionem autem ita fossis discidit rex ille hac caussa: quicumque ex Ægyptiis oppida habitant quæ non sunt ad fluvium sita, sed in media regione, hi, postquam recessit Nilus, aquæ inopia laborantes, salsiore potu usi erant, ex puteis hausto. Hujus rei caussa discissa est Ægyptus.

CIX. Porro hunc regem, aiebant, distribuisse regionem inter omnes Ægyptios, singulisque sortem æqualem dedisse quadratam; et ab hac sorte reditus sibi constituisse, imperato tributo quotannis pendendo. (2) Quod si de cujuspiam sorte fluvius aliquid abstraxisset, is regem adiens indicabat factum; et rex, missis qui rem præsentem inspicerent, dimetirenturque quanto minor factus fuerit ager, in posterum tributi partem pro portione remittebat. (3) Videturque mihi ex hoc negotio inventa esse geometria apud Ægyptios, indeque ad Græcos transiisse. Nam polum quidem (*instrumentum horologicum*) et gnomonem et duodecim diei partes a Babyloniis Græci acceperunt.

CX. Idem rex Sesostris unus ex Ægypti regibus Æthiopiæ etiam regnum obtinuit. Monumenta autem sui reliquit statuas lapideas ante Vulcani templum positas: quarum duæ, triginta cubitorum quæque, ipsius et uxoris referebant imagines; tum quattuor, viginti cubitorum quæque, totidem numero filiorum. (2) Ante has statuas quum multo post tempore Darius Persa sibi vellet statuam ponere, vetuit Vulcani sacerdos, dicens non edita ab illo esse facta qualia a Sesostri Ægyptio: Sesostrin enim quum alias gentes nihilo vel pauciores vel inferiores, quam ipse, tum vero et Scythas, subegisse, quos Darius subigere non potuisset. Quare non esse æquum, ut ante illius monumenta statuam ponat is qui illius facta non superarit. Aiuntque Darium sacerdoti hæc dicenti ignovisse.

CXI. Sesostri vita functo, aiebant, regnum suscepisse filium ejus Pheron: eumque nullum militare facinus præclarum edidisse; accidisse autem ei ut cæcus fieret, et quidem ob factum hujusmodi. (2) Quum flumen eo tempore copiosissimum descendisset ad octodecim pedum altitudinem, camposque inundasset, ingruente vento ingentes fluctus ciere flumen cœpit. Ibi tunc regem hunc, improba vesania correptum, sumsisse spiculum et in medios fluminis gurgites conjecisse: dein protinus oculis cœpisse laborare, prorsusque usum oculorum amisisse. (3) Postquam decem annis cæcus fuisset, advenisse ei, undecimo anno,

σθαι οἱ μαντήϊον ἐκ Βουτοῦς πόλιος ὡς ἐξήκει τέ οἱ ὁ χρόνος τῆς ζημίης καὶ ἀναβλέψει γυναικὸς οὔρῳ νιψάμενος τοὺς ὀφθαλμούς, ἥτις παρὰ τὸν ἑωυτῆς ἄνδρα μοῦνον πεφοίτηκε, ἄλλων ἀνδρῶν ἐοῦσα ἄπειρος. (4) Καὶ τὸν πρώτης τῆς ἑωυτοῦ γυναικὸς πειρᾶσθαι, μετὰ δὲ, ὡς οὐκ ἀνέβλεπε, ἐπεξῆς πασέων πειρᾶσθαι· ἀναβλέψαντα δὲ συναγαγεῖν τὰς γυναῖκας τῶν ἐπειρήθη, πλὴν ἡ τῆς τῷ οὔρῳ νιψάμενος ἀνέβλεψε, ἐς μίαν πόλιν, ἣ νῦν καλέεται Ἐρυθρὴ βῶλος· ἐς ταύτην συναλίσαντα ὑποπρῆσαι πάσας σὺν αὐτῇ τῇ πόλι. Τῆς δὲ νιψάμενος τῷ οὔρῳ ἀνέβλεψε, ταύτην δὲ εἶχε αὐτὸς γυναῖκα. (5) Ἀναθήματα δὲ, ἀποφυγὼν τὴν πάθην τῶν ὀφθαλμῶν, ἄλλα τε ἀνὰ τὰ ἱρὰ πάντα τὰ λόγιμα ἀνέθηκε, καὶ τοῦ γε λόγον μάλιστα ἄξιόν ἐστι ἔχειν, ἐς τοῦ Ἡλίου τὸ ἱρὸν ἀξιοθέητα ἀνέθηκε ἔργα, ὀβελοὺς δύο λιθίνους, ἐξ ἑνὸς ἐόντα ἑκάτερον λίθου, μῆκος μὲν ἑκάτερον πηχέων ἑκατὸν, εὖρος δὲ ὀκτὼ πηχέων.

CXII. Τούτου δὲ ἐκδέξασθαι τὴν βασιληίην ἔλεγον ἄνδρα Μεμφίτην, τῷ κατὰ τὴν τῶν Ἑλλήνων γλῶσσαν οὔνομα Πρωτέα εἶναι· τοῦ νῦν τέμενός ἐστι ἐν Μέμφι κάρτα καλόν τε καὶ εὖ ἐσκευασμένον, τοῦ Ἡφαιστείου πρὸς νότον ἄνεμον κείμενον. Περιοικέουσι δὲ τὸ τέμενος τοῦτο Φοίνικες Τύριοι, καλέεται δὲ ὁ χῶρος οὗτος ὁ συνάπας Τυρίων στρατόπεδον. (2) Ἔστι δὲ ἐν τῷ τεμένεϊ τοῦ Πρωτέος ἱρὸν τὸ καλέεται ξείνης Ἀφροδίτης· συμβάλλομαι δὲ τοῦτο τὸ ἱρὸν εἶναι Ἑλένης τῆς Τυνδάρεω, καὶ τὸν λόγον ἀκηκοὼς ὡς διαιτήθη Ἑλένη παρὰ Πρωτεῖ, καὶ δὴ καὶ ὅτι ξείνης Ἀφροδίτης ἐπώνυμόν ἐστι· ὅσα γὰρ ἄλλα Ἀφροδίτης ἱρά ἐστι, οὐδαμῶς ξείνης ἐπικαλέεται.

CXIII. Ἔλεγον δέ μοι οἱ ἱρέες ἱστορέοντι τὰ περὶ Ἑλένην γενέσθαι ὧδε· Ἀλέξανδρον ἁρπάσαντα Ἑλένην ἐκ Σπάρτης ἀποπλώειν ἐς τὴν ἑωυτοῦ· καί μιν, ὡς ἐγένετο ἐν τῷ Αἰγαίῳ, ἐξῶσται ἄνεμοι ἐκβάλλουσι ἐς τὸ Αἰγύπτιον πέλαγος, ἐνθεῦτεν δέ (οὐ γὰρ ἀνίει τὰ πνεύματα) ἀπικνέεται ἐς Αἴγυπτον καὶ Αἰγύπτου ἐς τὸ νῦν Κανωβικὸν καλεύμενον στόμα τοῦ Νείλου καὶ ἐς Ταριχέας. (2) Ἦν δὲ ἐπὶ τῆς ἠιόνος, τὸ καὶ νῦν ἐστι, Ἡρακλέος ἱρὸν, ἐς τὸ ἢν καταφυγὼν οἰκέτης ὁτευῶν ἀνθρώπων ἐπιβάληται στίγματα ἱρὰ, ἑωυτὸν διδοὺς τῷ θεῷ, οὐκ ἔξεστι τούτου ἅψασθαι. Ὁ νόμος οὗτος διατελέει ἐὼν ὁμοῖος μέχρι ἐμεῦ τῷ ἀπ' ἀρχῆς. (3) Τοῦ ὦν δὴ Ἀλεξάνδρου ἀπιστέαται θεράποντες πυθόμενοι τὸν περὶ τὸ ἱρὸν ἔχοντα νόμον, ἱκέται δὲ ἱζόμενοι τοῦ θεοῦ κατηγόρεον τοῦ Ἀλεξάνδρου, βουλόμενοι βλάπτειν αὐτὸν, πάντα λόγον ἐξηγεύμενοι, ὡς εἶχε περὶ τήν τε Ἑλένην καὶ τὴν ἐς Μενέλεων ἀδικίην. Κατηγόρεον δὲ ταῦτα πρός τε τοὺς ἱρέας καὶ τὸν τοῦ στόματος τούτου φύλακον, τῷ οὔνομα ἦν Θῶνις.

CXIV. Ἀκούσας δὲ τούτων ὁ Θῶνις πέμπει τὴν ταχίστην ἐς Μέμφιν παρὰ Πρωτέα ἀγγελίην λέγουσαν τάδε, « ἥκει ξεῖνος γένος μὲν Τευκρὸς, ἔργον δὲ ἀνόσιον ἐν τῇ Ἑλλάδι ἐξεργασμένος· ξείνου γὰρ τοῦ ἑωυτοῦ ἐξαπατήσας τὴν γυναῖκα, αὐτήν τε ταύτην ἄγων ἥκει καὶ

ex Buto oppido oraculi responsum, exactum esse pœne tempus; oculorum usum recepturum eum esse, si oculos eluisset lotio mulieris, quæ non nisi cum suo marito coiisset et cum nullo alio viro habuisset consuetudinem. (4) Illum igitur ante omnia uxoris suæ urinam esse expertum; deinde vero, quum visum non recepisset, aliarum omnium atque aliarum experimentum fecisse. Ad extremum, postquam visum recepisset, mulieres cunctas, quarum experimentum fecerat, excepta una illa cujus urina lotus visum recepit, in unum oppidum congregasse, cui nomen nunc est Erythrobolus (*quasi Rubrum solum diceres*) atque ita congregatas, subjecto igne, simul cum oppido concremasse: illam vero, cujus urina lotus visum receperat, in matrimonium duxisse. (5) Donaria autem, postquam oculorum calamitate est liberatus, quum alia in notabilioribus quibusque templis consecravit, tum, quod maxime memorari præ cæteris meretur, in Solis templo opera posuit spectatu digna, duo saxeos obeliscos, utrumque ex uno saxo, longitudine utrumque centum cubitorum, latitudine octo cubitorum.

CXII. Huic in regnum successisse aiebant virum Memphiten, eum qui Græcorum sermone Proteus nominetur: cujus nunc delubrum est Memphi pulcrum admodum et eximie instructum, a Vulcani templo austrum versus situm. Circa delubrum illud Phœnices Tyrii habitant; vocaturque totus ille locus, Tyriorum astra. (2) Intra Protei delubrum ædes est, quæ vocatur Veneris Hospitæ: quam ego ædem Helenæ Tyndari filiæ sacratam fuisse conjicio, tum quod memoratum audivi vixisse Helenam apud Proteum, tum vero etiam ob hoc ipsum cognomen Hospitæ Veneris: quotquot enim alia sunt Veneris templa, eorum nullum est quod tale cognomen habeat.

CXIII. Dixerunt autem mihi sacerdotes, sciscitanti quæ ad Helenam spectant, gestam rem esse hunc in modum: Alexandrum, postquam Helenam ex Sparta rapuisset, domum navigasse. Sed ubi in Ægæum pervenit, violenti ex adverso venti in Ægyptium mare eum compulerunt: inde, quum non remitteret vis ventorum, in Ægyptum pervenit, in illud quidem Nili ostium, quod Canobicum nunc vocatur, et ad Taricheas. (2) Erat autem in litore Herculis templum, quod etiam nunc est: in quod si quis cujuscumque hominis servus profugerit, et deo se tradens, sacras sibi imponi notas curaverit, hunc nemini fas est tangere. Lex ista eadem, quæ olim fuit, ad meam usque ætatem manet. (3) Ab Alexandro igitur famuli nonnulli, cognita lege quæ in hoc templo obtinet, deeciscunt: sedentesque deo supplices, nocituri Alexandro, accusarunt eum; omnemque iniquitatem, qua adversus Helenam et Menelaum usus ille erat, aperuerunt: renunciarunt hæc autem quum sacerdotibus templi, tum præfecto hujus ostii, cui Thonis nomen erat.

CXIV. Quibus cognitis Thonis celeriter Memphin ad Proteum nuncios misit, qui hæc ei dicerent: Advenit huc peregrinus homo, natione Trojanus, qui in Græcia improbum facinus commisit: quippe hospitis sui uxorem decepit, eamque et ipsam et magnam simul rerum pretiosarum co-

πολλὰ κάρτα χρήματα, ὑπ' ἀνέμων ἐς γῆν ταύτην ἀπενειχθείς. Κότερα δῆτα τοῦτον ἐῶμεν ἀσινέα ἐκπλώειν, ἢ ἀπελώμεθα τὰ ἔχων ἦλθε; » (2) Ἀντιπέμπει πρὸς ταῦτα ὁ Πρωτεὺς λέγοντα τάδε, « ἄνδρα τοῦτον, ὅστις κοτέ ἐστι ἀνόσια ἐργασμένος ξεῖνον τὸν ἑωυτοῦ, συλλαβόντες ἀπάγετε παρ' ἐμέ, ἵνα εἰδέω ὅ τι κοτὲ καὶ λέξει. »

CXV. Ἀκούσας δὲ ταῦτα ὁ Θῶνις συλλαμβάνει τὸν Ἀλέξανδρον καὶ τὰς νέας αὐτοῦ κατίσχει, μετὰ δὲ αὐτόν τε τοῦτον ἀνήγαγε ἐς Μέμφιν καὶ τὴν Ἑλένην τε καὶ τὰ χρήματα, πρὸς δὲ καὶ τοὺς ἱκέτας. (2) Ἀναχομισθέντων δὲ πάντων, εἰρώτα τὸν Ἀλέξανδρον ὁ Πρωτεὺς τίς εἴη καὶ ὁκόθεν πλώοι. Ὁ δέ οἱ καὶ τὸ γένος κατέλεξε καὶ τῆς πάτρης εἶπε τὸ οὔνομα, καὶ δὴ καὶ τὸν πλόον ἀπηγήσατο, ὁκόθεν πλώοι. (3) Μετὰ δὲ ὁ Πρωτεὺς εἰρώτα αὐτὸν ὁκόθεν τὴν Ἑλένην λάβοι· πλανεωμένου δὲ τοῦ Ἀλεξάνδρου ἐν τῷ λόγῳ καὶ οὐ λέγοντος τὴν ἀληθειαν, ἤλεγχον οἱ γενόμενοι ἱκέται, ἐξηγεύμενοι πάντα λόγον τοῦ ἀδικήματος. (4) Τέλος δὲ δή σφι λόγον τόνδε ἐκφαίνει ὁ Πρωτεὺς, λέγων ὅτι « ἐγὼ εἰ μὴ περὶ πολλοῦ ἡγεύμην μηδένα ξείνων κτείνειν, ὅσοι ὑπ' ἀνέμων ἤδη ἀπολαμφθέντες ἦλθον ἐς χώρην τὴν ἐμὴν, ἐγὼ ἄν σε ὑπὲρ τοῦ Ἕλληνος ἐτισάμην, ὃς, ὦ κάκιστε ἀνδρῶν, ξεινίων τυχὼν ἔργον ἀνοσιώτατον ἐργάσαο· παρὰ τοῦ σεωυτοῦ ξείνου τὴν γυναῖκα ἦλθες· καὶ μάλα ταῦτά τοι οὐκ ἤρκεσε, ἀλλ' ἀναπτερώσας αὐτὴν οἴχεαι ἔχων ἐκκλέψας· καὶ οὐδὲ ταῦτά τοι μοῦνα ἤρκεσε, ἀλλὰ καὶ τὰ οἰκία τοῦ ξείνου κεραίσας ἥκεις. (5) Νῦν ὦν ἐπειδὴ περὶ πολλοῦ ἤγημαι μὴ ξεινοκτονέειν, γυναῖκα μὲν ταύτην καὶ τὰ χρήματα οὔ τοι προήσω ἀπάγεσθαι, ἀλλ' αὐτὰ ἐγὼ τῷ Ἕλληνι ξείνῳ φυλάξω, ἐς ὃ ἂν αὐτὸς ἐλθὼν ἐκεῖνος ἀπαγαγέσθαι ἐθέλῃ· αὐτὸν δέ σε καὶ τοὺς σοὺς συμπλόους τριῶν ἡμερέων προαγορεύω ἐκ τῆς ἐμῆς γῆς ἐς ἄλλην τινὰ μετορμίζεσθαι, εἰ δὲ μὴ, ἅτε πολεμίους περιέψεσθαι. »

CXVI. Ἑλένης μὲν ταύτην ἄπιξιν παρὰ Πρωτέα ἔλεγον οἱ ἱρέες γενέσθαι· δοκέει δέ μοι καὶ Ὅμηρος τὸν λόγον τοῦτον πυθέσθαι· ἀλλ' οὐ γὰρ ὁμοίως ἐς τὴν ἐποποιίην εὐπρεπὴς ἦν τῷ ἑτέρῳ τῷ περ ἐχρήσατο, μετῆκε αὐτὸν, δηλώσας ὡς καὶ τοῦτον ἐπίσταιτο τὸν λόγον. (2) Δῆλον δὲ, κατὰ παρεποίησε ἐν Ἰλιάδι (καὶ οὐδαμῇ ἄλλῃ ἀνεπόδισε ἑωυτόν) πλάνην τὴν Ἀλεξάνδρου, ὡς ἀπηνείχθη ἄγων Ἑλένην τῇ τε δὴ ἄλλῃ πλαζόμενος, καὶ ὡς ἐς Σιδῶνα τῆς Φοινίκης ἀπίκετο. (3) Ἐπιμέμνηται δὲ αὐτοῦ ἐν Διομήδεος ἀριστείῃ· λέγει δὲ τὰ ἔπεα οὕτω·

> Ἔνθ' ἔσαν οἱ πέπλοι παμποίκιλοι, ἔργα γυναικῶν
> Σιδονίων, τὰς αὐτὸς Ἀλεξάνδρος θεοειδὴς
> ἦγαγε Σιδονίηθεν, ἐπιπλὼς εὐρέα πόντον,
> τὴν ὁδὸν ἣν Ἑλένην περ ἀνήγαγεν εὐπατέρειαν.

(4) Ἐπιμέμνηται δὲ καὶ ἐν Ὀδυσσείῃ ἐν τοισίδε τοῖσι ἔπεσι·

> Τοῖα Διὸς θυγάτηρ ἔχε φάρμακα μητιόεντα,
> ἐσθλὰ, τά οἱ Πολύδαμνα πόρεν Θῶνος παράκοιτις

piam secum vehens huc adpulit, ventorum vi hanc in terram compulsus. Hunccine ergo sinemus illæsum abire, an, quæ secum advexit, ei eripiemus? » (2) Ad hæc Proteus remittit nuncium, qui diceret : « Hunc hominem, quisquis est, qui hospitem suum tam nefaria injuria adfecit, prehendite, et ad me adducite, *ut sciam quid tandem dicat.* »

CXV. His auditis Thonis prehendit Alexandrum, navesque ejus retinet : dein et ipsum et Helenam et res pretiosas Memphin duxit, atque etiam fugitivos supplices. (2) Cuncti ubi advenerunt, quæsivit ex Alexandro Proteus, quis esset, et unde cum navibus suis advenisset. Et ille suum genus commemoravit, patriæ dixit nomen; atque navigationis cursum, et unde advenerit, exposuit. (3) Deinde vero interrogante Proteo, Helenam unde accepisset, titubantem in oratione nec vera loquentem Alexandrum coarguebant fugitivi supplices, et totam sceleris rationem aperuerunt. (4) Ad extremum Proteus hanc sententiam pronunciavit : « Nisi ego, inquit, maximi ducerem, nullum hominem peregrinum occidere, qui ventorum vi ablatus meam terram accessisset, a te pro Græco illo pœnas sumturus eram, qui, o hominum scelestissime, hospitio benigne exceptus, facinus improbissimum admisisti. Ad tui hospitis uxorem intrasti; et hoc flagitio non contentus, tuis fraudibus excitatam raptamque abduxisti. Nec hoc tibi satis fuit, sed etiam domum tui hospitis exspoliasti, hisque cum spoliis huc venisti. (5) Nunc, quoniam semper maximi duxi hospitem nullum occidere, mulierem quidem hanc atque opes non te sinam hinc abducere, sed hæc ego Græco illi servabo, *donec ipse veniens recipere voluerit* : tibi vero et navigationis sociis edico, ut intra triduum mea e terra in aliam navigetis : sin minus, pro hostibus vos habebo. »

CXVI. Hunc fuisse Helenæ apud Proteum adventum dixere sacerdotes. Videtur autem mihi Homerus eandem audivisse narrationem; sed, quoniam non similiter, atque altera narratio, qua est usus, adcommodata esset epico carmini, idcirco eam omisisse, ita tamen ut significaret notam sibi eam fuisse. (2) Adparet hoc enim ex itinerum ratione Alexandri, quam in Iliade ut episodium posuit, (nec vero usquam alibi retractavit), ubi ait, quum per alia loca *eum abreptum errasse, Helenam secum ducentem, tum* Sidonem in Phœnice adpulisse. (3) Meminit autem hujus rei in Diomedis fortibus factis, ubi hos posuit versus :

> Picturata inerant ibi pallia, facta puellis
> Sidoniis, quas ipse Paris formosus ab urbe
> Sidonia duxit, sulcans freta lata carinis,
> quum retulit magnis Helenam natalibus ortam.

(4) Meminit in Odyssea quoque, his versibus :

> Hæc Jove nata venena habuit multa arte parata,
> fortia, quæ Polydamna sibi donaverat uxor

Αἰγυπτίη, τῇ πλεῖστα φέρει ζείδωρος ἄρουρα
φάρμακα, πολλὰ μὲν ἐσθλὰ μεμιγμένα, πολλὰ δὲ λυγρά.

Καὶ τάδε ἕτερα πρὸς Τηλέμαχον Μενέλεως λέγει,

Αἰγύπτῳ μ' ἔτι δεῦρο θεοὶ μεμαῶτα νέεσθαι
ἔσχον, ἐπεὶ οὔ σφιν ἔρεξα τελήεσσας ἑκατόμβας.

(5) Ἐν τούτοισι τοῖσι ἔπεσι δηλοῖ ὅτι ἠπίστατο τὴν ἐς Αἴγυπτον Ἀλεξάνδρου πλάνην· ὁμουρέει γὰρ ἡ Συρίη Αἰγύπτῳ, οἱ δὲ Φοίνικες, τῶν ἐστὶ ἡ Σιδών, ἐν τῇ Συρίῃ οἰκέουσι.

CXVII. Κατὰ ταῦτα δὲ τὰ ἔπεα καὶ τόδε τὸ χωρίον οὐκ ἥκιστα, ἀλλὰ μάλιστα ὄῆλον ὅτι οὐκ Ὁμήρου τὰ Κύπρια ἔπεά ἐστι, ἀλλ' ἄλλου τινός. Ἐν μὲν γὰρ τοῖσι Κυπρίοισι εἴρηται ὡς τριταῖος ἐκ Σπάρτης Ἀλέξανδρος ἀπίκετο ἐς τὸ Ἴλιον ἄγων τὴν Ἑλένην, εὐαεῖ τε πνεύματι χρησάμενος καὶ θαλάσσῃ λείῃ· ἐν δὲ Ἰλιάδι λέγει ὡς ἐπλάζετο ἄγων αὐτήν. Ὅμηρος μέν νυν καὶ τὰ Κύπρια ἔπεα χαιρέτω.

CXVIII. Εἰρομένου δέ μευ τοὺς ἱρέας εἰ μάταιον λόγον λέγουσι οἱ Ἕλληνες τὰ περὶ Ἴλιον γενέσθαι ἢ οὔ, ἔφασαν πρὸς ταῦτα τάδε, ἱστορίῃσι φάμενοι εἰδέναι παρ' αὐτοῦ Μενέλεω· ἐλθεῖν μὲν γὰρ μετὰ τὴν Ἑλένης ἁρπαγὴν ἐς τὴν Τευκρίδα γῆν Ἑλλήνων στρατιὴν πολλὴν βωθεῦσαν Μενέλεῳ, ἐκβᾶσαν δὲ ἐς γῆν καὶ ἱδρυθεῖσαν τὴν στρατιὴν πέμπειν ἐς τὸ Ἴλιον ἀγγέλους, σὺν δέ σφι ἰέναι καὶ αὐτὸν Μενέλεων· (2) τοὺς δ' ἐπείτε ἐσελθεῖν ἐς τὸ τεῖχος, ἀπαιτέειν Ἑλένην τε καὶ τὰ χρήματα τά οἱ οἴχετο κλέψας Ἀλέξανδρος, τῶν τε ἀδικημάτων δίκας αἰτέειν· τοὺς δὲ Τευκροὺς τὸν αὐτὸν λόγον λέγειν τότε καὶ μετέπειτεν, καὶ ὀμνύντας καὶ ἀνωμοτί, μὴ μὲν ἔχειν Ἑλένην μηδὲ τὰ ἐπικαλεύμενα χρήματα, ἀλλ' εἶναι αὐτὰ πάντα ἐν Αἰγύπτῳ, καὶ οὐκ ἂν δικαίως αὐτοὶ δίκας ὑπέχειν τῶν Πρωτεὺς ὁ Αἰγύπτιος βασιλεὺς ἔχει. (3) Οἱ δὲ Ἕλληνες καταγελᾶσθαι δοκέοντες ὑπ' αὐτῶν οὕτω δὴ ἑπολιόρκεον, ἐς ὃ ἑξεῖλον· ἑλοῦσι δὲ τὸ τεῖχος ὡς οὐκ ἐφαίνετο ἡ Ἑλένη, ἀλλὰ τὸν αὐτὸν λόγον τῷ προτέρῳ ἐπυνθάνοντο, οὕτω δὴ πιστεύσαντες τῷ λόγῳ τῷ πρώτῳ οἱ Ἕλληνες αὐτὸν Μενέλεων ἀποστέλλουσι παρὰ Πρωτέα.

CXIX. Ἀπικόμενος δὲ ὁ Μενέλεως ἐς τὴν Αἴγυπτον καὶ ἀναπλώσας ἐς τὴν Μέμφιν, εἶπας τὴν ἀληθειαν τῶν πρηγμάτων, καὶ ξεινίων ἤντησε μεγάλων καὶ Ἑλένην ἀπαθέα κακῶν ἀπέλαβε, πρὸς δὲ καὶ τὰ ἑωυτοῦ χρήματα πάντα. (2) Τυχὼν μέντοι τούτων ἐγένετο Μενέλεως ἀνὴρ ἄδικος ἐς Αἰγυπτίους· ἀποπλώειν γὰρ ὡρμημένον αὐτὸν ἴσχον ἄπλοιαι· ἐπειδὴ δὲ τοῦτο ἐπὶ πολλὸν τοιοῦτο ἦν, ἐπιτεχνᾶται πρῆγμα οὐκ ὅσιον· λαβὼν γὰρ δύο παιδία ἀνδρῶν ἐπιχωρίων ἔντομά σφεα ἐποίησε. (3) Μετὰ δὲ ὡς ἐπάϊστος ἐγένετο τοῦτο ἐργασμένος, μισηθείς τε καὶ διωκόμενος οἴχετο φεύγων τῇσι νηυσὶ ἐπὶ Λιβύης. Τὸ ἐνθεῦτεν δὲ ὅκου ἐτράπετο, οὐκέτι εἶχον εἶπαι Αἰγύπτιοι· τούτων δὲ τὰ μὲν ἱστορίῃσι ἔφασαν ἐπίστασθαι, τὰ δὲ παρ' ἑωυτοῖσι γενόμενα ἀτρεκέως ἐπιστάμενοι λέγειν.

Thonis in Ægypto, cujus fert plurima mixtim
multa solum proba, multa etiam damnosa venena.

Tum etiam hæc, eodem spectantia, Telemacho dicit Menelaus :

Hic etiam Ægypto di me tenuere reverti
conantem, quibus haud tuleram solennia sacra.

(5) Quibus versibus declarat poeta, cognitum sibi fuisse Alexandri, per maria errantis, adventum in Ægyptum : confinis enim est Syria Ægypto : Phœnices autem, quorum est Sidon, in Syria habitant.

CXVII. Ex hisce autem versibus, et ex isto maxime loco, *ex Iliade apposito*, clarum est, non esse Homerum Cypriorum carminum auctorem, sed alium quempiam. Nam in Cypriis Alexander memoratur tertio die Sparta Ilium cum Helena pervenisse secundo vento usus, et mari tranquillo : in Iliade vero ait poeta, errasse illum quum Helenam domum duceret. Sed valeat Homerus, valeantque Cypria carmina.

CXVIII. Interroganti vero mihi, utrum vanum fictumque sit, an non, quod Græci de bello ad Ilium gesto narrant, responderunt mihi hæcce, quæ ex ipsius Menelai narratione sibi cognita esse adfirmarunt. Scilicet, venisse post Helenæ raptum exercitum ingentem Græcorum in terram Trojanam, Menelao opem laturum. Ab exercitu isto, exscensione facta, positisque castris, missos esse Ilium legatos, et in his ipsum Menelaum : (2) qui postquam muros ingressi, repetiissent Helenam et opes ab Alexandro subreptas, et satisfactionem injuriarum postulassent; respondisse tunc Teucros id quod et deinde constanter adfirmaverint jurati et non jurati, non habere se Helenam nec opes quæ repeterentur, sed esse ista omnia in Ægypto; neque æquum esse, se earum rerum caussa satisfactionem dare, quæ essent in Protei manibus, regis Ægyptii. (3) At Græci, ab his se rideri existimantes, ea caussa obsedisse urbem, donec cepissent. Capta urbe, quum nusquam Helena reperiretur, et eandem rem, quam antea, audiverant, experirentur Græci; sic deinde fidem priori sermoni adhibentes, Menelaum ipsum ad Proteum miserunt.

CXIX. Menelaus ubi in Ægyptum pervenit, adverso fluvio Memphin navigavit, ibique exposita rei veritate, insignibus donis hospitalibus exceptus est, et Helenam illæsam recepit, insuperque opes suas omnes. (2) Verumtamen Menelaus, quamquam hæc omnia consecutus, inique cum Ægyptiis egit. Nam quum proficisci vellet, nec per ventos posset, longiore interposita mora, extremum rem adgressus est impiam et nefariam : duos puerulos sumsit hominum indigenarum, eosque placandis ventis immolavit. (3) Deinde postquam evulgatum est facinus, invisus Ægyptiis, et ab eis exagitatus, profugit cum suis navibus, Libyam versus iter intendens. Inde vero quonam pervenerit, non amplius dicere potuerunt Ægyptii : ista vero, quæ dixi, partim sciscitando se cognovisse aiebant, partim apud se gesta adcurate cognita habere.

CXX. Ταῦτα μὲν Αἰγυπτίων οἱ ἱρέες ἔλεγον· ἐγὼ δὲ τῷ λόγῳ τῷ περὶ Ἑλένης λεχθέντι καὶ αὐτὸς προστίθεμαι, τάδε ἐπιλεγόμενος, εἰ ἦν Ἑλένη ἐν Ἰλίῳ, ἀποδοθῆναι ἂν αὐτὴν τοῖσι Ἕλλησι ἤτοι ἑκόντος γε ἢ ἀέκοντος Ἀλεξάνδρου. Οὐ γὰρ δὴ οὕτω γε φρενοβλαβὴς ἦν ὁ Πρίαμος, οὐδὲ οἱ ἄλλοι οἱ προσήκοντες αὐτῷ, ὥστε τοῖσι σφετέροισι σώμασι καὶ τοῖσι τέκνοισι καὶ τῇ πόλι κινδυνεύειν ἐβούλοντο, ὅκως Ἀλέξανδρος Ἑλένῃ συνοικέῃ. (2) Εἰ δέ τοι καὶ ἐν τοῖσι πρώτοισι χρόνοισι ταῦτα ἐγίνωσκον, ἐπεὶ πολλοὶ μὲν τῶν ἄλλων Τρώων, ὁκότε συμμίσγοιεν τοῖσι Ἕλλησι, ἀπώλλυντο, αὐτοῦ δὲ Πριάμου οὐκ ἔστι ὅτε οὐ δύο ἢ τρεῖς ἢ καὶ ἔτι πλεῦνες τῶν παίδων μάχης γινομένης ἀπέθνησκον, εἰ χρή τι τοῖσι ἐποποιοῖσι χρεώμενον λέγειν, τούτων δὲ τοιούτων συμβαινόντων ἐγὼ μὲν ἕλπομαι, εἰ καὶ αὐτὸς Πρίαμος συνοίκεε Ἑλένῃ, ἀποδοῦναι ἂν αὐτὴν τοῖσι Ἀχαιοῖσι, μέλλοντά γε δὴ τῶν παρεόντων κακῶν ἀπαλλαγήσεσθαι. (3) Οὐ μὲν οὐδὲ ἡ βασιληίη ἐς Ἀλέξανδρον περιῆιε, ὥστε γέροντος Πριάμου ἐόντος ἐπ' ἐκείνῳ τὰ πρήγματα εἶναι, ἀλλ' Ἕκτωρ καὶ πρεσβύτερος καὶ ἀνὴρ ἐκείνου μᾶλλον ἐὼν ἔμελλε αὐτὴν Πριάμου ἀποθανόντος παραλάμψεσθαι, τὸν οὐ προσῆκε ἀδικέοντι τῷ ἀδελφεῷ ἐπιτράπειν, καὶ ταῦτα μεγάλων κακῶν δι' αὐτὸν συμβαινόντων ἰδίῃ τε αὐτῷ καὶ τοῖσι ἄλλοισι πᾶσι Τρωσί. (4) Ἀλλ' οὐ γὰρ εἶχον Ἑλένην ἀποδοῦναι, οὐδὲ λέγουσι αὐτοῖσι τὴν ἀληθείαν ἐπίστευον οἱ Ἕλληνες, ὡς μὲν ἐγὼ γνώμην ἀποφαίνομαι, τοῦ δαιμονίου παρασκευάζοντος ὅκως πανωλεθρίῃ ἀπολόμενοι καταφανὲς τοῦτο τοῖσι ἀνθρώποισι ποιήσωσι, ὡς τῶν μεγάλων ἀδικημάτων μεγάλαι εἰσὶ καὶ αἱ τιμωρίαι παρα τῶν θεῶν. Καὶ ταῦτα μὲν τῇ ἐμοὶ δοκέει εἴρηται.

CXXI. Πρωτέος δὲ ἐκδέξασθαι τὴν βασιληίην Ῥαμψίνιτον ἔλεγον, ὃς μνημόσυνα ἐλίπετο τὰ προπύλαια τὰ πρὸς ἑσπέρην τετραμμένα τοῦ Ἡφαιστείου, ἀντίους δὲ τῶν προπυλαίων ἔστησε ἀνδριάντας δύο, ἐόντας τὸ μέγαθος πέντε καὶ εἴκοσι πηχέων, τῶν Αἰγύπτιοι τὸν μὲν πρὸς βορέεω ἑστεῶτα καλεῦσι θέρος, τὸν δὲ πρὸς νότον χειμῶνα· (2) καὶ τὸν μὲν καλεῦσι θέρος, τοῦτον μὲν προσκυνέουσί τε καὶ εὖ ποιεῦσι, τὸν δὲ χειμῶνα καλεύμενον τὰ ἔμπαλιν τούτων ἔρδουσι. (I.) Πλοῦτον δὲ τούτῳ τῷ βασιλεῖ γενέσθαι ἀργύρου μέγαν, τὸν οὐδένα τῶν ὕστερον ἐπιτραφέντων βασιλέων δύνασθαι ὑπερβαλέσθαι οὐδ' ἐγγὺς ἐλθεῖν. (3) Βουλόμενον δὲ αὐτὸν ἐν ἀσφαλείῃ τὰ χρήματα θησαυρίζειν οἰκοδομέεσθαι οἴκημα λίθινον, τοῦ τῶν τοίχων ἕνα ἐς τὸ ἔξω μέρος τῆς οἰκίης ἔχειν. Τὸν δὲ ἐργαζόμενον ἐπιβουλεύοντα τάδε μηχανᾶσθαι, τῶν λίθων παρασκευάσασθαι ἕνα ἐξαιρετὸν εἶναι ἐκ τοῦ τοίχου ῥηϊδίως καὶ ὑπὸ δύο ἀνδρῶν καὶ ὑπ' ἑνός. (4) Ὡς δὲ ἐπετελέσθη τὸ οἴκημα, τὸν μὲν βασιλέα θησαυρίσαι τὰ χρήματα ἐν αὐτῷ, χρόνου δὲ περιιόντος τὸν οἰκοδόμον περὶ τελευτὴν τοῦ βίου ἐόντα ἀναλαλέσασθαι τοὺς παῖδας (εἶναι γὰρ αὐτῷ δύο), τούτοισι δὲ ἀπηγήσασθαι ὡς ἐκείνων προορέων, ὅκως βίον ἄφθονον ἔχωσι, τεχνάσαιτο οἰκο-

CXX. Hæc mihi Ægyptiorum dixerunt sacerdotes : narrationi autem, quam de Helena fecerunt, ego etiam ipse adsentior, hæcce mecum reputans : si in Ilio fuisset Helena, reddituros eam Græcia fuisse Trojanos, sive volente Alexandro, sive nolente. Nam profecto non ita mente captus erat Priamus, neque cæteri illius propinqui, ut suis ipsorum capitibus et liberis et universa urbe voluissent periclitari, quo Alexander Helenam haberet uxorem. (2) Quod si etiam initio ita secum statuissent, tamen deinde, postquam et aliorum Trojanorum complures, quoties cum Græcis congressi sunt, perierunt, et ex ipsius Priami filiis quolibet in prœlio (si quidem epicorum poetarum narrationi fides habenda) duo aut tres aut etiam plures occubuerunt, his ita comparatis, puto equidem, si vel ipse Priamus Helenam duxisset uxorem, redditurum eam fuisse Græcis hac conditione, ut præsentibus malis liberaretur. (3) Porro ne regnum quidem ad Alexandrum erat rediturum, ut quum senex esset Priamus, rerum summa penes illum fuerit : sed Hector, et ætate major et longe illo vir fortior, in regnum mortuo Priamo erat successurus; quem non est consentaneum indulgere voluisse fratri injuste agenti, quum præsertim illius caussa gravissima mala et privatim ipsum, et publice Trojanos omnes premerent. (4) Sed enim non potuerant illi Helenam reddere, et vera dicentibus fidem non adhibuerant Græci : idque (ut dicam quod sentio) factum est divino numine ita moderante, ut illi, internecione pereuntes, testatum facerent hominibus, graves injurias gravibus etiam pœnis vindicari a diis. Sed hæc quidem pro mea dixi opinione.

CXXI. Proteo in regno successisse memorarunt Rhampsinitum : qui monumenta sui reliquit propylæa templi Vulcani, occidentem spectantia. Ex adverso vero propylæorum duas posuit statuas, viginti quinque cubitorum magnitudine : quarum illam, quæ stat a septentrione, Æstatem adpellant Ægyptii; alteram, quæ ad meridiem conversa, Hiemem (2) et illam quidem, quam Æstatem vocant, adorant et donis placant; adversus illam, quæ Hiems nominatur, contrarium faciunt. (I.) Hunc regem, dixerunt, tantas opes possedisse tantamque vim argenti, ut posteriorum regum nullus, non dico superare eum opibus potuerit, sed ne prope quidem accedere. (3) Igitur in tuto reponere suas pecunias cupientem, conclave ædificandum curasse lapideum. Cujus ædificii quum unus paries extrorsum spectaret, eum cui mandatum opus erat, pecuniæ insidiantem, hocce esse machinatum : ex lapidibus unum ita parasse, ut e muro facile eximi posset a duobus aut etiam ab uno homine. (4) Absoluto ædificio, regem in illo divitias suas deposuisse. Interjecto autem tempore, quum is, qui conclave illud ædificaverat, prope vitæ finem esset, hunc advocatis ad se duobus, qui ei erant, filiis exposuisse, in ædificando regis thesauro usum se esse artificio, quo prospexisset ut opu-

δομέων τὸν θησαυρὸν τοῦ βασιλέος· (6) σαφέως δ' αὐτοῖσι πάντα ἐξηγησάμενον τὰ περὶ τὴν ἐξαίρεσιν τοῦ λίθου δοῦναι τὰ μέτρα αὐτοῦ, λέγοντα ὡς ταῦτα διαφυλάσσοντες ταμίαι τῶν βασιλέος χρημάτων ἔσονται. (8) Καὶ τὸν μὲν τελευτῆσαι τὸν βίον, τοὺς δὲ παῖδας αὐτοῦ οὐκ ἐς μακρὴν ἔργου ἔχεσθαι, ἐπελθόντας δὲ ἐπὶ τὰ βασιλήϊα νυκτὸς καὶ τὸν λίθον ἐπὶ τῷ οἰκοδομήματι ἀνευρόντας ῥηϊδίως μεταχειρίσασθαι καὶ τῶν χρημάτων πολλὰ ἐξενείκασθαι. (II.) Ὡς δὲ τυχεῖν τὸν βασιλέα ἀνοίξαντα τὸ οἴκημα, θωμάσαι ἰδόντα τῶν χρημάτων καταδεᾶ τὰ ἀγγήϊα, οὐκ ἔχειν δὲ ὅντινα ἐπαιτιᾶται τῶν τε σημάντρων ἐόντων σώων καὶ τοῦ οἰκήματος κεκληϊμένου. (7) Ὡς δὲ αὐτῷ καὶ δὶς καὶ τρὶς ἀνοίξαντι αἰεὶ ἐλάσσω φαίνεσθαι τὰ χρήματα (τοὺς γὰρ κλέπτας οὐκ ἀνιέναι κεραίζοντας), ποιῆσαί μιν τάδε, πάγας προστάξαι ἐργάσασθαι, καὶ ταύτας περὶ τὰ ἀγγήϊα ἐν τοῖσι τὰ χρήματα ἐνῆν στῆσαι. (8) Τῶν δὲ ὡρῶν ὥσπερ ἐν τῷ πρὸ τοῦ χρόνῳ ἐλθόντων καὶ ἐσδύντος τοῦ ἑτέρου αὐτῶν, ἐπεὶ πρὸς τὸ ἄγγος προσῆλθε, ἰθέως τῇ πάγῃ ἐνέχεσθαι. (9) Ὡς δὲ γνῶναι αὐτὸν ἐν οἵῳ κακῷ ἦν, ἰθέως καλέειν τὸν ἀδελφεὸν καὶ δηλοῦν αὐτῷ τὰ παρεόντα, καὶ κελεύειν τὴν ταχίστην ἐσδύντα ἀποταμέειν αὐτοῦ τὴν κεφαλήν, ὅκως μὴ αὐτὸς ὀφθεὶς καὶ γνωρισθεὶς ὃς εἴη προσαπολέει καὶ ἐκεῖνον. (10) Τῷ δὲ δόξαι εὖ λέγειν, καὶ ποιῆσαί μιν πεισθέντα ταῦτα, καὶ καταρμόσαντα τὸν λίθον ἀπιέναι ἐπ' οἴκου, φέροντα τὴν κεφαλὴν τοῦ ἀδελφεοῦ. (III.) Ὡς δὲ ἡμέρη ἐγένετο, ἐσελθόντα τὸν βασιλέα ἐς τὸ οἴκημα ἐκπεπλῆχθαι ὁρέοντα τὸ σῶμα τοῦ φωρὸς ἐν τῇ πάγῃ ἄνευ τῆς κεφαλῆς ἐὸν, τὸ δὲ οἴκημα ἀσινὲς καὶ οὔτε ἔσοδον οὔτε ἔκδυσιν οὐδεμίαν ἔχον. (11) Ἀπορεύμενον δέ μιν τάδε ποιῆσαι· τοῦ φωρὸς τὸν νέκυν κατὰ τοῦ τείχεος κατακρεμάσαι, φυλάκους δὲ αὐτοῦ καταστήσαντα ἐντείλασθαί σφι, τὸν ἂν ἴδωνται ἀποκλαύσαντα ἢ κατοικτισάμενον, συλλαβόντας ἄγειν πρὸς ἑωυτόν. (12) Ἀνακρεμαμένου δὲ τοῦ νέκυος τὴν μητέρα δεινῶς φέρειν, λόγους δὲ πρὸς τὸν περιεόντα παῖδα ποιευμένην προστάσσειν αὐτῷ, ὅτεῳ τρόπῳ δύναται, μηχανᾶσθαι ὅκως τὸ σῶμα τοῦ ἀδελφεοῦ καταλύσας κομιέει· εἰ δὲ τούτων ἀμελήσει, διαπειλέειν αὐτὴν ὡς ἐλθοῦσα πρὸς τὸν βασιλέα μηνύσει αὐτὸν ἔχοντα τὰ χρήματα. (IV.) Ὡς δὲ χαλεπῶς ἐλαμβάνετο ἡ μήτηρ τοῦ περιεόντος παιδὸς καὶ πολλὰ πρὸς αὐτὴν λέγων οὐκ ἔπειθε, ἐπιτεχνήσασθαι τοιάδε μιν, ὄνους κατασκευασάμενον καὶ ἀσκοὺς πλήσαντα οἴνου ἐπιθεῖναι ἐπὶ τῶν ὄνων, καὶ ἔπειτεν ἐλαύνειν αὐτούς· (13) ὡς δὲ κατὰ τοὺς φυλάσσοντας ἦν τὸν κρεμάμενον νέκυν, ἐπισπάσαντα τῶν ἀσκῶν δύο ἢ τρεῖς ποδεῶνας αὐτὸν λύειν ἀπαμμένους· ὡς δὲ ἔρρεε ὁ οἶνος, τὴν κεφαλὴν μιν κόπτεσθαι μεγάλα βοῶντα ὡς οὐκ ἔχοντα πρὸς ὁκοῖον τῶν ὄνων πρῶτον τράπηται. (14) Τοὺς δὲ φυλάκους ὡς ἰδέειν πολὺν ῥέοντα τὸν οἶνον, συντρέχειν ἐς τὴν ὁδὸν ἀγγήϊα ἔχοντας, καὶ τὸν ἐκχυμένον οἶνον συγκομίζειν ἐν κέρδεϊ ποιευμένους· τὸν δὲ διαλοιδορέεσθαι πᾶσι ὀργὴν προσποιεύμενον, παραμυθευμένων

lentam haberent rem familiarem. (5) Perspicue igitur illos docuisse quo pacto eximi lapis posset, et mensuras illis tradidisse, quas si observassent, futuros eos aiebat esse regiarum opum dispensatores. (6) Hoc igitur vita functo, filios haud multo post operi admovisse manus: noctu ad regiam accedentes, lapidem in ædificio a se inventum facili opera tractasse, multumque pecuniæ extulisse. (II) Quum forte dein conclave rex aperuisset, videretque diminutas in vasis pecunias, miratum esse; nec vero quem culparet habuisse, quum sigilla januæ salva fuissent, et ædificium clausum. (7) Ubi autem iterum et tertio aperiens, constanter minui vidit pecunias (nec enim spoliare desiisse fures), hocce eum fecisse: laqueos confici jussisse, eosque circa vasa, in quibus inerant pecuniæ, collocari. (8) Ventitasse dein, ut antea, fures: quorum quum irrepsisset alter, et ad vas accessisset, continuo hunc laqueo esse captum. (9) Eumdem vero, videntem quo in malo esset, protinus vocato fratri significasse quid accidisset, jussisseque eum ut continuo ipse irreperet, sibique caput abscinderet; ne, sese conspecto, agnitoque quis esset, ille simul male esset periturus. (10) Et illum, probato hujus consilio, fecisse ut jusserat frater, adaptatoque iterum lapide domum abiisse, caput fratris asportantem. (III.) Ut illuxit, ingressum regem in conclave obstupuisse, conspecto corpore furis laqueo constricti et capite carentis, quum præsertim illæsum ædificium, nullumque vel introitum vel exitum videret. (11) Itaque hærentem animo, hocce fecisse: cadaver furis ex muro suspendisse, adpositisque custodibus imperasse, ut, si quem vidissent deplorantem aut lamentantem, hunc prehensum ad se adducerent. (12) Interim suspenso furis cadavere vehementer dolentem matrem, collatis cum superstite filio sermonibus imperasse huic, ut, quoquo modo quibusve artibus posset, solvere cadaver fratris et sibi adferre conaretur; adjecisseque minas, eam rem si ille neglexisset, regem se adituram, ipsumque, ut qui illius pecunias habeat, delaturam. (IV.) Ita aspere a matre acceptum filium superstitem, postquam nullo pacto illam potuisset commovere, dolum excogitasse hujusmodi: instructis asinis utres imposuisse vino plenos, eosque per viam publicam agitasse; (13) quumque prope locum fuisset ubi erant cadaveris suspensi custodes, attractos duos aut tres utrium pendulos petiolos solvisse; tum, effluente vino, caput sibi pulsasse ingenti edito clamore, quasi incertum, ad quemnam ex asinis primum se converteret. (14) Custodes, multum fluere vini videntes, in viam concurrisse, vasa tenentes, effluensque vinum, ut suum in lucrum cedens, colligentes; illum autem, vehementer se iratum simulantem, maledictis eos lacerasse. Custodibus

δὲ αὐτὸν τῶν φυλάκων χρόνῳ πρηΰνεσθαι προσποιέεσθαι καὶ ὑπίεσθαι τῆς ὀργῆς, τέλος δὲ ἐξελάσαι αὐτὸν τοὺς ὄνους ἐκ τῆς ὁδοῦ καὶ κατασκευάζειν. (15) Ὡς δὲ λόγους τε πλεῦνας ἐγγίνεσθαι καί τινα καὶ σκῶψαί μιν καὶ ἐς γέλωτα προαγαγέσθαι, ἐπιδοῦναι αὐτοῖσι τῶν ἀσκῶν ἕνα· τοὺς δὲ αὐτοῦ ὥσπερ εἶχον κατακλιθέντας πίνειν διανοέεσθαι, καὶ ἐκεῖνον παραλαμβάνειν καὶ κελεύειν μετ' ἑωυτῶν μείναντα συμπίνειν· τὸν δὲ πεισθῆναί τε δὴ καὶ καταμεῖναι. (16) Ὡς δέ μιν παρὰ τὴν πόσιν φιλοφρόνως ἠσπάζοντο, ἐπιδοῦναι αὐτοῖσι καὶ ἄλλον τῶν ἀσκῶν· δαψιλέϊ δὲ τῷ ποτῷ χρησαμένους τοὺς φυλάκους ὑπερμεθυσθῆναι καὶ κρατηθέντας ὑπὸ τοῦ ὕπνου αὐτοῦ ἔνθα περ ἔπινον κατακοιμηθῆναι. (17) Τὸν δὲ, ὡς πρόσω ἦν τῆς νυκτὸς, τό τε σῶμα τοῦ ἀδελφεοῦ καταλῦσαι καὶ τῶν φυλάκων ἐπὶ λύμῃ πάντων ξυρῆσαι τὰς δεξιὰς παρηΐδας, ἐπιθέντα δὲ τὸν νέκυν ἐπὶ τοὺς ὄνους ἀπελαύνειν ἐπ' οἶκου, ἐπιτελέσαντα τῇ μητρὶ τὰ προσταχθέντα. (V.) Τὸν δὲ βασιλέα, ὡς αὐτῷ ἀπηγγέλθη τοῦ φωρὸς ὁ νέκυς ἐκκεκλεμμένος, δεινὰ ποιέειν· (18) πάντως δὲ βουλόμενον εὑρεθῆναι ὅστις κοτὲ εἴη ὁ ταῦτα μηχανεώμενος, ποιῆσαί μιν τάδε, ἐμοὶ μὲν οὐ πιστά· τὴν θυγατέρα τὴν ἑωυτοῦ κατίσαι ἐπ' οἰκήματος, ἐντειλάμενον πάντας τε ὁμοίως προσδέκεσθαι, καὶ πρὶν συγγενέσθαι, ἀναγκάζειν λέγειν αὐτῇ ὅ τι δὴ ἐν τῷ βίῳ ἔργασται αὐτῷ σοφώτατον καὶ ἀνοσιώτατον· ὃς δ' ἂν ἀπηγήσηται τὰ περὶ τὸν φῶρα γεγενημένα, τοῦτον συλλαμβάνειν καὶ μὴ ἀπιέναι ἔξω. (19) Ὡς δὲ τὴν παῖδα ποιέειν τὰ ἐκ τοῦ πατρὸς προσταχθέντα, τὸν φῶρα πυθόμενον τῶν εἵνεκεν ταῦτα ἐπρήσσετο, βουληθέντα πολυτροπίῃ τοῦ βασιλέος περιγενέσθαι ποιέειν τάδε· νεκροῦ προσφάτου ἀποταμόντα ἐν τῷ ὤμῳ τὴν χεῖρα ἰέναι αὐτὸν ἔχοντα αὐτὴν ὑπὸ τῷ ἱματίῳ, ἐσελθόντα δὲ ὡς τοῦ βασιλέος τὴν θυγατέρα, καὶ εἰρωτεώμενον τά περ καὶ οἱ ἄλλοι, ἀπηγήσασθαι ὡς ἀνοσιώτατον μὲν εἴη ἐργασμένος ὅτε τοῦ ἀδελφεοῦ ἐν τῷ θησαυρῷ τοῦ βασιλέος ὑπὸ πάγης ἁλόντος ἀποτάμοι τὴν κεφαλὴν, σοφώτατον δὲ ὅτι τοὺς φυλάκους καταμεθύσας καταλύσειε τοῦ ἀδελφεοῦ κρεμάμενον τὸν νέκυν. (20) Τὴν δὲ, ὡς ἤκουσε, ἅπτεσθαι αὐτοῦ· τὸν δὲ φῶρα ἐν τῷ σκότεϊ προτεῖναι αὐτῇ τοῦ νεκροῦ τὴν χεῖρα· τὴν δὲ ἐπιλαβομένην ἔχειν, νομίζουσαν αὐτοῦ ἐκείνου τῆς χειρὸς ἀντέχεσθαι· τὸν δὲ φῶρα προέμενον αὐτῇ οἴχεσθαι διὰ θυρέων φεύγοντα. (VI.) Ὡς δὲ καὶ ταῦτα ἐς τὸν βασιλέα ἀνηνείχθαι, ἐκπεπλῆχθαι μὲν ἐπὶ τῇ πολυφροσύνῃ τε καὶ τόλμῃ τἀνθρώπου, τέλος δὲ διαπέμποντα ἐς πάσας τὰς πόλις ἐπαγγέλλεσθαι ἄδειάν τε διδόντα καὶ μεγάλα ὑποδεκόμενον ἐλθόντι ἐς ὄψιν τὴν ἑωυτοῦ. (21) Τὸν δὲ φῶρα πιστεύσαντα ἐλθεῖν πρὸς αὐτὸν, Ῥαμψίνιτον δὲ μεγάλως θωμάσαι, καί οἱ τὴν θυγατέρα ταύτην συνοικίσαι ὡς πλεῖστα ἐπισταμένῳ ἀνθρώπων· Αἰγυπτίους μὲν γὰρ τῶν ἄλλων προσεκρίσθαι, ἐκεῖνον δὲ Αἰγυπτίων.

vero eum consolantibus, paulatim mitigari simulantem, ab ira remisisse, denique a media via exegisse asinos, eosque rursus instruxisse. (15) Ibi multis incidentibus sermonibus, quum unus ex custodibus facete cavillans etiam risum ei elicuisset, dono eum illis dedisse unum ex utribus : et illos e vestigio discumbentes compotationi animum adplicuisse, ipsumque adsumsisse et hortatos esse, ut secum maneret compotaretque : et illum, ut erat consentaneum, morem gessisse, apudque illos mansisse. (16) Qui quum inter potandum comiter amplecterentur hominem, hunc etiam alio ex utribus illos donasse : et copioso potu utentes custodes ita fuisse inebriatos, ut somno oppressi, eodem loco ubi potaverant, obdormierint. (17) Tum vero, nocte jam multum progressa, hunc fratris corpus solvisse, et custodum dextras genas contumeliæ caussa rasisse, denique cadavere asinis imposito, mandata matris exsecutum, domum cum asinis rediisse. (V.) Regem, postquam ei renunciatum esset furto ablatum esse cadaver, ægerrime tulisse; (18) cupientemque quoquo modo reperire quis esset qui ista fuisset machinatus, hocce fecisse aiunt, mihi non credibile : filiam suam jussisse in lupanari sedere, cunctosque homines pariter admittere, sed, priusquam coirent, cogere ut dicat quisque quid sit quod et callidissimum et improbissimum in vita patraverit : quodsi quis narrasset ea quæ circa furem accidissent, hunc prehenderet, neque egredi pateretur. (19) Jussis patris quum morem gereret puella, furem hunc, postquam cognosset cujus rei caussa hæc fierent, cupereteque regem superare versutia, hæcce fecisse : recens mortui hominis amputasse in humero manum, eaque sub pallio abscondita ad regis filiam intrasse; tum ab ea interrogatum sicuti alii quoque, respondisse, improbissimum se facinus patrasse, quum fratris caput abscidisset, laqueo capti in regis thesauro; callidissimum vero, quod inebriatis custodibus cadaver suspensum fratris solvisset. (20) Tum illam, his auditis, prehendisse hominem : at furem illi in tenebris manum mortui porrexisse; quam dum puella prehenderet, manum illius ipsius se tenere existimans, furem missam illi eam fecisse, et per januam egressum profugisse. (VI.) Postquam igitur et hæc regi essent renunciata, attonitum fuisse illum et versutia et audacia hominis. Ad extremum, circummissis per oppida præconibus, edixisse et impunitatem se concessurum, et magna etiam dona adjecturum homini, si in conspectum suum venisset. (21) Et edicto fidem adhibentem furem, ad regem accessisse : Rhampsinitumque, magna hominis admiratione ductum, filiam ei hanc in matrimonium dedisse, ut hominum omnium scientissimo : Ægyptios enim omnibus aliis antecellere, ipsum vero Ægyptiis.

CXXII. Μετὰ δὲ ταῦτα ἔλεγον τοῦτον τὸν βασιλέα ζωὸν καταβῆναι κάτω ἐς τὸν οἱ Ἕλληνες ἀΐδην

CXXII. Post hæc eundem regem dixerunt vivum sub terram, quo loco Græci inferos putant esse, descendisse,

νομίζουσι εἶναι, κἀκεῖθι συγκυβεύειν τῇ Δήμητρι, καὶ τὰ μέν νικᾶν αὐτήν, τὰ δὲ ἐσσοῦσθαι ὑπ' αὐτῆς, καί μιν πάλιν ἄνω ἀπικέσθαι δῶρον ἔχοντα παρ' αὐτῆς χειρόμακτρον χρύσεον. (2) Ἀπὸ δὲ τῆς Ῥαμψινίτου καταβάσιος, ὡς πάλιν ἀπίκετο, ὀρτὴν δὴ ἀνάγειν Αἰγυπτίους ἔφασαν, τὴν καὶ ἐγὼ οἶδα ἔτι καὶ ἐς ἐμὲ ἐπιτελέοντας αὐτούς· οὐ μέντοι εἴτε δι' ἄλλο τι εἴτε διὰ ταῦτα ὀρτάζουσι ἔχω λέγειν. (3) Φᾶρος δὲ αὐτημερὸν ἐξυφήναντες οἱ ἱρέες κατ' ὧν ἔδησαν ἑνὸς αὐτῶν μίτρῃ τοὺς ὀφθαλμοὺς, ἀγαγόντες δέ μιν ἔχοντα τὸ φᾶρος ἐς ὁδὸν φέρουσαν ἐς ἱρὸν Δήμητρος αὐτοὶ ἀπαλλάσσονται ὀπίσω· (4) τὸν δὲ ἱρέα τοῦτον κατα-δεδεμένον τοὺς ὀφθαλμοὺς λέγουσι ὑπὸ δύο λύκων ἀγεσθαι ἐς τὸ ἱρὸν τῆς Δήμητρος ἀπέχον τῆς πόλιος εἴκοσι σταδίους, καὶ αὖτις ὀπίσω ἐκ τοῦ ἱροῦ ἀπάγειν μιν τοὺς λύκους ἐς τὠυτὸ χωρίον.

CXXIII. Τοῖσι μέν νυν ὑπ' Αἰγυπτίων λεγομένοισι χράσθω ὅτεῳ τὰ τοιαῦτα πιθανά ἐστι· ἐμοὶ δὲ παρὰ πάντα τὸν λόγον ὑποκέεται ὅτι τὰ λεγόμενα ὑπ' ἑκάστων ἀκοῇ γράφω. Ἀρχηγετεύειν δὲ τῶν κάτω Αἰγύπτιοι λέγουσι Δήμητρα καὶ Διόνυσον. (2) Πρῶτοι δὲ καὶ τόνδε τὸν λόγον Αἰγύπτιοί εἰσι οἱ εἰπαντες, ὡς ἀνθρώπου ψυχὴ ἀθάνατός ἐστι, τοῦ σώματος δὲ καταφθίνοντος ἐς ἄλλο ζῷον αἰεὶ γινόμενον ἐσδύεται· ἐπεὰν δὲ περιέλθῃ πάντα τὰ χερσαῖα καὶ τὰ θαλάσσια καὶ τὰ πετεινὰ, αὖτις ἐς ἀνθρώπου σῶμα γινόμενον ἐσδύνειν, τὴν περιήλυσιν δὲ αὐτῇ γίνεσθαι ἐν τρισχιλίοισι ἔτεσι. (3) Τούτῳ τῷ λόγῳ εἰσὶ οἱ Ἑλλήνων ἐχρήσαντο, οἱ μὲν πρότερον, οἱ δὲ ὕστερον, ὡς ἰδίῳ ἑωυτῶν ἐόντι· τῶν ἐγὼ εἰδὼς τὰ οὐνόματα οὐ γράφω.

CXXIV. Μέχρι μέν νυν Ῥαμψινίτου βασιλέος εἶναι ἐν Αἰγύπτῳ πᾶσαν εὐνομίην ἔλεγον καὶ εὐθενέειν Αἴγυπτον μεγάλως, μετὰ δὲ τοῦτον βασιλεύσαντά σφεων Χέοπα ἐς πᾶσαν κακότητα ἐλάσαι· κατακληίσαντα γάρ μιν πάντα τὰ ἱρα πρῶτα μέν σφεὰς θυσιέων ἀπέρξαι, μετὰ δὲ ἐργάζεσθαι ἑωυτῷ κελεύειν πάντας Αἰγυπτίους. (2) Τοῖσι μὲν δὴ ἀποδεδέχθαι ἐκ τῶν λιθοτομιέων τῶν ἐν τῷ Ἀραβίῳ οὔρεϊ, ἐκ τούτων ἕλκειν λίθους μέχρι τοῦ Νείλου· διαπεραιωθέντας δὲ τὸν ποταμὸν πλοίοισι τοὺς λίθους ἑτέροισι ἔταξε ἐκδέκεσθαι καὶ πρὸς τὸ Λιβυκὸν καλεύμενον οὖρος, πρὸς τοῦτο ἕλκειν. Ἐργάζοντο δὲ κατὰ δέκα μυριάδας ἀνθρώπων αἰεὶ τὴν τρίμηνον ἑκάστην. (3) Χρόνον δὲ ἐγγενέσθαι τριβομένῳ τῷ λεῷ δέκα μὲν ἔτεα τῆς ὁδοῦ κατ' ἣν εἷλκον τοὺς λίθους, τὴν ἔδειμαν ἔργον ἐὸν οὐ πολλῷ τέῳ ἔλασσον τῆς πυραμίδος, ὡς ἐμοὶ δοκέειν (τῆς γὰρ μῆκος μέν εἰσι πέντε στάδιοι, εὖρος δὲ δέκα ὀργυιαί, ὕψος δὲ, τῇ ὑψηλοτάτη ἐστὶ αὐτὴ ἑωυτῆς, ὀκτὼ ὀργυιαί, λίθου τε ξεστοῦ καὶ ζώων ἐγγεγλυμμένων), ταύτης τε δὴ τὰ δέκα ἔτεα γενέσθαι καὶ τῶν ἐπὶ τοῦ λόφου, ἐπ' οὗ ἑστᾶσι αἱ πυραμίδες, τῶν ὑπὸ γῆν οἰκημάτων, τὰς ἐποιέετο θήκας ἑωυτῷ ἐν νήσῳ, διώρυχα τοῦ Νείλου ἐσαγαγών. (4) Τῇ δὲ πυραμίδι αὐτῇ χρόνον γενέσθαι εἴκοσι ἔτεα ποιευμένῃ, τῆς ἐστὶ

ibique cum Cerere alea lusisse, et partim victorem, partim etiam ab illa victum fuisse; denique rursus inde reversum, munus ab eadem retulisse mantile aureum. (2) Ab hoc *Rhampsiniti descensu ad inferos, postquam reversus esset*, festum aiebant agi ab Ægyptiis: quod festum ego quidem novi mea etiam nunc ætate ab illis agi; utrum vero hac de caussa celebretur, an alia, adfirmare non possum. (3) Unus e sacerdotibus pallium induit, eodem die ab illis contextum: huic reliqui mitra obligant oculos, eumque in viam deducunt qua ad Cereris templum itur, tum ipsi retro discedunt. (4) Hunc sacerdotem, cui obstricti oculi sunt, aiunt a duobus lupis ad templum Cereris duci, quod abest ab urbe viginti stadia; rursusque eosdem lupos eum in eundem locum reducere.

CXXIII. Jam utatur his, quæ Ægyptii narrant, si cui probabilia fuerint visa: mihi per totam hanc historiam propositum est, ut ea scribam quæ a quibusque memorata audivi. Memorant autem Ægyptii, principatum apud inferos tenere Cererem et Bacchum. (2) Primi etiam fuerunt Ægyptii, qui hanc doctrinam traderent: esse animam hominis immortalem; intereunte vero corpore in aliud animal, quod eo ipso tempore nascatur, intrare: quando vero circuitum absolvisset per omnia terrestria animalia et marina et volucria, tum rursus in hominis corpus, quod tunc nascatur, intrare: circuitum autem illum absolvi tribus annorum millibus. (3) Hoc placito usi sunt deinde nonnulli e Græcorum philosophis, alii prius, alii posterius, tamquam suum esset inventum: quorum ego nomina, mihi quidem cognita, literis non mando.

CXXIV. Usque ad Rhampsinitum igitur valuisse, dixerunt, in Ægypto leges, et rebus omnibus egregie floruisse Ægyptum. Post hunc vero, regnum apud eos tenentem Cheopem omni nequitia esse grassatum. Clausis enim templis omnibus, primum sacrificiis prohibuisse Ægyptios; tum cunctos jussisse sibi opus facere: (2) aliis adsignatum fuisse, ut ex lapicidinis quæ sunt *in Arabio monte*, ex *his* lapides traherent usque ad Nilum; aliis imperatum, ut navigiis cis *flumen transvectos lapides illos exciperent*, et ad Libycum quem vocant traherent montem. Opus autem faciebant per vices, *quolibet trimestri*, centena hominum millia. (3) Tempus autem, quo ita vexatus fuerit populus, primum decem fuisse annos, per quos munierint viam qua traxerunt lapides; opus, ut mihi videtur, haud multo inferius ipsa pyramide: (est enim longitudo viæ quinque stadiorum; latitudo cubitorum quadraginta; altitudo, qua est maxima, duorum et triginta cubitorum: estque ex politis lapidibus confecta, et insculptis ornata figuris:) huic igitur muniendæ viæ insumtos decem annos fuisse, simulque conficiendis in eo colle, in quo stant pyramides, cameris subterraneis, quas ille sibi pro sepulcro destinavit in insula, fossa ex Nilo introacta. (4) In ipsius autem pyramidis constructionem viginti annos esse insumtos. Quadrata illius forma

πανταχῇ μέτωπον ἕκαστον ὀκτὼ πλέθρα ἐούσης τετραγώνου καὶ ὕψος ἴσον, λίθου δὲ ξεστοῦ τε καὶ ἁρμοσμένου τὰ μάλιστα· οὐδεὶς τῶν λίθων τριήκοντα ποδῶν ἐλάσσων.

CXXV. Ἐποιήθη δὲ ὧδε αὕτη ἡ πυραμὶς, ἀναβαθμῶν τρόπον, τὰς μετεξέτεροι κρόσσας, οἱ δὲ βωμίδας οὐνομάζουσι. (2) Τοιαύτην τὸ πρῶτον ἐπείτε ἐποίησαν αὐτὴν, ἦειρον τοὺς ἐπιλοίπους λίθους μηχανῆσι ξύλων βραχέων πεποιημένῃσι, χαμᾶθεν μὲν ἐπὶ τὸν πρῶτον στοῖχον τῶν ἀναβαθμῶν ἀείροντες· ὅκως δὲ ἀνίοι ὁ λίθος ἐπ' αὐτὸν, ἐς ἑτέρην μηχανὴν ἐτίθετο ἑστεῶσαν ἐπὶ τοῦ πρώτου στοίχου, ἀπὸ τούτου δὲ ἐπὶ τὸν δεύτερον εἵλκετο στοῖχον ἐπ' ἄλλης μηχανῆς· (3) ὅσοι γὰρ δὴ στοῖχοι ἦσαν τῶν ἀναβαθμῶν, τοσαῦται καὶ μηχαναὶ ἦσαν, εἴτε καὶ τὴν αὐτὴν μηχανὴν ἐοῦσαν μίαν τε καὶ εὐβάστακτον μετεφόρεον ἐπὶ στοῖχον ἕκαστον, ὅκως τὸν λίθον ἐξέλοιεν· λελέχθω γὰρ ἡμῖν ἐπ' ἀμφότερα, κατά περ λέγεται. (4) Ἐξεποιήθη δ' ὦν τὰ ἀνώτατα αὐτῆς πρῶτα, μετὰ δὲ τὰ ἐχόμενα τούτων ἐξεποίευν, τελευταῖα δὲ αὐτῆς τὰ ἐπίγαια καὶ τὰ κατωτάτω ἐξεποίησαν. (5) Σεσήμανται δὲ διὰ γραμμάτων Αἰγυπτίων ἐν τῇ πυραμίδι ὅσα ἐς τε συρμαίην καὶ κρόμμυα καὶ σκόροδα ἀναισιμώθη τοῖσι ἐργαζομένοισι· καὶ ὡς ἐμὲ εὖ μεμνῆσθαι τὰ ὁ ἑρμηνεύς μοι ἐπιλεγόμενος τὰ γράμματα ἔφη, ἑξακόσια καὶ χίλια τάλαντα ἀργυρίου τετελέσθαι. (6) Εἰ δ' ἔστι οὕτως ἔχοντα ταῦτα, κόσα οἰκὸς ἄλλα δεδαπανῆσθαί ἐστι ἐς τε σίδηρον τῷ ἐργάζοντο, καὶ σιτία καὶ ἐσθῆτα τοῖσι ἐργαζομένοισι; ὁκότε χρόνον μὲν οἰκοδόμεον τὰ ἔργα τὸν εἰρημένον, ἄλλον δὲ, ὡς ἐγὼ δοκέω, ἐν τῷ τοὺς λίθους ἑταμνον καὶ ἦγον καὶ τὸ ὑπὸ γῆν ὄρυγμα ἐργάζοντο, οὐκ ὀλίγον χρόνον.

CXXVI. Ἐς τοῦτο δὲ ἐλθεῖν Χέοπα κακότητος ὥστε χρημάτων δεόμενον τὴν θυγατέρα τὴν ἑωυτοῦ κατίσαντα ἐπ' οἰκήματος προστάξαι πρήσσεσθαι ἀργύριον ὁκοσονδή τι· οὐ γὰρ δὴ τοῦτό γε ἔλεγον· τὴν δὲ τά τε ὑπὸ τοῦ πατρὸς ταχθέντα πρήσσεσθαι, ἰδίῃ δὲ καὶ αὐτὴν διανοηθῆναι μνημήϊον καταλιπέσθαι, καὶ τοῦ ἐσιόντος πρὸς αὐτὴν ἑκάστου δέεσθαι ὅκως ἂν αὐτῇ ἕνα λίθον ἐν τοῖσι ἔργοισι δωρέοιτο. (2) Ἐκ τούτων δὲ τῶν λίθων ἔφασαν τὴν πυραμίδα οἰκοδομηθῆναι τὴν ἐν μέσῳ τῶν τριῶν ἑστηκυῖαν, ἔμπροσθε τῆς μεγάλης πυραμίδος, τῆς ἐστὶ τὸ κῶλον ἕκαστον ὅλου καὶ ἡμίσεος πλέθρου.

CXXVII. Βασιλεῦσαι δὲ τὸν Χέοπα τοῦτον Αἰγύπτιοι ἔλεγον πεντήκοντα ἔτεα, τελευτήσαντος δὲ τούτου ἐκδέξασθαι τὴν βασιληΐην τὸν ἀδελφεὸν αὐτοῦ Χεφρῆνα· καὶ τοῦτον δὲ τῷ αὐτῷ τρόπῳ διαχρᾶσθαι τῷ ἑτέρῳ τά τε ἄλλα καὶ πυραμίδα ποιῆσαι, ἐς μὲν τὰ ἐκείνου μέτρα οὐκ ἀνήκουσαν· ταῦτα γὰρ ὧν καὶ ἡμεῖς ἐμετρήσαμεν· (2) οὔτε γὰρ ὕπεστι οἰκήματα ὑπὸ γῆν, οὔτε ἐκ τοῦ Νείλου διῶρυξ ἥκει ἐς αὐτὴν ὥσπερ ἐς τὴν ἑτέρην ῥέουσα· δι' οἰκοδομημένου δὲ αὐλῶνος ἔσω νῆσον περιῤῥέει, ἐν τῇ αὐτὸν λέγουσι

est; latus quodque octingentos metitur pedes: altitu o ejusdem est mensuræ: lapis politus et quam adcuratissime coagmentatus; nullus ex lapidibus minor triginta pedibus.

CXXV. Est autem sic constructa hæc pyramis: statim in modum graduum quibus scalæ adscenduntur, quos gradus alii pinnas, alii arulas vocant. (2) Talem postquam primum eam fecerunt, in altum tollebant reliquos lapides machinis ex brevibus lignis confectis, ab humo statim in primum graduum ordinem eos tollentes: quo ubi pervenit lapis, alii machinæ imponebatur, quæ in primo graduum ordine stabat, et ab hoc ordine in secundum attrahebatur ordinem super alia machina; (3) nam quot erant graduum ordines, tot quoque machinæ erant: sive etiam una eademque machina fuit portatu facilis, quam ex uno ordine in alterum promovebant, quoties lapidem in altum tollere vellent: nam in utramque partem, quemadmodum traditur, dictum a nobis esto. (4) Perfici autem cœptum est opus a summo; dein inferiora paulatim absolverunt; et ad extremum imam partem et terræ proximam perfecerunt. (5) Scripto autem in pyramide consignatum est literis Ægyptiis, quantum in raphanos, in cepas et in allia fuerit impensum, quibus usi sunt hi qui opus fecerunt: et recte memini quæ mihi dixit interpres, quum scriptum legeret, summam fuisse mille et sexcentorum talentorum argenti. (6) Quodsi ita est, quanta putabimus impensa fuisse alia, in ferrum, quo usi sint ad opus faciendum, tum in cibaria, et in vestimenta operariorum? quandoquidem tantum temporis, quantum dixi, faciendo operi insumserunt, nec minus multum temporis, ut ego arbitror, cædendis lapidibus, eisdemque promovendis, et fossæ subterraneæ conficiendæ.

CXXVI. Eo autem flagitii processisse Cheopem dixerunt, ut, quum pecuniis indigeret, filiam etiam suam in lupanari jusserit considere, et pecuniæ summam quantamcumque posset conficere. Quantum sit, quod illa hoc modo collegerit, non memoratur: sed hoc memorant, collegisse illam non modo pecuniam a patre imperatam; verum etiam quum suo nomine privatim cuperet monumentum relinquere, ab unoquoque qui ad eam intrasset postulasse, ut unum lapidem, ad opus faciendum idoneum, sibi conferret: (2) ex illisque lapidibus, dixerunt, exstructam esse pyramidem quæ in medio stat trium, ante magnam pyramidem; cujus quodque latus est longitudine pedum centum et quinquaginta.

CXXVII. Cheopem hunc dixere Ægyptii regnasse annos quinquaginta; eique defuncto successisse in regnum fratrem ejus Chephrenem. Hunc quum in aliis rebus eodem instituto usum esse atque fratrem, tum etiam pyramidem exstruxisse. Et hæc quidem pyramis mensuram prioris illius non exæquat; (nam mensuras etiam nos exegimus:) (2) neque enim cameras habet subterraneas, nec fossa ex Nilo derivata in hanc inferne iufluit, sicut in illam, in qua Nilus per canalem murario opere constructum insulam cir-

κέεσθαι Χέοπα. (3) Ὑποδείμας δὲ τὸν πρῶτον δόμον λίθου Αἰθιοπικοῦ ποικίλου, τεσσεράκοντα πόδας ὑποβὰς τῆς ἑτέρης τὠυτὸ μέγαθος, ἐχομένην τῆς μεγάλης οἰκοδόμησε. Ἑστᾶσι δὲ ἐπὶ λόφου τοῦ αὐτοῦ ἀμφότεραι, μάλιστα ἐς ἑκατὸν πόδας ὑψηλοῦ. Βασιλεῦσαι δὲ ἔλεγον Χεφρῆνα ἓξ καὶ πεντήκοντα ἔτεα.

CXXVIII. Ταῦτα ἓξ τε καὶ ἑκατὸν λογίζονται ἔτεα, ἐν τοῖσι Αἰγυπτίοισί τε πᾶσαν εἶναι κακότητα καὶ τὰ ἱρὰ χρόνου τοσούτου κατακληῖσθέντα οὐκ ἀνοιχθῆναι. Τούτους ὑπὸ μίσεος οὐ κάρτα ἐθέλουσι Αἰγύπτιοι οὐνομάζειν, ἀλλὰ καὶ τὰς πυραμίδας· καλεῦσι ποιμένος Φιλίτιος, ὃς τοῦτον τὸν χρόνον ἔνεμε κτήνεα κατὰ ταῦτα τὰ χωρία.

CXXIX. Μετὰ δὲ τοῦτον βασιλεῦσαι Αἰγύπτου Μυκερῖνον ἔλεγον Χέοπος παῖδα, τῷ τὰ μὲν τοῦ πατρὸς ἔργα ἀπαδεῖν, τὸν δὲ τά τε ἱρὰ ἀνοῖξαι καὶ τὸν ληὸν τετρυμένον ἐς τὸ ἔσχατον κακοῦ ἀνεῖναι πρὸς ἔργα τε καὶ θυσίας, δίκας δέ σφι πάντων βασιλέων δικαιοτάτας κρίνειν. (2) Κατὰ τοῦτο μέν νυν τὸ ἔργον ἀπάντων ὅσοι ἤδη βασιλέες ἐγένοντο Αἰγυπτίων αἰνέουσι μάλιστα τοῦτον· τά τε ἄλλα γάρ μιν κρίνειν εὖ, καὶ δὴ καὶ τῷ ἐπιμεμφομένῳ ἐκ τῆς δίκης παρ' ἑωυτοῦ διδόντα ἄλλα ἀποπιμπλάναι αὐτοῦ τὸν θυμόν. (3) Ἑόντι δὲ ἠπίῳ τῷ Μυκερίνῳ κατὰ τοὺς πολιήτας καὶ ταῦτα ἐπιτηδεύοντι πρῶτον κακῶν ἄρξαι τὴν θυγατέρα ἀποθανοῦσαν αὐτοῦ, τὸ μοῦνόν οἱ εἶναι ἐν τοῖσι οἰκίοισι τέκνον. (4) Τὸν δὲ ὑπεραλγήσαντά τε τῷ περιεπτώκεε πρήγματι, καὶ βουλόμενον περισσότερόν τι τῶν ἄλλων θάψαι τὴν θυγατέρα, ποιήσασθαι βοῦν ξυλίνην κοίλην, καὶ ἔπειτεν καταχρυσώσαντά μιν ταύτην ἔσω ἐν αὐτῇ θάψαι ταύτην δὴ τὴν ἀποθανοῦσαν θυγατέρα.

CXXX. Αὕτη ὦν ἡ βοῦς γῇ οὐκ ἐκρύφθη, ἀλλ' ἔτι καὶ ἐς ἐμὲ ἦν φανερὴ, ἐν Σαΐ μὲν πόλι ἐοῦσα, κειμένη δὲ ἐν τοῖσι βασιληίοισι ἐν οἰκήματι ἠσκημένῳ· θυμιήματα δὲ παρ' αὐτῇ παντοῖα καταγίζουσι ἀνὰ πᾶσαν ἡμέρην, νύκτα δὲ ἑκάστην πάννυχος λύχνος παρακαίεται. (2) Ἀγχοῦ δὲ τῆς βοὸς ταύτης ἐν ἄλλῳ οἰκήματι εἰκόνες τῶν παλλακέων τῶν Μυκερίνου ἑστᾶσι, ὡς ἔλεγον οἱ ἐν Σαΐ πόλι ἱρέες· ἑστᾶσι μὲν γὰρ ξύλινοι κολοσσοὶ, ἐοῦσαι ἀριθμὸν ὡς εἴκοσι μάλιστά κῃ, γυμναὶ ἐργασμέναι· αἵτινες μέντοι εἰσὶ, οὐκ ἔχω εἰπαι πλὴν ἢ τὰ λεγόμενα.

CXXXI. Οἱ δέ τινες λέγουσι περὶ τῆς βοὸς ταύτης καὶ τῶν κολοσσῶν τόνδε τὸν λόγον, ὡς Μυκερῖνος ἠράσθη τῆς ἑωυτοῦ θυγατρὸς καὶ ἔπειτεν ἐμίγη οἱ ἀεκούσῃ· μετὰ δὲ λέγουσι ὡς ἡ παῖς ἀπήγξατο ὑπ' ἄχεος, ὁ δέ μιν ἔθαψε ἐν τῇ βοΐ ταύτῃ, ἡ δὲ μήτηρ αὐτῆς τῶν ἀμφιπόλων τῶν προδουσέων τὴν θυγατέρα τῷ πατρὶ ἀπέταμε τὰς χεῖρας, καὶ νῦν τὰς εἰκόνας αὐτέων εἶναι πεπονθυίας τά περ αἱ ζωαὶ ἔπαθον. (2) Ταῦτα δὲ λέγουσι φλυηρέοντες, ὡς ἐγὼ δοκέω, τά τε ἄλλα καὶ δὴ καὶ τὰ περὶ τὰς χεῖρας τῶν κολοσσῶν· ταῦτα γὰρ ὧν καὶ ἡμεῖς ὠρέομεν, ὅτι ὑπὸ χρόνου τὰς χεῖρας ἀποβεcumluit, in qua sepultum Cheopem aiunt. (3) Exstruxit autem hanc, magnæ pyramidi proximam, quadraginta pedibus illa minorem : primus lapidum ordo Æthiopico lapide variegato substructus. Ambæ super eodem stant clivo, centum fere pedes in altitudinem eminente. Regnasse autem Chephrenem aiunt annos sex et quinquaginta.

CXXVIII. Hos centum et sex annos numerant Ægyptii, quibus per Ægyptum omne genus malorum invaluerit, clausaque templa per tantum temporis spatium non fuerint aperta. Istorumque regum odio nomen etiam eorum nolunt fere memorare; sed pyramides etiam illas vocant pastoris Philitios, qui per id tempus in illis locis pecora sua pavit.

CXXIX. Post hunc regnasse in Ægypto dicebant Mycerinum Cheopis filium. Huic patris displicuisse facta : itaque et templa eum aperuisse, et populo, extremis malis vexato, indulsisse, ut suis quisque negotiis et sacris operam daret : jusque etiam illis æquissime regum omnium dixisse. (2) Hac quidem ex parte summis eum laudibus supra omnes, quotquot Ægypti reges umquam fuere, extollunt : nam et alioquin ex æquo judicasse causas, et si quis de sententia ab illo lata esset conquestus, ei de suo ultro donare solitum, quo iram illius mitigaret. (3) Ita quum mitis adversus cives esset Mycerinus, talibusque uteretur institutis; primam ei calamitatem accidisse mortem filiæ, quam unicam domi sobolem habebat. (4) Ea calamitate in quam inciderat vehementer adflictum, quum vellet excellentiori quadam ratione sepelire filiam, conficiendam curasse bovem ligneam, intus cavam, extrinsecus inauratam, in eaque defunctam hanc filiam sepelivisse.

CXXX. Bos ista non sub terra est condita, sed mea adhuc ætate in propatulo erat, in Sai oppido in regia posita, eleganti in conclavi : et quotidie apud illam suffimenta cujusque generis adolentur, et singulis noctibus pernox ardet lucerna. (2) Prope bovem illam, in alio conclavi, stant imagines pellicum Mycerini, ut dicebant qui in Sai oppido sunt sacerdotes : stant certe ibi lignei colossi, forma muliebri, numero fere viginti, nudis corporibus : quænam autem illæ sint, dicere non possum, nisi quæ narrantur.

CXXXI. Sunt autem qui de bove illa et de colossis istis hæc narrant : Mycerinum amore filiæ suæ captum, vim ei intulisse; eoque facto puellam præ dolore vitam finiisse suspendio, patrem vero in illa bove eam sepelisse; matrem autem famulis, quæ patri filiam prodidissent, manus præcidisse, et nunc imaginibus illarum idem accidisse quod ipsæ vivæ passæ essent. (2) Hæc vero, ut mihi videtur, dicunt nugantes, quum cætera, tum hoc de manibus colossorum : hoc enim nos etiam vidimus, vetustate temporis

ἥλήκασι, αἳ ἐν ποσὶ αὐτέων ἐφαίνοντο ἐοῦσαι ἔτι καὶ ἐς ἐμέ.

CXXXII. Ἡ δὲ βοῦς τὰ μὲν ἄλλα κατακέκρυπται φοινικέῳ εἵματι, τὸν αὐχένα δὲ καὶ τὴν κεφαλὴν φαίνει κεχρυσωμένα παχεῖ κάρτα χρυσῷ· μεταξὺ δὲ τῶν κεράων ὁ τοῦ ἡλίου κύκλος μεμιμημένος ἔπεστι χρύσεος. Ἔστι δὲ ἡ βοῦς οὐκ ὀρθὴ, ἀλλ' ἐν γούνασι κειμένη, μέγαθος δὲ ὅση περ μεγάλη βοῦς ζωή. (2) Ἐκφέρεται δὲ ἐκ τοῦ οἰκήματος ἀνὰ πάντα τὰ ἔτεα, ἐπεὰν τύπτωνται οἱ Αἰγύπτιοι τὸν οὐκ οὐνομαζόμενον θεὸν ὑπ' ἐμεῦ ἐπὶ τοιούτῳ πρήγματι. Τότε ὦν καὶ τὴν βοῦν ἐκφέρουσι ἐς τὸ φῶς· φασὶ γὰρ δὴ αὐτὴν δεηθῆναι τοῦ πατρὸς Μυκερίνου ἀποθνήσκουσαν ἐν τῷ ἐνιαυτῷ ἄπαξ μιν τὸν ἥλιον κατιδέειν.

CXXXIII. Μετὰ δὲ τῆς θυγατρὸς τὸ πάθος δεύτερα τούτῳ τῷ βασιλέϊ τάδε γενέσθαι· ἐλθεῖν οἱ μαντήϊον ἐκ Βουτοῦς πόλιος ὡς μέλλοι ἓξ ἔτεα μοῦνον βιοὺς τῷ ἑβδόμῳ τελευτήσειν. Τὸν δὲ δεινὸν ποιησάμενον πέμψαι ἐς τὸ μαντήϊον τῷ θεῷ ὀνείδισμα, ἀντιμεμφόμενον ὅτι ὁ μὲν αὐτοῦ πατὴρ καὶ πάτρως ἀποκληίσαντες τὰ ἱρὰ καὶ θεῶν οὐ μεμνημένοι, ἀλλὰ καὶ τοὺς ἀνθρώπους φθείροντες, ἐβίωσαν χρόνον ἐπὶ πολλὸν, αὐτὸς δ' εὐσεβὴς ἐὼν μέλλοι ταχέως οὕτω τελευτήσειν. (2) Ἐκ δὲ τοῦ χρηστηρίου αὐτῷ δεύτερα ἐλθεῖν λέγοντα τούτων εἵνεκεν καὶ συνταχύνειν αὐτῷ τὸν βίον· οὐ γὰρ ποιῆσαί μιν τὸ χρεὼν ἦν ποιέειν· δεῖν γὰρ Αἴγυπτον κακοῦσθαι ἐπ' ἔτεα πεντήκοντά τε καὶ ἑκατόν, καὶ τοὺς μὲν δύο τοὺς πρὸ ἐκείνου γενομένους βασιλέας μαθέειν τοῦτο, ἐκεῖνον δὲ οὔ. (3) Ταῦτα ἀκούσαντα τὸν Μυκερῖνον, ὡς κατακεκριμένων ἤδη οἱ τούτων, λύχνα ποιησάμενον πολλὰ, ὅκως γίνοιτο νὺξ, ἀνάψαντα αὐτὰ πίνειν τε καὶ εὐπαθέειν, οὔτε ἡμέρης οὔτε νυκτὸς ἀνιέντα, ἔς τε τὰ ἕλεα καὶ τὰ ἄλσεα πλανώμενον, καὶ ἵνα πυνθάνοιτο εἶναι ἐνηβητήρια ἐπιτηδεώτατα. (4) Ταῦτα δὲ ἐμηχανᾶτο θέλων τὸ μαντήϊον ψευδόμενον ἀποδέξαι, ἵνα οἱ δυώδεκα ἔτεα ἀντ' ἓξ ἐτέων γένηται, αἱ νύκτες ἡμέραι ποιεύμεναι.

CXXXIV. Πυραμίδα δὲ καὶ οὗτος κατελίπετο, πολλὸν ἐλάσσω τοῦ πατρὸς, εἴκοσι ποδῶν καταδέουσαν κῶλον ἕκαστον τριῶν πλέθρων ἑούσης τετραγώνου, λίθου δὲ ἐς τὸ ἥμισυ Αἰθιοπικοῦ· τὴν δὴ μετεξέτεροί φασι Ἑλλήνων Ῥοδώπιος ἑταίρης γυναικὸς εἶναι, οὐκ ὀρθῶς λέγοντες. (2) Οὐδὲ ὦν οὐδὲ εἰδότες μοι φαίνονται λέγειν οὗτοι ἥτις ἦν ἡ Ῥοδῶπις· οὐ γὰρ ἂν οἱ πυραμίδα ἀνέθεσαν ποιήσασθαι τοιαύτην ἐς τὴν ταλάντων χιλιάδες ἀναρίθμητοι ὡς λόγῳ εἶπαι ἀναισίμωνται· πρὸς δὲ ὅτι κατ' Ἄμασιν βασιλεύοντα ἦν ἀκμάζουσα Ῥοδῶπις, ἀλλ' οὐ κατὰ τοῦτον· (3) ἔτεσι γὰρ κάρτα πολλοῖσι ὕστερον τούτων τῶν βασιλέων τῶν τὰς πυραμίδας ταύτας λιπομένων ἦν Ῥοδῶπις, γενεὴν μὲν ἀπὸ Θρηίκης, δούλη δὲ ἦν Ἰάδμονος τοῦ Ἡφαιστοπόλιος ἀνδρὸς Σαμίου, σύνδουλος δὲ Αἰσώπου τοῦ λογοποιοῦ. (4) Καὶ γὰρ οὗτος Ἰάδμονος ἐγένετο, ὡς διέδεξε τῇδε οὐκ ἥκιστα· ἐπείτε γὰρ πολλάκις κηρυσσόντων Δελφῶν ἐκ θεοπροdecidisse illis manus, quæ etiam nunc ad pedes imaginum jacentes conspiciuntur.

CXXXII. Bos autem quum reliquum corpus tectum habeat purpureo pallio, collum et caput ostendit denso admodum auro inauratum : inter cornua eminet circulus solis aurea imagine figuratus. Non stat recta bos, sed genubus incumbens : magnitudo quanta magnæ bovis vivæ. (2) Quotannis semel extra conclave effertur : quando plangunt Ægyptii deum illum, cujus nomen in tali re edere mihi nefas est, tum bovem hanc in lucem proferunt : dicunt enim, morientem filiam orasse patrem Mycerinum, ut semel in anno solem adspicere sibi liceat.

CXXXIII. Post filiæ mortem accidisse, narrarunt, eidem regi alteram calamitatem hanc : oraculi effatum ex oppido Buto ei esse adlatum, nonnisi sex adhuc annos victurum illum, septimo vitam finiturum. Tum illum, ægerrime hoc ferentem, misisse ad oraculum qui contumeliosis verbis deo exprobrarent, quod pater ipsius et patruus, qui templa clausissent, deosque non curassent, atque etiam homines perdidissent, tamen longum in tempus produxissent vitam; ipse autem, qui deos colat, tam cito vitam esset finiturus. (2) Super hæc alterum ei responsum ab oraculo esse editum : hac ipsa caussa propere finiturum vitam, quod ea, quæ in fatis fuissent, non fecisset; debuisse enim Ægyptum malis vexari per annos centum et quinquaginta : et duos reges, qui ipsum antecesserint, hoc intellexisse, ipsum vero non intellexisse. (3) His auditis Mycerinum, quum sententiam contra se jam pronunciatam cognovisset, multas parari jussisse lucernas, eisque quotidie ingruente nocte accensis potasse, voluptatibusque, nec die nec nocte ulla intermissa, indulsisse, per amœna inferioris Ægypti loca atque nemora vagantem, ubicumque cognosset voluptaria esse diverticula aptissima. (4) Id eo consilio esse molitum, quo mendacii argueret oraculum, quum, loco sex annorum, duodecim sibi reliqui essent, noctibus in dies conversis.

CXXXIV. Idem Mycerinus pyramidem etiam reliquit, multo quidem minorem ea quam pater exstruxerat, unoquoque quattuor laterum ducentos octoginta pedes metiente : usque ad dimidiam altitudinem Æthiopicus lapis est. Hanc pyramidem Græcorum nonnulli dicunt esse Rhodopidis meretricis; non recte memorantes. (2) Satis enim adparet, ne novisse quidem hos quænam mulier fuerit Rhodopis : alioqui ad illam non retulissent constructionem pyramidis, quæ innumeris (ut verbo dicam) talentorum millibus constiterat : ignorareque eosdem adparet, regnante Amasi floruisse Rhodopin, non hujus regis ætate. (3) Permultis enim annis post reges hos, qui istas pyramidas monumenta sui reliquerunt, vixit Rhodopis; genere Thressa, ancilla Iadmonis Samii, Hephæstopolios filii, conserva Æsopi ejus qui fabulas fecit. (4) Nam et Æsopum Iadmoni serviisse, quum aliunde constat, tum hoc maxime, quod, postquam Delphenses ex oracuti effato sæpius proclamas-

πίου ὃς βούλοιτο ποινὴν τῆς Αἰσώπου ψυχῆς ἀνελέσθαι, ἄλλος μὲν οὐδεὶς ἐφάνη, Ἰάδμονος δὲ παιδὸς παῖς ἄλλος Ἰάδμων ἀνείλετο. Οὕτω καὶ Αἴσωπος Ἰάδμονος ἐγένετο.

CXXXV. Ῥοδῶπις δὲ ἐς Αἴγυπτον ἀπίκετο Ξάνθεω τοῦ Σαμίου κομίσαντος, ἀπικομένη δὲ κατ' ἐργασίην ἐλύθη χρημάτων μεγάλων ὑπ' ἀνδρὸς Μυτιληναίου Χαράξου τοῦ Σκαμανδρωνύμου παιδὸς, ἀδελφεοῦ δὲ Σαπφοῦς τῆς μουσοποιοῦ. (2) Οὕτω δὴ ἡ Ῥοδῶπις ἠλευθερώθη, καὶ κατέμεινέ τε ἐν Αἰγύπτῳ καὶ κάρτα ἐπαφρόδιτος γενομένη μεγάλα ἐκτήσατο χρήματα ὡς ἂν εἶναι Ῥοδώπιος, ἀτὰρ οὐκ ὥς γε ἐς πυραμίδα τοιαύτην ἐξικέσθαι. (3) Τῆς γὰρ τὴν δεκάτην τῶν χρημάτων ἰδέσθαι ἔστι ἔτι καὶ ἐς τόδε παντὶ τῷ βουλομένῳ, οὐδὲν δεῖ μεγάλα οἱ χρήματα ἀναθεῖναι. Ἐπεθύμησε γὰρ Ῥοδῶπις μνημήϊον ἑωυτῆς ἐν τῇ Ἑλλάδι καταλιπέσθαι, ποίημα ποιησαμένη τοῦτο τὸ μὴ τυγχάνει ἄλλῳ ἐξευρημένον καὶ ἀνακείμενον ἐν ἱρῷ, τοῦτο ἀναθεῖναι ἐς Δελφοὺς μνημόσυνον ἑωυτῆς. (4) Τῆς ὦν δεκάτης τῶν χρημάτων ποιησαμένη ὀβελοὺς βουπόρους πολλοὺς σιδηρέους, ὅσον ἐνεχώρεε ἡ δεκάτη οἱ, ἀπέπεμπε ἐς Δελφούς· οἱ καὶ νῦν ἔτι συννενέαται, ὄπισθε μὲν τοῦ βωμοῦ τὸν Χῖοι ἀνέθεσαν, ἀντίον δὲ αὐτοῦ τοῦ νηοῦ. (5) Φιλέουσι δέ κως ἐν τῇ Ναυκράτι ἐπαφρόδιτοι γίνεσθαι αἱ ἑταῖραι· τοῦτο μὲν γὰρ αὕτη, τῆς πέρι λέγεται ὅδε ὁ λόγος, οὕτω δή τι κλεινὴ ἐγένετο ὡς καὶ πάντες οἱ Ἕλληνες Ῥοδώπιος τὸ οὔνομα ἐξέμαθον· τοῦτο δὲ ὕστερον ταύτης, τῇ οὔνομα ἦν Ἀρχιδίκη, ἀοίδιμος ἀνὰ τὴν Ἑλλάδα ἐγένετο, ἔσσον δὲ τῆς ἑτέρης περιλεσχήνευτος. Χάραξος δὲ ὡς λυσάμενος Ῥοδῶπιν ἀπενόστησε ἐς Μυτιλήνην, ἐν μέλεϊ Σαπφὼ πολλὰ κατεκερτόμησέ μιν. Ῥοδώπιος μέν νυν πέρι πέπαυμαι.

CXXXVI. Μετὰ δὲ Μυκερῖνον γενέσθαι Αἰγύπτου βασιλέα ἔλεγον οἱ ἱρεὲς Ἄσυχιν, τὸν τὰ πρὸς ἥλιον ἀνίσχοντα ποιῆσαι τῷ Ἡφαίστῳ προπύλαια, ἐόντα πολλῷ τε κάλλιστα καὶ πολλῷ μέγιστα· ἔχει μὲν γὰρ καὶ τὰ πάντα προπύλαια τύπους τε ἐγγεγλυμμένους καὶ ἄλλην ὄψιν οἰκοδομημάτων μυρίην, ἐκεῖνα δὲ καὶ μακρῷ μάλιστα. (2) Ἐπὶ τούτου βασιλεύοντος ἔλεγον ἀμιξίης ἐούσης πολλῆς χρημάτων γενέσθαι νόμον Αἰγυπτίοισι, ἀποδεικνύντα ἐνέχυρον τοῦ πατρὸς τὸν νέκυν οὕτω λαμβάνειν τὸ χρέος· (3) προστεθῆναι δὲ ἔτι τούτῳ τῷ νόμῳ τόνδε, τὸν διδόντα τὸ χρέος καὶ ἁπάσης κρατέειν τῆς τοῦ λαμβάνοντος θήκης, τῷ δὲ ὑποτιθέντι τοῦτο τὸ ἐνέχυρον τήνδε ἐπεῖναι ζημίην μὴ βουλομένῳ ἀποδοῦναι τὸ χρέος, μήτ' αὐτῷ ἐκείνῳ τελευτήσαντι εἶναι ταφῆς κυρῆσαι μήτ' ἐν ἐκείνῳ τῷ πατρωίῳ τάφῳ μήτ' ἐν ἄλλῳ μηδενὶ, μήτ' ἄλλον μηδένα τῶν ἑωυτοῦ ἀπογενόμενον θάψαι. (4) Ὑπερβαλέσθαι δὲ βουλόμενον τοῦτον τὸν βασιλέα τοὺς πρότερον ἑωυτοῦ βασιλέας γενομένους Αἰγύπτου μνημόσυνον πυραμίδα λιπέσθαι ἐκ πλίνθων ποιήσαντα, ἐν τῇ γράμματα ἐν λίθῳ ἐγκεκολαμμένα ἐστὶ τάδε λέγοντα, « μή με κατοσοσθῆς πρὸς τὰς λιθίνας πυραμίδας· προέχω γὰρ αὐτέων

sent, si quis vellet pœnam repetere cædis Æsopi, neuo alius, qui illam repeteret, inventus sit, nisi Iadmonis ex filio nepos, cui et ipsi Iadmon nomen erat. Itaque Iadmonis servus Æsopus fuerat.

CXXXV. Rhodopis vero in Ægyptum venit, adducta a Xantho Samio : adducta vero ut quæstum corpore faceret, magno pretio redemta est a cive Mytilenæo Charaxo, Scamandronymi filio, fratre Sapphus poetriæ. (2) Ita igitur servitute liberata Rhodopis, mansit in Ægypto : quumque venusta admodum esset, opes sibi comparavit magnas, ut quæ Rhodopidis essent, nec vero ut quæ ad pyramidem exstruendam talem sufficerent. (3) Nam, cujus opum decimam partem ad hunc usque diem conspicere licet cuicumque volenti, ei non adeo ingentes opes oportet tribuere. Cupiens enim Rhodopis monumentum sui in Græcia relinquere, tale opus faciendum curavit, quale a nemine alio vel excogitatum vel in templo aliquo esset dedicatum, illudque Delphis in sui memoriam dedicavit. (4) Ex decima opum igitur suarum parte conficienda curavit complura, quot per decimam ei licuerat, ferrea verua assandis bobus idonea, eaque Delphos misit : quæ etiam nunc in unum coacervata conspiciuntur post aram quam Chii dedicarunt, ex adverso ipsius ædis sacræ. (5) Solent autem Naucrati versari venustæ meretrices : nam et hæc, de qua hic sermo habetur, ita celebrata est, ut Græcis omnibus innotuerit Rhodopidis nomen : et post hanc alia, cui nomen Archidica, per Græciam est nobilitata ; minus tamen, quam ista, sermonibus hominum celebrata. Charaxum autem illum, qui Rhodopin servitute liberavit, Mytilenen reversum, multis conviciis Sappho in carminibus insectata est. Sed hæc de Rhodopide hactenus.

CXXXVI. Post Mycerinum, dixerunt sacerdotes, Ægypti regem fuisse Asychin, a quo constructa ad Vulcani templum propylæa orientem solem spectantia ; longe ea pulcerrima et longe maxima. Habent enim omnia quidem propylæa et figuras insculptas, et infinitam ædificiorum varietatem ; hæc autem, omnium maxime. (2) Hoc, aiebant, regnante, quum magna in commerciis esset inopia pecuniæ, legem latam esse Ægyptiis, uti, qui patris cadaver pignori daret, ei æs alienum crederetur : (3) adjectamque ei legem esse hanc, ut, qui dedisset æs alienum, is totius etiam conditorii sepulcralis dominus esset illius qui accepisset : si quis vero, qui illud pignus dedisset, debitum solvere nollet, ei hanc irrogatam esse pœnam, ut nec ipse, quum vita functus esset, in paterno sepulcro aut in alio ullo sepeliatur, nec ei licitum quemquam suorum, qui defunctus esset, sepelire. (4) Superare autem cupientem hunc regem eos qui ante ipsum in Ægypto regnassent, monumentum sui reliquisse pyramidem e lateribus confectam, in qua est inscriptio lapidi insculpta, in hanc sententiam : « Ne me conferens cum lapideis pyramidibus contemnas : tanto enim illas antecello,

τοσοῦτον ὅσον ὁ Ζεὺς τῶν ἄλλων θεῶν· κοντῷ γὰρ ὑποτύπτοντες ἐς λίμνην, ὅ τι πρόσσχοιτο τοῦ πηλοῦ τῷ κοντῷ, τοῦτο συλλέγοντες πλίνθους εἵρυσαν καί με τρόπῳ τοιούτῳ ἐξεποίησαν. » Τοῦτον μὲν τοσαῦτα ἀποδέξασθαι.

CXXXVII. Μετὰ δὲ τοῦτον βασιλεῦσαι ἄνδρα τυφλὸν ἐξ Ἀνύσιος πόλιος, τῷ οὔνομα Ἄνυσιν εἶναι. Ἐπὶ τούτου βασιλεύοντος ἐλάσαι ἐπ' Αἴγυπτον χειρὶ πολλῇ Αἰθιοπάς τε καὶ Σαβακὼν τὸν Αἰθιόπων βασιλέα. (2) Τὸν μὲν δὴ τυφλὸν τοῦτον οἴχεσθαι φεύγοντα ἐς τὰ ἕλεα, τὸν δὲ Αἰθίοπα βασιλεύειν Αἰγύπτου ἐπ' ἔτεα πεντήκοντα, ἐν τοῖσι αὐτὸν τάδε ἀποδέξασθαι· ὅκως τῶν τις Αἰγυπτίων ἁμάρτοι τι, κτείνειν μὲν αὐτῶν οὐδένα ἐθέλειν, τὸν δὲ κατὰ μέγαθος τοῦ ἀδικήματος ἑκάστῳ δικάζειν, ἐπιτάσσοντα χώματα χοῦν πρὸς τῇ ἑωυτῶν πόλι, ὅθεν ἕκαστος ἦν τῶν ἀδικεόντων. (3) Καὶ οὕτω ἔτι αἱ πόλιες ἐγένοντο ὑψηλότεραι· τὸ μὲν γὰρ πρῶτον ἐχώσθησαν ὑπὸ τῶν τὰς διώρυχας ὀρυξάντων ἐπὶ Σεσώστριος βασιλέος, δεύτερα δὲ ἐπὶ τοῦ Αἰθίοπος καὶ κάρτα ὑψηλαὶ ἐγένοντο. (4) Ὑψηλέων δὲ καὶ ἑτέρων τασσομένων ἐν τῇ Αἰγύπτῳ πολίων, ὡς ἐμοὶ δοκέει, μάλιστα ἡ ἐν Βουβάστι πόλις ἐξεχώσθη, ἐν τῇ καὶ ἱρόν ἐστι Βουβάστιος ἀξιαπηγητότατον· μέζω μὲν γὰρ ἄλλα καὶ πολυδαπανώτερά ἐστι ἱρά, ἡδονὴ δ' ἰδέσθαι οὐδὲν τούτου μᾶλλον. Ἡ δὲ Βούβαστις κατ' Ἑλλάδα γλῶσσάν ἐστι Ἄρτεμις.

CXXXVIII. Τὸ δ' ἱρὸν αὐτῆς ὧδε ἔχει. Πλὴν τῆς ἐσοδου τὸ ἄλλο νῆσός ἐστι· ἐκ γὰρ τοῦ Νείλου διώρυχες ἐσέχουσι οὐ συμμίσγουσαι ἀλλήλῃσι, ἀλλ' ἄχρι τῆς ἐσόδου τοῦ ἱροῦ ἑκατέρη ἐσέχει, ἡ μὲν τῇ περιῤῥέουσα, ἡ δὲ τῇ, εὖρος ἑοῦσα ἑκατέρη ἑκατὸν ποδῶν, δένδρεσι κατάσκιος. (2) Τὰ δὲ προπύλαια ὕψος μὲν δέκα ὀργυιέων ἐστί, τύποισι δὲ ἐξαπήχεσι ἐσκευάδαται ἀξίοισι λόγου. Ἐὸν δ' ἐν μέσῃ τῇ πόλι τὸ ἱρὸν κατορᾶται πάντοθεν περιιόντι· ἅτε γὰρ τῆς πόλιος μὲν ἐκκεχωσμένης ὑψοῦ, τοῦ δ' ἱροῦ οὐ κεκινημένου ὡς ἀρχῆθεν ἐποιήθη, ἔσοπτόν ἐστί. (3) Περιθέει δ' αὐτὸ αἱμασιὴ ἐγγεγλυμμένη τύποισι, ἔστι δ' ἔσωθεν ἄλσος δενδρέων μεγίστων πεφυτευμένον περὶ νηὸν μέγαν, ἐν τῷ δὴ τὤγαλμα ἔνι· εὖρος δὲ καὶ μῆκος τοῦ ἱροῦ πάντῃ σταδίου ἐστί. (4) Κατὰ μὲν δὴ τὴν ἔσοδον ἐστρωμένη ἐστὶ ὁδὸς λίθου ἐπὶ σταδίους τρεῖς μάλιστά κῃ, διὰ τῆς ἀγορῆς φέρουσα ἐς τὸ πρὸς ἠῶ, εὖρος δὲ ὡς τεσσέρων πλέθρων· τῇ δὲ καὶ τῇ τῆς ὁδοῦ δένδρεα οὐρανομήκεα πέφυκε· φέρει δ' ἐς Ἑρμέω ἱρόν. Τὸ μὲν δὴ ἱρὸν τοῦτο οὕτω ἔχει.

CXXXIX. Τέλος δὲ τῆς ἀπαλλαγῆς τοῦ Αἰθίοπος ὧδε ἔλεγον γενέσθαι, ὄψιν ἐν τῷ ὕπνῳ τοιήνδε ἰδόντα αὐτὸν οἴχεσθαι φεύγοντα· ἐδόκεέ οἱ ἄνδρα ἐπιστάντα συμβουλεύειν τοὺς ἱρέας τοὺς ἐν Αἰγύπτῳ συλλέξαντα πάντας μέσους διαταμέειν. (2) Ἰδόντα δὲ τὴν ὄψιν ταύτην λέγειν αὐτὸν ὡς πρόφασίν οἱ δοκέοι ταύτην τοὺς θεοὺς προδεικνύναι, ἵνα ἀσεβήσας περὶ τὰ ἱρὰ κακόν τι πρὸς θεῶν ἢ πρὸς ἀνθρώπων λάβοι· οὐκ ὦν ποιήσειν ταῦτα, ἀλλὰ γάρ οἱ ἐξεληλυθέναι τὸν χρόνον ὁκόσον

quanto reliquos deos Juppiter. Nam conto in paludis fundum subacto, quidquid luti conto adhæsit colligentes, inde lateres duxerunt : atque hoc modo me perfecerunt. » Hæc ab illo gesta.

CXXXVII. Post hunc vero regnasse virum cæcum ex Anysi oppido, cui nomen Anysis. Hoc regnante, ingenti hominum manu Ægyptum invasisse Æthiopes et Sabacon, regem Æthiopum. (2) Cæcum igitur hunc fuga se in paludes recepisse, Æthiopemque in Ægypto regnasse annos quinquaginta; intra quos annos gesta ab eo esse hæcce : quoties aliquis Ægyptiorum quidpiam deliquisset, nullum eorum voluisse capite plectere; sed pro ratione delicti sententiam pronunciasse, imperantem ut quisque delinquentium aggerem adgereret ad oppidum unde esset. (3) Atque ita sublimiora etiam facta sunt oppida : etenim primo adgesta fuerat terra ab his, qui regnante Sesostri fossas effoderant; dein iterum sub Æthiope admodum quidem sunt exaltata. (4) Præ cæteris autem oppidis Ægypti, quorum omnium exaltatum est solum, maxime, ut mihi videtur, adgesta terra est ad Bubastin urbem; in qua est etiam templum Bubastidis, memoratu dignissimum. Sunt enim et alia quidem templa ampliora et sumtuosiora; sed adspectu nullum hoc jucundius. Est autem Bubastis, Græcorum sermone, Diana.

CXXXVIII. Cujus templum ita comparatum est. Præter introitum, reliquum totum insula est : fossæ enim ex Nilo adductæ non miscentur altera alteri, sed utraque usque ad introitum pertinet templi; altera ab uno latere, altera ab altero circumfluens; utraque centum pedes patens in latitudinem, arboribus inumbrata. (2) Propylæa ad quadraginta cubitorum altitudinem surgunt, figuris sexcubitalibus memoratu dignis ornata. Quum sit templum in media urbe, undique conspicitur ex toto circuitu : nam quum oppidi solum aggere aggesto sit exaltatum, templum autem, ex quo primum exstructum, non mutatum fuerit, undique conspectui patet. (3) Circumductus est templo murus, figuris insculptis : est autem intus altissimarum arborum lucus, circa ædem magnam plantatus, in quo inest deæ simulacrum. Latitudo et longitudo templi omni ex parte stadium metitur. (4) Ad introitum strata lapide via est trium fere stadiorum longitudine, per forum ferens orientem versus : ferme quadringentos pedes patens in latitudinem, utrimque arboribus consita ad cœlum porrectis; fert autem ad Mercurii templum. Hæc est templi hujus ratio.

CXXXIX. Ad extremum vero Ægypto excessisse aiebant Æthiopem hoc evento : viso eum nocturno territum, fuga se recepisse : visus quippe sibi erat adstantem videre hominem, qui ei suaderet, ut sacerdotes omnes, qui in Ægypto essent, congregaret, et medios discinderet. (2) Hac conspecta visione dixisse eum, videri sibi deos hanc ostendere voluisse occasionem, qua, piaculo in sacra admisso, aut a diis ipsis aut ab hominibus magno malo mulctaretur; se vero hoc facinus non admissurum : sed exiisse tempus, quo exacto, postquam interim in Ægypto regnasset, discedeu-

κεχρῆσθαι ἄρξαντα Αἰγύπτου ἐκχωρήσειν. (3) Ἐν γὰρ τῇ Αἰθιοπίῃ ἐόντι αὐτῷ τὰ μαντήϊα, τοῖσι χρέονται Αἰθίοπες, ἀνεῖλε ὡς δέοι αὐτὸν Αἰγύπτου βασιλεῦσαι ἔτεα πεντήκοντα. Ὡς ὦν ὁ χρόνος οὗτος ἐξήϊε καὶ αὐτὸν ἡ ὄψις τοῦ ἐνυπνίου ἐπετάρασσε, ἑκὼν ἀπαλλάσσεται ἐκ τῆς Αἰγύπτου ὁ Σαβακώς.

CXL. Ὡς δ' ἄρα οἴχεσθαι τὸν Αἰθίοπα ἐξ Αἰγύπτου, αὖτις τὸν τυφλὸν ἄρχειν ἐκ τῶν ἑλέων ἀπικόμενον, ἔνθα πεντήκοντα ἔτεα νῆσον χώσας σποδῷ τε καὶ γῇ οἴκεε· ὅκως γάρ οἱ φοιτᾶν σῖτον ἄγοντας Αἰγυπτίων ὡς ἑκάστοισι προστετάχθαι σιγῇ τοῦ Αἰθίοπος, ἐς τὴν δωρεὴν κελεύειν σφέας καὶ σποδὸν κομίζειν. (2) Ταύτην τὴν νῆσον οὐδεὶς πρότερον ἐδυνάσθη Ἀμυρταίου ἐξευρέειν, ἀλλ' ἔτεα ἐπὶ πλέω ἢ ἑπτακόσια οὐκ οἷοί τε ἔσαν αὐτὴν ἀνευρέειν οἱ πρότεροι γενόμενοι βασιλέες Ἀμυρταίου. Οὔνομα δὲ ταύτῃ τῇ νήσῳ Ἐλβὼ, μέγαθος δ' ἐστὶ πάντῃ δέκα σταδίων.

CXLI. Μετὰ δὲ τοῦτον βασιλεῦσαι τὸν ἱρέα τοῦ Ἡφαίστου, τῷ οὔνομα εἶναι Σεθών· τὸν ἐν ἀλογίῃσι ἔχειν παραχρησάμενον τῶν μαχίμων Αἰγυπτίων ὡς οὐδὲν δεησόμενον αὐτῶν, ἄλλα τε δὴ ἄτιμα ποιεῦντα ἐς αὐτοὺς, καί σφεας ἀπελέσθαι τὰς ἀρούρας, τοῖσι ἐπὶ τῶν προτέρων βασιλέων δεδόσθαι ἐξαιρέτους ἑκάστῳ δυώδεκα ἀρούρας. (2) Μετὰ δὲ ἐπ' Αἰγυπτον ἐλαύνειν στρατὸν μέγαν Σαναχάριβον βασιλέα Ἀραβίων τε καὶ Ἀσσυρίων· οὐκ ὦν δὴ ἐθέλειν τοὺς μαχίμους τῶν Αἰγυπτίων βωθέειν. (3) Τὸν δὲ ἱρέα ἐς ἀπορίην ἀπειλημένον ἐσελθόντα ἐς τὸ μέγαρον πρὸς τῶγαλμα ἀποδύρεσθαι οἷα κινδυνεύει παθέειν· ὀλοφυρόμενον δ' ἄρα μιν ἐπελθεῖν ὕπνον, καί οἱ δόξαι ἐν τῇ ὄψι ἐπιστάντα τὸν θεὸν θαρσύνειν ὡς οὐδὲν πείσεται ἄχαρι ἀντιάζων τὸν Ἀραβίων στρατόν· αὐτὸς γάρ οἱ πέμψειν τιμωρούς. (4) Τούτοισι δή μιν πίσυνον τοῖσι ἐνυπνίοισι, παραλαβόντα Αἰγυπτίων τοὺς βουλομένους οἱ ἕπεσθαι, στρατοπεδεύσασθαι ἐν Πηλουσίῳ (ταύτῃ γάρ εἰσι αἱ ἐσβολαί)· ἕπεσθαι δέ οἱ τῶν μαχίμων μὲν οὐδένα ἀνδρῶν, καπήλους δὲ καὶ χειρώνακτας καὶ ἀγοραίους ἀνθρώπους. (5) Ἐνθαῦτα ἀπικομένου, τοῖσι ἐναντίοισι αὐτοῖσι ἐπιχυθέντας νυκτὸς μῦς ἀρουραίους κατὰ μὲν φαγέειν τοὺς φαρετρεῶνας αὐτῶν, κατὰ δὲ τὰ τόξα, πρὸς δὲ τῶν ἀσπίδων τὰ ὄχανα, ὥστε τῇ ὑστεραίῃ φευγόντων σφέων γυμνῶν ὅπλων πεσέειν πολλούς. (6) Καὶ νῦν οὗτος ὁ βασιλεὺς ἕστηκε ἐν τῷ ἱρῷ τοῦ Ἡφαίστου λίθινος, ἔχων ἐπὶ τῆς χειρὸς μῦν, λέγων διὰ γραμμάτων τάδε, « ἐς ἐμέ τις ὁρέων εὐσεβὴς ἔστω. »

CXLII. Ἐς μὲν τοσόνδε τοῦ λόγου Αἰγύπτιοί τε καὶ οἱ ἱρέες ἔλεγον, ἀποδεικνύντες ἀπὸ τοῦ πρώτου βασιλέος ἐς τοῦ Ἡφαίστου τὸν ἱρέα τοῦτον τὸν τελευταῖον βασιλεύσαντα μίαν τε καὶ τεσσεράκοντα καὶ τριηκοσίας ἀνθρώπων γενεὰς γενομένας, καὶ ἐν ταύτῃσι ἀρχιρέας καὶ βασιλέας ἑκατέρους τοσούτους γενομένους. (2) Καίτοι τριηκόσιαι μὲν ἀνδρῶν γενεαὶ δυνέαται μύρια ἔτεα· γενεαὶ γὰρ τρεῖς ἀνδρῶν ἑκατὸν ἔτεα ἐστί· μιῆς δὲ καὶ τεσσεράκοντα ἔτι τῶν ἐπιλοίπων γενεέων, αἱ

dum sibi esset. (3) Etenim, quum in Æthiopia etiam tum fuisset, oracula, quibus utuntur Æthiopes, edixerant, regnare eum in Ægypto debere quinquaginta annos. Itaque finito hoc tempore, territus etiam nocturno viso, sponte ex Ægypto discessit Sabacos.

CXL. Post cujus discessum regnasse iterum dixerunt cæcum illum, redeuntem e paludibus, ubi quinquaginta annos insulam habitaverat, quam aggere ex cinere et terra adgesto circumdederat. Quoties enim advenissent Ægyptii, prout quibusque imperatum fuisset, inscio Æthiope frumentum ei adferentes, jussisse eum hos ut cum reliquo dono etiam cinerem sibi adferrent. (2) Hanc insulam nemo ante Amyrtæum potuit invenire : sed per septingentos annos et amplius anquisiverant eam superiores Amyrtæo reges, nec reperire potuerant. Est autem nomen insulæ Elbo : magnitudo decem stadiorum quaquaversum.

CXLI. Post istum regnasse sacerdotem Vulcani, cui nomen Sethon. Hunc neglexisse nec ullo loco habuisse bellatorum ordinem, quasi nihil his indigeret : et quum aliis rebus ignominiose eos tractasse, tum ademisse eis jugera, quæ sub prioribus regibus eximia cuique duodecim fuerant attributa. (2) Deinde vero, quum adversus Ægyptum ingentem exercitum duceret Sanacharibus, Arabum et Assyriorum rex, noluisse pugnatum exire bellatores Ægyptiorum. (3) Et sacerdotem, ad consilii inopiam redactum, ædem dei ingressum, apud simulacrum esse lamentatum, quantæ calamitatis periculum adiret. Lamentanti obrepsisse somnum, et per quietem visum ei esse, adstantem deum jussisse eum confidere, quippe nihil incommodi passurum, si Arabico exercitui obviam isset : ipsum enim deum auxiliares ei copias missurum. (4) Hoc insomnio fretum, adsumtis quicumque ex Ægyptiis sequi eum voluissent, castra Pelusii posuisse, ubi est in Ægyptum introitus : ex bellatorum vero ordine neminem signa ejus esse secutum; nonnisi institores et operarios et ex foro homines secum habuisse. (5) Eo postquam venisset, noctu sola hostium castra invasisse effusam murium agrestium multitudinem, qui illorum pharetras et arcus et scutorum ansas corrosissent; unde factum, ut postridie, quum armis nudati profugerent hostes, magna eorum multitudo concideretur. (6) Atque etiam nunc Vulcani in templo stat regis hujus statua lapidea, murem manu tenentis, cum inscriptione in hanc sententiam : « Me intuens, deos colere disce! »

CXLII. Adhuc ea exposui, quæ ab Ægyptiis et præsertim a sacerdotibus eorum narrantur; qui a primo rege usque ad hunc postremo regnantem Vulcani sacerdotem adfirmant generationes hominum fuisse trecentas quadraginta et unam, intraque eas totidem sacerdotes totidemque reges fuisse. (2) Atqui trecentæ hominum generationes efficiunt decem annorum millia, quandoquidem tres hominum ætates centum annos conficiunt. Una autem et qua-

ἐπῆσαν τῇσι τριηκοσίῃσι, ἐστὶ τεσσεράκοντα καὶ τριηκόσια καὶ χίλια ἔτεα. (3) Οὕτω ἐν μυρίοισί τε ἔτεσι καὶ χιλίοισι καὶ πρὸς τριηκοσίοισί τε καὶ τεσσεράκοντα ἔλεγον θεὸν ἀνθρωποειδέα οὐδένα γενέσθαι· οὐ μὲν οὐδὲ πρότερον, οὐδὲ ὕστερον ἐν τοῖσι ὑπολοίποισι Αἰγύπτου βασιλεῦσι γενομένοισι ἔλεγον τοιοῦτο οὐδέν. (4) Ἐν τοίνυν τούτῳ τῷ χρόνῳ τετράκις ἔλεγον ἐξ ἠθέων τὸν ἥλιον ἀνατεῖλαι· ἔνθα τε νῦν καταδύεται, ἐνθεῦτεν δὶς ἐπανατεῖλαι, καὶ ἔνθεν νῦν ἀνατέλλει, ἐνθαῦτα δὶς καταδῦναι· καὶ οὐδὲν τῶν κατ' Αἴγυπτον ὑπὸ ταῦτα ἑτεροιωθῆναι, οὔτε τὰ ἐκ τῆς γῆς οὔτε τὰ ἐκ τοῦ ποταμοῦ σφι γινόμενα, οὔτε τὰ ἀμφὶ νούσους οὔτε τὰ κατὰ τοὺς θανάτους.

CXLIII. Πρότερον δὲ Ἑκαταίῳ τῷ λογοποιῷ ἐν Θήβῃσι γενεηλογήσαντί τε ἑωυτὸν καὶ ἀναδήσαντι τὴν πατριὴν ἐς ἑκκαιδέκατον θεὸν ἐποίησαν οἱ ἱρέες τοῦ Διὸς οἷόν τι καὶ ἐμοὶ οὐ γενεηλογήσαντι ἐμεωυτόν· ἐσαγαγόντες ἐς τὸ μέγαρον ἔσω ἐὸν μέγα ἐξηρίθμεον δεικνύντες κολοσσοὺς ξυλίνους τοσούτους ὅσους περ εἶπαν· ἀρχιρεὺς γὰρ ἕκαστος αὐτόθι ἵσταται ἐπὶ τῆς ἑωυτοῦ ζόης εἰκόνα ἑωυτοῦ· (2) ἀριθμέοντες ὦν καὶ δεικνύντες οἱ ἱρέες ἐμοὶ ἀπεδείκνυσαν παῖδα πατρὸς ἑωυτῶν ἕκαστον ἐόντα, ἐκ τοῦ ἄγχιστα ἀποθανόντος τῆς εἰκόνος διεξιόντες διὰ πασέων, ἐς ὃ ἀπέδεξαν ἁπάσας αὐτάς. (3) Ἑκαταίῳ δὲ γενεηλογήσαντι ἑωυτὸν καὶ ἀναδήσαντι ἐς ἑκκαιδέκατον θεὸν ἀντεγενεηλόγησαν ἐπὶ τῇ ἀριθμήσι, οὐ δεκόμενοι παρ' αὐτοῦ ἀπὸ θεοῦ γενέσθαι ἄνθρωπον· (4) ἀντεγενεηλόγησαν δὲ ὧδε, φάμενοι ἕκαστον τῶν κολοσσῶν πίρωμιν ἐκ πιρώμιος γεγονέναι, ἐς ὃ τοὺς πέντε καὶ τεσσεράκοντα καὶ τριηκοσίους ἀπέδεξαν κολοσσοὺς πίρωμιν ἐκ πιρώμιος γενόμενον, καὶ οὔτε ἐς θεὸν οὔτε ἐς ἥρωα ἀνέδησαν αὐτούς. Πίρωμις δέ ἐστι κατ' Ἑλλάδα γλῶσσαν καλὸς κἀγαθός.

CXLIV. Ἤδη ὦν τῶν αἱ εἰκόνες ἦσαν, τοιούτους ἀπεδείκνυσάν σφεας πάντας ἐόντας, θεῶν δὲ πολλὸν ἀπαλλαγμένους. Τὸ δὲ πρότερον τῶν ἀνδρῶν τούτων θεοὺς εἶναι τοὺς ἐν Αἰγύπτῳ ἄρχοντας, οἰκέοντας ἅμα τοῖσι ἀνθρώποισι, καὶ τούτων αἰεὶ ἕνα τὸν κρατέοντα εἶναι· ὕστατον δὲ αὐτῆς βασιλεῦσαι Ὧρον τὸν Ὀσίριος παῖδα, τὸν Ἀπόλλωνα Ἕλληνες ὀνομάζουσι· τοῦτον καταπαύσαντα Τυφῶνα βασιλεῦσαι ὕστατον Αἰγύπτου. Ὄσιρις δέ ἐστι Διόνυσος κατ' Ἑλλάδα γλῶσσαν.

CXLV. Ἐν Ἕλλησι μέν νυν νεώτατοι τῶν θεῶν νομίζονται εἶναι Ἡρακλέης τε καὶ Διόνυσος καὶ Πάν, παρ' Αἰγυπτίοισι δὲ Πὰν μὲν ἀρχαιότατος καὶ τῶν ὀκτὼ τῶν πρώτων λεγομένων θεῶν, Ἡρακλέης δὲ τῶν δευτέρων τῶν δυώδεκα λεγομένων εἶναι, Διόνυσος δὲ τῶν τρίτων, οἳ ἐκ τῶν δυώδεκα θεῶν ἐγένοντο. (2) Ἡρακλεῖ μὲν δὴ ὅσα αὐτοὶ Αἰγύπτιοί φασι εἶναι ἔτεα ἐς Ἄμασιν βασιλέα, δεδήλωταί μοι πρόσθε· Πανὶ δὲ ἔτι τούτων πλέονα λέγεται εἶναι, Διονύσῳ δ' ἐλάχιστα τούτων, καὶ τούτῳ πεντακισχίλια καὶ μύρια λογίζονται εἶναι ἐς Ἄμασιν βασιλέα. (3) Καὶ ταῦτα Αἰγύπτιοι ἀτρεκέως φασὶ ἐπίστασθαι, αἰεί τε λογιζόμενοι καὶ

draginta reliquæ ætates, quæ supra trecentas erant, colligunt annos mille trecentos et quadraginta. (3) Itaque intra undecies mille trecentos et quadraginta annos dixerunt deum nullum sub hominis forma exstitisse : atque etiam nec antea, nec postea, in reliquis Ægypti regibus, tale quidquam fuisse. (4) Intra vero illud temporis spatium, dixerunt, solem quater extra suam sedem ortum esse; et, ubi nunc occidit, inde bis esse ortum; unde nunc oritur, ibi bis occidisse : et inter hæc tamen nihil eorum, quæ in Ægypto esse consuerunt, fuisse mutatum, neque quod ad terræ proventus attinet, nec quod ad ea quæ fluvius ipsis largitur, nec quod ad morbos, nec quod ad mortalitatem.

CXLIII. Atque ante me Hecatæo, historiarum scriptori, Thebis originem generis sui recensenti, illamque ad deum tamquam decimum sextum progenitorem referenti, idem fecerunt sacerdotes Jovis, quod mihi, genus meum non recensenti. In ædem amplam me introducentes, monstrabant numerabantque colossos ligneos tot quot dixerant illi : namque quisque summus sacerdos, dum vivit, imaginem suam ibi ponit. (2) Numerantes igitur monstrantesque mihi hasce imagines, incipiendo ab eo qui proxime mortuus erat, sacerdotes confirmarunt mihi, unumquemque esse filium alterius, patrique successisse; atque ita omnes recensuere imagines, donec mihi cunctas demonstrassent. (3) Hecatæo vero genus suum recensenti, originemque suam a sexto decimo deo progenitore repetenti, horum genealogiam, postquam omnes enumeraverant, opposuere; non admittentes quod ille adfirmabat, ex deo generari hominem : (4) opposuerunt autem ita, ut dicerent, unumquemque horum esse piromin, ex piromi natum, neque a deo aliquo, aut a semideo, genus illorum repetentes. Piromis autem Græco sermone significat virum honestum et generosum.

CXLIV. Igitur hos, quorum illæ sunt imagines, omnes fuisse tales adseverarunt, multum vero a diis diversos. Ante homines autem istos, dixere, deos fuisse qui in Ægypto regnassent, simulque cum hominibus illam habitassent; et ex his semper unum fuisse, qui summum imperium teneret. Postremum horum in Ægypto regnasse Orum, Osiridis filium, quem Apollinem Græci nominant : hunc finem fecisse Typhonis potentiæ, postremumque ex deorum numero regem fuisse Ægypti. Osiris autem, Græcorum sermone, Dionysos (sive Bacchus) est.

CXLV. Jam apud Græcos quidem novissimi deorum censentur esse Hercules et Bacchus et Pan : apud Ægyptios vero Pan antiquissimus, et ex octo primorum, qui dicuntur, deorum numero; Hercules vero ex numero duodecim illorum, qui secundi nominantur; Bacchus denique ex tertiorum numero, qui a duodecim diis generati sunt. (2) Quot annos effluxisse dicant Ægyptii ab Hercule usque ad Amasin regem, supra memoravi : a Pane vero ad Amasin plures etiam numerantur anni; a Baccho autem minimus annorum numerus : atqui ab hoc, usque ad Amasin regem, numerantur quindecim annorum millia. (3) Et hæc se accurate nosse contendunt Ægyptii, quippe constanter nume-

αἰεὶ ἀπογραφόμενοι τὰ ἔτεα. Διονύσῳ μέν νυν τῷ ἐκ Σεμέλης τῆς Κάδμου λεγομένῳ γενέσθαι κατὰ ἑξήκοντα ἔτεα καὶ χίλια μάλιστά ἐστι ἐς ἐμέ, Ἡρακλέϊ δὲ τῷ Ἀλκμήνης κατὰ εἰνακόσια ἔτεα· Πανὶ δὲ τῷ Πηνελόπης (ἐκ ταύτης γὰρ καὶ Ἑρμέω λέγεται γενέσθαι ὑπ' Ἑλλήνων ὁ Πάν) ἐλάσσω ἑτεά ἐστι τῶν Τρωϊκῶν, κατὰ τὰ ὀκτακόσια μάλιστα ἐς ἐμέ.

CXLVI. Τούτων ὦν ἀμφοτέρων πάρεστι χρᾶσθαι τοῖσί τις πείσεται λεγομένοισι μᾶλλον· ἐμοὶ δ' ὦν ἡ περὶ αὐτῶν γνώμη ἀποδέδεκται. (2) Εἰ μὲν γὰρ φανεροί τε ἐγένοντο καὶ κατεγήρασαν καὶ οὗτοι ἐν τῇ Ἑλλάδι, κατά περ Ἡρακλέης ὁ ἐξ Ἀμφιτρύωνος γενόμενος, καὶ δὴ καὶ Διόνυσος ὁ ἐκ Σεμέλης καὶ Πὰν ὁ ἐκ Πηνελόπης γενόμενος, ἔφη ἄν τις καὶ τούτους ἄλλους γενομένους ἄνδρας ἔχειν τὰ ἐκείνων οὐνόματα τῶν προγεγονότων θεῶν· (3) νῦν δὲ Διόνυσόν τε λέγουσι οἱ Ἕλληνες ὡς αὐτίκα γενόμενον ἐς τὸν μηρὸν ἐνερράψατο Ζεὺς καὶ ἤνεικε ἐς Νῦσαν τὴν ὑπὲρ Αἰγύπτου ἐοῦσαν ἐν τῇ Αἰθιοπίῃ, καὶ Πανός γε πέρι οὐκ ἔχουσι εἶπαι ὅκη ἐτράπετο γενόμενος. (4) Δῆλα ὦν μοι γέγονε ὅτι ὕστερον ἐπύθοντο οἱ Ἕλληνες τούτων τὰ οὐνόματα ἢ τὰ τῶν ἄλλων θεῶν. Ἀπ' οὗ δὲ ἐπύθοντο χρόνου, ἀπὸ τούτου γενεηλογέουσι αὐτῶν τὴν γένεσιν.

CXLVII. Ταῦτα μέν νυν αὐτοὶ Αἰγύπτιοι λέγουσι· ὅσα δὲ οἵ τε ἄλλοι ἄνθρωποι καὶ Αἰγύπτιοι λέγουσι ὁμολογέοντες τοῖσι ἄλλοισι κατὰ ταύτην τὴν χώρην γενέσθαι, ταῦτ' ἤδη φράσω· προσέσται δέ τι αὐτοῖσι καὶ τῆς ἐμῆς ὄψιος. (2) Ἐλευθερωθέντες Αἰγύπτιοι μετὰ τὸν ἱρέα τοῦ Ἡφαίστου βασιλεύσαντα (οὐδένα γὰρ χρόνον οἷοί τε ἔσαν ἄνευ βασιλέος διαιτᾶσθαι) ἐστήσαντο δυώδεκα βασιλέας, δυώδεκα μοίρας δασάμενοι Αἴγυπτον πᾶσαν. (3) Οὗτοι ἐπιγαμίας ποιησάμενοι ἐβασίλευον νόμοισι τοισίδε χρεώμενοι, μήτε καταιρέειν ἀλλήλους μήτε πλέον τι δίζησθαι ἔχειν τὸν ἕτερον τοῦ ἑτέρου, εἶναί τε φίλους τὰ μάλιστα. (4) Τῶνδε δὲ εἵνεκεν τοὺς νόμους τούτους ἐποιεῦντο, ἰσχυρῶς περιστέλλοντες· ἐκέχρηστό σφι κατ' ἀρχὰς αὐτίκα ἐνισταμένοισι ἐς τὰς τυραννίδας τὸν χαλκέῃ φιάλῃ σπείσαντα αὐτῶν ἐν τῷ ἱρῷ τοῦ Ἡφαίστου, τοῦτον ἁπάσης βασιλεύσειν Αἰγύπτου· ἐς γὰρ δὴ τὰ πάντα ἱρὰ συνελέγοντο.

CXLVIII. Καὶ δή σφι μνημόσυνα ἔδοξε λιπέσθαι κοινῇ· δόξαν δέ σφι ἐποιήσαντο λαβύρινθον, ὀλίγον ὑπὲρ τῆς λίμνης τῆς Μοίριος κατὰ Κροκοδείλων καλευμένην πόλιν μάλιστά κη κείμενον· τὸν ἐγὼ ἤδη εἶδον λόγου μέζω. (2) Εἰ γάρ τις τὰ ἐξ Ἑλλήνων τείχεά τε καὶ ἔργων ἀπόδεξιν συλλογίσαιτο, ἐλάσσονος πόνου τε ἂν καὶ δαπάνης φανείη ἐόντα τοῦ λαβυρίνθου τούτου. Καίτοι ἀξιόλογός γε καὶ ὁ ἐν Ἐφέσῳ ἐστὶ νηὸς καὶ ὁ ἐν Σάμῳ. (3) Ἦσαν μέν νυν καὶ αἱ πυραμίδες λόγου μέζονες, καὶ πολλῶν ἑκάστη αὐτέων Ἑλληνικῶν ἔργων καὶ μεγάλων ἀνταξίη· ὁ δὲ δὴ λαβύρινθος καὶ τὰς πυραμίδας ὑπερβάλλει. (4) Τοῦ γὰρ δυώδεκα μέν εἰσι αὐλαὶ κατάστεγοι, ἀντίπυλοι ἀλλήλῃσι, ἓξ μὲν πρὸς βορέην, ἓξ δὲ πρὸς νότον τετραμμέναι, συνεχέες· τοῖχος δὲ ἔξωθεν

rum iniisse, et scripto consignasse annos. Atqui a Baccho, qui Semele natus perhibetur, Cadmi filia, ad meam ætatem, circiter mille et sexaginta admodum anni sunt; ab Hercule vero, Alcmenæ filio, nongenti plus minus; a Pane vero, Penelopæ filio (ex hac enim et Mercurio prognatus Pan perhibetur a Græcis), minor etiam annorum numerus quam a bello Trojano, anni circiter octingenti admodum, ad meam usque ætatem.

CXLVI. Ex duabus igitur, quas dixi, rationibus utatur quisque ea, quæ probabilior quam altera ipsi visa fuerit: equidem, quæ mea de his sententia sit, declaravi. (2) Quod si enim et isti olim in Græcia conspicui fuissent, ibique consenuissent, quemadmodum Hercules Amphitryone genitus, et Bacchus Semeles filius, et Pan ex Penelope natus; dicere quispiam etiam posset, hosce alios *posteriores et illorum cognomines*, quum homines fuissent, nomina gessisse priscorum istorum deorum. (3) Nunc vero, quod ad Bacchum attinet, dicunt Græci, simulatque natus fuisset, ab Jove insutum esse femori, et Nysam deportatum, quæ supra Ægyptum est in Æthiopia; de Pane vero, quonam delatus sit a partu, ne habent quidem quod dicant. (4) Ex quo mihi manifestum factum est, Græcos deorum horum nomina posterius, quam reliquorum deorum, cognovisse; ab illo autem tempore, quo eos primum cognoverunt, genus eorum et nativitatem repetiisse.

CXLVII. Atque ista quidem dicunt soli Ægyptii. Nunc vero, quæ et alii homines, et Ægyptii ipsi, illis consentientes, memorant gesta in hac regione esse, ea exponere jam adgredior: inerunt autem his etiam nonnulla quæ ego ipse vidi. (2) Post sacerdotis Vulcani regnum libertatem adepti Ægyptii, quum nullo tempore sine regibus vivere possent, duodecim reges constituerunt, universa Ægypto in duodecim partes distributa. (3) Hi, contractis inter se affinitatibus, hisque constitutis legibus regnabant, ut nullus alterum opprimeret, nec plus alter altero cuperet habere, essentque arctissima amicitia inter se juncti. (4) Leges autem istas et initio constituerant et magno studio tuebantur hac caussa, quod in ipso statim initio, quum regna adgrederentur, edixerat illis oraculum: qui ex illorum numero ænea phiala libaverit in Vulcani templo, eum totius Ægypti regno potiturum. Namque in omnibus templis conveniebant.

CXLVIII. Monumentum etiam commune relinquere decreverunt; ex eorumque decreto ædificatus est Labyrinthus, paulo supra Mœridis lacum, ex adverso oppidi quod a Crocodilis nomen habet: quem ego vidi fama etiam majorem. (2) Si quis enim ædificia omnia atque opera a Græcis perfecta animo comprehenderit, reperientur illa et labore et sumtu inferiora hoc labyrintho; quamvis memorabile utique sit Ephesi templum, itemque illud quod Sami est. (3) Et erant quidem etiam pyramides opera famam superantia, et earum quælibet multis eisque magnis Græcorum operibus simul sumtis æquiparanda: sed labyrinthus nimirum pyramides etiam superat. (4) Habet enim duodecim aulas tectis instructas, portis sibi mutuo obversis, sex ad septentrionem, sex ad meridiem spectantes, omnes inter se

ὁ αὐτός σφεας περιέργει. (5) Οἰκήματα δ' ἔνεστι διπλόα, τὰ μὲν ὑπόγαια, τὰ δὲ μετέωρα ἐπ' ἐκείνοισι, τρισχίλια ἀριθμὸν, πεντακοσίων καὶ χιλίων ἑκάτερα. (6) Τὰ μέν νυν μετέωρα τῶν οἰκημάτων αὐτοί τε ὡρέομεν διεξιόντες καὶ αὐτοὶ θηησάμενοι λέγομεν, τὰ δὲ αὐτῶν ὑπόγαια λόγοισι ἐπυνθανόμεθα· οἱ γὰρ ἐπεστεῶτες τῶν Αἰγυπτίων δεικνύναι αὐτὰ οὐδαμῶς ἤθελον, φάμενοι θήκας αὐτόθι εἶναι τῶν τε ἀρχὴν τὸν λαβύρινθον τοῦτον οἰκοδομησαμένων βασιλέων καὶ τῶν ἱρῶν κροκοδείλων. (7) Οὕτω τῶν μὲν κάτω πέρι οἰκημάτων ἀκοῇ παραλαβόντες λέγομεν, τὰ δὲ ἄνω μέζονα ἀνθρωπηίων ἔργων αὐτοὶ ὡρέομεν· αἵ τε γὰρ ἔξοδοι διὰ τῶν στεγέων καὶ οἱ ἑλιγμοὶ διὰ τῶν αὐλέων ἐόντες ποικιλώτατοι θῶμα μυρίον παρείχοντο ἔξ αὐλῆς τε ἐς τὰ οἰκήματα διεξιοῦσι καὶ ἐκ τῶν οἰκημάτων ἐς παστάδας, ἐς στέγας τε ἄλλας ἐκ τῶν παστάδων καὶ ἐς αὐλὰς ἄλλας ἐκ τῶν οἰκημάτων. (8) Ὀροφὴ δὲ πάντων τούτων λιθίνη κατά περ οἱ τοῖχοι, οἱ δὲ τοῖχοι τύπων ἐγγεγλυμμένων πλέοι, αὐλὴ δὲ ἑκάστη περίστυλος λίθου λευκοῦ ἁρμοσμένου τὰ μάλιστα. Τῆς δὲ γωνίης τελευτῶντος τοῦ λαβυρίνθου ἔχεται πυραμὶς τεσσερακοντόργυιος, ἐν τῇ ζῷα μεγάλα ἐγγέγλυπται· ὁδὸς δ' ἐς αὐτὴν ὑπὸ γῆν πεποίηται.

CXLIX. Τοῦ δὲ λαβυρίνθου τούτου ἐόντος τοιούτου, θῶμα ἔτι μέζον παρέχεται ἡ Μοίριος καλευμένη λίμνη, παρ' ἣν ὁ λαβύρινθος οὗτος οἰκοδόμηται· τῆς τὸ περίμετρον τῆς περιόδου εἰσὶ στάδιοι ἑξακόσιοι καὶ τρισχίλιοι, σχοίνων ἑξήκοντα ἐόντων, ἴσοι καὶ αὐτῆς Αἰγύπτου τὸ παρὰ θάλασσαν. (2) Κέεται δὲ μακρὴ ἡ λίμνη πρὸς βορέην τε καὶ νότον, ἐοῦσα βάθος, τῇ βαθυτάτη αὐτὴ ἑωυτῆς, πεντηκοντόργυιος. Ὅτι δὲ χειροποίητός ἐστι καὶ ὀρυκτὴ, αὐτὴ δηλοῖ· ἐν γὰρ μέσῃ τῇ λίμνῃ μάλιστά κῃ ἑστᾶσι δύο πυραμίδες, τοῦ ὕδατος ὑπερέχουσαι πεντήκοντα ὀργυιὰς ἑκατέρη, καὶ τὸ κατ' ὕδατος οἰκοδόμηται ἕτερον τοσοῦτο, καὶ ἐπ' ἀμφοτέρῃσι ἕπεστι κολοσσὸς λίθινος κατήμενος ἐν θρόνῳ. (3) Οὕτω αἱ μὲν πυραμίδες εἰσὶ ἑκατὸν ὀργυιέων, αἱ δ' ἑκατὸν ὀργυιαὶ δίκαιαί εἰσι στάδιον ἐξάπλεθρον, ἐξαπέδου μὲν τῆς ὀργυιῆς μετρεομένης καὶ τετραπήχεος, τῶν ποδῶν μὲν τετραπαλαίστων ἐόντων, τοῦ δὲ πήχεος ἑξαπαλαίστου. (4) Τὸ δὲ ὕδωρ τὸ ἐν τῇ λίμνῃ αὐτιγενὲς μὲν οὐκ ἔστι (ἄνυδρος γὰρ δὴ δεινῶς ἐστὶ ταύτῃ), ἐκ τοῦ Νείλου δὲ κατὰ διώρυχα ἐσῆκται, καὶ ἐξ μὲν μῆνας ἔσω ῥέει ἐς τὴν λίμνην, ἐξ δὲ μῆνας ἔξω ἐς τὸν Νεῖλον αὖτις. Καὶ ἐπεὰν μὲν ἐκρέῃ ἔξω, ἡ δὲ τότε τοὺς ἐξ μῆνας ἐς τὸ βασιλήϊον καταβάλλει ἐπ' ἡμέρην ἑκάστην τάλαντον ἀργυρίου ἐκ τῶν ἰχθύων, ἐπεὰν δὲ ἐσίῃ τὸ ὕδωρ ἐς αὐτὴν, εἴκοσι μνέας.

CL. Ἔλεγον δὲ οἱ ἐπιχώριοι καὶ ὡς ἐς τὴν Σύρτιν τὴν ἐν Λιβύῃ ἐκδιδοῖ ἡ λίμνη αὕτη ὑπὸ γῆν, τετραμμένη τὸ πρὸς ἑσπέρην ἐς τὴν μεσόγαιαν παρὰ τὸ ὄρος τὸ ὑπὲρ Μέμφιος. (2) Ἐπείτε δὲ τοῦ ὀρύγματος τούτου οὐκ ὥρεον τὸν χοῦν οὐδαμοῦ ἐόντα, ἐπιμελὲς γὰρ δή μοι ἦν, εἰρόμην τοὺς ἄγχιστα οἰκέοντας τῆς λίμνης

contiguas: unus autem murus cunctas extrinsecus includit. (5) Conclavia sunt duplicia, alia subterranea, alia super his in sublimi, numero ter mille; cujusque generis mille et quingenta. (6) Quæ supra terram sunt conclavia, ipsi vidimus et transiimus, et oculis contemplati de his loquimur: quæ vero sub terra sunt, auditu cognovimus: nam Ægyptii his præpositi nullo pacto monstrare ea nobis voluerunt, dicentes esse ibi sepulcra regum, qui labyrinthum ædificarunt, et sacrorum crocodilorum. (7) Igitur de his subterraneis conclavibus non nisi audita referimus: superiora vero ipsi vidimus, humanis operibus majora. Nam transitus per ædificia, et anfractus per aulas, incredibili varietate infinitam nobis admirationem exprimebant, ex una aula in conclavia transeuntibus, et ex conclavibus in atria, rursusque in alia ædificia ex atriis, et in alias aulas e conclavibus. (8) Lacunar conclavium omnium lapideum, perinde ac parietes: parietes vero insculptis figuris pleni. Aula quælibet peristylio circumdata, lapide albo arctissime juncto. Proxime angulum, in quo desinit labyrinthus, stat pyramis ducentorum quadraginta pedum, cui grandes insculptæ sunt figuræ: introitus in illam sub terra constructus est.

CXLIX. Talis quum sit hic labyrinthus, majore etiam in admiratione esse debet Mœridis lacus qui vocatur, juxta quem constructus est hic labyrinthus. Circuitus hujus lacus ter mille sexcenta stadia metitur; sunt enim sexaginta schœni: mensura æqualis ei quam colligit universa Ægypti ora secundum mare porrecta. (2) Lacus a parte boreali et australi oblongo situ est: altitudo, ubi maxime, quinquaginta ulnarum, quas *orgyias* Græci vocant. Esse autem manu factum effossumque, ipse ostendit. Stant enim in medio fere lacu duæ pyramides, quinquaginta orgyias utraque eminens ex aqua, et tantumdem sub aqua constructum est: super utraque collocatus est colossus lapideus, in sella residens. (3) Ita sunt pyramides hæ orgyiarum centum: centum autem orgyiæ adcurate efficiunt stadium, sex plethris (*sive* jugeris) constans; quum orgyia metiatur sex pedes, sive quattuor cubitos; pes autem quattuor constet palmis, cubitus sex palmis. (4) Aqua autem hujus lacus nativa non est: est enim prorsus arida illa regio: sed e Nilo per canalem eo derivata est aqua; et per sex quidem menses influit in lacum, tum sex mensibus rursus effluit in Nilum. Quo tempore effluit, per illos sex menses quotidie talentum argenti ex piscibus redit in regis ærarium; quum vero influit aqua in lacum, viginti minæ.

CL. Dicunt horum locorum incolæ, exitum sub terra in Syrtin, quæ in Libya est, habere hunc lacum, qua parte versus occidentem in mediterranea Libyæ spectat juxta montem qui supra Memphin est. (2) Quum vero terram ab ampla hac effossione egestam, curiose quidem circumspiciens, nusquam viderim; quæsivi ex his qui proxime lacum adco-

ὤκου εἴη ὁ χοῦς ὁ ἐξορυχθείς. (3) Οἱ δὲ ἔφρασάν μοι ἵνα ἐξεφορήθη, καὶ εὐπετέως ἐπειθον· ἤδεα γὰρ λόγῳ καὶ ἐν Νίνῳ τῇ Ἀσσυρίων πόλι γενόμενον ἕτερον τοιοῦτο. Τὰ γὰρ Σαρδαναπάλλου τοῦ Νίνου βασιλέος χρήματα ἐόντα μεγάλα καὶ φυλασσόμενα ἐν θησαυροῖσι καταγαίοισι ἐπένωσαν κλῶπες ἐκφορῆσαι. (4) Ἐκ δὴ ὧν τῶν σφετέρων οἰκίων ἀρξάμενοι οἱ κλῶπες ὑπὸ γῆς σταθμεύμενοι ἐς τὰ βασιλήϊα οἰκία ὤρυσσον, τὸν δὲ χοῦν τὸν ἐκφορεόμενον ἐκ τοῦ ὀρύγματος, ὅκως γίνοιτο νὺξ, ἐς τὸν Τίγριν ποταμὸν παραρρέοντα τὴν Νίνον ἐξεφόρεον, ἐς ὃ κατεργάσαντο ὅ τι ἐβούλοντο. (5) Τοιοῦτον ἕτερον ἤκουσα καὶ τὸ τῆς ἐν Αἰγύπτῳ λίμνης ὄρυγμα γενέσθαι, πλὴν οὐ νυκτὸς, ἀλλὰ μετ' ἡμέρην ποιεύμενον· ὀρύσσοντας γὰρ τὸν χοῦν τοὺς Αἰγυπτίους ἐς τὸν Νεῖλον φορέειν, ὁ δὲ ὑπολαμβάνων ἔμελλε διαχέειν. Ἡ μέν νυν λίμνη αὕτη οὕτω λέγεται ὀρυχθῆναι.

CLI. Τῶν δὲ δυώδεκα βασιλέων δικαιοσύνῃ χρεωμένων, ἀνὰ χρόνον ὡς ἔθυσαν ἐν τῷ ἱρῷ τοῦ Ἡφαίστου, τῇ ὑστάτῃ τῆς ὀρτῆς μελλόντων κατασπείσειν ὁ ἀρχιρεὺς ἐξήνεικέ σφι φιάλας χρυσέας, τῇσί περ ἐώθεσαν σπένδειν, ἁμαρτὼν τοῦ ἀριθμοῦ, ἔνδεκα δυώδεκα ἐοῦσι. (2) Ἐνθαῦτα ὡς οὐκ εἶχε φιάλην ὁ ἔσχατος ἑστεὼς αὐτῶν Ψαμμίτιχος, περιελόμενος τὴν κυνέην ἐοῦσαν χαλκέην ὑπέσχε τε καὶ ἔσπενδε. Κυνέας δὲ καὶ οἱ ἄλλοι ἅπαντες ἐφόρεόν τε βασιλέες καὶ ἐτύγχανον τότε ἔχοντες. (3) Ψαμμίτιχος μέν νυν οὐδενὶ δολερῷ νόῳ χρεώμενος ὑπέσχε τὴν κυνέην· οἱ δὲ ἐν φρενὶ λαβόντες τό τε ποιηθὲν ἐκ Ψαμμιτίχου καὶ τὸ χρηστήριον ὅ τι ἐκέχρηστό σφι, τὸν χαλκέῃ σπείσαντα αὐτῶν φιάλῃ τοῦτον βασιλέα ἔσεσθαι μοῦνον Αἰγύπτου, ἀναμνησθέντες τοῦ χρησμοῦ κτεῖναι μὲν οὐκ ἐδικαίωσαν Ψαμμίτιχον, ὡς ἀνεύρισκον βασανίζοντες ἐξ οὐδεμιῆς προνοίης αὐτὸν ποιήσαντα τὰ ἐποίησε, ἐς δὲ τὰ ἕλεα ἔδοξέ σφι διῶξαι ψιλώσαντας τὰ πλεῖστα τῆς δυνάμιος, ἐκ δὲ τῶν ἑλέων ὁρμεώμενον μὴ ἐπιμίσγεσθαι τῇ ἄλλῃ Αἰγύπτῳ.

CLII. Τὸν δὲ Ψαμμίτιχον τοῦτον πρότερον φεύγοντα τὸν Αἰθίοπα Σαβακὼν, ὃς οἱ τὸν πατέρα Νεκὼν ἀπέκτεινε, τοῦτον φεύγοντα τότε ἐς Συρίην, ὡς ἀπαλλάχθη ἐκ τῆς ὄψιος τοῦ ὀνείρου ὁ Αἰθίοψ, κατήγαγον Αἰγυπτίων οὗτοι οἱ ἐκ νομοῦ τοῦ Σαΐτεω εἰσί. (2) Μετὰ δὲ βασιλεύοντα τὸ δεύτερον πρὸς τῶν ἕνδεκα βασιλέων καταλαμβάνει μιν διὰ τὴν κυνέην φεύγειν ἐς τὰ ἕλεα. Ἐπιστάμενος ὧν ὡς περιυβρισμένος εἴη πρὸς αὐτῶν, ἐπενόεε τίσασθαι τοὺς διώξαντας. Πέμψαντι δέ οἱ ἐς Βουτοῦν πόλιν ἐς τὸ χρηστήριον τῆς Λητοῦς, ἔνθα δὴ Αἰγυπτίοισί ἐστι μαντήϊον ἀψευδέστατον, ἦλθε χρησμὸς ὡς τίσις ἥξει ἀπὸ θαλάσσης χαλκέων ἀνδρῶν ἐπιφανέντων. (3) Καὶ τῷ μὲν δὴ ἀπιστίη μεγάλη ὑπεκέχυτο χαλκέους οἱ ἄνδρας ἥξειν ἐπικούρους· χρόνου δὲ οὐ πολλοῦ διελθόντος ἀναγκαίη κατέλαβε Ἴωνάς τε καὶ Κᾶρας ἄνδρας κατὰ ληίην ἐκπλώσαντας ἀπενειχθῆναι ἐς Αἴγυπτον, ἐκβάντας δὲ ἐς γῆν καὶ ὁπλισθέντας χαλ-

lunt, ubi esset humus effossa. (3) Et illi mihi dixerunt quo delata fuerit, facileque persuaserunt; quum auditu cognitum haberem simile quiddam Nini, Assyriæ urbe, factum. Nam Sardanapalli, Assyriæ regis, opes ingentes, thesauris subterraneis conditas, quum furto auferre constituissent nonnulli; (4) ex suis ædibus fodiendi initio facto, sub terra progressi sunt, fossam versus regiam dirigentes: humum vero effossam quotidie sub noctem in Tigrin amnem, qui Ninum præterfluit, egesserunt, donec perfecissent quod instituerant. (5) Idem prorsus in fodienda hoc in Ægypto lacu factum esse audivi; nisi quod non noctu, sed interdiu sit factum: terram enim effossam in Nilum egessisse Ægyptios; quam fluvius, exceptam, diffusurus erat. Hac igitur ratione effossum hunc lacum narrant.

CLI. Duodecim quos dixi reges dum regnant justitiam colentes, accidit temporis decursu, ut, quum sacrificium solenne in Vulcani templo peregissent, festorum dierum postremo libaturis phialas aureas exhibens summus sacerdos, e quibus libarent, aberrans numero, undecim exhiberet phialas, quum essent ipsi duodecim. (2) Ibi tum Psammitichus, stans postremus omnium, quum phialam non haberet, galeam de capite detractam (ea autem erat ænea) porrexit, ex eaque libavit. Galeas vero etiam reliqui reges omnes, quum alioqui, tum eo ipso tempore, gestabant. (3) Psammitichus igitur nullo quidem dolo malo usus, galeam porrexerat: sed reliqui undecim animum ad hoc Psammitichi factum advertentes, cogitantesque oraculum, quod ipsis editum fuisset, qui ex ænea phiala libasset, eum solum regem futurum totius Ægypti; hujus oraculi memores, quum instituta perquisitione reperissent non deliberato id a Psammitichо esse factum, æquum quidem non censebant ut morte plecteretur; sed placuit eum in paludes relegari, majori potestatis parte exutum, neque ei licere paludibus excedere et reliquis Ægypti rebus sese immiscere.

CLII. Idem Psammitichus ante id tempus, Sabacon Æthiopem metuens, qui patrem ipsius Necon occiderat, in Syriam profugerat: sed, postquam Æthiops nocturno viso territus Ægypto excesserat, ab Ægyptiis Saiten præfecturam incolentibus in patriam erat reductus. (2) Nunc igitur iterum, postquam regnavit, ab undecim regibus in exsilium missus est in paludes propter galeam. Ratus autem injuste secum esse ab illis actum, vindictam capere de persecutoribus cogitavit: quumque ea caussa in Buto oppidum ad Latonæ oraculum misisset, quod veracissimum Ægyptii habent, adlatum est ei responsum, venturam vindictam a mari, quando ænei viri sint adparituri. (3) Cui responso quum ille fidem vix ullam adhiberet, venturos æneos viros opem sibi laturos; accidit haud multo interjecto tempore, ut Iones Caresque homines, prædatum navibus profecti, ad Ægyptum deferrentur, tempestatibus compulsi: qui quum ære armati in terram exscendissent,

κῷ ἀγγέλλει τῶν τις Αἰγυπτίων ἐς τὰ ἕλεα ἀπικόμενος τῷ Ψαμμιτίχῳ, ὡς οὐκ ἰδὼν πρότερον χαλκῷ ἄνδρας ὁπλισθέντας, ὡς χάλκεοι ἄνδρες ἀπιγμένοι ἀπὸ θαλάσσης λεηλατεῦσι τὸ πεδίον. (4) Ὁ δὲ μαθὼν τὸ χρηστήριον ἐπιτελεύμενον φίλα τε τοῖσι Ἴωσι καὶ Καρσὶ ποιέεται, καί σφεας μεγάλα ὑπισχνεύμενος πείθει μετ' ἑωυτοῦ γενέσθαι. Ὡς δὲ ἔπεισε, οὕτω ἅμα τοῖσι μετ' ἑωυτοῦ βουλομένοισι Αἰγυπτίοισι καὶ τοῖσι ἐπικούροισι καταιρέει τοὺς βασιλέας.

CLIII. Κρατήσας δὲ Αἰγύπτου πάσης ὁ Ψαμμίτιχος ἐποίησε τῷ Ἡφαίστῳ προπύλαια ἐν Μέμφι τὰ πρὸς νότον ἄνεμον τετραμμένα, αὐλήν τε τῷ Ἄπι, ἐν τῇ τρέφεται ἐπεὰν φανῇ ὁ Ἆπις, οἰκοδόμησε ἐναντίον τῶν προπυλαίων, πᾶσάν τε περίστυλον ἐοῦσαν καὶ τύπων πλέην· ἀντὶ δὲ κιόνων ὑπεστέασι κολοσσοὶ δυωδεκαπήχεες τῇ αὐλῇ. Ὁ δὲ Ἆπις κατὰ τὴν Ἑλλήνων γλῶσσάν ἐστι Ἔπαφος.

CLIV. Τοῖσι δὲ Ἴωσι καὶ τοῖσι Καρσὶ τοῖσι συγκατεργασαμένοισι αὐτῷ ὁ Ψαμμίτιχος δίδωσι χώρους ἐνοικῆσαι ἀντίους ἀλλήλων, τοῦ Νείλου τὸ μέσον ἐχοντος· τοῖσι οὐνόματα ἐτέθη Στρατόπεδα. (2) Τούτους τε δὴ σφι τοὺς χώρους δίδωσι, καὶ τἆλλα τὰ ὑπέσχετο πάντα ἀπέδωκε. Καὶ δὴ καὶ παῖδας παρέβαλε αὐτοῖσι Αἰγυπτίους τὴν Ἑλλάδα γλῶσσαν ἐκδιδάσκεσθαι· ἀπὸ δὲ τούτων ἐκμαθόντων τὴν γλῶσσαν οἱ νῦν ἑρμηνέες ἐν Αἰγύπτῳ γεγόνασι. (3) Οἱ δὲ Ἴωνές τε καὶ οἱ Κᾶρες τούτους τοὺς χώρους οἴκησαν χρόνον ἐπὶ πολλόν· εἰσὶ δὲ οὗτοι οἱ χῶροι πρὸς θαλάσσης ὀλίγον ἑνερθε Βουβάστιος πόλιος, ἐπὶ τῷ Πηλουσίῳ καλευμένῳ στόματι τοῦ Νείλου. (4) Τούτους μὲν δὴ χρόνῳ ὕστερον βασιλεὺς Ἄμασις ἐξαναστήσας ἐνθεῦτεν κατοίκισε ἐς Μέμφιν, φυλακὴν ἑωυτοῦ ποιεύμενος πρὸς Αἰγυπτίων· τούτων δὲ οἰκισθέντων ἐν Αἰγύπτῳ, οἱ Ἕλληνες οὕτω ἐπιμισγόμενοι τούτοισι τὰ περὶ Αἴγυπτον γινόμενα, ἀπὸ Ψαμμιτίχου βασιλέος ἀρξάμενοι, πάντα καὶ τὰ ὕστερον ἐπιστάμεθα ἀτρεκέως· πρῶτοι γὰρ οὗτοι ἐν Αἰγύπτῳ ἀλλόγλωσσοι κατοικίσθησαν. (5) Ἐξ ὧν δὲ ἐξανέστησαν χώρων, ἐν τούτοισι δὴ οἵ τε δλικοὶ τῶν νεῶν καὶ τὰ ἐρείπια τῶν οἰκημάτων τὸ μέχρι ἐμεῦ ἔσαν. Ψαμμίτιχος μέν νυν οὕτω ἔσχε Αἴγυπτον.

CLV. Τοῦ δὲ χρηστηρίου τοῦ ἐν Αἰγύπτῳ πολλὰ ἐπεμνήσθην ἤδη, καὶ δὴ λόγον περὶ αὐτοῦ ὡς ἀξίου ἐόντος ποιήσομαι. Τὸ γὰρ χρηστήριον τοῦτο τὸ ἐν Αἰγύπτῳ ἐστὶ μὲν Λητοῦς ἱρὸν, ἐν πόλι δὲ μεγάλῃ ἱδρυμένον κατὰ τὸ Σεβεννυτικὸν καλεύμενον στόμα τοῦ Νείλου, ἀναπλώοντι ἀπὸ θαλάσσης ἄνω. (2) Οὔνομα δὲ τῇ πόλι ταύτῃ ὅκου τὸ χρηστήριόν ἐστι Βουτὼ, ὡς καὶ πρότερον ὠνόμασταί μοι. Ἱρὸν δέ ἐστι ἐν τῇ Βουτοῖ ταύτῃ Ἀπόλλωνος καὶ Ἀρτέμιδος. Καὶ ὅ γε νηὸς τῆς Λητοῦς, ἐν τῷ δὴ τὸ χρηστήριον ἔνι, αὐτός τε τυγχάνει ἐὼν μέγας καὶ τὰ προπύλαια ἔχει ἐς ὕψος δέκα ὀργυιέων. (3) Τὸ δέ μοι τῶν φανερῶν ἦν θῶμα μέγιστον παρεχόμενον φράσω. Ἔστι ἐν τῷ τεμένεϊ τούτῳ Λητοῦς νηὸς ἐξ ἑνὸς λίθου πεποιημένος ἐς τε ὕψος καὶ

Ægyptiorum aliquis, ut qui numquam antea viros ære armatos vidisset, nuncialum ivit Psammitticho, æneos viros advenisse à mari, qui prædam ex terra agerent. (4) Tum ille, impletum esse intelligens oraculum, benigne Ionas Caresque excepit, magnisque promissis persuadere illis, ut secum manerent, conatus est. Quibus ut id persuasit, simul cum Ægyptiis, qui cum ipso sentiebant, et cum his auxiliaribus, reliquos reges oppressit.

CLIII. Ita totius Ægypti regno potitus Psammitichus, construxit Memphi propylæa Vulcani ad meridiem spectantia : et aulam ædificavit Apidi, in qua aleretur Apis sicubi adparuisset. Ea aula ex adverso propylæorum est, tota peristylio circumdata, et figuris omni ex parte exornata : pro columnis suppositi sunt colossi duodenûm cubitorum. Apis autem, Græcorum sermone, Epaphus est.

CLIV. Ionibus vero et Caribus, quorum opera usus erat, agros habitandos Psammitichus concessit, sibi mutuo obversos, interfluente Nilo : qui agri Castra Ionum Carumque,) nominabantur. (2) Postquam has sedes eis concessit, reliquaque promissa exsolvit ; pueros eisdem Ægyptios tradidit, qui ab illis Græcum ediscerent sermonem : et ex his pueris, sermonem edoctis, nati sunt qui nunc interpretes sunt in Ægypto. (3) Agros istos longo tempore Iones Caresque habitarunt, sitos versus mare paulo infra Bubastin oppidum, ad Pelusium quod vocatur Nili ostium. (4) Sed insequente tempore Amasis rex, sedibus illis excitos, Memphin habitatum concedere jussit, ut essent sibi custodes corporis adversus Ægyptios. Jam ex quo hi Ægyptum habitare cœperunt, nos Græci, cum his commercia habentes, res in Ægypto gestas, inde a Psammitticho rege, et quæ deinde gestæ sunt, adcurate cunctas novimus. Hi enim primi alia lingua loquentes Ægyptum incoluerunt. (5) In eis autem locis, e quibus ab Amasi exciti sunt, vestigia navalium, quibus usi erant, et ædificiorum rudera ad meam adhuc ætatem superfuerunt. Isto igitur modo Psammitichus Ægypto potitus est.

CLV. Oraculi, quod in Ægypto est, jàm sæpius feci mentionem ; et de eodem, quippe memoratu digno, copiosius etiam exponam. Est autem hoc oraculum Ægyptiacum Latonæ templum, in magno oppido situm, ad Sebenniticum quod vocatur Nili ostium, adverso flumine ex mari navigantibus. (2) Nomen oppidi hujus, ubi oraculum, est Buto, quod nomen jam ante posui. Est autem in eadem urbe etiam Apollinis templum, et templum Dianæ. Latonæ vero templum, in quo est oraculum, quum ipsum magnum est, tum propylæa habet quadraginta cubitorum altitudine. (3) Quod vero ex his, quæ ibi conspiciuntur, maxima me admiratione adfecit, hoc dicam. Est in eodem loco sacro ædes Latonæ ex uno lapide confecta, quum in

ἐς μῆκος, καὶ τοῖχος ἕκαστος τούτοισι ἴσος· τεσσεράκοντα πηχέων τούτων ἕκαστον ἐστί. Τὸ δὲ καταστέγασμα τῆς ὀροφῆς ἄλλος ἐπικέεται λίθος, ἔχων τὴν παρωροφίδα τετράπηχυν.

CLVI. Οὕτω μέν νυν ὁ νηὸς τῶν φανερῶν μοι τῶν περὶ τοῦτο τὸ ἱρόν ἐστι θωμαστότατον, τῶν δὲ δευτέρων νῆσος ἡ Χέμμις καλευμένη. Ἔστι μὲν ἐν λίμνῃ βαθέῃ καὶ πλατέῃ κειμένη παρὰ τὸ ἐν Βουτοῖ ἱρὸν, λέγεται δὲ ὑπ' Αἰγυπτίων εἶναι αὕτη ἡ νῆσος πλωτή. (2) Αὐτὸς μὲν ἔγωγε οὔτε πλώουσαν οὔτε κινηθεῖσαν εἶδον, τέθηπα δὲ ἀκούων εἰ νῆσος ἀληθέως ἐστὶ πλωτή. Ἐν δὴ ὧν ταύτῃ νηός τε Ἀπόλλωνος μέγας ἕνι καὶ βωμοὶ τριφάσιοι ἐνιδρύαται, ἐμπεφύκασι δ' ἐν αὐτῇ φοίνικές τε συχνοὶ καὶ ἄλλα δένδρεα καὶ καρποφόρα καὶ ἄφορα πολλά. (3) Λόγον δὲ τόνδε ἐπιλέγοντες οἱ Αἰγύπτιοί φασι εἶναι αὐτὴν πλωτὴν, ὡς ἐν τῇ νήσῳ ταύτῃ οὐκ ἐούσῃ πρότερον πλωτῇ Λητὼ ἑοῦσα τῶν ὀκτὼ θεῶν τῶν πρώτων γενομένων, οἰκέουσα δὲ ἐν Βουτοῖ πόλι, ἵνα δή οἱ τὸ χρηστήριον τοῦτό ἐστι, Ἀπόλλωνα παρ' Ἶσιος παρακαταθήκην δεξαμένη διέσωσε κατακρύψασα ἐν τῇ νῦν πλωτῇ λεγομένῃ νήσῳ, ὅτε δὴ τὸ πᾶν διζήμενος ὁ Τυφὼν ἐπῆλθε, θέλων ἐξευρέειν τοῦ Ὀσίριος τὸν παῖδα. (4) Ἀπόλλωνα δὲ καὶ Ἄρτεμιν Διονύσου καὶ Ἶσιος λέγουσι εἶναι παῖδας, Λητοῦν δὲ τροφὸν αὐτοῖσι καὶ σώτειραν γενέσθαι. Αἰγυπτιστὶ δὲ Ἀπόλλων μὲν Ὧρος, Δημήτηρ δὲ Ἶσις, Ἄρτεμις δὲ Βούβαστις. (5) Ἐκ τούτου δὲ τοῦ λόγου καὶ οὐδενὸς ἄλλου Αἰσχύλος ὁ Εὐφορίωνος ἥρπασε τὸ ἐγὼ φράσω, μοῦνος δὴ ποιητέων τῶν προγενομένων· ἐποίησε γὰρ Ἄρτεμιν εἶναι θυγατέρα Δήμητρος. Τὴν δὲ νῆσον διὰ τοῦτο γενέσθαι πλωτήν. Ταῦτα μὲν οὕτω λέγουσι.

altitudinem, tum in longitudinem; quilibet paries æquali est longitudine et altitudine, et quidem quadragenorum cubitorum: pro tecto alius impositus est lapis, coronam quæ dicitur habens in altitudinem quattuor cubitorum.

CLVI. Eorum igitur qui circa hoc templum conspiciuntur, maximæ mihi admirationi fuit ædes illa: secundo autem loco, insula quæ Chemmis nominatur. Sita hæc est in lacu alto amploque juxta templum quod in Buto est: dicuntque Ægyptii, esse eam natantem. (2) Et ego quidem eam nec nantem vidi, nec motam: sed istud audiens obstupui, insulam ullam vere esse nantem. In hac vero insula est Apollinis templum amplum, in quo tres aræ erectæ: nascuntur in eadem palmæ magno numero, aliæque arbores multæ, tam frugiferæ, quam steriles. (3) Ægyptii autem, nantem esse hanc insulam dicentes, narrationem hanc adjiciunt: Latonam, unam ex octo diis qui ante reliquos exstitissent, quum urbem Buto habitaret, in qua nunc oraculum illud habet, Apollinem, ab Iside sibi creditum, in hac insula, quæ olim non fuisset natans, nunc autem natare dicitur, abscondisse et salvum conservasse, tum quum omnia perquirens Typhon venisset, invenire cupiens Osiridis filium. (4) Apollinem enim et Dianam dicunt Dionyso et Iside natos: Latonam vero fuisse nutricem horum et servatricem. Ægyptiaco autem sermone Apollo, Orus vocatur; Ceres, Isis; Diana, Bubastis. (5) (Et ex hac Ægyptiorum traditione, nec aliunde, unus ex omnibus superioribus poetis Æschylus, Euphorionis filius, subripuit id quod ego dicam; nempe quod Dianam dixerit Cereris filiam.) Ea igitur caussa insulam illam, aiunt, nantem factam esse.

CLVII. Ψαμμίτιχος δὲ ἐβασίλευσε Αἰγύπτου τέσσερα καὶ πεντήκοντα ἔτεα, τῶν τὰ ἑνὸς δέοντα τριήκοντα Ἄζωτον τῆς Συρίης μεγάλην πόλιν προσκατήμενος ἐπολιόρκεε, ἐς ὃ ἑξεῖλε. Αὕτη δὲ ἡ Ἄζωτος ἁπασέων πολίων ἐπὶ πλεῖστον πολιορκευμένη ἀντέσχε τῶν ἡμεῖς ἴδμεν.

CLVII. Psammitichus in Ægypto regnavit annos quattuor et quinquaginta: quorum per undetriginta Azotum circumsidens oppugnavit, magnum Syriæ oppidum, donec tandem vi cepit. Atque hæc Azotus omnium, quæ novimus, oppidorum longissime restitit obsidentibus hostibus.

CLVIII. Ψαμμιτίχου δὲ Νεκὼς παῖς ἐγένετο καὶ ἐβασίλευσε Αἰγύπτου, ὃς τῇ διώρυχι ἐπεχείρησε πρῶτος τῇ ἐς τὴν Ἐρυθρὴν θάλασσαν φερούσῃ, τὴν Δαρεῖος ὁ Πέρσης δεύτερα διώρυξε· τῆς μῆκος μέν ἐστι πλόος ἡμέραι τέσσερες, εὖρος δὲ ὡρύχθη ὥστε τριήρεας δύο πλώειν δμοῦ ἐλαστρευμένας. (2) Ἧκται δὲ ἀπὸ τοῦ Νείλου τὸ ὕδωρ ἐς αὐτὴν, ἧκται δὲ κατύπερθε ὀλίγον Βουβάστιος πόλιος παρὰ Πάτουμον τὴν Ἀραβίην πόλιν. Ἐσέχει δὲ ἐς τὴν Ἐρυθρὴν θάλασσαν. Ὀρώρυκται δὲ πρῶτον μὲν τοῦ πεδίου τοῦ Αἰγυπτίου τὰ πρὸς Ἀραβίην ἔχοντα, ἔχεται δὲ κατύπερθε τοῦ πεδίου τὸ κατὰ Μέμφιν τεῖνον οὖρος, ἐν τῷ αἱ λιθοτομίαι ἔνεισι. (3) Τοῦ ὧν δὴ οὔρεος τούτου παρὰ τὴν ὑπώρεαν ἧκται ἡ διῶρυξ ἀπ' ἑσπέρης μακρὴ πρὸς τὴν ἠῶ, καὶ ἔπειτεν τείνει ἐς διασφάγας, φέρουσα ἀπὸ τοῦ οὔρεος πρὸς μεσαμβρίην τε καὶ νότον ἄνεμον ἐς τὸν κόλπον τὸν Ἀράβιον.

CLVIII. Psammitichо vero in Ægypti regnum successit filius Necos. Hic primus fossam adgressus est ducere in Erythræum mare ferentem, quam deinde Darius Persa iterum effodit: cujus longitudo est quattuor dierum navigatio; latitudo autem tanta, ut duæ naves remis agitatæ simul navigare possint. (2) Aqua ex Nilo in eam derivata; derivata autem paullo supra Bubastin urbem, juxta Patumon oppidum Arabiæ. Influit autem fossa in Erythræum mare. Fodiendi initium factum est ab ea parte planitiei Ægyptiacæ, quæ ad Arabiam pertinet, ubi planitiei superne contiguus est mons qui ex adverso Memphidis protenditur, in quo lapicidinæ insunt. (3) Ad pedem igitur hujus montis acta est fossa in longum ab occidente versus orientem; deinde per fauces montis progreditur, pergitque a monte versus meridiem et austrum in sinum Arabicum. (4) Qua est

(4) Τῇ δὲ ἐλάχιστόν ἐστι καὶ συντομώτατον ἐκ τῆς βορηΐης θαλάσσης ὑπερβῆναι ἐς τὴν νοτίην καὶ Ἐρυθρὴν τὴν αὐτὴν ταύτην καλευμένην, ἀπὸ τοῦ Κασίου οὔρεος τοῦ οὐρίζοντος Αἰγυπτόν τε καὶ Συρίην, ἀπὸ τούτου εἰσὶ στάδιοι ἀπαρτὶ χίλιοι ἐς τὸν Ἀράβιον κόλπον. (5) Τοῦτο μὲν τὸ συντομώτατον, ἡ δὲ διῶρυξ πολλῷ μακροτέρη, ὅσῳ σκολιωτέρη ἐστί· τὴν ἐπὶ Νεκῶ βασιλέος ὀρύσσοντες Αἰγυπτίων ἀπώλοντο δυώδεκα μυριάδες. (6) Νεκὼς μέν νυν μεταξὺ ὀρύσσων ἐπαύσατο μαντηίου ἐμποδίου γενομένου τοιοῦδε, τῷ βαρβάρῳ αὐτὸν προεργάζεσθαι· βαρβάρους δὲ πάντας οἱ Αἰγύπτιοι καλεῦσι τοὺς μὴ σφίσι ὁμογλώσσους.

CLIX. Παυσάμενος δὲ τῆς διώρυχος ὁ Νεκὼς ἐτράπετο πρὸς στρατηΐας, καὶ τριήρεες αἱ μὲν ἐπὶ τῇ βορηΐῃ θαλάσσῃ ἐποιήθησαν, αἱ δ' ἐν τῷ Ἀραβίῳ κόλπῳ ἐπὶ τῇ Ἐρυθρῇ θαλάσσῃ, τῶν ἔτι οἱ δλκοὶ ἐπίδηλοι. (2) Καὶ ταύτῃσί τε ἐχρᾶτο ἐν τῷ δέοντι, καὶ Συρίοισι πεζῇ ὁ Νεκὼς συμβαλὼν ἐν Μαγδόλῳ ἐνίκησε, μετὰ δὲ τὴν μάχην Κάδυτιν πόλιν τῆς Συρίης ἐοῦσαν μεγάλην εἶλε. Ἐν τῇ δὲ ἐσθῆτι ἔτυχε ταῦτα κατεργασάμενος, ἀνέθηκε τῷ Ἀπόλλωνι πέμψας ἐς Βραγχίδας τοὺς Μιλησίων. Μετὰ δὲ, ἑκκαίδεκα ἔτεα τὰ πάντα ἄρξας, τελευτᾷ, τῷ παιδὶ Ψάμμι παραδοὺς τὴν ἀρχήν.

CX. Ἐπὶ τοῦτον δὴ τὸν Ψάμμιν βασιλεύοντα Αἰγύπτου ἀπίκοντο Ἠλείων ἄνδρες ἄγγελοι, αὐχέοντες δικαιότατα καὶ κάλλιστα τιθέναι τὸν ἐν Οὐλυμπίῃ ἀγῶνα πάντων ἀνθρώπων, καὶ δοκέοντες παρὰ ταῦτα οὐδ' ἂν τοὺς σοφωτάτους ἀνθρώπων Αἰγυπτίους οὐδὲν ἐπεξευρέειν. Ὡς δὲ ἀπικόμενοι ἐς τὴν Αἴγυπτον οἱ Ἠλεῖοι ἔλεγον τῶν εἵνεκεν ἀπίκοντο, ἐνθαῦτα ὁ βασιλεὺς οὗτος συγκαλέεται Αἰγυπτίων τοὺς λεγομένους εἶναι σοφωτάτους. (2) Συνελθόντες δὲ οἱ Αἰγύπτιοι ἐπυνθάνοντο τῶν Ἠλείων λεγόντων ἅπαντα τὰ κατήκει σφέας ποιέειν περὶ τὸν ἀγῶνα· ἀπηγησάμενοι δὲ τὰ πάντα ἔφασαν ἥκειν ἐπιμαθησόμενοι εἴ τι ἔχοιεν Αἰγύπτιοι τούτων δικαιότερον ἐπεξευρέειν. Οἱ δὲ βουλευσάμενοι ἐπειρώτεον τοὺς Ἠλείους εἰ σφι οἱ πολιῆται ἐναγωνίζονται. (3) Οἱ δὲ ἔφασαν καὶ σφέων καὶ τῶν ἄλλων Ἑλλήνων ὁμοίως τῷ βουλομένῳ ἐξεῖναι ἀγωνίζεσθαι. Οἱ δὲ Αἰγύπτιοι ἔφασάν σφεας οὕτω τιθέντας παντὸς τοῦ δικαίου ἡμαρτηκέναι· οὐδεμίαν γὰρ εἶναι μηχανὴν ὅκως οὐ τῷ ἀστῷ ἀγωνιζομένῳ προσθήσονται, ἀδικέοντες τὸν ξεῖνον. (4) Ἀλλ' εἰ δὴ βούλονται δικαίως τιθέναι καὶ τούτου εἵνεκεν ἀπικοίατο ἐς Αἴγυπτον, ξείνοισι ἀγωνιστῇσι ἐκέλευον τὸν ἀγῶνα τιθέναι, Ἠλείων δὲ μηδενὶ εἶναι ἀγωνίζεσθαι. Ταῦτα μὲν Αἰγύπτιοι Ἠλείοισι ὑπεθήκαντο.

CLXI. Ψάμμιος δὲ ἓξ ἔτεα μοῦνον βασιλεύσαντος Αἰγύπτου καὶ στρατευσαμένου ἐς Αἰθιοπίην καὶ μεταυτίκα τελευτήσαντος ἐξεδέξατο Ἀπρίης ὁ Ψάμμιος, ὃς μετὰ Ψαμμίτιχον τὸν ἑωυτοῦ προπάτορα ἐγένετο εὐδαιμονέστατος τῶν πρότερον βασιλέων, ἐπ' ἔτεα πέντε καὶ εἴκοσι ἄρξας, ἐν τοῖσι ἐπί τε Σιδῶνα στρατὸν ἤλασε καὶ ἐναυμάχησε τῷ Τυρίῳ. (2) Ἐπεὶ δέ οἱ ἔδεε κακῶς

autem brevissimus et compendiarius maxime a boreali mari in australe et Rubrum (nam utroque nomine idem hoc vocatur) transitus, a Casio monte, qui Ægyptum a Syria disterminat, ab hoc igitur ad Arabicum sinum, sunt exacte mille stadia. (5) Hæc est brevissima via : sed fossa multo est longior, quanto majores habet anfractus : in qua sub Neco fodienda perierunt Ægyptiorum centum et viginti millia. (6) In medio vero labore substitit Necos, pergere prohibitus oraculi effato tali, illud opus eum pro barbaro facere. Vocant autem Ægyptii barbaros, omnes qui non ipsorum lingua utuntur.

CLIX. A fodienda fossa postquam destitit Necos, ad militares expeditiones suscipiendas se convertit : triremesque ædificari jussit, alias in boreali mari, alias in Arabico sinu ad Rubrum mare; ubi vestigia adhuc navalium conspiciuntur. (2) Ac his quidem navibus usus est ubi opus erat : Syros vero pedestri exercitu adgressus, collata acie vicit ad Magdolum; post illamque pugnam Cadytin cepit, magnam Syriæ urbem. Qua veste indutus has res gessit, eam deinde Apollini dedicavit, missam ad Branchidas Milesiorum. His rebus gestis Necos, postquam sedecim omnino annos regnavit, vita functus est, et filio Psammi regnum reliquit.

CLX. Hoc regnante Psammi, venerunt in Ægyptum legati Eleorum, jactantes æquissime et præclarissime omnium hominum a se Olympiæ publica certamina administrari; existimantesque ne Ægyptios quidem, hominum sapientissimos, aliquid quod supra illam rationem esset, præterea posse reperire. Postquam igitur significarunt Elei, quo consilio in Ægyptum venissent; convocavit rex hic eos ex Ægyptiis, qui dicebantur esse sapientissimi. (2) Qui ubi convenere, audivere Eleos omnia exponentes quæ ipsorum officii essent in administrando certamine; quibus expositis, dicebant se venisse sciscitaturos, an Ægyptii aliquid, quod his æquius esset, possent præterea reperire. Tum illi, collato inter se consilio, quæsiverunt ex Eleis, an cives ipsorum ad certamen admittantur. (3) Et Elei, tam suorum, aiebant, quam aliorum Græcorum quicumque vellet, ei licitum esse in certamen prodire. Responderunt Ægyptii, si ita rem administrarent, multum eos ab æquitate aberrare : fieri enim nullo modo posse, quin certanti civi faveant, injuriamque faciant peregrino. (4) Quodsi ergo cum æquitate vellent certamina administrare, et hujus rei caussa in Ægyptum venissent; peregrinis tantum certatoribus ponerent certamen, Eleorum autem neminem admitterent. Hæc Ægyptii Eleos monuerunt.

CLXI. Psammis postquam sex tantum annos regnarat, expeditionemque susceperat in Æthiopiam, continuo deinde vitam finivit; cui in regnum filius successit Apries. Hic post Psammitichum, proavum suum, felicissimus superiorum omnium regum fuit per quinque et viginti quos regnavit annos; quibus et adversus Sidonem duxit exercitum, et navali pugna cum Tyri rege conflixit. (2) Ubi

γενέσθαι, ἐγένετο ἀπὸ προφάσιος τὴν ἐγὼ μεζόνως μὲν ἐν τοῖσι Λιβυκοῖσι λόγοισι ἀπηγήσομαι, μετρίως δ' ἐν τῷ παρεόντι· ἀποπέμψας γὰρ στράτευμα ὁ Ἀπρίης ἐπὶ Κυρηναίους μεγαλωστὶ προσέπταισε, Αἰγύπτιοι δὲ ταῦτα ἐπιμεμφόμενοι ἀπέστησαν ἀπ' αὐτοῦ, δοκέοντες τὸν Ἀπρίην ἐκ προνοίης αὐτοὺς ἀποπέμψαι ἐς φανόμενον κακὸν, ἵνα δὴ σφέων φθορὴ γένηται, αὐτὸς δὲ τῶν λοιπῶν Αἰγυπτίων ἀσφαλέστερον ἄρχῃ· ταῦτα δὲ δεινὰ ποιεύμενοι οὗτοί τε οἱ ἀπονοστήσαντες καὶ οἱ τῶν ἀπολομένων φίλοι ἀπέστησαν ἐκ τῆς ἰθέης.

CLXII. Πυθόμενος δὲ Ἀπρίης ταῦτα πέμπει ἐπ' αὐτοὺς Ἄμασιν καταπαύσοντα λόγοισι. Ὡς δὲ ἐπείτε ἀπικόμενος κατελάμβανε τοὺς Αἰγυπτίους, ταῦτα μὴ ποιέειν λέγοντος αὐτοῦ, τῶν τις Αἰγυπτίων ὄπισθε στὰς περιέθηκέ οἱ κυνέην, καὶ περιτιθεὶς ἔφη ἐπὶ βασιληΐῃ περιτιθέναι. (2) Καὶ τῷ οὔ κως ἀεκούσιον ἐγίνετο τὸ ποιεύμενον, ὡς διεδείκνυε· ἐπείτε γὰρ ἐστήσαντό μιν βασιλέα τῶν Αἰγυπτίων οἱ ἀπεστεῶτες, παρεσκευάζετο ὡς ἐλῶν ἐπὶ τὸν Ἀπρίην. (3) Πυθόμενος δὲ ταῦτα ὁ Ἀπρίης ἔπεμπε ἐπ' Ἄμασιν ἄνδρα δόκιμον τῶν περὶ ἑωυτὸν Αἰγυπτίων, τῷ οὔνομα ἦν Πατάρβημις, ἐντειλάμενος αὐτῷ ζώοντα Ἄμασιν ἀγαγεῖν παρ' ἑωυτόν. (4) Ὡς δὲ ἀπικόμενος ὁ Πατάρβημις τὸν Ἄμασιν ἐκάλεε, ὁ Ἄμασις (ἔτυχε γὰρ ἐπ' ἵππου κατήμενος) ἐπάρας ἀπεματαΐσε, καὶ τοῦτό μιν ἐκέλευε Ἀπρίῃ ἀπάγειν. Ὅμως δὲ αὐτὸν ἀξιοῦν τὸν Πατάρβημιν βασιλέος μεταπεμπομένου ἰέναι πρὸς αὐτόν· τὸν δὲ αὐτῷ ὑποκρίνασθαι ὡς ταῦτα πάλαι παρασκευάζεται ποιέειν, καὶ αὐτῷ οὐ μέμψεσθαι Ἀπρίην· παρέσεσθαι γὰρ καὶ αὐτὸς καὶ ἄλλους ἄξειν. (5) Τὸν δὲ Πατάρβημιν ἔκ τε τῶν λεγομένων οὐκ ἀγνοέειν τὴν διάνοιαν, καὶ παρασκευαζόμενον ὀρέοντα σπουδῇ ἀπιέναι, βουλόμενον τὴν ταχίστην βασιλεῖ δηλῶσαι τὰ πρησσόμενα. Ὡς δὲ ἀπικέσθαι αὐτὸν πρὸς τὸν Ἀπρίην οὐκ ἄγοντα τὸν Ἄμασιν, οὐδένα λόγον ἑωυτῷ δόντα, ἀλλὰ περιθύμως ἔχοντα περιταμέειν προστάξαι αὐτοῦ τά τε ὦτα καὶ τὴν ῥῖνα. (6) Ἰδόμενοι δ' οἱ λοιποὶ τῶν Αἰγυπτίων, οἳ ἔτι τὰ ἐκείνου ἐφρόνεον, ἄνδρα τὸν δοκιμώτατον ἑωυτῶν οὕτω αἰσχρῶς λύμῃ διακείμενον, οὐδένα δὴ χρόνον ἐπισχόντες ἀπιστέατο πρὸς τοὺς ἑτέρους καὶ ἐδίδοσαν σφέας αὐτοὺς Ἀμάσι.

CLXIII. Πυθόμενος δὲ καὶ ταῦτα ὁ Ἀπρίης ὥπλιζε τοὺς ἐπικούρους καὶ ἤλαυνε ἐπὶ τοὺς Αἰγυπτίους· εἶχε δὲ περὶ ἑωυτὸν Κᾶράς τε καὶ Ἴωνας ἄνδρας ἐπικούρους τρισμυρίους, ἦν δέ οἱ τὰ βασιλήϊα ἐν Σάϊ πόλι, μεγάλα ἐόντα καὶ ἀξιοθέητα. Καὶ οἵ τε περὶ τὸν Ἀπρίην ἐπὶ τοὺς Αἰγυπτίους ἦϊσαν καὶ οἱ περὶ τὸν Ἄμασιν ἐπὶ τοὺς ξείνους. Ἔν τε δὴ Μωμέμφι πόλι ἐγένοντο ἀμφότεροι, καὶ πειρήσεσθαι ἔμελλον ἀλλήλων.

CLXIV. Ἔστι δὲ Αἰγυπτίων ἑπτὰ γένεα, καὶ τούτων οἱ μὲν ἱρέες, οἱ δὲ μάχιμοι κεκλέαται, οἱ δὲ βουκόλοι, οἱ δὲ συβῶται, οἱ δὲ κάπηλοι, οἱ δὲ ἑρμηνέες, οἱ δὲ κυβερνῆται. Γένεα μὲν Αἰγυπτίων τοσαῦτα ἐστὶ, οὐνόματα δέ σφι κέεται ἀπὸ τῶν τεχνέων. (2) Οἱ δὲ μα-

vero adfuit tempus, quo in fatis erat ut malis premeretur, accidit calamitas ex occasione quam ego quidem fusius in Libycarum rerum historia exponam, paucis in præsenti contentus. Scilicet, exercitu adversus Cyrenaicam misso, ingentem cladem Apries acceperat. Quam calamitatem ipsi imputantes Ægyptii, ab eo defecerunt; quum existimarent, deliberato consilio Aprien hos in manifestum misisse exitium, ut, postquam illi periissent, ipse reliquis Ægyptiis tutius imperaret. Eo vehementer indignati, tum hi qui e clade redierunt, tum eorum qui perierant amici, e vestigio desciverunt.

CLXII. Qua re cognita, Apries ad eos verbis coercendos Amasin misit. Et hic, ubi ad Ægyptios pervenit, inhibere illos conatus est, hortarique ut cœpto desisterent: sed, dum loquitur, Ægyptiorum aliquis, pone stans, galeam capiti ejus imponit, simul dicens, regni caussa se ei illam imponere. (2) Nec vero id illi invito admodum accidit, ut quidem mox ostendit. Nam postquam Ægyptii hi, qui defecerant, regem illum sibi posuerant, ducere eos adversus Aprien paravit. (3) Quo cognito Apries spectatum inter Ægyptios qui circa ipsum erant virum, cui nomen Patarbemis, ad Amasin misit cum mandato, ut vivum illum ad se adduceret. (4) Patarbemis ut advenit, Amasinque vocavit; equo tunc forte insidens Amasis, sublato crure, flatum ventris emisit, atque hoc eum jussit Apriæ reportare. Nihilo minus ab eo postulasse, aiunt, Patarbemin, ut ad regem, qui eum arcesseret, abiret. Cui respondisse Amasin, jam pridem hoc ipsum se parare, nec de se ea caussa conquesturum esse Aprien: adfuturum enim et ipsum, et alios secum ducturum. (5) Quorum verborum sententiam non ignorantem Patarbemin, quum paratum illum videret, maturasse reditum, ut quam primum regi, quid ageretur, renunciaret. Ubi autem advenerit, Aprien, quum Amasin ille non adduxisset, ira accensum, nulla secum ratione inita, aures naresque præcidi ei jussisse. (6) Quod ubi viderunt reliqui Ægyptii, qui adhuc cum rege fecerant, virum e suis spectatissimum ita contumeliose mutilari, nullam moram facientes, desciverunt et ipsi ad reliquos, et Amasi se tradiderunt.

CLXIII. Quo cognito Apries armavit auxiliares, et adversus Ægyptios duxit: habuit autem secum Carum et Ionum auxiliarium triginta millia: regia autem ipsius erat in urbe Sai, amplum et spectatu dignum ædificium. Apries igitur cum suis profectus est adversus Ægyptios; et Amasis cum Ægyptiis adversus peregrinos regis milites: quumque ambo circa Momemphin oppidum essent, in eo erant ut pugnæ discrimen experirentur.

CLXIV. Sunt in Ægypto septem hominum genera. Horum alii sacerdotes, alii bellatores nominantur, alii bubulci, alii subulci, institores alii, alii interpretes, alii navium gubernatores. Tot sunt Ægyptiorum genera, sive classes: quibus nomina imposita sunt ab artibus quas exercent. (2)

μάχιμοι αὐτῶν καλεῦνται μὲν Καλασίριές τε καὶ Ἑρμοτύβιες, ἐκ νομῶν δὲ τῶνδε εἰσί· κατὰ γὰρ δὴ νομοὺς Αἴγυπτος ἅπασα διαραίρηται.

CLXV. Ἑρμοτυβίων μὲν οἵδε εἰσὶ νομοί, Βουσιρίτης, Σαΐτης, Χεμμίτης, Παπρημίτης, νῆσος ἡ Προσωπῖτις καλευμένη, Ναθῶ τὸ ἥμισυ. Ἐκ μὲν τούτων τῶν νομῶν Ἑρμοτύβιες εἰσὶ, γενόμενοι, ὅτε ἐπὶ πλείστους γενοίατο, ἑκκαίδεκα μυριάδες. Καὶ τούτων βαναυσίης οὐδὲς δεδάηκε οὐδέν, ἀλλ' ἀνέωνται ἐς τὸ μάχιμον.

CLXVI. Καλασιρίων δὲ οἵδε ἄλλοι νομοί εἰσι, Θηβαῖος, Βουβαστίτης, Ἀφθίτης, Τανίτης, Μενδήσιος, Σεβεννύτης, Ἀθριβίτης, Φαρβαιθίτης, Θμουίτης, Ὀνουφίτης, Ἀνύσιος, Μυεκφορίτης· οὗτος ὁ νομὸς ἐν νήσῳ οἰκέει, ἀντίον Βουβάστιος πόλιος. Οὗτοι δὲ οἱ νομοὶ Καλασιρίων εἰσὶ, γενόμενοι, ὅτε ἐπὶ πλείστους ἐγενέατο, πέντε καὶ εἴκοσι μυριάδες ἀνδρῶν. Οὐδὲ τούτοισι ἔξεστι τέχνην ἐπασκῆσαι οὐδεμίαν, ἀλλὰ τὰ ἐς πόλεμον ἐπασκέουσι μοῦνα, παῖς παρὰ πατρὸς ἐκδεκόμενος.

CLXVII. Εἰ μέν νυν καὶ τοῦτο παρ' Αἰγυπτίων μεμαθήκασι οἱ Ἕλληνες, οὐκ ἔχω ἀτρεκέως κρῖναι, ὁρέων καὶ Θρήϊκας καὶ Σκύθας καὶ Πέρσας καὶ Λυδοὺς καὶ σχεδὸν πάντας τοὺς βαρβάρους ἀποτιμοτέρους τῶν ἄλλων ἡγημένους πολιητέων τοὺς τὰς τέχνας μανθάνοντας καὶ τοὺς ἐκγόνους τούτων, τοὺς δ' ἀπαλλαγμένους τῶν χειρωναξιέων γενναίους νομίζοντας εἶναι, καὶ μάλιστα τοὺς ἐς τὸν πόλεμον ἀνειμένους. Μεμαθήκασι δ' ὦν τοῦτο πάντες οἱ Ἕλληνες, καὶ μάλιστα Λακεδαιμόνιοι. Ἥκιστα δὲ Κορίνθιοι ὀνονται τοὺς χειροτέχνας.

CLXVIII. Γέρεα δέ σφι ἦν τάδε ἐξαραιρημένα μούνοισι Αἰγυπτίων πάρεξ τῶν ἱρέων, ἄρουραι ἐξαίρετοι δυώδεκα ἑκάστῳ ἀτελέες. Ἡ δὲ ἄρουρα ἑκατὸν πηχέων ἐστὶ Αἰγυπτίων πάντῃ, ὁ δὲ Αἰγύπτιος πῆχυς τυγχάνει ἴσος ἐὼν τῷ Σαμίῳ. (2) Ταῦτα μὲν δὴ τοῖσι ἅπασι ἦν ἐξαραιρημένα, τάδε δὲ ἐν περιτροπῇ ἐκαρποῦντο καὶ οὐδαμὰ ὡυτοί· Καλασιρίων χίλιοι καὶ Ἑρμοτυβίων ἐδορυφόρεον ἐνιαυτὸν ἕκαστοι τὸν βασιλέα· τούτοισι ὧν τάδε πάρεξ τῶν ἀρουρέων ἄλλα ἐδίδοτο ἐπ' ἡμέρῃ ἑκάστῃ, ὀπτοῦ σίτου σταθμὸς πέντε μνέαι ἑκάστῳ, κρεῶν δύο μνέαι, οἴνου τέσσερες ἀρυστῆρες. Ταῦτα τοῖσι αἰεὶ δορυφορέουσι ἐδίδοτο.

CLXIX. Ἐπείτε δὲ συνιόντες ὅ τε Ἀπρίης ἄγων τοὺς ἐπικούρους καὶ ὁ Ἄμασις πάντας Αἰγυπτίους ἀπίκοντο ἐς Μώμεμφιν πόλιν, συνέβαλον· καὶ ἐμαχέσαντο μὲν εὖ οἱ ξεῖνοι, πλήθεϊ δὲ πολλῷ ἐλάσσονες ἐόντες κατὰ τοῦτο ἐσσώθησαν. (2) Ἀπρίεω δὲ λέγεται εἶναι ἥδε ἡ διάνοια, μηδ' ἂν θεόν μιν μηδένα δύνασθαι παῦσαι τῆς βασιληίης· οὕτω ἀσφαλέως ἑωυτῷ ἱδρύσθαι ἐδόκεε. Καὶ δὴ τότε συμβαλὼν ἐσσώθη, καὶ ζωγρηθεὶς ἀπήχθη ἐς Σαΐν πόλιν, ἐς τὰ ἑωυτοῦ οἰκία πρότερον ἐόντα, τότε δὲ Ἀμάσιος ἤδη βασιλήϊα. (3) Ἐνταῦθα δὲ τέως μὲν ἐτρέφετο ἐν τοῖσι βασιληίοισι, καί μιν Ἄμασις εὖ πε-

Bellatorum rursus alii Calasiries nominantur, alii Hermotybies. Qui ex hisce sunt præfecturis (nam in præfecturas [*nomos* Græcis] tota distributa Ægyptus est :)

CLXV. Hermotybium nomi hi sunt, Busirites, Saites, Chemmites, Papremites, insula cui nomen Prosopitis, Natho ex dimidia parte. Hisce ex præfecturis sunt Hermotybies; numero, quando maximus eorum numerus, centum et sexaginta millia. Et horum nullus artem ullam sellulariam aut opificium didicit : rei militari unice vacant.

CLXVI. Calasirium alii nomi sunt, hi : Thebanus, Bubastites, Aphithites, Tanites, Mendesius, Sebennytes, Athribites, Pharbæthites, Thmuites, Onuphites, Anysius, Myecphorites, qui nomus in insula est, ex adverso Bubastis oppidi. Hi sunt nomi Calasirium; quorum numerus, quando maximus est, ducentorum quinquaginta milliuni est virorum. Neque hisce licet opificium ullum artemve exercere, solam rem militarem exercent, puer a patre institutus.

CLXVII. An igitur etiam hoc ab Ægyptiis Græci acceperint, non possum liquido judicare; quum et Thracas et Scythas et Persas et Lydos et omnes fere barbaros populos videam minore in honore, quam alios cives, habere hos qui artes et opificia discunt, horumque posteros; eos vero, qui opificium nullum exercent, generosos et nobiles existimare, ac præsertim hos qui rei militari unice vacant. Receptum quidem hoc est apud Græcos etiam omnes, sed maxime apud Lacedæmonios. Minime vero Corinthii eos contemnunt qui manibus artes exercent.

CLXVIII. Præmium autem bellatoribus hoc eximium tribuitur, juxta cum sacerdotibus, præ cæteris omnibus Ægyptiis : duodecim cuique arva præcipua, vectigalis immunia. Habet autem arvum centum cubitos Ægyptios quaquaversum : estque Ægyptius cubitus Samio æqualis. (2) Ista igitur omnes atque singuli præcipua habebant : præterea vero per vices, neque utique cuncti simul, hisce fruebantur commodis : milleni Calasirii, totidemque Hermotybies, quotannis corporis custodes erant regis; his igitur, præter arva illa, in singulos dies hæcce tribuebantur : cocti cibi farinacei definitum pondus, quinque libræ cuique; carnis bubulæ libræ duæ, vini cyathi quattuor. Hæc tribuebantur corporis custodibus qui quoque tempore in hoc munere erant.

CLXIX. Postqam igitur obviam sibi mutuo profecti, Apries auxiliares copias ducens, Amasis vero Ægyptios omnes, ad Momemphin oppidum pervenere, armis congressi sunt. Et fortiter quidem pugnabant peregrini; sed, quum numero longe essent inferiores, eo victi profligatique sunt. (2) Dicunt autem, Apriæ hanc stetisse sententiam, ne deum quidem ullum regno exuere se posse; ita firmiter illud sibi stabilitum putabat. At tunc, quod dixi, collata acie devictus est : et, quum vivus in hostium venisset potestatem, Sain abductus est in pristinam suam domum, quæ nunc Amasidis regia erat. (3) Ibi aliquamdiu in regia nu-

ρεῖπε· τέλος δὲ μεμφομένων Αἰγυπτίων ὡς οὐ ποιέοι δίκαια τρέφων τὸν σφίσι τε καὶ ἑωυτῷ ἔχθιστον, οὕτω δὴ παραδιδοῖ τὸν Ἀπρίην τοῖσι Αἰγυπτίοισι. (4) Οἱ δέ μιν ἀπέπνιξαν καὶ ἔπειτεν ἔθαψαν ἐν τῇσι πατρωίῃσι ταφῇσι· αἱ δέ εἰσι ἐν τῷ ἱρῷ τῆς Ἀθηναίης, ἀγχοτάτω τοῦ μεγάρου, ἐσιόντι ἀριστερῆς χειρός. Ἔθαψαν δὲ Σαΐται πάντας τοὺς ἐκ νομοῦ τούτου γενομένους βασιλέας ἔσω ἐν τῷ ἱρῷ. (5) Καὶ γὰρ τὸ τοῦ Ἀμάσιος σῆμα ἑκαστέρω μέν ἐστι τοῦ μεγάρου ἢ τὸ τοῦ Ἀπρίεω καὶ τῶν τούτου προπατόρων, ἔστι μέντοι καὶ τοῦτο ἐν τῇ αὐλῇ τοῦ ἱροῦ, παστὰς λιθίνη μεγάλη καὶ ἠσκημένη στύλοισί τε φοίνικας τὰ δένδρεα μεμιμημένοισι καὶ τῇ ἄλλῃ δαπάνῃ. Ἔσω δὲ ἐν τῇ παστάδι διξὰ θυρώματα ἕστηκε, ἐν δὲ τοῖσι θυρώμασι ἡ θήκη ἐστί.

CLXX. Εἰσὶ δὲ καὶ αἱ ταφαὶ τοῦ οὐκ ὅσιον ποιεῦμαι ἐπὶ τοιούτῳ πρήγματι ἐξαγορεύειν τὸ οὔνομα, ἐν Σάϊ, ἐν τῷ ἱρῷ τῆς Ἀθηναίης, ὄπισθε τοῦ νηοῦ, παντὸς τοῦ τῆς Ἀθηναίης ἐχόμεναι τοίχου. Καὶ ἐν τῷ τεμένεϊ ὀβελοὶ ἑστᾶσι μεγάλοι λίθινοι, λίμνη τέ ἐστι ἐχομένη λιθίνῃ κρηπῖδι κεκοσμημένη καὶ ἐργασμένη εὖ κύκλῳ, καὶ μέγαθος, ὡς ἐμοὶ ἐδόκεε, ὅση περ ἡ ἐν Δήλῳ ἡ τροχοειδὴς καλευμένη.

CLXXI. Ἐν δὲ τῇ λίμνῃ ταύτῃ τὰ δείκηλα τῶν παθέων αὐτοῦ νυκτὸς ποιεῦσι, τὰ καλεῦσι μυστήρια Αἰγύπτιοι. Περὶ μέν νυν τούτων εἰδότι μοι ἐπὶ πλέον ὡς ἕκαστα αὐτῶν ἔχει, εὔστομα κεέσθω. Καὶ τῆς Δήμητρος τελετῆς πέρι, τὴν οἱ Ἕλληνες θεσμοφόρια καλεῦσι, καὶ ταύτης μοι πέρι εὔστομα κεέσθω, πλὴν ὅσον αὐτῆς ὁσίη ἐστὶ λέγειν. (2) Αἱ Δαναοῦ θυγατέρες ἔσαν αἱ τὴν τελετὴν ταύτην ἐξ Αἰγύπτου ἐξαγαγοῦσαι καὶ διδάξασαι τὰς Πελασγιώτιδας γυναῖκας· μετὰ δὲ ἐξαναστάσης πάσης Πελοποννήσου ὑπὸ Δωριέων ἐξαπώλετο ἡ τελετή, οἱ δὲ ὑπολειφθέντες Πελοποννησίων καὶ οὐκ ἐξαναστάντες Ἀρκάδες διέσωζον αὐτὴν μοῦνοι.

CLXXII. Ἀπρίεω δὲ ὧδε καταραιρημένου ἐβασίλευσε Ἄμασις, νομοῦ μὲν Σαΐτεω ἐών, ἐκ τῆς δὲ ἦν πόλιος, οὔνομά οἱ ἐστι Σιούφ. Τὰ μὲν δὴ πρῶτα κατώνοντο τὸν Ἄμασιν Αἰγύπτιοι καὶ ἐν οὐδεμιῇ μοίρῃ μεγάλῃ ἦγον ἅτε δὴ δημότην τὸ πρὶν ἐόντα καὶ οἰκίης οὐκ ἐπιφανέος· μετὰ δὲ σοφίῃ αὐτοὺς ὁ Ἄμασις, οὐκ ἀγνωμοσύνῃ προσηγάγετο. (2) Ἦν οἱ ἄλλα τε ἀγαθὰ μυρία, ἐν δὲ καὶ ποδανιπτὴρ χρύσεος, ἐν τῷ αὐτός τε ὁ Ἄμασις καὶ οἱ δαιτυμόνες οἱ πάντες τοὺς πόδας ἑκάστοτε ἐναπενιζέατο. Τοῦτον κατ' ὧν κόψας ἄγαλμα δαίμονος ἐξ αὐτοῦ ἐποιήσατο, καὶ ἵδρυσε τῆς πόλιος ὅκου ἦν ἐπιτηδεώτατον· οἱ δὲ Αἰγύπτιοι φοιτέοντες πρὸς τὠγαλμα ἐσέβοντο μεγάλως. (3) Μαθὼν δὲ ὁ Ἄμασις τὸ ἐκ τῶν ἀστῶν ποιεύμενον, συγκαλέσας Αἰγυπτίους ἐξέφηνε φὰς ἐκ τοῦ ποδανιπτῆρος τὠγαλμα γεγονέναι, ἐς τὸν πρότερον μὲν τοὺς Αἰγυπτίους ἐνεμέειν τε καὶ ἐνουρέειν καὶ πόδας ἐναπονίζεσθαι, τότε δὲ μεγάλως σέβεσθαι. (4) Ἤδη ὦν ἔφη λέγων ὁμοίως αὐτὸς τῷ ποδανιπτῆρι πεπρηγέναι· εἰ γὰρ πρότερον εἶναι δημότης, ἀλλ' ἐν τῷ παρεόντι εἶναι αὐτῶν βασιλεύς· καὶ τιμᾶν

tritus est; et bene eum habuit Amasis: ad extremum vero, quum exprobrarent Ægyptii non recte eum facere quod alat virum et ipsis et sibi inimicissimum, tradidit Aprien Ægyptiis; (4) qui eum strangularunt, ac deinde in patrio sepulcro sepeliverunt. Sepulcrum illud in Minervæ templo est, proxime ædem sacram, intrantibus a læva manu. Saitæ enim cunctos ex hoc nomo oriundos reges intra templum hoc sepeliunt. (5) Nam Amasidis etiam monumentum aliquanto quidem longius ab æde sacra abest quam Apriæ et ejus progenitorum; at est tamen etiam hoc in aula templi, thalamus lapideus ingens, columnis ornatus palmas arbores imitantibus alioque sumtu. In thalamo, repositorium est binis foribus clausum, atque intra has fores est regis sepulcrum.

CLXX. Sunt vero etiam sepulcra ejus, cujus nomen tali occasione edere mihi nefas, in eodem Minervæ templo Saitano, post ædem sacram, toti postico parieti ædis Minervæ contigua. Et in area templi stant obelisci ingentes lapidei: juxtaque eos lacus est, lapidea crepidine ornatus et circumcirca pulcre elaboratus, eadem, ut mihi videbatur, magnitudine qua est lacus Deli, qui orbiculatus nominatur.

CLXXI. In hoc lacu exhibent noctu speciem imaginemque casuum, qui illi acciderunt, quæ mysteria vocant Ægyptii: de quibus mihi quidem, quamquam satis singula quo pacto se habeant norim, silentium agitor. Etiam de Cereris sacris, quæ Thesmophoria Græci vocant, silentium mihi agendum; nisi quatenus de his verba facere fas est. (2) Danai filiæ sacra hæc ex Ægypto attulerant, et Pelasgiscas mulieres ea docuerant. Deinde, postquam tota Peloponnesus a Doribus eversa est et sedibus suis excita, perierunt hæc sacra; solique Arcades, qui in Peloponneso manserunt, neque inde migrare coacti sunt, illa conservarunt.

CLXXII. Aprie ita sublato, Amasis in Ægypto regnavit, ex Saitana præfectura oriundus, et quidem ex oppido cui nomen Siuph. Et primo quidem spreverunt Ægyptii Amasin, nec ullo magnopere loco habuere, ut qui de plebe olim fuisset, et ex domo minime illustri. Deinde vero callido quodam invento, non asperitate, ad officium eos redegit. (2) Erant ei quum aliæ res pretiosæ permultæ, tum pelluvium aureum, in quo et Amasis ipse et convivæ omnes lavare pedes consueverant: hoc pelluvium confringi, ex eoque confici dei simulacrum jussit, quod in loco urbis opportunissimo erexit. Et Ægyptii frequentes ad simulacrum conveniebant, illudque magna religione colebant. (3) Id ubi a civibus fieri intellexit Amasis, convocatis Ægyptiis, quod res erat, declaravit; dicens, factum esse simulacrum illud ex pelluvio, in quod paullo ante et evomuissent Ægyptii et imminxissent, et pedes in eo ablussent, qui nunc illud magna religione colant. (4) Jam igitur (sic loqui pergebat) suam sortem simillimam huic pelluvio esse: etsi enim prius fuisset plebeius, at in præsentia esse illorum regem, itaque illorum esse officium, sese honorare suique

τε καὶ προμηθέεσθαι ἑωυτοῦ ἐκέλευε. Τοιούτῳ μὲν τρόπῳ προσηγάγετο τοὺς Αἰγυπτίους ὥστε δικαιοῦν δουλεύειν.

CLXXIII. Ἐχρᾶτο δὲ καταστάσι πρηγμάτων τοιῇδε· τὸ μὲν ὄρθριον μέχρι ὅτευ πληθώρης ἀγορῆς προθύμως ἔπρησσε τὰ προσφερόμενα πρήγματα, τὸ δὲ ἀπὸ τούτου ἔπινέ τε καὶ κατέσκωπτε τοὺς συμπότας καὶ ἦν μάταιός τε καὶ παιγνιήμων. Ἀχθεσθέντες δὲ τούτοισι οἱ φίλοι αὐτοῦ ἐνουθέτεον αὐτὸν, τοιάδε λέγοντες, « ὦ βασιλεῦ, οὐκ ὀρθῶς σεωυτοῦ προέστηκας, ἐς τὸ ἄγαν φαῦλον προάγων σεωυτόν· σὲ γὰρ χρῆν ἐν θρόνῳ σεμνῷ σεμνὸν θωκέοντα δι' ἡμέρης πρήσσειν τὰ πρήγματα, καὶ οὕτω Αἰγύπτιοί τ' ἂν ἠπιστέατο ὡς ὑπ' ἀνδρὸς μεγάλου ἄρχονται, καὶ ἄμεινον σὺ ἂν ἤκουες· νῦν δὲ ποιέεις οὐδαμῶς βασιλικά. » (2) Ὁ δ' ἀμείβετο τοισίδε αὐτούς· « τὰ τόξα οἱ κεκτημένοι, ἐπεὰν μὲν δέωνται χρᾶσθαι, ἐντανύουσι, ἐπεὰν δὲ χρήσωνται, ἐκλύουσι· εἰ γὰρ δὴ τὸν πάντα χρόνον ἐντεταμένα εἴη, ἐκραγείη ἄν, ὥστε ἐς τὸ δέον οὐκ ἂν ἔχοιεν αὐτοῖσι χρᾶσθαι. (3) Οὕτω δὴ καὶ ἀνθρώπου κατάστασις· εἰ ἐθέλοι κατεσπουδάσθαι αἰεὶ μηδὲ ἐς παιγνίην τὸ μέρος ἑωυτὸν ἀνιέναι, λάθοι ἂν ἤτοι μανεὶς ἢ ὅ γε ἀπόπληκτος γενόμενος. Τὰ ἐγὼ ἐπιστάμενος μέρος ἑκατέρῳ νέμω. » Ταῦτα μὲν τοὺς φίλους ἀμείψατο.

CLXXIV. Λέγεται δὲ ὁ Ἄμασις, καὶ ὅτε ἦν ἰδιώτης, ὡς φιλοπότης ἦν καὶ φιλοσκώμμων καὶ οὐδαμῶς κατεσπουδασμένος ἀνήρ· ὅκως δέ μιν ἐπιλείποι πίνοντά τε καὶ εὐπαθέοντα τὰ ἐπιτήδεα, κλέπτεσκε ἂν περιιών. (2) Οἱ δ' ἄν μιν φάμενοι ἔχειν τὰ σφέτερα χρήματα ἀρνεύμενον ἄγεσκον ἐπὶ μαντήϊον, ὅκου ἑκάστοισι εἴη. Πολλὰ μὲν δὴ καὶ ἡλίσκετο ὑπὸ τῶν μαντηίων, πολλὰ δὲ καὶ ἀποφεύγεσκε. (3) Ἐπείτε δὲ καὶ ἐβασίλευσε, ἐποίησε τοιάδε· ὅσοι μὲν αὐτὸν τῶν θεῶν ἀπέλυσαν μὴ φῶρα εἶναι, τούτων μὲν τῶν ἱρῶν οὔτε ἐπεμέλετο οὔτε ἐς ἐπισκευὴν ἐδίδου οὐδὲν, οὐδὲ φοιτέων ἔθυε ὡς οὐδενὸς ἐοῦσι ἀξίοισι ψευδέα τε μαντήϊα κεκτημένοισι· ὅσοι δέ μιν κατέδησαν φῶρα εἶναι, τούτων δὲ ὡς ἀληθέως θεῶν ἐόντων καὶ ἀψευδέα μαντήϊα παρεχομένων τὰ μάλιστα ἐπεμέλετο.

CLXXV. Καὶ τοῦτο μὲν ἐν Σάϊ τῇ Ἀθηναίῃ προπύλαια θωμάσιά οἱ ἐξεποίησε, πολλὸν πάντας ὑπερβαλλόμενος τῷ τε ὕψεϊ καὶ τῷ μεγάθεϊ, ὅσων τε τὸ μέγαθος λίθων ἐστὶ καὶ ὁκοίων τέων· τοῦτο δὲ κολοσσοὺς μεγάλους καὶ ἀνδρόσφιγγας περιμήκεας ἀνέθηκε, λίθους τε ἄλλους ἐς ἐπισκευὴν ὑπερφυέας τὸ μέγαθος ἐκόμισε. (2) Ἠγάγετο δὲ τούτων τοὺς μὲν ἐκ τῶν κατὰ Μέμφιν ἐουσέων λιθοτομιέων, τοὺς δὲ ὑπερμεγάθεας ἐξ Ἐλεφαντίνης πόλιος πλόον καὶ εἴκοσι ἡμερέων ἀπεχούσης ἀπὸ Σάϊος. Τὸ δὲ οὐκ ἥκιστα αὐτῶν, ἀλλὰ μάλιστα θωμάζω, ἐστὶ τόδε· οἴκημα μουνόλιθον ἐκόμισε ἐξ Ἐλεφαντίνης πόλιος, καὶ τοῦτο ἐκόμιζον μὲν ἐπ' ἔτεα τρία, δισχίλιοι δέ οἱ προσετετάχατο ἄνδρες ἀγωγέες, καὶ οὗτοι ἅπαντες ἔσαν κυβερνῆται. (3) Τῆς δὲ στέγης ταύτης τὸ μὲν μῆκος ἔξωθέν ἐστι εἴς τε καὶ

HERODOTUS.

CLXXIII. Idem in rebus agendis hoc usus est instituto: primo mane, usque ad id tempus quo celebrari forum hominibus solet, studiose peragebat negotia quæcumque obferebantur: ab illo vero tempore ad potandum et ad cavillandum cum compotoribus se dabat, jocisque petulantioribus et rebus ludicris indulgebat. Quibus rebus offensi amici, admonuerunt eum, dicentes: « Non e dignitate tua, rex, te ipse moderaris; et nimis te humiliter demittis. Debebas tu, venerando in throno venerabilis sedens, per totum diem administrationi rerum vacare. Ita sciturі erant Ægyptii, a magno viro se regi, tuque melius audires. Nunc quæ tu agis, minime decent regem. » (2) Quibus ille his verbis respondit: » Qui arcu utuntur, hi eum, quando fert usus, nervo intendunt: postquam usi sunt, remittunt. Si enim perpetuo intentus esset, rumperetur; ut illo, ubi opus foret, non amplius possent uti. (3) Eadem nempe est hominis conditio. Quodsi quis semper vellet seriis rebus esse intentus, nec vicissim ad jocum se remittere; imprudenti huic accideret, ut vel furiosus fieret vel stupidus. Hoc ego intelligens, utrique rei suam partem tribuo. » Hoc ille amicis responsum dedit.

CLXXIV. Aiunt autem eundem Amasin, quum privatus fuisset, etiam tunc compotationes cavillationesque amasse, nec ullo modo seriis rebus fuisse intentum; et, quando potantem voluptatibusque indulgentem defecissent necessaria, circumivisse nonnunquam et furto abstulisse aliena. (2) Jam qui adfirmabant habere eum suam pecuniam, hi eum, quum negaret, ad oraculum ducebant quo quique utebantur: et a multis passim oraculis furti convincebatur, ab aliis absolvebatur. (3) Postquam autem regno potitus est, hoc fecit: quicumque dii eum furti crimine absolverant, horum templa et negligebat, neque ad reficienda illa quidquam dabat, neque sacra illis diis faciebat, ut qui nullius essent momenti, nec veracia haberent oracula; qui vero furti eum arguerant, horum præcipuam curam agebat, ut qui vere dii essent, et oracula non mendacia exhiberent.

CLXXV. Et primo quidem in Sai urbe ad Minervæ templum propylæa deæ exstruxit mirabilia, superiores omnes, qui talia exstruxerant, altitudine superans, et amplitudine, et ipsorum lapidum tum magnitudine tum qualitate. Statuas item magnas et ingenti mole androsphinges dedicavit, lapidesque alios immanis magnitudinis ad reficienda ædificia adgerendos curavit. (2) Horum alii ex lapicidina, quæ adversus Memphin est, adgerebantur: ii vero qui immani erant magnitudine, ex Elephantine urbe, quæ dierum non minus viginti navigatione abest a Sai. Quod vero ex his non minime miror sed maxime omnium, ædes est ex uno lapide, quam ex Elephantine urbe transportandam curavit: qua in transportanda per tres annos occupati erant duo millia hominum, cui ea cura commissa erat, hique omnes erant navium gubernatores. (3) Hujus ædis longitudo extrinsecus

9

εἴκοσι πήχεες, εὖρος δε τεσσερεσκαίδεκα, ὕψος δὲ ὀκτώ. Ταῦτα μὲν τὰ μέτρα ἔξωθεν τῆς στέγης τῆς μουνολίθου ἐστί· ἀτὰρ ἔσωθεν τὸ μῆκος ὀκτωκαίδεκα πηχέων καὶ πυγόνος, τὸ δὲ εὖρος δυώδεκα πηχέων, τὸ δὲ ὕψος πέντε πηχέων ἐστί. (4) Αὕτη τοῦ ἱροῦ κέεται παρὰ τὴν ἔσοδον. Ἔσω γάρ μιν ἐς τὸ ἱρὸν φασι τῶνδ' εἵνεκεν οὐκ ἐσελκύσαι· τὸν ἀρχιτέκτονα αὐτῆς ἑλκομένης τῆς στέγης ἀναστενάξαι οἷά τε χρόνου ἐγγεγονότος πολλοῦ καὶ ἀχθόμενον τῷ ἔργῳ, τὸν δὲ Ἄμασιν ἐνθυμιστὸν ποιησάμενον οὐκ ἐᾶν ἔτι προσωτέρω ἑλκύσαι. (5) Ἤδη δέ τινες λέγουσι ὡς ἄνθρωπος διεφθάρη ὑπ' αὐτῆς τῶν τις αὐτὴν μοχλευόντων, καὶ ἀπὸ τούτου οὐκ ἐσελκυσθῆναι.

CLXXVI. Ἀνέθηκε δὲ καὶ ἐν τοῖσι ἄλλοισι ἱροῖσι ὁ Ἄμασις πᾶσι τοῖσι ἐλλογίμοισι ἔργα τὸ μέγαθος ἀξιοθέητα, ἐν δὲ καὶ ἐν Μέμφι τὸν ὕπτιον κείμενον κολοσσὸν τοῦ Ἡφαιστείου ἔμπροσθε, τοῦ πόδες πέντε καὶ ἑβδομήκοντά εἰσι τὸ μῆκος. Ἐπὶ δὲ τῷ αὐτῷ βάθρῳ ἑστᾶσι Αἰθιοπικοῦ ἐόντες λίθου δύο κολοσσοὶ, εἴκοσι ποδῶν τὸ μέγαθος ἐὼν ἑκάτερος, ὁ μὲν ἔνθεν, ὁ δ' ἔνθεν τοῦ μεγάρου. (2) Ἔστι δὲ λίθινος ἕτερος τοσοῦτος καὶ ἐν Σάϊ, κείμενος κατὰ τὸν αὐτὸν τρόπον τῷ ἐν Μέμφι. Τῇ Ἴσι τε τὸ ἐν Μέμφι ἱρὸν Ἄμασίς ἐστι ὁ ἐξοικοδομήσας, ἐὸν μέγα τε καὶ ἀξιοθεητότατον.

CLXXVII. Ἐπ' Ἀμάσιος δὲ βασιλέος λέγεται Αἴγυπτος μάλιστα δὴ τότε εὐδαιμονῆσαι καὶ τὰ ἀπὸ τοῦ ποταμοῦ τῇ χώρῃ γινόμενα καὶ τὰ ἀπὸ τῆς χώρης τοῖσι ἀνθρώποισι, καὶ πόλις ἐν αὐτῇ γενέσθαι τὰς ἁπάσας τότε δισμυρίας τὰς οἰκεομένας. (2) Νόμον τε Αἰγυπτίοισι τόνδε Ἄμασίς ἐστι ὁ καταστήσας, ἀποδεικνύναι ἕτεος ἑκάστου τῷ νομάρχῃ πάντα τινὰ Αἰγυπτίων ὅθεν βιοῦται· μὴ δὲ ποιεῦντα ταῦτα, μηδὲ ἀποφαίνοντα δικαίην ζόην, ἰθύνεσθαι θανάτῳ. Σόλων δὲ ὁ Ἀθηναῖος λαβὼν ἐξ Αἰγύπτου τοῦτον τὸν νόμον Ἀθηναίοισι ἔθετο· τῷ ἐκεῖνοι ἐς αἰεὶ χρέονται, ἐόντι ἀμώμῳ νόμῳ.

CLXXVIII. Φιλέλλην δὲ γενόμενος ὁ Ἄμασις ἄλλα τε ἐς Ἕλλήνων μετεξετέρους ἀπεδέξατο, καὶ δὴ καὶ τοῖσι ἀπικνευμένοισι ἐς Αἴγυπτον ἔδωκε Ναύκρατιν πόλιν ἐνοικῆσαι· τοῖσι δὲ μὴ βουλομένοισι αὐτῶν οἰκέειν, αὐτοῦ δὲ ναυτιλλομένοισι ἔδωκε χώρους ἐνιδρύσασθαι βωμοὺς καὶ τεμένεα θεοῖσι. (2) Τὸ μέν νυν μέγιστον αὐτῶν τέμενος καὶ οὐνομαστότατον ἐὸν καὶ χρησιμώτατον, καλεύμενον δὲ Ἑλλήνιον, αἵδε πόλιές εἰσι αἱ ἱδρυμέναι κοινῇ, Ἰώνων μὲν Χίος καὶ Τέως καὶ Φώκαια καὶ Κλαζομεναὶ, Δωριέων δὲ Ῥόδος καὶ Κνίδος καὶ Ἁλικαρνησσὸς καὶ Φάσηλις, Αἰολέων δὲ ἡ Μυτιληναίων μούνη. (3) Τούτων μέν ἐστι τοῦτο τὸ τέμενος, καὶ προστάτας τοῦ ἐμπορίου αὗται αἱ πόλιές εἰσι αἱ παρέχουσαι· ὅσαι δὲ ἄλλαι πόλιες μεταποιεῦνται, οὐδέν σφι μετέον μεταποιεῦνται. Χωρὶς δὲ Αἰγινῆται ἐπ' ἑωυτῶν ἱδρύσαντο τέμενος Διὸς, καὶ ἄλλο Σάμιοι Ἥρης, καὶ Μιλήσιοι Ἀπόλλωνος.

CLXXIX. Ἦν δὲ τὸ παλαιὸν μούνη ἡ Ναύκρατις ἐμπόριον καὶ ἄλλο οὐδὲν Αἰγύπτου. Εἴ δέ τις ἐς τῶν τι ἄλλο στομάτων τοῦ Νείλου ἀπίκοιτο, χρῆν ὀμόσαι

est unius et viginti cubitorum; latitudo vero, quattuordecim; altitudo, octo cubitorum. Hæ sunt mensuræ ædis hujus monolithæ extrinsecus. Intrinsecus longitudo est octo decim cubitorum et viginti digitorum; latitudo, duodecim, altitudo, quinque cubitorum. (4) Posita hæc est ad introitum templi. Nam intra templum aiunt hac caussa non fuisse pertractam: architectum, quum ægre promoveretur ædes, multumque temporis esset insumtum, vehementer dolentem operis molestiam, ingemuisse; idque animadvertentem et religioni habentem Amasin non permisisse ut ulterius promoveretur ædes. (5) Præterea nonnulli narrant, quemdam ex his qui vectibus promovere ædem conabantur, esse ab illa oppressum, et ea caussa non intus esse promotam.

CLXXVI. Sed et in aliis omnibus nobilioribus templis dedicavit Amasis opera ob magnitudinem spectatu digna: in his *Memphi colossum illum resupinum* ante Vulcani templum, cujus longitudo septuaginta quinque pedum est: et super eadem basi duo alii stant colossi, uterque vicenûm pedum magnitudine, alter ab una ædis sacræ [*nisi potius*, magni colossi] parte, alter ab altera: uterque ex Æthiopico lapide est perfectus. (2) Est autem etiam in Sai urbe similis colossus lapideus, eodem habitu positus quo ille Memphi. Etiam Isidi templum illud, quod Memphis est, Amasi exstruxit, magnum et spectatu dignissimum.

CLXXVII. Regnante Amasi dicunt Ægyptum prosperitate *maxime floruisse, tum quod ad commoda spectat quæ fluvius regioni largitur, tum ad ea quæ e terra homines percipiunt*: et oppida habitata in ea tunc fuisse, si cuncta numeres; vicies mille. (2) Amasis etiam hic est qui legem illam Ægyptiis constituit, ut Ægyptiorum quisque quotannis apud nomi sui præfectum profiteretur, unde vitam sustentet: qui hoc non faceret et legitimum victum non declararet, is morte plecteretur. Quam legem Atheniensis Solon, ab Ægyptiis acceptam, Athenienſibus tulit, qui perpetuo ea utuntur, ut pote laudabili lege.

CLXXVIII. Græcorum amicus quum esset Amasis, et alia in Græcorum nonnullos beneficia contulit, et eis, qui in Ægyptum venirent, Naucratin urbem habitandam concessit: qui vero sedes in Ægypto figere nollent, et mercandi tantum caussa in eam navigarent, his areas adsignavit ubi aras et templa düs erigerent. (2) Maximum igitur illorum templum et celeberrimum, maximeque frequentatum, quod Hellenium nominatur, communi consilio sumtuque statuerunt hæ civitates: ex Ionibus, Chius, Teos Phocæa, et Clazomenæ; ex Doribus, Rhodus, Cnidus, Halicarnassus et Phaselis; ex Æolensibus, sola Mytilenæorum civitas. (3) Horum est igitur hoc templum, hæque civitates constituunt præsides emporii. Quodsi quæ aliæ partem illius sibi vindicant, rem sibi vindicant nihil ad se pertinentem. Præter istud vero templum, seorsum Æginetæ statuerunt Jovis fanum; et Samii aliud Junonis, tum Milesii, Apollinis.

CLXXIX. Fuitque olim solum in Ægypto emporium Naucratis, nec aliud ullum. Quodsi quis in aliorum Nili ostiorum aliquod intrasset, jurare eum oportebat, invitum eo

μὴ μὲν ἑκόντα ἐλθεῖν, ἀπομόσαντα δὲ τῇ νηῒ αὐτῇ πλώειν ἐς τὸ Κανωβικόν· ἢ εἰ μή γε οἷά τε εἴη πρὸς ἀνέμους ἀντίους πλώειν, τὰ φορτία ἔδεε περιάγειν ἐν βάρισι περὶ τὸ Δέλτα, μέχρι οὗ ἀπίκοιτο ἐς Ναύκρατιν. Οὕτω μὲν δὴ Ναύκρατις ἐτετίμητο.

CLXXX. Ἀμφικτυόνων δὲ μισθωσάντων τὸν ἐν Δελφοῖσι νῦν ἑόντα νηὸν τριηκοσίων ταλάντων ἐξεργάσασθαι· ὁ γὰρ πρότερον ἐὼν αὐτόθι αὐτομάτως κατεκάη, τοὺς Δελφοὺς δὲ ἐπέβαλλε τεταρτημόριον τοῦ μισθώματος παρασχεῖν. Πλανώμενοι δὲ οἱ Δελφοὶ περὶ τὰς πόλις ἐδωτίναζον, ποιεῦντες δὲ τοῦτο οὐκ ἐλάχιστον ἐξ Αἰγύπτου ἠνείκαντο· Ἄμασις μὲν γάρ σφι ἔδωκε χίλια στυπτηρίης τάλαντα, οἱ δὲ ἐν Αἰγύπτῳ οἰκέοντες Ἕλληνες εἴκοσι μνέας.

CLXXXI. Κυρηναίοισι δὲ Ἄμασις φιλότητά τε καὶ συμμαχίην συνεθήκατο. Ἐδικαίωσε δὲ καὶ γῆμαι αὐτόθεν, εἴτ' ἐπιθυμήσας Ἑλληνίδος γυναικὸς, εἴτε καὶ ἄλλως φιλότητος Κυρηναίων εἵνεκεν. Γαμέει δ' ὦν, οἱ μὲν λέγουσι Βάττου, οἱ δ' Ἀρκεσίλεω θυγατέρα, οἱ δὲ Κριτοβούλου ἀνδρὸς τῶν ἀστῶν δοκίμου, τῇ οὔνομα ἦν Λαδίκη. (2) Τῇ ἐπείτε συγκλίνοιτο ὁ Ἄμασις, μίσγεσθαι οὐκ οἷός τε ἐγίνετο· τῇσι δὲ ἄλλῃσι γυναιξὶ ἐχρᾶτο. Ἐπείτε δὲ πολλὸν τοῦτο ἐγίνετο, εἶπε ὁ Ἄμασις πρὸς τὴν Λαδίκην ταύτην καλευμένην, « ὦ γύναι, κατά με ἐφάρμαξας, καὶ ἔστι τοι οὐδεμία μηχανὴ μὴ οὐχ ἀπολωλέναι κάκιστα γυναικῶν πασέων. » (3) Ἡ δὲ Λαδίκη, ἐπείτε οἱ ἀρνευμένῃ οὐδὲν ἐγίνετο πρηΰτερος ὁ Ἄμασις, εὔχεται ἐν τῷ νόῳ τῇ Ἀφροδίτῃ, ἢν οἱ ὑπ' ἐκείνην τὴν νύκτα μιχθῇ ὁ Ἄμασις, τοῦτο γάρ οἱ κακοῦ εἶναι μῆχος, ἄγαλμά οἱ ἀποπέμψειν ἐς Κυρήνην. (4) Μετὰ δὲ τὴν εὐχὴν αὐτίκα οἱ ἐμίχθη ὁ Ἄμασις. Καὶ τὸ ἐνθεῦτεν ἤδη, ὁκότε ἔλθοι πρὸς αὐτὴν, ἐμίσγετο, καὶ κάρτα μιν ἔστερξε μετὰ τοῦτο. Ἡ δὲ Λαδίκη ἀπέδωκε τὴν εὐχὴν τῇ θεῷ· ποιησαμένη γὰρ ἄγαλμα ἀπέπεμψε ἐς Κυρήνην, τὸ ἔτι καὶ ἐς ἐμὲ ἦν σόον, ἔξω ἱδρυμένον τοῦ Κυρηναίων ἄστεος. (5) Ταύτην τὴν Λαδίκην, ὡς ἐπεκράτησε Καμβύσης Αἰγύπτου καὶ ἐπύθετο αὐτῆς ἥτις εἴη, ἀπέπεμψε ἀσινέα ἐς Κυρήνην.

CLXXXII. Ἀνέθηκε δὲ καὶ ἀναθήματα ὁ Ἄμασις ἐς τὴν Ἑλλάδα, τοῦτο μὲν ἐς Κυρήνην ἄγαλμα ἐπίχρυσον Ἀθηναίης καὶ εἰκόνα ἑωυτοῦ γραφῇ εἰκασμένην, τοῦτο δὲ τῇ ἐν Λίνδῳ Ἀθηναίῃ δύο τε ἀγάλματα λίθινα καὶ θώρηκα λίνεον ἀξιοθέητον, τοῦτο δ' ἐς Σάμον τῇ Ἥρῃ εἰκόνας ἑωυτοῦ διφασίας ξυλίνας, αἳ ἐν τῷ νηῷ τῷ μεγάλῳ ἱδρύατο ἔτι καὶ τὸ μέχρι ἐμεῦ, ὄπισθε τῶν θυρέων. (2) Ἐς μέν νυν Σάμον ἀνέθηκε κατὰ ξεινίην τὴν ἑωυτοῦ τε καὶ Πολυκράτεος τοῦ Αἰάκεος, ἐς δὲ Λίνδον ξεινίης μὲν οὐδεμιῆς εἵνεκεν, ὅτι δὲ τὸ ἱρὸν τὸ ἐν Λίνδῳ τὸ τῆς Ἀθηναίης λέγεται τὰς τοῦ Δαναοῦ θυγατέρας ἱδρύσασθαι προσσχούσας, ὅτε ἀπεδίδρησκον τοὺς Αἰγύπτου παῖδας. Ταῦτα μὲν ἀνέθηκε ὁ Ἄμασις· εἶλε δὲ Κύπρον πρῶτος ἀνθρώπων καὶ κατεστρέψατο ἐς φόρου ἀπαγωγήν.

se venisse; tum, hoc præstito jurejurando, cum navi sua in Canobicum ostium tenebatur navigare, aut, si per contrarios ventos hoc ei non licuisset, oportebat merces navigiis Ægyptiis circum Delta circumvehere, donec Naucratin pervenisset. Ita Naucratis in honore erat.

CLXXX. Quum Amphictyones, postquam superius templum Delphicum fortuito casu conflagraverat, illud quod nunc est trecentis talentis elocassent ædificandum, cujus summæ quartam partem Delphi pro sua portione tenebantur conferre; circumeuntes hi per civitates, dona corrogabant: quod dum faciebant, haud parum ex Ægypto retulerunt. Amasis enim mille eis dedit talenta aluminis; Græci vero in Ægypto habitantes, viginti libras.

CLXXXI. Idem Amasis cum Cyrenæis mutuam amicitiam societatemque contraxit. Constituitque etiam uxorem ex eorum regione ducere, sive quod Græcam habere uxorem desideraret, sive omnino amicitiæ caussa, quam cum Cyrenæis colebat. Duxit igitur spectati inter populares suos viri, quem Battum alii, alii Arcesilam, rursusque alii Critobulum dicunt, filiam, nomine Ladicen. (2) Cum qua quoties concumberet Amasis, coire non poterat, quum tamen aliis mulieribus uteretur. Id ubi sæpius ei accidit, dixit ad hanc Ladicen Amasis: « Veneficiis, o mulier, adversus me usa es: quare effugere nullo pacto potes, quominus pessime pereas mulierum omnium. » (3) Tum Ladice, postquam negando nihilo placatiorem reddere illum potuit, intra animum suum Veneri votum fecit, si ea nocte coisset cum ipsa Amasis (id enim unum esse calamitatis effugium), statuam se ei Cyrenen missuram. (4) Et post hoc conceptum votum continuo cum ea coiit Amasis; et, quoties deinde cupido eum incessit, coibat; vehementerque eam ab illo tempore diligebat. Et illa votum solvit deæ: faciendam curavit imaginem, Cyrenenque misit; quæ adhuc mea ætate superfuit, extra Cyrenæorum urbem constituta. (5) Eandem Ladicen Cambyses, Ægypto potitus, postquam ex ea, quænam esset, cognosset, illæsam Cyrenen remisit.

CLXXXII. Dedicavit Amasis donaria etiam in Græciam: et primum quidem Cyrenen Minervæ statuam misit inauratam, et sui imaginem pictura adsimulatam: tum Minervæ quæ Lindi colitur, duas statuas lapideas, et thoracem lineum spectatu dignum; denique Junoni Samiæ duas sui imagines ex ligno sculptas, quæ in magno templo ad meam usque ætatem steterunt post fores. (2) Et Samum quidem dona hæc miserat hospitii caussa, quod ei cum Polycrate Æacis filio intercesserat: Lindum vero, nullius quidem hospitii caussa, sed quoniam Minervæ templum Lindi exstructum esse perhibetur a Danai filiabus, quæ ad illam oram adpulissent, quum fugerent Ægypti filios. Hæc sunt donaria quæ Amasis dedicavit. Idem vero etiam Cyprum, a nemine ante illum subactam, cepit, tributariamque sibi fecit.

ΗΡΟΔΟΤΟΥ

ΙΣΤΟΡΙΩΝ ΤΡΙΤΗ.

(ΘΑΛΕΙΑ.)

I. Ἐπὶ τοῦτον δὴ τὸν Ἄμασιν Καμβύσης ὁ Κύρου ἐστρατεύετο, ἄγων καὶ ἄλλους τῶν ἦρχε, καὶ Ἑλλήνων Ἰωνάς τε καὶ Αἰολέας, δι' αἰτίην τοιήνδε. (2) Πέμψας Καμβύσης ἐς Αἴγυπτον κήρυκα αἴτεε Ἄμασιν θυγατέρα, αἴτεε δὲ ἐκ συμβουλίης ἀνδρὸς Αἰγυπτίου, ὃς μεμφόμενος Ἄμασιν ἔπρηξε ταῦτα ὅτι μιν ἐξ ἁπάντων τῶν ἐν Αἰγύπτῳ ἰητρῶν ἀποσπάσας ἀπὸ γυναικός τε καὶ τέκνων ἔκδοτον ἐποίησε ἐς Πέρσας, ὅτε Κῦρος πέμψας παρ' Ἄμασιν αἴτεε ἰητρὸν ὀφθαλμῶν, ὃς εἴη ἄριστος τῶν ἐν Αἰγύπτῳ. Ταῦτα δὴ ἐπιμεμφόμενος ὁ Αἰγύπτιος ἐνῆγε τῇ συμβουλίῃ, κελεύων αἰτέειν τὸν Καμβύσεα Ἄμασιν θυγατέρα, ἵνα ἢ δοὺς ἀνιῷτο ἢ μὴ δοὺς Καμβύσῃ ἀπέχθοιτο. (3) Ὁ δὲ Ἄμασις τῇ δυνάμι τῶν Περσέων ἀχθόμενος καὶ ἀρρωδέων οὐκ εἶχε οὔτε δοῦναι οὔτε ἀρνήσασθαι· εὖ γὰρ ἠπίστατο ὅτι οὐκ ὡς γυναῖκά μιν ἔμελλε Καμβύσης ἕξειν, ἀλλ' ὡς παλλακήν. Ταῦτα δὴ ἐκλογιζόμενος ἐποίησε τάδε. (4) Ἦν Ἀπρίεω τοῦ προτέρου βασιλέος θυγάτηρ κάρτα μεγάλη τε καὶ εὐειδής, μούνη τοῦ οἴκου λελειμμένη, οὔνομα δέ οἱ ἦν Νίτητις. Ταύτην δὴ τὴν παῖδα ὁ Ἄμασις κοσμήσας ἐσθῆτί τε καὶ χρυσῷ ἀποπέμπει ἐς Πέρσας ὡς ἑωυτοῦ θυγατέρα. (5) Μετὰ δὲ χρόνον ὡς μιν ἡσπάζετο πατρόθεν οὐνομάζων, λέγει πρὸς αὐτὸν ἡ παῖς, « ὦ βασιλεῦ, διαβεβλημένος ὑπ' Ἀμάσιος οὐ μανθάνεις, ὃς ἐμέ σοι κόσμῳ ἀσκήσας ἀπέπεμψε, ὡς ἑωυτοῦ θυγατέρα διδοὺς ἐοῦσαν τῇ ἀληθείῃ Ἀπρίεω, τὸν ἐκεῖνος ἐόντα ἑωυτοῦ δεσπότεα μετ' Αἰγυπτίων ἐφόνευσε. » Τοῦτο δὴ τὸ ἔπος καὶ αὕτη ἡ αἰτίη ἐγγενομένη ἤγαγε Καμβύσεα τὸν Κύρου μεγάλως θυμωθέντα ἐπ' Αἴγυπτον. Οὕτω μέν νυν λέγουσι Πέρσαι.

II. Αἰγύπτιοι δὲ οἰκηΐεῦνται Καμβύσεα, φάμενοί μιν ἐκ ταύτης δὴ τῆς Ἀπρίεω θυγατρὸς γενέσθαι· Κῦρον γὰρ εἶναι τὸν πέμψαντα παρ' Ἄμασιν ἐπὶ τὴν θυγατέρα, ἀλλ' οὐ Καμβύσεα. (2) Λέγοντες δὲ ταῦτα οὐκ ὀρθῶς λέγουσι. Οὐ μὴν οὐδὲ λέληθε αὐτούς (εἰ γάρ τινες καὶ ἄλλοι, τὰ Περσέων νόμιμα ἐπιστέαται καὶ Αἰγύπτιοι) ὅτι πρῶτα μὲν νόθον οὐ σφι νόμος ἐστὶ βασιλεῦσαι γνησίου παρεόντος, αὖτις δὲ ὅτι Κασσανδάνης τῆς Φαρνάσπεω θυγατρὸς ἦν παῖς Καμβύσης, ἀνδρὸς Ἀχαιμενίδεω, ἀλλ' οὐκ ἐκ τῆς Αἰγυπτίης. Ἀλλὰ παρατράπουσι τὸν λόγον προσποιεύμενοι τῇ Κύρου οἰκίῃ συγγενέες εἶναι. Καὶ ταῦτα μὲν ὧδε ἔχει.

III. Λέγεται δὲ καὶ ὅδε ὁ λόγος, ἐμοὶ μὲν οὐ πιθανὸς, ὡς τῶν Περσίδων γυναικῶν ἐσελθοῦσά τις παρὰ τὰς Κύρου γυναῖκας, ὡς εἶδε τῇ Κασσανδάνῃ παρεστεῶσας κάλλεϊ τε καὶ μεγάθεϊ ἀνωμένας εἶπαι πρὸς αὐτάς· « Ἀτὰρ ὑμεῖς, ὦ κακὴ τύχη, ἐπιστέαται τὴν μητέρα τὴν ὑμετέρην, ἥτις ὑμῖν ἐστὶ δεσποίνη, ἐπιστέαται δὲ καὶ τὴν Καμβύσεω μητρυιὴν, ὃς ὑμῖν ἐστὶ δεσπότης, ἐπιστέαται δὲ καὶ τὸν Καμβύσεα αὐτὸν, ὃς ὑμῖν ἐστὶ ἀνήρ; Ἀλλὰ ὑμῖν ἐγὼ ἐπεύχομαι ἐπὶ τούτοισι τοῖσι ἐπίστασθε ἐπιστεῶσι ἐπιτυχεῖν. » Ταῦτα δὴ λέγεται τὴν Κασσανδάνην ἀκούσασαν πολλὰ καὶ ἀγαθὰ ἐπιστέαται τὸν Καμβύσεα· οὐ γὰρ ἔτι ἐπιμῖξαι τὸν Καμβύσεα τῇ γυναικὶ μετὰ τὴν ἐσέλευσιν ταύτην τῆς ἀκοῆς τῶν λόγων. Ἐπιμῖξαι δὲ τὸν Καμβύσεα τῇ ἀδελφεῇ ἐπιστεῶσι τοιάδε. (2) Ἐόντες ἐν τῇ Αἰγύπτῳ ἄμφω ἀδελφεοὶ ὁμομήτριοι ἐπιμίσγονται. Ἐπὶ τοῦτον δὴ τὸν χρόνον ἔλεγον τοιάδε Ἕλληνες ἐπιστεῶσι τὸν Καμβύσεα· ἄγειν μιν τὴν ἀδελφεὴν ἐς Αἴγυπτον, ὕστερον δὲ καὶ ἄλλους Ἕλληνας. (3) Ἐπεὶ δὲ ἐπιστέαται τὸν Καμβύσεα ἐπιμῖξαι τῇ ἀδελφεῇ, οὐδὲν ἔτι ἐπιστέαται ἐπιστεῶσι ἐπιστέαται ἐπιστεῶσι ἐπιστέαται ἐπιστεῶσ

στεῶτα τέκνα εὐειδέα τε καὶ μεγάλα, πολλῷ ἐχρᾶτο τῷ ἐπαίνῳ ὑπερθωμάζουσα· ἡ δὲ Κασσανδάνη ἐοῦσα τοῦ Κύρου γυνὴ εἶπε τάδε, « τοιῶνδε μέντοι ἐμὲ παίδων μητέρα ἐοῦσαν Κῦρος ἐν ἀτιμίῃ ἔχει, τὴν δ' ἀπ' Αἰγύπτου ἐπίκτητον ἐν τιμῇ τίθεται. » (2) Τὴν μὲν ἀχθομένην τῇ Νιτήτι εἶπαι ταῦτα, τῶν δέ οἱ παίδων τὸν πρεσβύτερον εἶπαι Καμβύσεα, « τοιγάρ τοι, ὦ μῆτερ, ἐπεὰν ἐγὼ γένωμαι ἀνήρ, Αἰγύπτου τὰ μὲν ἄνω κάτω θήσω, τὰ δὲ κάτω ἄνω. » (3) Ταῦτα εἶπαι αὐτὸν ἔτεα ὡς δέκα κου γεγονότα, καὶ τὰς γυναῖκας ἐν θώματι γενέσθαι· τὸν δὲ διαμνημονεύοντα, οὕτω δή, ἐπείτε ἀνδρώθη καὶ ἔσχε τὴν βασιληίην, ποιήσασθαι τὴν ἐπ' Αἴγυπτον στρατηίην.

IV. Συνήνεικε δὲ καὶ ἄλλο τι τοιόνδε πρῆγμα γενέσθαι ἐς τὴν ἐπιστράτευσιν ταύτην. Ἦν τῶν ἐπικούρων τῶν Ἀμάσιος ἀνὴρ γένος μὲν Ἁλικαρνησεύς, οὔνομα δέ οἱ ἦν Φάνης, καὶ γνώμην ἱκανὸς καὶ τὰ πολέμια ἀλκιμος. Οὗτος ὁ Φάνης μεμφόμενός κού τι Ἀμάσι ἐκδιδρήσκει πλοίῳ ἐξ Αἰγύπτου, βουλόμενος Καμβύσῃ ἐλθεῖν ἐς λόγους. Οἷα δὲ ἐόντα αὐτὸν ἐν τοῖσι ἐπικούροισι λόγου οὐ σμικροῦ ἐπισταμένον τε τὰ περὶ Αἴγυπτον ἀτρεκέστατα, μεταδιώκει ὁ Ἄμασις σπουδὴν ποιεύμενος ἑλέειν, μεταδιώκει δὲ τῶν εὐνούχων τὸν πιστότατον ἀποστείλας τριήρεϊ κατ' αὐτόν, ὃς αἱρέει μιν ἐν Λυκίῃ, ἑλὼν δὲ οὐκ ἀνήγαγε ἐς Αἴγυπτον· σοφίῃ γάρ μιν περιῆλθε ὁ Φάνης· καταμεθύσας γὰρ τοὺς φυλάκους ἀπαλλάσσετο ἐς Πέρσας. (3) Ὡρμημένῳ δὲ Καμβύσῃ στρατεύεσθαι ἐπ' Αἴγυπτον καὶ ἀπορέοντι τὴν ἔλασιν, ὅκως τὴν ἄνυδρον διεκπερᾷ, ἐπελθὼν φράζει μὲν καὶ τἆλλα τὰ Ἀμάσιος πρήγματα, ἐξηγέεται δὲ καὶ τὴν ἔλασιν, ὧδε παραινέων, πέμψαντα παρὰ τὸν Ἀραβίων βασιλέα δέεσθαι τὴν διέξοδον οἱ ἀσφαλέα παρασχεῖν.

V. Μούνη δὲ ταύτῃ εἰσὶ φανεραὶ ἐσβολαὶ ἐς Αἴγυπτον. Ἀπὸ γὰρ Φοινίκης μέχρι οὔρων τῶν Καδύτιος πόλιος γῆ ἐστὶ Σύρων τῶν Παλαιστινῶν καλευμένων· ἀπὸ δὲ Καδύτιος ἐούσης πόλιος, ὡς ἐμοὶ δοκέει, Σαρδίων οὐ πολλῷ ἐλάσσονος, ἀπὸ ταύτης τὰ ἐμπόρια τὰ ἐπὶ θαλάσσης μέχρι Ἰηνύσου πόλιός ἐστι τοῦ Ἀραβίου, ἀπὸ δὲ Ἰηνύσου αὖτις Σύρων μέχρι Σερβωνίδος λίμνης, παρ' ἣν δὴ τὸ Κάσιον οὖρος τείνει ἐς θάλασσαν· ἀπὸ δὲ Σερβωνίδος λίμνης, ἐν τῇ δὴ λόγος τὸν Τυφῶ κεκρύφθαι, ἀπὸ ταύτης ἤδη Αἴγυπτος. (2) Τὸ δὴ μεταξὺ Ἰηνύσου πόλιος καὶ Κασίου τε οὔρεος καὶ τῆς Σερβωνίδος λίμνης, ἐὸν τοῦτο οὐκ ὀλίγον χωρίον, ἀλλ' ὅσον τε ἐπὶ τρεῖς ἡμέρας ὁδὸν, ἄνυδρόν ἐστι δεινῶς.

VI. Τὸ δὲ ὀλίγοι τῶν ἐς Αἴγυπτον ναυτιλλομένων ἐννενώκασι, τοῦτο ἔρχομαι φράσων. Ἐς Αἴγυπτον ἐκ τῆς Ἑλλάδος πάσης καὶ πρὸς ἐκ Φοινίκης κέραμος ἐσάγεται πλήρης οἴνου δὶς τοῦ ἔτεος ἑκάστου, καὶ ἓν κεράμιον οἰνηρὸν ἀριθμῷ κεινὸν οὐκ ἔστι ὡς λόγῳ εἰπαι ἰδέσθαι. Κοῦ δῆτα, εἴποι τις ἄν, ταῦτα ἀναισιμοῦται; ἐγὼ καὶ τοῦτο φράσω. (2) Δεῖ τὸν μὲν δήberos forma et statura præstantes, admiratam illos multis laudibus extulisse. Tum ei Cassandanam, Cyri uxorem, hæc dixisse : « Atqui me, quum talium mater sim puerorum, Cyrus tamen aspernatur; illam vero ex Ægypto comparatam in honore habet ». (2) Hæc postquam ingemiscens ob Nitetin esset locuta, filiorum natu maximum Cambysen dixisse : « Itaque, mater, quum ego vir evasero, Ægypti summa ima ponam, et ima summa. » (3) Hoc Cambysen dixisse decem circiter annos natum, mulieresque admiratione fuisse perculsas : et illum, postquam ad virilem pervenisset ætatem regnumque esset adeptus, dicti memorem, suscepisse in Ægyptum expeditionem.

IV. Acciderat vero etiam aliud quidpiam hujusmodi, quod ad expeditionem illam momentum contulit. Erat in numero auxiliarium Amasidis vir genere Halicarnassensis, cui Phanes nomen, homo et consilio præstans et bellica virtute. Phanes hic, nescio qua re infensus Amasidi, navi ex Ægypto profugit, cupiens in colloquium venire Cambysis. (2) At illum, ut qui inter auxiliares haud exiguo loco fuisset, et quæ ad Ægyptum spectabant accuratissime cognita habuisset, persecutus est Amasis, studiose dans operam ut eum caperet. Persecutus est autem misso, qua iter ille direxerat, eunuchorum fidelissimo cum triremi. Et cepit quidem hominem eunuchus in Lycia, sed captum non reduxit in Ægyptum : nam astutia eum Phanes circumvenit; inebriatis enim custodibus ad Persas evasit. (3) Ibi tunc Cambysen adiit, exercitum adversus Ægyptum ducere parantem, sed de itinere dubitantem quo pacto regionem aqua carentem transmitteret; eique quum alia ad res Amasidis spectantia, tum itineris faciendi rationem exposuit, sic monens, missis legatis rogaret Arabum regem, ut tutum ille transitum sibi præstaret.

V. Patet autem hac una via ingressus in Ægyptum. Nam a Phœnice usque ad fines Cadytis urbis, Syrorum terra est, qui Palæstini vocantur : a Cadyti (quæ est urbs haud multo minor, ut mihi videtur, Sardibus) emporia ad mare sita, usque ad Ienysum oppidum, sunt ditionis Arabici regis : ab Ienyso rursus Syrorum ditio pertinet ad Serbonidem usque lacum, juxta quem Casius mons ad mare porrigitur : a Serbonide lacu, in quo occultatum Typhonem aiunt, ab illo jam Ægyptus est. (2) Jam, qui inter Ienysum oppidum et Casium montem Serbonidemque lacum interjectus tractus est, haud ille exiguus, sed tridui fere itinere in longitudinem patens, is prorsus aquarum est inops.

VI. Quod vero a paucis eorum, qui in Ægyptum navigare consuerunt, animadversum est, id ego sum expositurus. In Ægyptum ex universa Græcia, et præterea ex Phœnice, bis quotannis invehuntur figlinà dolia vino repleta : verumtamen ne unum quidem, ut sic dicam, vinarium dolium inane ibi possis videre. Ubinam ergo, quærat quispiam, hæc consumuntur? Hoc quoque equi-

μαρχον ἕκαστον ἐκ τῆς ἑωυτοῦ πόλιος συλλέξαντα πάντα τὸν κέραμον ἄγειν ἐς Μέμφιν, τοὺς δὲ ἐκ Μέμφιος ἐς ταῦτα δὴ τὰ ἄνυδρα τῆς Συρίης κομίζειν πλήσαντας ὕδατος. Οὕτω ὁ ἐπιφοιτέων κέραμος καὶ ἐξαιρεόμενος ἐν Αἰγύπτῳ ἐπὶ τὸν παλαιὸν κομίζεται ἐς Συρίην.

VII. Οὕτω μέν νυν Πέρσαι εἰσὶ οἱ τὴν ἐσβολὴν ταύτην παρασκευάσαντες ἐπ' Αἴγυπτον, κατὰ δὴ τὰ εἰρημένα σάξαντες ὕδατι, ἐπείτε τάχιστα παρέλαβον Αἴγυπτον. Τότε δὲ οὐκ ἐόντος κω ὕδατος ἑτοίμου, Καμβύσης πυθόμενος τοῦ Ἁλικαρνησέος ξείνου, πέμψας παρὰ τὸν Ἄραβιον ἀγγέλους καὶ δεηθεὶς τῆς ἀσφαλείης ἔτυχε, πίστις δούς τε καὶ δεξάμενος παρ' αὐτοῦ.

VIII. Σέβονται δὲ Ἄραβιοι πίστις ἀνθρώπων ὁμοῖα τοῖσι μάλιστα. Ποιεῦνται δὲ αὐτὰς τρόπῳ τοιῷδε· τῶν βουλομένων τὰ πιστὰ ποιέεσθαι ἄλλος ἀνὴρ ἀμφοτέρων αὐτῶν ἐν μέσῳ ἑστεὼς λίθῳ ὀξέϊ τὸ ἔσω τῶν χειρῶν παρὰ τοὺς δακτύλους τοὺς μεγάλους ἐπιτάμνει τῶν ποιευμένων τὰς πίστις, καὶ ἔπειτεν λαβὼν ἐκ τοῦ ἱματίου ἑκατέρου κροκύδα ἀλείφει τῷ αἵματι ἐν μέσῳ κειμένους λίθους ἑπτά, τοῦτο δὲ ποιέων ἐπικαλέει τόν τε Διόνυσον καὶ τὴν Οὐρανίην. (2) Ἐπιτελέσαντος δὲ τούτου ταῦτα, ὁ τὰς πίστις ποιησάμενος τοῖσι φίλοισι παρεγγυᾷ τὸν ξεῖνον, ἢ καὶ τὸν ἀστόν, ἢν πρὸς ἀστὸν ποιέηται· οἱ δὲ φίλοι καὶ αὐτοὶ τὰς πίστις δικαιεῦσι σέβεσθαι. (3) Διόνυσον δὲ θεὸν μοῦνον καὶ τὴν Οὐρανίην ἡγεῦνται εἶναι, καὶ τῶν τριχῶν τὴν κουρὴν κείρεσθαί φασι κατά περ αὐτὸν τὸν Διόνυσον κεκάρθαι· κείρονται δὲ περιτρόχαλα, περιξυρεῦντες τοὺς κροτάφους. Οὐνομάζουσι δὲ τὸν μὲν Διόνυσον Ὀροτάλ, τὴν δὲ Οὐρανίην Ἀλιλάτ.

IX. Ἐπεὶ ὦν τὴν πίστιν τοῖσι ἀγγέλοισι τοῖσι παρὰ Καμβύσεω ἀπιγμένοισι ἐποιήσατο ὁ Ἄραβιος, ἐμηχανᾶτο τοιάδε· ἀσκοὺς καμήλων πλήσας ὕδατος ἐπέσαξε ἐπὶ τὰς ζωὰς τῶν καμήλων πάσας, τοῦτο δὲ ποιήσας ἤλασε ἐς τὴν ἄνυδρον καὶ ὑπέμενε ἐνθαῦτα τὸν Καμβύσεω στρατόν. (2) Οὗτος μὲν ὁ πιθανώτερος τῶν λόγων εἴρηται· δεῖ δὲ καὶ τὸν ἧσσον πιθανὸν, ἐπεί γε δὴ λέγεται, ῥηθῆναι. Ποταμός ἐστι μέγας ἐν τῇ Ἀραβίῃ τῷ οὔνομα Κόρυς, ἐκδιδοῖ δὲ οὗτος ἐς τὴν Ἐρυθρὴν καλευμένην θάλασσαν. (3) Ἀπὸ τούτου δὴ ὦν τοῦ ποταμοῦ λέγεται τὸν βασιλέα τῶν Ἀραβίων, ῥαψάμενον τῶν ὠμοβοέων καὶ τῶν ἄλλων δερμάτων ὀχετὸν μήκει ἐξικνεύμενον ἐς τὴν ἄνυδρον, ἀγαγεῖν διὰ δὴ τούτου τὸ ὕδωρ, ἐν δὲ τῇ ἀνύδρῳ μεγάλας δεξαμενὰς ὀρύξασθαι, ἵνα δεκόμεναι τὸ ὕδωρ σώζωσι. Ὁδὸς δ' ἐστὶ δυώδεκα ἡμερέων ἀπὸ τοῦ ποταμοῦ ἐς ταύτην τὴν ἄνυδρον· ἄγειν δέ μιν δι' ὀχετῶν τριῶν ἐς τριξὰ χωρία.

X. Ἐν δὲ τῷ Πηλουσίῳ καλευμένῳ στόματι τοῦ Νείλου ἑστρατοπεδεύετο Ψαμμήνιτος ὁ Ἀμάσιος παῖς, ὑπομένων Καμβύσεα. Ἄμασιν γὰρ οὐ κατέλαβε ζώοντα Καμβύσης ἐλάσας ἐπ' Αἴγυπτον, ἀλλὰ βασιλεύσας ὁ Ἄμασις τέσσερα καὶ τεσσεράκοντα ἔτεα ἀπέ-

dem dicam. (2) Quilibet præfectus populi tenetur sua ex urbe dolia omnia colligere, Memphinque mittere : porro Memphitæ, ea aqua repleta in aridum illum Syriæ tractum deportare. Ita dolia quotannis in Ægyptum invecta, ibique venum exposita, deinde ad priora in (?) Syriam transportantur.

VII. Ita scilicet Persæ, simulatque Ægypto potiti sunt, introitum illum in hanc regionem adpararunt, et ea qua dixi ratione aquis instruxerunt. At tunc temporis, quum nondum parata esset aqua, Cambyses ab Halicarnassensi hospite edoctus, missis ad Arabem nunciis, tutum transitum ab illo postulavit, et obtinuit fide data et ab illo accepta.

VIII. Colunt autem fidem Arabes, ut qui hominum maxime : dantque eam et accipiunt tali modo. Si qui volunt inter se fœdus pactumve inire, vir alius, in medio stans paciscentium, acuto lapide interiorem manum utriusque illorum prope pollicem incidit : tunc sumto ex utriusque veste flocco, inungit sanguine septem lapides in medio positos; dumque id facit, Bacchum invocat et Uraniam. (2) Hoc facto, is qui fœdus pepigit, commendat suis amicis hospitem illum, sive civem, si cum cive pepigit : et amici etiam ipsi æquum censent colere fidem. (3) Bacchum autem solum, et Uraniam, deos habent; aiuntque se crines suos eodem modo tondere, quo Bacchus ipse fuerit tonsus : tondentur autem in orbem, circum tempora capillos radentes. Bacchum vero, Orotal nominant; Uraniam, Alilat.

IX. Postquam igitur nunciis, qui a Cambyse venerant, fidem dederat Arabs, hæc est machinatus. Utres ex camelorum pellibus, aqua repletos, vivis omnibus camelis imposuit; eisque in tractum aqua carentem actis, exspectavit ibi Cambysen. (2) Hæc quidem maxime probabilis fama est : oportet vero etiam minus credibilem, quia et ipsa fertur, memorare. Fluvius est in Arabia magnus, cui Corys nomen, in Rubrum quod vocatur mare se exonerans. (3) Ab hoc igitur fluvio Arabum regem, consutis bubulis aliisque coriis, canalem duxisse aiunt ea longitudine, ut ad aridum illum tractum pertineret, et per hunc canalem derivasse aquam; in eodem autem illo tractu ingentes fodisse cisternas, quæ reciperent aquam servarentque. Est autem via ab illo fluvio in hunc aridum tractum duodecim dierum : derivasseque illum, aiunt, aquam per tres canales tria diversa in loca.

X. Sed ad Pelusium quod vocatur ostium Nili castra habebat Psammenitus, Amasidis filius, Cambysen exspectans. Nec enim in vivis amplius fuit Amasis quo tempore Ægyptum cum exercitu Cambyses invasit : sed vita functus erat, postquam quattuor et quadraginta annos

θανε, ἐν τοῖσι οὐδέν οἱ μέγα ἀνάρσιον πρῆγμα συνηνείχθη. Ἀποθανὼν δὲ καὶ ταριχευθεὶς ἐτάφη ἐν τῇσι ταφῇσι τῇσι ἐν τῷ ἱρῷ, τὰς αὐτὸς οἰκοδομήσατο. (2) Ἐπὶ Ψαμμηνίτου δὲ τοῦ Ἀμάσιος βασιλεύοντος Αἰγύπτου φάσμα Αἰγυπτίοισι μέγιστον δὴ ἐγένετο· ὕσθησαν γὰρ Θῆβαι αἱ Αἰγύπτιαι, οὔτε πρότερον οὐδαμὰ ὑσθεῖσαι οὔτε ὕστερον τὸ μέχρι ἐμεῦ, ὡς λέγουσι αὐτοὶ Θηβαῖοι. Οὐ γὰρ δὴ ὕεται τὰ ἄνω τῆς Αἰγύπτου τὸ παράπαν· ἀλλὰ καὶ τότε ὕσθησαν αἱ Θῆβαι ψακάδι.

XI. Οἱ δὲ Πέρσαι ἐπείτε διεξελάσαντες τὴν ἄνυδρον ζῶντο πέλας τῶν Αἰγυπτίων ὡς συμβαλέοντες, ἐνθαῦτα οἱ ἐπίκουροι οἱ τοῦ Αἰγυπτίου, ἐόντες ἄνδρες Ἕλληνές τε καὶ Κᾶρες, μεμφόμενοι τῷ Φάνῃ ὅτι στρατὸν ἤγαγε ἐπ' Αἴγυπτον ἀλλόθροον, μηχανέονται πρῆγμα ἐς αὐτὸν τοιόνδε. (2) Ἦσαν τῷ Φάνῃ παῖδες ἐν Αἰγύπτῳ καταλελειμμένοι, τοὺς ἀγαγόντες ἐς τὸ στρατόπεδον καὶ ἐς ὄψιν τοῦ πατρὸς κρητῆρα ἐν μέσῳ ἔστησαν ἀμφοτέρων τῶν στρατοπέδων, μετὰ δὲ ἀγινέοντες κατ' ἕνα ἕκαστον τῶν παίδων ἔσφαζον ἐς τὸν κρητῆρα. (3) Διὰ πάντων δὲ διεξελθόντες τῶν παίδων οἶνόν τε καὶ ὕδωρ ἐσεφόρεον ἐς αὐτὸν, ἐμπιόντες δὲ τοῦ αἵματος πάντες οἱ ἐπίκουροι οὕτω δὴ συνέβαλον. Μάχης δὲ γενομένης καρτερῆς καὶ πεσόντων ἐξ ἀμφοτέρων τῶν στρατοπέδων πλήθεϊ πολλῶν ἐτράποντο οἱ Αἰγύπτιοι.

XII. Θῶμα δὲ μέγα εἶδον πυθόμενος παρὰ τῶν ἐπιχωρίων· τῶν γὰρ ὀστέων περιεχυμένων χωρὶς ἑκατέρων τῶν ἐν τῇ μάχῃ ταύτῃ πεσόντων (χωρὶς μὲν γὰρ τῶν Περσέων ἐκέετο τὰ ὀστέα, ὡς ἐχωρίσθη κατ' ἀρχὰς, ἑτέρωθι δὲ τῶν Αἰγυπτίων) αἱ μὲν τῶν Περσέων κεφαλαί εἰσι ἀσθενέες οὕτω ὥστε, εἰ ἐθέλεις ψήφῳ μούνῃ βαλέειν, διατετρανέεις, αἱ δὲ τῶν Αἰγυπτίων οὕτω δή τι ἰσχυραὶ, ὃς μόγις ἂν λίθῳ παίσας διαράξειας. (2) Αἴτιον δὲ τούτου τόδε ἔλεγον, καὶ ἐμέ γ' εὐπετέως ἔπειθον, ὅτι Αἰγύπτιοι μὲν αὐτίκα ἀπὸ παιδίων ἀρξάμενοι ξυρεῦνται τὰς κεφαλὰς καὶ πρὸς τὸν ἥλιον παχύνεται τὸ ὀστέον. Τὠυτὸ δὲ τοῦτο καὶ τοῦ μὴ φαλακροῦσθαι αἴτιόν ἐστι· Αἰγυπτίων γὰρ ἄν τις ἐλαχίστους ἴδοιτο φαλακροὺς πάντων ἀνθρώπων. (3) Τούτοισι μὲν δὴ τοῦτό ἐστι αἴτιον ἰσχυρὰς φορέειν τὰς κεφαλάς, τοῖσι δὲ Πέρσῃσι, ὅτι ἀσθενέας φορέουσι τὰς κεφαλὰς, αἴτιον τόδε· σκιητροφέουσι ἐς ἀρχῆς πίλους τιάρας φορέοντες. (4) Ταῦτα μέν νυν τοιαῦτα ἐόντα εἶδον· εἶδον δὲ καὶ ἄλλα ὁμοῖα τούτοισι ἐν Παπρήμι τῶν ἅμα Ἀχαιμένεϊ τῷ Δαρείου διαφθαρέντων ὑπ' Ἰνάρω τοῦ Λίβυος.

XIII. Οἱ δὲ Αἰγύπτιοι ἐκ τῆς μάχης ὡς ἐτράποντο, ἔφευγον οὐδενὶ κόσμῳ. Κατειληθέντων δὲ ἐς Μέμφιν, ἔπεμπε ἀνὰ ποταμὸν Καμβύσης νέα Μυτιληναίην κήρυκα ἄγουσαν ἄνδρα Πέρσην, ἐς ὁμολογίην προκαλεύμενος Αἰγυπτίους· οἱ δὲ ἐπείτε τὴν νέα εἶδον ἐσελθοῦσαν ἐς τὴν Μέμφιν, ἐκχυθέντες ἁλέες ἐκ τοῦ τείχεος τήν τε νέα διέφθειραν καὶ τοὺς ἄνδρας κρεουργηδὸν

regnarat, intra quos nullum ei magnum aut grave incommodum acciderat. Mortuus conditusque, sepultus erat in sepulcris quæ in templo ipse construenda curaverat. (2) Regnante vero in Ægypto Psammenito, maximum sane prodigium accidit Ægyptiis : pluerat Thebis Ægyptiis, quod numquam nec ante nec post id tempus ad meam usque ætatem accidit, ut ipsi dicunt Thebani. Nam in superioribus Ægypti omnino non cadit pluvia : at tunc ipsis Thebis pluit stillatim.

XI. Persæ, transmissa regione aquis carente, quum castra castris Ægyptiorum opposuissent, ad congrediendum parati; ibi tunc auxiliares regis Ægypti, Græci homines et Cares, indignati quod Phanes externum exercitum in Ægyptum duxisset, tale adversus eum facinus machinantur. (2) Filios habebat Phanes in Ægypto relictos : his in castra et in conspectum patris perductis, craterem in medio posuere utrorumque castrorum, et productos singulos deinceps pueros super cratere mactarunt : (3) tunc, jugulatis cunctis, vinum et aquam in craterem ingessere, sanguinemque illorum potarunt auxiliares omnes, atque ita ad pugnandum progressi sunt. Acri deinde commisso prælio, postquam de utroque exercitu magna ceciderat multitudo, ad extremum in fugam vertuntur Ægyptii.

XII. Miram vero admodum rem equidem hic vidi, monitus ab indigenis. Quum ossa utrorumque, qui in eo prælio ceciderunt, separatim congesta sint (seorsum enim jacebant Persarum ossa, sicuti initio distincta erant; et alibi, ossa Ægyptiorum), Persarum crania ita sunt debilia, ut, si unum minutum calculum in ea volueris conjicere, perfores; Ægyptiorum vero ita sunt valida, ut lapide percutiens ægre diffringas. (2) Cujus rei caussam dixerunt esse, mihique facile persuaserunt, quod Ægyptii a pueris statim capita radunt, unde ossa in sole fiunt compacta : qua de eadem caussa fit etiam ut non calvescant; nullus enim est populus, apud quem tam raro caput videas calvum, quam apud Ægyptios. (3) His igitur hæc caussa est, cur valida sint eorum crania : Persis autem cur sint debilia, caussa hæc est, quod pueros in umbra educant, et pileos gestant, quos tiaras vocant. (4) Hæc igitur talia, qualia dixi, equidem vidi : vidi vero etiam his similia Papremi, in illis qui cum Achæmene, Darii filio, ab Inaro Afro occisi sunt.

XIII. Ægyptii ex prælio, ut terga vertere coacti sunt, effusa fuga se proripuere. Qui quum Memphin essent compulsi, ibique conclusi, misit ad eos per adversum flumen Cambys navem Mytilenæam, in qua erat caduceator genere Persa, qui ad deditionem faciendam hortaretur Ægyptios. At illi, ubi navem vident Memphin intrantem, de castelli muro universi effusi decurrunt, navem perdunt, homi-

διασπάσαντες ἐφόρεον ἐς τὸ τεῖχος. (2) Καὶ Αἰγύπτιοι μὲν μετὰ τοῦτο πολιορκεύμενοι χρόνῳ παρέστησαν, οἱ δὲ προσεχέες Λίβυες δείσαντες τὰ περὶ τὴν Αἴγυπτον γεγονότα παρέδοσαν σφέας αὐτοὺς ἀμαχητί, καὶ φόρον τε ἐτάξαντο καὶ δῶρα ἔπεμπον. (3) Ὡς δὲ Κυρηναῖοι καὶ Βαρκαῖοι, δείσαντες δμοίως καὶ οἱ Λίβυες, ἕτερα τοιαῦτα ἐποίησαν. Καμβύσης δὲ τὰ μὲν παρὰ Λιβύων ἐλθόντα δῶρα φιλοφρόνως ἐδέξατο, τὰ δὲ παρὰ Κυρηναίων ἀπικόμενα μεμφθείς, ὡς ἐμοὶ δοκέει, ὅτι ἦν ὀλίγα (ἔπεμψαν γὰρ δὴ πεντηκοσίας μνέας ἀργυρίου οἱ Κυρηναῖοι), ταύτας δρασσόμενος αὐτοχειρίῃ διέσπειρε τῇ στρατιῇ.

XIV. Ἡμέρῃ δὲ δεκάτῃ ἀπ' ἧς παρέλαβε τὸ τεῖχος τὸ ἐν Μέμφι Καμβύσης, κατίσας ἐς τὸ προάστειον ἐπὶ λύμῃ τὸν βασιλέα τῶν Αἰγυπτίων Ψαμμήνιτον, βασιλεύσαντα μῆνας ἓξ, τοῦτον κατίσας σὺν ἄλλοισι Αἰγυπτίοισι διεπειρᾶτο αὐτοῦ τῆς ψυχῆς ποιέων τοιάδε. (2) Στείλας αὐτοῦ τὴν θυγατέρα ἐσθῆτι δουλίῃ ἐξέπεμπε ἐπ' ὕδωρ ἔχουσαν ὑδρήϊον· συνέπεμπε δὲ καὶ ἄλλας παρθένους ἀπολέξας ἀνδρῶν τῶν πρώτων, δμοίως ἐσταλμένας τῇ τοῦ βασιλέος. (3) Ὡς δὲ βοῇ τε καὶ κλαυθμῷ παρῄϊσαν αἱ παρθένοι κατὰ τοὺς πατέρας, οἱ μὲν ἄλλοι πατέρες ἀνεβόων τε καὶ ἀνέκλαιον ὁρέοντες τὰ τέκνα κεκακωμένα, ὁ δὲ Ψαμμήνιτος προϊδὼν καὶ μαθὼν ἔκυψε ἐς τὴν γῆν. (4) Παρεξελθουσέων δὲ τῶν ὑδροφόρων, δεύτερά οἱ τὸν παῖδα ἔπεμπε μετ' ἄλλων Αἰγυπτίων δισχιλίων τὴν αὐτὴν ἡλικίην ἐχόντων, τούς τε αὐχένας κάλῳ δεδεμένους καὶ τὰ στόματα ἐγκεχαλινωμένους. Ἦγοντο δὲ ποινὴν τίσοντες Μυτιληναίων τοῖσι ἐν Μέμφι ἀπολομένοισι σὺν τῇ νηΐ· ταῦτα γὰρ ἐδίκασαν οἱ βασιλήϊοι δικασταί, ὑπὲρ ἀνδρὸς ἑκάστου δέκα Αἰγυπτίων τῶν πρώτων ἀνταπολλυσθαι. (5) Ὁ δὲ ἰδὼν παρεξιόντας καὶ μαθὼν τὸν παῖδα ἀγόμενον ἐπὶ θάνατον, τῶν ἄλλων Αἰγυπτίων τῶν περικατημένων αὐτὸν κλαιόντων καὶ δεινὰ ποιεύντων, τὠυτὸ ἐποίησε τὸ ἐπὶ τῇ θυγατρί. Παρελθόντων δὲ καὶ τούτων, συνήνεικε ὥστε τῶν συμποτέων οἱ ἄνδρα ἀπηλικιέστερον, ἐκπεπτωκότα ἐκ τῶν ἐόντων ἔχοντά τε οὐδὲν εἰ μὴ ὅσα πτωχὸς, καὶ προσαιτέοντα τὴν στρατιὴν, παριέναι Ψαμμήνιτόν τε τὸν Ἀμάσιος καὶ τοὺς ἐν τῷ προαστείῳ κατημένους τῶν Αἰγυπτίων. (6) Ὁ δὲ Ψαμμήνιτος ὡς εἶδε, ἀνακλαύσας μέγα καὶ καλέσας οὐνομαστὶ τὸν ἑταῖρον ἐπλήξατο τὴν κεφαλήν. Ἦσαν δ' ἄρα αὐτοῦ φύλακοι, οἱ τὸ ποιεύμενον πᾶν ἐξ ἐκείνου ἐπ' ἑκάστῃ ἐξόδῳ Καμβύσῃ ἐσήμαινον. (7) Θωμάσας δὲ ὁ Καμβύσης τὰ ποιεύμενα, πέμψας ἄγγελον εἰρώτα αὐτὸν λέγων τάδε, « δεσπότης σε Καμβύσης, Ψαμμήνιτε, εἰρωτᾷ διότι δὴ τὴν μὲν θυγατέρα ὁρέων κεκακωμένην καὶ τὸν παῖδα ἐπὶ θάνατον στείχοντα οὔτε ἀνέβωσας οὔτε ἀνέκλαυσας, τὸν δὲ πτωχὸν οὐδέν σοι προσήκοντα, ὡς ἄλλων πυνθάνεται, ἐτίμησας. » (8) Ὁ μὲν δὴ ταῦτα ἐπειρώτα, ὁ δ' ἀμείβετο τοισίδε, « ὦ παῖ Κύρου, τὰ μὲν οἰκήϊα ἦν μέζω κακὰ ἢ ὥστε ἀνακλαίειν, τὸ δὲ τοῦ ἑταίρου πάθος ἄξιον ἦν

nesque in frusta discerptos in castellum deportant. (2) Et Ægyptii quidem, posthac obsessi oppugnatique, ad extremum in deditionem venerunt; finitimi autem Libyes, Ægypti sortem veriti, non tentato armorum periculo sese tradiderunt, tributum solvere spondentes, et dona mittentes. (3) Similiter etiam Cyrenæi et Barcæi fecerunt, eadem timentes atque Libyes. Sed Cambyses Libyum quidem dona benigne accepit: at quæ a Cyrenæis erant missa aspernatus, puto, quod exigua essent (nam quingentas argenti libras miserant Cyrenæi); has igitur, sua manu prehensas, militibus distribuendas projecit.

XIV. Decimo die, ex quo in deditionem venerat castellum quod Memphi est, regem Ægyptiorum Psammenitum, qui sex menses regnaverat, Cambyses contumeliæ caussa cum aliis Ægyptiis residere jussit in suburbio; et animum illius tentaturus, hocce facere instituit. (2) Filiam illius, servili vestitu indutam, hydriamque gestantem, aquatum emisit, simulque cum ea alias virgines, ex principum virorum filiabus delectas, eodem cultu vestitas quo regis filia. (3) Quæ ubi ingenti cum clamore et ejulatu præteribant locum ubi considebant patres, reliqui patres, conspectis filiabus ita misere adfectis, invicem clamorem ejulatumque sustulere; Psammenitus vero, ubi respiciens cognovit, in terram defixit oculos. (4) Postquam præterierant puellæ aquatum missæ, secundo loco filium regis cum aliis bis mille ejusdem ætatis Ægyptiis præter regis oculos duci jussit, funè circum cervicem vinctos et ora frenis coercitos. Ducebantur autem hi ita, pœnas luituri Mytilenæis illis, qui Memphi cum navi perierant: hanc enim sententiam pronunciaverant regii judices, ut pro unoquoque viro decem Ægyptii ex principum numero invicem perirent. (5) Et ille, etiam hos prætereuntes videns, quum ad mortem duci filium suum intelligeret, reliquis Ægyptiis, qui circum illum sedebant, flentibus et lamentantibus, idem fecit quod in filia fecerat. Denique quum et hi prætiissent, accidit ut homo natu grandior, qui compotor regis olim fuerat, nunc vero bonis omnibus exciderat, nec aliud quidquam, nisi quantum mendicus, habebat, atque adeo stipem a militibus rogabat, præteriret præter Psammenitum, Amasidis filium, Ægyptiosque qui in suburbio sedebant. (6) Hunc ubi Psammenitus conspexit, ingentem in fletum erupit, et nomine compellans sodalem, caput sibi planxit. Erant autem illi custodes adpositi, qui, quidquid quaque prætereunte pompa faceret, observarent, et renunciarent Cambysi. (7) Miratus igitur Cambyses quæ ille fecerat, misso nuncio, interrogavit eum his verbis: « Dominus Cambyses ex te quærit, Psammenite, quid sit quod conspecta filia tua male adfecta, itemque conspecto filio ad supplicium prodeunte, nec clamorem nec fletum edidisti; mendicum vero illum, nihil ad te pertinentem, ut quidem ex aliis cognovit, honore hoc es prosecutus. » (8) Cui ita interroganti hæc ille respondit: « O fili Cyri, domestica mala majora erant quam quæ fletum exprimerent: at sodalis hujus calamitas lacrimas meretur, qui

δακρύων, ὃς ἐκ πολλῶν τε καὶ εὐδαιμόνων ἐκπεσὼν ἐς πτωχηίην ἀπῖχται ἐπὶ γήραος οὐδῷ. » Καὶ ταῦτα ὡς ἀπενειχθέντα ὑπὸ τούτου εὖ δοκέειν οἱ εἰρῆσθαι. (9) Ὡς δὲ λέγεται ὑπ' Αἰγυπτίων, δακρύειν μὲν Κροῖσον (ἐτετεύχεε γὰρ καὶ οὗτος ἐπισπόμενος Καμβύσῃ ἐπ' Αἴγυπτον), δακρύειν δὲ Περσέων τοὺς παρεόντας· αὐτῷ τε Καμβύσῃ ἐσελθεῖν οἶκτόν τινα, καὶ αὐτίκα κελεύειν τόν τέ οἱ παῖδα ἐκ τῶν ἀπολλυμένων σώζειν καὶ αὐτὸν ἐκ τοῦ προαστείου ἀναστήσαντας ἄγειν παρ' ἑωυτόν.

XV. Τὸν μὲν δὴ παῖδα εὗρον οἱ μετιόντες οὐκέτι περιεόντα, ἀλλὰ πρῶτον κατακοπέντα, αὐτὸν δὲ Ψαμμήνιτον ἀναστήσαντες ἦγον παρὰ Καμβύσεα· ἔνθα τοῦ λοιποῦ διαιτᾶτο ἔχων οὐδὲν βίαιον. (2) Εἰ δὲ καὶ ἠπιστήθη μὴ πολυπρηγμονέειν, ἀπέλαβε ἂν Αἴγυπτον ὥστε ἐπιτροπεύειν αὐτῆς, ἐπεὶ τιμᾶν εἰώθασι Πέρσαι τῶν βασιλέων τοὺς παῖδας· τῶν, ἢν καί σφεων ἀποστέωσι, ὅμως τοῖσί γε παισὶ αὐτῶν ἀποδιδοῦσι τὴν ἀρχήν. (3) Πολλοῖσι μέν νυν καὶ ἄλλοισι ἔστι σταθμώσασθαι ὅτι τοῦτο οὕτω νενομίκασι ποιέειν, ἐν δὲ καὶ τῷδε τῷ Λίβυος Ἰνάρω παιδὶ Θαννύρᾳ, ὃς ἀπέλαβε τήν οἱ ὁ πατὴρ εἶχε ἀρχήν, καὶ τῷ Ἀμυρταίου Παυσίρι· καὶ γὰρ οὗτος ἀπέλαβε τὴν τοῦ πατρὸς ἀρχήν· καίτοι Ἰνάρω τε καὶ Ἀμυρταίου οὐδαμοί κω Πέρσας κακὰ πλέω ἐργάσαντο. (4) Νῦν δὲ μηχανεώμενος κακὰ ὁ Ψαμμήνιτος ἔλαβε τὸν μισθόν· ἀπιστὰς γὰρ Αἰγυπτίους ἥλω, ἐπείτε δὲ ἐπάϊστος ἐγένετο ὑπὸ Καμβύσεω, αἷμα ταύρου πιὼν ἀπέθανε παραχρῆμα. Οὕτω δὴ οὗτος ἐτελεύτησε.

XVI. Καμβύσης δὲ ἐκ Μέμφιος ἀπίκετο ἐς Σάϊν πόλιν, βουλόμενος ποιῆσαι τὰ δὴ καὶ ἐποίησε. Ἐπείτε γὰρ ἐσῆλθε ἐς τὰ τοῦ Ἀμάσιος οἰκία, αὐτίκα ἐκέλευε ἐκ τῆς ταφῆς τὸν Ἀμάσιος νέκυν ἐκφέρειν ἔξω· ὡς δὲ ταῦτά οἱ ἐπιτελέα ἐγένετο, μαστιγοῦν ἐκέλευε καὶ τὰς τρίχας ἀποτίλλειν καὶ κεντροῦν τε καὶ τἄλλα πάντα λυμαίνεσθαι. Ἐπείτε δὲ καὶ ταῦτα ἔκαμον ποιεῦντες (ὁ γὰρ δὴ νεκρὸς ἅτε τεταριχευμένος ἀντεῖχέ τε καὶ οὐδὲν διεχέετο), ἐκέλευσέ μιν ὁ Καμβύσης κατακαῦσαι, ἐντελλόμενος οὐκ ὅσια. (2) Πέρσαι γὰρ θεὸν νομίζουσι εἶναι τὸ πῦρ. Τὸ ὦν κατακαίειν τοὺς νεκροὺς οὐδαμῶς ἐν νόμῳ οὐδετέροισί ἐστι, Πέρσῃσι μὲν ὅτι ὅπερ εἰρηται, θεῷ οὐ δίκαιον εἶναι λέγουσι νέμειν νεκρὸν ἀνθρώπου· Αἰγυπτίοισι δὲ νενόμισται τὸ πῦρ θηρίον εἶναι ἔμψυχον, πάντα δὲ αὐτὸ κατεσθίειν τά περ ἂν λάβῃ, πλησθὲν δὲ αὐτὸ τῆς βορῆς συναποθνήσκειν τῷ κατεσθιομένῳ. (3) Οὐκ ὦν θηρίοισι νόμος οὐδαμῶς σφί ἐστι τὸν νέκυν διδόναι· καὶ διὰ ταῦτα ταριχεύουσι, ἵνα μὴ κείμενος ὑπ' εὐλέων καταβρωθῇ. Οὕτω δὴ οὐδετέροισι νομιζόμενα ἐνετέλλετο ποιέειν ὁ Καμβύσης. (4) Ὡς μέντοι Αἰγύπτιοι λέγουσι, οὐκ Ἄμασις ἦν ὁ ταῦτα παθών, ἀλλ' ἄλλος τῶν τις Αἰγυπτίων, ἔχων τὴν αὐτὴν ἡλικίην Ἀμάσι, τῷ λυμαινόμενοι Πέρσαι ἐδόκεον Ἀμάσι λυμαίνεσθαι. (5) Λέγουσι γὰρ ὡς πυθόμενος ἐκ μαντηίου ὁ Ἄμασις τὰ περὶ ἑωυτὸν ἀποθανόντα μέλλοι γίνεσθαι, οὕτω δὴ ἀκεόμενος ingentibus opibus excidit, et in senectutis limine ad mendicitatem est redactus. » Hæc quum ab eodem nuncio ad Cambysen essent relata, commode dicta ei visa esse. (9) Narrant autem Ægyptii, etiam Crœsum (nam hunc quoque secum in Ægyptum Cambyses adduxerat) et Persas, qui aderant, lacrimasse; ipsumque Cambysen misericordia quadam fuisse tactum, protinusque jussisse, ut filius ejus ex horum numero qui perire deberent eximeretur, et ipse e suburbio excitus ad se duceretur.

XV. Jam filium quidem, qui ad eum servandum missi sunt, non amplius superstitem invenerunt, ut qui primo loco fuerat cæsus : sed Psammenitum ipsum, e suburbio excitum, ad Cambysen duxerunt; apud quem ille deinde vitam egit, nullam vim passus. (2) Qui si non creditus fuisset res novas moliri, recepturus erat Ægyptum, ita ut tamquam præfectus eam esset administraturus. Nam honorare consueverunt Persæ regum filios; quibus, licet patres ab illis defecerint, reddunt regnum. (3) Id enim ita institutum eos habere, quum ex aliis multis colligi potest, tum hoc, quod Thannyræ, Inari Afri filio, paternum regnum restitutum est, pariterque Pausiridi, Amyrtæi filio, qui et ipse paternum recepit imperium; quamvis nemo plus mali Persis fecerit, quam Inarus et Amyrtæus. (4) Nunc Psammenitus, prava molitus, mercedem accepit : nam ad defectionem sollicitasse Ægyptios deprehensus est; quod quum esset compertum Cambysi, tauri sanguinem bibere coactus e vestigio mortuus est. Talem igitur ille vitæ exitum habuit.

XVI. Cambyses vero Memphi Sain urbem profectus est, ea facturus quæ etiam peregit. Nam Amasidis ædes ingressus, protinus e sepulcro proferri cadaver Amasidis jussit : eoque facto, flagellis illud cædi jussit, et capillos evelli, et stimulis pungi, et aliis modis ei insultari. Quæ quum multo cum labore fecissent ministri (nam resistebat cadaver, quippe conditum, ac nullo modo diffluebat), comburi illud Cambyses jussit, nefarium jubens facinus. (5) Etenim Persæ deum habent ignem : itaque igne comburere mortuos, utrisque nefas est : Persis quidem, eam ipsam ob caussam quam memoravi, dicunt enim nefas esse, cadaver hominis offerre deo. Ægyptii vero censent vivam belluam esse ignem, quæ devoret quidquid nacta sit, tum pabulo satiata simul cum eo quod devoravit moriatur. (3) Atqui nefas illis est, bestiis tradere cadaver; ob eamque caussam illud condiunt, ne in terra jacens consumatur a vermibus. Itaque, quod utrisque nefas erat, id faciendum præcepit Cambyses. (4) Quamquam, ut quidem Ægyptii aiunt, non Amasis fuit cui hoc accidit, sed alius quidam Ægyptius, ejusdem cum Amasi staturæ, quem ea contumelia adficientes Persæ, Amasidi insultare putarunt. (5) Amasin enim aiunt, quum ex oraculo cognosset quid sibi post mortem esset patiendum,

τὰ ἐπιφερόμενα τὸν μὲν ἄνθρωπον τοῦτον τὸν μαστιγωθέντα ἀποθανόντα ἔθαψε ἐπὶ τῇσι θύρῃσι ἐντὸς τῆς ἑωυτοῦ θήκης, ἑωυτὸν δὲ ἐνετείλατο τῷ παιδὶ ἐν μυχῷ τῆς θήκης ὡς μάλιστα θεῖναι. (6) Αἱ μέν νυν ἐκ τοῦ Ἀμάσιος ἐντολαὶ αὗται αἱ ἐς τὴν ταφήν τε καὶ τὸν ἄνθρωπον ἔχουσαι οὐ μοι δοκέουσι ἀρχὴν γενέσθαι, ἄλλως δ' αὐτὰ Αἰγύπτιοι σεμνοῦν.

XVII. Μετὰ δὲ ταῦτα ὁ Καμβύσης ἐβουλεύσατο τριφασίας στρατηΐας, ἐπί τε Καρχηδονίους καὶ ἐπ' Ἀμμωνίους καὶ ἐπὶ τοὺς μακροβίους Αἰθίοπας, οἰκημένους δὲ Λιβύης ἐπὶ τῇ νοτίῃ θαλάσσῃ. (2) Βουλευομένῳ δέ οἱ ἔδοξε ἐπὶ μὲν Καρχηδονίους τὸν ναυτικὸν στρατὸν ἀποστέλλειν, ἐπὶ δὲ Ἀμμωνίους τοῦ πεζοῦ ἀποκρίναντα, ἐπὶ δὲ τοὺς Αἰθίοπας κατόπτας πρῶτον, ὀψομένους τε τὴν ἐν τούτοισι τοῖσι Αἰθίοψι λεγομένην εἶναι ἡλίου τράπεζαν, εἰ ἔστι ἀληθέως, καὶ πρὸς ταύτῃ τὰ ἄλλα κατοψομένους, δῶρα δὲ τῷ λόγῳ φέροντας τῷ βασιλέϊ αὐτῶν.

XVIII. Ἡ δὲ τράπεζα τοῦ ἡλίου τοιήδε τις λέγεται εἶναι. Λειμών ἐστι ἐν τῷ προαστείῳ ἐπίπλεος κρεῶν ἑφθῶν πάντων τῶν τετραπόδων, ἐς τὸν τὰς μὲν νύκτας ἐπιτηδεύοντας τιθέναι τὰ κρέα τοὺς ἐν τέλεϊ ἑκάστους ἐόντας τῶν ἀστῶν, τὰς δὲ ἡμέρας δαίνυσθαι προσιόντα τὸν βουλόμενον· φάναι δὲ τοὺς ἐπιχωρίους ταῦτα τὴν γῆν αὐτὴν ἀναδιδόναι ἑκάστοτε. Ἡ μὲν δὴ τράπεζα τοῦ ἡλίου καλευμένη λέγεται εἶναι τοιήδε.

XIX. Καμβύσῃ δὲ ὡς ἔδοξε πέμπειν τοὺς κατασκόπους, αὐτίκα μετεπέμπετο ἐξ Ἐλεφαντίνης πόλιος τῶν Ἰχθυοφάγων ἀνδρῶν τοὺς ἐπισταμένους τὴν Αἰθιοπίδα γλῶσσαν. (2) Ἐν ᾧ δὲ τούτους μετήϊσαν, ἐν τούτῳ ἐκέλευε ἐπὶ τὴν Καρχηδόνα πλώειν τὸν ναυτικὸν στρατόν. Φοίνικες δὲ οὐκ ἔφασαν ποιήσειν ταῦτα· ὁρκίοισί τε γὰρ μεγάλοισι ἐνδεδέσθαι, καὶ οὐκ ἂν ποιέειν ὅσια ἐπὶ τοὺς παῖδας τοὺς ἑωυτῶν στρατευόμενοι. (3) Φοινίκων δὲ οὐ βουλομένων οἱ λοιποὶ οὐκ ἀξιόμαχοι ἐγίνοντο. Καρχηδόνιοι μέν νυν οὕτω δουλοσύνην διέφυγον πρὸς Περσέων· Καμβύσης γὰρ βίην οὐκ ἐδικαίου προσφέρειν Φοίνιξι, ὅτι σφέας τε αὐτοὺς ἐδεδώκεσαν Πέρσῃσι καὶ πᾶς ἐκ Φοινίκων ἤρτητο ὁ ναυτικὸς στρατός. Δόντες δὲ καὶ Κύπριοι σφέας αὐτοὺς Πέρσῃσι ἐστρατεύοντο ἐπ' Αἴγυπτον.

XX. Ἐπείτε δὲ τῷ Καμβύσῃ ἐκ τῆς Ἐλεφαντίνης ἀπίκοντο οἱ Ἰχθυοφάγοι, ἔπεμπε αὐτοὺς ἐς τοὺς Αἰθίοπας ἐντειλάμενός τε τὰ λέγειν χρῆν, καὶ δῶρα φέροντας πορφύρεόν τε εἶμα καὶ χρύσεον στρεπτὸν περιαυχένιον καὶ ψέλια καὶ μύρου ἀλάβαστρον καὶ φοινικηίου οἴνου κάδον. (2) Οἱ δὲ Αἰθίοπες οὗτοι, ἐς τοὺς ἀπέπεμπε ὁ Καμβύσης, λέγονται εἶναι μέγιστοι καὶ κάλλιστοι ἀνθρώπων πάντων· νόμοισι δὲ καὶ ἄλλοισι χρᾶσθαι αὐτούς φασι κεχωρισμένοισι τῶν ἄλλων ἀνθρώπων, καὶ δὴ καὶ κατὰ τὴν βασιληΐην τοιῷδε· τὸν ἂν τῶν ἀστῶν κρίνωσι μέγιστόν τε εἶναι καὶ κατὰ τὸ μέγαθος ἔχειν τὴν ἰσχύν, τοῦτον ἀξιοῦσι βασιλεύειν.

XXI. Ἐς τούτους δὴ ὧν τοὺς ἄνδρας ὡς ἀπίκοντο

quo evaderet imminentem sortem, hominem hunc, qui nunc flagellis cæsus est, tunc temporis mortuum, suo in sepulcro prope januam sepeliise, mandasse autem filio, ut ipsum in imo sepulcri recessu deponeret. (6) At mihi quidem videtur, mandatum tale, ad suam sepulturam et ad hominem istum pertinens, nullum omnino dedisse Amasin, sed falso hæc jactari ab Ægyptiis.

XVII. Post hæc Cambyses triplicem meditatus est expeditionem; unam adversus Carthaginienses, alteram adversus Ammonios, tertiam adversus Macrobios (*id est*, Longævos) Æthiopes, ad australe Libyæ mare habitantes. (2) Instituta deliberatione placuit ei, adversus Carthaginienses navalem exercitum mittere; adversus Ammonios terrestrium copiarum partem; ad Æthiopas vero primum speculatores, qui et Solis mensam, quæ in horum Æthiopum terra esse dicebatur, viderent an revera esset, et reliqua quoque præter hanc explorarent; in speciem autem dona ferrent regi eorum.

XVIII. Illa Solis mensa fertur esse hujusmodi. Pratum est in suburbio, coctis carnibus quadrupedum omnis generis repletum: eas carnes, aiunt, noctu ex instituto ibi deponi ab omnibus qui in dignitate essent civibus, interdiu autem accedere quemque qui vellet, eisque vesci; dicere autem indigenas, ipsam terram illas quaque nocte progignere. Talis igitur esse fertur illa Solis quæ vocatur mensa.

XIX. Ut vero speculatores mittere Cambyses constituit, statim ex Elephantine urbe homines arcessivit de Ichthyophagorum genere, qui Æthiopiam linguam callerent. (2) Interim vero, dum hi arcesserentur, navalem exercitum adversus Carthaginem jussit navigare. At Phœnices id se facturos negarunt: magnis quippe juramentis sese teneri, et nefas esse facturos, si contra suam sobolem militarent. (3) Nolentibus autem Phœnicibus, reliqui pares non erant viribus: atque ita Carthaginienses servitutem, quæ illis a Persis imminebat, effugerunt. Etenim vim adferre Phœnicibus æquum non censuit Cambyses, ut qui se ultro Persis tradidissent, et e quibus penderent universæ ipsius copiæ navales. Præter Phœnices, Cyprii quoque Persis sese tradiderant, et expeditionis in Ægyptum susceptæ erant socii.

XX. Postquam ad Cambysen ex Elephantine advenerunt Ichthyophagi, misit eos ad Æthiopas, edoctos quid diceret, et dona ferentes, purpureum amiculum, et aureum torquem armillasque, et unguenti alabastrum, et palmei vini cadum. (2) Dicuntur autem Æthiopes hi, ad quos misit Cambyses, et statura maximi et pulcerrimi esse hominum omnium; et quum aliis institutis uti diversis ab ceterorum hominum institutis, tum hoc ad regiam dignitatem spectante: quemcumque civium statura maximum judicant et corporis viribus pro ratione præstantem, hunc regem esse æquum censent.

XXI. Ad hos igitur homines ubi advenerunt Ichthyo-

οἱ Ἰχθυοφάγοι, διδόντες τὰ δῶρα τῷ βασιλεῖ αὐτῶν ἔλεγον τάδε, « βασιλεὺς ὁ Περσέων Καμβύσης, βουλόμενος φίλος τοι καὶ ξεῖνος γενέσθαι, ἡμέας τε ἀπέπεμψε ἐς λόγους τοι ἐλθεῖν κελεύων, καὶ δῶρα ταῦτά τοι διδοῖ τοῖσι καὶ αὐτὸς μάλιστα ἥδεται χρεώμενος. » (2) Ὁ δὲ Αἰθίοψ μαθὼν ὅτι κατόπται ἥκοιεν, λέγει πρὸς αὐτοὺς τοιάδε, « οὔτε ὁ Περσέων βασιλεὺς δῶρα ὑμέας ἔπεμψε φέροντας προτιμέων πολλοῦ ἐμοὶ ξεῖνος γενέσθαι, οὔτε ὑμεῖς λέγετε ἀληθέα (ἥκετε γὰρ κατόπται τῆς ἐμῆς ἀρχῆς), οὔτε ἐκεῖνος ἀνὴρ ἐστι δίκαιος· εἰ γὰρ ἦν δίκαιος, οὔτ' ἂν ἐπεθύμησε χώρης ἄλλης ἢ τῆς ἑωυτοῦ, οὔτ' ἂν ἐς δουλοσύνην ἀνθρώπους ἦγε ὑπ' ὧν μηδὲν ἠδίκηται. (3) Νῦν δὲ αὐτῷ τόξον τόδε διδόντες τάδε ἔπεα λέγετε, Βασιλεὺς ὁ Αἰθιόπων συμβουλεύει τῷ Περσέων βασιλεῖ, ἐπεὰν οὕτω εὐπετέως ἕλκωσι τὰ τόξα Πέρσαι ἐόντα μεγάθεϊ τοσαῦτα, τότε ἐπ' Αἰθίοπας τοὺς μακροβίους πλήθεϊ ὑπερβαλλόμενον στρατεύεσθαι· μέχρι δὲ τούτου θεοῖσι εἰδέναι χάριν, οἳ οὐκ ἐπὶ νόον τράπουσι Αἰθιόπων παισὶ γῆν ἄλλην προσκτᾶσθαι τῇ ἑωυτῶν. »

XXII. Ταῦτα δὲ εἶπας καὶ ἀνεὶς τὸ τόξον παρέδωκε τοῖσι ἤκουσι. Λαβὼν δὲ τὸ εἷμα τὸ πορφύρεον εἰρώτα ὅ τι εἴη καὶ ὅκως πεποιημένον. Εἰπάντων δὲ τῶν Ἰχθυοφάγων τὴν ἀληθείαν περὶ τῆς πορφύρης καὶ τῆς βαφῆς, δολεροὺς μὲν τοὺς ἀνθρώπους ἔφη εἶναι, δολερὰ δὲ αὐτῶν τὰ εἵματα. (2) Δεύτερα δὲ τὸν χρύσεον εἰρώτα στρεπτὸν τὸν περιαυχένιον καὶ τὰ ψέλια· ἐξηγεομένων δὲ τῶν Ἰχθυοφάγων τὸν κόσμον αὐτῶν, γελάσας ὁ βασιλεὺς καὶ νομίσας εἶναι σφεα πέδας εἶπε ὡς παρ' ἑωυτοῖσί εἰσι ῥωμαλεώτεραι τούτων πέδαι. Τρίτα δὲ εἰρώτα τὸ μύρον· εἰπάντων δὲ τῆς ποιήσιος πέρι καὶ ἀλείψιος, τὸν αὐτὸν λόγον τὸν καὶ περὶ τοῦ εἵματος εἶπε. (3) Ὡς δὲ ἐς τὸν οἶνον ἀπίκετο καὶ ἐπύθετο αὐτοῦ τὴν ποίησιν, ὑπερησθεὶς τῷ πόματι ἐπείρετο ὅ τι τε σιτέεται ὁ βασιλεὺς καὶ χρόνον ὁκόσον μακρότατον ἀνὴρ Πέρσης ζώει. (4) Οἱ δὲ σιτέεσθαι μὲν τὸν ἄρτον εἶπαν, ἐξηγησάμενοι τῶν πυρῶν τὴν φύσιν, ὀγδώκοντα δ' ἔτεα ζόης πλήρωμα ἀνδρὶ μακρότατον προκέεσθαι. (5) Πρὸς ταῦτα ὁ Αἰθίοψ ἔφη οὐδὲν θωμάζειν εἰ σιτεόμενοι κόπρον ἔτεα ὀλίγα ζώουσι· οὐδὲ γὰρ ἂν τοσαῦτα δύνασθαι ζώειν σφέας, εἰ μὴ τῷ πόματι ἀνέφερον, φράζων τοῖσι Ἰχθυοφάγοισι τὸν οἶνον· τοῦτο γὰρ ἑωυτοὺς ὑπὸ Περσέων ἐσσοῦσθαι.

XXIII. Ἀντειρομένων δὲ τὸν βασιλέα τῶν Ἰχθυοφάγων τῆς ζόης καὶ διαίτης πέρι, ἔτεα μὲν ἐς εἴκοσι καὶ ἑκατὸν τοὺς πολλοὺς αὐτῶν ἀπικνέεσθαι, ὑπερβάλλειν δέ τινας καὶ ταῦτα, σίτησιν δὲ εἶναι κρέα ἑφθὰ καὶ πόμα γάλα. Θῶμα δὲ ποιευμένων τῶν κατασκόπων περὶ τῶν ἐτέων, ἐπὶ κρήνην σφι ἡγήσασθαι, ἀπ' ἧς λούμενοι λιπαρώτεροι ἐγίνοντο, κατά περ εἰ ἐλαίου εἴη· ὀδμὴν δὲ ἀπ' αὐτῆς ὡς εἰ ἴων. (2) Ἀσθενὲς δὲ τὸ ὕδωρ τῆς κρήνης ταύτης οὕτω δή τι ἔλεγον εἶναι οἱ κατάσκοποι ὥστε μηδὲν οἷόν τε εἶναι ἐπ' αὐτοῦ ἐπιπλώειν, μήτε ξύλον μήτε τῶν ὅσα ξύλου ἐστὶ ἐλαφρότερα, ἀλλὰ

phagi, dona porrigentes regi eorum, hæc verba fecerunt : « Rex Persarum Cambyses, cupiens amicitiam tecum hospitiumque jungere, misit nos, jubens ut in colloquium tuum veniremus; et dona tibi dat hæc, quarum rerum usu et ipse maxime delectatur. » (2) Quibus Æthiops, intelligens venire eos ut speculatores, in hunc modum respondit : « Neque Persarum rex eo vos misit dona ferentes, quod multum ei intersit ut mecum hospitium jungat; nec vos vera dicitis (venistis enim ut regni mei speculatores); nec ille vir justus est : nam si justus esset, non concupivisset aliam terram præter suam, nec in servitutem redegisset homines, qui nulla illum injuria adfecerant. (3) Nunc illi arcum hunc tradite, hæc verba dicentes : Rex Æthiopum suadet regi Persarum, ut quando ita facile arcus tendere hujus molis Persæ potuerint, tunc adversus Macrobios Æthiopas copiis multitudine nos superantibus moveat bellum : usque eo autem diis habeat gratiam, quod Æthiopum filiis non induxerint in animum, ut præter suam terram adquirere cupiant aliam. »

XXII. His dictis laxavit arcum, et his qui venerant tradidit. Tunc sumto purpureo amiculo quæsivit, quid esset, et quonam modo factum. Cui quum Ichthyophagi vera dixissent de purpura et de illius tinctura, dolosos esse hos homines, inquit, et dolosa illorum amicula. (2) Deinde de aureo torque collari et de armillis quæsivit; quumque de hoc ornatu exposuissent Ichthyophagi, ridens rex, quum compedes esse putasset, ait, apud ipsos validiores hisce compedes esse. Tertio, de unguento interrogavit; et, quum illi de confectione unguenti ac de ungendi ratione disseruissent, idem illis, quod de amiculo, respondit. (3) Ubi ad vinum venit, et de hujus confectione ex illis quæsivit, valde delectatus potu, deinde interrogavit, quonam cibo utatur rex, et quodnam sit homini Persæ longissimum vitæ spatium. (4) Et illi pane vesci aiebant, naturamque tritici exponebant : octoginta vero annos terminum dicebant esse longissimum vitæ hominis propositum (5) Tum Æthiops respondit Ichthyophagis : nihil proinde mirum esse, quum stercus comedant, tam exiguum eos vivere annorum numerum; qui ne tot quidem annos vivere possent, nisi hocce potu sese recrearent : nempe vinum dicens : hoc enim uno a Persis se superari.

XXIII. Vicissim interrogantibus regem Ichthyophagis de vitæ spatio et de alimentorum genere; ad centum et viginti annos, ait, pervenire ipsorum plerosque, nonnullos vero etiam hunc terminum transcendere : cibum vero esse carnes coctas; potum, lac. Quumque mirarentur speculatores quod de annorum numero dixisset, ad fontem ab illo ductos se esse referebant, e quo loti nitidiores facti essent, quasi olei fons esset; odorem autem tamquam violarum spirare illum fontem. (2) Ita levem autem, dicebant speculatores, esse fontis hujus aquam, ut nihil supernatare possit, neque lignum, neque quæcumque ligno sunt leviora; sed in

πάντα σφέα χωρέειν ἐς βυσσόν. (3) Τὸ δὲ ὕδωρ τοῦτο εἴ σφι ἐστὶ ἀληθέως οἷόν τι λέγεται, διὰ τοῦτο ἂν εἶεν, τούτῳ τὰ πάντα χρεώμενοι, μακρόβιοι. Ἀπὸ τῆς κρήνης δὲ ἀπαλλασσομένων, ἀγαγεῖν σφέας ἐς δεσμωτήριον ἀνδρῶν, ἔνθα τοὺς πάντας ἐν πέδῃσι χρυσέῃσι δεδέσθαι· ἔστι δὲ ἐν τούτοισι τοῖσι Αἰθίοψι πάντων ὁ χαλκὸς σπανιώτατον καὶ τιμιώτατον. Θεησάμενοι δὲ καὶ τὸ δεσμωτήριον, ἐθεήσαντο καὶ τὴν τοῦ ἡλίου λεγομένην τράπεζαν.

XXIV. Μετὰ δὲ ταύτην τελευταίας ἐθεήσαντο τὰς θήκας αὐτῶν, αἳ λέγονται σκευάζεσθαι ἐξ ὑάλου τρόπῳ τοιῷδε. Ἐπεὰν τὸν νεκρὸν ἰσχνήνωσι, εἴτε δὴ κατά περ Αἰγύπτιοι εἴτε ἄλλως κως, γυψώσαντες ἅπαντα αὐτὸν γραφῇ κοσμέουσι, ἐξομοιεῦντες τὸ εἶδος ἐς τὸ δυνατόν, ἔπειτεν δέ οἱ περιιστᾶσι στήλην ἐξ ὑάλου πεποιημένην κοίλην· ἡ δέ σφι πολλὴ καὶ εὐεργὸς ὀρύσσεται· (2) ἐν μέσῃ δὲ τῇ στήλῃ ἐνεὼν διαφαίνεται ὁ νέκυς, οὔτε ὀδμὴν οὐδεμίαν ἄχαριν παρεχόμενος οὔτε ἄλλο ἀεικὲς οὐδέν· καὶ ἔχει πάντα φανερὰ ὁμοίως αὐτῷ τῷ νέκυϊ. (3) Ἐνιαυτὸν μὲν δὴ ἔχουσι τὴν στήλην ἐν τοῖσι οἰκίοισι οἱ μάλιστα προσήκοντες, πάντων τε ἀπαρχόμενοι καὶ θυσίας οἱ προσάγοντες· μετὰ δὲ ταῦτα ἐκκομίσαντες ἱστᾶσι περὶ τὴν πόλιν.

XXV. Θεησάμενοι δὲ τὰ πάντα οἱ κατάσκοποι ἀπαλλάσσοντο ὀπίσω. Ἀπαγγειλάντων δὲ ταῦτα τούτων, αὐτίκα ὁ Καμβύσης ὀργὴν ποιησάμενος ἐστρατεύετο ἐπὶ τοὺς Αἰθίοπας, οὔτε παρασκευὴν σίτου οὐδεμίαν παραγγείλας, οὔτε λόγον ἑωυτῷ δοὺς ὅτι ἐς τὰ ἔσχατα γῆς ἔμελλε στρατεύεσθαι· (2) οἷα δὲ ἐμμανής τε ἐὼν καὶ οὐ φρενήρης, ὡς ἤκουε τῶν Ἰχθυοφάγων, ἐστρατεύετο, Ἕλλήνων μὲν τοὺς παρεόντας αὐτοῦ τάξας ὑπομένειν, τὸν δὲ πεζὸν πάντα ἅμα ἀγόμενος. Ἐπείτε δὲ στρατευόμενος ἐγένετο ἐν Θήβῃσι, ἀπέκρινε τοῦ στρατοῦ ὡς πέντε μυριάδας, καὶ τούτοισι μὲν ἐνετέλλετο Ἀμμωνίους ἐξανδραποδισαμένους τὸ χρηστήριον τὸ τοῦ Διὸς ἐμπρῆσαι, αὐτὸς δὲ τὸν λοιπὸν ἄγων στρατὸν ἤιε ἐπὶ τοὺς Αἰθίοπας. (3) Πρὶν δὲ τῆς ὁδοῦ τὸ πέμπτον μέρος διεληλυθέναι τὴν στρατιήν, αὐτίκα πάντα αὐτοὺς τὰ εἶχον σιτίων ἐχόμενα ἐπελελοίπεε, μετὰ δὲ τὰ σιτία καὶ τὰ ὑποζύγια ἐπέλιπε κατεσθιόμενα. (4) Εἰ μέν νυν μαθὼν ταῦτα ὁ Καμβύσης ἐγνωσιμάχεε καὶ ἀπῆγε ὀπίσω τὸν στρατὸν, ἐπὶ τῇ ἀρχῆθεν γενομένῃ ἁμαρτάδι ἦν ἂν ἀνὴρ σοφός· νῦν δὲ οὐδένα λόγον ποιεύμενος ἤιε αἰεὶ ἐς τὸ πρόσω. (5) Οἱ δὲ στρατιῶται ἕως μέν τι εἶχον ἐκ τῆς γῆς λαμβάνειν, ποιηφαγέοντες διέζωον, ἐπεὶ δὲ ἐς τὴν ψάμμον ἀπίκοντο, δεινόν ἔργον αὐτῶν τινὲς ἐργάσαντο· ἐκ δεκάδος γὰρ ἕνα σφέων αὐτῶν ἀποκληρώσαντες κατέφαγον. (6) Πυθόμενος δὲ ταῦτα ὁ Καμβύσης, δείσας τὴν ἀλληλοφαγίην, ἀπεὶς τὸν ἐπ' Αἰθίοπας στόλον ὀπίσω ἐπορεύετο, καὶ ἀπικνέεται ἐς Θήβας πολλοὺς ἀπολέσας τοῦ στρατοῦ. Ἐκ Θηβέων δὲ καταβὰς ἐς Μέμφιν τοὺς Ἕλληνας ἀπῆκε ἀποπλώειν. Ὁ μὲν ἐπ' Αἰθίοπας στόλος οὕτω ἔπρηξε.

fundum abire omnia. (3) Cujus aquæ si revera ea natura est, quæ perhibetur, fuerint illi hanc ob caussam longævi, quod plurimum hac aqua utuntur. A fonte discedentes, ductos se esse narrabant in locum quo vincti homines custodiebantur, ibique cunctos aureis vinctos compedibus vidisse. Est enim apud hos Æthiopes æs metallorum omnium rarissimum et pretiosissimum. Inspecto carcere, etiam Solis mensam, quæ vocatur, spectaverunt.

XXIV. Post hanc ad extremum spectarunt sepulcra eorum, quæ e vitro perhibentur esse parata, hoc modo. Postquam arefecerunt cadaver, sive eadem ratione atque Ægyptii, sive quo alio modo, totum gypso oblinunt, et pictura ita exornant, ut speciem quam maxime similem vivo referat; deinde cavam columnam ei circumdant ex vitro (*alabastrite lapide?*) confectam, quod apud illos magna copia et manu tractabile effoditur. (2) Ita in media columna stans cadaver per eam conspicitur, nec odorem ullum spirans injucundum, nec aliud quidquam incommodi præbens : estque columna circumcirca conspicua, ut ipsum etiam cadaver omni ex parte conspicuum est. (3) Hanc columnam per anni spatium suis in ædibus servant qui cognatione proximi sunt, rerum omnium primitias illi offerentes, aliaque sacra facientes : deinde ædibus elatas columnas circa urbem collocant.

XXV. Speculatores, postquam ista omnia spectarant, reversi sunt. Qui ubi hæc renunciarunt, protinus Cambyses, ira incensus, bellum inferre Æthiopibus instituit, nullo de procuranda re frumentaria mandato dato, nec secum cogitans in ultima terrarum suscipi hanc expeditionem : (2) sed, ut furiosus, nec mentis compos, simulatque Ichthyophagos audierat, ad bellum faciendum profectus est; Græcos, qui cum eo erant, in Ægypto manere jubens, peditatum vero universum secum ducens. Postquam agmine Thebas pervenit, ablegavit de exercitu circa quinquaginta hominum millia, quos jussit in servitutem redigere Ammonios, et oraculum Jovis incendere : ipse, reliquum ducens exercitum, adversus Æthiopas perrexit. (3) Sed, priusquam quintam confecisset itineris partem, primum, quicquid cibariorum de frumenti genere habuerant, eos defecerat; deinde, post frumentum, etiam jumenta quæ comedi possent defecere. (4) Quæ si Cambyses intelligens mutasset sententiam, exercitumque reduxisset; erat, vel post prius admissum peccatum, vir prudens futurus : nunc, nihil secum reputans, ulterius semper progressus est. (5) At milites quam diu e terræ solo nancisci aliquid poterant, herbas radicesque comedentes vitam sustentarunt : ubi vero in arenosa pervenere, dirum facinus nonnulli eorum instituerunt; sortiti ex se ipsis, decimum quemque comederunt. (6) Qua re cognita Cambyses, veritus mutuam militum comesturam, omissa adversus Æthiopas expeditione, retrogressus est; multisque de exercitu amissis, Thebas iterum pervenit. Quumque Thebis Memphin descendisset, Græcos cum navibus domum dimisit. Talis igitur exitus fuit expeditionis adversus Æthiopas susceptæ.

XXVI. Οἱ δ' αὐτῶν ἐπ' Ἀμμωνίους ἀποσταλέντες στρατεύεσθαι, ἐπείτε ὁρμηθέντες ἐκ τῶν Θηβέων ἐπορεύοντο ἔχοντες ἀγωγούς, ἀπικόμενοι μὲν φανεροί εἰσι ἐς Ὄασιν πόλιν, τὴν ἔχουσι μὲν Σάμιοι τῆς Αἰσχριωνίης φυλῆς λεγόμενοι εἶναι, ἀπέχουσι δὲ ἑπτὰ ἡμερέων ὁδὸν ἀπὸ Θηβέων διὰ ψάμμου, οὐνομάζεται δὲ ὁ χῶρος οὗτος κατ' Ἕλλήνων γλῶσσαν Μακάρων νῆσος. (2) Ἐς μὲν δὴ τοῦτον τὸν χῶρον λέγεται ἀπικέσθαι τὸν στρατόν· τὸ ἐνθεῦτεν δὲ, ὅτι μὴ αὐτοὶ Ἀμμώνιοι καὶ οἱ τούτων ἀκούσαντες, ἄλλοι οὐδένες οὐδὲν ἔχουσι εἶπαι περὶ αὐτῶν· οὔτε γὰρ ἐς τοὺς Ἀμμωνίους ἀπίκοντο οὔτε ὀπίσω ἐνόστησαν. (3) Λέγεται δὲ τάδε ὑπ' αὐτῶν Ἀμμωνίων· ἐπειδὴ ἐκ τῆς Ὀάσιος ταύτης ἰέναι διὰ τῆς ψάμμου ἐπὶ σφέας, γενέσθαι τε αὐτοὺς μεταξύ κου μάλιστα αὐτῶν τε καὶ τῆς Ὀάσιος, ἄριστον δὲ αἱρεομένοισι αὐτοῖσι ἐπιπνεῦσαι νότον μέγαν τε καὶ ἐξαίσιον, φορέοντα δὲ θῖνας τῆς ψάμμου καταχῶσαί σφεας, καὶ τρόπῳ τοιούτῳ ἀφανισθῆναι. Ἀμμώνιοι μὲν οὕτω λέγουσι γενέσθαι περὶ τῆς στρατιῆς ταύτης.

XXVII. Ἀπιγμένου δὲ Καμβύσεω ἐς Μέμφιν ἐφάνη Αἰγυπτίοισι ὁ Ἆπις, τὸν Ἕλληνες Ἔπαφον καλεῦσι. ἐπιφανέος δὲ τούτου γενομένου αὐτίκα οἱ Αἰγύπτιοι εἵματά τε ἐφόρεον τὰ κάλλιστα καὶ ἔσαν ἐν θαλίῃσι. (2) Ἰδὼν δὲ ταῦτα τοὺς Αἰγυπτίους ποιεῦντας ὁ Καμβύσης, πάγχυ σφέας καταδόξας ἑωυτοῦ κακῶς πρήξαντος χαρμόσυνα ταῦτα ποιέειν, ἐκάλεε τοὺς ἐπιτρόπους τῆς Μέμφιος, ἀπικομένους δὲ ἐς ὄψιν εἴρετο ὅ τι πρότερον μὲν ἐόντος αὐτοῦ ἐν Μέμφι ἐποίευν τοιοῦτον οὐδὲν Αἰγύπτιοι, τότε δὲ ἐπεὶ αὐτὸς παρείη τῆς στρατιῆς πλῆθός τι ἀποβαλών. (3) Οἱ δὲ ἔφραζον ὡς σφι θεὸς εἴη φανεὶς διὰ χρόνου πολλοῦ ἐωθὼς ἐπιφαίνεσθαι, καὶ ὡς ἐπεὰν φανῇ, τότε πάντες οἱ Αἰγύπτιοι κεχαρηκότες ὀρτάζοιεν. Ταῦτα ἀκούσας ὁ Καμβύσης ἔφη ψεύδεσθαί σφεας, καὶ ὡς ψευδομένους θανάτῳ ἐζημίου.

XXVIII. Ἀποκτείνας δὲ τούτους δεύτερα τοὺς ἱρέας ἐκάλεε ἐς ὄψιν. Λεγόντων δὲ κατὰ τὰ αὐτὰ τῶν ἱρέων, οὐ λήσειν ἔφη αὐτὸν εἰ θεός τις χειροήθης ἀπιγμένος εἴη Αἰγυπτίοισι. (2) Τοσαῦτα δὲ εἶπας ἐπάγειν ἐκέλευε τὸν Ἆπιν τοὺς ἱρέας. Οἱ μὲν δὴ μετήϊσαν ἄξοντες. Ὁ δὲ Ἆπις οὗτος ὁ Ἔπαφος γίνεται μόσχος ἐκ βοὸς ἥτις οὐκέτι οἵη τε γίνεται ἐς γαστέρα ἄλλον βαλέσθαι γόνον. Αἰγύπτιοι δὲ λέγουσι σέλας ἐπὶ τὴν βοῦν ἐκ τοῦ οὐρανοῦ κατίσχειν, καί μιν ἐκ τούτου τίκτειν τὸν Ἆπιν. (3) Ἔχει δὲ ὁ μόσχος οὗτος ὁ Ἆπις καλεύμενος σημήϊα τοιάδε, ἐὼν μέλας, ἐπὶ μὲν τῷ μετώπῳ λευκὸν τετράγωνον, ἐπὶ δὲ τοῦ νώτου αἰετὸν εἰκασμένον, ἐν δὲ τῇ οὐρῇ τὰς τρίχας διπλέας, ὑπὸ δὲ τῇ γλώσσῃ κάνθαρον.

XXIX. Ὡς δὲ ἤγαγον τὸν Ἆπιν οἱ ἱρέες, ὁ Καμβύσης, οἷα ἐὼν ὑπομαργότερος, σπασάμενος τὸ ἐγχειρίδιον, θέλων τύψαι τὴν γαστέρα τοῦ Ἄπιος παίει τὸν μηρόν· γελάσας δὲ εἶπε πρὸς τοὺς ἱρέας, « ὦ κακαὶ κε-

XXVI. Qui vero ad bellum Ammoniis inferendum erant missi, hos profectos Thebis cum ducibus itineris, compertum est Oasin oppidum pervenisse, quod Samii incolunt, qui de Æschrionia tribu esse dicuntur, absuntque a Thebis septem dierum itinere per arenosa faciendo : nominatur autem ille locus Græco sermone Beatorum insula. (2) Hunc igitur in locum pervenisse dicitur ille exercitus : inde vero quid his acciderit, nisi quod Ammonii narrant et qui ex his audiverunt, nemo alius quidquam quod dicat habet; neque enim ad Ammonios pervenerunt, neque domum reversi sunt. (3) Narrant autem soli Ammonii hæc : ab hac Oasi per arenosa adversus ipsos iter facientibus, quum jam fere in medio inter ipsos et Oasin essent, incidisse illis, dum prandium capiebant, vehementem et immanem ventum Notum, sabuli acervos secum rapientem; quibus illi obruti, tali modo internecione periissent. Ammonii quidem hoc narrant exercitui illi accidisse.

XXVII. Quo tempore vero Memphin Cambyses pervenit, adparuerat Ægyptiis Apis, quem Epaphum Græci vocant. *Qui ubi repertus est, continuo Ægyptii*, vestimentis induti pulcerrimis, in lautitiis erant. (2) Quos hæc agentes conspicatus Cambyses, prorsus existimans, quod ipse male rem gessisset, eo lætos illos festa hæc celebrare, præfectos ad se vocat urbis; ex eisque, ubi in conspectum ipsius venere, quærit, cur, se prius Memphi versante, nihil tale fecissent Ægyptii; at nunc, quum adisset magna exercitus parte amissa? (3) Cui illi respondent, deum sibi adparuisse, qui ex multo temporis intervallo adparere identidem consuesset; et, quando adpareat, tum universos Ægyptios læta festa celebrare. Hæc audiens Cambyses, mentiri eos, ait; atque, ut mendaces, ultimo supplicio adfecit.

XXVIII. His occisis, dein sacerdotes in conspectum vocavit. Qui quum eadem dixissent; intellecturum sese, ait, an deus aliquis manu tractabilis advenerit Ægyptiis. (2) Quæ ubi dixit, adducere ad se Apin jussit sacerdotes : et illi abierunt adducturi. Est vero Apis hic, sive Epaphus, juvencus ex vacca natus quæ nullum alium dehinc concipere partum potest : dicuntque Ægyptii, fulgorem de cœlo in vaccam istam incumbere, ex quo illa Apin conceptum pariat. (3) Habet autem hic juvencus, quem Apin vocant, notas hujusmodi : niger colore est; sed in fronte habet quadratum album; in tergo, figuram aquilæ; in cauda, pilos duplices; in lingua, scarabæum.

XXIX. Apin ubi adduxerunt sacerdotes, Cambyses, haud satis mentis compos homo, stricto gladio, quum ventrem Apidis vellet ferire, femur feriit; ridensque sacerdotes adloquens, « O prava capita! » inquit : « tales ergo sunt

φαλαί, τοιοῦτοι θεοὶ γίνονται, ἐναιμοί τε καὶ σαρκώδεες καὶ ἐπαΐοντες σιδηρίων; ἄξιος μὲν Αἰγυπτίων οὗτός γε ὁ θεός· ἀτάρ τοι ὑμεῖς γε οὐ χαίροντες γέλωτα ἐμὲ θήσεσθε. » (2) Ταῦτα εἴπας ἐνετείλατο τοῖσι ταῦτα πρήσσουσι τοὺς μὲν ἱρέας ἀπομαστιγῶσαι, Αἰγυπτίων δὲ τῶν ἄλλων τὸν ἂν λάβωσι ὀρτάζοντα κτείνειν. (3) Ἡ ὀρτὴ μὲν δὴ διελέλυτο Αἰγυπτίοισι, οἱ δὲ ἱρέες ἐδικαιεῦντο, ὁ δὲ Ἆπις πεπληγμένος τὸν μηρὸν ἔφθινε ἐν τῷ ἱρῷ κατακείμενος. Καὶ τὸν μὲν τελευτήσαντα ἐκ τοῦ τρώματος ἔθαψαν οἱ ἱρέες λάθρῃ Καμβύσεω.

XXX. Καμβύσης δέ, ὡς λέγουσι Αἰγύπτιοι, αὐτίκα διὰ τοῦτο τὸ ἀδίκημα ἐμάνη, ἐὼν οὐδὲ πρότερον φρενήρης. Καὶ πρῶτα μὲν τῶν κακῶν ἐξεργάσατο τὸν ἀδελφεὸν Σμέρδιν ἐόντα πατρὸς καὶ μητρὸς τῆς αὐτῆς, τὸν ἀπέπεμψε ἐς Πέρσας φθόνῳ ἐξ Αἰγύπτου, ὅτι τὸ τόξον μοῦνος Περσέων ὅσον τε ἐπὶ δύο δακτύλους εἵρυσε, τὸ παρὰ τοῦ Αἰθίοπος ἤνεικαν οἱ Ἰχθυοφάγοι· τῶν δὲ ἄλλων Περσέων οὐδεὶς οἷός τε ἐγένετο. (2) Ἀποιχομένου ὦν ἐς Πέρσας τοῦ Σμέρδιος ὄψιν εἶδε ὁ Καμβύσης ἐν τῷ ὕπνῳ τοιήνδε· ἔδοξέ οἱ ἄγγελον ἐλθόντα ἐκ Περσέων ἀγγέλλειν ὡς ἐν τῷ θρόνῳ τῷ βασιληίῳ ἱζόμενος Σμέρδις τῇ κεφαλῇ τοῦ οὐρανοῦ ψαύσειε. (3) Πρὸς ὦν ταῦτα δείσας περὶ ἑωυτοῦ μή μιν ἀποκτείνας ὁ ἀδελφεὸς ἄρξῃ, πέμπει Πρηξάσπεα ἐς Πέρσας, ὃς οἱ ἦν ἀνὴρ Περσέων πιστότατος, ἀποκτενέοντά μιν. Ὁ δὲ ἀναβὰς ἐς Σοῦσα ἀπέκτεινε Σμέρδιν· οἱ μὲν λέγουσι ἐπ' ἄγρην ἐξαγαγόντα, οἱ δὲ ἐς τὴν Ἐρυθρὴν θάλασσαν προσαγαγόντα καταποντῶσαι.

XXXI. Πρῶτον μὲν δὴ λέγουσι Καμβύσῃ τῶν κακῶν ἄρξαι τοῦτο, δεύτερα δὲ ἐξεργάσατο τὴν ἀδελφεὴν ἐπισπομένην οἱ ἐς Αἴγυπτον, τῇ καὶ συνοίκεε καὶ ἦν οἱ ἀπ' ἀμφοτέρων ἀδελφεή· (2) Ἔγημε δὲ αὐτὴν ὧδε· οὐδαμῶς γὰρ ἐώθεσαν πρότερον τῇσι ἀδελφεῇσι συνοικέειν Πέρσαι. Ἡράσθη μιῆς τῶν ἀδελφεέων Καμβύσης, καὶ ἐπειτεν βουλόμενος αὐτὴν γῆμαι, ὅτι οὐκ ἐώθότα ἐπενόεε ποιήσειν, εἴρετο καλέσας τοὺς βασιληίους δικαστὰς εἴ τις ἔστι κελεύων νόμος τὸν βουλόμενον ἀδελφεῇ συνοικέειν. (3) Οἱ δὲ βασιληῖοι δικασταὶ κεκριμένοι ἄνδρες γίνονται Περσέων, ἐς οὗ ἀποθάνωσι ἢ σφι παρευρεθῇ τι ἄδικον, μέχρι τούτου· οὗτοι δὲ τοῖσι Πέρσῃσι δίκας δικάζουσι καὶ ἐξηγηταὶ τῶν πατρίων θεσμῶν γίνονται, καὶ πάντα ἐς τούτους ἀνακέεται. (4) Εἰρομένου ὦν τοῦ Καμβύσεω, ὑπεκρίνοντο αὐτῷ οὗτοι καὶ δίκαια καὶ ἀσφαλέα, φάμενοι νόμον οὐδένα ἐξευρίσκειν ὃς κελεύει ἀδελφῇ συνοικέειν ἀδελφεὸν, ἄλλον μέντοι ἐξευρηκέναι νόμον, τῷ βασιλεύοντι Περσέων ἐξεῖναι ποιέειν τὸ ἂν βούληται. (5) Οὕτω οὔτε τὸν νόμον ἔλυσαν, δείσαντες Καμβύσεα· ἵνα τε μὴ αὐτοὶ ἀπόλωνται τὸν νόμον περιστέλλοντες, παρεξεῦρον ἄλλον νόμον σύμμαχον τῷ θέλοντι γαμέειν ἀδελφεάς. Τότε μὲν δὴ ὁ Καμβύσης ἔγημε τὴν ἐρωμένην, μετὰ μέντοι οὐ πολλὸν χρόνον ἔσχε ἄλλην ἀδελφεήν. Τούτων δῆτα τὴν νεωτέρην ἐπισπομένην οἱ ἐπ' Αἴγυπτον κτείνει.

dii, sanguine carneque instructi, et ferri ictum sentientes! Dignus profecto Ægyptiis hicce deus! Cæterum vos non juvabit, ludibrio me habuisse. (2) His dictis, jussit hos quibus id negotii mandatum est, flagellis cædere sacerdotes; reliquorum vero Ægyptiorum quemcumque nacti fuissent festum celebrantem, occidere. (3) Ita festi dies finem habuere apud Ægyptios, et sacerdotes multati sunt. Apis vero, percussus femur, contabuit in templo jacens: quem, mortuum ex vulnere, sacerdotes clam rege sepeliverunt.

XXX. Cambyses vero, ut aiunt Ægyptii, e vestigio propter iniquum illud facinus furore est correptus, quum ne ante id tempus quidem satis compos fuisset mentis. Et primum quidem, post illud, flagitium in fratrem commisit Smerdin, qui eodem patre eademque matre erat natus. Hunc ex Ægypto in Persas dimisit per invidiam, quod arcum, quem ab Æthiope datum Ichthyophagi attulerant, ille unus ex Persis ad duos saltem fere digitos attraxisset, quum reliquorum Persarum nullus id præstare potuisset. (2) Dein, quum in Persas reversus Smerdis esset, visum Cambyses per somnum vidit hujusmodi: visus illi est nuncius ex Perside veniens nunciare, Smerdin in sella regia sedentem capite cœlum tetigisse. (3) Quam ob caussam sibi timens, ne se occiso regnum occupet frater, Prexaspen in Persas mittit, qui vir Persarum ei maxime fidus erat, dato mandato ut illum occidat. Et Prexaspes Susa profectus occidit Smerdin, sive venatum eductum, ut alii aiunt; sive, ut alii, ad Rubrum deductum mare et in eo demersum.

XXXI. Ab hoc facinore initium factum esse flagitiorum a Cambyse narrant. Alterum in sororem patravit, quæ illum in Ægyptum erat secuta, quamque habuit uxorem, quum tam a patre, quam a matre, soror ejus esset. (2) In matrimonium autem eam tali modo duxerat, quum antea neutiquam moris fuisset apud Persas, sorores in matrimonium ducere. Unius ex sororibus suis captus erat amore: quam quum cuperet matrimonio sibi jungere, nossetque contra morem fore Persarum si id faceret, vocatos ad se regios judices interrogavit, sitne lex aliqua, jubens ut, qui vellet, in matrimonium duceret suam sororem? (3) Sunt autem regii judices probati inter Persas viri; qui eo munere funguntur quoad vivunt, aut usque dum injusti quidpiam in illis reperiatur. Hi Persis jus dicunt, et interpretes sunt patriarum legum, et ad eos omnia referuntur. (4) Ad quæstionem igitur a Cambyse propositam responderunt hi ea quæ et vera et tuta essent; dicentes, nullam se legem reperire, quæ jubeat ut frater in matrimonium ducat sororem; aliam vero se reperisse legem, quæ statuat, licitum esse regi facere quidquid velit. (5) Itaque neque legem, metu Cambysis, abrogarunt; et, ne ipsi, tuentes legem, perirent, aliam legem invenerunt, quæ illi, sorores in matrimonium ducere cupienti, patrocinabatur. Igitur tunc Cambyses, quam amabat, duxit uxorem: nec vero multo post, aliam etiam sororem sibi matrimonio junxit. Et hanc natu minorem, quæ eum in Ægyptum secuta erat, interfecit.

XXXII. Ἀμφὶ δὲ τῷ θανάτῳ αὐτῆς διξὸς, ὥσπερ περὶ Σμέρδιος, λέγεται λόγος. Ἕλληνες μὲν γὰρ λέγουσι Καμβύσεα συμβαλέειν σκύμνον λέοντος σκύλακι κυνὸς, θεωρέειν δὲ καὶ τὴν γυναῖκα ταύτην, νικωμένου δὲ τοῦ σκύλακος ἀδελφεὸν αὐτοῦ ἄλλον σκύλακα ἀπορρήξαντα τὸν δεσμὸν παραγενέσθαι οἱ, δύο δὲ γενομένους οὕτω δὴ τοὺς σκύλακας ἐπικρατῆσαι τοῦ σκύμνου· καὶ τὸν μὲν Καμβύσεα ἥδεσθαι θηεύμενον, τὴν δὲ παρημένην δακρύειν. (2) Καμβύσεα δὲ μαθόντα τοῦτο ἐπείρεσθαι διότι δακρύοι, τὴν δὲ εἶπαι ὡς ἰδοῦσα τὸν σκύλακα τῷ ἀδελφεῷ τιμωρήσαντα δακρύσειε, μνησθεῖσά τε Σμέρδιος καὶ μαθοῦσα ὡς ἐκείνῳ οὐκ εἴη ὁ τιμωρήσων. (3) Ἕλληνες μὲν δὴ διὰ τοῦτο τὸ ἔπος φασὶ αὐτὴν ἀπολέσθαι ὑπὸ Καμβύσεω, Αἰγύπτιοι δὲ ὡς τραπέζῃ περικατημένων λαβοῦσαν θρίδακα τὴν γυναῖκα περιτίλαι καὶ ἐπανείρεσθαι τὸν ἄνδρα κότερον περιτετιλμένη ἡ δασέα ἡ θρῖδαξ ἐοῦσα εἴη καλλίων, καὶ τὸν φάναι δασέαν, τὴν δ' εἶπαι, « ταύτην μέντοι κοτὲ σὺ τὴν θρίδακα ἐμιμήσαο, τὸν Κύρου οἶκον ἀποψιλώσας. » Τὸν δὲ θυμωθέντα ἐμπηδῆσαι αὐτῇ ἐχούσῃ ἐν γαστρὶ, καί μιν ἐκτρώσασαν ἀποθανέειν.

XXXIII. Ταῦτα μὲν ἐς τοὺς οἰκηίους ὁ Καμβύσης ἐξεμάνη, εἴτε δὴ διὰ τὸν Ἆπιν εἴτε καὶ ἄλλως, οἷα πολλὰ ἔωθε ἀνθρώπους κακὰ καταλαμβάνειν· καὶ γάρ τινα ἐκ γενεῆς νοῦσον μεγάλην λέγεται ἔχειν ὁ Καμβύσης, τὴν ἱρὴν οὐνομάζουσι τινές. Οὔ νύν τοι ἀεικὲς οὐδὲν ἦν τοῦ σώματος νοῦσον μεγάλην νοσέοντος μηδὲ τὰς φρένας ὑγιαίνειν.

XXXIV. Τάδε δ' ἐς τοὺς ἄλλους Πέρσας ἐξεμάνη· λέγεται γὰρ εἶπαι αὐτὸν πρὸς Πρηξάσπεα, τὸν ἐτίμα τε μάλιστα, καί οἱ τὰς ἀγγελίας ἐφόρεε οὗτος, τούτου τε ὁ παῖς οἰνοχόος ἦν τῷ Καμβύσῃ, τιμὴ δὲ καὶ αὕτη οὐ σμικρή· εἶπαι δὲ λέγεται τάδε, « Πρήξασπες, κοῖόν μέ τινα νομίζουσι Πέρσαι εἶναι ἄνδρα, τίνας τε λόγους περὶ ἐμέο ποιεῦνται; » (2) Τὸν δὲ εἶπαι, « ὦ δέσποτα, τὰ μὲν ἄλλα πάντα μεγάλως ἐπαινέεαι, τῇ δὲ φιλοινίῃ σέ φασι πλεόνως προσκέεσθαι. » Τὸν μὲν δὴ λέγειν ταῦτα περὶ Περσέων, τὸν δὲ θυμωθέντα τοιάδε ἀμείβεσθαι, « νῦν ἄρα μέ φασι Πέρσαι οἴνῳ προσκείμενον παραφρονέειν καὶ οὐκ εἶναι νοήμονα· οὐδ' ἄρα σφέων οἱ πρότεροι λόγοι ἦσαν ἀληθέες. » (3) Πρότερον γὰρ δὴ ἄρα Περσέων οἱ συνέδρων ἐόντων καὶ Κροίσου εἴρετο Καμβύσης κοῖός τις δοκέοι ἀνὴρ εἶναι πρὸς τὸν πατέρα τελέσαι Κῦρον, οἱ δὲ ἀμείβοντο ὡς εἴη ἀμείνων τοῦ πατρός· τά τε γὰρ ἐκείνου πάντα ἔχειν αὐτὸν καὶ προσεκτῆσθαι Αἴγυπτόν τε καὶ τὴν θάλασσαν. (4) Πέρσαι μὲν ταῦτα ἔλεγον, Κροῖσος δὲ παρεών τε καὶ οὐκ ἀρεσκόμενος τῇ κρίσι εἶπε πρὸς τὸν Καμβύσεα τάδε, « ἐμοὶ μέν νυν, ὦ παῖ Κύρου, οὐ δοκέεις ὁμοῖος εἶναι τῷ πατρί· οὐ γάρ κώ τοί ἐστι υἱὸς οἷον σὲ ἐκεῖνος κατελίπετο. » Ἥσθη τε ταῦτα ἀκούσας ὁ Καμβύσης, καὶ ἐπαίνεε τὴν Κροίσου κρίσιν.

XXXV. Τούτων δὴ ὦν ἐπιμνησθέντα ὀργῇ λέγειν πρὸς τὸν Πρηξάσπεα, « σύ νυν μάθε εἰ λέγουσι Πέρσαι

XXXII. De cujus morte duplex, perinde atque de Smerdi, fama fertur. Græci quippe narrant, commisisse Cambysen, spectante uxore illa, catulum leonis cum canis catulo; qui quum a leonis catulo vinceretur, alium catulum caninum, qui fuisset hujus frater, rupta catena, illi opem tulisse; atque ita canes, quum duo essent, leonem superasse. Hæc spectantem Cambysen delectatum esse; illam vero, adsidentem, fudisse lacrimas. (2) Id animadvertentem Cambysen quæsisse ex ea, cur fleret; et illam respondisse, flere se, quod catulum videns opem ferentem fratri, meminisset Smerdis, cogitassetque neminem esse qui illi esset opem laturus. (3) Hoc igitur ob dictum interfectam illam a Cambyse esse aiunt Græci. Ægyptii vero narrant, quum mensæ ambo adsiderent, mulierem sumta lactuca folia circumcirca decerpsisse, tum ex marito quæsisse, sitne integra lactuca; an cui folia decerpta sint, pulcrior? Quumque is, integram, dixisset; reposuisse illam, « Atqui tu hanc imitatus es lactucam, Cyri domum circumcidens. » Et illum, ira incensum, calce pedis ei, prægnans quum esset, insultasse; et illam abortu facto mortuam esse.

XXXIII. Ita in suos sæviit Cambyses, in furorem actus sive propter Apin nimirum, sive alio casu, quales multæ calamitates accidere hominibus solent: nam etiam a pueris gravi morbo dicitur Cambyses adfectus fuisse, quem sacrum morbum nonnulli vocant. Itaque non erat dissentaneum, ut, corpus quum gravi morbo laboraret, ne mens quidem sana esset.

XXXIV. In reliquos vero Persas hæc alia furoris edidit exempla. Prexaspen, quem maximo in honore habebat, qui nunciorum ad regem perferendorum munere fungebatur, cujus etiam filius pincerna regis erat, qui et ipse haud exiguus honor est; illum igitur sic adlocutus fertur: « Dic mihi, Prexaspes; qualem me virum esse existimant Persæ? et quos de me habent sermones? » (2) Tum illum respondisse: « Domine, cætera omnia magnifice laudaris: sed vino aiunt te nimium indulgere. » Quæ quum ille de Persis dixisset, ira incensum regem hæc reposuisse: « Ergo nunc me Persæ dicunt vino deditum desipere, nec mentis esse compotem! igitur priores illorum sermones mendaces fuerunt. » (3) Superiore quippe tempore, quum adsiderent ei Persæ atque etiam Crœsus, quæsierat ex his Cambyses, qualis vir ipse videretur esse, cum patre Cyro collatus! et illi responderant, esse patre superiorem: quippe non modo possidere quæcumque Cyrus obtinuisset, sed et insuper Ægyptum et mare tenere. (4) Hæc Persæ dixerant; Crœsus vero quum adesset, nec ei placeret ista comparatio, his verbis Cambysen erat adlocutus: « Mihi quidem, o Cyro nate, non videris similis esse patri, quum filium nondum habeas qualem te ille reliquit. » Quibus auditis delectatus Cambyses erat, Crœsique laudaverat judicium.

XXXV. Horum igitur tunc recordatum illum, iratum dixisse Prexaspi: « Tu nunc cognosce ipse, verumne dicant

ἀληθέα, εἴτε αὐτοὶ λέγοντες ταῦτα παραφρονέουσι· εἰ μὲν γὰρ τοῦ παιδὸς τοῦ σοῦ τοῦδε ἑστεῶτος ἐν τοῖσι προθύροισι βαλὼν τύχοιμι μέσης τῆς καρδίης, Περσαι φανέονται λέγοντες οὐδέν· ἢν δ' ἁμάρτω, φάναι Πέρσας τε λέγειν ἀληθέα καὶ ἐμὲ μὴ σωφρονέειν. » (2) Ταῦτα δὲ εἶπαντα καὶ διατείναντα τὸ τόξον βαλέειν τὸν παῖδα, πεσόντος δὲ τοῦ παιδὸς ἀνασχίζειν αὐτὸν κελεύειν καὶ σκέψασθαι τὸ βλῆμα· ὡς δὲ ἐν τῇ καρδίῃ εὑρεθῆναι ἐνεόντα τὸν οἰστόν, εἶπαι πρὸς τὸν πατέρα τοῦ παιδὸς γελάσαντα καὶ περιχαρέα γενόμενον, « Πρήξασπες, ὡς μέν ἐγώ τε οὐ μαίνομαι Πέρσαι τε παραφρονέουσι, δῆλά τοι γέγονε· νῦν δέ μοι εἰπὲ, τίνα εἶδες ἧδη πάντων ἀνθρώπων οὕτω ἐπίσκοπα τοξεύοντα; » (3) Πρηξάσπεα δὲ ὁρέοντα ἄνδρα οὐ φρενήρεα, καὶ περὶ ἑωυτῷ δειμαίνοντα, εἶπαι, « δέσποτα, οὐδ' ἂν αὐτὸν ἔγωγε δοκέω τὸν θεὸν οὕτω ἂν καλῶς βαλέειν. » Τότε μὲν ταῦτα ἐξεργάσατο, ἑτέρωθι δὲ Περσέων ὁμοῖα τοῖσι πρώτοισι δυώδεκα ἐπ' οὐδεμιῇ αἰτίῃ ἀξιόχρεῳ ἑλὼν ζώοντας ἐπὶ κεφαλὴν κατώρυξε.

XXXVI. Ταῦτα δέ μιν ποιεῦντα ἐδικαίωσε Κροῖσος ὁ Λυδὸς νουθετῆσαι τοισίδε τοῖσι ἔπεσι, « ὦ βασιλεῦ, μὴ πάντα ἡλικίῃ καὶ θυμῷ ἐπίτραπε, ἀλλ' ἴσχε καὶ καταλάμβανε σεωυτόν· ἀγαθόν τι πρόνοον εἶναι, σοφὸν δὲ ἡ προμηθίη. (2) Σὺ δὲ κτείνεις μὲν ἄνδρας σεωυτοῦ πολιήτας ἐπ' οὐδεμιῇ αἰτίῃ ἀξιόχρεῳ ἑλὼν, κτείνεις δὲ παῖδας. Ἢν δὲ πολλὰ τοιαῦτα ποιέῃς, ὅρα ὅκως μή σευ ἀποστήσονται Πέρσαι. Ἐμοὶ δὲ πατὴρ ὁ σὸς Κῦρος ἐνετέλλετο πολλὰ κελεύων σε νουθετέειν καὶ ὑποτίθεσθαι ὅ τι ἂν εὑρίσκω ἀγαθόν. » (3) Ὁ μὲν δὴ εὔνοιαν φαίνων συνεβούλευέ οἱ ταῦτα· ὁ δ' ἀμείβετο τοισίδε, « σὺ καὶ ἐμοὶ τολμᾷς συμβουλεύειν, ὃς χρηστῶς μὲν τὴν σεωυτοῦ πατρίδα ἐπετρόπευσας, εὖ δὲ τῷ πατρὶ τῷ ἐμῷ συνεβούλευσας, κελεύων αὐτὸν Ἀράξεα ποταμὸν διαβάντα ἰέναι ἐπὶ Μασσαγέτας βουλομένων ἐκείνων διαβαίνειν ἐς τὴν ἡμετέρην, καὶ ἀπὸ μὲν σεωυτὸν ὤλεσας τῆς σεωυτοῦ πατρίδος κακῶς προστὰς, ἀπὸ δὲ ὤλεσας Κῦρον πειθόμενόν σοι. Ἀλλ' οὔτι χαίρων, ἐπεί τοι καὶ πάλαι ἐς σὲ προφάσιός τευ ἐδεόμην ἐπιλαβέσθαι. » (4) Ταῦτα δὲ εἶπας ἐλάμβανε τὸ τόξον ὡς κατατοξεύσων αὐτόν. Κροῖσος δὲ ἀναδραμὼν ἔθεε ἔξω· ὁ δὲ ἐπείτε τοξεῦσαι οὐκ εἶχε, ἐνετείλατο τοῖσι θεράπουσι λαβόντας μιν ἀποκτεῖναι. (5) Οἱ δὲ θεράποντες ἐπιστάμενοι τὸν τρόπον αὐτοῦ κατακρύπτουσι τὸν Κροῖσον, ἐπὶ τῷδε τῷ λόγῳ ὥστε, εἰ μὲν μεταμέλήσει τῷ Καμβύσῃ καὶ ἐπιζητήσει τὸν Κροῖσον, οἱ δὲ ἐκφήναντες αὐτὸν δῶρα λάμψονται ζωάγρια Κροίσου, ἢν δὲ μὴ μεταμέληται μηδὲ ποθέῃ μιν, τότε καταχρῆσθαι. (6) Ἐπόθησέ τε δὴ ὁ Καμβύσης τὸν Κροῖσον οὐ πολλῷ μετέπειτεν χρόνῳ ὕστερον, καὶ οἱ θεράποντες μαθόντες τοῦτο ἀπήγγελλον αὐτῷ ὡς περιείη. (7) Καμβύσης δὲ Κροίσῳ μὲν συνήδεσθαι ἔφη περιεόντι, ἐκείνους μέντοι τοὺς περιποιήσαντας οὐ καταπροίξεσθαι, ἀλλ' ἀποκτενέειν· καὶ ἐποίησε ταῦτα.

XXXVII. Ὁ μὲν δὴ τοιαῦτα πολλὰ ἐς Πέρσας τε

Persæ, an istud dicentes desipiant ipsi : quodsi enim filii tui in atrio stantis, conjecta sagitta, medium feriero cor, constabit nugas dicere Persas; sin aberravero, dic vera loqui Persas, meque haud sana esse mente. » (2) His dictis, tetendisse arcum; sagittaque feriisse puerum : qui ut cecidit, secari corpus jussit, inspicique vulnus; et quum in cor intrasse sagittam esset repertum, ridens et supra modum gavisus, patri pueri hoc dixit : « Manifestum jam cognovisti, Prexaspes, non me insanire, sed desipere Persas. Nunc vero dic mihi, quemnam tu nosti hominum omnium, qui ita ad destinatum adigat sagittam? » (3) Prexaspes, furere hominem videns, sibique timens ipsi, respondit : « Domine, equidem ne deum quidem ipsum ita dextre ferire existimo. » Tum igitur hoc fecit Cambyses : alibi vero deinde, Persarum primoribus pares duodecim, nulla idonea caussa damnatos, vivos inverso capite terra jussit defodi.

XXXVI. Quæ quum ille patraret, æquum censuit Crœsus Lydus hisce illum verbis monere : « O rex, ne omnia juventuti iræque indulgeas! sed contine atque cohibe te ipse. Bona res est providentia : et sapientis est, rectum consilium in tempore capere. (2) At tu viros occidis, cives tuos, nulla idonea caussa damnatos; idemque pueros occidis. Quodsi plura talia admiseris, vide ne a te deficiant Persæ. Mihi vero pater tuus Cyrus injunxit, sæpe multumque hortatus, ut te monerem, tibique consilium darem, quodcunque ex tuo commodo esse reperissem. » (3) Hoc ille, benevolentiam significans, consilium Cambysi dedit; cui his verbis rex respondit : « tu etiam mihi consilia dare audes! qui tam præclare tuam administrasti patriam, præclareque patri meo consuluisti, suadens illi, ut trajecto Araxe adversus Massagetas duceret, quum illi in nostram terram vellent trajicere. Igitur et te ipsum perdidisti, patriæ rebus male administratis; et Cyrum perdidisti, qui tuum secutus est consilium. Sed male tibi hoc cesserit; jam pridem enim occasionem aliquam adversus te nancisci cupiebam. » (4) His dictis, arcum prehendit, sagittam in illum emissurus. At Crœsus conversus foras se proripuit. et Cambyses, quum ferire illum non potuisset, famulis imperavit ut prehensum occiderent. (5) At famuli, qui ingenium illius nossent, occultant Crœsum, hæc secum reputantes, si dati mandati pœniteret Cambysen, et desiderium Crœsi eum caperet, se producto illo præmia servati illius accepturos; sin in sententia rex persisteret, neque illum desideraret, tunc illum esse interfecturos. (6) Neque multo post (sicut illi fere existimaverant) desideravit Cambyses Crœsum; quo cognito famuli, superesse illum, regi nunciarunt. (7) Tum vero, gaudere se quidem, ait Cambyses, quod Crœsus supersit; at illos, qui eum servassent, non impune laturos, sed capite luituros. Quod et faciendum mandavit.

XXXVII. Talia igitur Cambyses multa, dum Memphi

καὶ τοὺς συμμάχους ἐξεμαίνετο, μένων ἐν Μέμφι καὶ θήκας τε παλαιὰς ἀνοίγων καὶ σκεπτόμενος τοὺς νεκρούς· ἐν δὲ δὴ καὶ ἐς τοῦ Ἡφαίστου τὸ ἱρὸν ἦλθε καὶ πολλὰ τῷγάλματι κατεγέλασε· ἔστι γὰρ τοῦ Ἡφαίστου τῶγαλμα τοῖσι Φοινικηΐοισι Παταίκοισι ἐμφερέστατον, τοὺς οἱ Φοίνικες ἐν τῇσι πρώρῃσι τῶν τριηρέων περιάγουσι. Ὃς δὲ τούτους μὴ ὄπωπε, ἐγὼ δέ οἱ σημανέω· πυγμαίου ἀνδρὸς μίμησίς ἐστι. (2) Ἐσῆλθε δὲ καὶ ἐς τῶν Καβείρων τὸ ἱρὸν, ἐς τὸ οὐ θεμιτόν ἐστι ἐσιέναι ἄλλον γε ἢ τὸν ἱρέα· ταῦτα δὲ τἀγάλματα καὶ ἐνέπρησε πολλὰ κατασκώψας. Ἔστι δὲ καὶ ταῦτα ὁμοῖα τοῖσι τοῦ Ἡφαίστου· τούτου δέ σφεας παῖδας λέγουσι εἶναι.

XXXVIII. Πανταχῇ ὦν μοι δῆλά ἐστι ὅτι ἐμάνη μεγάλως ὁ Καμβύσης· οὐ γὰρ ἂν ἱροῖσί τε καὶ νομαίοισι ἐπεχείρησε καταγελᾶν. Εἴ γάρ τις προθείη πᾶσι ἀνθρώποισι ἐκλέξασθαι κελεύων νόμους τοὺς καλλίστους ἐκ τῶν πάντων νόμων, διασκεψάμενοι ἂν ἑλοίατο ἕκαστοι τοὺς ἑωυτῶν· οὕτω νομίζουσι πολλόν τι καλλίστους τοὺς ἑωυτῶν νόμους ἕκαστοι εἶναι. (2) Οὐκ ὦν οἰκός ἐστι ἄλλον γε ἢ μαινόμενον ἄνδρα γέλωτα τὰ τοιαῦτα τίθεσθαι. Ὡς δὲ οὕτω νενομίκασι τὰ περὶ τοὺς νόμους πάντες ἄνθρωποι, πολλοῖσι μὲν καὶ ἄλλοισι τεκμηρίοισι πάρεστι σταθμώσασθαι, ἐν δὲ δὴ καὶ τῷδε. (3) Δαρεῖος ἐπὶ τῆς ἑωυτοῦ ἀρχῆς καλέσας Ἑλλήνων τοὺς παρεόντας εἴρετο ἐπὶ κόσῳ ἂν χρήματι βουλοίατο τοὺς πατέρας ἀποθνήσκοντας κατασιτέεσθαι· οἱ δὲ ἐπ' οὐδενὶ ἔφασαν ἔρδειν ἂν τοῦτο. (4) Δαρεῖος δὲ μετὰ ταῦτα καλέσας Ἰνδῶν τοὺς καλευμένους Καλατίας, οἳ τοὺς γονέας κατεσθίουσι, εἴρετο, παρεόντων τῶν Ἑλλήνων καὶ δι' ἑρμηνέος μανθανόντων τὰ λεγόμενα, ἐπὶ τέῳ χρήματι δεξαίατ' ἂν τελευτέοντας τοὺς πατέρας κατακαίειν πυρί· οἱ δὲ ἀμβώσαντες μέγα εὐφημέειν μιν ἐκέλευον. (5) Οὕτω μέν νυν ταῦτα νενόμισται, καὶ ὀρθῶς μοι δοκέει Πίνδαρος ποιῆσαι, νόμον πάντων βασιλέα φήσας εἶναι.

XXXIX. Καμβύσεω δὲ ἐπ' Αἴγυπτον στρατευομένου ἐποιήσαντο καὶ Λακεδαιμόνιοι στρατηΐην ἐπὶ Σάμον τε καὶ Πολυκράτεα τὸν Αἰάκεος, ὃς ἔσχε Σάμον ἐπαναστὰς, καὶ τὰ μὲν πρῶτα τριχῇ δασάμενος τὴν πόλιν τοῖσι ἀδελφεοῖσι Πανταγνώτῳ καὶ Συλοσῶντι ἔνειμε, μετὰ δὲ τὸν μὲν αὐτῶν ἀποκτείνας, τὸν δὲ νεώτερον Συλοσῶντα ἐξελάσας ἔσχε πᾶσαν Σάμον, σχὼν δὲ ξεινίην Ἀμάσι τῷ Αἰγύπτου βασιλέϊ συνεθήκατο, πέμπων τε δῶρα καὶ δεκόμενος ἄλλα παρ' ἐκείνου. (2) Ἐν χρόνῳ δὲ ὀλίγῳ αὐτίκα τοῦ Πολυκράτεος τὰ πρήγματα αὔξετο καὶ ἦν βεβωμένα ἀνά τε τὴν Ἰωνίην καὶ τὴν ἄλλην Ἑλλάδα· ὅκου γὰρ ἰθύσειε στρατεύεσθαι, πάντα οἱ ἐχώρεε εὐτυχέως. Ἕκτητο δὲ πεντηκοντέρους τε ἑκατὸν καὶ χιλίους τοξότας. (3) Ἔφερε δὲ καὶ ἦγε πάντας, διακρίνων οὐδένα· τῷ γὰρ φίλῳ ἔφη χαριέεσθαι μᾶλλον ἀποδιδοὺς τὰ ἕλαβε ἢ ἀρχὴν μηδὲ λαβών. Συχνὰς μὲν δὴ τῶν νήσων ἀραιρήκεε, πολλὰ δὲ καὶ τῆς ἠπείρου ἄστεα· ἐν δὲ δὴ καὶ

morabatur, et adversus Persas et adversus socios furiosa patravit: præterea vetusta sepulcra aperuit, et cadavera inspexit; atque etiam templum Vulcani ingressus, simulacrum dei multis modis ludibrio habuit. Vulcani illud simulacrum simillimum est Phœniciis Patæcis, quos Phœnices in proris triremium circumferunt. Quos qui non vidit, ei ego significabo: est imitatio viri pygmæi. (2) Ingressus vero etiam est Cabirorum templum, quod neminem fas est ingredi, nisi sacerdotem: atque horum simulacra igne etiam cremavit, multis ludificatus. Sunt autem hæc quoque similia Vulcani, cujus filios aiunt esse Cabiros.

XXXVIII. Quibus ex omnibus fit mihi manifestum, furore magnopere actum fuisse Cambysen: alioqui templis sacrisque populi ritibus non erat illusurus. Nam si quis hominibus omnibus optionem proponeret sibi eligendi ex omnibus institutis ea quæ optima viderentur, quilibet eorum, re deliberata, domestica esset prælaturus: adeo quisque populus suas leges longe esse optimas judicat. (2) Itaque verisimile non est, alium hominem, nisi furiosum, talia ludibrio habere. Statuere autem ita de suis legibus et institutis homines omnes, quum aliis multis intelligi documentis potest, tum hocce. (3) Darius, postquam imperio est potitus, convocatos Græcos qui ei aderant, interrogavit, quanam pecuniæ proposita summa vellent mortuos parentes comedere. Et illi, nulla conditione se id facturos, responderunt. (4) Idem deinde ex Indis hos qui Calatiæ nominantur, qui parentes comedunt, ad se vocatos, præsentibus Græcis, et per interpretes quid ageretur intelligentibus, interrogavit, qua mercede in se reciperent, igne cremare mortuos parentes. Et illi, alta voce exclamantes, meliora eum ominari jusserunt. (5) Ita igitur hæc constituta sunt; recteque mihi Pindarus videtur cecinisse, Morem majorum dicens regem esse omnium.

XXXIX. Quo tempore Cambyses Ægyptum bello adgressus est, per idem tempus Lacedæmonii adversus Samum, et Polycratem, Æacis filium, expeditionem susceperunt. Is quum insurrectione facta Samum occupasset, primum trifariam distributam civitatem simul cum fratribus, Pantagnoto et Sylosonte, administraverat: dein, altero occiso, et natu minore Sylosonte insula ejecto, universam Samum imperio tenebat. Quo in imperio cum Amasi, Ægypti rege, hospitium contraxit, dona ei mittens, et vicissim ab illo accipiens. (2) Brevique tempore ita auctæ res erant Polycratis, ut per universam Ioniam reliqnamque Græciam celebrarentur. Etenim quocumque cum exercitu proficisceretur, omnia ei feliciter cedebant. Habebat autem centum actuarias naves quinquaginta remorum, et mille sagittarios (*satellites*). (3) Cunctos circumcirca, nullo discrimine facto, invadens, agebat ferebatque omnia. Nam amico, aiebat, magis se gratificaturum, si ea, quæ eripuisset, eidem restitueret, quam si initio nihil eripuisset. Multas igitur insulas ceperat, multa item continentis oppida: in his Les-

Λεσβίους παντστρατιῇ βωθέοντας Μιλησίοισι ναυμαχίῃ κρατήσας εἷλε, οἳ τὴν τάφρον περὶ τὸ τεῖχος τὸ ἐν Σάμῳ πᾶσαν δεδεμένοι ὤρυξαν.

XL. Καί κως τὸν Ἄμασιν εὐτυχέων μεγάλως ὁ Πολυκράτης οὐκ ἐλάνθανε, ἀλλά οἱ τοῦτ' ἦν ἐπιμελές· Πολλῷ δὲ ἔτι πλεῦνός οἱ εὐτυχίης γινομένης γράψας ἐς βιβλίον τάδε ἐπέστειλε ἐς Σάμον· (2) « Ἄμασις Πολυκράτεϊ ὧδε λέγει. Ἡδὺ μὲν πυνθάνεσθαι ἄνδρα φίλον καὶ ξεῖνον εὖ πρήσσοντα· ἐμοὶ δὲ αἱ σαὶ μεγάλαι εὐτυχίαι οὐκ ἀρέσκουσι, τὸ θεῖον ἐπισταμένῳ ὡς φθονερόν· καί κως βούλομαι καὶ αὐτὸς καὶ τῶν ἂν κήδωμαι τὸ μέν τι εὐτυχέειν τῶν πρηγμάτων, τὸ δὲ προσπταίειν, καὶ οὕτω διαφέρειν τὸν αἰῶνα, ἐναλλὰξ πρήσσων, ἢ εὐτυχέειν τὰ πάντα. (3) Οὐδένα γάρ κω λόγῳ οἶδα ἀκούσας ὅστις ἐς τέλος οὐ κακῶς ἐτελεύτησε πρόρριζος, εὐτυχέων τὰ πάντα. Σὺ ὦν νῦν ἐμοὶ πειθόμενος ποίησον πρὸς τὰς εὐτυχίας τοιάδε· φροντίσας τὸ ἂν εὕρῃς ἐόν τοι πλείστου ἄξιον, καὶ ἐπ' ᾧ σὺ ἀπολομένῳ μάλιστα τὴν ψυχὴν ἀλγήσεις, τοῦτο ἀπόβαλε οὕτω ὅκως μηκέτι ἥξει ἐς ἀνθρώπους. (4) Ἢν τε μὴ ἐναλλὰξ ἤδη τὠπὸ τούτου αἱ εὐτυχίαι τοι τῇσι πάθῃσι προσπίπτωσι, τρόπῳ τῷ ἐξ ἐμεῦ ὑποκειμένῳ ἀκέο. »

XLI. Ταῦτα ἐπιλεξάμενος ὁ Πολυκράτης, καὶ νόῳ λαβὼν ὡς οἱ εὖ ὑποτίθοιτο Ἄμασις, ἐδίζητο ἐπ' ᾧ ἂν μάλιστα τὴν ψυχὴν ἀσηθείῃ ἀπολομένῳ τῶν κειμηλίων, διζήμενος δ' εὗρισκε τόδε· ἦν οἱ σφρηγὶς τὴν ἐφόρεε χρυσόδετος, σμαράγδου μὲν λίθου ἐοῦσα, ἔργον δὲ ἦν Θεοδώρου τοῦ Τηλεκλέος Σαμίου. (2) Ἐπεὶ ὦν ταύτην οἱ ἐδόκεε ἀποβαλέειν, ἐποίεε τοιάδε· πεντηκόντερον πληρώσας ἀνδρῶν ἐσέβη ἐς αὐτὴν, μετὰ δὲ ἀναγαγεῖν ἐκέλευε ἐς τὸ πέλαγος· ὡς δὲ ἀπὸ τῆς νήσου ἐκὰς ἐγένετο, περιελόμενος τὴν σφρηγῖδα πάντων ὁρεόντων τῶν συμπλόων ῥίπτει ἐς τὸ πέλαγος. Τοῦτο δὲ ποιήσας ἀπέπλωε, ἀπικόμενος δὲ ἐς τὰ οἰκία συμφορῇ ἐχρᾶτο.

XLII. Πέμπτῃ δὲ ἢ ἕκτῃ ἡμέρῃ ἀπὸ τούτων τάδε οἱ συνήνεικε γενέσθαι. Ἀνὴρ ἁλιεὺς λαβὼν ἰχθὺν μέγαν τε καὶ καλὸν ἠξίου μιν Πολυκράτεϊ δῶρον δοθῆναι· φέρων δὴ ἐπὶ τὰς θύρας Πολυκράτεϊ ἔφη ἐθέλειν ἐλθεῖν ἐς ὄψιν, χωρήσαντος δέ οἱ τούτου ἔλεγε διδοὺς τὸν ἰχθύν, « ὦ βασιλεῦ, ἐγὼ τόνδε ἑλὼν οὐκ ἐδικαίωσα φέρειν ἐς ἀγορὴν, καίπερ γε ἐὼν ἀποχειροβίοτος, ἀλλά μοι ἐδόκεε σεῦ τε εἶναι ἄξιος καὶ τῆς σῆς ἀρχῆς. Σοὶ δή μιν φέρων δίδωμι. » (2) Ὁ δὲ ἡσθεὶς τοῖσι ἔπεσι ἀμείβεται τοισίδε, « κάρτα τε εὖ ἐποίησας, καὶ χάρις διπλέη τῶν τε λόγων καὶ τοῦ δώρου· καί σε ἐπὶ δεῖπνον καλεῦμεν. » Ὁ μὲν δὴ ἁλιεὺς μέγα ποιεύμενος ταῦτα ᾔιε ἐς τὰ οἰκία, τὸν δὲ ἰχθὺν τάμνοντες οἱ θεράποντες εὑρίσκουσι ἐν τῇ νηδύϊ αὐτοῦ ἐνεοῦσαν τὴν Πολυκράτεος σφρηγῖδα. (3) Ὡς δὲ εἶδόν τε καὶ ἔλαβον τάχιστα, ἔφερον κεχαρηκότες παρὰ τὸν Πολυκράτεα, διδόντες δέ οἱ τὴν σφρηγῖδα ἔλεγον ὅτεῳ τρόπῳ εὑρέθη. Τὸν δὲ ὡς ἐσῆλθε θεῖον εἶναι τὸ πρῆγμα, γράφει ἐς βιβλίον πάντα τὰ ποιήσαντά μιν οἷα καταλελαβήκεε, γράψας δὲ ἐς Αἴγυπτον ἐπέθηκε.

bios, quum omnibus viribus Milesiis auxilio essent profecti, navali pugna superatos cepit; qui deinde universam fossam, murum Sami ambientem, vincti foderunt.

XL. Amasin non latebat, ingenti felicitate uti Polycratem; sed ea res illi curæ erat. Quum vero etiam multo magis augeretur prospera illius fortuna, misso libello hæc ad eum perscripsit: (2) « Amasis Polycrati hæc dicit. Jucundum utique est intelligere, virum amicum et hospitem bene agere. At mihi non placent tuæ res nimium secundæ, ut qui norim, invidum esse numen: ac fere cupio, ut et ego et hi qui mihi curæ sunt, partim quidem prospero utamur rerum successu, partim vero etiam nonnihil offendamus; atque ita potius vitam transigamus, variante fortuna, quam usquequaque simus felices. (3) Neminem enim novi aut fando audivi, quin, postquam usquequaque prospera usus est fortuna, postremo pessimum funditus finem habuerit. Tu ergo, meum secutus consilium, adversus illam tuam nimiam felicitatem fac hocce: cogita quid sit quod habeas quod maximi tibi sit pretii, et quo amisso summa animi ægritudine adfectum te iri existimes; atque ita illud abjice, ut inter homines non amplius compareat. (4) Quodsi posthac tibi res secundæ jam non per vices cum ipsis infortuniis eventuræ sunt, fac ut rebus tuis hac ratione, quam tibi proposui, medearis. »

XLI. His perlectis Polycrates, intelligens bene se monere Amasin, quæsivit quidnam esset ex suis cimeliis, cujus jactura maximam animo suo ægritudinem esset adlatura; et, rerum suarum inita ratione, hoc reperit: erat ei annulus signatorius, quem gestabat, auro vinctus, e smaragdo lapide, Theodori opus Samii, Teleclis filii. (2) Hunc annulum abjicere secum constituens, fecit hæcce: actuariam navem quinquaginta remorum hominibus complevit; quam postquam et ipse conscendit, jussit illos in altum enavigare: quumque procul ab insula abessent, detractum de manu annulum, conspicientibus cunctis qui in navi erant, in mare projecit. Hoc facto, retro navigavit: et postquam domum rediit, in mœrore versatus est.

XLII. At quinto aut sexto exinde die res ei accidit hujusmodi. Homo piscatoriam exercens, quum ingentem pulcrumque cepisset piscem, Polycrati eum voluit dono dare: itaque ad fores regis illum ferens, ait velle se Polycrati in conspectum venire. Quod ubi illi contigit, offerens piscem dixit: « Hunc, rex, postquam ego cepi, non judicavi in forum rerum venalium esse ferendum, quamvis sim homo manu mea victum quærens; sed visus est mihi te tuoque imperio dignus: tibi igitur illum adfero donoque. » (2) His verbis delectatus Polycrates, in hunc modum homini respondit: « Recte utique fecisti, ac duplicem tibi habeo gratiam, et orationis tuæ, et doni caussa: teque ad cœnam vocamus. » Piscator, magni hæc faciens, domum abiit: famuli vero, dum piscem dissecant, reperiunt in ejus ventre annulum Polycratis. (3) Quem ut viderunt, protinus correptum, gaudio perfusi, ad Polycratem deferunt, dant nunciantque quo pacto repertus sit annulus. Tum Polycrates, quum subiret mentem ejus cogitatio rem esse divinam, conscripsit in libello omnia, quæ et ipse fecisset, et quæ sibi inde accidissent: libellumque illum in Ægyptum dedit perferendum.

XLIII. Ἐπιλεξάμενος δὲ ὁ Ἄμασις τὸ βιβλίον τὸ παρὰ τοῦ Πολυκράτεος ἦκον, ἔμαθε ὅτι ἐκκομίσαι τε ἀδύνατον εἴη ἀνθρώπῳ ἄνθρωπον ἐκ τοῦ μέλλοντος γίνεσθαι πρήγματος, καὶ ὅτι οὐκ εὖ τελευτήσειν μέλλοι Πολυκράτης εὐτυχέων τὰ πάντα, ὃς καὶ τὰ ἀποβάλλει εὑρίσκει. (2) Πέμψας δέ οἱ κήρυκα ἐς Σάμον διαλύεσθαι ἔφη τὴν ξεινίην. Τοῦδε δὲ εἵνεκεν ταῦτα ἐποίεε, ἵνα μὴ συντυχίης δεινῆς τε καὶ μεγάλης Πολυκράτεα καταλαβούσης αὐτὸς ἀλγήσειε τὴν ψυχὴν ὡς περὶ ξείνου ἀνδρός.

XLIV. Ἐπὶ τοῦτον δὴ ὦν τὸν Πολυκράτεα εὐτυχέοντα τὰ πάντα ἐστρατεύοντο Λακεδαιμόνιοι ἐπικαλεσαμένων τῶν μετὰ ταῦτα Κυδωνίην τὴν ἐν Κρήτῃ κτισάντων Σαμίων. (2) Πολυκράτης δὲ πέμψας παρὰ Καμβύσεα τὸν Κύρου, συλλέγοντα στρατὸν ἐπ' Αἴγυπτον, ἐδεήθη ὅκως ἂν καὶ παρ' ἑωυτὸν πέμψας ἐς Σάμον δέοιτο στρατοῦ. (2) Καμβύσης δὲ ἀκούσας τούτων προθύμως ἔπεμπε ἐς Σάμον, δεόμενος Πολυκράτεος στρατὸν ναυτικὸν ἅμα πέμψαι ἑωυτῷ ἐπ' Αἴγυπτον. Ὁ δὲ ἐπιλέξας τῶν ἀστῶν τοὺς ὑπώπτευε μάλιστα ἐς ἐπανάστασιν ἀπέπεμπε τεσσεράκοντα τριήρεσι, ἐντειλάμενος Καμβύσῃ ὀπίσω τούτους μὴ ἀποπέμπειν.

XLV. Οἱ μὲν δὴ λέγουσι τοὺς ἀποπεμφθέντας Σαμίων ὑπὸ Πολυκράτεος οὐκ ἀπικέσθαι ἐς Αἴγυπτον, ἀλλ' ἐπείτε ἐγένοντο ἐν Καρπάθῳ πλώοντες, δοῦναι σφίσι λόγον, καί σφι ἀδεῖν τὸ προσωτέρω μηκέτι πλώειν· οἱ δὲ λέγουσι ἀπικομένους τε ἐς Αἴγυπτον καὶ φυλασσομένους ἐνθεῦτεν αὐτοὺς ἀποδρῆναι. (2) Καταπλώουσι δὲ ἐς τὴν Σάμον Πολυκράτης νηυσὶ ἀντιάσας ἐς μάχην κατέστη· νικήσαντες δὲ οἱ κατιόντες ἀπέβησαν ἐς τὴν νῆσον, πεζομαχήσαντες δὲ ἐν αὐτῇ ἐσσώθησαν, καὶ οὕτω δὴ ἔπλωον ἐς Λακεδαίμονα. (3) Εἰσὶ δὲ οἳ λέγουσι τοὺς ἀπ' Αἰγύπτου νικῆσαι Πολυκράτεα, λέγοντες ἐμοὶ δοκέειν οὐκ ὀρθῶς· οὐδὲν γὰρ ἔδεέ σφεας Λακεδαιμονίους ἐπικαλέεσθαι, εἴ περ αὐτοὶ ἱκανοὶ ἔσαν Πολυκράτεα παραστήσασθαι. (4) Πρὸς δὲ τούτοισι οὐδὲ λόγος αἱρέει, τῷ ἐπίκουροί τε μισθωτοὶ καὶ τοξόται οἰκήϊοι ἔσαν πλήθεϊ πολλοί, τοῦτον ὑπὸ τῶν κατιόντων Σαμίων ἐόντων ὀλίγων ἐσσωθῆναι. (5) Τῶν δ' ὑπ' ἑωυτῷ ἐόντων πολιητέων τὰ τέκνα καὶ τὰς γυναῖκας ὁ Πολυκράτης ἐς τοὺς νεωσοίκους συνειλήσας εἶχε ἑτοίμους, ἢν ἄρα προδιδῶσι οὗτοι πρὸς τοὺς κατιόντας, ὑποπρῆσαι αὐτοῖσι νεωσοίκοισι.

XLVI. Ἐπείτε δὲ οἱ ἐξελαθέντες Σαμίων ὑπὸ Πολυκράτεος ἀπίκοντο ἐς τὴν Σπάρτην, καταστάντες ἐπὶ τοὺς ἄρχοντας ἔλεγον πολλὰ οἷα κάρτα δεόμενοι. Οἱ δέ σφι τῇ πρώτῃ καταστάσι ὑπεκρίναντο τὰ μὲν πρῶτα λεχθέντα ἐπιλεληθέναι, τὰ δὲ ὕστερα οὐ συνιέναι. (2) Μετὰ δὲ ταῦτα δεύτερα καταστάντες ἄλλο μὲν εἶπαν οὐδέν, θύλακον δὲ φέροντες ἔφασαν τὸν θύλακον ἀλφίτων δέεσθαι. Οἱ δέ σφι ὑπεκρίναντο τῷ θυλάκῳ περιεργάσθαι· βοηθέειν δ' ὦν ἔδοξε αὐτοῖσι.

XLVII. Καὶ ἔπειτεν παρασκευασάμενοι ἐστρατεύοντο Λακεδαιμόνιοι ἐπὶ Σάμον, ὡς μὲν Σάμιοι λέ-

XLIII. Amasis, lecto libello quem ad illum Polycrates miserat, intellexit, fieri non posse ut homo hominem e casu futuro eripiat, et male vitam finiturum esse Polycratem, cui feliciter omnia cedant, quique etiam, quæ abjecit, rursus inveniat. (2) Itaque misso Samum præcone, dissolvere se dixit hospitium. Id autem ea caussa fecit, ne, si ingens et gravis calamitas Polycrati accidisset, ipse mœrore adliceretur hospitis caussa.

XLIV. Adversus hunc igitur Polycratem, rebus omnibus felicem, bellum moverunt Lacedæmonii, auxilio vocati a Samiis illis, qui deinde Cydoniam in Creta insula coloniam condiderunt. (2) Scilicet, quo tempore Cambyses, Cyri filius, copias adversus Ægyptum comparavit, miserat Polycrates ad Cambysen, rogans ut etiam ad se Samum mitteret, a seque copias peteret. (3) Quo audito, libenter Cambyses Samum miserat, petens a Polycrate ut navales copias secum mitteret adversus Ægyptum. Et ille e civibus selectos hos, quos novandarum domi rerum maxime suspectos habebat, miserat cum quadraginta triremibus; mandans Cambysi, ne hos remitteret.

XLV. Jam dicunt alii, Samios hos a Polycrate missos, in Ægyptum non pervenisse; sed quum ad Carpathum navibus venissent, re deliberata statuisse non ulterius navigare: alii aiunt, venisse eos in Ægyptum, ibique fuisse observatos, sed fuga inde evasisse. (2) Qui ubi Samum renavigarunt, Polycrates cum navibus obviam profectus, prælium cum eis commisit: qua ex pugna quum superiores discessissent hi reduces, in insulam exscenderunt; at tunc, pedestri commisso prælio, victi fugatique sunt, atque ita Lacedæmonem navigarunt. (3) Ac sunt quidem qui dicant, hos ex Ægypto redeuntes devicisse Polycratem: quod, mea quidem sententia, falsum est. Nihil enim opus fuisset Lacedæmonios auxilio vocare, si satis virium ipsi habuissent, quibus Polycratem ad deditionem compellerent. (4) Ad hæc minime est consentaneum rationi, ut, cui et auxiliarium mercenariorum et propriorum satellitum magna multitudo præsto erat, hic a redeuntibus Samiis, paucis numero, esset devictus. (5) Præterea civium sibi subjectorum uxores et liberos, navalibus inclusos, in promptu habuerat Polycrates, si illi cum redeuntibus de proditione egissent, simul cum navalibus igne crematurus.

XLVI. Samii, a Polycrate ejecti, ut Spartam venerunt, deducti ad magistratus, multa fecerunt verba, ut qui sollicite admodum orarent. At illi, primo hoc eis dato concilio, responderunt: quæ prima dixissent, ea se esse oblitos; quæ deinde, ea non intelligere. (2) Post hæc, iterum admissi, saccum ferentes, nihil aliud dixerunt, nisi hæc verba, Saccus farina indiget. Quibus Spartani responderunt, vocabulo Saccus supersedere eos potuisse: opem vero ferre decrevisse.

XLVII. Deinde Lacedæmonii, rebus omnibus paratis, exercitum Samum miserunt: idque, ut quidem Samii di-

γουσι, εὐεργεσίας ἐκτίνοντες, ὅτι σφι πρότεροι αὐτοὶ νηυσὶ ἐβώθησαν ἐπὶ Μεσσηνίους· ὡς δὲ Λακεδαιμόνιοι λέγουσι, οὐκ οὕτω τιμωρῆσαι δεομένοισι Σαμίοισι ἐστρατεύοντο ὡς τίσασθαι βουλόμενοι τοῦ κρητῆρος τῆς ἁρπαγῆς τὸν ἦγον Κροίσῳ, καὶ τοῦ θώρηκος τὸν αὐτοῖσι Ἄμασις ὁ Αἰγύπτου βασιλεὺς ἔπεμψε δῶρον. (2) Καὶ γὰρ θώρηκα ἐληίσαντο τῷ προτέρῳ ἔτεϊ ἢ τὸν κρητῆρα οἱ Σάμιοι, ἐόντα μὲν λίνεον καὶ ζώων ἐνυφασμένων συχνῶν, κεκοσμημένον δὲ χρυσῷ καὶ εἰρίοισι ἀπὸ ξύλου· τῶν δὲ εἵνεκεν θωμάσαι ἄξιον, ἁρπεδόνη ἑκάστη τοῦ θώρηκος ποιέει· ἐοῦσα γὰρ λεπτὴ ἔχει ἁρπεδόνας ἐν ἑωυτῇ τριηκοσίας καὶ ἑξήκοντα, πάσας φανεράς. Τοιοῦτος ἕτερός ἐστι καὶ τὸν ἐν Λίνδῳ ἀνέθηκε τῇ Ἀθηναίῃ Ἄμασις.

XLVIII. Συνεπελάβοντο δὲ τοῦ στρατεύματος τοῦ ἐπὶ Σάμον ὥστε γενέσθαι καὶ Κορίνθιοι προθύμως· ὕβρισμα γὰρ καὶ ἐς τούτους εἶχε ἐκ τῶν Σαμίων γενόμενον γενεῇ πρότερον τοῦ στρατεύματος τούτου, κατὰ δὲ τὸν αὐτὸν χρόνον τοῦ κρητῆρος τῇ ἁρπαγῇ γεγονός. (2) Κερκυραίων γὰρ παῖδας τριηκοσίους ἀνδρῶν τῶν πρώτων Περίανδρος ὁ Κυψέλου ἐς Σάρδις ἀπέπεμψε παρ' Ἀλυάττεα ἐπ' ἐκτομῇ· προσσχόντων δὲ ἐς τὴν Σάμον τῶν ἀγόντων τοὺς παῖδας Κορινθίων, πυθόμενοι οἱ Σάμιοι τὸν λόγον ἐπ' οἷσι ἀγοίατο ἐς Σάρδις, πρῶτα μὲν τοὺς παῖδας ἐδίδαξαν ἱροῦ ἅψασθαι Ἀρτέμιδος, μετὰ δὲ οὐ περιορέοντες ἀπέλκειν τοὺς ἱκέτας ἐκ τοῦ ἱροῦ, σιτίων δὲ τοὺς παῖδας ἐργόντων Κορινθίων, ἐποιήσαντο οἱ Σάμιοι ὁρτὴν, τῇ καὶ νῦν ἔτι χρέονται κατὰ ταὐτά· (3) νυκτὸς γὰρ ἐπιγενομένης, ὅσον χρόνον ἱκέτευον οἱ παῖδες, ἱστασαν χοροὺς παρθένων τε καὶ ἠϊθέων, ἱστάντες δὲ τοὺς χοροὺς τρωκτὰ σησάμου τε καὶ μέλιτος ἐποιήσαντο νόμον φέρεσθαι, ἵνα ἁρπάζοντες οἱ τῶν Κερκυραίων παῖδες ἔχοιεν τροφήν. (4) Ἐς τοῦτο δὲ τόδε ἐγίνετο, ἐς ὃ οἱ Κορίνθιοι τῶν παίδων οἱ φύλακοι οἴχοντο ἀπολιπόντες· τοὺς δὲ παῖδας ἀπήγαγον ἐς Κέρκυραν οἱ Σάμιοι.

XLIX. Εἰ μέν νυν Περιάνδρου τελευτήσαντος τοῖσι Κορινθίοισι φίλα ἦν πρὸς τοὺς Κερκυραίους, οἱ δὲ οὐκ ἂν συνελάβοντο τοῦ στρατεύματος τοῦ ἐπὶ Σάμον ταύτης εἵνεκεν τῆς αἰτίης. Νῦν δὲ αἰεὶ ἐπείτε ἔκτισαν τὴν νῆσον, εἰσὶ ἀλλήλοισι διάφοροι ἐόντες ἑωυτοῖσι. (2) Τούτων ὦν εἵνεκεν ἀπεμνησικάκεον τοῖσι Σαμίοισι οἱ Κορίνθιοι. Ἀπέπεμπε δὲ ἐς Σάρδις ἐπ' ἐκτομῇ Περίανδρος τῶν πρώτων Κερκυραίων ἐπιλέξας τοὺς παῖδας τιμωρεύμενος· πρότεροι γὰρ οἱ Κερκυραῖοι ἦρξαν ἐς αὐτὸν πρῆγμα ἀτάσθαλον ποιήσαντες.

L. Ἐπείτε γὰρ τὴν ἑωυτοῦ γυναῖκα Μέλισσαν Περίανδρος ἀπέκτεινε, συμφορὴν τοιήνδε οἱ ἄλλην συνέβη πρὸς τῇ γεγονυίῃ γενέσθαι. Ἦσαν οἱ ἐκ Μελίσσης δύο παῖδες, ἡλικίην ὁ μὲν ἑπτακαίδεκα, ὁ δὲ ὀκτωκαίδεκα ἔτεα γεγονώς. (2) Τούτους ὁ μητροπάτωρ Προκλέης, ἐὼν Ἐπιδαύρου τύραννος, μεταπεμψάμενος παρ' ἑωυτὸν ἐφιλοφρονέετο, ὡς οἰκὸς ἦν θυγατρὸς ἐόντας τῆς ἑωυτοῦ παῖδας. Ἐπείτε δέ σφεας ἀπεπέμπετο, εἶπε προπέμπων

cunt, fecerunt remuneraturi beneficium, quandoquidem ipsis superiore tempore Samii navibus opem tulissent adversus Messenios : ut vero Lacedæmonii aiunt, non tam Samiis precantibus opem laturi expeditionem hanc susceperunt, quam punire illos cupientes, quod craterem rapuissent, ad Crœsum a se missum, itemque thoracem, quem Lacedæmoniis dono miserat Amasis, rex Ægypti. (2) Nam et thoracem illum, superiore anno quam craterem, Samii rapuerant. Lineus is thorax erat, multis intextis figuris ornatus ex auro et lana xylina (*sive* gossypio) : quod vero miratu dignum est, filum thoracis quodlibet, quum tenue ipsum sit, in se continet fila trecenta et sexaginta, conspicua cuncta. Alius huic simillimus est, quem Lindi idem Amasis Minervæ dedicavit.

XLVIII. Operam autem suam ad hanc contra Samum expeditionem, ut susciperetur, studiose etiam contuleruut Corinthii. Etenim adversus hos quoque contumeliam admiserant Samii proxima ante hanc expeditionem ætate, per idem tempus quo crater raptus est. (2) Periander, Cypseli filius, trecentos pueros principum ex Corcyræis virorum Sardes ad Alyatten miserat castrandos. Quos pueros qui ducebant Corinthii quum ad Samum adpulissent, cognita caussa Samii cur Sardes illi ducerentur, primum monuerunt pueros, ut templum tangerent Dianæ : deinde, quum a templo abstrahi supplices hos non paterentur, Corinthii autem eisdem alimenta negarent, festos dies instituerunt Samii, quos etiam nunc eodem modo celebrant : (3) ingruente nocte, quam diu aderant supplices pueri, choros agebant virginum juvenumque, constituta lege, ut, illis qui choris interessent, bellaria secum ferrent ex sesamo et melle confecta, ut ea pueri Corcyræis rapta comederent. (4) Idque tam diu ita fecerunt, donec custodes puerorum Corinthii, illis relictis, abierunt : tunc vero pueros Corcyram Samii reduxerunt.

XLIX. Jam, si mortuo Periandro amicitiam Corinthii cum Corcyræis coluissent, non illi hanc ob causam socii erant futuri expeditionis contra Samum susceptæ. Nunc, ex quo coloniam in insulam illam deduxerant, perpetuo mutuæ inter utrosque durant dissensiones. (2) Itaque illam ob caussam Samiis Corinthii succensebant. Miserat autem Sardes Periander castrandos pueros ex principum Corcyræorum familiis lectos, pœnam ab illis sumpturus : nam priores Corcyræi nefarium facinus in ipsum admiserant.

L. Scilicet postquam uxorem suam Melissam Periander occidit, ad priorem hanc calamitatem alia ei supervenit hujusmodi. Erant ei ex Melissa duo filii, alter septemdecim annos natus, alter octodecim. (2) Hos avus maternus Procles, Epidauri tyrannus, ad se vocatos, benigne excepit, uti par erat ex ipsius filia natos. Quos ubi a se dimisit; dum illos deducit, ait : « Nostis ne, filii, quis ma-

αὐτοὺς, « Ἆρα ἴστε, ὦ παῖδες, ὃς ὑμέων τὴν μητέρα ἀπέκτεινε; » (3) Τοῦτο τὸ ἔπος ὁ μὲν πρεσβύτερος αὐτῶν ἐν οὐδενὶ λόγῳ ἐποιήσατο· ὁ δὲ νεώτερος, τῷ οὔνομα ἦν Λυκόφρων, ἤλγησε ἀκούσας οὕτω ὥστε ἀπικόμενος ἐς τὴν Κόρινθον ἅτε φονέα τῆς μητρὸς τὸν πατέρα οὔτε προσεῖπε, διαλεγομένῳ τε οὐ προσδιελέγετο, ἱστορέοντί τε λόγον οὐδένα ἐδίδου. Τέλος δέ μιν περὶ θυμῷ ἐχόμενος ὁ Περίανδρος ἐξελαύνει ἐκ τῶν οἰκίων.

LI. Ἐξελάσας δὲ τοῦτον, ἱστόρεε τὸν πρεσβύτερον τά σφι ὁ μητροπάτωρ διελέχθη. Ὁ δέ οἱ ἀπηγέετο ὡς σφεας φιλοφρόνως ἐδέξατο· ἐκείνου δὲ τοῦ ἔπεος τό σφι ὁ Προκλέης ἀποστέλλων εἶπε, ἅτε οὐ νόῳ λαβὼν, οὐκ ἐμέμνητο. (2) Περίανδρος δὲ οὐδεμίαν μηχανὴν ἔφη εἶναι μὴ οὐ σφι ἐκεῖνον ὑποθέσθαι τι, ἐλιπάρεέ τε ἱστορέων· ὁ δὲ ἀναμνησθεὶς εἶπε καὶ τοῦτο. (3) Περίανδρος δὲ νόῳ λαβὼν καὶ τοῦτο, καὶ μαλακὸν ἐνδιδόναι βουλόμενος οὐδὲν, τῇ ὁ ἐξελαθεὶς ὑπ' αὐτοῦ παῖς δίαιταν ἐποιέετο, ἐς τούτους πέμπων ἄγγελον ἀπηγόρευε μή μιν δέκεσθαι οἰκίοισι. (4) Ὁ δὲ ὅκως ἀπελαυνόμενος ἔλθοι ἐς ἄλλην οἰκίην, ἀπηλαύνετ' ἂν καὶ ἀπὸ ταύτης, ἀπειλέοντός τε τοῦ Περιάνδρου τοῖσι δεξαμένοισι καὶ ἐξέργειν κελεύοντος. Ἀπελαυνόμενος δ' ἂν ἤϊε ἐπ' ἑτέρην τῶν ἑταίρων· οἱ δὲ ἅτε Περιάνδρου ἐόντα παῖδα, καίπερ δειμαίνοντες, ὅμως ἐδέκοντο.

LII. Τέλος δὲ ὁ Περίανδρος κήρυγμα ἐποιήσατο, ὃς ἂν ἢ οἰκίοισι ὑποδέξηταί μιν ἢ προσδιαλεχθῇ, ἱρὴν ζημίην τοῦτον τῷ Ἀπόλλωνι ὀφείλειν, ὁσηνδὴ εἶπας. Πρὸς ὧν δὴ τοῦτο τὸ κήρυγμα οὔτε τίς οἱ διαλέγεσθαι οὔτε οἰκίοισι δέκεσθαι ἤθελε· πρὸς δὲ οὐδὲ αὐτὸς ἐκεῖνος ἐδικαίευ πειρᾶσθαι ἀπειρημένου, ἀλλὰ διακαρτερέων ἐν τῇσι στοιῇσι ἐκαλινδέετο. (2) Τετάρτῃ δ' ἡμέρῃ ἰδών μιν ὁ Περίανδρος ἀλουσίῃσί τε καὶ ἀσιτίῃσι συμπεπτωκότα οἰκτειρε· ὑπεὶς δὲ τῆς ὀργῆς ἦϊε ἄσσον καὶ ἔλεγε, « ὦ παῖ, κότερα τούτων αἱρετώτερά ἐστι, ταῦτα τὰ νῦν ἔχων πρήσσεις, ἢ τὴν τυραννίδα καὶ ἀγαθὰ τὰ νῦν ἐγὼ ἔχω, ταῦτα ἐόντα τῷ πατρὶ ἐπιτήδεον παραλαμβάνειν; (3) ὃς ἐὼν ἐμός τε παῖς καὶ Κορίνθου τῆς εὐδαίμονος βασιλεὺς ἀλήτην βίον εἵλευ, ἀντιστατέων τε καὶ ὀργῇ χρεώμενος ἐς τόν σε ἥκιστα χρῆν. Εἰ γάρ τις συμφορὴ ἐν αὐτοῖσι ἐγεγόνεε, ἐξ ἧς ὑποψίην ἐς ἐμὲ ἔχεις, ἐμοί τε αὕτη γέγονε, καὶ ἐγὼ αὐτῆς τὸ πλεῦν μέτοχός εἰμι, ὅσῳ αὐτός σφε ἐξεργασάμην. (4) Σὺ δὲ μαθὼν ὅσῳ φθονέεσθαι κρέσσον ἐστὶ ἢ οἰκτείρεσθαι, ἅμα τε ὀχοΐόν τι ἐς τοὺς τοκέας καὶ ἐς τοὺς κρέσσονας τεθυμῶσθαι, ἀπιθι ἐς τὰ οἰκία. » Περίανδρος μὲν τούτοισι αὐτὸν κατελάμβανε· ὁ δὲ ἄλλο μὲν οὐδὲν ἀμείβεται τὸν πατέρα, ἔφη δέ μιν ἱρὴν ζημίην ὀφείλειν τῷ θεῷ ἑωυτῷ ἐς λόγους ἀπικόμενον. (5) Μαθὼν δὲ ὁ Περίανδρος ὡς ἄπορόν τι τὸ κακὸν εἴη τοῦ παιδὸς καὶ ἀνίκητον, ἐξ ὀφθαλμῶν μιν ἀποπέμπεται στείλας πλοῖον ἐς Κέρκυραν· ἐπεκράτεε γὰρ καὶ ταύτης. (6) Ἀποστείλας δὲ τοῦτον ὁ Περίανδρος ἐστρατεύετο ἐπὶ τὸν πενθερὸν Προκλέα ὡς τῶν παρεόντων οἱ πρηγμάτων ἐόντα αἰτιώτατον

trem vestram occiderit? (3) » Hujus verbi frater natu major nullam habuit rationem : minor vero, cui nomen erat Lycophron, hoc audito, tanto est mœrore adfectus, ut, quum Corinthum rediisset, patrem, ut qui matrem suam occidisset, nec salutaret, nec compellantem vicissim adloqueretur, nec interroganti responderet quidquam. Ad extremum, ira incensus Periander domo eum ejecit.

LI. Hoc ejecto, quæsivit ex majore natu, quid cum ipsis avus disseruisset. Et ille exposuit, quam benigne ipsos excepisset; verbi autem illius, quod Procles eis, quum dimitteret, dixerat, nullam fecit mentionem, ut qui illud in animum non admodum admisisset. (2) At pater, fieri prorsus non posse, ait, quin aliquid ipsis avus suggesserit; et percontari instituit. Tum recordatus juvenis, id quoque dixit. (3) Quod quum advertisset Periandri animum, nulla porro indulgentia uti decrevit; et ubicumque vitam agebat puer a se ejectus, ad eos misit nuncium, qui ipsius verbis illis diceret, ne ædibus puerum reciperent. (4) Itaque inde ejectus quoties in aliam se domum recepisset, ex hac pariter expellebatur, quum recipientibus Periander minaretur imperaretque ut domo illum prohiberent. Pulsus igitur ex alia, ad aliam sodalium domum confugiebat : hique eum, ut qui Periandri filius esset, quamvis timentes, tamen receperunt.

LII. Ad extremum publico præconio Periander edixit, quisquis eum domo recepisset, aut sermones cum eo miscuisset, eum sacram mulctam (quam eodem edicto definiebat) Apollini debiturum. Ex hoc igitur edicto nemo amplius vel colloqui cum eo vel in domum recipere voluit : atque etiam ipse ne tentare quidem dignatus est rem vetitam; sed manens in proposito, volutabatur in porticibus. (2) Quarto dein die conspicatus illum Periander illuvie et inedia male adfectum, miseratus est puerum, et propius accedens, remissa ira, his verbis est adlocutus : « Utrum, o fili, optabilius est tibi, hic status quo nunc es, an ut regnum et reliqua bona, quibus ego fruor, accipias, ea conditione ut te patris animo adcommodes? (3) Quum sis filius meus et opulentæ Corinthi rex, vitam elegisti errabundi mendici, obsistens et irascens ei cui minime fas erat. Quodsi in domo nostra accidit calamitas, ex qua suspicionem adversus me concepisti; mihi illa accidit, et in me cadit maxima ejus pars, quandoquidem ipse illam interfeci. (4) Tu vero, cogitans quanto præstet invidiam movere quam misericordiam, simulque quale sit succensere parentibus et superioribus, domum abi. » His verbis eum inhibere conanti patri nihil aliud puer respondit, nisi debere illum sacram mulctam deo, ut qui ipsum sit adlocutus. (5) Tum intelligens Periander, insanabile et invictum esse pueri malum, instructa navi e conspectu suo illum Corcyram misit, quæ et ipsa imperio ejus erat subjecta. (6) Dimisso vero puero, Proclem socerum bello petiit, ut qui præcipuus præsentium

τον, καὶ εἶλε μὲν τὴν Ἐπίδαυρον, εἶλε δὲ αὐτὸν Προκλέα καὶ ἐζώγρησε.

LIII. Ἐπεὶ δὲ τοῦ χρόνου προβαίνοντος ὅ τε Περίανδρος παρηβήκεε καὶ συνεγινώσκετο ἑωυτῷ οὐκέτι εἶναι δυνατὸς τὰ πρήγματα ἐπορᾶν τε καὶ διέπειν, πέμψας ἐς τὴν Κέρκυραν ἀπεκάλεε τὸν Λυκόφρονα ἐπὶ τὴν τυραννίδα· ἐν γὰρ δὴ τῷ πρεσβυτέρῳ τῶν παίδων οὐκ ἐνώρα, ἀλλά οἱ κατεφαίνετο εἶναι νωθέστερος. (2) Ὁ δὲ Λυκόφρων οὐδὲ ὑποκρίσιος ἠξίωσε τὸν φέροντα τὴν ἀγγελίην. Περίανδρος δὲ περιεχόμενος τοῦ νεηνίεω δεύτερα ἀπέστειλε ἐπ' αὐτὸν τὴν ἀδελφεὴν, ἑωυτοῦ δὲ θυγατέρα, δοκέων μιν μάλιστα ταύτῃ ἂν πείθεσθαι. (3) Ἀπικομένης δὲ ταύτης καὶ λεγούσης, « ὦ παῖ, βούλεαι τὴν τε τυραννίδα ἐς ἄλλους πεσέειν καὶ τὸν οἶκον τοῦ πατρὸς διαφορηθέντα μᾶλλον ἢ αὐτός σφεα ἀπελθὼν ἔχειν; Ἄπιθι ἐς τὰ οἰκία, παῦσαι σεωυτὸν ζημιῶν. (4) Φιλοτιμίη κτῆμα σκαιόν· μὴ τῷ κακῷ τὸ κακὸν ἰῶ. Πολλοὶ τῶν δικαίων τὰ ἐπιεικέστερα προτιθέασι, πολλοὶ δὲ ἤδη τὰ μητρώϊα διζήμενοι τὰ πατρώϊα ἀπέβαλον. (5) Τυραννὶς χρῆμα σφαλερὸν, πολλοὶ δὲ αὐτῆς ἐρασταί εἰσι, ὁ δὲ γέρων τε ἤδη καὶ παρηβηκώς· μὴ δῷς τὰ σεωυτοῦ ἀγαθὰ ἄλλοισι. » (6) Ἡ μὲν δὴ τὰ ἐπαγωγότατα διδαχθεῖσα ὑπὸ τοῦ πατρὸς ἔλεγε πρὸς αὐτόν· ὁ δὲ ὑποκρινάμενος ἔφη οὐδαμὰ ἥξειν ἐς Κόρινθον, ἔστ' ἂν πυνθάνηται περιεόντα τὸν πατέρα. (7) Ἀπαγγειλάσης δὲ ταύτης ταῦτα, τὸ τρίτον Περίανδρος κήρυκα πέμπει βουλόμενος αὐτὸς μὲν ἐς Κέρκυραν ἧκειν, ἐκεῖνον δὲ ἐκέλευε ἐς Κόρινθον ἀπικόμενον διάδοχον γενέσθαι τῆς τυραννίδος. (8) Καταινέσαντος δ' ἐπὶ τούτοισι τοῦ παιδὸς, ὁ μὲν Περίανδρος ἐστέλλετο ἐς τὴν Κέρκυραν, ὁ δὲ παῖς οἱ ἐς τὴν Κόρινθον· μαθόντες δὲ οἱ Κερκυραῖοι τούτων ἕκαστα, ἵνα μή σφι Περίανδρος ἐς τὴν χώρην ἀπίκηται, κτείνουσι τὸν νεηνίσκον. Ἀντὶ τούτων μὲν Περίανδρος Κερκυραίους ἐτιμωρέετο.

LIV. Λακεδαιμόνιοι δὲ στόλῳ μεγάλῳ ὡς ἀπίκοντο, ἐπολιόρκεον Σάμον· προσβαλόντες δὲ πρὸς τὸ τεῖχος τοῦ μὲν πρὸς θαλάσσῃ ἑστεῶτος πύργου κατὰ τὸ προάστειον τῆς πόλιος ἐπέβησαν, μετὰ δὲ αὐτοῦ βωθήσαντος Πολυκράτεος χειρὶ πολλῇ ἀπηλάθησαν. (2) Κατὰ δὲ τὸν ἐπάνω πύργον τὸν ἐπὶ τῆς ῥάχιος τοῦ οὔρεος ἐπεόντα ἐπεξῆλθον οἵ τε ἐπίκουροι καὶ αὐτῶν Σαμίων συχνοὶ, δεξάμενοι δὲ τοὺς Λακεδαιμονίους ἐπ' ὀλίγον χρόνον ἔφευγον ὀπίσω· οἱ δὲ ἐπισπόμενοι ἔκτεινον.

LV. Εἰ μέν νυν οἱ παρεόντες Λακεδαιμονίων ὁμοῖοι ἐγένοντο ταύτην τὴν ἡμέρην Ἀρχίῃ τε καὶ Λυκώπῃ, αἱρέθη ἂν Σάμος· Ἀρχίης γὰρ καὶ Λυκώπης μοῦνοι συνεσπεσόντες φεύγουσι ἐς τὸ τεῖχος τοῖσι Σαμίοισι, καὶ ἀποκληῖσθέντες τῆς ὀπίσω ὁδοῦ, ἀπέθανον ἐν τῇ πόλι τῇ Σαμίων· (2) τρίτῳ δὲ ἀπ' Ἀρχίεω τούτου γεγονότι ἄλλῳ Ἀρχίῃ τῷ Σαμίου τοῦ Ἀρχίεω αὐτὸς ἐν Πιτάνῃ συνεγενόμην (δήμου γὰρ τούτου ἦν), ὃς ξείνων πάντων μάλιστα ἐτίμα τε Σαμίους, καί οἱ τῷ πατρὶ ἔφη Σάμιον τὸ οὔνομα τεθῆναι, ὅτι οἱ ὁ πατὴρ Ἀρχίης

rerum auctor fuisset : cepitque Epidaurum, et ipsum Proclem, eumque vivum in custodia tenuit.

LIII. Procedente tempore, postquam consenuit Periander, animadvertitque non posse se amplius res publicas inspicere et administrare, Corcyram misit, et Lycophronem ad suscipiendum regnum vocavit; nam majori natu filiorum videbat non inesse ejus rei facultatem, sed manifesto hebetius in eo ingenium agnoscebat. (2) At Lycophron hominem, qui ei hunc nuncium adferebat, ne responsione quidem ulla dignatus est. Tum Periander, magna cura juvenem amplectens, iterum ad eum misit sororem, filiam suam, ratus huic illum maxime obsecuturum. (3) Quæ quum advenisset, dixissetque : « Visne, juvenis, aliorum in manus venire regnum, et dissolvi domum patris tui potius, quam ut ipse abeas, atque hæc teneas? Abi domum, et desine te ipsum punire. (4) Sinistra res est obstinatio : ne malum malo sanare coneris. Multi præponunt justioribus æquiora lenioraque : multi jam item, materna quærentes, paterna perdiderunt. (5) Lubrica res regnum est; multos tamen habet amatores, et ille jam senex est et vigorem ætatis prætergressus : ne tua bona tradas aliis. » (6) Sic illa, a patre edocta, verbis ad persuadendum maxime idoneis fratrem est adlocuta. At ille, nequaquam, ait, Corinthum se esse venturum, quam diu patrem superesse cognovisset. (7) Quæ postquam illa renunciavit, tertio Periander præconem misit, qui diceret, ipsum in Corcyram venturum, illum autem Corinthum abire juberet ad regnum capessendum. (8) Quam in conditionem quum consensisset adolescens, Periander parabat Corcyram navibus proficisci, et filius Corinthum. At Corcyræi, his rebus omnibus cognitis, ne in terram ipsorum Periander veniret, interfecerunt juvenem. Hanc igitur ob causam de Corcyræis ultionem Periander ceperat.

LIV. Jam Lacedæmonii, magna cum classe Samum profecti, urbem oppugnarunt. Et murum adgressi, turrim in suburbio mari imminentem jam transcenderant, quum, succurrente ipso Polycrate magna cum manu, repulsi sunt. (2) Simul vero a superiore turri, quæ in dorso montis erat, egressi sunt auxiliares, et ipsorum Samiorum ingens numerus : qui postquam per exiguum tempus sustinuissent Lacedæmonios, fuga se recipiunt; et illi insecuti, magnam cædem fecerunt.

LV. Quodsi, qui tunc adfuerunt Lacedæmonii, cuncti similes eo die fuissent Archiæ et Lycopæ, capta fuisset Samus. Archias enim et Lycopas, quum soli cum fugientibus Samiis intra mœnia irrupissent, intercluso reditu, in urbe a Samiis interfecti sunt. (2) Equidem cum tertio ab hoc Archia, cui et ipsi Archiæ nomen erat, Samii filio, Archiæ nepoti, congressus sum Pitanæ, quo de populo erat : qui omnium hospitum maxime Samios colebat, mihique dixit, patri suo nomen Samii hac caussa fuisse impositum, quod illius pater Archias Sami fortissime pugnans occubuis-

ἐν Σάμῳ ἀριστεύσας ἐτελεύτησε. Τιμᾶν δὲ Σαμίους ἔφη, διότι ταφῆναί οἱ τὸν πάππον δημοσίῃ ὑπὸ Σαμίων.

LVI. Λακεδαιμόνιοι δέ, ὡς σφι τεσσεράκοντα ἐγεγόνεσαν ἡμέραι πολιορκέουσι Σάμον, ἐς τὸ πρόσω τε οὐδὲν προεκόπτετο τῶν πρηγμάτων, ἀπαλλάσσοντο ἐς Πελοπόννησον. (2) Ὡς δὲ ὁ ματαιότερος λόγος ὥρμηται, λέγεται Πολυκράτεα ἐπιχώριον νόμισμα κόψαντα πολλὸν μολύβδου καταχρυσώσαντα δοῦναί σφι, τοὺς δὲ δεξαμένους οὕτω δὴ ἀπαλλάσσεσθαι. Ταύτην πρώτην στρατηΐην ἐς τὴν Ἀσίην Λακεδαιμόνιοι Δωριέες ἐποιήσαντο.

LVII. Οἱ δ' ἐπὶ τὸν Πολυκράτεα στρατευσάμενοι Σαμίων, ἐπεὶ οἱ Λακεδαιμόνιοι αὐτοὺς ἀπολείπειν ἔμελλον, καὶ αὐτοὶ ἀπέπλωον ἐς Σίφνον. Χρημάτων γὰρ ἐδέοντο, τὰ δὲ τῶν Σιφνίων πρήγματα ἤκμαζε τοῦτον τὸν χρόνον, καὶ νησιωτέων μάλιστα ἐπλούτεον ἅτε ἐόντων αὐτοῖσι ἐν τῇ νήσῳ χρυσέων καὶ ἀργυρέων μετάλλων, οὕτω ὥστε ἀπὸ τῆς δεκάτης τῶν γινομένων αὐτόθεν χρημάτων θησαυρὸς ἐν Δελφοῖσι ἀνακέεται ὁμοῖα τοῖσι πλουσιωτάτοισι· αὐτοὶ δὲ τὰ γινόμενα τῷ ἐνιαυτῷ ἑκάστῳ χρήματα διενέμοντο. (2) Ὅτε ὦν ἐποιεῦντο τὸν θησαυρὸν, ἐχρέοντο τῷ χρηστηρίῳ εἰ αὐτοῖσι τὰ παρεόντα ἀγαθὰ οἷά τέ ἐστι πολλὸν χρόνον παραμένειν· ἡ δὲ Πυθίη ἔχρησέ σφι τάδε,

> Ἀλλ' ὅταν ἐν Σίφνῳ πρυτανήϊα λευκὰ γένηται
> λεύκοφρύς τ' ἀγορὴ, τότε δὴ δεῖ φράδμονος ἀνδρὸς
> φράσσασθαι ξύλινόν τε λόχον κήρυκά τ' ἐρυθρόν.

Τοῖσι δὲ Σιφνίοισι ἦν τότε ἡ ἀγορὴ καὶ τὸ πρυτανήϊον Παρίῳ λίθῳ ἠσκημένα.

LVIII. Τοῦτον τὸν χρησμὸν οὐκ οἷοί τε ἔσαν γνῶναι, οὔτε τότε ἰδὼς οὔτε τῶν Σαμίων ἀπιγμένων. Ἐπείτε γὰρ τάχιστα πρὸς τὴν Σίφνον προσέσχον οἱ Σάμιοι, ἔπεμπον τῶν νεῶν μίαν πρέσβεας ἄγουσαν ἐς τὴν πόλιν. (2) Τὸ δὲ παλαιὸν ἅπασαι αἱ νέες ἔσαν μιλτηλιφέες· καὶ ἦν τοῦτο τὸ ἡ Πυθίη προηγόρευε τοῖσι Σιφνίοισι, φυλάξασθαι τὸν ξύλινον λόχον κελεύουσα καὶ κήρυκα ἐρυθρόν. (3) Ἀπικόμενοι δ' ὦν οἱ ἄγγελοι ἐδέοντο τῶν Σιφνίων δέκα τάλαντά σφι χρῆσαι· οὐ φασκόντων δὲ χρήσειν τῶν Σιφνίων αὐτοῖσι, οἱ Σάμιοι τοὺς χώρους αὐτῶν ἐπόρθεον. (4) Πυθόμενοι δ' ἰδὼς ἦκον οἱ Σίφνιοι βωθέοντες, καὶ συμβαλόντες αὐτοῖσι ἐσσώθησαν, καὶ αὐτῶν πολλοὶ ἀπεκληΐσθησαν τοῦ ἄστεος ὑπὸ τῶν Σαμίων· καὶ αὐτοὺς μετὰ ταῦτα ἑκατὸν τάλαντα ἔπρηξαν.

LIX. Παρὰ δὲ Ἑρμιονέων νῆσον ἀντὶ χρημάτων παρέλαβον, Ὑδρέην τὴν ἐπὶ Πελοποννήσῳ, καὶ αὐτὴν Τροιζηνίοισι παρακατέθεντο· αὐτοὶ δὲ Κυδωνίην τὴν ἐν Κρήτῃ ἔκτισαν, οὐκ ἐπὶ τοῦτο πλώοντες, ἀλλὰ Ζακυνθίους ἐξελῶντες ἐκ τῆς νήσου. (2) Ἔμειναν δ' ἐν ταύτῃ καὶ εὐδαιμόνησαν ἐπ' ἔτεα πέντε, ὥστε τὰ ἱρὰ τὰ ἐν Κυδωνίῃ ἐόντα νῦν οὗτοί εἰσι οἱ ποιήσαντες, καὶ τὸν τῆς Δικτύννης νηόν. (3) Ἕκτῳ δὲ ἔτεϊ Αἰγινῆται αὐτοὺς ναυμαχίῃ νικήσαντες ἠνδραποδίσαντο μετὰ

set : colere se autem Samios, aiebat, quoniam avus ipsius publice a Samiis fuisset sepultus.

LVI. Sed Lacedæmonii, quum per quadraginta dies oppugnassent Samum, neque quidquam profecissent, in Peloponnesum sunt reversi. (2) Fertur autem fama, temere quidem sparsa, quæ ait, Polycratem magnum numerum patriæ monetæ ex plumbo cusæ, sed deauratæ, illis dedisse; quo accepto eos discessisse. Hæc prima est expeditio, quam in Asiam Lacedæmonii, Doricæ stirpis populus, susceperunt.

LVII. Hi autem ex Samiis qui Polycratem bello erant adgressi, quum in eo essent Lacedæmonii ut illos desererent, ipsi quoque abierunt et Siphnum navigarunt. Pecunia enim indigebant : et florentes per id tempus erant res Siphniorum, ut qui præ cæteris insulanis divitiis maxime valebant; quippe in eorum insula metalla erant auri argentique, ita quidem ut ex decima pecuniæ illius, quæ ibi conficitur, thesaurus Delphis sit dedicatus, qui nihil cedit opulentissimis : ipsi vero, quæ quotannis ex metallis redibant, ea inter se distribuebant. (2) Iidem, quo tempore thesaurum illum struendum curarunt, quæsiverunt ex oraculo, an præsentia bona per longum temporis spatium ipsis sint duratura. Quibus Pythia hæc respondit :

> At quando in Siphno fuerint prytaneia cana,
> cana fori facies; tunc vir vafer adsit oportet,
> e ligno insidias caveatque rubrum præconem.

Erat autem tunc [*quum advenere Samii*] et forum et prytaneum Siphniorum Pario lapide exultum.

LVIII. Hoc oraculum Siphnii, nec tunc statim quum datum est, quo pertineret intellexerant, nec deinde, quum Samii advenerunt. Nam simul atque ad Siphnum Samii adpulerunt, navium unam in urbem cum legatis miserunt. (2) Erant autem olim naves omnes minio tinctæ : idque fuit quod Siphniis Pythia edixerat, quum cavere illos jussisset ligneas insidias et rubrum præconem. (3) Advenientes igitur Samiorum legati postularunt a Siphniis, ut decem talenta ipsis mutuo darent. Quod quum se facturos Siphnii negassent, agros eorum depopulati sunt Samii. (4) Ea re cognita, protinus Siphnii egressi sunt, rebus suis opem laturi : sed commisso prælio inferiores discesserunt, multique eorum urbe a Samiis sunt interclusi : quo facto, centum talenta ab illis Samii exegerunt.

LIX. Ab Hermionensibus vero, data pecunia, Hydream acceperunt insulam, Peloponneso obversam, eamque Trœzeniis in depositum dederunt; ipsi vero Cydoniam in Creta condiderunt coloniam, quum non hoc consilio navigassent, sed Zacynthios insula ejecturi. (2) Mansere autem ibi et opibus floruere per quinquennium; ita quidem, ut, quæ nunc templa sunt Cydoniæ, ab his exstructa sint, atque etiam Dictynnes fanum. (3) Sexto autem anno Æginetæ eosdem, Cretensibus juncti, prælio navali superatos, in

Κρητῶν, καὶ τῶν νεῶν καπρίους ἐχουσέων τὰς πρῴρας ἠκρωτηρίασαν καὶ ἀνέθεσαν ἐς τὸ ἱρὸν τῆς Ἀθηναίης ἐν Αἰγίνῃ. (4) Ταῦτα δὲ ἐποίησαν ἔγκοτον ἐχοντες Σαμίοισι Αἰγινῆται· πρότεροι γὰρ Σάμιοι ἐπ' Ἀμφικράτεος βασιλεύοντος ἐν Σάμῳ στρατευσάμενοι ἐπ' Αἴγιναν μεγάλα κακὰ ἐποίησαν Αἰγινήτας καὶ ἔπαθον ὑπ' ἐκείνων.

LX. Ἡ μὲν αἰτίη αὕτη· ἐμήκυνα δὲ περὶ Σαμίων μᾶλλον, ὅτι σφι τρία ἐστὶ μέγιστα ἁπάντων Ἑλλήνων ἐξεργασμένα, οὔρεός τε ὑψηλοῦ ἐς πεντήκοντα καὶ ἑκατὸν ὀργυιὰς, τούτου ὄρυγμα κάτωθεν ἀρξάμενον, ἀμφίστομον. (2) Τὸ μὲν μῆκος τοῦ ὀρύγματος ἑπτὰ στάδιοί εἰσι, τὸ δὲ ὕψος καὶ εὖρος ὀκτὼ ἑκάτερον πόδες. Διὰ παντὸς δὲ αὐτοῦ ἄλλο ὄρυγμα εἰκοσίπηχυ βάθος ὀρώρυκται, τρίπουν δὲ τὸ εὖρος, δι' οὗ τὸ ὕδωρ ὀχετευόμενον διὰ σωλήνων παραγίνεται ἐς τὴν πόλιν ἀγόμενον ἀπὸ μεγάλης πηγῆς. Ἀρχιτέκτων δὲ τοῦ ὀρύγματος τούτου ἐγένετο Μεγαρεὺς Εὐπαλῖνος Ναυστρόφου. (3) Τοῦτο μὲν δὴ ἓν τῶν τριῶν ἐστι, δεύτερον δὲ περὶ λιμένα χῶμα ἐν θαλάσσῃ, βάθος κατὰ εἴκοσι ὀργυιέων· μῆκος δὲ τοῦ χώματος μέζον δύο σταδίων. (4) Τρίτον δέ σφι ἐξέργασται νηὸς μέγιστος πάντων νηῶν τῶν ἡμεῖς ἴδμεν· τοῦ ἀρχιτέκτων πρῶτος ἐγένετο Ῥοῖκος Φίλεω ἐπιχώριος. Τούτων εἵνεκεν μᾶλλόν τι περὶ Σαμίων ἐμήκυνα.

LXI. Καμβύσῃ δὲ τῷ Κύρου χρονίζοντι περὶ Αἴγυπτον καὶ παραφρονήσαντι ἐπανιστέαται ἄνδρες μάγοι δύο ἀδελφεοί, τῶν τὸν ἕτερον καταλελοίπεε τῶν οἰκίων μελεδωνὸν ὁ Καμβύσης. (2) Οὗτος δὴ ὦν οἱ ἐπανέστη μαθών τε τὸν Σμέρδιος θάνατον ὡς κρύπτοιτο γενόμενος, καὶ ὡς ὀλίγοι ἔσαν οἱ ἐπιστάμενοι αὐτὸν Περσέων, οἱ δὲ πολλοὶ περιεόντα μιν εἰδείησαν. Πρὸς ταῦτα βουλεύσας τάδε ἐπεχείρησε τοῖσι βασιληΐοισι. (3) Ἦν οἱ ἀδελφεὸς, τὸν εἶπά οἱ συνεπαναστῆναι, οἰκὼς μάλιστα τὸ εἶδος Σμέρδι τῷ Κύρου, τὸν ὁ Καμβύσης ἑόντα ἑωυτοῦ ἀδελφεὸν ἀπέκτεινε. Ἦν τε δὴ ὁμοῖος εἶδος τῷ Σμέρδι, καὶ δὴ καὶ οὔνομα τώυτὸ εἶχε Σμέρδιν. (4) Τοῦτον τὸν ἄνδρα ἀναγνώσας ὁ μάγος Πατιζείθης ὥς οἱ αὐτὸς πάντα διαπρήξει, εἷσε ἄγων ἐς τὸν βασιλήϊον θρόνον. Ποιήσας δὲ τοῦτο κήρυκας τῇ τε ἄλλῃ διέπεμπε καὶ δὴ καὶ ἐς Αἴγυπτον προερέοντα τῷ στρατῷ ὡς Σμέρδιος τοῦ Κύρου ἀκουστέα εἴη τοῦ λοιποῦ, ἀλλ' οὐ Καμβύσεω.

LXII. Οἵ τε δὴ ὦν ἄλλοι κήρυκες προηγόρευον ταῦτα, καὶ δὴ καὶ ὁ ἐπ' Αἴγυπτον ταχθεὶς, εὗρισκε γὰρ Καμβύσεα καὶ τὸν στρατὸν ἑόντα τῆς Συρίης ἐν Ἀγβατάνοισι, προηγόρευε στὰς ἐς μέσον τὰ ἐντεταλμένα ἐκ τοῦ μάγου. (2) Καμβύσης δὲ ἀκούσας ταῦτα ἐκ τοῦ κήρυκος, καὶ ἐλπίσας μιν λέγειν ἀληθέα αὐτός τε προδεδόσθαι ἐκ Πρηξάσπεος (πεμφθέντα γὰρ αὐτὸν ὡς ἀποκτενέοντα Σμέρδιν οὐ ποιῆσαι ταῦτα), βλέψας ἐς τὸν Πρηξάσπεα εἶπε, « Πρήξασπες, οὕτω μοι διεπρήξαο τό τοι προσέθηκα πρῆγμα; » (3) Ὁ δὲ εἶπε, « ὦ δέσποτα, οὐκ ἔστι ταῦτα ἀληθέα, ὅκως κοτέ σοι

servitutem redegerunt, resectasque navium proras, quibus apri pro insignibus erant, Æginæ in Minervæ templo dedicarunt. (4) Id fecerunt Æginetæ, quia infensi Samiis erant : hi enim priores, regnante Sami Amphicrate, bello Æginæ illato multis malis Æginetas adfecerant, sed et ipsi multa erant passi.

LX. Caussa quidem illius odii hæc est : verum ego longiorem de Samiis sermonem feci, quoniam ab his tria maxima opera, præ reliquis omnibus Græcis, effecta sunt. Primum, in monte ad centum et quinquaginta orgyias edito, in hoc fossa ab imo monte inciplens, et per totum ita acta, ut in oppositum montis latus pateat alterum fossæ orificium. (2) Longitudo fossæ septem stadiorum est : altitudo ac latitudo, octo pedum utraque. Per totam autem illius longitudinem excavata est alia fossa, viginti ulnas alta, tres pedes lata, per quam aqua, ex ingenti fonte derivata, per tubos in urbem deducitur. Architectus hujus fossæ Eupalinus fuit Megarensis, Naustrophi filius. (3) Hoc unum ex tribus illis. Alterum est opus, agger in mari ductus circa portum, in altitudinem viginti orgyiarum ; longitudo autem aggeris, major duobus stadiis. (4) Tertio, templum habent exstructum maximum omnium, quæ nos novimus, templorum : cujus primus architectus fuit Rhœcus, Philæ filius, Samius. Horum caussa sermonem de Samiis paulo longiorem instituimus.

LXI. Jam adversus Cambysen, diutius in Ægypto morantem insanientemque, insurrexerunt duo fratres Magi, quorum alterum Cambyses procuratorem domus suæ reliquerat. (2) Hic igitur adversus illum insurrexit, quum intelligeret, occultari Smerdis cædem, paucosque esse Persarum ad quos notitia illius pervenisset, plerosque vero illum credere superesse : hæc ille reputans, regiam occupare hoc modo instituit. (3) Erat ei frater, quem simul cum eo insurrexisse dixi, corporis specie similis admodum Smerdi, Cyri filio, quem Cambyses, quum ipsius frater esset, interfecerat. Erat igitur hic et facie Smerdi similis, et ipsi nomen quoque idem Smerdis erat. (4) Hunc hominem Patizithes Magus, postquam ei persuaserat ut sibi omnia conficeret, regio in solio collocavit. Quo facto, præcones dimisit quum alias in partes, tum et in Ægyptum misit qui ediceret exercitui, Smerdi dehinc esse parendum, Cyri filio, non Cambysi.

LXII. Itaque quum cæteri præcones hoc edixerunt, tum qui in Ægyptum erat missus, ubi Cambysen cum exercitu Ecbatanis Syriæ invenerat, stans in medio proclamavit ea quæ a Mago mandata habebat. (2) Quæ ut a præcone edicta Cambyses cognovit, quum vera esse ea et proditum se a Prexaspe existimaret (hunc enim, ad interficiendum Smerdin missum, non exsecutum esse mandatum), respiciens Prexaspen, ait : « Prexaspes, ita igitur mandatum mihi es exsecutus quod tibi injunxeram! » (3) Tum ille : « Non est hoc verum, domine, ut Smerdis frater tuus

Σμέρδις ἀδελφεὸς ὁ σὸς ἐπανέστηκε, οὐδὲ ὅκως τι ἐξ ἐκείνου τοῦ ἀνδρὸς νεῖκός τοι ἔσται ἢ μέγα ἢ σμικρόν· ἐγὼ γὰρ αὐτὸς, ποιήσας τὰ σύ με ἐκέλευες, ἔθαψά μιν χερσὶ τῇσι ἐμεωυτοῦ. (4) Εἰ μέν νυν οἱ τεθνεῶτες ἀνεστέασι, προσδέκεό τοι καὶ Ἀστυάγεα τὸν Μῆδον ἐπαναστήσεσθαι· εἰ δ' ἔστι ὥσπερ πρὸ τοῦ, οὐ μή τί τοι ἐκ γε ἐκείνου νεώτερον ἀναβλαστήσει. Νῦν ὦν μοι δοκέει μεταδιώξαντας τὸν κήρυκα ἐτάζειν εἰρωτεῦντας παρ' ὅτευ ἥκων προαγορεύει ἡμῖν Σμέρδιος βασιλέος ἀκούειν. »

LXIII. Ταῦτα εἰπαντος Πρηξάσπεος (ἤρεσε γὰρ Καμβύσῃ) αὐτίκα μεταδιωκτὸς γενόμενος ὁ κῆρυξ ἦκε· ἀπιγμένον δέ μιν εἴρετο ὁ Πρηξάσπης τάδε, « ὦνθρωπε, φῆς γὰρ ἥκειν παρὰ Σμέρδιος τοῦ Κύρου ἄγγελος· νῦν ὦν εἰπας τὴν ἀληθειαν ἄπιθι χαίρων, κότερα αὐτός τοι Σμέρδις φαινόμενος ἐς ὄψιν ἐνετέλλετο ταῦτα, ἢ τῶν τις ἐκείνου ὑπηρετέων. » (2) Ὁ δὲ εἶπε, « ἐγὼ Σμέρδιν μὲν τὸν Κύρου, ἐξ ὅτευ βασιλεὺς Καμβύσης ἤλασε ἐς Αἴγυπτον, οὐκω ὄπωπα· ὁ δέ μοι μάγος τὸν Καμβύσης ἐπίτροπον τῶν οἰκίων ἀπέδεξε, οὗτος ταῦτα ἐνετείλατο, φὰς Σμέρδιν τὸν Κύρου εἶναι τὸν ταῦτα ἐπιθέμενον εἶπαι πρὸς ὑμέας. » (3) Ὁ μὲν δή σφι ἔλεγε οὐδὲν ἐπικατεψευσμένος, Καμβύσης δὲ εἶπε, « Πρήξασπες, σὺ μὲν, οἷα ἀνὴρ ἀγαθὸς, ποιήσας τὸ κελευόμενον αἰτίην ἐκπέφευγας· ἐμοὶ δέ τίς ἂν εἴη Περσέων ὁ ἐπανεστεὼς ἐπιβατεύων τοῦ Σμέρδιος οὐνόματος; » (4) Ὁ δὲ εἶπε, « ἐγώ μοι δοκέω συνιέναι τὸ γεγονὸς τοῦτο, ὦ βασιλεῦ· οἱ μάγοι εἰσί τοι οἱ ἐπανεστεῶτες, τόν τε ἔλιπες μελεδωνὸν τῶν οἰκίων, Πατιζείθης, καὶ ὁ τούτου ἀδελφεὸς Σμέρδις. »

LXIV. Ἐνθαῦτα ἀκούσαντα Καμβύσεα τὸ Σμέρδιος οὔνομα ἔτυψε ἡ ἀλήθεια τῶν τε λόγων καὶ τοῦ ἐνυπνίου· ὃς ἐδόκεε ἐν τῷ ὕπνῳ ἀπαγγεῖλαί τινά οἱ ὡς Σμέρδις ἱζόμενος ἐς τὸν βασιλήϊον θρόνον ψαύσειε τῇ κεφαλῇ τοῦ οὐρανοῦ. (2) Μαθὼν δὲ ὡς μάτην ἀπολωλεκὼς εἴη τὸν ἀδελφεὸν, ἀπέκλαιε Σμέρδιν. Ἀποκλαύσας δὲ καὶ περιημεκτήσας τῇ ἁπάσῃ συμφορῇ ἀναθρώσκει ἐπὶ τὸν ἵππον, ἐν νόῳ ἔχων τὴν ταχίστην ἐς Σοῦσα στρατεύεσθαι ἐπὶ τὸν μάγον. (3) Καί οἱ ἀναθρώσκοντι ἐπὶ τὸν ἵππον τοῦ κουλεοῦ τοῦ ξίφεος ὁ μύκης ἀποπίπτει, γυμνωθὲν δὲ τὸ ξίφος παίει τὸν μηρόν. (4) Τρωματισθεὶς δὲ κατὰ τοῦτο τῇ αὐτὸς πρότερον τὸν τῶν Αἰγυπτίων θεὸν Ἆπιν ἔπληξε, ὡς οἱ καιρίῃ ἔδοξε τετύφθαι, εἴρετο ὁ Καμβύσης ὅ τι τῇ πόλι οὔνομα εἴη. Οἱ δὲ εἶπαν ὅτι Ἀγβάτανα. (5) Τῷ δὲ ἔτι πρότερον ἐκέχρηστο ἐκ Βουτοῦς πόλιος ἐν Ἀγβατάνοισι τελευτήσειν τὸν βίον. Ὁ μὲν δὴ ἐν τοῖσι Μηδικοῖσι Ἀγβατάνοισι ἐδόκεε τελευτήσειν γηραιὸς, ἐν τοῖσί οἱ ἦν πάντα τὰ πρήγματα· τὸ δὲ χρηστήριον τοῖσι ἐν Συρίῃ Ἀγβατάνοισι ἔλεγε ἄρα. (6) Καὶ δὴ ὡς τότε ἐπειρόμενος ἐπύθετο τῆς πόλιος τὸ οὔνομα, ὑπὸ τῆς συμφορῆς τῆς τε ἐκ τοῦ μάγου ἐκπεπληγμένος καὶ τοῦ τρώματος ἐσωφρόνησε, συλλαβὼν δὲ τὸ θεο-

adversus te insurrexerit, aut ut ulla tibi a viro illo contentio, sive magna, sive parva, existere possit. Nam ego ipse tuum mandatum exsecutus, mea manu eum sepelivi. (4) Itaque, si resurgunt mortui, exspecta ut etiam Astyages Medus adversus te sit insurrecturus : sin erit ut olim, nihil quidquam novarum rerum ab illo tibi nascetur. Quare mihi videtur, insequi nos debere præconem, et ex eo perquirere interrogando, a quonam missus edixerit, Smerdi regi esse parendum. »

LXIII. Hæc a Praxaspe dicta quum placuissent Cambysi, protinus missi sunt qui præconem insequerentur reducerentque. Qui ut rediit, his verbis eum interrogavit Prexaspes : « Tu, homo, quum dicas a Smerdi Cyri filio te nuncium venire, nunc, si mihi verum dixeris, salvus abito. Ipsumne Smerdin oculis tuis vidisti, qui tibi hoc mandatum dederit; an ab aliquo ex ejus ministris illud accepisti? » (2) Tum ille, « Ego, inquit, Smerdin Cyri filium, ex quo rex Cambyses cum exercitu in Ægyptum est profectus, nondum vidi : sed Magus, quem domus suæ procuratorem Cambyses constituit, hic mihi mandata hæc dedit, dicens Smerdin esse, Cyri filium, qui, ut ea ad vos perferrem, imperasset. » (3) Hæc illis homo iste dixit, a veritate nihil discedens. Tum Cambyses : « Tu quidem, Prexaspes, ait, ut vir bonus mandata mea exsecutus, culpam effugisti : at quis tandem ille fuerit Persarum, qui Smerdis nomen invadens, adversus me insurrexit? » (4) Cui ille, « Equidem, rex, mihi videor, inquit, intelligere quid hoc rei sit. Magi sunt qui tibi insurrexerunt, tum is quem tu procuratorem domus tuæ reliquisti, Patizithes, tum hujus frater Smerdis. »

LXIV. Ibi tunc', audito Smerdis nomine', veritas quum dictorum tum insomnii animum percutit Cambysis, cui per somnum visum erat nunciare aliquem sibi, Smerdin, regio in solio sedentem, capite cœlum tetigisse. (2) Itaque intelligens, frustra se perdidisse fratrem, deploravit Smerdin : et postquam universam suam calamitatem deplorarat lamentatusque erat, in equum insiliit; in animo habens quam celerrime posset, Susa adversus Magum ducere exercitum. (3) At, dum in equum insilit, de vagina gladii fungus (*extremæ vaginæ claustrum*) decidit; et nudatus gladius femur feriit. (4) Vulneratus igitur Cambyses eadem parte, qua ipse antea deum Ægyptiorum Apin percusserat, quum letale vulnus accepisse sibi videretur, quæsivit quodnam nomen esset oppido. Et illi Ecbatana dixerunt. (5) Erat ei autem superiori tempore oraculi responsum ex Buto urbe adlatum, Ecbatanis illum morituram : unde sibi persuaserat, Ecbatanis Mediæ, ubi ei rerum omnium summa erat, senem sese vita functurum; at nimirum Ecbatana Syriæ dixerat oraculum. (6) Itaque, postquam tunc percunctatus oppidi nomen cognovit, consternatus calamitate quæ et ex Mago ei imminebat, et ex

πρόπιον εἶπε, « ἐνθαῦτα Καμβύσεα τὸν Κύρου ἐστὶ πεπρωμένον τελευτᾶν. »

LXXXIV. Οἱ δὲ λοιποὶ τῶν ἑπτὰ ἐβουλεύοντο ὡς βασιλέα δικαιότατα στήσονται· καί σφι ἔδοξε Ὀτάνῃ μὲν καὶ τοῖσι ἀπ' Ὀτάνεω αἰεὶ γινομένοισι, ἢν ἐς ἄλλον τινὰ τῶν ἑπτὰ ἔλθῃ ἡ βασιληίη, ἐξαίρετα δίδοσθαι ἐσθῆτά τε Μηδικὴν ἔτεος ἑκάστου καὶ τὴν πᾶσαν δωρεὴν ἣ γίνεται ἐν Πέρσῃσι τιμιωτάτη. (2) Τοῦδε δὲ εἵνεκεν ἐβουλεύσαντό οἱ δίδοσθαι ταῦτα, ὅτι ἐβούλευσέ τε πρῶτος τὸ πρῆγμα καὶ συνέστησε αὐτούς. Ταῦτα μὲν δὴ Ὀτάνῃ ἐξαίρετα, τάδε δὲ ἐς τὸ κοινὸν ἐβούλευσαν, παριέναι ἐς τὰ βασιλήια πάντα τὸν βουλόμενον τῶν ἑπτὰ ἄνευ ἐσαγγελέος, ἢν μὴ τυγχάνῃ εὕδων μετὰ γυναικὸς βασιλεύς, γαμέειν δὲ μὴ ἐξεῖναι ἄλλοθεν τῷ βασιλέϊ ἢ ἐκ τῶν συνεπαναστάντων. (3) Περὶ δὲ τῆς βασιληίης ἐβουλεύσαντο τοιόνδε· ὅτευ ἂν ὁ ἵππος ἡλίου ἐπανατέλλοντος πρῶτος φθέγξηται ἐν τῷ προαστείῳ αὐτῶν ἐπιβεβηκότων, τοῦτον ἔχειν τὴν βασιληίην.

tacita maxime habebuntur. (3) In oligarchia vero, quum plures sint virtutem in commune exercentes, validæ privatim inimicitiæ exsistere amant : etenim, dum quisque cupit esse princeps, vultque ut sua sententia vincat, in magnas incidunt inimicitias : tum ex inimicitiis exsistunt seditiones, ex seditionibus cædes, et ex cædibus ad unius imperium res redit : atque ita adparet, quanto sit hic status melior. (4) Rursus, imperante plebe, fieri non potest quin pravitas se insinuet : pravitate vero in republica gliscente, inimicitiæ quidem inter pravos non exsistunt, sed validæ amicitiæ : nam, qui reipublicæ male faciunt, conspirantes agunt quod agunt : (5) atque hoc ita succedit, usque dum exsistat aliquis populi patronus, qui hisce finem imponat. Eo fit igitur, ut hunc talem miretur populus; et mox eidem, quem populus miratur, summa imperii defertur : atque ita rursus hic idem ostendit, unius imperium esse optimum. (6) Ut autem uno verbo omnia complectar, unde nobis libertas exstitit? quis nobis eam dedit? populusne, an oligarchia, an unus imperans? Est igitur mea hæc sententia, quum per unum virum in libertatem simus vindicati, ut hanc imperii formam tueamur, adhæc patria ne aboleamus instituta bene habentia; nec enim hoc utile nobis fuerit. »

LXXXIII. Tres igitur istæ sententiæ fuerunt propositæ; et reliqui quattuor ex septemviris huic postremæ adhæserunt. Ut vero succumbere suam sententiam vidit Otanes, qui juris æquitatem inter Persas studuerat stabilire, ita in collegarum medio locutus est : « Viri socii, adparet igitur necesse esse, ut unus aliquis e nobis rex creetur, sive is sorte lectus, sive Persarum populo permittamus arbitrium eligendi quem voluerit, sive qua alia ratione. (2) At equidem vobiscum in contentionem non descendam, nec enim imperare volo, nec parere imperio. Itaque hac conditione ego vobis cedo imperio, ut nullius vestrûm imperio sim subjectus, nec ego ipse, nec ex meis posteris quisquam. » (3) Quæ quum ille dixisset, reliqui sex postulatis ejus sunt adsensi; et ille cum his in contentionem non descendit, sed ex eorum medio secessit. Atque ad hunc diem familia hæc, una ex cunctis Persis, sui juris esse perseverat, neque paret imperio nisi quatenus vult ipsa, cæterum leges non transgrediens Persarum.

LXXXIV. Inde reliqui ex septemviris consultantes de rege æquissima conditione constituendo, decreverunt, ut Otanes, ejusque in omne futurum tempus posteri, si alii cuipiam ex septemviris regia obtingeret dignitas, eminenter præ cæteris Medica veste quotannis, omnibusque muneribus quæ apud Persas honorificentissima habentur, donaretur. (2) Hæc Otani extra ordinem conferenda decreverunt eo, quod is primus rem proposuerat, et ad deliberandum illos convocaverat. In commune vero hæc placuere : cuique ex septemviris, qui vellet, licitum fore intrare regiam sine internuncio, nisi forte cum uxore rex concumberet : præterea, non licere regi aliunde uxorem ducere nisi ex conjuratorum familia. (3) De ratione vero constituendi regis hoc decreverunt, ut, cujus equus oriente sole primus hinnitum edidisset in suburbio, ipsis insidentibus, is regnum obtineret.

LXXXV. Δαρείῳ δὲ ἦν ἱπποκόμος ἀνὴρ σοφὸς, τῷ οὔνομα ἦν Οἰβάρης. Πρὸς τοῦτον τὸν ἄνδρα, ἐπείτε διελύθησαν, ἔλεξε Δαρεῖος τάδε· « Οἴβαρες, ἡμῖν δέδοκται περὶ τῆς βασιληΐης ποιέειν κατὰ τάδε· ὅτευ ἂν ὁ ἵππος πρῶτος φθέγξηται ἅμα τῷ ἡλίῳ ἀνιόντι αὐτῶν ἐπαναβεβηκότων, τοῦτον ἔχειν τὴν βασιληΐην. Νῦν ὦν εἴ τινα ἔχεις σοφίην, μηχανῶ ὡς ἂν ἡμεῖς σχῶμεν τοῦτο τὸ γέρας καὶ μὴ ἄλλος τις. » (2) Ἀμείβεται Οἰβάρης τοισίδε, « εἰ μὲν δὴ, ὦ δέσποτα, ἐν τούτῳ τοί ἐστι ἡ βασιλέα εἶναι ἢ μὴ, θάρσεε τούτου εἵνεκεν καὶ θυμὸν ἔχε ἀγαθὸν, ὡς βασιλεὺς οὐδεὶς ἄλλος πρὸ σεῦ ἔσται· τοιαῦτα ἔχω φάρμακα. » (3) Λέγει Δαρεῖος, « εἰ τοίνυν τι τοιοῦτον ἔχεις σόφισμα, ὥρη μηχανᾶσθαι καὶ μὴ ἀναβάλλεσθαι, ὡς τῆς ἐπιούσης ἡμέρης ὁ ἀγὼν ἡμῖν ἐστί. » (4) Ἀκούσας ταῦτα ὁ Οἰβάρης ποιέει τοιόνδε. Ὡς ἐγίνετο ἡ νὺξ, τῶν θηλέων ἵππων μίαν, τὴν ὁ Δαρείου ἵππος ἔστεργε μάλιστα, ταύτην ἀγαγὼν ἐς τὸ προάστειον κατέδησε καὶ ἐπήγαγε τὸν Δαρείου ἵππον, καὶ τὰ μὲν πολλὰ περιῆγε ἀγχοῦ τῇ ἵππῳ, ἐγχρίμπτων τῇ θηλέῃ, τέλος δὲ ἐπῆκε ὀχεῦσαι τὴν ἵππον.

LXXXV. Erat Dario equorum custos, callidus homo, cui nomen Œbares. Huic homini, postquam e concilio discesserunt, dixit Darius : « Œbares, quod ad regnum spectat, hoc facere decrevimus : cujus equus inter solis ortum, nobis insidentibus, primus hinnitum ediderit, illum regem fore. Tu igitur si quod nosti artificium, machinare ut nobis obtingat hæc dignitas, non alii cuipiam. » (2) Cui Œbares respondit : « Si in hoc situm est, here, ut tu rex sis aut non sis, confide hujus rei caussa, et bono animo esto : nec enim alius præ te rex erit; talia habeo medicamenta. » (3) Reponit Darius : « Quodsi ergo tale quoddam habes commentum, adest tempus quo illud pares, nec differas; in crastinum enim certamen nobis est propositum. » (4) Quibus auditis, hæc facit Œbares. Ut ingruit nox, ex equabus unam, quam præ cæteris amabat Darii equus, in suburbium ductam adligat; dein adductum Darii equum aliquamdiu circa illam circumducit, paulatim adpropinquans equæ; ad extremum, ut illam ineat, admittit.

LXXXVI. Ἅμ' ἡμέρῃ δὲ διαφωσκούσῃ οἱ ἓξ, κατὰ συνεθήκαντο, παρῆσαν ἐπὶ τῶν ἵππων· διεξελαυνόντων δὲ κατὰ τὸ προάστειον, ὡς κατὰ τοῦτο τὸ χωρίον ἐγίνοντο ἵνα τῆς παροιχομένης νυκτὸς κατεδέδετο ἡ θήλεα ἵππος, ἐνθαῦτα ὁ Δαρείου ἵππος προσδραμὼν ἐχρεμέτισε· ἅμα δὲ τῷ ἵππῳ τοῦτο ποιήσαντι ἀστραπὴ ἐξ αἰθρίης καὶ βροντὴ ἐγένετο. (2) Ἐπιγενόμενα δὲ ταῦτα τῷ Δαρείῳ ἐτελέωσέ μιν ὥσπερ ἐκ συνθέτου τευ γενόμενα· οἱ δὲ καταθορόντες ἀπὸ τῶν ἵππων προσεκύνεον τὸν Δαρεῖον.

LXXXV. Simul atque dies illuxit, aderant sex viri equis insidentes, sicut inter eos convenerat. Qui dum per suburbium veluntur, ubi ad eum locum venerunt quo proxima nocte adligata fuerat equa, ibi adcurrens Darii equus hinnitum edidit : et eodem temporis momento fulgur atque tonitru sereno de cœlo exstitit. (2) Atque hæc, Dario veluti ex composito quodam supervenientia, auspicium consummarunt : et reliqui quinque, ex equis desilientes, ut regem Darium adoraverunt.

LXXXVII. Οἱ μὲν δή φασι τὸν Οἰβάρεα ταῦτα μηχανήσασθαι, οἱ δὲ τοιάδε (καὶ γὰρ ἐπ' ἀμφότερα λέγεται ὑπὸ Περσέων), ὡς τῆς ἵππου ταύτης τῶν ἄρθρων ἐπιψαύσας τῇ χειρὶ ἔχοι αὐτὴν κρύψας ἐν τῇσι ἀναξυρίσι· ὡς δὲ ἅμα τῷ ἡλίῳ ἀνιόντι ἀπίεσθαι μέλλειν τοὺς ἵππους τὸν Οἰβάρεα τοῦτον ἐξείραντα τὴν χεῖρα πρὸς τοῦ Δαρείου ἵππου τοὺς μυκτῆρας προσενεῖκαι, τὸν δὲ αἰσθόμενον φριμάξασθαί τε καὶ χρεμετίσαι.

LXXXVII. De Œbare duplex apud Persas fama fertur; aliis id eum, quod dixi, fecisse narrantibus; aliis hocce : genitalia equæ illius sua eum manu attrectasse, manumque in braccis occultasse; deinde, quum oriente sole in eo essent equi ut procederent, Œbarem hunc exsertam manum naribus equi Darii admovisse; moxque hunc, ad odoris sensum, infremuisse hinnitumque edidisse.

LXXXVIII. Δαρεῖός τε δὴ ὁ Ὑστάσπεος βασιλεὺς ἀπεδέδεκτο, καί οἱ ἔσαν ἐν τῇ Ἀσίῃ πάντες κατήκοοι πλὴν Ἀραβίων, Κύρου τε καταστρεψαμένου καὶ ὕστερον αὖτις Καμβύσεω. (2) Ἀράβιοι δὲ οὐδαμὰ κατήκουσαν ἐπὶ δουλοσύνῃ Πέρσῃσι, ἀλλὰ ξεῖνοι ἐγένοντο παρέντες Καμβύσεα ἐπ' Αἴγυπτον· δεκόντων γὰρ Ἀραβίων οὐκ ἂν ἐσβάλοιεν Πέρσαι ἐς Αἴγυπτον. (3) Γάμους τε τοὺς πρώτους ἐγάμεε Πέρσῃσι ὁ Δαρεῖος, Κύρου μὲν δύο θυγατέρας Ἄτοσσάν τε καὶ Ἀρτυστώνην, τὴν μὲν Ἄτοσσαν προσυνοικήσασαν Καμβύσῃ τε τῷ ἀδελφεῷ καὶ αὖτις τῷ μάγῳ, τὴν δὲ Ἀρτυστώνην παρθένον. (4) Ἐτέρην δὲ Σμέρδιος τοῦ Κύρου θυγατέρα ἔγημε, τῇ οὔνομα ἦν Πάρμυς· ἔσχε δὲ καὶ τὴν τοῦ Ὀτάνεω θυγατέρα, ἣ τὸν μάγον κατάδηλον ἐποίησε.

LXXXVIII. Darius igitur, Hystaspis filius, rex renunciatus est : omnesque Asiæ populi, Arabibus exceptis, imperio ejus paruerunt, a Cyro primo subacti, ac dein rursus a Cambyse. (2) Arabes vero nunquam a Persis in servitutem sunt redacti, sed hospites erant et amici, qui Cambysi transitum in Ægyptum præstiterunt; nam invitis Arabibus numquam in Ægyptum penetrare Persæ potuissent. (3) Matrimoniaque Darius iniit nobilissima inter Persas, cum duabus Cyri filiabus, Atossa et Artystone; quarum illa quidem ante Cambysis uxor fuerat, fratris sui, deinde rursus Magi; Artystone vero virgo erat : (4) præterea Smerdis filiam, Cyri filii, uxorem duxit, cui nomen erat Parmys : habuitque etiam Otanis filiam, quæ Magum prodiderat. Quumque jam omni ex parte stabi-

Δυνάμιός τε πάντα οἱ ἐπίμπλατο. Πρῶτον μέν νυν τύπον ποιησάμενος λίθινον ἔστησε· ζῷον δέ οἱ ἐνῆν ἀνὴρ ἱππεύς, ἐπέγραψε δὲ γράμματα λέγοντα τάδε, « Δαρεῖος ὁ Ὑστάσπεος σύν τε τοῦ ἵππου τῇ ἀρετῇ (τὸ οὔνομα λέγων) καὶ Οἰβάρεος τοῦ ἱπποκόμου ἐκτήσατο τὴν Περσέων βασιληίην. »

LXXXIX. Ποιήσας δὲ ταῦτα ἐν Πέρσῃσι ἀρχὰς κατεστήσατο εἴκοσι, τὰς αὐτοὶ καλεῦσι σατραπηίας· καταστήσας δὲ τὰς ἀρχὰς καὶ ἄρχοντας ἐπιστήσας ἐτάξατο φόρους οἱ προσιέναι κατ' ἔθνεά τε καὶ πρὸς τοῖσι ἔθνεσι τοὺς πλησιοχώρους προστάσσων, καὶ ὑπερβαίνων τοὺς προσεχέας, τὰ ἑκαστέρω ἄλλοισι ἄλλα ἔθνεα νέμων. (2) Ἀρχὰς δὲ καὶ φόρων πρόσοδον τὴν ἐπέτεον κατὰ τάδε διεῖλε· τοῖσι μὲν αὐτῶν ἀργύριον ἀπαγινέουσι εἰρητο Βαβυλώνιον σταθμὸν τάλαντον ἀπαγινέειν, τοῖσι δὲ χρυσίον ἀπαγινέουσι Εὐβοϊκόν· τὸ δὲ Βαβυλώνιον τάλαντον δύναται Εὐβοΐδας ἑβδομήκοντα μνέας. (3) Ἐπὶ γὰρ Κύρου ἄρχοντος καὶ αὖτις Καμβύσεω ἦν κατεστηκὸς οὐδὲν φόρου πέρι, ἀλλὰ δῶρα ἀγίνεον· διὰ δὲ ταύτην τὴν ἐπίταξιν τοῦ φόρου καὶ παραπλήσια ταύτῃ ἄλλα λέγουσι Πέρσαι ὡς Δαρεῖος μὲν ἦν κάπηλος, Καμβύσης δὲ δεσπότης, Κῦρος δὲ πατήρ, ὁ μὲν ὅτι ἐκαπήλευε πάντα τὰ πρήγματα, ὁ δὲ ὅτι χαλεπός τε ἦν καὶ ὀλίγωρος, ὁ δὲ ὅτι ἤπιός τε καὶ ἀγαθά σφι πάντα ἐμηχανήσατο.

XC. Ἀπὸ μὲν δὴ Ἰώνων καὶ Μαγνήτων τῶν ἐν τῇ Ἀσίῃ καὶ Αἰολέων καὶ Καρῶν καὶ Λυκίων καὶ Μιλυέων καὶ Παμφύλων (εἷς γὰρ ἦν οἱ τεταγμένος φόρος οὗτος) προσῆιε τετρακόσια τάλαντα ἀργυρίου. Ὁ μὲν δὴ πρῶτος οὗτός οἱ νομὸς κατεστήκεε. (2) Ἀπὸ δὲ Μυσῶν καὶ Λυδῶν καὶ Λασονίων καὶ Καβαλίων καὶ Ὑγεννέων πεντακόσια τάλαντα· νομὸς δεύτερος οὗτος. (3) Ἀπὸ δὲ Ἑλλησποντίων τῶν ἐπὶ δεξιὰ ἐσπλώοντι καὶ Φρυγῶν καὶ Θρηίκων τῶν ἐν τῇ Ἀσίῃ καὶ Παφλαγόνων καὶ Μαριανδυνῶν καὶ Συρίων ἑξήκοντα καὶ τριηκόσια ἦν τάλαντα φόρος· νομὸς τρίτος οὗτος. (4) Ἀπὸ δὲ Κιλίκων ἵπποι τε λευκοὶ ἑξήκοντα καὶ τριηκόσιοι, ἑκάστης ἡμέρης εἷς γινόμενος, καὶ τάλαντα ἀργυρίου πεντακόσια· τούτων δὲ τεσσεράκοντα μὲν καὶ ἑκατὸν ἐς τὴν φρουρέουσαν ἵππον τὴν Κιλικίην χώρην ἀναισιμοῦτο, τὰ δὲ τριηκόσια καὶ ἑξήκοντα Δαρείῳ ἐφοίτα· νομὸς τέταρτος οὗτος.

XCI. Ἀπὸ δὲ Ποσειδηίου πόλιος, τὴν Ἀμφίλοχος ὁ Ἀμφιάρεω οἴκισε ἐπ' οὔροισι τοῖσι Κιλίκων τε καὶ Σύρων, ἀρξάμενον ἀπὸ ταύτης μέχρι Αἰγύπτου, πλὴν μοίρης τῆς Ἀραβίων (ταῦτα γὰρ ἦν ἀτελέα), πεντήκοντα καὶ τριηκόσια τάλαντα φόρος ἦν· ἔστι δὲ ἐν τῷ νομῷ τούτῳ Φοινίκη τε πᾶσα καὶ Συρίη ἡ Παλαιστίνη καλευμένη καὶ Κύπρος· νομὸς πέμπτος οὗτος. (2) Ἀπ' Αἰγύπτου δὲ καὶ Λιβύων τῶν προσεχέων Αἰγύπτῳ καὶ Κυρήνης τε καὶ Βάρκης (ἐς γὰρ τὸν Αἰγύπτιον νομὸν αὗται ἐκεκοσμέατο) ἑπτακόσια προσῆιε τάλαντα, πάρεξ τοῦ ἐκ τῆς Μοίριος λίμνης γινομένου ἀργυρίου, τὸ ἐγίνετο ἐκ τῶν ἰχθύων· τούτου τε δὴ χωρὶς τοῦ ἀργυρίου

lita esset ejus potentia, primum monumentum statuit lapideum, cui figura hæc insculpta erat, vir equo insidens, cum inscriptione hujusmodi : DARIUS HYSTASPIS FILIUS EQUI VIRTUTE (nomen equi hic erat adscriptum) ET OEBARIS EQUORUM CUSTODIS REGNUM PERSARUM OBTINUIT.

LXXXIX. His peractis, Persicum imperium in præfecturas distribuit, viginti numero, quas satrapias illi vocant. Quibus constitutis præfecturis, nominatisque singularum præfectis, tributa ordinavit, quæ ei singulis e populis redirent; ita quidem ut aliis populis finitimos populos adjungeret, nonnunquam finitimos hos prætermittens aliis rursus populis alios remotiores attribueret. (2) Præfecturas autem et annua tributa hoc modo constituit : quibus imperatum erat argentum adferre, his prædictum erat, ut Babylonico pondere talentum adferrent; quibus aurum imperatum, hi Euboicum adferrent talentum : valet autem Babylonium talentum Euboicas libras septuaginta. (3) Nam Cyro imperante, atque etiam dein Cambyse, de tributo pendendo nihil erat constitutum, sed dona adferebant. Itaque propter hanc tributorum impositionem, et alia huic similia instituta, aiunt Persæ, institorem fuisse Darium; Cambysen vero, dominum; Cyrum, patrem fuisse. Darium enim, ut institorem administrasse regnum; Cambysen durum fuisse et superbum; Cyrum vero mitem et qui omne bonorum genus ipsis parasset.

XC. Ab Ionibus igitur, et Magnetibus Asiam incolentibus, et Æolensibus, et Caribus, et Lyciis, et Milyensibus, et Pamphylis (quibus in commune unum erat tributum impositum), quadringenta redibant argenti talenta : hæc prima erat præfectura. (2) A Mysis vero, et Lydis, et Lasoniis, et Cabaliis, et Hygennensibus, quingenta talenta : altera hæc præfectura. (3) Ab Hellespontiis ad dextram intro naviganti sitis, et Phrygibus, et Thracibus Asiam incolentibus, et Paphlagonibus, et Mariandynis, et Syriis, trecenta et sexaginta talenta tributi nomine redibant : tertia hæc præfectura. (4) A Cilicibus trecenti et sexaginta equi candidi, unus in diem, et quingenta argenti talenta; quorum talentorum centum et quadraginta in equitatum insumebantur, qui Ciliciam provinciam custodiebat, reliqua trecenta et sexaginta ad Darium mittebantur : quarta hæc præfectura.

XCI. A Posideo urbe, quam Amphilochus condidit, Amphiarai filius, in Cilicum et Syrorum confinibus, ab hac incipiendo usque ad Ægyptum (excepta Arabum ditione, quæ tributi erat immunis), tributum impositum erat trecentorum et quinquaginta talentorum. Est autem in hac præfectura Phœnice omnis, et Palæstina quæ vocatur Syria, et Cyprus : quinta hæc præfectura. (2) Ex Ægypto vero, et Afris Ægypti finitimis, et ex Cyrene et Barce (nam et hæ Ægyptiacæ præfecturæ erant attributæ), septingenta redibant talenta, præter pecuniam quæ ex Mœridis lacu redibat; fiebat autem ea ex piscibus, præter hanc,

καὶ τοῦ ἐπιμετρευμένου σίτου προσήϊε ἑπτακόσια τάλαντα· σίτου γὰρ δυοκαίδεκα μυριάδας Περσέων τε τοῖσι ἐν τῷ Λευκῷ τείχεϊ τῷ ἐν Μέμφι κατοικημένοισι καταμετρέουσι καὶ τοῖσι τούτων ἐπικούροισι νομὸς ἕκτος οὗτος. (3) Σατταγύδαι δὲ καὶ Γανδάριοι καὶ Δαδίκαι τε καὶ Ἀπαρύται ἐς τὠυτὸ τεταγμένοι ἑβδομήκοντα καὶ ἑκατὸν τάλαντα προσέφερον· νομὸς οὗτος ἕβδομος. (4) Ἀπὸ Σούσων δὲ καὶ τῆς ἄλλης Κισσίων χώρης τριηκόσια· νομὸς ὄγδοος οὗτος.

XCII. Ἀπὸ Βαβυλῶνος δὲ καὶ τῆς λοιπῆς Ἀσσυρίης χίλιά οἱ προσήϊε τάλαντα ἀργυρίου καὶ παῖδες ἑκτομίαι πεντακόσιοι· νομὸς εἷνατος οὗτος. (2) Ἀπὸ δὲ Ἀγβατάνων καὶ τῆς λοιπῆς Μηδικῆς καὶ Παρικανίων καὶ Ὀρθοκορυβαντίων πεντήκοντά τε καὶ τετρακόσια τάλαντα· νομὸς δέκατος οὗτος. (3) Κάσπιοι δὲ καὶ Παυσοὶ καὶ Παντίμαθοί τε καὶ Δαρεῖται ἐς τὠυτὸ συμφέροντες διηκόσια τάλαντα ἀπαγίνεον· νομὸς ἑνδέκατος οὗτος. (4) Ἀπὸ Βακτριανῶν δὲ μέχρι Αἰγλῶν ἑξήκοντα καὶ τριηκόσια τάλαντα φόρος ἦν· νομὸς δυωδέκατος οὗτος.

XCIII. Ἀπὸ Πακτυϊκῆς δὲ καὶ Ἀρμενίων καὶ τῶν προσεχέων μέχρι τοῦ πόντου τοῦ Εὐξείνου τετρακόσια τάλαντα· νομὸς τρίτος καὶ δέκατος οὗτος. (2) Ἀπὸ δὲ Σαγαρτίων καὶ Σαραγγέων καὶ Θαμαναίων καὶ Οὐτίων καὶ Μύκων καὶ τῶν ἐν τῇσι νήσοισι οἰκεόντων τῶν ἐν τῇ Ἐρυθρῇ θαλάσσῃ, ἐν τῇσι τοὺς ἀνασπάστους καλευμένους κατοικίζει βασιλεὺς, ἀπὸ τούτων πάντων ἑξακόσια τάλαντα ἐγίνετο φόρος· νομὸς τέταρτος καὶ δέκατος οὗτος. (3) Σάκαι δὲ καὶ Κάσπιοι πεντήκοντα καὶ διηκόσια ἀγίνεον τάλαντα· νομὸς πέμπτος καὶ δέκατος οὗτος. (4) Πάρθοι δὲ καὶ Χοράσμιοι καὶ Σόγδοι τε καὶ Ἄριοι τριηκόσια τάλαντα· νομὸς ἕκτος καὶ δέκατος οὗτος.

XCIV. Παρικάνιοι δὲ καὶ Αἰθίοπες οἱ ἐκ τῆς Ἀσίης τετρακόσια τάλαντα ἀπαγίνεον· νομὸς ἕβδομος καὶ δέκατος οὗτος. (2) Ματιηνοῖσι δὲ καὶ Σάσπειρσι καὶ Ἀλαροδίοισι διηκόσια ἐπετέτακτο τάλαντα· νομὸς ὄγδοος καὶ δέκατος οὗτος. (3) Μόσχοισι δὲ καὶ Τιβαρηνοῖσι καὶ Μάκρωσι καὶ Μοσυνοίκοισι καὶ Μαρσὶ τριηκόσια τάλαντα προείρητο· νομὸς εἷνατος καὶ δέκατος οὗτος. (4) Ἰνδῶν δὲ πλῆθός τε πολλῷ πλεῖστόν ἐστι πάντων τῶν ἡμεῖς ἴδμεν ἀνθρώπων, καὶ φόρον ἀπαγίνεον πρὸς πάντας τοὺς ἄλλους, ἑξήκοντα καὶ τριηκόσια τάλαντα ψήγματος· νομὸς εἰκοστὸς οὗτος.

XCV. Τὸ μὲν δὴ ἀργύριον τὸ Βαβυλώνιον πρὸς τὸ Εὐβοϊκὸν συμβαλλόμενον τάλαντον γίνεται τεσσεράκοντα καὶ πεντακόσια καὶ εἰνακισχίλια τάλαντα, τὸ δὲ χρυσίον τρισκαιδεκαστάσιον λογιζόμενον, τὸ ψῆγμα εὑρίσκεται ἐὸν Εὐβοϊκῶν ταλάντων ὀγδώκοντα καὶ ἑξακοσίων καὶ τετρακισχιλίων. (2) Τούτων ὦν πάντων συντιθεμένων τὸ πλῆθος, Εὐβοϊκὰ τάλαντα συνελέγετο ἐς τὸν ἐπέτεον φόρον Δαρείῳ μύρια καὶ τετρακισχίλια καὶ πεντακόσια καὶ ἑξήκοντα· τὸ δ' ἔτι τούτων ἔλασσον ἀπιεὶς οὐ λέγω.

inquam, pecuniam, ac præter demensum frumentum, septingenta inde redibant talenta; nam frumenti duodecim myriadas *medimnorum* admetiuntur Ægyptii Persarum iis qui in Alba arce Memphi habitant, horumque auxiliariis: sexta hæc præfectura. (3) Sattagydæ, Gandarii, Dadicæ et Aparytæ, in unam præfecturam, quæ septima est, contributi, centum et septuaginta conferebant talenta. (4) Ex Susis et reliqua Cissiorum regione, trecenta talenta redibant: octava hæc præfectura.

XCII. Ex Babylone reliquaque Assyria mille argenti talenta redibant Dario, et castrati pueri quingenti: nona hæc præfectura. (2) Ex Ecbatanis et reliqua Medica provincia, et Paricaniis et Orthocorybantiis, quadringenta et quinquaginta talenta: decima hæc præfectura. (3) Caspii et Pausi, tum Pantimathi et Daritæ, in unum conferentes, talenta contribuebant ducenta; undecima hæc præfectura. (4) A Bactrianis ad Æglos usque tributum pendebatur trecentorum et sexaginta talentorum: duodecima hæc præfectura.

XCIII. Ex Pactyica et ex Armeniis horumque finitimis usque ad Euxinum Pontum, quadringenta talenta: decima tertia hæc præfectura. (2) A Sagartiis, et Sarangis, et Thamanæis, et Utiis, et Mycis, et ex Rubri maris insularum incolis, in quas eos, qui abstracti sive relegati vocantur, rex habitatum mittit, ex his omnibus sexcenta talenta tributi nomine cogebantur: decima quarta hæc præfectura. (3) Sacæ et Caspii ducenta et quinquaginta conferebant talenta: præfectura hæc decima quinta. (4) Parthi vero et Chorasmii, et Sogdi et Arii, trecenta talenta: decima sexta præfectura.

XCIV. Paricanii et Æthiopes Asiam incolentes, quadringenta conferebant talenta: præfectura hæc decima septima. (2) Matienis, Saspiribus et Alarodiis ducenta imposita talenta erant: præfectura hæc decima octava. (3) Moschis, e Tibarenis, et Macronibus, et Mosynœcis et Maribus trecenta imperata erant talenta: præfectura hæc decima nona. (4) Indorum populus longe frequentissimus omnium quos novimus hominum est, et tributum hi pendebant præ reliquis omnibus trecenta et sexaginta talenta ramentorum auri: vicesima hæc præfectura.

XCV. Jam Babylonicum argentum si cum Euboico conferatur, fuerint talenta novies mille quingenta et quadraginta. Aurum vero si tredecuplum æstimetur, reperitur ramentum illud valere talenta Euboica quater mille sexcenta et octoginta. (2) Quibus cunctis in unam summam collectis, tributi nomine colligebantur Dario quotannis Euboicorum talentorum quattuordecim millia cum quingentis et sexaginta; ut minorem numerum mittam, qui hanc summam excedit.

XCVI. Οὗτος Δαρείῳ προσήϊε φόρος ἀπό τε τῆς Ἀσίης καὶ τῆς Λιβύης ὀλιγαχόθεν. Προϊόντος μέντοι τοῦ χρόνου καὶ ἀπὸ νήσων προσήϊε ἄλλος φόρος καὶ τῶν ἐν τῇ Εὐρώπῃ μέχρι Θεσσαλίης οἰκημένων. (2) Τοῦτον τὸν φόρον θησαυρίζει βασιλεὺς τρόπῳ τοιῷδε· ἐς πίθους κεραμίνους τήξας καταχέει, πλήσας δὲ τὸ ἄγγος περιαιρέει τὸν κέραμον· ἐπεὰν δὲ δεηθῇ χρημάτων, κατακόπτει τοσοῦτο ὅσου ἂν ἑκάστοτε δέηται.

XCVII. Αὗται μέν νυν ἀρχαί τε ἔσαν καὶ φόρων ἐπιτάξιες, ἡ Περσὶς δὲ χώρη μούνη μοι οὐκ εἴρηται δασμοφόρος· ἀτελέα γὰρ Πέρσαι νέμονται χώρην. (2) Οἵδε δὲ φόρον μὲν οὐδένα ἐτάχθησαν φέρειν, δῶρα δὲ ἀγίνεον, Αἰθίοπες οἱ πρόσουροι Αἰγύπτῳ, τοὺς Καμβύσης ἐλαύνων ἐπὶ τοὺς μακροβίους Αἰθίοπας κατεστρέψατο· οἳ περί τε Νῦσαν τὴν ἱρὴν κατοικέαται καὶ τῷ Διονύσῳ ἀνάγουσι τὰς ὁρτάς. (3) Οὗτοι οἱ Αἰθίοπες καὶ οἱ πλησιόχωροι τούτοισι σπέρματι μὲν χρέονται τῷ αὐτῷ τῷ καὶ οἱ Καλατίαι Ἰνδοί, οἰκήματα δὲ ἐκτέαται κατάγαια. (4) Οὗτοι συναμφότεροι διὰ τρίτου ἔτεος ἀγίνεον, ἀγινέουσι δὲ καὶ τὸ μέχρι ἐμεῦ, δύο χοίνικας ἀπύρου χρυσίου καὶ διηκοσίας φάλαγγας ἐβένου καὶ πέντε παῖδας Αἰθίοπας καὶ ἐλέφαντος ὀδόντας μεγάλους εἴκοσι. (5) Κόλχοι δ' ἐτάξαντο ἐς τὴν δωρεήν, καὶ οἱ προσεχέες μέχρι τοῦ Καυκάσιος οὔρεος· ἐς τοῦτο γὰρ τὸ οὖρος ὑπὸ Πέρσῃσι ἄρχεται, τὰ δὲ πρὸς βορέην ἄνεμον τοῦ Καυκάσιος Περσέων οὐδὲν ἔτι φροντίζει· (6) οὗτοι ὦν δῶρα τὰ ἐτάξαντο, ἔτι καὶ ἐς ἐμὲ διὰ πεντετηρίδος ἀγίνεον, ἑκατὸν παῖδας καὶ ἑκατὸν παρθένους. Ἀράβιοι δὲ χίλια τάλαντα ἀγίνεον λιβανωτοῦ ἀνὰ πᾶν ἔτος. Ταῦτα μὲν οὗτοι δῶρα πάρεξ τοῦ φόρου βασιλεῖ ἐκόμιζον.

XCVIII. Τὸν δὲ χρυσὸν τοῦτον τὸν πολλὸν οἱ Ἰνδοί, ἀπ' οὗ τὸ ψῆγμα τῷ βασιλεῖ τὸ εἰρημένον κομίζουσι, τρόπῳ τοιῷδε κτέονται. (2) Ἔστι τῆς Ἰνδικῆς χώρης τὸ πρὸς ἥλιον ἀνίσχοντα ψάμμος· τῶν γὰρ ἡμεῖς ἴδμεν, τῶν καὶ πέρι ἀτρεκές τι λέγεται, πρῶτοι πρὸς ἠῶ καὶ ἡλίου ἀνατολὰς οἰκέουσι ἀνθρώπων τῶν ἐν τῇ Ἀσίῃ Ἰνδοί· Ἰνδῶν γὰρ τὸ πρὸς τὴν ἠῶ ἐρημίη ἐστὶ διὰ τὴν ψάμμον. (3) Ἔστι δὲ πολλὰ ἔθνεα Ἰνδῶν καὶ οὐκ ὁμόφωνα σφίσι, καὶ οἱ μὲν αὐτῶν νομάδες εἰσί, οἱ δὲ οὔ, οἱ δὲ ἐν τοῖσι ἕλεσι οἰκέουσι τοῦ ποταμοῦ καὶ ἰχθῦς σιτέονται ὠμούς, τοὺς αἱρέουσι ἐκ πλοίων καλαμίνων ὁρμεώμενοι· καλάμου δὲ ἓν γόνυ πλοῖον ἕκαστον ποιέεται. (4) Οὗτοι μὲν δὴ τῶν Ἰνδῶν φορέουσι ἐσθῆτα φλοίνην· ἐπεὰν ἐκ τοῦ ποταμοῦ φλοῦν ἀμήσωνται καὶ κόψωσι, τὸ ἐνθεῦτεν φορμοῦ τρόπον καταπλέξαντες ὡς θώρηκα ἐνδύνουσι.

XCIX. Ἄλλοι δὲ τῶν Ἰνδῶν πρὸς ἠῶ οἰκέοντες τούτων νομάδες εἰσί, κρεῶν ἐδέσται ὠμῶν· καλεῦνται δὲ Παδαῖοι. Νομαίοισι δὲ τοιοισίδε λέγονται χρᾶσθαι· ὃς ἂν κάμῃ τῶν ἀστῶν, ἢν τε ἀνὴρ ἢν τε γυνή, τὸν μὲν ἄνδρα ἄνδρες οἱ μάλιστά οἱ ὁμιλέοντες κτείνουσι, φάμενοι αὐτὸν τηκόμενον τῇ νούσῳ τὰ κρέα σφίσι διαφθείρεσθαι· ὁ δὲ ἀπαρνός ἐστι μὴ μὲν νοσέειν· οἱ δὲ οὐ

XCVI. Hoc tributum Dario ex Asia redibat, et ex exigua Africæ parte. Sed procedente tempore etiam aliud ei tributum ex insulis rediit, et ab his qui Europam incolunt usque ad Thessaliam. (2) Hoc tributum tali modo rex in thesauris recondit: liquefactum metallum in dolia fictilia infundit, et repleto vase frangit testam. Dein, quando pecunia indiget, tantumdem cudendum curat, quantum usus postulat.

XCVII. Hæ igitur sunt præfecturæ, et taxationes tributorum. Persidem vero regionem solam in tributariarum numero non nominavi; hanc enim a tributis immunem incolunt Persæ. (2) Porro impositum quidem tributum non pendebant, sed dona ferebant hi: Æthiopes Ægypto contermini, quos Cambyses, quum adversus Macrobios Æthiopas arma ferret, subegit; qui circa sacram Nysam habitant, et Baccho dies festos celebrant. (3) Hi Æthiopes, et horum finitimi, semine utuntur eodem quo Calatiæ Indi (*milio?*), domos autem habent subterraneas. (4) Hi simul ambo tertio quoque anno adferebant, adferuntque etiam ad meam usque ætatem, duo chœnices auri ignem non experti, et ducentos truncos ebeni, et quinque pueros Æthiopes, et viginti magnos dentes elephantorum. (5) Colchi vero pacti sunt de dono ferendo, et horum finitimi usque ad Caucasum montem: nam usque ad hunc montem pertinet Persarum imperium; qui vero ad septemtrionem sunt Caucasi, hi nil amplius curant Persas. (6) Hi igitur dona, de quibus pacti sunt, ad meam usque memoriam quinto quoque anno adferebant, centenos pueros, virginesque centenas. Arabes vero quotannis mille adferebant thuris talenta. Hæc igitur, præter tributum, dona hi regi ferebant.

XCVIII. Auri autem copiam illam, ex qua regi ramenta, quæ dixi, adferunt Indi, tali modo nanciscuntur: (2) quæ terra inde ab India versus orientem solem porrigitur, ea prorsus sabulosa est. Nam eorum, quos nos novimus, populorum, de quibus certi quidpiam traditur, primi versus orientem solem Indi sunt: post Indos enim orientem versus deserta terra est propter sabulum. (3) Sunt autem multi Indorum populi, diversis linguis utentes. Et eorum alii nomades sunt; alii non sunt. Nonnulli etiam in paludibus habitant fluminis, vescunturque crudis piscibus; quos capiunt, navigiis ex arundine confectis insectantes: quodlibet navigium ex uno genu sive internodio arundinis conficitur. (4) Hi Indi vestem gestant ex scirpo; quam, postquam scirpum e flumine demessuerunt tuderuntque, plectunt deinde in storeæ modum, et tamquam thoracem induunt.

XCIX. Alii ex Indis, his ab oriente habitantes, nomades sunt; cruda carne vescentes, qui Padæi vocantur. Institutis hi utuntur hujusmodi: quando quis morbo laborat civium, sive mulier, sive vir, tunc virum viri maxime familiares occidunt, dicentes, si morbo consumeretur, carnem ipsis corruptum iri. At ille negat se ægrotare; hi,

συγγινωσκόμενοι ἀποκτείναντες κατευωχέονται. (2) Ἢν δὲ γυνὴ κάμῃ, ὡσαύτως αἱ ἐπιχρεώμεναι μάλιστα γυναῖκες ταὐτὰ τοῖσι ἀνδράσι ποιεῦσι· τὸν γὰρ δὴ ἐς γῆρας ἀπικόμενον θύσαντες κατευωχέονται. Ἐς δὲ τούτου λόγων οὐ πολλοί τινες αὐτῶν ἀπικνέονται· πρὸ γὰρ τούτου τὸν ἐς νοῦσον πίπτοντα πάντα κτείνουσι.

C. Ἑτέρων δέ ἐστι Ἰνδῶν δὲ ἄλλος τρόπος· οὔτε κτείνουσι οὐδὲν ἔμψυχον, οὔτε τι σπείρουσι, οὔτε οἰκίας νομίζουσι ἐκτῆσθαι, ποιηφαγέουσι δὲ, καὶ αὐτοῖσί ἐστι ὅσον κέγχρος τὸ μέγαθος ἐν κάλυκι, αὐτόματον ἐκ τῆς γῆς γινόμενον, τὸ συλλέγοντες αὐτῇ κάλυκι ἕψουσί τε καὶ σιτέονται. Ὃς δ' ἂν ἐς νοῦσον αὐτῶν πέσῃ, ἐλθὼν ἐς τὴν ἐρῆμον κέεται· φροντίζει δὲ οὐδεὶς οὔτ' ἀποθανόντος οὔτε κάμνοντος.

CI. Μίξις δὲ τούτων τῶν Ἰνδῶν τῶν κατέλεξα πάντων ἐμφανής ἐστι κατά περ τῶν προβάτων, καὶ τὸ χρῶμα φορέουσι ὁμοῖον πάντες καὶ παραπλήσιον Αἰθίοψι. (2) Ἡ γονὴ δὲ αὐτῶν, τὴν ἀπίενται ἐς τὰς γυναῖκας, οὐ κατά περ τῶν ἄλλων ἀνθρώπων ἐστὶ λευκή, ἀλλὰ μέλαινα κατά περ τὸ χρῶμα· τοιαύτην δὲ καὶ Αἰθίοπες ἀπίενται θορήν. (3) Οὗτοι μὲν τῶν Ἰνδῶν ἑκαστέρω τῶν Περσέων οἰκέουσι καὶ πρὸς νότου ἀνέμου, καὶ Δαρείου βασιλέος οὐδαμὰ ὑπήκουσαν.

CII. Ἄλλοι δὲ τῶν Ἰνδῶν Κασπατύρῳ τε πόλι καὶ τῇ Πακτυϊκῇ χώρῃ εἰσὶ πρόσουροι, πρὸς ἄρκτου τε καὶ βορέεω ἀνέμου κατοικημένοι τῶν ἄλλων Ἰνδῶν, οἳ Βακτρίοισι παραπλησίην ἔχουσι δίαιταν· οὗτοι καὶ μαχιμώτατοί εἰσι Ἰνδῶν, καὶ οἱ ἐπὶ τὸν χρυσὸν στελλόμενοί εἰσι οὗτοι· κατὰ γὰρ τοῦτό ἐστι ἐρημίη διὰ τὴν ψάμμον. (2) Ἐν δὴ ὦν τῇ ἐρημίῃ ταύτῃ καὶ τῇ ψάμμῳ γίνονται μύρμηκες μεγάθεα ἔχοντες κυνῶν μὲν ἐλάσσονα, ἀλωπέκων δὲ μέζονα· εἰσὶ γὰρ αὐτῶν καὶ παρὰ βασιλέϊ τῷ Περσέων, ἐνθεῦτεν θηρευθέντες. (3) Οὗτοι ὦν οἱ μύρμηκες ποιεύμενοι οἴκησιν ὑπὸ γῆν ἀναφορέουσι τὴν ψάμμον κατά περ οἱ ἐν τοῖσι Ἕλλησι μύρμηκες καὶ τὸν αὐτὸν τρόπον, εἰσὶ δὲ καὶ τὸ εἶδος ὁμοιότατοι· ἡ δὲ ψάμμος ἡ ἀναφερομένη ἐστὶ χρυσῖτις. (4) Ἐπὶ δὴ ταύτην τὴν ψάμμον στέλλονται ἐς τὴν ἐρῆμον οἱ Ἰνδοὶ, ζευξάμενος ἕκαστος καμήλους τρεῖς, σειρηφόρον μὲν ἑκατέρωθεν ἔρσενα παρέλκειν, θήλεαν δὲ ἐς μέσον· ἐπὶ ταύτην δὴ αὐτὸς ἀναβαίνει, ἐπιτηδεύσας ὅκως ἀπὸ τέκνων ὡς νεωτάτων ἀποσπάσας ζεύξει. Αἱ γάρ σφι κάμηλοι ἵππων οὐκ ἔσσονες ἐς ταχυτῆτα εἰσὶ, χωρὶς δὲ ἄχθεα δυνατώτεραι πολλὸν φέρειν.

CIII. Τὸ μὲν δὴ εἶδος ὁκοῖόν τι ἔχει ἡ κάμηλος ἐπισταμένοισι τοῖσι Ἕλλησι οὐ συγγράφω· τὸ δὲ μὴ ἐπιστέαται αὐτῆς, τοῦτο φράσω. Κάμηλος ἐν τοῖσι ὀπισθίοισι σκέλεσι ἔχει τέσσερας μηροὺς καὶ γούνατα τέσσερα, τὰ δὲ αἰδοῖα διὰ τῶν ὀπισθίων σκελέων πρὸς τὴν οὐρὴν τετραμμένα.

CIV. Οἱ δὲ δὴ Ἰνδοὶ τρόπῳ τοιούτῳ καὶ ζεύξι τοιαύτῃ χρεώμενοι ἐλαύνουσι ἐπὶ τὸν χρυσὸν λελογισμένοι τὸν ὥρην ἐπιτηδεώτατον εἶναι πρὸς θέρεος· τότε γὰρ καὶ οἱ μύρμηκες ὑπὸ τὸν καύματος κατιζάνουσι μᾶλλον ἢ ἐν ἄλλῃ ὥρῃ· ἐν γὰρ δὴ τῇ μεσαμβρίῃ ὑπὸ τὸν ἥλιον ἐόντος τοῦ καύματος ἐν σκιῇ μᾶλλον ἢ ἐν τῇσι οἰκήσισι εἰσὶ οἱ ἄνθρωποι. Ἐπεὰν δὲ ἐς τὴν ἐρῆμον ἀπίκωνται, ἐνθαῦτα ἐν τοῖσι χωρίοισι τοῖσι ἐπιτηδεώτατα ἔχουσι τὰ ἀσκία πλήσαντες τοῦ ψάμμου ἀπίασι ἐπὶ σφέων αὐτῶν ὡς τάχιστα ἐλαύνοντες τὰς καμήλους· ἐπεὰν δὲ ἀναλάβωσι ἱκανὸν διάστημα, ἐνθαῦτα δὴ οἱ μύρμηκες, ὥσπερ ἐν τῇσι ἄλλῃσι χώρῃσι ἐπαΐσσοντες ἐπὶ τὸν ἄνθρωπον, οὕτω καὶ ἐνθαῦτα ἐπαΐσσοντες ἐπὶ τὴν ὀσμὴν ἀπικνέονται. Ἅτε δὲ ἐόντες ὠκύτατοι τῶν θηρίων, καὶ ἐπιστάμενοι ἁρπάζειν ἐν τῇ ἐπαΐξι, πολλὸν ἂν εἴη σφι προέχειν τοὺς ἀνθρώπους, εἰ μὴ ἐπιστεόμενοι ταῦτα ἐποίευν· νῦν δὲ ἐπιστεόμενοι ἐπεὰν μὲν ἐπαΐσσωσι ἐπὶ τὰ ἀσκία, ἐπὶ τὰς καμήλους ἐπιβάντες ἀπίασι, ἐπεὰν δὲ ἐπαΐσσωσι ἐπὶ τὰς καμήλους, ἐπὶ τὰ ἀσκία ἐπιβάντες ἀπίασι· ἐπεὰν δὲ ἐπαΐσσωσι ἐπὶ σφέας αὐτούς, ἐπὶ τὰς καμήλους ἐπιβάντες ἀπίασι. (2) Ἐν τοσούτῳ δὲ ἐπιστάμενοι ἐπιβαίνειν ἐπὶ τὰς καμήλους ἐπὶ τὰ ἀσκία ἐπιβάντες ἀπίασι· ἐπεὰν δὲ ἐπαΐσσωσι ἐπὶ σφέας αὐτούς, ἐπὶ τὰς καμήλους ἐπιβάντες ἀπίασι. (2) Ἐν τοσούτῳ δὲ ἐπιστάμενοι ἐπιβαίνειν ἐπὶ τὰς καμήλους ἐπὶ τὰ ἀσκία ἐπιβάντες ἀπίασι· ἐπεὰν δὲ ἐπαΐσσωσι ἐπὶ σφέας αὐτούς, ἐπὶ τὰς καμήλους ἐπιβάντες ἀπίασι. (2) Ἐν τοσούτῳ δὲ ἐπιστάμενοι ἐπιβαίνειν ἐπὶ τὰς καμήλους

viro non adsentientes, interficiunt eum epulanturque. (2) Quando mulier ægrotat, similiter mulieres maxime necessariæ idem faciunt quod viris viri. Nam etiam qui ad senectutem pervenit, eum mactant, carneque ejus vescuntur: haud multi autem illorum ad eum numerum annorum perveniunt; nam antea quemcumque morbo quodam correptum interficiunt.

C. Aliorum Indorum alius mos est hujusmodi: nec occidunt animatum quidquam, nec sementem faciunt, nec domos solent possidere: herbis vescuntur; estque eis semen quoddam, milii fere magnitudine, folliculo inclusum, sponte e terra nascens, quod colligunt, et cum folliculo elixum comedunt. Si quis ex eis in morbum incidit, abit in desertum, ibique jacet; neque quisquam aut mortuum curat, aut ægrotum.

CI. Omnes hi, quos commemoravi, Indi feminis miscentur palam, veluti pecudes; et colorem habent similem maxime Æthiopibus. (2) Semen autem ipsorum genitale non, quemadmodum cæterorum hominum, album est, sed nigrum, sicut corporis color: tale vero etiam semen genitale Æthiopes edunt. (3) Hi Indi longius a Persis habitant, meridiem versus; neque umquam Darii paruerunt imperio.

CII. Alii vero Indi Caspatyro urbi et Pactyicæ regioni sunt finitimi, a septemtrione reliquorum Indorum habitantes, qui vitæ ratione utuntur Bactrianis simili. Hi sunt Indorum bellicosissimi, iidemque qui ad conquirendum aurum proficiscuntur: est enim ibi deserta regio propter sabulum. (2) In hoc nimirum deserto atque sabulo sunt formicæ, magnitudine non quidem tanta quanta canum, sed tamen majores vulpibus: quarum nonnullæ aluntur apud regem Persarum, in illa regione a venatoribus captæ. (3) Hæ igitur formicæ, sub terra habitacula sibi parantes, egerunt sabulum eodem modo sicut in Græcia formicæ; quibus etiam specie corporis simillimæ sunt. Sabulum autem, quod ab illis egeritur, auriferum est. (4) Ad hoc igitur colligendum sabulum profecturi Indi jungunt quisque tres camelos, funalem utrimque marem, qui a latere trahant; in medio feminam, dans operam ut a pullis quam recentissime natis abstractam jungat: hanc ipse conscendit. Sunt enim cameli equis velocitate non inferiores, insuper vero ad onera ferenda multo validiores.

CIII. Jam, species quidem qualis sit cameli, Græcis satgnaris non describo: quod vero de eo ignoratur vulgo, hoc dicam. Camelus in posterioribus cruribus quattuor habet femora (*ossa inter articulos vel genua*) et quattuor genua; veretrum vero inter posteriora crura caudam versus spectans.

CIV. Hoc igitur modo, talique utentes vectura, ad colligendum aurum proficiscuntur Indi, temporis rationem

σμένως ὅκως καυμάτων τῶν θερμοτάτων ἐόντων ἐσονται ἐν τῇ ἁρπαγῇ· ὑπὸ γὰρ τοῦ καύματος οἱ μύρμηκες ἀφανέες γίνονται ὑπὸ γῆν. (2) Θερμότατος δέ ἐστι ὁ ἥλιος τούτοισι τοῖσι ἀνθρώποισι τὸ ἑωθινὸν, οὐ κατά περ τοῖσι ἄλλοισι μεσαμβρίης, ἀλλ' ὑπερτείλας μέχρι οὗ ἀγορῆς διαλύσιος. Τοῦτον δὲ τὸν χρόνον καίει πολλῷ μᾶλλον ἢ τῇ μεσαμβρίῃ τὴν Ἑλλάδα, οὕτω ὥστ' ἐν ὕδατι λόγος αὐτούς ἐστι βρέχεσθαι τηνικαῦτα. (3) Μεσοῦσα δὲ ἡ ἡμέρη σχεδὸν παραπλησίως καίει τούς τε ἄλλους ἀνθρώπους καὶ τοὺς Ἰνδούς. Ἀποκλινομένης δὲ τῆς μεσαμβρίης γίνεταί σφι ὁ ἥλιος κατά περ τοῖσι ἄλλοισι ὁ ἑωθινός· καὶ τὸ ἀπὸ τούτου ἀπιὼν ἐπὶ μᾶλλον ψύχει, ἐς ὃ ἐπὶ δυσμῇσι ἐὼν καὶ τὸ κάρτα ψύχει.

CV. Ἐπεὰν δὲ ἔλθωσι ἐς τὸν χῶρον οἱ Ἰνδοὶ ἔχοντες θυλάκια, ἐμπλήσαντες ταῦτα τῆς ψάμμου τὴν ταχίστην ἐλαύνουσι ὀπίσω· αὐτίκα γὰρ οἱ μύρμηκες ὀδμῇ, ὡς δὴ λέγεται ὑπὸ Περσέων, μαθόντες διώκουσι. (2) Εἶναι δὲ ταχυτῆτα οὐδενὶ ἑτέρῳ ὁμοῖον, οὕτω ὥστε, εἰ μὴ προλαμβάνειν τοὺς Ἰνδοὺς τῆς ὁδοῦ ἐν ᾧ τοὺς μύρμηκας συλλέγεσθαι, οὐδένα ἂν σφεων ἀποσώζεσθαι. (3) Τοὺς μέν νυν ἕρσενας τῶν καμήλων, εἶναι γὰρ ἥσσονας θέειν τῶν θηλέων, παραλύεσθαι ἐπελκομένους ὁμοῦ ἀμφοτέρους· τὰς δὲ θηλέας ἀναμιμνησκομένας τῶν ἑλίπον τέκνων ἐνδιδόναι μαλακὸν οὐδέν. (4) Τὸν μὲν δὴ πλέω τοῦ χρυσοῦ οὕτω οἱ Ἰνδοὶ κτέονται, ὡς Πέρσαι φασί· ἄλλος δὲ σπανιώτερός ἐστι ἐν τῇ χώρῃ ὀρυσσόμενος.

CVI. Αἱ δ' ἐσχατιαί κως τῆς οἰκευμένης τὰ κάλλιστα ἔλαχον, κατά περ ἡ Ἑλλὰς τὰς ὥρας πολλόν τι κάλλιστα κεκραμένας ἔλαχε. Τοῦτο μὲν γὰρ πρὸς τὴν ἠῶ ἐσχάτη τῶν οἰκεομένων ἡ Ἰνδικὴ ἐστι, ὥσπερ ὀλίγῳ πρότερον εἴρηκα· (2) ἐν ταύτῃ τοῦτο μὲν τὰ ἔμψυχα τετράποδά τε καὶ τὰ πετεινὰ πολλῷ μέζω ἢ ἐν τοῖσι ἄλλοισι χωρίοισί ἐστι, πάρεξ τῶν ἵππων (οὗτοι δὲ ἐσσοῦνται ὑπὸ τῶν Μηδικῶν, Νισαίων δὲ καλευμένων ἵππων), τοῦτο δὲ χρυσὸς ἄπλετος αὐτόθι ἐστὶ, ὁ μὲν ὀρυσσόμενος, ὁ δὲ καταφορεύμενος ὑπὸ ποταμῶν, ὁ δὲ ὥσπερ ἐσήμηνα ἁρπαζόμενος. (3) Τὰ δὲ δένδρεα τὰ ἄγρια αὐτόθι φέρει καρπὸν εἴρια καλλονῇ τε προφέροντα καὶ ἀρετῇ τῶν ἀπὸ τῶν οἰῶν· καὶ ἐσθῆτι οἱ Ἰνδοὶ ἀπὸ τούτων τῶν δενδρέων χρέονται.

CVII. Πρὸς δ' αὖ μεσαμβρίης ἐσχάτη Ἀραβίη τῶν οἰκεομένων χωρέων ἐστὶ, ἐν δὲ ταύτῃ λιβανωτός τέ ἐστι μούνῃ χωρέων πασέων φυόμενος καὶ σμύρνη καὶ κασίη καὶ κινναμωνον καὶ λήδανον. Ταῦτα πάντα πλὴν τῆς σμύρνης δυσπετέως κτέονται οἱ Ἀράβιοι. (2) Τὸν μέν γε λιβανωτὸν συλλέγουσι τὴν στύρακα θυμιέοντες, τὴν ἐς Ἕλληνας Φοίνικες ἐξάγουσι· ταύτην θυμιέοντες λαμβάνουσι· τὰ γὰρ δένδρεα τὰ λιβανωτοφόρα ὄφιες ὑπόπτεροι, μικροὶ τὰ μεγάθεα, ποικίλοι τὰ εἴδεα, φυλάσσουσι πλήθεϊ πολλοὶ περὶ δένδρεον ἕκαστον, οὗτοι οἵπερ ἐπ' Αἴγυπτον ἐπιστρατεύονται. Οὐδενὶ ita ineuntes, ut ea diei hora, qua ferventissimi sunt æstus, illud rapiant: fervente enim æstu sub terra conduntur formicæ. (2) Ardentissimus autem his hominibus sol est tempore matutino, non, ut cæteris hominibus, medio die; sed ab eo tempore quo ad aliquam altitudinem in cœlo pervenit, usque dum tempus est a foro discedendi [*quod fiebat medio fere die*]. Per id tempus multo magis ibi ardet sol, quam in Græcia medio ipso die; ita ut dicantur illi tunc aqua se aspergere. (3) Medio vero die similiter fere sol ardet cæteros homines atque Indos. Postquam de medio cœlo declinavit sol, talem ibi vim habet, qualem apud cæteros matutinus. Reliquum cœli spatium percurrens, magis magisque friget, donec, ubi ad occasum pervenit, admodum etiam friget.

CV. Postquam ad locum Indi pervenerunt, culeos, quos secum attulere, sabulo complent, et quam primum sese recipiunt. Protinus enim formicæ, odore, ut aiunt Persæ, illos sentientes, persequuntur. (2) Velocitate autem hanc bestiam alias omnes ita aiunt superare, ut nisi, dum congregantur formicæ, viam interim Indi præciperent, nullus eorum salvus esset evasurus. (3) Jam mares quidem camelos, quum sint ad currendum feminis inferiores, viribus aiunt deficere et segnius sequi utrumque; feminas vero, recordantes pullorum domi relictorum, nihil molliter de cursu remittere. (4) Majorem igitur auri partem hac ratione, ut quidem Persæ narrant, nanciscuntur Indi: aliud rarius est aurum, quod ex metallis effoditur.

CVI. Extremæ terrarum partes, nescio quo pacto, res præstantissimas sunt sortitæ, quemadmodum Græcia cœli temperiem longe præstantissimam sortita est. Est enim ab una parte, orientem versus, extrema regionum habitatarum Indica, ut paulo ante dixi. (2) In hac igitur, partim, animantes quadrupedes atque volucres insunt longe quam in reliquis regionibus grandiores, equis exceptis; nam magnitudine superantur Indorum equi a Medicis, qui Nisæi vocantur. Partim vero, auri immensa ibi copia est; aliud effossum terra, aliud per flumina devectum, aliud ita ut memoravi subreptum. (3) Ibidem porro arbores agrestes pro fructu lanam edunt, pulcritudine et reliqua virtute ovinam lanam superantem: et vestimentis Indi ex his arboribus utuntur.

CVII. Rursus, meridiem versus, extrema habitatarum regionum Arabia est. In hac vero una regionum omnium thus nascitur, et myrrha, et casia, et cinnamomum, et ladanum. Hæc quidem omnia, myrrham si excipias, non sine labore nanciscuntur Arabes. (2) Thus quidem colligunt, styracem adolentes, quæ in Græciam a Phœnicibus importatur. Styrace, inquam, incensa thus nanciscuntur: arbores enim thuriferas custodiunt alati serpentes, exiguo corpore, variegata specie, ingenti numero arborem quamque circumsedentes; iidem qui Ægyptum veluti

δὲ ἄλλῳ ἀπελαύνονται ἀπὸ τῶν δενδρέων ἢ τῆς στύρακος τῷ καπνῷ.

CVIII. Λέγουσι δὲ καὶ τόδε Ἀράβιοι, ὡς πᾶσα ἂν γῆ ἐπίμπλατο τῶν ὀφίων τούτων, εἰ μὴ γίνεσθαι κατ' αὐτοὺς οἷόν τι κατὰ τὰς ἐχίδνας ἠπιστάμην γίνεσθαι. Καί κως τοῦ θείου ἡ πρόνοια, ὥσπερ καὶ οἰκός ἐστι, ἐοῦσα σοφή, ὅσα μὲν ψυχήν τε δειλὰ καὶ ἐδώδιμα, ταῦτα μὲν πάντα πολύγονα πεποίηκε, ἵνα μὴ ἐπιλίπῃ κατεσθιόμενα, ὅσα δὲ σχέτλια καὶ ἀνιηρά, ὀλιγόγονα. (2) Τοῦτο μέν, ὅτι ὁ λαγὸς ὑπὸ παντὸς θηρεύεται θηρίου καὶ ὄρνιθος καὶ ἀνθρώπου, οὕτω δή τι πολύγονόν ἐστι· ἐπικυΐσκεται μοῦνον πάντων θηρίων, καὶ τὸ μὲν δασὺ τῶν τέκνων ἐν τῇ γαστρὶ, τὸ δὲ ψιλὸν, τὸ δὲ ἄρτι ἐν τῇσι μήτρῃσι πλάσσεται, τὸ δὲ ἀναιρέεται. (3) Τοῦτο μὲν δὴ τοιοῦτό ἐστι, ἡ δὲ δὴ λέαινα ἐὸν ἰσχυρότατον καὶ θρασύτατον ἅπαξ ἐν τῷ βίῳ τίκτει ἕν· τίκτουσα γὰρ συνεκβάλλει τῷ τέκνῳ τὰς μήτρας. Τὸ δὲ αἴτιον τούτου τόδε ἐστί· ἐπεὰν ὁ σκύμνος ἐν τῇ μητρὶ ἐὼν ἄρχηται διακινεόμενος, ὁ δὲ ἔχων ὄνυχας θηρίων πολλὸν πάντων ὀξυτάτους ἀμύσσει τὰς μήτρας· αὐξανόμενός τε δὴ πολλῷ μᾶλλον ἐπικνέεται καταγράφων· πέλας τε δὴ ὁ τόκος ἐστὶ, καὶ τὸ παράπαν λείπεται αὐτέων ὑγιὲς οὐδὲ ἕν.

CIX. Ὡς δὲ καὶ αἱ ἔχιδναί τε καὶ οἱ ἐν Ἀραβίοισι ὑπόπτεροι ὄφιες εἰ ἐγίνοντο ὡς ἡ φύσις αὐτοῖσι ὑπάρχει, οὐκ ἂν ἦν βιώσιμα ἀνθρώποισι· νῦν δ' ἐπεὰν θορνύωνται κατὰ ζεύγεα καὶ ἐν αὐτῇ ἧ ὄρσην τῇ ἐκποιήσι, ἀπιεμένου αὐτοῦ τὴν γονὴν ἡ θήλεα ἅπτεται τῆς δειρῆς, καὶ ἐμφῦσα οὐκ ἀνίει πρὶν ἂν διαφάγῃ. (2) Ὁ μὲν δὴ ὄρσην ἀποθνήσκει τρόπῳ τῷ εἰρημένῳ, ἡ δὲ θήλεα τίσιν τοιήνδε ἀποτίνει τῷ ἔρσενι· τῷ γονέϊ τιμωρέοντα ἔτι ἐν τῇ γαστρὶ ἐόντα τὰ τέκνα διεσθίει τὴν μητέρα, διαφαγόντα δὲ τὴν νηδὺν αὐτῆς οὕτω τὴν ἔκδυσιν ποιέεται. (3) Οἱ δὲ ἄλλοι ὄφιες ἐόντες ἀνθρώπων οὐ δηλήμονες τίκτουσί τε ᾠὰ καὶ ἐκλέπουσι πολλόν τι χρῆμα τῶν τέκνων. Αἱ μὲν δὴ νυν ἔχιδναι κατὰ πᾶσαν τὴν γῆν εἰσὶ, οἱ δὲ ὑπόπτεροι ἐόντες ἀθρόοι εἰσὶ ἐν τῇ Ἀραβίῃ καὶ οὐδαμῇ ἄλλῃ· κατὰ τοῦτο δοκέουσι πολλοὶ εἶναι.

CX. Τὸν μὲν δὴ λιβανωτὸν τοῦτον οὕτω κτέονται Ἀράβιοι, τὴν δὲ κασίην ὧδε· ἐπεὰν καταδήσωνται βύρσῃσι καὶ δέρμασι ἄλλοισι πᾶν τὸ σῶμα καὶ τὸ πρόσωπον πλὴν αὐτῶν τῶν ὀφθαλμῶν, ἔρχονται ἐπὶ τὴν κασίην· ἡ δὲ ἐν λίμνῃ φύεται οὐ βαθέῃ, περὶ δὲ αὐτὴν καὶ ἐν αὐτῇ αὐλίζεταί κου θηρία πτερωτὰ, τῇσι νυκτερίσι προσίκελα μάλιστα, καὶ τέτριγε δεινὸν, καὶ ἐς ἀλκὴν ἄλκιμα· τὰ δεῖ ἀπαμυνομένους ἀπὸ τῶν ὀφθαλμῶν οὕτω δρέπειν τὴν κασίην.

CXI. Τὸ δὲ δὴ κιννάμωμον ἔτι τούτων θωμαστότερον συλλέγουσι. Ὅκου μὲν γὰρ γίνεται καὶ ἥτις μιν γῆ ἡ τρέφουσά ἐστι, οὐκ ἔχουσι εἰπαι, πλὴν ὅτι λόγῳ οἰκότι χρεώμενοι ἐν τοισίδε χωρίοισί φασί τινες αὐτὸ φύεσθαι ἐν τοῖσι ὁ Διόνυσος ἐτράφη· (2) ὄρνιθας δὲ λέγουσι μεγάλας φορέειν ταῦτα τὰ κάρφεα τὰ ἡμεῖς

hostile agmen invadunt. Nulla vero alia re, nisi styracis fumo, hi ab arboribus illis abiguntur.

CVIII. Aiunt vero etiam Arabes, universam terram his serpentibus oppletum iri, nisi illis accideret id quod compertum habeo viperis accidere. Et recte puto dixerim : numinis providentia, ut est consentaneum, quum sit sapiens, quæcumque et timidæ indolis sunt animalia, et quæ esculenta, ea omnia fœcunda admodum fecit, ne adsiduo esu genus eorum intereat; quæ vero prava et malefica, parum fœcunda. (2) Sic, ut hoc utar, lepus, quem venatur fera omnis et avis et homo, ita fœcundus est, ut leporis femina una sit ex omnibus animantibus quæ superfœtet, et alium fœtum jam pilis vestitum in utero gerat, alium nudum, alium eodem tempore in matrice formet, et alium concipiat. (3) Et hæc quidem hujus natura est. E contrario leæna, quum sit animalium validissimum, idemque ferocissimum, non nisi semel parit in vita : nam, dum partum edit, simul uterum ejicit. Cujus rei hæc caussa est : quando catulus in utero sese incipit movere, tum vero, quoniam ungues habet longe omnium acutissimos, fodicat matricem, augescensque multo etiam magis penetrat lacerando; ad extremum, quando partus instat, nihil amplius sani in utero superest.

CIX. Similiter vero etiam viperæ et alati in Arabia serpentes, si tanta copia nascerentur quanta per suam naturam possent, non possent vivere homines. Nunc, quando per paria ad coitum libidine concitantur, dum in eo mas est ut genitale semen emittat, collum ejus prehendit femina, et innixa non prius dimittit quam perroserit. (2) Atque ita quidem mas moritur; femina autem talem mari dat pœnam : patrem parvuli ulciscentes, dum adhuc in utero sunt, matricem corrodunt, atque etiam ipsum ventrem corrodentes, ita in lucem prodeunt. (3) At cæteri serpentes, qui hominibus non sunt noxii, ova pariunt, et magnam fœtuum copiam excludunt. Jam viperæ quidem ubivis terrarum reperiuntur : alati vero serpentes universi in Arabia sunt, nec usquam alibi; ea ratione frequentes esse videntur.

CX. Thus igitur, de quo dixi, ista ratione Arabes nanciscuntur; casiam vero hoc modo : toto corpore atque facie, solis oculis exceptis, bubulis aliisve coriis tecti, ad colligendam casiam exeunt. Nascitur hæc autem in palude non admodum alta, circa quam et in qua stabulantur bestiæ alatæ, vespertilionibus maxime similes, diro modo stridentes, et viribus prævalentes. Has ab oculis abigere oportet, atque ita casiam metere.

CXI. Cinnamomum vero mirabiliori etiam quam illa modo colligunt. Etenim, quo loco illud nascatur, quæve terra illud alat, ignorant; nisi quod, probabilem sequentes rationem, in eis regionibus nasci illud aiunt, in quibus Bacchus educatus est. (2) Narrant autem, ingentes aves adferre hos bacillos, quos nos a Phœnicibus

ἀπὸ Φοινίκων μαθόντες κιννάμωμον καλεῦμεν, φορέειν δὲ τὰς ὄρνιθας ἐς νεοσσιὰς προσπεπλασμένας ἐκ πηλοῦ πρὸς ἀποχρήμνοισι οὔρεσι, ἔνθα πρόσβασιν ἀνθρώπῳ οὐδεμίαν εἶναι. (3) Πρὸς ὧν δὴ ταῦτα τοὺς Ἀραβίους σοφίζεσθαι τάδε, βοῶν τε καὶ ὄνων τῶν ἀπογινομένων καὶ τῶν ἄλλων ὑποζυγίων τὰ μέλεα διαταμόντας ὡς μέγιστα κομίζειν ἐς ταῦτα τὰ χωρία, καί σφεα θέντας ἀγχοῦ τῶν νεοσσιέων ἀπαλλάσσεσθαι ἐκὰς αὐτέων· (4) τὰς δὲ ὄρνιθας καταπετομένας αὐτῶν τὰ μέλεα τῶν ὑποζυγίων ἀναφορέειν ἐπὶ τὰς νεοσσιάς· τὰς δὲ οὐ δυναμένας ἴσχειν καταρρήγνυσθαι ἐπὶ γῆν· τοὺς δὲ ἐπιόντας συλλέγειν οὕτω τὸ κιννάμωμον, συλλεγόμενον δὲ ἐκ τούτων ἀπικνέεσθαι ἐς τὰς ἄλλας χώρας.

CXII. Τὸ δὲ δὴ λήδανον, τὸ Ἀράβιοι καλεῦσι λάδανον, ἔτι τούτου θωμασιώτερον γίνεται· ἐν γὰρ δυσοδμοτάτῳ γινόμενον εὐωδέστατόν ἐστι· τῶν γὰρ αἰγῶν τῶν τράγων ἐν τοῖσι πώγωσι εὑρίσκεται ἐγγινόμενον οἷον γλοιὸς ἀπὸ τῆς ὕλης. Χρήσιμον δ' ἐς πολλὰ τῶν μύρων ἐστὶ, θυμιέουσί τε μάλιστα τοῦτο Ἀράβιοι.

CXIII. Τοσαῦτα μὲν θυωμάτων πέρι εἰρήσθω, ἀπόζει δὲ τῆς χώρης τῆς Ἀραβίης θεσπέσιον ὡς ἡδύ. (2) Δύο δὲ γένεα οἰῶν σφί ἐστι θώματος ἄξια, τὰ οὐδαμόθι ἑτέρωθι ἐστί· τὸ μὲν αὐτέων ἕτερον ἔχει τὰς οὐρὰς μακρὰς, τριῶν πηχέων οὐκ ἐλάσσονας, τὰς εἴ τις ἐπείη σφι ἐπέλκειν, ἕλκεα ἂν ἔχοιεν ἀνατριβομένων πρὸς τῇ γῇ τῶν οὐρέων· νῦν δ' ἅπας τις τῶν ποιμένων ἐπίσταται ξυλουργέειν ἐς τοσοῦτο· ἁμαξίδας γὰρ ποιεῦντες ὑποδέουσι αὐτὰς τῇσι οὐρῇσι, ἑνὸς ἑκάστου κτήνεος τὴν οὐρὴν ἐπ' ἁμαξίδα ἑκάστην καταδέοντες. (3) Τὸ δὲ ἕτερον γένος τῶν οἰῶν τὰς οὐρὰς πλατέας φορέουσι, καὶ ἐπὶ πῆχυν πλάτος.

CXIV. Ἀποκλινομένης δὲ μεσαμβρίης παρήκει πρὸς δύνοντα ἥλιον ἡ Αἰθιοπίη χώρη ἐσχάτη τῶν οἰκεομένων· αὕτη δὲ χρυσόν τε φέρει πολλὸν καὶ ἐλέφαντας ἀμφιλαφέας καὶ δένδρεα πάντα ἄγρια καὶ ἔβενον καὶ ἄνδρας μεγίστους καὶ καλλίστους καὶ μακροβιωτάτους.

CXV. Αὗται μέν νυν ἔν τε τῇ Ἀσίῃ ἐσχατιαί εἰσι καὶ ἐν τῇ Λιβύῃ· περὶ δὲ τῶν ἐν τῇ Εὐρώπῃ τῶν πρὸς ἑσπέρην ἐσχατιέων ἔχω μὲν οὐκ ἀτρεκέως λέγειν· οὔτε γὰρ ἔγωγε ἐνδέκομαι Ἠριδανὸν καλέεσθαι πρὸς βαρβάρων ποταμὸν ἐκδιδόντα ἐς θάλασσαν τὴν πρὸς βορέην ἄνεμον, ἀπ' ὅτευ τὸ ἤλεκτρον φοιτᾶν λόγος ἐστὶ, οὔτε νήσους οἶδα Κασσιτερίδας ἐούσας, ἐκ τῶν ὁ κασσίτερος ἡμῖν φοιτᾷ. (2) Τοῦτο μὲν γὰρ ὁ Ἠριδανὸς αὐτὸ κατηγορέει τὸ οὔνομα ὡς ἔστι Ἑλληνικὸν καὶ οὐ βάρβαρον, ὑπὸ ποιητέω δέ τινος ποιηθέν, τοῦτο δὲ οὐδενὸς αὐτόπτεω γενομένου δύναμαι ἀκοῦσαι τοῦτο μελετέων ὅκως θάλασσά ἐστι τὰ ἐπέκεινα τῆς Εὐρώπης. Ἐξ ἐσχάτης δ' ὧν ὅ τε κασσίτερος ἡμῖν φοιτᾷ καὶ τὸ ἤλεκτρον.

CXVI. Πρὸς δὲ ἄρκτου τῆς Εὐρώπης πολλῷ τι πλεῖστος χρυσὸς φαίνεται ἐών· ὅκως μὲν γινόμενος, οὐκ ἔχω οὐδὲ τοῦτο ἀτρεκέως εἰπαι, λέγεται δὲ ὑπὲκ

edocti cinnamomum vocamus : inferri eos autem ab illis avibus in nidos, e luto adstructos ad montium præcipitia, ad quæ nullus homini accessus pateat. (3) Adversus hæc igitur tali artificio uti Arabes : mortuorum boum et asinorum aliorumque jumentorum cadavera, in frusta quam maximæ molis dissecta, congerere eos in hæc loca; eisque in vicinia nidorum depositis, procul inde recedere : (4) tum volucres illæ descendentes, jumentorum istorum membra tollere et in nidos suos comportare; hos autem, quum sustinere onus non possint, rumpi et in terram decidere : tunc adcurrentes homines, cinnamomum colligere; quod, ab his ita collectum, dein in alias regiones transportetur.

CXII. Ledanum vero quod ladanum Arabes nominant, mirabiliore etiam, quam cinnamonum, modo comparatur. Reperitur in loco teterrime olente, ipsum suavissime olens : in hircorum enim barbis reperitur, veluti viscum adhærens e frondibus. Est autem utile ad multa unguentorum genera; et ad suffitum hoc maxime utuntur Arabes.

CXIII. Hæc quidem de aromatibus et suffimentis dicta sunto : spirat autem terra Arabia suavissimum et divinum quemdam odorem. (2) Duo sunt ibidem ovium genera miratu digna, quæ nulla in alia regione reperiuntur. Alterum genus caudas habet prælongas, tribus non breviores cubitis : quas si illæ sinerentur post se trahere, ulcera haberent, caudis ad terram attritis. Nunc pastorum quisque artem fabrilem in tantum callet, ut exiguum plaustrum fabricetur, quod caudæ subligatur : cujusque pecudis caudæ suum subligatur plaustellum. (3) Alterum genus ovium caudas gerit latas, usque ad cubiti latitudinem.

CXIV. Ubi meridiana cœli plaga versus occidentem solem inclinat, ibi protenditur Æthiopia, ab hac parte regio extrema terrarum. Hæc aurum fert frequens, et vastos elephantos, et arborum agrestium omne genus, et ebenum, et homines statura maximos et pulcerrimos et maxime longævos.

CXV. Hæc sunt igitur in Asia et in Libya extremæ terrarum regiones. Jam de Europæ quidem versus occidentem extremis, quod pro adcurate comperto dicam, non habeo. Neque enim adsentior, Eridanum aliquem fluvium nominari a barbaris, qui in mare boreale influat, a quo ad nos electrum venire fama est; neque insulæ mihi cognitæ sunt Cassiterides nomine, unde stannum ad nos venit. (2) Partim enim ipsum hoc nomen Eridanus se prodit græcum esse ac neutiquam barbaricum, nempe a poeta aliquo fictum : partim, quamvis studiose id egerim, tamen a nemine, qui ipse suis oculis vidisset, comperire potui, ultra Europam *septemtrionem versus* esse mare. Ab extrema quidem certe Europa et stannum nobis venit et electrum.

CXVI. In septemtrionalibus vero Europæ partibus maximam quamdam reperiri auri copiam, satis compertum est : at, id quo pacto adquiratur, ne hoc quidem certo di-

τῶν γρυπῶν ἁρπάζειν Ἀριμασποὺς ἄνδρας μουνοφθάλμους· πείθομαι δὲ οὐδὲ τοῦτο, ὅκως μουνόφθαλμοι ἄνδρες φύονται, φύσιν ἔχοντες τὴν ἄλλην ὁμοίην τοῖσι ἄλλοισι ἀνθρώποισι. (2) Αἱ δὲ ὧν ἐσχατιαὶ οἰκασι περικληίουσαι τὴν ἄλλην χώρην καὶ ἐντὸς ἀπέργουσαι τὰ κάλλιστα δοκέοντα ἡμῖν εἶναι καὶ σπανιώτατα ἔχειν αὐτά.

CXVII. Ἔστι δὲ πεδίον ἐν τῇ Ἀσίῃ περικεκληϊμένον οὔρεϊ πάντοθεν, διασφάγες δὲ τοῦ οὔρεός εἰσι πέντε· τοῦτο τὸ πεδίον ἦν μέν κοτε Χορασμίων, ἐν οὔροισι ἐὸν τῶν Χορασμίων τε αὐτῶν καὶ Ὑρκανίων καὶ Πάρθων καὶ Σαραγγέων καὶ Θαμαναίων, ἐπείτε δὲ Πέρσαι ἔχουσι τὸ κράτος, ἐστὶ τοῦ βασιλέος. Ἐκ δὴ ὧν τοῦ περικληίοντος οὔρεος τούτου ῥέει ποταμὸς μέγας, οὔνομα δέ οἱ ἐστι Ἄκης. (2) Οὗτος πρότερον μὲν ἄρδεσκε διαλελαμμένος πενταχοῦ τῶν εἰρημένων τούτων τὰς χώρας, διὰ διασφάγος ἀγόμενος ἑκάστης ἑκάστοισι, ἐπείτε δὲ ὑπὸ τῷ Πέρσῃ εἰσί, πεπόνθασι τοιόνδε· τὰς διασφάγας τῶν οὐρέων ἐνδείμας ὁ βασιλεὺς πύλας ἐπ' ἑκάστῃ διασφάγι ἔστησε, ἀποκεκληϊμένου δὲ τοῦ ὕδατος τῆς διεξόδου τὸ πεδίον τὸ ἐντὸς τῶν οὐρέων πέλαγος γίνεται, ἐνδιδόντος μὲν τοῦ ποταμοῦ, ἔχοντος δὲ οὐδαμῇ ἔξήλυσιν. (3) Οὗτοι ὧν οἱ περ ἔμπροσθε ἐώθεσαν χρᾶσθαι τῷ ὕδατι, οὐκ ἔχοντες αὐτῷ χρᾶσθαι συμφορῇ μεγάλῃ διαχρέονται· τὸν μὲν γὰρ χειμῶνα ὕει σφι ὁ θεὸς ὥσπερ καὶ τοῖσι ἄλλοισι ἀνθρώποισι, τοῦ δὲ θέρεος σπείροντες μελίνην καὶ σήσαμον χρηίσκοντο τῷ ὕδατι. (4) Ἐπεὰν ὦν μηδέν σφι παραδιδῶται τοῦ ὕδατος, ἐλθόντες ἐς τοὺς Πέρσας αὐτοί τε καὶ γυναῖκες, στάντες κατὰ τὰς θύρας τοῦ βασιλέος βοῶσι ὠρυόμενοι, ὁ δὲ βασιλεὺς τοῖσι δεομένοισι αὐτῶν μάλιστα ἐντέλλεται ἀνοίγειν τὰς πύλας τὰς ἐς τοῦτο φερούσας. (5) Ἐπεὰν δὲ διάκορος ἡ γῆ σφέων γένηται πίνουσα τὸ ὕδωρ, αὖται μὲν αἱ πύλαι ἀποκληίονται, ἄλλας δ' ἐντέλλεται ἀνοίγειν ἄλλοισι τοῖσι δεομένοισι μάλιστα τῶν λοιπῶν. Ὡς δὲ ἐγὼ οἶδα ἀκούσας, χρήματα μεγάλα πρησσόμενος ἀνοίγει, πάρεξ τοῦ φόρου. Ταῦτα μὲν δὴ ἔχει οὕτω.

CXVIII. Τῶν δὲ τῷ μάγῳ ἐπαναστάντων ἑπτὰ ἀνδρῶν, ἕνα αὐτῶν Ἰνταφέρνεα κατέλαβε ὑβρίσαντα τάδε ἀποθανέειν αὐτίκα μετὰ τὴν ἐπανάστασιν. (2) Ἤθελε ἐς τὰ βασιλήϊα ἐσελθὼν χρηματίσασθαι τῷ βασιλέϊ· καὶ γὰρ δὴ καὶ ὁ νόμος οὕτω εἶχε, τοῖσι ἐπαναστᾶσι τῷ μάγῳ ἔσοδον εἶναι παρὰ βασιλέα ἄνευ ἀγγέλου, ἢν μὴ γυναικὶ τυγχάνῃ μισγόμενος βασιλεύς. (3) Οὐκ ὦν δὴ Ἰνταφέρνης ἐδικαίευ οὐδένα οἱ ἐσαγγεῖλαι, ἀλλ' ὅτι ἦν τῶν ἑπτά, ἐσιέναι ἤθελε. Ὁ δὲ πυλουρὸς καὶ ὁ ἀγγελιηφόρος οὐ περιώρεον, φάμενοι τὸν βασιλέα γυναικὶ μίσγεσθαι. (4) Ὁ δὲ Ἰνταφέρνης δοκέων σφέας ψεύδεα λέγειν ποιέει τοιάδε· σπασάμενος τὸν ἀκινάκεα ἀποτάμνει αὐτῶν τά τε ὦτα καὶ τὰς ῥῖνας, καὶ ἀνείρας περὶ τὸν χαλινὸν τοῦ ἵππου περὶ τὰς αὐχένας σφέων ἔδησε, καὶ ἀπῆκε.

CXIX. Οἱ δὲ τῷ βασιλέϊ δεικνῦσι ἑωυτοὺς, καὶ

cere valeo: fama est autem, gryphibus illud subripere Arimaspos, homines unoculos. At mihi ne hoc quidem persuadetur, esse homines natura unoculos, reliquam naturam cæteris hominibus similem habentes. (2) Sed, quod initio dixi, videntur utique extremitates terræ, quæ reliquam omnem terram circumdant et intus intercludunt, eas res possidere, quæ et præstantissimæ esse vulgo putantur, et rarissimæ.

CXVII. Est in Asia campus, monte undique clausus; montis autem ejus quinque sunt divortia. Hic campus olim Chorasmiorum erat, estque in confinibus ipsorum Chorasmiorum et Hyrcaniorum et Parthorum et Sarangarum et Thamanæorum: ex quo vero Persæ obtinuere imperium, rex eum possidet. Ex eo monte campum claudente profluit ingens fluvius, cui nomen Aces. (2) Is fluvius prius in quinque alveos divisus populorum quos dixi irrigabat agros, ad singulos populos per singulas montis fauces derivatus: ex quo vero sub Persa est hæc regio, calamitas illis accidit hujusmodi; montium fauces obstruxit rex, et ad singulas fauces portam construxit: ita, exitu aquæ intercluso, ex campo intra montes patente factum est pelagus, influente quidem fluvio, sed exitum nusquam habente. (3) Hi igitur populi, antea aquis illius fluvii soliti uti, nunc ubi non amplius illis uti possunt, ingenti premuntur incommodo. Nam hieme quidem pluit ibi, sicut in aliorum populorum regionibus: at æstate, postquam panicum et sesamum severunt, aqua illa indigebant. (4) Igitur, quandoquidem eis nunc hæc intercluditur, veniunt ad Persas, viri et mulieres, stantesque ad regis portas, ingenti clamore ululant. Et rex eis, qui aqua maxime indigent, jubet aperiri portam ad hos ducentem. (5) Quorum postquam satis aquarum terra bibit, claudi eam portam jubet, et aliam aperiri his qui e reliquorum numero maxime aqua indigent. Ut vero auditu equidem cognovi, nonnisi ingenti pecunia, præter tributum exacta, aperiri jubet. Et hæc quidem ita se habent.

CXVIII. Uni e septemviris, qui adversus Magum conspiraverant, Intapherni, accidit ut periret brevi post oppressos Magos, tali patrato facinore insolentiæ pleno. (2) Voluit hic regiam ingredi, cum rege collocuturus: quippe, ut dixi, ita convenerat inter conjuratos, ut ad regem ingredi eis liceret absque internuncio, nisi forte cum uxore rex concumberet. (3) Itaque æquum censuerat Intaphernes, ut absque internuncio intraret, utpote qui e septem virorum numero esset. Sed janitor atque internuncius prohibuerunt, dicentes, cum uxore concumbere regem. (4) Tum Intaphernes, falso id ab his dici ratus, hæcce patravit: stricto acinace, aures utrique et nares præcidit, easque circa frenum equi adnexas cervicibus eorum adligavit, atque ita homines dimisit.

CXIX. At illi se regi ostendunt, causamque cur hoc

τὴν αἰτίην εἶπαν δι' ἣν πεπονθότες εἴησαν. Δαρεῖος δὲ ἀρρωδήσας μὴ κοινῷ λόγῳ οἱ ἓξ πεποιηκότες ἔωσι ταῦτα, μεταπεμπόμενος ἕνα ἕκαστον ἀπεπειρᾶτο γνώμης, εἰ συνέπαινοί εἰσι τῷ πεποιημένῳ. (2) Ἐπείτε δὲ ἐξέμαθε ὡς οὐ σὺν ἐκείνοισι εἴη ταῦτα πεποιηκὼς, ἔλαβε αὐτόν τε τὸν Ἰνταφέρνεα καὶ τοὺς παῖδας αὐτοῦ καὶ τοὺς οἰκηίους πάντας, ἐλπίδας πολλὰς ἔχων μετὰ τῶν συγγενέων μιν ἐπιβουλεύειν οἱ ἐπανάστασιν, συλλαβὼν δέ σφεας ἔδησε τὴν ἐπὶ θανάτῳ. (3) Ἡ δὲ γυνὴ τοῦ Ἰνταφέρνεος φοιτέουσα ἐπὶ τὰς θύρας τοῦ βασιλέος κλαίεσκε ἂν καὶ ὀδυρέσκετο· ποιεῦσα δὲ αἰεὶ τὠυτὸ τοῦτο τὸν Δαρεῖον ἔπεισε οἰκτεῖραί μιν, πέμψας δὲ ἄγγελον ἔλεγε τάδε, « ὦ γύναι, βασιλεύς τοι Δαρεῖος διδοῖ ἕνα τῶν δεδεμένων οἰκηίων ῥύσασθαι, τὸν βούλεαι ἐκ πάντων. » (4) Ἡ δὲ βουλευσαμένη ὑπεκρίνατο τάδε, « εἰ μὲν δή μοι διδοῖ βασιλεὺς ἑνὸς τὴν ψυχὴν, αἱρέομαι ἐκ πάντων τὸν ἀδελφεόν. » Πυθόμενος δὲ Δαρεῖος ταῦτα καὶ θωμάσας τὸν λόγον, πέμψας ἠγόρευε, « ὦ γύναι, εἰρωτᾷ σε βασιλεὺς, τίνα ἔχουσα γνώμην, τὸν ἄνδρα τε καὶ τὰ τέκνα ἐγκαταλιποῦσα, τὸν ἀδελφεὸν εἵλευ περιεῖναί τοι, ὃς καὶ ἀλλοτριώτερός τοι τῶν παίδων καὶ ἔσσον κεχαρισμένος τοῦ ἀνδρός ἐστι. » (5) Ἡ δ' ἀμείβετο τοισίδε, « ὦ βασιλεῦ, ἀνὴρ μέν μοι ἂν ἄλλος γένοιτο, εἰ δαίμων ἐθέλοι, καὶ τέκνα ἄλλα, εἰ ταῦτα ἀποβάλοιμι· πατρὸς δὲ καὶ μητρὸς οὐκέτι μευ ζωόντων ἀδελφεὸς ἂν ἄλλος οὐδενὶ τρόπῳ γένοιτο. Ταύτῃ τῇ γνώμῃ χρεωμένη ἔλεξα ταῦτα. » (6) Εὖ τε δὴ ἔδοξε τῷ Δαρείῳ εἶπαι ἡ γυνὴ, καί οἱ ἀπῆκε τοῦτόν τε τὸν παραιτέετο καὶ τῶν παίδων τὸν πρεσβύτατον, ἡσθεὶς αὐτῇ, τοὺς δὲ ἄλλους ἀπέκτεινε πάντας. Τῶν μὲν δὴ ἑπτὰ εἷς αὐτίκα τρόπῳ τῷ εἰρημένῳ ἀπολώλεε.

CXX. Κατὰ δέ κου μάλιστα τὴν Καμβύσεω νοῦσον ἐγένετο τάδε. Ὑπὸ Κύρου κατασταθεὶς ἦν Σαρδίων ὕπαρχος Ὀροίτης ἀνὴρ Πέρσης. Οὗτος ἐπεθύμησε πρήγματος οὐκ ὁσίου· οὔτε γάρ τι παθὼν οὔτε ἀκούσας μάταιον ἔπος πρὸς Πολυκράτεος τοῦ Σαμίου, οὔτε ἰδὼν πρότερον, ἐπεθύμησε λαβὼν αὐτὸν ἀπολέσαι, ὡς μὲν οἱ πλεῦνες λέγουσι, διὰ τοιήνδε τινὰ αἰτίην· (2) ἐπὶ τῶν βασιλέος θυρέων κατήμενον τόν τε Ὀροίτεα καὶ ἄλλον Πέρσην τῷ οὔνομα εἶναι Μιτροβάτεα, νομοῦ ἄρχοντα τοῦ ἐν Δασκυλείῳ, τούτους ἐκ λόγων ἐς νείκεα συμπεσεῖν, κρινομένων δὲ περὶ ἀρετῆς εἶπαι τὸν Μιτροβάτεα τῷ Ὀροίτῃ προφέροντα, « σὺ γὰρ ἐν ἀνδρῶν λόγῳ, ὃς βασιλεῖ νῆσον Σάμον πρὸς τῷ σῷ νομῷ προσκειμένην οὐ προσεκτήσαο, ὥδε δή τι εὐπετέα χειρωθῆναι, τὴν τῶν τις ἐπιχωρίων πεντεκαίδεκα ὁπλίτῃσι ἐπαναστὰς ἔσχε, καὶ νῦν αὐτῆς τυραννεύει. » (3) Οἱ μὲν δή μίν φασι τοῦτο ἀκούσαντα, καὶ ἀλγήσαντα τῷ ὀνείδεϊ ἐπιθυμῆσαι οὐκ οὕτω τὸν εἶπαντα ταῦτα τίσασθαι ὡς Πολυκράτεα πάντως ἀπολέσαι, δι' ὅντινα κακῶς ἤκουσε.

CXXI. Οἱ δὲ ἐλάσσονες λέγουσι πέμψαι Ὀροίτεα ἐς Σάμον κήρυκα ὀτευδὴ χρήματος δεησόμενον (οὐ γὰρ ὦν δὴ τοῦτό γε λέγεται), καὶ τὸν Πολυκράτεα τυχεῖν

essent passi exposuerunt. Tum Darius, veritus ne communi consilio sex viri hoc fecissent, singulos ad se vocavit, sententiamque eorum, probarentne id factum, exploravit. (2) Ubi cognovit, non communicato cum illis consilio rem factam esse, ipsum Intaphernem ejusque filios et familiares omnes prehendit; non fere dubitans, illum cum suis propinquis rebellionem esse moliturum : prehensos in vincula conjecit, extremoque supplicio destinavit. (3) Tunc uxor Intaphernis, ad fores regis idemtidem accedens, plorabat lamentabaturque; idque continenter faciens, ad misericordiam commovit Darium; qui misso ad eam nuncio hæc ei nunciari jussit : « Mulier, rex Darius unum ex vinctis propinquis tibi concedit eximendum, quem tu ex omnibus selegeris. » (4) Et illa, re deliberata, hæc respondit : « Quoniam mihi rex unius vitam concedit, seligo ex omnibus meum fratrem. » Quo cognito responso, miratus Darius eam optionem remisit ad eam qui diceret : « Mulier, quærit ex te rex quidnam tibi consilii sit, quod omisso marito filiisque fratrem elegeris, cujus tibi vita donaretur; quum tibi ille sit minus propinquus quam filii, et minus jucundus quam maritus. » (5) Respondit illa : « Rex, maritus mihi alius esse poterit, si deus voluerit, filiique alii, quando hos amisero. At, quum pater meus materque non amplius sint in vivis, frater mihi alius nullo pacto esse poterit. Hac usa sententia, istud dixi. » (6) Quæ quum regi visa essent commode ab illa dicta, delectatus condonavit ei fratrem quem deprecata erat, insuperque filiorum natu maximum; reliquos vero universos interfecit. Unus igitur e septemviris mox eo, quo dixi, modo periit.

CXX. Quo tempore Cambyses morbo laboravit, eodem fere tempore accidit hocce. Orœtes Persa, Sardium præses constitutus a Cyro, facinus animo agitavit nefarium : etenim Polycratem Samium, a quo nec facto ullo, nec dicto quopiam injurioso fuerat læsus, quemque nec viderat umquam antea, hunc capiendi interficiendique cupido eum incesserat; idque, ut plerique tradunt, talem ob caussam. (2) ad regis portas quum sedisset hic Orœtes, et alius Persa, cui Mitrobates nomen, præses præfecturæ cujus caput Dascyleum oppidum est; hi ambo ex familiaribus sermonibus in contentionem dicuntur incidisse. Et Mitrobaten quidem, quum de virtute inter se disceptarent, Orœtæ cum exprobratione dixisse : « Tu vero in virorum numero habeare, qui Samum insulam, tuæ præfecturæ proximam, in regis potestatem non redegisti, quum sit subactu ita facilis, ut indigenarum aliquis, cum quindecim armatis insurgens, ea potitus sit, atque etiam nunc in ea dominetur! » (3) Dicunt igitur hunc, his auditis, ægre ferentem exprobrationem, cupivisse non tam vindictam capere de eo qui hæc illi dixisset, quam omnino Polycratem perdere, propter quem male audisset.

CXXI. Sunt pauciores nonnulli qui tradant, misisse Orœten præconem Samum, nescio quid petiturum (nec enim hoc memoriæ proditur); Polycratem autem tunc in

κατακείμενον ἐν ἀνδρεῶνι, παρεῖναι δέ οἱ καὶ Ἀνακρέοντα τὸν Τήϊον· (2) καί κως εἴτ' ἐκ προνοίης αὐτὸν κατηλογέοντα τὰ Ὀροίτεω πρήγματα, εἴτε καὶ συντυχίη τις τοιαύτη ἐπεγένετο· τόν τε γὰρ κήρυκα τὸν Ὀροίτεω παρελθόντα διαλέγεσθαι, καὶ τὸν Πολυκράτεα (τυχεῖν γὰρ ἀπεστραμμένον πρὸς τὸν τοῖχον) οὔτε τι μεταστραφῆναι οὔτε ὑποκρίνασθαι.

CXXII. Αἰτίαι μὲν δὴ αὗται διφάσιαι λέγονται τοῦ θανάτου τοῦ Πολυκράτεος γενέσθαι, πάρεστι δὲ πείθεσθαι ὁκοτέρῃ τις βούλεται αὐτέων. (2) Ὁ δὴ ὢν Ὀροίτης ἰζόμενος ἐν Μαγνησίῃ τῇ ὑπὲρ Μαιάνδρου ποταμοῦ οἰκημένῃ ἔπεμπε Μύρσον τὸν Γύγεω ἄνδρα Λυδὸν ἐς Σάμον ἀγγελίην φέροντα, μαθὼν τοῦ Πολυκράτεος τὸν νόον. (3) Πολυκράτης γάρ ἐστι πρῶτος τῶν ἡμεῖς ἴδμεν Ἑλλήνων ὃς θαλασσοκρατέειν ἐπενώθη, πάρεξ Μίνω τε τοῦ Κνωσσίου καὶ εἰ δή τις ἄλλος πρότερος τούτου ἦρξε τῆς θαλάσσης· τῆς δὲ ἀνθρωπηίης λεγομένης γενεῆς Πολυκράτης ἐστὶ πρῶτος, ἐλπίδας πολλὰς ἔχων Ἰωνίης τε καὶ νήσων ἄρξειν. (4) Μαθὼν ὦν ταῦτά μιν διανοεύμενον ὁ Ὀροίτης πέμψας ἀγγελίην ἔλεγε τάδε, « Ὀροίτης Πολυκράτεϊ ὧδε λέγει. Πυνθάνομαι ἐπιβουλεύειν σε πρήγμασι μεγάλοισι καὶ χρήματά τοι οὐκ εἶναι κατὰ τὰ φρονήματα. Σύ νυν ὧδε ποιήσας ὀρθώσεις μὲν σεωυτὸν, σώσεις δὲ καὶ ἐμέ· ἐμοὶ γὰρ βασιλεὺς Καμβύσης ἐπιβουλεύει θάνατον, καί μοι τοῦτο ἐξαγγέλλεται σαφηνέως. (5) Σύ νυν ἐμὲ ἐκκομίσας αὐτὸν καὶ χρήματα, τὰ μὲν αὐτῶν αὐτὸς ἔχε, τὰ δὲ ἐμὲ ἑα ἔχειν· εἵνεκέν τε χρημάτων ἄρξεις ἁπάσης τῆς Ἑλλάδος. Εἰ δέ μοι ἀπιστέεις τὰ περὶ τῶν χρημάτων, πέμψον ὅστις τοι πιστότατος τυγχάνει ἐών, τῷ ἐγὼ ἀποδέξω. »

CXXIII. Ταῦτα ἀκούσας Πολυκράτης ἥσθη τε καὶ ἐβούλετο· καί κως ἱμείρετο γὰρ χρημάτων μεγάλως, ἀποπέμπει πρῶτα κατοψόμενον Μαιάνδριον Μαιανδρίου ἄνδρα τῶν ἀστῶν, ὃς οἱ ἦν γραμματιστής· ὃς χρόνῳ οὐ πολλῷ ὕστερον τούτων τὸν κόσμον τὸν ἐκ τοῦ ἀνδρεῶνος τοῦ Πολυκράτεος ἐόντα ἀξιοθέητον ἀνέθηκε πάντα ἐς τὸ Ἡραῖον. (2) Ὁ δὲ Ὀροίτης μαθὼν τὸν κατάσκοπον ἐόντα προσδόκιμον ἐποίεε τοιάδε· λάρνακας ὀκτὼ πληρώσας λίθων πλὴν κάρτα βραχέος τοῦ περὶ αὐτὰ τὰ χείλεα, ἐπιπολῆς τῶν λίθων χρυσὸν ἐπέβαλε, καταδήσας δὲ τὰς λάρνακας εἶχε ἑτοίμας. Ἐλθὼν δὲ ὁ Μαιάνδριος καὶ θεησάμενος ἀπήγγειλε τῷ Πολυκράτεϊ.

CXXIV. Ὁ δὲ πολλὰ μὲν τῶν μαντίων ἀπαγορευόντων, πολλὰ δὲ τῶν φίλων ἐστέλλετο αὐτὸς ἀπιέναι, πρὸς δὲ καὶ ἰδούσης τῆς θυγατρὸς ὄψιν ἐνυπνίου τοιήνδε· ἐδόκεέ οἱ τὸν πατέρα ἐν τῷ ἠέρι μετέωρον ἐόντα λοῦσθαι μὲν ὑπὸ τοῦ Διὸς, χρίεσθαι δὲ ὑπὸ τοῦ ἡλίου. (2) Ταύτην ἰδοῦσα τὴν ὄψιν παντοίη ἐγίνετο μὴ ἀποδημῆσαι τὸν Πολυκράτεα παρὰ τὸν Ὀροίτεα, καὶ δὴ καὶ ἰόντος αὐτοῦ ἐπὶ τὴν πεντηκόντερον ἐπεφημίζετο. (3) Ὁ δέ οἱ ἠπείλησε, ἢν σῶς ἀπονοστήσῃ, πολλόν μιν χρόνον παρθενεύεσθαι. Ἡ δὲ ἠρήσατο

exhedra forte decubuisse, adfuisseque ei Anacreontem Teium : (2) atque, sive consulto res Orœtæ aspernatus sit, sive casu ita acciderit, tum quum accedens Orœtæ præco verba fecisset, Polycratem versus murum forte conversum, nec sese versus illum paulisper convertisse, nec responsum homini dedisse.

CXXII. Sic caussa mortis Polycratis duplici modo traditur : licetque cuilibet eam, quam voluerit, probare. (2) Orœtes igitur, Magnesiæ residens ad Mæandrum fluvium sitæ, Myrsum Gygæ filium, Lydum hominem, Samum misit, nuncium ferentem, quo animum Polycratis exploraret. (3) Etenim Polycrates primus fuit, quem novimus, ex Græcis, qui maris obtinere imperium molitus sit; Minoem si excipias Cnossium, et si quis alius ante hunc mari dominatus est. Ex hominum quidem, quæ vocatur, ætate primus Polycrates est, qui magnam spem habuerit fore ut Ioniæ et insularum obtineat imperium. (4) Hoc eum animo agitare intelligens Orœtes, misso nuncio, hæc ei dixit : « Orœtes Polycrati hæc dicit. Intellexi te magnas res moliri, nec vero pro talibus consiliis satis instructum esse pecunia. Nunc tu, si hocce feceris, et tuas res augebis, et me quoque servabis. Mortem mihi meditatur Cambyses, et hoc satis pro certo mihi renunciatur. (5) Tu ergo et me ipsum fac ex hac terra educas, et pecunias meas exportes; et harum quidem partem tu tene, partem me patere habere : harum pecuniarum ope universæ Græciæ obtinebis imperium. Quodsi pecuniarum caussa fidem mihi non habueris, mitte qui tibi erit fidissimus, cui ego monstrabo. »

CXXIII. His auditis gavisus Polycrates accepit conditionem; quumque pecuniarum admodum esset cupidus, nisit primum speculandi caussa Mæandrium, Mæandrii filium, ex civium numero, qui scriba ejus erat; enimdem qui haud multo post ornamenta omnia exhedræ Polycratis, spectatu utique digna, in Junonis templo dedicavit. (2) Orœtes postquam cognovit exspectari speculatorem, hoc egit : cistas octo lapidibus complevit, valde brevi spatio excepto circa oras, super lapides vero aurum conjecit : tum obligatas cistas in parato habuit. Et Mæandrius ubi advenit spectavitque, renunciavit Polycrati.

CXXIV. Tum ille, quantumvis dehortantibus vatibus, atque etiam amicis, ipse eo proficisci paravit. Adhæc filia ejus per quietem tale viderat insomnium : visus ei erat pater in aere sublimis esse, et lavari a Jove, inungi vero a sole. (2) Hoc quum ei oblatum esset visum, quovis modo contendebat, ne ad Orœten pater proficisceretur : atque etiam, dum ille actuariam navem conscendebat, ominosis illum verbis est prosecuta. (3) Tum ille ei minatus est, quando salvus rediisset, bene multos annos illam virginem mansuram : et illa precata est, ut rata hæc fiant;

ἐπιτελέα ταῦτα γενέσθαι· βούλεσθαι γὰρ παρθενεύεσθαι πλέω χρόνον ἢ τοῦ πατρὸς ἐστερῆσθαι.

CXXV. Πολυκράτης δὲ πάσης συμβουλίης ἀλογήσας ἔπλωε παρὰ τὸν Ὀροίτεα, ἅμα ἀγόμενος ἄλλους τε πολλοὺς τῶν ἑταίρων, ἐν δὲ δὴ καὶ Δημοκήδεα τὸν Καλλιφῶντος Κροτωνιήτην ἄνδρα, ἰητρόν τε ἐόντα καὶ τὴν τέχνην ἀσκέοντα ἄριστα τῶν κατ' ἑωυτόν. (2) Ἀπικόμενος δὲ ἐς τὴν Μαγνησίαν ὁ Πολυκράτης διεφθάρη κακῶς, οὔτε ἑωυτοῦ ἀξίως οὔτε τῶν ἑωυτοῦ φρονημάτων· ὅτι γὰρ μὴ οἱ Συρηκοσίων γενόμενοι τύραννοι, οὐδὲ εἷς τῶν ἄλλων Ἑλληνικῶν τυράννων ἄξιός ἐστι Πολυκράτεϊ μεγαλοπρέπειαν συμβληθῆναι. (3) Ἀποκτείνας δέ μιν οὐκ ἀξίως ἀπηγήσιος Ὀροίτης ἀνεσταύρωσε· τῶν δέ οἱ ἑπομένων ὅσοι μὲν ἦσαν Σάμιοι, ἀπῆκε, κελεύων σφέας ἑωυτῷ χάριν εἰδέναι ἐόντας ἐλευθέρους, ὅσοι δὲ ἦσαν ξεῖνοί τε καὶ δοῦλοι τῶν ἑπομένων, ἐν ἀνδραπόδων λόγῳ ποιεύμενος εἶχε. (4) Πολυκράτης δὲ ἀνακρεμάμενος ἐπετέλεε πᾶσαν τὴν ὄψιν τῆς θυγατρός· ἐλοῦτο μὲν γὰρ ὑπὸ τοῦ Διός, ὅκως ὕοι, ἐχρίετο δὲ ὑπὸ τοῦ ἡλίου, ἀνιεὶς αὐτὸς ἐκ τοῦ σώματος ἰκμάδα. (5) Πολυκράτεος μὲν δὴ αἱ πολλαὶ εὐτυχίαι ἐς τοῦτο ἐτελεύτησαν, τῇ οἱ Ἄμασις ὁ Αἰγύπτου βασιλεὺς προεμαντεύσατο.

CXXVI. Χρόνῳ δὲ οὐ πολλῷ ὕστερον καὶ Ὀροίτεα Πολυκράτεος τίσιες μετῆλθον. Μετὰ γὰρ τὸν Καμβύσεω θάνατον καὶ τῶν μάγων τὴν βασιληίην μένων ἐν τῇσι Σάρδισι Ὀροίτης ὠφέλεε μὲν οὐδὲν Πέρσας ὑπὸ Μήδων ἀπαραιρημένους τὴν ἀρχήν· (2) ὁ δὲ ἐν ταύτῃ τῇ ταραχῇ κατὰ μὲν ἔκτεινε Μιτροβάτεα τὸν ἐκ Δασκυλείου ὕπαρχον, ὅς οἱ ὠνείδισε τὰ ἐς Πολυκράτεα ἔχοντα, κατὰ δὲ τοῦ Μιτροβάτεω τὸν παῖδα Κρανάσπεα, ἄνδρας ἐν Πέρσῃσι δοκίμους, ἄλλα τε ἐξύβρισε παντοῖα, καί τινα ἀγγαρήϊον Δαρείου ἐλθόντα παρ' αὐτὸν, ὡς οὐ πρὸς ἡδονήν οἱ ἦν τὰ ἀγγελλόμενα, κτείνει μιν ὀπίσω κομιζόμενον, ἄνδρας οἱ ὑπείσας κατ' ὁδὸν, ἀποκτείνας δέ μιν ἠφάνισε αὐτῷ ἵππῳ.

CXXVII. Δαρεῖος δὲ ὡς ἔσχε τὴν ἀρχὴν, ἐπεθύμεε τὸν Ὀροίτεα τίσασθαι πάντων τε τῶν ἀδικημάτων εἵνεκεν καὶ μάλιστα Μιτροβάτεω καὶ τοῦ παιδός. (2) Ἐκ μὲν δὴ τῆς ἰδέης στρατὸν ἐπ' αὐτὸν οὐκ ἐδόκεε πέμπειν ἅτε οἰδεόντων ἔτι τῶν πρηγμάτων, καὶ νεωστὶ ἔχων τὴν ἀρχὴν, καὶ τὸν Ὀροίτεα μεγάλην τὴν ἰσχὺν πυνθανόμενος ἔχειν, τὸν χίλιοι μὲν Περσέων ἐδορυφόρεον, εἶχε δὲ νομὸν τόν τε Φρύγιον καὶ Λύδιον καὶ Ἰωνικόν. (3) Πρὸς ταῦτα δὴ ὧν ὁ Δαρεῖος τάδε ἐμηχανήσατο. Συγκαλέσας Περσέων τοὺς δοκιμωτάτους ἔλεγέ σφι τάδε, « ὦ Πέρσαι, τίς ἄν μοι τοῦτο ὑμέων ὑποστὰς ἐπιτελέσειε σοφίῃ καὶ μὴ βίῃ τε καὶ δυνάμει; ἔνθα γὰρ σοφίης ἰδεῖ, βίης ἔργον οὐδέν. (4) Ὑμέων δὴ ὧν τίς ἄν μοι Ὀροίτεα ἢ ζώοντα ἀγάγοι ἢ ἀποκτείνειε; ὃς ὠφέλησε μέν κω Πέρσας οὐδέν, κατὰ δὲ μεγάλα ἔοργε· τοῦτο μὲν δύο ἡμέων ἡίστωσε, Μιτροβάτεά τε καὶ τὸν παῖδα αὐτοῦ, τοῦτο δὲ τοὺς ἀνακαλεῦντας αὐτὸν καὶ πεμπομένους ὑπ' ἐμεῦ κτείνει, malle se enim perdiu virginitatem servare, quam patre privari.

CXXV. Polycrates itaque, spreto omni consilio, ad Oroeten navigavit, quum alios multos amicorum comites secum ducens, tum in his Democedem, Calliphontis filium, Croniatam, professione medicum, qui artem dexterrime præ cæteris per eam ætatem exercebat. (2) Postquam vero Magnesiam Polycrates pervenit, misere periit, supplicio et persona ipsius indigno, et ingenio: nam, exceptis Syracusiorum tyrannis, ne unius quidem ex aliis Græci generis tyrannis magnificentia cum Polycrate conferri meretur. (3) Fœdo modo et narratu indigno occisum, cruci Oroetes adfixit: quicumque vero ex comitibus illius Samii erant, hos dimisit, gratiam sibi habere jubens, quod libertatem servarent: quotquot vero peregrini aut servi in comitatu ejus fuerant, hos mancipiorum loco habuit. (4) Sic Polycrates ex cruce suspensus universam filiæ visionem explevit: lavabatur enim ab Jove, quando pluebat; et inungebatur a sole, humorem ipse e corpore emittens. (5) Igitur cumulatæ Polycratis felicitates hunc habuere finem, quemadmodum ei Amasis Ægypti rex ominatus erat.

CXXVI. Haud vero multo post etiam Oroeten diræ Polycratis ultrices sunt persecutæ. Nam mortuo Cambyse, regnantibus Magis, Sardibus manens Oroetes, nihil juverat rem Persarum, quum eis imperium esset a Medis ademptum: (2) sed in illa rerum perturbatione Mitrobaten interfecit, Dascylei præfectum, qui ei istud de Polycrate exprobraverat; Mitrobatæ item filium Cranaspen occidit, ambo spectatos inter Persas viros; tum et alia multa insolentius gessit, et Darii quendam equitem nuncium, quum parum grata ipsi essent quæ ille nunciaverat, redeuntem collocatis in via insidiatoribus occidit, et cadaver cum ipso equo ex hominum conspectu removit.

CXXVII. Darius vero, postquam imperium obtinuit, pœnas cupiebat ab Oroete sumere, quum reliquorum omnium flagitiorum caussa, tum maxime propter Mitrobatæ ejusque filii cædem. (2) Ex aperto vero copias contra eum mittere parum consultum ei videbatur, quippe rebus domi nondum satis tranquillis, et imperio recens inito; tum quod magnam Oroetæ esse potentiam cognoverat, ut cui mille præsto essent Persici generis satellites, quique Phrygiam, Lydiam atque Ioniam provincias obtineret. (3) Quæ reputans Darius, hancce iniit rationem. Convocatis Persarum spectatissimis, his verbis eos est adlocutus: « Quis mihi e vobis, Persæ, recipiet astu se hoc effecturum, non vi et armatorum manu? Nam ubi prudentia opus est, ibi vim adhibere nil attinet. (4) Vestrûm igitur quis mihi Oroeten aut vivum adduxerit, aut interfecerit? qui de Persis adhuc nihil bene meruit, sed magnis eos malis adfecit; qui et duos e nobis, Mitrobaten ejusque filium, trucidavit, et nuncios a me ad illum evocandum missos interimit, de-

ὕβριν οὐκ ἀνάσχετον φαίνων. Πρίν τι ὧν μέζον ἐξεργάσασθαί μιν Πέρσας κακὸν, καταλαμπτέος ἐστὶ ἡμῖν θανάτῳ. »

CXXVIII. Δαρεῖος μὲν ταῦτα ἐπειρώτα, τῷ δὲ ἄνδρες τριήκοντα ὑπέστησαν, αὐτὸς ἕκαστος ἐθέλων ποιέειν ταῦτα. Ἐρίζοντας δὲ Δαρεῖος κατελάμβανε κελεύων πάλλεσθαι· παλλομένων δὲ λαγχάνει ἐκ πάντων Βαγαῖος ὁ Ἀρτόντεω. Λαχὼν δὲ ὁ Βαγαῖος ποιέει τοιάδε· (2) βιβλία γραψάμενος πολλὰ καὶ περὶ πολλῶν ἔχοντα πρηγμάτων σφρηγῖδά σφι ἐπέβαλε τὴν Δαρείου, μετὰ δὲ ἧΐε ἔχων ταῦτα ἐς τὰς Σάρδις. Ἀπικόμενος δὲ καὶ Ὀροίτεω ἐς ὄψιν ἐλθὼν, τῶν βιβλίων ἓν ἕκαστον περιαιρεόμενος ἐδίδου τῷ γραμματιστῇ τῷ βασιληίῳ ἐπιλέγεσθαι· γραμματιστὰς δὲ βασιληίους οἱ πάντες ὕπαρχοι ἔχουσι. (3) Ἀποπειρεώμενος δὲ τῶν δορυφόρων ἐδίδου τὰ βιβλία ὁ Βαγαῖος, εἰ οἱ ἐνδεξαίατο ἀπόστασιν ἀπ' Ὀροίτεω. Ὀρέων δέ σφεας τά τε βιβλία σεβομένους μεγάλως καὶ τὰ λεγόμενα ἐκ τῶν βιβλίων ἔτι μεζόνως, διδοῖ ἄλλο ἐν τῷ ἐνῆν ἔπεα τοιάδε, « ὦ Πέρσαι, βασιλεὺς Δαρεῖος ἀπαγορεύει ὑμῖν μὴ δορυφορέειν Ὀροίτεα. » (4) Οἱ δὲ ἀκούσαντες τούτων μετῆκάν οἱ τὰς αἰχμάς. Ἰδὼν δὲ τοῦτό σφεας ὁ Βαγαῖος πειθομένους τῷ βιβλίῳ, ἐνθαῦτα δὴ θαρσήσας τὸ τελευταῖον τῶν βιβλίων διδοῖ τῷ γραμματιστῇ, ἐν τῷ ἐγέγραπτο, « βασιλεὺς Δαρεῖος Πέρσῃσι τοῖσι ἐν Σάρδισι ἐντέλλεται κτείνειν Ὀροίτεα. » (5) Οἱ δὲ δορυφόροι ὡς ἤκουσαν ταῦτα, σπασάμενοι τοὺς ἀκινάκας κτείνουσι παραυτίκα μιν. Οὕτω δὴ Ὀροίτεα τὸν Πέρσην Πολυκράτεος τοῦ Σαμίου τίσιες μετῆλθον.

CXXIX. Ἀπικομένων δὲ καὶ ἀνακομισθέντων τῶν Ὀροίτεω χρημάτων ἐς τὰ Σοῦσα, συνήνεικε χρόνῳ οὐ πολλῷ ὕστερον βασιλέα Δαρεῖον ἐν ἄγρῃ θηρῶν ἀποθρώσκοντα ἀπ' ἵππου στραφῆναι τὸν πόδα. Καί κως ἰσχυροτέρως ἐστράφη· ὁ γὰρ οἱ ἀστράγαλος ἐξεχώρησε ἐκ τῶν ἄρθρων. (2) Νομίζων δὲ καὶ πρότερον περὶ ἑωυτὸν ἔχειν Αἰγυπτίων τοὺς δοκέοντας εἶναι πρώτους τὴν ἰητρικὴν, τούτοισι ἐχρᾶτο. Οἱ δὲ στρεβλοῦντες καὶ βιώμενοι τὸν πόδα κακὸν μέζον ἐργάζοντο. (3) Ἔπ' ἑπτὰ μὲν δὴ ἡμέρας καὶ ἑπτὰ νύκτας ὑπὸ τοῦ παρεόντος κακοῦ ὁ Δαρεῖος ἀγρυπνίῃσι εἶχετο, τῇ δὲ δὴ ὀγδόῃ ἡμέρῃ ἔχοντί οἱ φλαύρως παρακούσας τις πρότερον ἔτι ἐν Σάρδισι τοῦ Κροτωνιήτεω Δημοκήδεος τὴν τέχνην ἀγγέλλει τῷ Δαρείῳ· ὁ δὲ ἄγειν μιν τὴν ταχίστην παρ' ἑωυτὸν ἐκέλευσε. (4) Τὸν δὲ ὡς ἐξεῦρον ἐν τοῖσι Ὀροίτεω ἀνδραπόδοισι ὀκουδὴ ἀπημελημένον, παρῆγον ἐς μέσον πέδας τε ἕλκοντα καὶ ῥάκεσι ἐσθημένον.

CXXX. Σταθέντα δὲ ἐς μέσον εἰρώτα ὁ Δαρεῖος τὴν τέχνην εἰ ἐπίσταιτο· ὁ δ' οὐκ ὑπεδέκετο, ἀρρωδέων μὴ ἑωυτὸν ἐκφήνας τὸ παράπαν τῆς Ἑλλάδος ἢ ἀπεστερημένος. Κατεφάνη δὲ τῷ Δαρείῳ τεχνάζειν ἐπιστάμενος, καὶ τοὺς ἀγαγόντας αὐτὸν ἐκέλευσε μάστιγάς τε καὶ κέντρα παραφέρειν ἐς τὸ μέσον. (2) Ὁ δὲ ἐνθαῦτα δὴ ὧν ἐκφαίνει, φὰς ἀτρεκέως μὲν οὐκ ἐπίστασθαι, δόnique insolentiam nullo modo ferendam ostentat. Quare, priusquam majus aliquod malum Persis infligat, cæde nobis occupandus est. »

CXXVIII. Hoc quum Darius ab illis quæsisset, triginta viri se offerebant, quorum unusquisque recipiebat, velle se solum rem effectam dare. Quos inter se contendentes cohibuit Darius, sortiri jubens : quod ubi illi fecere, sors præ omnibus Bagæum designat, Artontæ filium. Is igitur sorte ad rem suscipiendam designatus, hanc rationem iniit : (2) libellos plures conscripsit, variis de rebus agentes, quibus sigillum imposuit Darii : dein cum his libellis Sardes proficiscitur. Quo postquam advenit, in conspectum Orœtæ progressus, singulos deinceps libellos, detracto sigillo, scribæ regio tradidit prælegendos : omnibus quippe provinciarum præfectis adsunt regii scribæ. (3) Libellos istos Bagæus tradebat explorandæ sententiæ caussa satellitum, an ad deficiendum ab Orœta parati essent futuri. Quos ubi vidit magna veneratione prosequi libellos, majorique etiam veneratione prosequi ea quæ e libellis prælegebantur, alium tradidit libellum, in quo hæc erant scripta : « Persæ, rex Darius vobis edicit, ne amplius apud Orœten satellitum fungamini officio. » (4) Et illi, his auditis, lanceas coram eo deposuerunt. Tum vero Bagæus, videns illos in hac re obtemperantes libello, fidenter postremum libellorum scribæ tradidit, in quo scriptum erat : « Rex Darius Persas, qui Sardibus sunt, jubet occidere Orœten. » (5) Quo audito, protinus satellites strinxerunt acinaces, illumque interfecerunt. Tali igitur modo Orœten persecutæ sunt diræ Polycratis Samii ultrices.

CXXIX. Postquam Orœtæ res familiaris Susa esset transportata, ibique jam aderat, accidit haud multo post, ut Dario regi, inter venandum ex equo desilienti, pes distorqueretur. Et graviori quodam modo distortus est; nam astragalus ex articulis exierat. (2) Itaque, quum etiam antea existimasset adesse sibi medicorum Ægyptiorum eos qui primarii essent in arte medicandi, hisce usus est. At illi torquentes pedem vimque magnam adferentes, malum auxerunt. (3) Postquam igitur totos septem dies septemque noctes per morbum quo conflictabatur insomnes egisset Darius, octavo die graviter admodum laboranti nunciat quispiam, se olim Sardibus Crotoniatæ Democedis artem forte audivisse laudari : rexque illum quam primum ad se adduci jussit. (4) Qui ut inter Orœtæ mancipia repertus est nescio ubi neglectus, producitur in medium, compedes trahens, et laceros pannos indutus.

CXXX. In medio stantem interrogat Darius, an artem calleret : at ille negavit, veritus ne, si cognosceretur, nulla ipsi spes reliqua foret in Græciam umquam redeundi. Darius vero satis intelligens dissimulare hominem, et gnarum esse artis; qui adduxerant eum, flagella et stimulos jussit in medium proferre. (2) Tum ille professus ait, adcurate quidem se artem non callere, sed aliquantulam ejus noti-

μιλήσας δὲ ἰητρῷ φλαύρως ἔχειν τὴν τέχνην. Μετὰ δὲ, ὡς οἱ ἐπέτρεψε, Ἑλληνικοῖσι ἰήμασι χρεώμενος καὶ ἤπια μετὰ τὰ ἰσχυρὰ προσάγων ὕπνου τέ μιν λαγχάνειν ἐποίεε καὶ ἐν χρόνῳ ὀλίγῳ ὑγιέα μιν ἐόντα ἀπέδεξε, οὐδαμὰ ἔτι ἐλπίζοντα ἀρτίπουν ἔσεσθαι. (3) Δωρέεται δή μιν μετὰ ταῦτα ὁ Δαρεῖος πεδέων χρυσέων δύο ζεύγεσι· ὁ δέ μιν ἐπείρετο εἴ οἱ διπλήσιον τὸ κακὸν ἐπίτηδες νέμει, ὅτι μιν ὑγιέα ἐποίησε. Ἡσθεὶς δὲ τῷ ἔπεῖ ὁ Δαρεῖος ἀποπέμπει μιν παρὰ τὰς ἑωυτοῦ γυναῖκας. (4) Παράγοντες δὲ οἱ εὐνοῦχοι ἔλεγον πρὸς τὰς γυναῖκας ὡς βασιλέϊ οὗτος εἴη ὃς τὴν ψυχὴν ἀπέδωκε. Ὑποτύπτουσα δὲ αὐτέων ἑκάστη φιάλῃ ἐς τοῦ χρυσοῦ τὴν θήκην ἐδωρέετο τὸν Δημοκήδεα, οὕτω δή τι δαψιλεῖ δωρεῇ ὡς τοὺς ἀποπίπτοντας ἀπὸ τῶν φιαλέων στατῆρας ἑπόμενος ὁ οἰκέτης, τῷ οὔνομα ἦν Σκίτων, ἀνελέγετο, καί οἱ χρῆμα πολλόν τι χρυσοῦ συνελέχθη.

CXXXI. Ὁ δὲ Δημοκήδης οὗτος ὧδε ἐκ Κρότωνος ἀπιγμένος Πολυκράτεϊ ὡμίλησε· πατρὶ συνείχετο ἐν Κρότωνι ὀργὴν χαλεπῷ· τοῦτον ἐπείτε οὐκ ἐδύνατο φέρειν, ἀπολιπὼν οἴχετο ἐς Αἴγιναν. (2) Καταστὰς δὲ ἐς ταύτην τῷ πρώτῳ ἔτεϊ ὑπερεβάλετο τοὺς ἄλλους ἰητροὺς, ἀσκευής περ ἐὼν καὶ ἔχων οὐδὲν τῶν ὅσα περὶ τὴν τέχνην ἐστὶ ἐργαλήϊα· καί μιν δευτέρῳ ἔτεϊ ταλάντου Αἰγινῆται δημοσίῃ μισθοῦνται, τρίτῳ δὲ ἔτεϊ Ἀθηναῖοι ἑκατὸν μνέων, τετάρτῳ δὲ ἔτεϊ Πολυκράτης δυῶν ταλάντων. (3) Οὕτω μὲν ἀπίκετο ἐς τὴν Σάμον, καὶ ἀπὸ τούτου τοῦ ἀνδρὸς οὐκ ἥκιστα Κροτωνιῆται ἰητροὶ εὐδοκίμησαν· ἐγένετο γὰρ ὧν τοῦτο ὅτε πρῶτοι μὲν Κροτωνιῆται ἰητροὶ ἐλέγοντο ἀνὰ τὴν Ἑλλάδα εἶναι, δεύτεροι δὲ Κυρηναῖοι. Κατὰ τὸν αὐτὸν δὲ χρόνον καὶ Ἀργεῖοι ἤκουον μουσικὴν εἶναι Ἑλλήνων πρῶτοι.

CXXXII. Τότε δὲ ὁ Δημοκήδης ἐν τοῖσι Σούσοισι ἐξισαμένος Δαρεῖον οἰκόν τε μέγιστον εἶχε καὶ ὁμοτράπεζος βασιλεῖ ἐγεγόνεε, πλήν τε ἑνὸς τοῦ ἐς Ἕλληνας ἀπιέναι πάντα τἄλλα οἱ παρῆν. (2) Καὶ τοῦτο μὲν τοὺς Αἰγυπτίους ἰητροὺς, οἳ βασιλέα πρότερον ἰῶντο, μέλλοντας ἀνασκολοπιέεσθαι διότι ὑπὸ Ἕλληνος ἰητροῦ ἐσσώθησαν, τούτους βασιλέα παραιτησάμενος ἐρρύσατο· τοῦτο δὲ μάντιν Ἠλεῖον Πολυκράτεϊ ἐπισπόμενον καὶ ἀπημελημένον ἐν τοῖσι ἀνδραπόδοισι ἐρρύσατο. Ἦν δὲ μέγιστον πρῆγμα Δημοκήδης παρὰ βασιλεῖ.

CXXXIII. Ἐν χρόνῳ δὲ ὀλίγῳ μετὰ ταῦτα τάδε ἄλλα συνήνεικε γενέσθαι. Ἀτόσσῃ τῇ Κύρου μὲν θυγατρὶ, Δαρείου δὲ γυναικὶ ἐπὶ τοῦ μαστοῦ ἔφυ φῦμα, μετὰ δὲ ἐκραγὲν ἐνέμετο πρόσω. Ὅσον μὲν δὴ χρόνον ἦν ἔλασσον, ἡ δὲ κρύπτουσα καὶ αἰσχυνομένη ἔφραζε οὐδενί· ἐπείτε δὲ ἐν κακῷ ἦν, μετεπέμψατο τὸν Δημοκήδεα καί οἱ ἐπέδεξε. (2) Ὁ δὲ φὰς ὑγιέα ποιήσειν, ἐξορκοῖ μιν ἢ μέν οἱ ἀντυποῦργήσειν ἐκείνην τοῦτο τὸ ἂν αὐτῆς δεηθῇ· δεήσεσθαι δὲ οὐδενὸς τῶν ὅσα ἐς αἰσχύνην ἐστὶ φέροντα.

CXXXIV. Ὡς δὲ ἄρα μιν μετὰ ταῦτα ἰώμενος ὑγιέα ἀπέδεξε, ἐνθαῦτα δὴ διδαχθεῖσα ὑπὸ τοῦ Δημοκήδεος τάδε ἔλεγε πρὸς Δαρεῖον· Ἔχεις μοι, ὦ βασιλεῦ, ἐν ὀλίγῃσι ἡμέρῃσι δύνασθαι τὰ ἔθνεα καταστρέψασθαι τὰ ἐπὶ Σκύθας ἰόντα, ἵνα καὶ Πέρσαι γένωνται ἐπιφανέστεροι· ἐπιθυμέω δὲ ἐν τῇ ὥρῃ ταύτῃ γυναῖκας ἐκ τῶν ἐμῶν ἐπιστάτιδας ἔχειν, ἵνα καὶ ἐμὲ ἐπιτελέσῃς τὸ ἐπιθυμέω καὶ τὸ ἐκ τοῦ Ἑλληνικοῦ κέρδος ἴδωνται. (2) Ἔπος δὲ ἓν οὐκ ἀποκρύψομαι· ἐπίστασο γὰρ ἐκείνας γυναῖκας ἐπιθυμήσειν ἐκ τῶν σῶν γυναικῶν ἔχειν τὰς ἂν σὺ πλείστου ποιεύμενος τυγχάνῃς καὶ τὰς ἂν μάλιστα ὁρᾷς ἐκ τῶν τέκνων τῶν σῶν τὰ ἐκ τοῦ Κύρου τεκνωθέντα ἐκ τῶν ἄλλων γυναικῶν. (3) Ἐνθαῦτα δὴ ὁ Δαρεῖος ἐπαρθεὶς τῇ ὑποθήκῃ τῇ γυναικὶ ἔφη ἐπιτελέα ποιήσειν τὰ ἐπιθυμέει· ἅμα γὰρ τῇ ὑποθήκῃ καὶ αὐτὸς ἐδόκεε εὖ βεβουλεῦσθαι. Ἐπὶ τούτοισι ἐπιστέλλει τοῖσι ἐν τέλεϊ ἐοῦσι ἐς τὴν Ἑλλάδα ἄγειν Δημοκήδεα καὶ τὰ ἐκείνου πάντα φυλάσσειν, ἐπὶ ξυμφορῇ μεγάλῃ τὸν ἄνδρα τοῦτον ἐξευρηκότα τοῖσι ἀνθρώποισι. (4) Οἱ δὲ ἐλθόντες ἐς Σάρδις ἐπυνθάνοντο τοῦ Δημοκήδεος· ὁ δὲ ὡς ἐσήμηνε τὸ πρῆγμα, οὐκ ἐβούλετο ἀκολουθέειν, ἀλλὰ ἐδόκεε τὸν βασιλέα ἐπὶ δόλῳ ἐκπέμπειν ἐπὶ τὴν Ἑλλάδα, ἐπιστάμενος τὸν ἔρωτα τὸν Ἀτόσσης. (5) Ἐπεὶ δὲ ἠναγκάζετο ὑπὸ τῶν ἀγγελιηφόρων, ἐκέλευε πρότερον κατάσκοπον τῶν Περσέων ἐκπέμψαι, βουλόμενος, εἰ οἱ ἐπιτήδεια εἴη ἐν τῇ Ἑλλάδι, ἐκείνου ἀπαλλαχθέντος ἀπάγεσθαι. Ἐπὶ τούτοισι ἐκπέμπουσι τὸν κατάσκοπον ἅμα τοῖσι Δημοκήδεος ἀγγελιηφόροισι, ἐπιστείλαντες ἐπὶ τὴν Κρότωνος ἰέναι καὶ ἐπειδὰν ἐκεῖνος ἐπὶ τῆς ἀγορῆς ἐπιδεικνύῃ τὸν Δημοκήδεα, τότε ἐπιλαβόμενον αὐτοῦ ἀποδρῆναι, ἐπιδεικνύντα δὲ ὅτι μάλιστα ἐπιμελῶς. (6) Ταῦτα δὲ ἐπιστέλλουσι ἐπιτάσσοντες ἀναγκάζειν, ἢν μὴ ἐθέλῃ ἕπεσθαι, ἐπιδιώκοντας ἀπάγειν βίῃ· ἐπὶ τούτοισι δὲ ἐκπέμπουσι τοὺς ἀγγελιηφόρους καὶ τὸν κατάσκοπον τῶν Περσέων.

CXXXV. Ἀπικόμενοι δὲ οὗτοι ἐς τὴν Ἑλλάδα καὶ ποιήσαντες τὰ ἐπιτεταγμένα ἐκ τῆς Κρότωνος ἀπαλλάσσοντο, ἕπεσθαι δὲ οὐκ ἐθέλοντος τοῦ Δημοκήδεος ἐπεδίωκον ἀπάγοντες βίῃ. Ἐπειρᾶτο μὲν δὴ ἀποδρῆναι ἐπιδεικνύμενος ἐν τῇ ἀγορῇ, οἱ δὲ οὐκ ἐδίδοσαν· ἐπειρᾶτο δὲ καὶ ἐπιλαβόμενος ἀποδρῆναι, οἱ δὲ οὐκ ἐδίδοσαν. (2) Ἐπειρᾶτο δὲ καὶ ἄλλα πολλὰ μηχανώμενος, ἐπεὶ δὲ ἐπιδιώκοντες ἀπάγειν βίῃ ἐπεκράτεον, ἐνθαῦτα δὴ ἀπαλλάσσοντο ἐκ τῆς Κρότωνος. Ἐπεὶ δὲ ἐγένοντο ἐν τῇ Ἀκραγαντίνων ἀγορῇ, ἐνθαῦτα δὴ ἐπιλαβόμενος ἀπέδρη καὶ ἐπεὶ ἐγένοντο ἐν τῇ Κρότωνος

δεος ἡ Ἄτοσσα προσέφερε ἐν τῇ κοίτῃ Δαρείῳ λόγον τοιόνδε, « ὦ βασιλεῦ, ἔχων δύναμιν τοσαύτην κάτησαι, οὔτε τι ἔθνος προσκτώμενος οὔτε δύναμιν Πέρσῃσι. (2) Οἰκὸς δέ ἐστι ἄνδρα καὶ νέον καὶ χρημάτων μεγάλων δεσπότεα φαίνεσθαί τι ἀποδεικνύμενον, ἵνα καὶ Πέρσαι ἐκμάθωσι ὅτι ὑπ' ἀνδρὸς ἄρχονται. Ἐπ' ἀμφότερα δέ τοι φέρει ταῦτα ποιέειν, καὶ ἵνα σφέων Πέρσαι ἐπιστώνται ἄνδρα εἶναι τὸν προεστεῶτα, καὶ ἵνα τρίβωνται πολέμῳ μηδὲ σχολὴν ἄγοντες ἐπιβουλεύωσί τοι. (3) Νῦν γὰρ ἄν τι καὶ ἀποδέξαιο ἔργον, ἕως νέος εἷς ἡλικίην· αὐξανομένῳ γὰρ τῷ σώματι συναύξονται καὶ αἱ φρένες, γηράσκοντι δὲ συγγηράσκουσι καὶ ἐς τὰ πρήγματα πάντα ἀπαμβλύνονται. » (4) Ἡ μὲν δὴ ταῦτα ἐκ διδαχῆς ἔλεγε, ὁ δ' ἀμείβεται τοισίδε, « ὦ γύναι, πάντα ὅσα περ αὐτὸς ἐπινοέω ποιήσειν εἴρηκας· ἐγὼ γὰρ βεβούλευμαι, ζεύξας γέφυραν, ἐκ τῆσδε τῆς ἠπείρου ἐς τὴν ἑτέρην ἤπειρον ἐπὶ Σκύθας στρατεύεσθαι· καὶ ταῦτα ὀλίγου χρόνου ἔσται τελεύμενα. » (5) Λέγει Ἄτοσσα τάδε, « ὅρα νυν, ἐπὶ Σκύθας μὲν τὴν πρώτην ἰέναι ἐασον· οὗτοι γὰρ, ἐπεὰν σὺ βούλῃ, ἔσονταί τοι· σὺ δέ μοι ἐπὶ τὴν Ἑλλάδα στρατεύεσθαι. Ἐπιθυμέω γὰρ, λόγῳ πυνθανομένη, Λακαίνας τέ μοι γενέσθαι θεραπαίνας καὶ Ἀργείας καὶ Ἀττικὰς καὶ Κορινθίας. (6) Ἔχεις δὲ ἄνδρα ἐπιτηδεώτατον ἀνδρῶν πάντων δέξαι τε ἕκαστα τῆς Ἑλλάδος καὶ κατηγήσασθαι, τοῦτον ὅς σευ τὸν πόδα ἐξιήσατο. » (7) Ἀμείβεται Δαρεῖος, « ὦ γύναι, ἐπεὶ τοίνυν τοι δοκέει τῆς Ἑλλάδος ἡμέας πρῶτα ἀποπειρᾶσθαι, κατασκόπους μοι δοκέει Περσέων πρῶτον ἄμεινον εἶναι ὁμοῦ τούτῳ τῷ σὺ λέγεις πέμψαι ἐς αὐτοὺς, οἳ μαθόντες καὶ ἰδόντες ἕκαστα αὐτῶν ἐξαγγελέουσι ἡμῖν· καὶ ἔπειτεν ἐξεπιστάμενος ἐπ' αὐτοὺς τρέψομαι. »

CXXXV. Ταῦτα εἶπε καὶ ἅμα ἔπος τε καὶ ἔργον ἐποίεε. Ἐπείτε γὰρ τάχιστα ἡμέρη ἐπέλαμψε, καλέσας Περσέων ἄνδρας δοκίμους πεντεκαίδεκα ἐνετέλλετό σφι ἑπομένους Δημοκήδεϊ διεξελθεῖν τὰ παραθαλάσσια τῆς Ἑλλάδος, ὅκως τε μὴ διαδρήσεταί σφεας ὁ Δημοκήδης, ἀλλά μιν πάντως ὀπίσω ἀπάξουσι. (2) Ἐντειλάμενος δὲ τούτοισι ταῦτα, δεύτερα καλέσας αὐτὸν Δημοκήδεα ἐδέετο αὐτοῦ ὅκως ἐξηγησάμενος πᾶσαν καὶ ἐπιδέξας τὴν Ἑλλάδα τοῖσι Πέρσῃσι ὀπίσω ἥξει· δῶρα δέ μιν τῷ πατρὶ καὶ τοῖσι ἀδελφεοῖσι ἐκέλευε πάντα τὰ ἐκείνου ἐπιπλα λαβόντα ἄγειν, φὰς ἄλλα οἱ πολλαπλήσια ἀντιδώσειν· πρὸς δὲ ἐς τὰ δῶρα ὁλκάδα οἱ ἔφη συμβαλέεσθαι πλήσας ἀγαθῶν παντοίων, τὴν ἅμα οἱ πλώσεσθαι. (3) Δαρεῖος μὲν δὴ, δοκέειν ἐμοὶ, ἀπ' οὐδενὸς δολεροῦ νόου ἐπηγγέλλετό οἱ ταῦτα· Δημοκήδης δὲ δείσας μή εὐ ἐκπειρῷτο Δαρεῖος, οὔτι ἐπιδραμὼν πάντα τὰ διδόμενα ἐδέκετο, ἀλλὰ τὰ μὲν ἑωυτοῦ κατὰ χώρην ἔφη καταλείψειν, ἵνα ὀπίσω σφέα ἀπελθὼν ἔχοι, τὴν μέντοι ὁλκάδα, τήν οἱ Δαρεῖος ἐπηγγέλλετο ἐς τὴν δωρεὴν τοῖσι ἀδελφεοῖσι, δέκεσθαι ἔφη. Ἐντειλάμενος δὲ καὶ τούτῳ ταὐτὰ ὁ Δαρεῖος ἀποστέλλει αὐτοὺς ἐπὶ θάλασσαν.

CXXXVI. Καταβάντες δ' οὗτοι ἐς Φοινίκην καὶ

Darium, dum cubitum eunt, adlocuta est : « Tantis, o rex, quum sis viribus instructus, otiosus sedes; nec populum ullum aut potentiam adquiris Persis. (2) Æquum est tamen, ut vir et ætate florens, et magnarum opum dominus, aliquod factum a se gestum ostendat, quo Persæ etiam intelligant, a viro se regi. Duobus autem modis tibi hoc facere conducet, ut et Persæ sciant virum esse qui illis præsit, et ut ipsi bellis occupentur, ne, dum otium agunt, tibi insidientur. (3) Nunc enim præclarum aliquod edere facinus licet, dum viget tibi ætas; nam augescente corpore augentur et animi vires; senescente autem corpore, etiam ingenium senescit, et ad res omnes hebetatur. » (4) Quæ quum illa, ut erat edocta, dixisset, in hunc modum Darius respondit : « Quæ ego ipse facere destinaveram, ea tu omnia, uxor, dixisti. Constitutum enim habeo, duabus continentibus ponte junctis, ex nostra continente in alteram transgredi, et Scythis bellum inferre : atque hæc brevi effecta dabo. » (5) Tum Atossa, « Ecce nunc! ait, adversus Scythas primum proficisci omitte : hi enim, quandocumque volueris, in tua erunt potestate : at tu mihi in Græciam suscipe expeditionem : cupio enim, de quibus fando audivi, Lacænas et Argivas et Atticas atque Corinthias habere famulas. (6) Est autem tibi præsto vir omnium maxime idoneus, qui cuncta tibi in Græcia demonstret et viæ dux sit; is qui tuum pedem sanavit. » (7) Respondit Darius : « Quoniam igitur tibi placet, mulier, ut Græciam statim experiamur, consultius mihi videtur ex Persis exploratores primum, una cum hoc quem tu dicis, eo mittere; qui, postquam res Græcorum cunctas cognoverint spectaverintque, nobis sint renunciaturi. Ac deinde, rebus omnibus recte cognitis, arma contra illos convertam. »

CXXXV. Hæc ille dixit : et dictum factum. Simul ac enim dies illuxit, quindecim probatos ex Persis viros vocat, eisque dat mandatum, ut Democedem comitantes maritima Græciæ loca lustrent, nec vero committant ut ab ipsis profugiat Democedes, sed omnino illum reducant. (2) Hæc postquam his mandata dedit, dein ipsum vocat Democedem, illumque orat, ut, postquam itineris dux in Græciam Persis illis fuisset, totamque eis demonstrasset, ad se revertatur; jubetque eum, ut sua omnia quæ moveri possent secum sumat, et dono adferat patri fratribusque; quorum loco se illi alia multis partibus copiosiora in vicem daturum confirmat; præterea ad dona illa onerariam navem se ei adjecturum, ait, omnigenis bonis refertam, quæ simul cum eo sit navigatura. (3) Darius igitur, ut mihi videtur, nullo doloso consilio hæc ei est pollicitus. Democedes vero, veritus ne se rex tentaret, haudquaquam cupide oblata omnia arripuit; sed, res suas, ait, Susis se relicturum, ut post reditum eas haberet; onerariam autem navem, quam ei promitteret Darius ad dona fratribus perferenda, accipere se, ait. Huic igitur postquam eadem mandata quæ Persis dederat Darius, ad mare eos dimisit.

CXXXVI. Itaque hi quum in Phœnicen et Phœnices ur-

Φοινίκης ἐς Σιδῶνα πόλιν αὐτίκα μὲν τριήρεας δύο ἐπλήρωσαν, ἅμα δὲ αὐτῇσι καὶ γαυλὸν μέγαν παντοίων ἀγαθῶν· παρεσκευασμένοι δὲ πάντα ἔπλωον ἐς τὴν Ἑλλάδα, προσίσχοντες δὲ αὐτῆς τὰ παραθαλάσσια ἐθηεῦντο καὶ ἀπεγράφοντο, ἐς ὃ τὰ πολλὰ αὐτῆς καὶ οὐνομαστὰ θωμασάμενοι ἀπίκοντο τῆς Ἰταλίης ἐς Τάραντα. (2) Ἐνθαῦτα δὲ ἐκ ῥητῶνης τῆς Δημοκήδεος Ἀριστοφιλίδης τῶν Ταραντίνων ὁ βασιλεὺς τοῦτο μὲν τὰ πηδάλια παρέλυσε τῶν Μηδικέων νεῶν, τοῦτο δὲ αὐτοὺς τοὺς Πέρσας ἔρξε ὡς κατασκόπους ὄντας. (3) Ἐν ᾧ δὲ οὗτοι ταῦτα ἔπασχον, ὁ Δημοκήδης ἐς τὴν Κρότωνα ἀπικνέεται. Ἀπιγμένου δὲ ἤδη τούτου ἐς τὴν ἑωυτοῦ ὁ Ἀριστοφιλίδης ἔλυσε τοὺς Πέρσας, καὶ τὰ παρέλαβε τῶν νεῶν ἀπέδωκέ σφι.

CXXXVII. Πλώοντες δὲ ἐνθεῦτεν οἱ Πέρσαι καὶ δώκοντες Δημοκήδεα ἀπικνέονται ἐς τὴν Κρότωνα, εὑρόντες δέ μιν ἀγοράζοντα ἅπτοντο αὐτοῦ. (2) Τῶν δὲ Κροτωνιητέων οἱ μὲν καταρρωδέοντες τὰ Περσικὰ πρήγματα προϊέναι ἑτοῖμοι ἦσαν, οἱ δὲ ἀντάπτοντό τε καὶ τοῖσι σκυτάλοισι ἔπαιον τοὺς Πέρσας προϊσχομένους ἔπεα τάδε, « ἄνδρες Κροτωνιῆται, ὁρᾶτε τὰ ποιέετε. Ἄνδρα βασιλέος δρηπέτην γενόμενον ἐξαιρέεσθε· κῶς ταῦτα βασιλεῖ Δαρείῳ ἐγχρήσει περιυβρίσθαι; κῶς δὲ ὑμῖν τὰ ποιεύμενα ἕξει καλῶς, ἢν ἀπέλησθε ἡμέας; ἐπὶ τίνα δὲ τῇσδε προτέρην στρατευσόμεθα πόλιν; τίνα δὲ προτέρην ἀνδραποδίζεσθαι πειρησόμεθα; » (3) Ταῦτα λέγοντες τοὺς Κροτωνιήτας οὐκ ὧν ἔπειθον, ἀλλ' ἐξαιρεθέντες τε τὸν Δημοκήδεα, καὶ τὸν γαυλὸν τὸν ἅμα ἤγοντο ἀπαιρεθέντες, ἀπέπλωον ὀπίσω ἐς τὴν Ἀσίην, οὐδ' ἔτι ἐζήτησαν τὸ προσωτέρω τῆς Ἑλλάδος ἀπικόμενοι ἐκμαθέειν, ἐστερημένοι τοῦ ἡγεμόνος. Τοσόνδε μέντοι ἐνετείλατό σφι Δημοκήδης ἀναγομένοισι, κελεύων εἶπαι σφέας Δαρείῳ ὅτι ἁρμόσηται τὴν Μίλωνος θυγατέρα Δημοκήδης γυναῖκα. (4) Τοῦ γὰρ δὴ παλαιστέω Μίλωνος ἦν οὔνομα πολλὸν παρὰ βασιλεῖ· κατὰ δὴ τοῦτό μοι δοκέει σπεῦσαι τὸν γάμον τοῦτον τελέσας χρήματα μεγάλα Δημοκήδης, ἵνα φανῇ πρὸς Δαρείου ἐὼν καὶ ἐν τῇ ἑωυτοῦ δόκιμος.

CXXXVIII. Ἀναχθέντες δὲ ἐκ τῆς Κρότωνος οἱ Πέρσαι ἐκπίπτουσι τῆσι νησοὶ ἐς Ἰηπυγίην, καί σφεας δουλεύοντας ἐνθαῦτα Γίλλος ἀνὴρ Ταραντῖνος φυγὰς ῥυσάμενος ἀπήγαγε παρὰ βασιλέα Δαρεῖον. (2) Ὁ δὲ ἀντὶ τούτων ἑτοῖμος ἦν διδόναι τούτῳ ὅ τι βούλοιτο αὐτός. Γίλλος δὲ αἱρέεται κατοδόν οἱ ἐς Τάραντα γενέσθαι, προαπηγησάμενος τὴν συμφορήν· ἵνα δὲ μὴ συνταράξῃ τὴν Ἑλλάδα, ἢν δι' αὐτὸν στόλος μέγας πλώῃ ἐπὶ τὴν Ἰταλίην, Κνιδίους μούνους ἀποχρᾶν οἱ ἔφη, τοὺς κατάγοντας γίνεσθαι, δοκέων ἀπὸ τούτων ἑόντων τοῖσι Ταραντίνοισι φίλων μάλιστα δὴ τὴν κατοδόν οἱ ἔσεσθαι. (3) Δαρεῖος δὲ ὑποδεξάμενος ἐπετέλεε· πέμψας γὰρ ἄγγελον ἐς Κνίδον κατάγειν σφέας ἐκέλευε Γίλλον ἐς Τάραντα. Πειθόμενοι δὲ Δαρείῳ Κνίδιοι Ταραντίνους οὐκ ὧν ἔπειθον, βίην δὲ ἀδύνατοι ἦσαν

bem Sidonem descendissent, protinus duas triremes in struxerunt, simulque cum his ingentem gaulum (*onerariam navem*) omni bonorum genere impleverunt; rebusque cunctis præparatis, in Græciam navigarunt. Quo ubi ad pulerunt, oras omnes contemplati sunt descripseruntque; donec, pleraque ejus et maxime notabilia speculati, Tarentum in Italiam pervenerunt. (2) Ibi vero Democedi indulgens Aristophilides, rex Tarentinorum, et gubernacula navium Medicarum solvi jussit, et ipsos Persas detinuit, tamquam speculatores: (3) interimque, dum illis hoc accidit, Democedes Crotonem abiit. Qui postquam domum ad suos pervenit, Persas Aristophilides custodia emisit, et, quæ de navibus eorum demerat, illis restituit.

CXXXVII. Inde Persæ navibus profecti, Democedem persequentes, Crotonem pervanerunt: ubi quum eum in foro versantem invenissent, manus ei injecerunt. (2) Ibi tum Crotoniatarum alii, Persarum opes veriti, tradere illum parati erant; alii vero Persis vicissim manus injicientes, fustibus eos percutiebant. Quibus illi hæc verba proferebant: « Viri Crotoniatæ, videte quid faciatis! hominem, qui regis servus fugitivus est, eripitis. Quomodo rex Darius patienter feret tali contumelia adfici? et quo pacto vobis impune abibit facinus, si nobis illum eripueritis? Cui prius, quam huic civitati, bellum inferemus? quam priorem sub jugum mittere conabimur? » (3) Hæc illi dicentes non moverunt Crotoniatas: sed, erepto sibi Democede, atque etiam gaulo spoliati, quem adduxerant, in Asiam sunt reversi; neque porro Græciam adire aliasque Græciæ partes cognoscere cupivere, duce privati. Hoc tamen eis abeuntibus mandatum Democedes dedit, nunciarent Dario, Democedem filiam Milonis sibi despondisse uxorem. (4) Erat enim apud regem celebre Milonis nomen luctatoris: atque hac nimirum de caussa videtur mihi Democedes, magna vi pecuniæ erogata, properasse hoc matrimonium, ut adpareret Dario, esse ipsum etiam in patria spectatum virum.

CXXXVIII. Crotone profecti Persæ, cum navibus in Iapygiam ejecti sunt: ubi quum in servitutem essent redacti, Gillus eos liberavit, exsul Tarentinus, et ad regem Darium reduxit. (2) Pro quo beneficio quum ei, quidquid postulasset, dare paratus rex esset; Gillus, exposita sua calamitate, petiit ut in patriam Tarentum ex exsilio restitueretur. Ne autem Græciam conturbaret, si propter ipsum magna classis in Italiam navigaret, Cnidios solos, ait, ad se reducendum sufficere; ratus, ab his maxime, quippe Tarentinorum amicis, reditum sibi procuratum iri. (3) Id Darius recepit ei, et promisso stetit: misso enim ad Cnidios nuncio, imperavit his ut Tarentum reducerent Gillum. Sed Cnidii, Dario obsequentes, Tarentinis ut eum reciperent non persuaserunt; ad vim vero

προσφέρειν. (4) Ταῦτα μέν νυν οὕτω ἐπρήχθη, οὗτοι δὲ πρῶτοι ἐκ τῆς Ἀσίης ἐς τὴν Ἑλλάδα ἀπίκοντο Πέρσαι, καὶ οὗτοι διὰ τοιόνδε πρῆγμα κατάσκοποι ἐγένοντο.

CXXXIX. Μετὰ δὲ ταῦτα Σάμον βασιλεὺς Δαρεῖος αἱρέει, πολίων πασέων πρώτην Ἑλληνίδων καὶ βαρβάρων, διὰ τοιήνδε τινὰ αἰτίην. Καμβύσεω τοῦ Κύρου στρατευομένου ἐπ' Αἴγυπτον ἄλλοι τε συχνοὶ ἐς τὴν Αἴγυπτον ἀπίκοντο Ἑλλήνων, οἱ μὲν, ὡς οἰκὸς, κατ' ἐμπορίην, οἱ δὲ στρατευόμενοι, οἱ δέ τινες καὶ αὐτῆς τῆς χώρης θεηταί· τῶν ἦν καὶ Συλοσῶν ὁ Αἰάκεος, Πολυκράτεός τε ἐὼν ἀδελφεὸς καὶ φεύγων ἐκ Σάμου. (2) Τοῦτον τὸν Συλοσῶντα κατέλαβε εὐτυχίη τις τοιήδε· λαβὼν χλανίδα καὶ περιβαλόμενος πυρρὴν ἠγόραζε ἐν τῇ Μέμφι· ἰδὼν δὲ αὐτὸν Δαρεῖος, δορυφόρος τε ἐὼν Καμβύσεω καὶ λόγου οὐδενός κω μεγάλου, ἐπεθύμησε τῆς χλανίδος καὶ αὐτὴν προσελθὼν ὠνέετο. (3) Ὁ δὲ Συλοσῶν ὁρέων τὸν Δαρεῖον μεγάλως ἐπιθυμέοντα τῆς χλανίδος, θείῃ τύχῃ χρεώμενος λέγει, « ἐγὼ ταύτην πωλέω μὲν οὐδενὸς χρήματος, δίδωμι δὲ ἄλλως, εἴ περ οὕτω δεῖ γενέσθαι. » Πάντως τοι αἰνέσας ταῦτα ὁ Δαρεῖος παραλαμβάνει τὸ εἷμα.

CXL. Ὁ μὲν δὴ Συλοσῶν ἠπίστατο οἱ τοῦτο ἀπολωλέναι δι' εὐηθίην· ὡς δὲ τοῦ χρόνου προβαίνοντος Καμβύσης τε ἀπέθανε καὶ τῷ μάγῳ ἐπανέστησαν οἱ ἑπτὰ καὶ ἐκ τῶν ἑπτὰ Δαρεῖος τὴν βασιληίην ἔσχε, πυνθάνεται ὁ Συλοσῶν ὡς ἡ βασιληὶη περιελήλυθοι ἐς τοῦτον τὸν ἄνδρα τῷ κοτὲ αὐτὸς ἔδωκε ἐν Αἰγύπτῳ δεηθέντι τὸ εἷμα. (2) Ἀναβὰς δὲ ἐς τὰ Σοῦσα ζητο ἐς τὰ πρόθυρα τῶν βασιλέος οἰκίων καὶ ἔφη Δαρείου εὐεργέτης εἶναι. Ἀγγέλλει ταῦτα ἀκούσας ὁ πυλουρὸς τῷ βασιλεῖ· ὁ δὲ θωμάσας λέγει πρὸς αὐτὸν, « καὶ τίς ἐστι Ἑλλήνων εὐεργέτης, τῷ ἐγὼ προαιδεῦμαι νεωστὶ μὲν τὴν ἀρχὴν ἔχων; ἀναβέβηκε δ' ἤ τις ἢ οὐδείς κω παρ' ἡμέας αὐτῶν, ἔχω δὲ χρέος εἶπαι οὐδὲν ἀνδρὸς Ἕλληνος. Ὅμως δὲ αὐτὸν παράγετε ἔσω, ἵνα εἰδέω τί θέλων λέγει ταῦτα. » (3) Παρῆγε ὁ πυλουρὸς τὸν Συλοσῶντα, στάντα δὲ ἐς μέσον εἰρώτευν οἱ ἑρμηνέες τίς τε εἴη καὶ τί ποιήσας εὐεργέτης φησὶ εἶναι βασιλέος. Εἶπε ὧν ὁ Συλοσῶν πάντα τὰ περὶ τὴν χλανίδα γενόμενα, καὶ ὡς αὐτὸς εἴη ἐκεῖνος ὁ δούς. (4) Ἀμείβεται πρὸς ταῦτα Δαρεῖος, « ὦ γενναιότατε ἀνδρῶν, σὺ ἐκεῖνος εἶ ὃς ἐμοὶ οὐδεμίαν ἔχοντί κω δύναμιν ἔδωκας, εἰ καὶ σμικρὰ, ἀλλ' ὦν ἴση γε ἡ χάρις δμοίως ὡς εἰ νῦν κοθέν τι μέγα λάβοιμι. Ἀντ' ὧν τοι χρυσὸν καὶ ἄργυρον ἄπλετον δίδωμι, ὡς μή κοτέ τοι μεταμελήσῃ Δαρεῖον τὸν Ὑστάσπεος εὖ ποιήσαντι. » (5) Λέγει πρὸς ταῦτα ὁ Συλοσῶν, « ἐμοὶ μήτε χρυσὸν, ὦ βασιλεῦ, μήτε ἄργυρον δίδου, ἀλλ' ἀνασωσάμενός μοι τὴν πατρίδα Σάμον, τὴν νῦν ἀδελφεοῦ τοῦ ἐμοῦ Πολυκράτεος ἀποθανόντος ὑπ' Ὀροίτεω ἔχει δοῦλος ἡμέτερος, ταύτην μοι δὸς ἄνευ τε φόνου καὶ ἐξανδραποδίσιος. »

CXLI. Ταῦτα ἀκούσας Δαρεῖος ἀπέστελλε στρατιὴν

adhibendam parum validi erant. (4) Ita igitur hæ res gestæ sunt : hique primi fuere Persæ, qui ex Asia in Græciam venere, et talem ob caussam speculatum erant missi.

CXXXIX. Post hæc Samum cepit rex Darius : estque hæc prima ex urbibus vel Græcorum vel barbarorum, quæ sub illius imperio vi capta est. Capta est autem tali ex caussa. Quo tempore Cambyses expeditionem in Ægyptum suscepit, frequentes Græci in Ægyptum venerant; alii, ut consentaneum est, negotiandi caussa, alii militandi, alii solummodo spectandæ gratia regionis. Horum in numero Syloson erat, Æacis filius, frater Polycratis, Samo exsulans. (2) Huic Sylosonti, talis quædam oblata fortuna est : sumpto rutilo pallio, hoc circumdatus obambulabat Memphi in foro : quem ubi conspexit Darius, qui satelles tunc erat Cambysis, nec ullodum nomine clarus; cupidine pallii captus, adit Sylosontem, illud mercaturus. (3) Syloson, vehementer cupidum amiculi videns Darium, divino quodam instinctu ait : « Equidem hoc pallium nullo vendo pretio : do tibi vero gratis, si omnino ita tuum illud fieri cupis. » Quo laudato responso, accipit pallium Darius.

CXL. Jamque existimabat Syloson, se propter nimiam animi bonitatem amiculum hoc perdidisse. Interjecto vero tempore, postquam mortuo Cambyse adversus Magum conjuraverant septemviri, et ex septemvirorum numero Darius regnum obtinuerat; rescivit Syloson, in manus ejusdem viri transiisse regnum, cui olim ipse in Ægypto amiculum, quod ille petiisset, dedisset dono. (2) Itaque Susa adscendit, sedensque in vestibulo ædium regiarum, ait, se de Dario bene meruisse. Id ubi audivit portæ custos, renunciavit regi; et ille miratus, ait ad eum : « Quis tandem Græcus est, qui bene de me meruerit, cui ego gratiam debeam, qui nuper modo regnum obtinui? Vix unus aut nullus adhuc ex illa gente ad me adscendit : neque quidquam dicere possum quod Græco cuiquam homini debeam. Verumtamen producite eum intro, ut sciam quid sibi velit homo, quod istud dicat. » (3) Introducit janitor Sylosontem; stantemque in medio interrogant interpretes, quis sit, et quo facto bene se de Rege meruisse dicat. Exponit igitur ille rem omnem ad amiculum spectantem; affirmatque se illum esse qui ei illud dono dederit. (4) Tum rex, « O liberalissime hominum, ait, tu ergo ille es, qui mihi nullamdum potestatem habenti donum dedisti! quod etsi exiguum, tamen prorsus æquale est beneficium, ac si nunc magnum quidpiam alicunde accipiam. Pro quo tibi ego ingens auri argentique pondus reddo, ne umquam te pœniteat, Dario Hystaspis filio beneficium contulisse. » (2) Ad hæc Syloson : « Nec auro me, rex, nec argento dona : sed patriam meam Samum serva, mihique redde; quam nunc, postquam frater meus Polycrates ab Oræte interfectus est, tenet servus noster. Hanc mihi da, a cædibus et servitute liberatam. »

CXLI. His auditis, Darius exercitum misit ducemque

τε καὶ στρατηγὸν Ὀτάνεα ἀνδρῶν τῶν ἑπτὰ γενόμενον, ἐντειλάμενος, ὅσων ἐδεήθη ὁ Συλοσῶν, ταῦτά οἱ ποιέειν ἐπιτελέα. Καταβὰς δ' ἐπὶ τὴν θάλασσαν ὁ Ὀτάνης ἔστελλε τὴν στρατιήν.

CXLII. Τῆς δὲ Σάμου Μαιάνδριος ὁ Μαιανδρίου εἶχε τὸ κράτος, ἐπιτροπαίην παρὰ Πολυκράτεος λαβὼν τὴν ἀρχήν· τῷ δικαιοτάτῳ ἀνδρῶν βουλομένῳ γενέσθαι οὐκ ἐξεγένετο. Ἐπειδὴ γάρ οἱ ἐξηγγέλθη ὁ Πολυκράτεος θάνατος, ἐποίεε τοιάδε. (2) Πρῶτα μὲν Διὸς ἐλευθερίου βωμὸν ἱδρύσατο, καὶ τέμενος περὶ αὐτὸν οὔρισε τοῦτο τὸ νῦν ἐν τῷ προαστείῳ ἐστί· μετὰ δὲ, ὡς οἱ ἐπεποίητο, ἐκκλησίην συναγείρας πάντων τῶν ἀστῶν ἔλεξε τάδε, « ἐμοὶ, ὡς ἴστε καὶ ὑμεῖς, σκῆπτρον καὶ δύναμις πᾶσα ἡ Πολυκράτεος ἐπιτέτραπται, καί μοι παρέχει νῦν ὑμέων ἄρχειν. (3) Ἐγὼ δὲ τὰ τῷ πέλας ἐπιπλήσσω, αὐτὸς κατὰ δύναμιν οὐ ποιήσω· οὔτε γάρ μοι Πολυκράτης ἤρεσκε δεσπόζων ἀνδρῶν ὁμοίων ἑωυτῷ, οὔτε ἄλλος ὅστις τοιαῦτα ποιέει. Πολυκράτης μέν νυν ἐξέπλησε μοῖραν τὴν ἑωυτοῦ, ἐγὼ δὲ ἐς μέσον τὴν ἀρχὴν τιθεὶς ἰσονομίην ὑμῖν προαγορεύω. (4) Τοσάδε μέντοι δικαιῶ γέρεα ἐμεωυτῷ γενέσθαι, ἐκ μέν γε τῶν Πολυκράτεος χρημάτων ἑξαίρετα ἓξ τάλαντά μοι γενέσθαι, ἱρωσύνην δὲ πρὸς τούτοισι αἱρεῦμαι αὐτῷ τέ μοι καὶ τοῖσι ἀπ' ἐμεῦ αἰεὶ γινομένοισι τοῦ Διὸς τοῦ ἐλευθερίου, τῷ αὐτός τε ἱρὸν ἱδρυσάμην καὶ τὴν ἐλευθερίην ὑμῖν περιτίθημι. » (5) Ὁ μὲν δὴ ταῦτα τοῖσι Σαμίοισι ἐπηγγέλλετο· τῶν δέ τις ἐξαναστὰς εἶπε, « ἀλλ' οὐδ' ἄξιος εἶς σύ γε ἡμέων ἄρχειν, γεγονώς τε κακῶς καὶ ἐὼν ὄλεθρος· ἀλλὰ μᾶλλον ὅκως λόγον δώσεις τῶν μετεχείρισας χρημάτων. «

CXLIII. Ταῦτα εἶπε ἐὼν ἐν τοῖσι ἀστοῖσι δόκιμος, τῷ οὔνομα ἦν Τελέσαρχος. Μαιάνδριος δὲ νόῳ λαβὼν ὡς εἰ μετήσει τὴν ἀρχὴν, ἄλλος τις ἀντ' αὐτοῦ τύραννος καταστήσεται, οὐδ' ἔτι ἐν νόῳ εἶχε μετιέναι αὐτὴν, ἀλλ' ὡς ἀνεχώρησε ἐς τὴν ἀκρόπολιν, μεταπεμπόμενος ἕνα ἕκαστον ὡς δὴ λόγον τῶν χρημάτων δώσων, συνέλαβέ σφεας καὶ κατέδησε. (2) Οἱ μὲν δὴ ἐδεδέατο, Μαιάνδριον δὲ μετὰ ταῦτα κατέλαβε νοῦσος. Ἐλπίζων δέ μιν ἀποθανέεσθαι ὁ ἀδελφεὸς, τῷ οὔνομα ἦν Λυκάρητος, ἵνα εὐπετεστέρως κατάσχῃ τὰ ἐν τῇ Σάμῳ πρήγματα, κατακτείνει τοὺς δεσμώτας πάντας· οὐ γὰρ δὴ, ὡς οἴκασι, ἐβουλέατο εἶναι ἐλεύθεροι.

CXLIV. Ἐπειδὴ ὧν ἀπίκοντο ἐς τὴν Σάμον οἱ Πέρσαι κατάγοντες Συλοσῶντα, οὔτε τίς σφι χεῖρας ἀνταείρεται, ὑπόσπονδοί τε ἔφασαν εἶναι ἑτοῖμοι οἱ τοῦ Μαιανδρίου στασιῶται καὶ αὐτὸς Μαιάνδριος ἐκχωρῆσαι ἐκ τῆς νήσου. Καταινέσαντος δ' ἐπὶ τούτοισι Ὀτάνεω καὶ σπεισαμένου, τῶν Περσέων οἱ πλείστου ἄξιοι θρόνους θέμενοι κατεναντίον τῆς ἀκροπόλιος ἑκατέατο.

CXLV. Μαιανδρίῳ δὲ τῷ τυράννῳ ἦν ἀδελφεὸς ὑπομαργότερος, τῷ οὔνομα ἦν Χαρίλεως. Οὗτος ὀτιδὴ ἐξαμαρτὼν ἐν γοργύρῃ ἐδέδετο· καὶ δὴ τότε ἐπακούσας τε τὰ πρησσόμενα καὶ διακύψας διὰ τῆς γοργύρης, ὡς εἶδε τοὺς Πέρσας εἰρηναίως κατημένους, ἐβόα τε καὶ

Otanen, unum e numero septemvirorum, cui mandat ut omnia effecta det quæ Syloson petiisset. Itaque ad mare descendit Otanes, exercitumque contraxit.

CXLII. Sami tunc imperium tenebat Mæandrius, Mæandrii filius, cui cura regni a Polycrate fuerat commissa. Hic, quum voluisset vir esse omnium justissimus, perficere propositum non potuerat. Postquam enim nunciatus ei interitus erat Polycratis, hæcce fecit. (2) Primum, Jovis Liberatoris aram constituit, et templum circa illam designavit, hoc ipsum quod etiam nunc est in suburbio. Dein, hoc perfecto, concione convocata civium omnium, hæc apud eos verba fecit : « Mihi, ut etiam nostis ipsi, sceptrum Polycratis atque potestas omnis commissa est : nihilque nunc prohibet, quominus regnum in vos capessam. (3) At, quod in aliis ego reprehendo, id quantum in me est, non faciam ipse : nec enim mihi Polycrates placuit, in viros sibi pares dominium exercens; nec alius quisquam, qui hoc facit. Polycrates igitur nunc fatum suum explevit : ego vero, regnum in medio deponens, juris æquabilitatem vobis pronuncio. (4) Æquum tamen censeo, ut hæcce mihi præmia honoresque tribuantur : ex pecuniis Polycratis præcipua sex talenta : tum sacerdotium mihi meisque in omne tempus posteris postulo Jovis Liberatoris, cui et templum ego dedicavi, et cujus nomine libertatem vobis trado. » (5) Hæc quum a Samiis Mæandrius postulasset, surgens aliquis ait : « At non tu dignus es qui nobis imperes, pravus qui fuisti et pestifer homo; quin potius pecuniarum, quas administrasti, facito reddas rationem. »

CXLIII. Hæc dixit homo spectatus inter cives, cui erat nomen Telesarchus. Tum vero Mæandrius, secum reputans, si dominatum ipse deponeret, fore ut alius quispiam in ipsius locum tyrannus constituatur, non jam amplius deponere potestatem decrevit : sed, postquam in arcem est reversus, singulos deinceps ad se vocavit, quasi rationem redditurus administratæ pecuniæ; eosque comprehensos in vincula conjecit. (2) Qui dum ita in custodia servantur, posthæc Mæandrius in morbum incidit. Tunc frater ejus, cui nomen erat Lycaretus, moriturum illum ratus, quo facilius ipse rerum Sami potiretur, vinctos cunctos interfecit. Nec enim, ut videtur, voluerant illi *ea conditione quam eis Lycaretus proposuit* liberari.

CXLIV. Jam postquam Persæ Samum venerunt, Silosontem in regnum restituturi, nemo manus contra eos sustulit : sed, qui Mæandrio favebant, atque ipse etiam Mæandrius, professi sunt, paratos se esse data fide excedere insula. Quam conditionem quum probasset Otanes, fidemque dedisset et accepisset; Persarum nobilissimi, positis sellis, ex adverso arcis residebant.

CXLV. Erat Mæandrio tyranno frater haud satis compos mentis, nomine Charilaus; qui, quod nescio quid deliquerat, in subterraneo carcere vinctus erat. Hic tunc, postquam quæ gerebantur audivit, et per carceris fenestram prospectans Persas vidit tranquille sedentes, clamavit, dicens

ἔφη λέγων Μαιανδρίῳ θέλειν ἐλθεῖν ἐς λόγους. (2) Ἐπακούσας δὲ ὁ Μαιάνδριος λύσαντας αὐτὸν ἐκέλευε ἄγειν παρ' ἑωυτόν. Ὡς δὲ ἄχθη τάχιστα, λοιδορέων τε καὶ κακίζων μιν ἀνέπειθε ἐπιθέσθαι τοῖσι Πέρσῃσι, λέγων τοιάδε, « ἐμὲ μέν, ὦ κάκιστε ἀνδρῶν, ἐόντα σεωυτοῦ ἀδελφεὸν καὶ ἀδικήσαντα οὐδὲν ἄξιον δεσμοῦ δήσας γοργύρης ἠξίωσας· (3) ὁρέων δὲ τοὺς Πέρσας ἐκβάλλοντάς τέ σε καὶ ἀνοικον ποιεῦντας οὐ τολμᾷς τίσασθαι, οὕτω δή τι ἐόντας εὐπετέας χειρωθῆναι; ἀλλ' εἴ τι σύ σφεας καταρρώδηκας, ἐμοὶ δὸς τοὺς ἐπικούρους, καί σφεας ἐγὼ τιμωρήσομαι τῆς ἐνθάδε ἀπίξιος· αὐτὸν δέ σε ἐκπέμψαι ἐκ τῆς νήσου ἑτοῖμος εἰμί. »

CXLVI. Ταῦτα ἔλεξε ὁ Χαρίλεως· Μαιάνδριος δὲ ὑπέλαβε τὸν λόγον, ὡς μὲν ἐγὼ δοκέω, οὐκ ἐς τοῦτο ἀφροσύνης ἀπικόμενος ὡς δόξαι τὴν ἑωυτοῦ δύναμιν περιέσεσθαι τῆς βασιλέος, ἀλλὰ φθονήσας μᾶλλον Συλοσῶντι, εἰ ἀπονητὶ ἔμελλε ἀπολάμψεσθαι ἀκέραιον τὴν πόλιν. (2) Ἐρεθίσας ὦν τοὺς Πέρσας ἤθελε ὡς ἀσθενέστατα ποιῆσαι τὰ Σάμια πρήγματα καὶ οὕτω παραδιδόναι, εὖ ἐξεπιστάμενος ὡς παθόντες οἱ Πέρσαι κακῶς προσεμπικρανέεσθαι ἔμελλον τοῖσι Σαμίοισι, εἰδώς τε ἑωυτῷ ἀσφαλέα ἔκδυσιν ἐοῦσαν ἐκ τῆς νήσου τότε ἐπεὰν αὐτὸς βούληται· ἐπεποίητο γάρ οἱ κρυπτὴ διῶρυξ ἐκ τῆς ἀκροπόλιος φέρουσα ἐπὶ θάλασσαν. (3) Αὐτὸς μὲν δὴ ὁ Μαιάνδριος ἐκπλώει ἐκ τῆς Σάμου· τοὺς δὲ ἐπικούρους πάντας ὁπλίσας ὁ Χαρίλεως, καὶ ἀναπετάσας τὰς πύλας, ἐξῆκε ἐπὶ τοὺς Πέρσας οὔτε προσδεκομένους τοιοῦτο οὐδὲν δοκέοντάς τε δὴ πάντα συμβεβάναι. (4) Ἐμπεσόντες δὲ οἱ ἐπίκουροι τῶν Περσέων τοὺς διφροφορευμένους τε καὶ λόγου πλείστου ἐόντας ἔκτεινον. Καὶ οὗτοι μὲν ταῦτα ἐποίευν, ἡ δὲ ἄλλη στρατιὴ ἡ Περσικὴ ἐπεβώθεε· πιεζόμενοι δὲ οἱ ἐπίκουροι ὀπίσω κατειλήθησαν ἐς τὴν ἀκρόπολιν.

CXLVII. Ὀτάνης δὲ ὁ στρατηγὸς ἰδὼν πάθος μέγα Πέρσας πεπονθότας, ἐντολάς τε τὰς Δαρείου οἱ ἀποστέλλων ἐνετέλλετο, μήτε κτείνειν μηδένα Σαμίων μήτε ἀνδραποδίζεσθαι, ἀπαθέα τε κακῶν ἀποδοῦναι τὴν νῆσον Συλοσῶντι, τούτων μὲν τῶν ἐντολέων μεμνημένος ἐπελανθάνετο, ὁ δὲ παρήγγειλε τῇ στρατιῇ πάντα τὸν ἂν λάβωσι, καὶ ἄνδρα καὶ παῖδα, ὁμοίως κτείνειν. (2) Ἐνθαῦτα τῆς στρατιῆς οἱ μὲν τὴν ἀκρόπολιν ἐπολιόρκεον, οἱ δὲ ἔκτεινον πάντα τὸν ἐμποδὼν γινόμενον, ὁμοίως ἔν τε ἱρῷ καὶ ἔξω ἱροῦ.

CXLVIII. Μαιάνδριος δ' ἀποδρὰς ἐκ τῆς Σάμου ἐκπλώει ἐς Λακεδαίμονα· ἀπικόμενος δ' ἐς αὐτὴν, καὶ ἀνενεικάμενος τὰ ἔχων ἐξεχώρησε, ἐποίεε τοιάδε. Ὅκως ποτήρια ἀργύρεά τε καὶ χρύσεα προθεῖτο, οἱ μὲν θεράποντες αὐτοῦ ἐξέσμων αὐτὰ, ὁ δ' ἂν τὸν χρόνον τοῦτον τῷ Κλεομένεϊ τῷ Ἀναξανδρίδεω ἐν λόγοισι ἐών, βασιλεύοντι Σπάρτης, προῆγέ μιν ἐς τὰ οἰκία· ὅκως δὲ ἴδοιτο Κλεομένης τὰ ποτήρια, ἀπεθώμαζέ τε καὶ ἐξεπλήσσετο· ὁ δὲ ἂν ἐκέλευε αὐτὸν ἀποφέρεσθαι αὐτῶν ὅσα βούλοιτο. (2) Τοῦτο καὶ δὶς καὶ τρὶς εἰπάντος Μαιανδρίου ὁ Κλεομένης δικαιότατος ἀνδρῶν γίνεται ἐς τὰ μάλιστα, ἐνθαῦτα ἀπικόμενος ἐς Σπάρτην οὐκ ἐποίεε τοιοῦτο οὐδέν, ἀλλὰ τὰ μὲν ἐκλέπτων, τὰ δὲ καὶ ἀπαιτέων ἐκ τῶν ἱρῶν ἐκ τῶν οἰκιῶν ἐκτήσατο πολλὰ καὶ ἀγαθά. (3) Ἐπὶ τούτοισι δὴ ὁ Μαιάνδριος ἐπεθύμησε τοῦ Κλεομένεος τὴν θυγατέρα μνηστεύσασθαι· ἡ δὲ ἐκαλέετο μὲν Γοργὼ, ἦν δὲ μούνη τέκνων τοῦ Κλεομένεος. Ἐπεὶ δὲ ἐμνηστεύετο, ἔφη ὁ Κλεομένης ἐπὶ πολλὸν μὲν ἀπαλλάξειν αὐτὸν, ἐπὶ πολλὸν δὲ ἐλάσσω δώσειν ἢ ἐδίδου τῷ Ἀριστοδήμου παιδὶ τῷ Ἀριστοφάνεϊ· ἐκεῖνος γὰρ ἐμνηστεύετο ἐπὶ τοῖσι μηδὲν ἐλάσσω δώσειν ἢ ἡμίσεα τῆς οὐσίης. (4) Ἐπὶ τούτοισι δὴ ὁ Μαιάνδριος ἔφη ἀπαλλάξειν αὐτὸν, ἐπὶ πολλὸν δὲ ἐλάσσω δώσειν ἢ ἐδίδου τῷ Ἀριστοφάνεϊ· ἐκεῖνος γὰρ ἐμνηστεύετο ἐπὶ τοῖσι μηδὲν ἐλάσσω δώσειν ἢ ἡμίσεα τῆς οὐσίης. (4) Ἐπὶ τούτοισι δὴ ὁ Μαιάνδριος ἔφη ἀπαλλάξειν αὐτὸν, ἐπὶ πολλὸν δὲ ἐλάσσω δώσειν ἢ ἐδίδου τῷ Ἀριστοφάνεϊ· ἐκεῖνος γὰρ ἐμνηστεύετο ἐπὶ τοῖσι μηδὲν ἐλάσσω δώσειν ἢ ἡμίσεα τῆς οὐσίης.

velle se in colloquium venire Mæandrio. (2) Quo audito, Mæandrius vinculis eum solvi jussit, ad seque adduci. Et ille, simulatque adductus est, increpans fratrem et ignavum adpellans, persuadere ei conatus est, ut in Persas impetum faceret, his usus verbis : « me vero, inquit, o hominum pessime, tuum fratrem, qui nihil deliqui quod vinculis dignum essst, ad vincula et subterraneum carcerem condemnasti : (3) Persas vero quum videas te ejicientes et in exsilium agentes, non audes pœnam ab illis repetere, licet ita facile opprimi possint! Quodsi tu illos perhorrescis, at mihi da auxiliares, et ego ab illis ob terræ nostræ invasionem pœnas sumam : teque ipsum paratus sum ex insula deducere. »

CXLVI. Hæc a Charilao dicta probavit Mæandrius; ut mihi quidem videtur, non quod eo stultitiæ venisset, ut existimaret suas copias superiores futuras copiis regis; sed potius invidens Sylosonti, si civitatem salvam et integram nullo labore obtinuisset. (2) Itaque, irritando Persas, voluit res Samiorum quammaxime infirmas reddere, atque ita urbem tradere : bene quippe gnarus, si male acciperentur Persæ, tanto magis eos exasperatum iri adversus Samios; et notum sibi exitum habens, per quem tuto ex insula evadere, simulatque voluisset, posset . effodiendum enim sibi curaverat occultum cuniculum, ex arce ad mare ducentem. (3) Ipse igitur Mæandrius Samo navi egreditur : Charilaus vero auxiliares cunctos armis instructos, apertis portis, adversus Persas educit, nihil tale exspectantes, omniaque convenisse existimantes. (4) Et auxiliares, impetu facto, Persarum eos qui sellis gestabantur et nobilissimi erant, interficiebant. Dum vero hi id faciunt, suppetias interim adcurrunt reliquæ Persarum copiæ : a quibus repulsi auxiliares, in arce sunt conclusi.

CXLVII. Otanes vero dux, ingentem videns calamitatem, quam passi erant Persæ, neque mandata ignorans, quæ illi Darius, quum eum Samum mitteret, dederat, ne Samiorum quemquam vel occideret vel in servitutem redigeret, sed immunem malorum insulam traderet Sylosonti; mandata ista lubens volens oblitus est, edixitque exercitui, quemcumque nacti essent, sive virum, sive puerum, eum perinde interficerent. (2) Ibi tum militum alii oppugnarunt arcem, alii vero obvium quemque interfecerunt, nullo discrimine sive sacro in loco, sive in profano.

CXLVIII. Mæandrius, Samo ubi profugerat, Lacedæmonem navigavit. Quo postquam pervenit, resque, quas secum advexerat, in hospitium transferendas curavit, hocce instituit facere. Pocula subinde exponebat argentea et aurea, eaque extergebant famuli : et ille per idem tempus cum Cleomene, Anaxandridæ filio, rege Spartanorum, sermones miscens, secum in hospitium illum ducebat; ubi quum pocula videns Cleomenes admiratione stuperet, ille eum jubebat ex his secum auferre quæcumque voluisset. (2) Id quum bis aut ter Mæandrius dixisset, justissimus vir

ται, ὃς λαβέειν μὲν διδόμενα οὐκ ἐδικαίευ, μαθὼν δὲ ὡς ἄλλοισι διδοὺς τῶν ἀστῶν εὑρήσεται τιμωρίην, βὰς ἐπὶ τοὺς ἐφόρους ἄμεινον εἶναι ἔφη τῇ Σπάρτῃ τὸν ξεῖνον τὸν Σάμιον ἀπαλλάσσεσθαι ἐκ τῆς Πελοποννήσου, ἵνα μὴ ἀναπείσῃ ἢ αὐτὸν ἢ ἄλλον τινὰ Σπαρτιητέων κακὸν γενέσθαι. Οἱ δ' ὑπακούσαντες ἐξεκήρυξαν Μαιάνδριον.

CXLIX. Τὴν δὲ Σάμον σαγηνεύσαντες οἱ Πέρσαι παρέδοσαν Συλοσῶντι ἐρῆμον ἐοῦσαν ἀνδρῶν. Ὑστέρῳ μέντοι χρόνῳ καὶ συγκατοίκισε αὐτὴν ὁ στρατηγὸς Ὀτάνης ἐκ τε ὄψιος ὀνείρου καὶ νούσου ἣ μιν κατέλαβε νοσῆσαι τὰ αἰδοῖα.

CL. Ἐπὶ δὲ Σάμον στρατεύματος ναυτικοῦ οἰχομένου Βαβυλώνιοι ἀπέστησαν, κάρτα εὖ παρεσκευασμένοι· ἐν δσῳ γὰρ ὅ τε μάγος ἦρχε καὶ οἱ ἑπτὰ ἐπανέστησαν, ἐν τούτῳ παντὶ τῷ χρόνῳ καὶ τῇ ταραχῇ ἐς τὴν πολιορκίην παρεσκευάδατο. Καί κως ταῦτα ποιεῦντες ἐλάνθανον. (2) Ἐπείτε δὲ ἐκ τοῦ ἐμφανέος ἀπέστησαν, ἐποίησαν τοιόνδε· τὰς μητέρας ἐξελόντες, γυναῖκα ἕκαστος μίαν προσεξαιρέετο τὴν ἐβούλετο ἐκ τῶν ἑωυτοῦ οἰκίων, τὰς δὲ λοιπὰς ἁπάσας συναγαγόντες ἀπέπνιξαν· τὴν δὲ μίαν ἕκαστος σιτοποιὸν ἐξαιρέετο. Ἀπέπνιξαν δὲ αὐτὰς, ἵνα μή σφεων τὸν σῖτον ἀναισιμώσωσι.

CLI. Πυθόμενος δὲ ταῦτα ὁ Δαρεῖος, καὶ συλλέξας πᾶσαν τὴν ἑωυτοῦ δύναμιν, ἐστρατεύετο ἐπ' αὐτούς, ἐπελάσας δὲ ἐπὶ τὴν Βαβυλῶνα ἐπολιόρκεε φροντίζοντας οὐδὲν τῆς πολιορκίης· ἀναβαίνοντες γὰρ ἐπὶ τοὺς προμαχεῶνας τοῦ τείχεος οἱ Βαβυλώνιοι κατωρχέοντο καὶ κατέσκωπτον Δαρεῖον καὶ τὴν στρατιὴν αὐτοῦ, καί τις αὐτῶν εἶπε τοῦτο τὸ ἔπος, « τί κάτησθε ἐνθαῦτα, ὦ Πέρσαι, ἀλλ' οὐκ ἀπαλλάσσεσθε; τότε γὰρ αἱρήσετε ἡμέας, ἐπεὰν ἡμίονοι τέκωσι. » Τοῦτο εἶπε τῶν τις Βαβυλωνίων, οὐδαμὰ ἐλπίζων ἂν ἡμίονον τεκέειν.

CLI. Ἑπτὰ δὲ μηνῶν καὶ ἐνιαυτοῦ διεληλυθότος ἤδη ὁ Δαρεῖός τε ἤσχαλλε καὶ ἡ στρατιὴ πᾶσα οὐ δυνατὴ ἐοῦσα ἑλέειν τοὺς Βαβυλωνίους. (2) Καίτοι πάντα σοφίσματα καὶ πάσας μηχανὰς ἐπεποιήκεε ἐς αὐτοὺς Δαρεῖος· ἀλλ' οὐδ' ὡς ἐδύνατο ἑλέειν σφέας, ἄλλοισί τε σοφίσμασι πειρησάμενος, καὶ δὴ καὶ τῷ Κῦρος εἷλε σφεας, καὶ τούτῳ ἐπειρήθη. Ἀλλὰ γὰρ δεινῶς ἔσαν ἐν φυλακῇσι οἱ Βαβυλώνιοι, οὐδέ σφεας οἷός τε ἦν ἑλέειν.

CLIII. Ἐνθαῦτα εἰκοστῷ μηνὶ Ζωπύρῳ τῷ Μεγαβάζου τούτου ὃς τῶν ἑπτὰ ἀνδρῶν ἐγένετο τῶν τὸν μάγον κατελόντων, τούτῳ τῷ Μεγαβάζου παιδὶ Ζωπύρῳ ἐγένετο τέρας τόδε· τῶν οἱ σιτοφόρων ἡμιόνων μία ἔτεκε. (2) Ὡς δέ οἱ ἐξηγγέλθη καὶ ὑπ' ἀπιστίης αὐτὸς ὁ Ζώπυρος εἶδε τὸ βρέφος, ἀπείπας τοῖσι δούλοισι μηδενὶ φράζειν τὸ γεγονὸς ἐβουλεύετο. (3) Καί οἱ πρὸς τὰ τοῦ Βαβυλωνίου ῥήματα, ὃς κατ' ἀρχὰς ἔφησε, ἐπεάν περ ἡμίονοι τέκωσι, τότε τὸ τεῖχος ἁλώσεσθαι, πρὸς ταύτην τὴν φήμην Ζωπύρῳ ἐδόκεε εἶναι ἁλώσιμος ἡ Βαβυλών· σὺν γὰρ θεῷ ἐκεῖνόν τε εἶπαι καὶ ἑωυτῷ τεκέειν τὴν ἡμίονον.

fuit Cleomenes, qui accipere oblata dedignatus, quum animadverteret, si aliis civium eadem offerret, auxilia eum inventurum, ephoros adiit, dixitque, ex usu esse Spartæ, ut Samius hospes Peloponneso egrediatur; ne aut se aut alium ex Spartanis corrumpat. Qua re audita, ephori per præconem abire Mæandrium jusserunt.

CXLIX. Persæ vero Samum, veluti verriculo captam, hominibusque nudatam, Sylosonti tradiderunt. Insequente vero tempore dux Otanes eamdem incolis rursus frequentavit, viso nocturno monitus, et morbo laborans, quo pudenda ejus erant adfecta.

CL. Postquam navalis exercitus Samum erat profectus, Babylonii a Persis defecerunt, rebus omnibus bene admodum præparatis. Nam quo tempore Magus regnavit, et adversus eum septem viri insurrexerunt, per omne id tempus, per illamque rerum perturbationem, ad tolerandam obsidionem sese præparaverant. Et initio quidem occulte quodammodo id fecerant. (2) Ex quo autem de professo descivere, hæcce fecerunt: matribus exceptis, et una ex uxoribus quam quisque sua e domo exemptam voluerat, reliquas omnes mulieres congregatas suffocarunt; unam autem, quam dixi, eximebat quisque quæ panem conficeret. Suffocarunt autem illas, ne frumentum ipsorum consumerent.

CLI. His rebus cognitis Darius, contractis universis suis copiis, adversus eos profectus est; admotoque exercitu, obsedit urbem. At obsidionem pro nihilo habebant Babylonii; nam in propugnacula muri adscendentes tripudiando insultabant irridebantque Darium et ejus exercitum; unusque eorum hoc verbum emisit: « Quid hic sedetis, Persæ? quidni abitis? tunc enim nos capietis, quando mulæ pepererint. » Hoc dixit Babyloniorum aliquis, existimans numquam mulam parituram.

CLII. Integer annus jam et septem menses erant elapsi, tædioque adfectus erat Darius ejusque exercitus, quod expugnare Babylonem non valerent. (2) Nam omnibus licet artificiis omnibusque machinamentis adversus eos adhibitis, non tamen poterat Darius eos expugnare, id quod tentaverat et aliis artificiorum generibus, et illo etiam quo Cyrus urbem ceperat: sed ita diligenter custodias agebant Babylonii, ut capi nullo pacto potuerint.

CLIII. Ibi tum, quum vicesimus ageretur mensis, Zopyro Megabazi filio hujus, qui e septem virorum numero fuit a quibus Magus interemptus est, huic, inquam, Megabazi filio Zopyro tale obtigit prodigium: una ex ipsius mulis frumentum vehentibus peperit. (2) Quod quum Zopyro esset renunciatum, et ille, ut qui fidem nuncio non adhiberet, pullum ipse spectasset, imperavit servis ut nemini ediceret factum, secumque deliberavit. (3) Recordatus igitur Babylonii illius verbum, qui initio dixerat, tunc Babylonem captum iri, quum mulæ pepererint, ex hujus verbis omen colligebat Zopyrus, capi nunc Babylonem posse: nec enim illum sine dei numine id dixisse, et sibi nunc mulam peperisse.

CLIV. Ὡς δέ οἱ ἐδόκεε μόρσιμον εἶναι ἤδη τῇ Βαβυλῶνι ἁλίσκεσθαι, προσελθὼν Δαρείῳ ἀπεπυνθάνετο εἰ περὶ πολλοῦ κάρτα ποιέεται τὴν Βαβυλῶνα ἑλέειν. Πυθόμενος δὲ ὡς πολλοῦ τιμῷτο, ἄλλο ἐβουλεύετο, ὅκως αὐτός τε ἔσται ὁ ἑλὼν αὐτὴν καὶ ἑωυτοῦ τὸ ἔργον ἔσται· κάρτα γὰρ ἐν τοῖσι Πέρσῃσι αἱ ἀγαθοεργίαι ἐς τὸ πρόσω μεγάθεος τιμέονται. (2) Ἄλλῳ μέν νυν οὐκ ἐφράζετο ἔργῳ δυνατὸς εἶναί μιν ὑποχειρίην ποιῆσαι, εἰ δ' ἑωυτὸν λωβησάμενος αὐτομολήσειε ἐς αὐτούς. Ἐνθαῦτα ἐν ἑλαφρῷ ποιησάμενος ἑωυτὸν λωβᾶται λώβην ἀνήκεστον· ἀποταμὼν γὰρ ἑωυτοῦ τὴν ῥῖνα καὶ τὰ ὦτα, καὶ τὴν κόμην κακῶς περιξείρας, καὶ μαστιγώσας ἦλθε παρὰ Δαρεῖον.

CLV. Δαρεῖος δὲ κάρτα βαρέως ἤνεικε ἰδὼν ἄνδρα δοκιμώτατον λελωβημένον· ἔκ τε τοῦ θρόνου ἀναπηδήσας ἀνέβωσέ τε καὶ εἴρετό μιν ὅστις εἴη ὁ λωβησάμενος καὶ ὅ τι ποιήσαντα. (2) Ὁ δὲ εἶπε, « οὐκ ἔστι οὗτος ὡνὴρ ὅτι μὴ σὺ, τῷ ἐστὶ δύναμις τοσαύτη ἐμὲ δὴ ὧδε διαθεῖναι· οὐδέ τις ἀλλοτρίων, ὦ βασιλεῦ, τάδε ἔργαστα, ἀλλ' αὐτὸς ἐγὼ ἐμεωυτόν, δεινόν τι ποιεύμενος Ἀσσυρίους Πέρσῃσι καταγελᾶν. » (3) Ὁ δ' ἀμείβετο, « ὦ σχετλιώτατε ἀνδρῶν, ἔργῳ τῷ αἰσχίστῳ οὔνομα τὸ κάλλιστον ἔθευ, φὰς διὰ τοὺς πολιορκευμένους σεωυτὸν ἀνηκέστως διαθεῖναι. Τί δ', ὦ μάταιε, λελωβημένου σεῦ θᾶσσον οἱ πολέμιοι παραστήσονται; κῶς οὐκ ἐξέπλωσας τῶν φρενῶν σεωυτὸν διαφθείρας; » (4) Ὁ δὲ εἶπε, « εἰ μέν τοι ὑπερετίθεα τὰ ἔμελλον ποιήσειν, οὐκ ἄν με περιεῖδες· νῦν δ' ἐπ' ἐμεωυτοῦ βαλόμενος ἔπρηξα. Ἤδη ὦν ἦν μὴ τῶν σῶν δεήσῃ, αἱρέομεν Βαβυλῶνα. Ἐγὼ μὲν γὰρ ὡς ἔχω αὐτομολήσω ἐς τὸ τεῖχος, καὶ φήσω πρὸς αὐτοὺς ὡς ὑπὸ σεῦ τάδε πέπονθα· καὶ δοκέω, πείσας σφέας ταῦτα ἔχειν οὕτω, τεύξεσθαι στρατιῆς. (5) Σὺ δέ, ἀπ' ἧς ἂν ἡμέρης ἐγὼ ἐσέλθω ἐς τὸ τεῖχος, ἀπὸ ταύτης ἐς δεκάτην ἡμέρην τῆς σεωυτοῦ στρατιῆς, τῆς οὐδεμία ἔσται ὥρη ἀπολλυμένης, ταύτης χιλίους τάξον κατὰ τὰς Σεμιράμιος καλευμένας πύλας· μετὰ δὲ αὖτις ἀπὸ τῆς δεκάτης ἐς ἑβδόμην ἄλλους μοι τάξον δισχιλίους κατὰ τὰς Νινίων καλευμένας πύλας· ἀπὸ δὲ τῆς ἑβδόμης διαλιπὼν εἴκοσι ἡμέρας, καὶ ἔπειτεν ἄλλους κάτισον ἀγαγὼν κατὰ τὰς Χαλδαίων καλευμένας πύλας, τετρακισχιλίους. (6) Ἐχόντων δὲ μήτε οἱ πρότεροι μηδὲν τῶν ἀμυνεόντων μήτε οὗτοι, πλὴν ἐγχειριδίων· τοῦτο δὲ ἐᾶν ἔχειν. Μετὰ δὲ τὴν εἰκοστὴν ἡμέρην ἰθέως τὴν μὲν ἄλλην στρατιὴν κελεύειν περὶξ προσβάλλειν πρὸς τὸ τεῖχος, Πέρσας δέ μοι τάξον κατά τε τὰς Βηλίδας καλευμένας πύλας καὶ Κισσίας· ὡς γὰρ ἐγὼ δοκέω, ἐμέο μεγάλα ἔργα ἀποδεξαμένου τά τε ἄλλα ἐπιτρέψονται ἐμοὶ Βαβυλώνιοι καὶ δὴ καὶ τῶν πυλέων τὰς βαλανάγρας· τὸ δ' ἐνθεῦτεν ἐμοί τε καὶ Πέρσῃσι μελήσει τὰ δεῖ ποιέειν. »

CLVI. Ταῦτα ἐντειλάμενος ἦϊε ἐπὶ τὰς πύλας, ἐπιστρεφόμενος ὡς δὴ ἀληθέως αὐτόμολος. Ὁρεόντες δὲ ἀπὸ τῶν πύργων οἱ κατὰ τοῦτο τεταγμένοι κατέτρεχον κάτω, καὶ ὀλίγον τι παρακλίναντες τὴν ἑτέρην

CLIV. Quum igitur in fatis esse illi videretur, ut nunc Babylon caperetur, Darium adiens quæsivit ex eo, an utique maximi faceret capi Babylonem. Accepto responso, maximi id facere regem; secundo loco secum deliberavit, quo pacto ipse esset qui illam caperet, ipsiusque hoc facinus esset futurum : nam apud Persas præcipue res præclare gestæ maximis honoribus rependuntur. (2) Nulla vero alia ratione fieri posse, ut illam in potestatem redigeret, judicavit, nisi si se ipse mutilasset, atque ita ad illos transfugisset. Ibi tum, parvi hoc pendens, insanabili mutilatione se ipse adlicit : quippe abscissis naribus auribusque, coma male tonsa, flagellis item laceratus, Darium adit.

CLV. Darius, ubi virum nobilissimum ita vidit mutilatum, gravissime adfectus, e solio subsiliens exclamat, ex eoque quærit, quis eum ita mutilaverit, quave de caussa. (2) Cui Zopyrus respondit : « Non est is alius nisi tu, qui tantam habes potestatem, ut ego hoc modo sim adfectus. Nec vero alienus quispiam, o rex, me ita adfecit, sed ego ipse me, indignatus Assyriis Persas deridentibus. » (3) Tum Darius, « O miserrime hominum, ait, fœdissimo facto pulcerrimum nomen imposuisti, quum te profitearis propter hos, quos obsidemus, te ipsum tam insanabili modo adfecisse. Quo vero pacto, stulte, quod tu ita mutilatus sis, eo citius in potestatem redigentur hostes? Anne mente es alienatus, qui te ita perdidisti? » (4) Respondit ille : « Atqui, si tecum communicassem quæ facturus eram, tu me prohibuisses : nunc privato id feci consilio. Jam ergo, nisi tu iis quæ tui muneris sunt defueris, capiemus Babylonem. Nam ego, ita ut sum adfectus, ad murum pro transfuga me conferam, dicens illis, a te me hæc esse passum : et puto, quum rem ita se habere iis persuasero, exercitum mihi commissum iri. (5) Tu vero, a quo die ego murum ero ingressus, decimo inde die de illa copiarum tuarum parte, cujus jacturam minime ægre laturus sis, mille homines contra portam colloca quæ Semiramidis vocatur. Deinde rursus septimo die ab illo decimo, alios bis mille contra Niniam, quæ vocatur, colloca portam. Ab hoc vero septimo die intermitte dies viginti, deinde alios contra Chaldæam, quam vocant, duc portam, ibique locum capere jube quater mille numero. (6) Nec vero priores, neque hi, aliud quo se tueantur habeant præter gladios : his tamen armatos esse simito. Post illum vero vicesimum diem continuo reliquum exercitum jube murum circumcirca adgredi : Persas autem mihi ad Belidem, quam vocant, et ad Cissiam colloca portam. Nam, ut equidem puto, postquam præclara edidero facta, et reliqua meæ fidei committent Babylonii, et portarum obices. Exinde meum erit et Persarum, curare ut quæ ex usu sint faciamus. »

CLVI. Hæc postquam mandavit, ad portam perrexit; subinde retro se convertens, tamquam vere transfuga. Quem ubi conspexerunt qui in turribus speculandi caussa stationem habebant, raptim descendunt, et paululum reclinata

πύλην εἰρώτεον τίς τε εἴη καὶ ὅτευ δεόμενος ἥκοι. (2) Ὁ δέ σφι ἠγόρευε ὡς εἴη τε Ζώπυρος καὶ αὐτομολέοι ἐς ἐκείνους. Ἦγον δή μιν οἱ πυλουροὶ, ταῦτα ὡς ἤκουσαν, ἐπὶ τὰ κοινὰ τῶν Βαβυλωνίων· καταστὰς δὲ ἐπ' αὐτὰ κατοικτίζετο, φὰς ὑπὸ Δαρείου πεπονθέναι τὰ πεπόνθεε ὑπ' ἑωυτοῦ, παθέειν δὲ ταῦτα, διότι συμβουλεύσαι οἱ ἀπανιστάναι τὴν στρατιὴν, ἐπείτε οὐδεὶς πόρος ἐφαίνετο τῆς ἁλώσιος. (3) « Νῦν τε », ἔφη λέγων, « ἐγὼ ὑμῖν, ὦ Βαβυλώνιοι, ἥκω μέγιστον ἀγαθὸν, Δαρείῳ δὲ καὶ τῇ στρατιῇ καὶ Πέρσῃσι μέγιστον κακόν· οὐ γὰρ δὴ ἐμέ γε ὧδε λωβησάμενος καταπροΐξεται· ἐπίσταμαι δ' αὐτοῦ πάσας τὰς διεξόδους τῶν βουλευμάτων. »

CLVII. Τοιαῦτα ἔλεγε. Οἱ δὲ Βαβυλώνιοι ὁρέοντες ἄνδρα τῶν ἐν Πέρσῃσι δοκιμώτατον ῥινός τε καὶ ὠτων ἐστερημένον μάστιξί τε καὶ αἵματι ἀναπεφυρμένον, πάγχυ ἐλπίσαντες λέγειν μιν ἀληθέα καί σφι ἥκειν σύμμαχον, ἐπιτράπεσθαι ἑτοῖμοι ἔσαν τῶν ἐδέετο σφέων· ἐδέετο δὲ στρατιῆς. (2) Ὁ δὲ ἐπείτε αὐτῶν τοῦτο παρέλαβε, ἐποίεε τά περ τῷ Δαρείῳ συνεθήκατο· ἐξαγαγὼν γὰρ τῇ δεκάτῃ ἡμέρῃ τὴν στρατιὴν τῶν Βαβυλωνίων καὶ κυκλωσάμενος τοὺς χιλίους τοὺς πρώτους ἐνετείλατο Δαρείῳ τάξαι, τούτους κατεφόνευσε. (3) Μαθόντες δέ μιν οἱ Βαβυλώνιοι τοῖσι ἔπεσι τὰ ἔργα παρεχόμενον ὁμοῖα, πάγχυ περιχαρέες ἐόντες πᾶν δὴ ἑτοῖμοι ἔσαν ὑπηρετέειν. Ὁ δὲ διαλιπὼν ἡμέρας τὰς συγκειμένας, αὖτις ἐπιλεξάμενος τῶν Βαβυλωνίων ἐξήγαγε καὶ κατεφόνευσε τῶν Δαρείου στρατιωτέων τοὺς δισχιλίους. (4) Ἰδόντες δὲ καὶ τοῦτο τὸ ἔργον οἱ Βαβυλώνιοι πάντες Ζώπυρον εἶχον ἐν στόμασι αἰνέοντες. Ὁ δὲ αὖτις διαλιπὼν τὰς συγκειμένας ἡμέρας ἐξήγαγε ἐς τὸ προειρημένον, καὶ κυκλωσάμενος κατεφόνευσε τοὺς τετρακισχιλίους. (5) Ὡς δὲ καὶ τοῦτο κατέργαστο, πάντα δὴ ἦν ἐν τοῖσι Βαβυλωνίοισι Ζώπυρος, καὶ στρατάρχης τε οὗτός σφι καὶ τειχοφύλαξ ἀπεδέδεκτο.

CLVIII. Προσβολὴν δὲ Δαρείου κατὰ τὰ συγκείμενα ποιευμένου πέρι τὸ τεῖχος, ἐνθαῦτα δὴ πάντα τὸν δόλον ὁ Ζώπυρος ἐξέφαινε. Οἱ μὲν γὰρ Βαβυλώνιοι ἀναβάντες ἐπὶ τὸ τεῖχος ἠμύνοντο τὴν Δαρείου στρατιὴν προσβάλλουσαν, ὁ δὲ Ζώπυρος τάς τε Κισσίας καὶ Βηλίδας καλευμένας πύλας ἀναπετάσας ἐσῆκε τοὺς Πέρσας ἐς τὸ τεῖχος. (2) Τῶν δὲ Βαβυλωνίων οἱ μὲν εἶδον τὸ ποιηθὲν, οὗτοι ἔφευγον ἐς τοῦ Διὸς τοῦ Βήλου τὸ ἱρόν· οἱ δὲ οὐκ εἶδον, ἐμενον ἐν τῇ ἑωυτοῦ τάξι ἕκαστος, ἐς ὃ δὴ καὶ οὗτοι ἐμαθον προδεδομένοι.

CLIX. Βαβυλὼν μέν νυν οὕτω τὸ δεύτερον αἱρέθη· Δαρεῖος δὲ ἐπείτε ἐκράτησε τῶν Βαβυλωνίων, τοῦτο μέν σφεων τὸ τεῖχος περιεῖλε καὶ τὰς πύλας πάσας ἀπέσπασε (τὸ γὰρ πρότερον ἑλὼν Κῦρος τὴν Βαβυλῶνα ἐποίησε τούτων οὐδέτερον), τοῦτο δὲ ὁ Δαρεῖος τῶν ἀνδρῶν τοὺς κορυφαίους μάλιστα ἐς τρισχιλίους ἀνεσκολόπισε, τοῖσι δὲ λοιποῖσι Βαβυλωνίοισι ἀπέδωκε τὴν πόλιν οἰκέειν. (2) Ὡς δ' ἔξουσι γυναῖκας οἱ Βαβυλώνιοι, ἵνα σφι γενεὴ ὑπογίνηται, τάδε Δαρεῖος προϊ-

altera portæ ala interrogant, quis sit, et qua caussa advenerit. (2) Et ille, Zopyrum se esse, dixit, et ut transfugam ad eos venire. Quo audito, portæ custodes in curiam Babyloniorum eum duxerunt: ubi coram senatu constitutus, sortem suam deplorans, ait, a Dario se hæc (quæ sibi ipse inflixerat) esse passum, eo quod illi suasisset abducere exercitum, quandoquidem nulla via capiendæ urbis ostenderetur. (3) « Et nunc ego (sic dicere perrexit) ad vos, Babylonii, veni, maximo vobis commodo futurus, Dario autem ejusque exercitui et Persis maximo detrimento. Nec enim nimirum impune ille feret, qui hoc me modo mutilaverit: exploratas autem habeo omnes consiliorum ipsius vias. »

CLVII. Quæ ubi ille locutus est, videntes Babylonii virum inter Persas nobilissimum naribus auribusque mutilatum, et cruore ex flagellis inquinatum, prorsus existimaverunt vera eum dicere, et ut socium sibi advenisse. Itaque parati erant ei indulgere quæ ab ipsis postulasset; postulabat autem armatorum manum. (2) Tum vero ille, postquam copias ab iis impetravit, ea facere instituit de quibus illi cum Dario convenerat. Decimo die, educto Babyloniorum exercitu, mille illos, quos primos certo loco locare mandaverat Dario, circumdatos interfecit. (3) Jamque intelligentes Babylonii, factis eum verba æquare, maximo gaudio perfusi, in omnibus ei parere erant parati. Tum ille, interjecto dierum numero de quo convenerat, iterum selectos Babyloniorum eduxit, et bis mille illos, quos supra dixi, Darii milites interfecit. (4) Igitur hoc etiam factum ubi viderunt Babylonii, omnium ore Zopyrus celebrabatur laudibus. At ille rursus, intermisso definito dierum numero, in locum constitutum copias eduxit, et circumdatos quater mille interfecit. (5) Qua denuo re gesta, jam omnia Zopyrus apud Babylonios erat, et imperii summa et muri custodia eidem permissa est.

CLVIII. Deinde vero, ut ex composito Darius murum circumcirca oppugnare est adgressus, ibi tum Zopyrus dolum universum nudavit. Nam, dum Babylonii conscenso muro repellere oppugnantem Darii exercitum conantur, Zopyrus interim aperta Cissia et Belide porta Persas intra murum recepit. (2) Quod factum qui viderunt Babylonii, hi in Jovis Beli templum confugerunt: qui vero non viderunt, in suo quisque manserunt ordine, donec et hi proditos se esse intellexerunt.

CLIX. Igitur hoc modo capta iterum Babylon est. Darius vero, urbe potitus, et murum ejus diruit, et portas omnes detraxit; quorum neutrum Cyrus fecerat, postquam primum Babylonem cepit. Adhæc ex primariis civibus ter mille admodum e palis suspendi Darius jussit, reliquis vero Babyloniis urbem reddidit habitandam. (2) Quo vero mulieres haberent Babylonii, et soboles eis subnasceretur (quando-

δῶν ἐποίησε (τὰς γὰρ ἑωυτῶν, ὡς καὶ κατ' ἀρχὰς δεδήλωται, ἀπέπνιξαν οἱ Βαβυλώνιοι τοῦ σίτου προορέοντες)· ἐπέταξε τοῖσι περιοίκοισι ἔθνεσι γυναῖκας ἐς Βαβυλῶνα κατιστάναι, ὁσασδὴ ἑκάστοισι ἐπιτάσσων, ὥστε πέντε μυριάδων τὸ κεφαλαίωμα τῶν γυναικῶν συνῆλθε. Ἐκ τούτων δὲ τῶν γυναικῶν οἱ νῦν Βαβυλώνιοι γεγόνασι.

CLX. Ζωπύρου δὲ οὐδεὶς ἀγαθοεργίην Περσέων ὑπερεβάλετο παρὰ Δαρείῳ κριτῇ, οὔτε τῶν ὕστερον γενομένων οὔτε τῶν πρότερον, ὅτι μὴ Κῦρος μοῦνος· τούτῳ γὰρ οὐδεὶς Περσέων ἠξίωσέ κω ἑωυτὸν συμβαλέειν. (2) Πολλάκις δὲ Δαρεῖον λέγεται γνώμην τήνδε ἀποδέξασθαι, ὡς βούλοιτο ἂν Ζώπυρον εἶναι ἀπαθέα τῆς ἀεικίης μᾶλλον ἢ Βαβυλῶνάς οἱ εἴκοσι πρὸς τῇ ἰούσῃ προσγενέσθαι. Ἐτίμησε δέ μιν μεγάλως· καὶ γὰρ δῶρά οἱ ἀνὰ πᾶν ἔτος ἐδίδου ταῦτα τὰ Πέρσῃσί ἐστι τιμιώτατα, καὶ τὴν Βαβυλῶνά οἱ ἔδωκε ἀτελέα νέμεσθαι μέχρι τῆς ἐκείνου ζόης, καὶ ἄλλα πολλὰ ἐπέδωκε. (2) Ζωπύρου δὲ τούτου γίνεται Μεγάβυζος, ὃς ἐν Αἰγύπτῳ ἀντία Ἀθηναίων καὶ τῶν συμμάχων ἐστρατήγησε· Μεγαβύζου δὲ τούτου γίνεται Ζώπυρος, ὃς ἐς Ἀθήνας αὐτομόλησε ἐκ Περσέων.

quidem, ut initio expositum est, suas suffocaverant Babylonii, rei frumentariæ consulentes), tali ratione inita Darius providit : circum habitantibus populis imperavit, ut mulieres Babylonem, certum cuique populo numerum definiens, mitterent. Ita mulierum summa, quæ convenerunt, fuit quinquaginta millium; quibus e mulieribus prognati sunt qui nunc sunt Babylonii.

CLX. Dario vero judice, nemo Persarum, nec eorum qui ante, nec qui post fuerunt, melius de Persis meritus est quam Zopyrus, uno Cyro excepto : nam cum hoc se conferre nemo adhuc Persarum ausus est. (2) Fertur autem sæpius hanc sententiam declarasse Darius, malle se, Zopyrum indigna illa mutilatione non esse adfectum, quam viginti Babylones sibi ad eam quæ nunc est accedere. Magnifice autem illum honoravit : nam et munera illi quotannis tribuit ea, quæ honorificentissima sunt apud Persas, et Babylonem eidem, quoad victurus esset, administrandam concessit, ita ut nullum tributum regi penderet; et alia multa insuper munera ei contulit. (3) Zopyri hujus filius fuit Megabyzus ille, qui in Ægypto dux exercitus fuit adversus Athenienses atque socios : hujusque Megabyzi filius fuit Zopyrus is, qui ad Athenienses transfugit a Persis.

ΗΡΟΔΟΤΟΥ

ΙΣΤΟΡΙΩΝ ΤΕΤΑΡΤΗ.

(ΜΕΛΠΟΜΕΝΗ.)

I. Μετὰ δὲ τὴν Βαβυλῶνος αἵρεσιν ἐγένετο ἐπὶ Σκύθας αὐτοῦ Δαρείου ἔλασις. Ἀνθεύσης γὰρ τῆς Ἀσίης ἀνδράσι καὶ χρημάτων μεγάλων συνιόντων, ἐπεθύμησε ὁ Δαρεῖος τίσασθαι Σκύθας, ὅτι ἐκεῖνοι πρότεροι ἐσβαλόντες ἐς τὴν Μηδικὴν καὶ νικήσαντες μάχῃ τοὺς ἀντιουμένους ὑπῆρξαν ἀδικίης. (2) Τῆς γὰρ ἄνω Ἀσίης ἦρξαν, ὡς καὶ πρότερόν μοι εἴρηται, Σκύθαι ἔτεα δυῶν δέοντα τριήκοντα· Κιμμερίους γὰρ ἐπιδιώκοντες ἐσέβαλον ἐς τὴν Ἀσίην, καταπαύσαντες τῆς ἀρχῆς Μήδους· οὗτοι γὰρ πρὶν ἢ Σκύθας ἀπικέσθαι ἦρχον τῆς Ἀσίης. (3) Τοὺς δὲ Σκύθας ἀποδημήσαντας ὀκτὼ καὶ εἴκοσι ἔτεα καὶ διὰ χρόνου τοσούτου κατιόντας ἐς τὴν σφετέρην ἐξεδέξατο οὐκ ἐλάσσων πόνος τοῦ Μηδικοῦ· εὗρον γὰρ ἀντιουμένην σφι στρατιὴν οὐκ ὀλίγην· αἱ γὰρ τῶν Σκυθέων γυναῖκες, ὥς σφι οἱ ἄνδρες ἀπῆσαν χρόνον πολλὸν, ἐφοίτεον παρὰ τοὺς δούλους.

II. Τοὺς δὲ δούλους οἱ Σκύθαι πάντας τυφλοῦσι τοῦ γάλακτος εἵνεκεν τοῦ πίνουσι ποιεῦντες ὧδε· ἐπεὰν φυσητῆρας λάβωσι ὀστείνους, αὐλοῖσι προσεμφερεστάτους, τούτους ἐσθέντες ἐς τῶν θηλέων ἵππων τὰ ἄρθρα

HERODOTI

HISTORIARUM LIBER QUARTUS.

(MELPOMENE.)

I. Capta Babylone, jam adversus Scythas expeditionem Darius suscepit. Quum enim viris floreret Asia, et magnæ redirent pecuniæ, cupido incessit Darium pœnas sumendi ab Scythis, quod illi, incursione facta in Medicam terram, et prælio victis adversariis, priores initium fecissent injuriarum. (2) Etenim, ut supra dixi, per duodetriginta annos Scythæ superioris Asiæ tenuerant imperium : quippe persequentes Cimmerios, irruptione in Asiam facta, Medos imperio exuerant, qui ante Scytharum adventum imperaverant Asiæ. (3) Scythas autem, postquam octo et viginti annos domo abfuerant, et tam longo interjecto tempore in patriam erant reversuri, excepit non minor, quam Medicus fuerat, labor : offenderunt enim occurrentem sibi exercitum haud exiguum. Scilicet uxores Scytharum, dum per longum temporis spatium domo aberant viri, cum servis habuerunt consuetudinem.

II. Servos autem cunctos excæcant Scythæ, lactis causa, cujus potu utuntur. Emulgent vero lac hoc modo : fistulas sumunt osseas, tibiis simillimas; quibus in equa-

φυσέουσι τοῖσι στόμασι, ἄλλοι δὲ ἄλλων φυσεόντων ἀμέλγουσι. Φασὶ δὲ τοῦδε εἵνεκεν τοῦτο ποιέειν· τὰς φλέβας τε πίμπλασθαι φυσεωμένας τῆς ἵππου καὶ τὸ οὖθαρ κατίεσθαι. (2) Ἐπεὰν δὲ ἀμέλξωσι τὸ γάλα, ἐσχέαντες ἐς ξύλινα ἀγγήϊα κοῖλα καὶ περιστίξαντες κατὰ τὰ ἀγγήϊα τοὺς τυφλοὺς δονέουσι τὸ γάλα, καὶ τὸ μὲν αὐτοῦ ἐπιστάμενον ἀπαρύσαντες ἡγεῦνται εἶναι τιμιώτερον, τὸ δ' ὑπιστάμενον ἧσσον τοῦ ἑτέρου. (3) Τούτων μὲν εἵνεκεν ἅπαντα τὸν ἂν λάβωσι οἱ Σκύθαι ἐκτυφλοῦσι· οὐ γὰρ ἀρόται εἰσὶ, ἀλλὰ νομάδες.

III. Ἐκ τούτων δὴ ὧν σφι τῶν δούλων καὶ τῶν γυναικῶν ἐπετράφη νεότης, οἳ ἐπείτε ἔμαθον τὴν σφετέρην γένεσιν, ἠντιοῦντο αὐτοῖσι κατιοῦσι ἐκ τῶν Μήδων. Καὶ πρῶτα μὲν τὴν χώρην ἀπετάμοντο, τάφρον ὀρυξάμενοι εὐρέαν, κατατείνουσαν ἐκ τῶν Ταυρικῶν οὀρέων ἐς τὴν Μαιῆτιν λίμνην, ἥπερ ἐστὶ μεγίστη· μετὰ δὲ πειρεωμένοισι ἐσβάλλειν τοῖσι Σκύθῃσι ἀντικατιζόμενοι ἐμάχοντο. (2) Γινομένης δὲ μάχης πολλάκις, καὶ οὐ δυναμένων οὐδὲν πλέον ἔχειν τῶν Σκυθέων τῇ μάχῃ, εἷς αὐτῶν ἔλεξε τάδε, « οἷα ποιεῦμεν, ἄνδρες Σκύθαι· δούλοισι τοῖσι ἡμετέροισι μαχόμενοι αὐτοί τε ἐλάσσονες κτεινόμενοι γινόμεθα, καὶ ἐκείνους κτείνοντες ἐλασσόνων τὸ λοιπὸν ἄρξομεν. (3) Νῦν ὦν μοι δοκέει αἰχμὰς μὲν καὶ τόξα μετεῖναι, λαβόντα δὲ ἕκαστον τοῦ ἵππου τὴν μάστιγα ἰέναι ἅσσον αὐτῶν. Μέχρι μὲν γὰρ ὥρεον ἡμέας ὅπλα ἔχοντας, οἱ δὲ ἐνόμιζον ὁμοῖοί τε καὶ ἐξ ὁμοίων ἡμῖν εἶναι· ἐπεὰν δὲ ἴδωνται μάστιγας ἀντ' ὅπλων ἐχόντας, μαθόντες ὡς εἰσὶ ἡμέτεροι δοῦλοι, καὶ συγγνόντες τοῦτο, οὐκ ὑπομενέουσι. »

IV. Ταῦτα ἀκούσαντες οἱ Σκύθαι ἐποίευν ἐπιτελέα· οἱ δ' ἐκπλαγέντες τῷ γινομένῳ τῆς μάχης τε ἐπελάθοντο καὶ ἔφευγον. Οὕτω οἱ Σκύθαι τῆς τε Ἀσίης ἦρξαν, καὶ ἐξελαθέντες αὖτις ὑπὸ Μήδων κατῆλθον τρόπῳ τοιούτῳ ἐς τὴν σφετέρην. Τῶν δὲ εἵνεκεν ὁ Δαρεῖος τίσασθαι βουλόμενος συνήγειρε ἐπ' αὐτοὺς στράτευμα.

V. Ὡς δὲ Σκύθαι λέγουσι, νεώτατον ἁπάντων ἐθνέων εἶναι τὸ σφέτερον, τοῦτο δὲ γενέσθαι ὧδε. Ἄνερα γενέσθαι πρῶτον ἐν τῇ γῇ ταύτῃ ἐούσῃ ἐρήμῳ τῷ οὔνομα εἶναι Ταργίταον· τοῦ δὲ Ταργιτάου τούτου τοὺς τοκέας λέγουσι εἶναι, ἐμοὶ μὲν οὐ πιστὰ λέγοντες, λέγουσι δ' ὦν Δία τε καὶ Βορυσθένεος τοῦ ποταμοῦ θυγατέρα. Γένεος μὲν τοιούτου δή τινος γενέσθαι τὸν Ταργίταον, τούτου δὲ γενέσθαι παῖδας τρεῖς, Λιπόξαϊν καὶ Ἀρπόξαϊν καὶ νεώτατον Κολάξαϊν. (2) Ἐπὶ τούτων ἀρχόντων ἐκ τοῦ οὐρανοῦ φερόμενα χρύσεα ποιήματα, ἄροτρόν τε καὶ ζυγὸν καὶ σάγαριν καὶ φιάλην, πεσέειν ἐς τὴν Σκυθικήν· καὶ τῶν ἰδόντα πρῶτον τὸν πρεσβύτατον ἅσσον ἰέναι, βουλόμενον αὐτὰ λαβέειν, τὸν δὲ χρυσὸν ἐπιόντος καίεσθαι. (3) Ἀπαλλαχθέντος δὲ τούτου προσιέναι τὸν δεύτερον, καὶ τὸν αὖτις ταὐτὰ ποιέειν. Τοὺς μὲν δὴ καιόμενον τὸν χρυσὸν ἀπώσασθαι, τρίτῳ δὲ τῷ νεωτάτῳ ἐπελθόντι κατασβῆναι

rum genitalia insertis, sufflant ore; et dum alter sufflat, alter mulget. Id ea caussa se facere aiunt, quod venæ equarum ita inflatæ repleantur, et deprimantur ubera. (2) Postquam emulsere lac, in cava vasa lignea infundunt, illudque cæcorum operâ, continua serie circum vasa collocatorum, agitant : tum, quod supernatat, id desuper exhauriunt, exquisitius æstimantes; quod subsidit, minoris æstimant altero. (3) Hujus operæ caussa, quemcumque bello capiunt Scythæ, eum excæcant : nec enim aratores sunt, sed pastores.

III. Ex his igitur servis et ex Scytharum uxoribus prognata erat juventus : qui, cognita sua origine, illis ex Media redeuntibus sese opposuerunt. Ac primum quidem regionem interceperunt lata ducta fossa, quæ a Tauricis montibus ad Mæotin paludem, vastissimam illam, pertinebat. Deinde conantibus irrumpere Scythis, oppositis castris, repugnarunt. (2) Frequentibus commissis prœliis, quum nihil Scythæ pugnando proficerent, unus ex eis hæc verba fecit : « Quidnam rei facimus, Scythæ! cum servis nostris pugnantes interficimur ipsi minuimurque; et, illos si interficimus, paucioribus deinde imperabimus. (3) Videtur igitur mihi, omissis hastis et sagittis, unumquemque nostrûm debere flagellum sumere equi sui, atque ita adversus istos pergere. Quam diu enim nos illi viderunt arma gestantes, similes esse nostrûm et ex similibus se genitos putarunt : qui si nos viderint armorum loco flagellis instructos, intelligent servos se esse nostros; et conditionis suæ conscii, nos non sustinebunt. »

IV. Hæc ubi audiverunt Scythæ, effecta dederunt : et illi, perculsi facto, omissa pugna, fugam arripuere. Ita Scythæ, Asiæ imperio potiti, rursusque a Medis ejecti, suam in terram isto modo rediere : eaque caussa pœnas ab illis sumere cupiens Darius exercitum adversus eos contraxit.

V. Scythæ, ut ipsi aiunt, gens sunt novissima omnium, originemque gentis hanc fuisse narrant. Primum hominem in illa terra, quæ deserta tunc fuisset, natum esse, cui nomen fuerit Targitaus. Hujus Targitai parentes fuisse aiunt, parum mihi credibilia narrantes, aiunt vero utique, Jovem et Borysthenis fluvii filiam. Tali igitur genere ortum esse Targitaum : huic autem filios fuisse tres, Lipoxain, et Arpoxain, minimumque natu Colaxain. (2) His regnantibus, de cœlo delapsa aurea instrumenta, aratrum et jugum et bipennem et phialam, decidisse in Scythicam terram. Et illorum natu maximum, qui primus conspexisset, propius accedentem capere ista voluisse; sed, eo accedente, aurum arsisse. (3) Quo digresso, accessisse alterum, et itidem arsisse aurum. Hos igitur ardens aurum repudiasse; accedente vero natu minimo fuisse

ναι, καί μιν ἐκεῖνον κομίσαι ἐς ἑωυτοῦ, καὶ τοὺς πρεσβυτέρους ἀδελφεοὺς πρὸς ταῦτα συγγνόντας τὴν βασιληΐην πᾶσαν παραδοῦναι τῷ νεωτάτῳ.

VI. Ἀπὸ μὲν δὴ Λιποξάϊος γεγονέναι τούτους τῶν Σκυθέων οἱ Αὐχάται γένος καλεῦνται, ἀπὸ δὲ τοῦ μέσου Ἀρποξάϊος οἱ Κατίαροί τε καὶ Τράσπιες καλεῦνται, ἀπὸ δὲ τοῦ νεωτάτου αὐτῶν τοὺς βασιλέας, οἱ καλεῦνται Παραλάται· σύμπασι δὲ εἶναι οὔνομα Σκολότους, τοῦ βασιλέος ἐπωνυμίην. Σκύθας δὲ Ἕλληνες ὠνόμασαν.

VII. Γεγονέναι μέν νυν σφέας ὧδε λέγουσι οἱ Σκύθαι, ἔτεα δέ σφι, ἐπείτε γεγόνασι, τὰ σύμπαντα λέγουσι εἶναι ἀπὸ τοῦ πρώτου βασιλέος Ταργιτάου ἐς τὴν Δαρείου διάβασιν τὴν ἐπὶ σφέας χιλίων οὐ πλέω, ἀλλὰ τοσαῦτα. (2) Τὸν δὲ χρυσὸν τοῦτον τὸν ἱρὸν φυλάσσουσι οἱ βασιλέες ἐς τὰ μάλιστα, καὶ θυσίῃσι μεγάλῃσι ἱλασκόμενοι μετέρχονται ἀνὰ πᾶν ἔτος. (3) Ὃς δ' ἂν ἔχων τὸν χρυσὸν τὸν ἱρὸν ἐν τῇ ὁρτῇ ὑπαίθριος κατακοιμηθῇ, οὗτος λέγεται ὑπὸ Σκυθέων οὐ διενιαυτίζειν· δίδοσθαι δέ οἱ διὰ τοῦτο ὅσα ἂν ἵππῳ ἐν ἡμέρῃ μιῇ περιελάσῃ αὐτός. (4) Τῆς δὲ χώρης ἐούσης μεγάλης τριφασίας τὰς βασιληΐας τοῖσι παισὶ τοῖσι ἑωυτοῦ καταστήσασθαι Κολάξαϊν, καὶ τούτων μίαν μεγίστην ποιῆσαι, ἐν τῇ τὸν χρυσὸν φυλάσσεσθαι. (5) Τὰ δὲ κατύπερθε πρὸς βορέην λέγουσι ἄνεμον τῶν ὑπεροίκων τῆς χώρης οὐκ οἷά τε εἶναι ἔτι προσωτέρω οὔτε ὁρᾶν οὔτε διεξιέναι ὑπὸ πτερῶν κεχυμένων· πτερῶν γὰρ καὶ τὴν γῆν καὶ τὸν ἠέρα εἶναι πλέον, καὶ ταῦτα εἶναι τὰ ἀποκληΐοντα τὴν ὄψιν.

VIII. Σκύθαι μὲν ὧδε ὑπὲρ σφέων τε αὐτῶν καὶ τῆς χώρης τῆς κατύπερθε λέγουσι, Ἑλλήνων δὲ οἱ τὸν Πόντον οἰκέοντες ὧδε· Ἡρακλέα ἐλαύνοντα τὰς Γηρυόνεω βοῦς ἀπικέσθαι ἐς γῆν ταύτην ἐοῦσαν ἐρήμην, ἥντινα νῦν Σκύθαι νέμονται. Γηρυόνεα δὲ οἰκέειν ἔξω τοῦ Πόντου, κατοικημένον τὴν Ἕλληνες λέγουσι Ἐρύθειαν νῆσον, τὴν πρὸς Γηδείροισι τοῖσι ἔξω Ἡρακλέων στηλέων ἐπὶ τῷ Ὠκεανῷ. (2) Τὸν δὲ Ὠκεανὸν λόγῳ μὲν λέγουσι ἀπ' ἡλίου ἀνατολέων ἀρξάμενον γῆν περὶ πᾶσαν ῥέειν, ἔργῳ δὲ οὐκ ἀποδεικνῦσι. Ἐνθεῦτεν τὸν Ἡρακλέα ἀπικέσθαι ἐς τὴν νῦν Σκυθικὴν χώρην καλευμένην. (3) Καταλαβέειν γὰρ αὐτὸν χειμῶνά τε καὶ κρυμόν· ἐπειρυσάμενον δὲ τὴν λεοντέην κατυπνῶσαι, τὰς δέ οἱ ἵππους τὰς ὑπὸ τοῦ ἅρματος νεμομένας ἐν τούτῳ τῷ χρόνῳ ἀφανισθῆναι θείῃ τύχῃ.

IX. Ὡς δ' ἐγερθῆναι τὸν Ἡρακλέα, διζήσασθαι, πάντα δὲ τὰ τῆς χώρης ἐπεξελθόντα τέλος ἀπικέσθαι ἐς τὴν Ὑλαίην καλευμένην γῆν· ἐνθαῦτα δὲ αὐτὸν εὑρέειν ἐν ἄντρῳ μιξοπάρθενόν τινα ἔχιδναν διφυέα, τῆς τὰ μὲν ἄνω ἀπὸ τῶν γλουτέων εἶναι γυναικὸς, τὰ δὲ ἔνερθε ὄφιος. (2) Ἰδόντα δὲ καὶ θωμάσαντα ἐπείρεσθαί μιν εἰ κου ἴδοι ἵππους πλανευμένας· τὴν δὲ φάναι ἑωυτὴν ἔχειν, καὶ οὐκ ἀποδώσειν ἐκείνῳ πρὶν ἢ οἱ μιχθῆναι. τὸν δὲ Ἡρακλέα μιχθῆναι ἐπὶ τῷ μισθῷ τούτῳ. (3) Ἐκείνην τε δὴ ὑπερβάλλεσθαι τὴν ἀπόδοσιν τῶν ἵππων, βουλομένην ὡς πλεῖστον χρόνον συνεῖναι τῷ Ἡρακλέι, καὶ

exstinctum, huncque illud domum suam contulisse : qua re intellecta, majores fratres ultro universum regnum minimo natu tradidisse.

VI. Jam a Lipoxai progenitum esse aiunt illum Scythicum populum, qui Auchatæ vocantur : a medio vero fratrum Arpoxai hos, qui Catiari et Traspies : a natu minimo vero Reges [*sive* Regios], qui Paralatæ nominantur : universis vero commune nomen esse Scolotos, de regis nomine. Scythas vero Græci nominarunt.

VII. Hac igitur origine se ortos aiunt Scythæ : annos autem, ex quo ortum cepissent, a primo rege Targitao usque ad Darii in Scythiam transitum, in universum elapsos aiunt mille admodum, non amplius, sed hunc ipsum annorum numerum. (2) Sacrum autem illud aurum custodiunt Reges summa cura; et quotannis ibi conveniunt ubi asservatur, majoribus sacrificiis placantes. (3) Dicuntque Scythæ, quicumque festis illis diebus aurum hoc sacrum tenens obdormiverit sub dio, hunc non transigere illum annum; oh eamque caussam dono ei dari tantum, quantum ille uno die equo vectus circumire potuisset. (4) Quum sit autem ampla terra, tria regna aiunt Colaxain filiis suis constituisse; ex eisque unum regnum fecisse maximum, in quo aurum illud servetur. (5) Quæ vero loca versus septemtrionem sita sunt supra eos qui superiores Scythiæ partes incolunt, ea ulterius spectari aut peragrari non posse aiunt, propter diffusas plumas : plumis enim et terram et aerem esse oppletum, hisque intercludi prospectum.

VIII. Ista quidem Scythæ de se ipsis, et de regione quæ supra ipsorum ditione sita est, narrant : Græci vero ad Pontum Euxinum habitantes hæcce. Herculem, aiunt, Geryonis boves agentem, in hanc terram venisse, tunc desertam, quam nunc Scythæ habitant; Geryonem autem extra Pontum habitasse insulam illam, quam Erytheam Græci vocant, prope Gadira (*sive Gades*) extra Herculis columnas in Oceano. (2) Oceanum autem, ab ortu solis initium capientem, universam circumfluere terram, verbis quidem adfirmant, re autem ipsa non demonstrant. Inde igitur Herculem in eam regionem, quæ Scythia nunc vocatur pervenisse. (3) Nempe, ingruente tempestate gelu que, quum adducta super se pelle leonina obdormivisset, equas de curru ipsius, interim pascentes, divina quadam sorte evanuisse.

IX. Tum Herculem, ubi expergefactus esset, quæsisse equas; et, peragrata universa regione, postremo in Hylæam (*Silvosam*) quæ vocatur terram pervenisse, ibique in antro semivirginem quamdam Echidnam (*viperam*) invenisse mixtæ naturæ : superiora quippe, inde a natibus, feminæ fuisse, inferiora vero serpentis. (2) Hanc quum conspexisset miratusque esset, quæsisse ab ea, an equas alicubi vidisset oberrantes. Cui illam, se ipsam eas habere, respondisse; nec vero illi reddituram, nisi secum concubuisset. Et Herculem hac mercede cum illa coiisse : (3) at illam distulisse equarum redditionem, quum cuperet quam diu-

τὸν κομισάμενον ἐθέλειν ἀπαλλάσσεσθαι· τέλος δὲ ἀποδιδοῦσαν αὐτὴν εἶπαι, « ἵπποις μὲν δὴ ταύτας ἀπικομένας ἐνθάδε ἔσωσά τοι ἐγὼ, σῶστρα δὲ σὺ παρέσχες· ἔχω γὰρ ἐκ σέο παῖδας τρεῖς. (4) Τούτους, ἐπεὰν γένωνται τρόφιες, ὅ τι χρὴ ποιέειν, ἐξηγέεο σὺ, εἴτε αὐτοῦ κατοικίζω (χώρης γὰρ τῆσδε ἔχω τὸ κράτος αὐτή) εἴτε ἀποπέμπω παρὰ σέ. » Τὴν μὲν δὴ ταῦτα ἐπειρωτᾶν, τὸν δὲ λέγουσι πρὸς ταῦτα εἶπαι, « ἐπεὰν ἀνδρωθέντας ἴδηαι τοὺς παῖδας, τάδε ποιεῦσα οὐκ ἂν ἁμαρτάνοις· (5) τὸν μὲν ἂν ὁρᾷς αὐτῶν τόδε τὸ τόξον ὧδε διατεινόμενον καὶ τῷ ζωστῆρι τῷδε κατὰ τάδε ζωννύμενον, τοῦτον μὲν τῆσδε τῆς χώρης οἰκήτορα ποιεῦ· ὃς δ' ἂν τούτων τῶν ἔργων τῶν ἐντέλλομαι λείπηται, ἔκπεμπε ἐκ τῆς χώρης. Καὶ ταῦτα ποιεῦσα αὐτή τε εὐφρανέαι καὶ τὰ ἐντεταλμένα ποιήσεις. »

X. Τὸν μὲν δὴ εἰρύσαντα τῶν τόξων τὸ ἕτερον (δύο γὰρ δὴ φορέειν τέως Ἡρακλέα) καὶ τὸν ζωστῆρα προδέξαντα, παραδοῦναι τὸ τόξον τε καὶ τὸν ζωστῆρα ἔχοντα ἐπ' ἄκρης τῆς συμβολῆς φιάλην χρυσέην, δόντα δὲ ἀπαλλάσσεσθαι. (2) Τὴν δ', ἐπεί οἱ γενομένους τοὺς παῖδας ἀνδρωθῆναι, τοῦτο μέν σφι οὐνόματα θέσθαι, τῷ μὲν Ἀγάθυρσον αὐτῶν, τῷ δ' ἑπομένῳ Γελωνὸν, Σκύθην δὲ τῷ νεωτάτῳ, τοῦτο δὲ τῆς ἐπιστολῆς μεμνημένην αὐτὴν ποιῆσαι τὰ ἐντεταλμένα. (3) Καὶ δὴ δύο μέν οἱ τῶν παίδων, τόν τε Ἀγάθυρσον καὶ τὸν Γελωνὸν, οὐκ οἵους τε γενομένους ἐξικέσθαι πρὸς τὸν προκείμενον ἄεθλον, οἰχέσθαι ἐκ τῆς χώρης ἐκβληθέντας ὑπὸ τῆς γειναμένης, τὸν δὲ νεώτατον αὐτῶν Σκύθην ἐπιτελέσαντα καταμεῖναι ἐν τῇ χώρῃ. (4) Καὶ ἀπὸ μὲν Σκύθεω τοῦ Ἡρακλέος γενέσθαι τοὺς αἰεὶ βασιλέας γινομένους Σκυθέων, ἀπὸ δὲ τῆς φιάλης ἔτι καὶ ἐς τόδε φιάλας ἐκ τῶν ζωστήρων φορέειν Σκύθας· τὸ δὴ μοῦνον μηχανήσασθαι τὴν μητέρα Σκύθῃ. Ταῦτα δὲ Ἑλλήνων οἱ τὸν Πόντον οἰκέοντες λέγουσι.

XI. Ἔστι δὲ καὶ ἄλλος λόγος ἔχων ὧδε, τῷ μάλιστα λεγομένῳ αὐτὸς πρόσκειμαι, Σκύθας τοὺς νομάδας οἰκέοντας ἐν τῇ Ἀσίῃ, πολέμῳ πιεσθέντας ὑπὸ Μασσαγετέων, οἰχέσθαι διαβάντας ποταμὸν Ἀράξεα ἐπὶ γῆν τὴν Κιμμερίην (τὴν γὰρ νῦν νέμονται Σκύθαι, αὐτὴ λέγεται τὸ παλαιὸν εἶναι Κιμμερίων), (2) τοὺς δὲ Κιμμερίους ἐπιόντων Σκυθέων βουλεύεσθαι ὡς στρατοῦ ἐπιόντος μεγάλου, καὶ δὴ τὰς γνώμας σφέων κεχωρισμένας, ἐντόνους μὲν ἀμφοτέρας, ἀμείνω δὲ τὴν τῶν βασιλέων· τὴν μὲν γὰρ δὴ τοῦ δήμου φέρειν γνώμην ὡς ἀπαλλάσσεσθαι πρῆγμα εἴη μηδὲ πρὸς πολλοὺς δέοι μένοντας κινδυνεύειν, τὴν δὲ τῶν βασιλέων διαμάχεσθαι περὶ τῆς χώρης τοῖσι ἐπιοῦσι. (3) Οὐκ ὦν δὴ ἐθέλειν πείθεσθαι οὔτε τοῖσι βασιλεῦσι τὸν δῆμον οὔτε τῷ δήμῳ τοὺς βασιλέας. Τοὺς μὲν δὴ ἀπαλλάσσεσθαι βουλεύεσθαι ἀμαχητὶ, τὴν χώρην παραδόντας τοῖσι ἐπιοῦσι· τοῖσι δὲ βασιλεῦσι δόξαι ἐν τῇ ἑωυτῶν κέεσθαι ἀποθανόντας, μηδὲ συμφεύγειν τῷ δήμῳ, λογισαμένους ὅσα τε ἀγαθὰ πεπόνθασι καὶ ὅσα φεύγοντας ἐκ τῆς πατρίδος κακὰ ἐπίδοξα καταλαμβάνειν. (4) Ὡς δὲ δόξαι σφι

tissime consuetudinem cum Hercule habere; hunc vero receptis equabus voluisse abire. Ad extremum redditis illis dixis se Echidnam : « Jam has equas, quum huc venissent, ego tibi servavi; tuque servatarum solvisti pretium; concepi enim ex te tres filios : (4) qui quando adoleverint, quid iis faciam, tu doce; hacne in terra, cujus ego sola teneo imperium, sedes illis tribuam; an ad te dimittam. » Cui hæc interroganti illum in hunc modum aiunt respondisse : « Postquam eos videris ætatem ingressos, recte feceris si hæcce institueris : (5) quem tu illorum videris arcum hunc hoc modo tendentem, et hoc cingulo sese ita cingentem, ei hanc terram tribue habitandam; qui vero opera hæc, quæ præscribo, facere non potuerit, eum ex hac terra emitte. Hoc ubi feceris, et ipsa lætaberis, et mandata mea peregeris. »

X. Herculem igitur alterum ex arcubus (duos enim ad id tempus gestasse) adduxisse, et aptandi cinguli rationem præmonstrasse : traditoque dein et arcu et cingulo, quod in extrema commissura auream habuisset phialam, abiisse. (2) Tum illam, postquam filii ex ea nati ad virilem pervenissent ætatem, nomina primum eis imposuisse; uni, Agathyrso; alteri, Gelono; novissimo, Scythæ : deinde dati mandati memorem, exsecutam esse mandata. (3) Et duos quidem ex filiis, Agathyrsum et Gelonum, quum proposito certamini impares inventi fuissent, terra excessisse, a matre expulsos. Natu vero minimum eorum, Scytham, qui rem perfecisset, in terra illa mansisse : (4) ab illoque Scytha, Herculis filio, genus ducere quicumque dein reges fuerint Scytharum; et ab illa phiala Scythas ad hanc usque ætatem phialas gestare ex cingulo suspensas. Hoc igitur solummodo matrem huic Scythæ parasse. Et hæc quidem Græci narrant Pontum adcolentes.

XI. Est vero etiam alia narratio, ita habens; cui potissimum equidem adsentior. Scilicet, Scythas Nomades (*pastores*) Asiam incolentes, bello pressos a Massagetis, trajecto Araxe fluvio in terram abiisse Cimmeriorum : quam enim nunc terram Scythæ tenent, ea olim Cimmeriorum fuisse traditur. (2) Cimmerios autem, invadentibus terram ipsorum Scythis, quum deliberarent, utpote ingente irruente exercitu, diversas abiisse in sententias; fortiter quidem propugnatam utramque, fortiorem vero eam pro qua reges stabant. Populi enim fuisse sententiam, excedendum esse terra, neque manendum et adversus plures adeundum periculum : regum vero, pro terra utique dimicandum cum invadentibus. (3) Atqui nec regibus populum voluisse parere, nec reges populo. Itaque his fuisse constitutum, non tentata pugna abire, et invadentibus permittere terram : regibus vero placuisse, sua potius in patria occumbentes sepeliri, quam cum plebe aufugere; reputantes quantis bonis essent fruiti, et quantis malis se pressum iri consentaneum esset, si ex patria profugissent (4) Talis quum fuisset utrorumque sententia,

ταῦτα, διαστάντας καὶ ἀριθμὸν ἴσους γενομένους μάχεσθαι πρὸς ἀλλήλους. Καὶ τοὺς μὲν ἀποθανόντας πάντας ὑπ' ἑωυτῶν θάψαι τὸν δῆμον τῶν Κιμμερίων παρὰ ποταμὸν Τύρην (καί σφεων ἔτι δῆλός ἐστι ὁ τάφος), θάψαντας δὲ οὕτω τὴν ἔξοδον ἐκ τῆς χώρης ποιέεσθαι, Σκύθας δὲ ἐπελθόντας λαβέειν ἐρήμην τὴν χώρην.

XII. Καὶ νῦν ἔστι μὲν ἐν τῇ Σκυθικῇ Κιμμέρια τείχεα, ἔστι δὲ πορθμήϊα Κιμμέρια, ἔστι δὲ καὶ χώρη οὔνομα Κιμμερίη, ἔστι δὲ Βόσπορος Κιμμέριος καλεύμενος. (2) Φαίνονται δὲ οἱ Κιμμέριοι φεύγοντες ἐς τὴν Ἀσίην τοὺς Σκύθας καὶ τὴν χερσόνησον κτίσαντες ἐν τῇ νῦν Σινώπη πόλις Ἑλλὰς οἰκίσται. (3) Φανεροὶ δέ εἰσι καὶ οἱ Σκύθαι διώξαντες αὐτοὺς καὶ ἐσβαλόντες ἐς γῆν τὴν Μηδικὴν, ἁμαρτόντες τῆς ὁδοῦ· οἱ μὲν γὰρ Κιμμέριοι αἰεὶ τὴν παρὰ θάλασσαν ἔφευγον, οἱ δὲ Σκύθαι ἐν δεξιῇ τὸν Καύκασον ἔχοντες ἐδίωκον, ἐς ὃ ἐσέβαλον ἐς τὴν Μηδικὴν γῆν, ἐς μεσόγαιαν τῆς ὁδοῦ τραφθέντες. Οὗτος δὲ ἄλλος ξυνὸς Ἑλλήνων τε καὶ βαρβάρων λεγόμενος λόγος εἴρηται.

XIII. Ἔφη δὲ Ἀριστέης ὁ Καϋστροβίου ἀνὴρ Προκοννήσιος, ποιέων ἔπεα, ἀπικέσθαι ἐς Ἰσσηδόνας φοιβόλαμπτος γενόμενος, Ἰσσηδόνων δ' ὑπεροικέειν Ἀριμασποὺς ἄνδρας μουνοφθάλμους, ὑπὲρ δὲ τούτων τοὺς χρυσοφύλακας γρῦπας, τούτων δὲ τοὺς Ὑπερβορέους κατήκοντας ἐπὶ θάλασσαν. (2) Τούτους ὦν πάντας πλὴν Ὑπερβορέων, ἀρξάντων Ἀριμασπῶν, αἰεὶ τοῖσι πλησιοχώροισι ἐπιτίθεσθαι, καὶ ὑπὸ μὲν Ἀριμασπῶν ἐξωθέεσθαι ἐκ τῆς χώρης Ἰσσηδόνας, ὑπὸ δὲ Ἰσσηδόνων Σκύθας, Κιμμερίους δὲ οἰκέοντας ἐπὶ τῇ νοτίῃ θαλάσσῃ ὑπὸ Σκυθέων πιεζομένους ἐκλείπειν τὴν χώρην. Οὕτω οὐδὲ οὗτος συμφέρεται περὶ τῆς χώρης ταύτης Σκύθῃσι.

XIV. Καὶ ὅθεν μὲν ἦν Ἀριστέης ὁ ταῦτα ποιήσας, εἴρηται· τὸν δὲ περὶ αὐτοῦ ἤκουον λόγον ἐν Προκοννήσῳ καὶ Κυζίκῳ λέξω. Ἀριστέην γὰρ λέγουσι, ἐόντα τῶν ἀστῶν οὐδενὸς γένος ὑποδεέστερον, ἐσελθόντα ἐς κναφήϊον ἐν Προκοννήσῳ ἀποθανέειν, καὶ τὸν κναφέα κατακλήϊσαντα τὸ ἐργαστήριον οἴχεσθαι ἀγγελέοντα τοῖσι προσήκουσι τῷ νεκρῷ. (2) Ἐσκεδασμένου δὲ ἤδη τοῦ λόγου ἀνὰ τὴν πόλιν ὡς τεθνεὼς εἴη ὁ Ἀριστέης, ἐς ἀμφισβασίας τοῖσι λέγουσι ἀπικέσθαι ἄνδρα Κυζικηνὸν ἥκοντα ἐξ Ἀρτάκης πόλιος, φάντα συντυχεῖν τέ οἱ ἰόντι ἐπὶ Κυζίκου καὶ ἐς λόγους ἀπικέσθαι. (3) Καὶ τοῦτον μὲν ἐντεταμένως ἀμφισβατέειν, τοὺς δὲ προσήκοντας τῷ νεκρῷ ἐπὶ τὸ κναφήϊον παρεῖναι ἔχοντας τὰ πρόσφορα ὡς ἀναιρησομένους· ἀνοιχθέντος δὲ τοῦ οἰκήματος οὔτε τεθνεῶτα οὔτε ζώοντα φαίνεσθαι Ἀριστέην. (4) Μετὰ δὲ ἑβδόμῳ ἔτεϊ φανέντα αὐτὸν ἐς Προκόννησον ποιῆσαι τὰ ἔπεα ταῦτα τὰ νῦν ὑπ' Ἑλλήνων Ἀριμάσπεα καλέεται, ποιήσαντα δὲ ἀφανισθῆναι τὸ δεύτερον. Ταῦτα μὲν αἱ πόλιες αὗται λέγουσι.

XV. Τάδε δὲ οἶδα Μεταποντίνοισι τοῖσι ἐν Ἰταλίῃ συγκυρήσαντα μετὰ τὴν ἀφάνισιν τὴν δευτέρην Ἀριστέω ἔτεσι τεσσεράκοντα καὶ τριηκοσίοισι, ὡς ἐγὼ συμ-

divisis agminibus, numero utrimque paribus, inter se mutuo pugnam civisse; et hos quidem, qui a regum partibus stetissent, a popularibus suis interfectos esse cunctos, sepultosque a plebe Cimmeriorum ad Tyram fluvium, ubi ad hunc diem conspicitur illorum sepulcrum; quibus sepultis, plebem terra excessisse; supervenientes vero Scythas desertam terram occupasse.

XII. Est autem ad hunc diem in Scythica terra Cimmerium castellum; sunt et Porthmea Cimmeria (*in ostio Mœotidis paludis*); est item regio cui Cimmeria nomen; est Bosporus, Cimmerius cognominatus. (2) Satis vero etiam constat, Cimmerios, quum a Scythis expulsi in Asiam se reciperent, peninsulam illam colonis frequentasse, in qua nunc Sinope, Græca civitas, condita est; (3) constatque etiam, Scythas, quum illos persequerentur, et Medicam terram invaderent, a via aberrasse: Cimmerii enim fugientes, semper secundum mare progressi sunt; Scythæ vero Caucaso ad dextram relicto eos sunt persecuti, itinere in mediterranea converso. Hæc est altera narratio, in qua referenda Græcis convenit cum barbaris.

XIII. Sed Aristeas, Caystrobii filius, Proconnesius, in epico carmine ait, Phœbi instinctu se ad Issedonas pervenisse; super Issedonibus vero habitare Arimaspos, homines unoculos; super his auri custodes Grypas; ulterius Hyperboreos, ad mare pertinentes. (2) Hos igitur cunctos, exceptis Hyperboreis, initio facto ab Arimaspis, bellum constanter inferre finitimis: et ab Arimaspis quidem sedibus suis pelli Issedonas, ab Issedonibus vero Scythas; Cimmerios vero, ad australe mare habitantes, pressos a Scythis, terram suam deseruisse. Ita ne huic quidem de hac regione convenit cum Scythis.

XIV. Quæ patria fuerit hujus Aristeæ, qui ista versibus descripsit, dictum est: commemorabo vero etiam id, quod de eodem in Proconneso et Cyzico narratum audivi. Aristeam, narrant, nulli civium nobilitate generis secundum, quum fullonis ingressus esset officinam in Proconneso, ibidem mortuum esse; et fullonem, occlusa officina, ad propinquos mortui perrexisse, rem nunciaturum. (2) Quumque jam rumor pervulgatus esset per urbem, mortuum esse Aristeam; controversiam his qui id dicebant movisse civem Cyzicenum, ex Artaca oppido venientem, adfirmantemque obviam se illi venisse Cyzicum versus eunti, cum eoque sermones miscuisse. (3) Dum hic ita cum contentione disceptat, interim propinquos mortui ad fullonis adfuisse officinam, secum adferentes quæ usui essent ad tollendum mortuum: sed aperto conclavi, nec mortuum Aristeam, nec vivum, comparuisse. (4) Septimo vero post anno rursus Proconnesum venisse, et carmen illud composuisse, quod a Græcis nunc Arimaspea nominatur: id autem postquam composuerit, iterum e conspectu hominum evanuisse. Ista quidem narrant illæ civitates.

XV. Hoc vero scio Metapontinis in Italia accidisse, anno postquam iterum evanuerat Aristeas trecentesimo quadragesimo, quemadmodum conferendo quæ et Proconnesi et

βαλλόμενος ἐν Προκοννήσῳ τε καὶ Μεταποντίῳ εὗρισκον. (2) Μεταποντῖνοί φασι αὐτὸν Ἀριστέην φανέντα σφι ἐς τὴν χώρην κελεῦσαι βωμὸν Ἀπόλλωνι ἱδρύσασθαι καὶ Ἀριστέεω τοῦ Προκοννησίου ἐπωνυμίην ἔχοντα ἀνδριάντα παρ' αὐτὸν στῆσαι· φάναι γάρ σφι τὸν Ἀπόλλωνα Ἰταλιωτέων μούνοισι δὴ ἀπικέσθαι ἐς τὴν χώρην, καὶ αὐτός οἱ ἕπεσθαι ὁ νῦν ἐὼν Ἀριστέης· τότε δέ, ὅτε εἵπετο τῷ θεῷ, εἶναι κόραξ. (3) Καὶ τὸν μὲν εἰπαντα ταῦτα ἀφανισθῆναι, σφέας δὲ Μεταποντῖνοι λέγουσι ἐς Δελφοὺς πέμψαντας τὸν θεὸν ἐπειρωτᾶν ὅ τι τὸ φάσμα τοῦ ἀνθρώπου εἴη. Τὴν δὲ Πυθίην σφέας κελεύειν πείθεσθαι τῷ φάσματι, πειθομένοισι δὲ ἀμεινον συνοίσεσθαι. Καὶ σφέας δεξαμένους ταῦτα ποιῆσαι ἐπιτελέα. (4) Καὶ νῦν ἕστηκε ἀνδριὰς ἐπωνυμίην ἔχων Ἀριστέεω παρ' αὐτῷ τῷ ἀγάλματι τοῦ Ἀπόλλωνος, πέριξ δὲ αὐτὸν δάφναι ἑστᾶσι· τὸ δὲ ἄγαλμα ἐν τῇ ἀγορῇ ἵδρυται. Ἀριστέεω μέν νυν πέρι τοσαῦτα εἰρήσθω.

XVI. Τῆς δὲ γῆς τῆς πέρι ὅδε ὁ λόγος ὥρμηται λέγεσθαι, οὐδεὶς οἶδε ἀτρεκέως ὅ τι τὸ κατύπερθε ἐστί· οὐδενὸς γὰρ δὴ αὐτόπτεω εἰδέναι φαμένου δύναμαι πυθέσθαι· οὐδὲ γὰρ οὐδὲ Ἀριστέης, τοῦ περ ὀλίγῳ πρότερον τούτων μνήμην ἐποιεύμην, οὐδὲ οὗτος προσωτέρω Ἰσσηδόνων ἐν αὐτοῖσι τοῖσι ἔπεσι ποιέων ἔφησε ἀπικέσθαι, ἀλλὰ τὰ κατύπερθε ἔλεγε ἀκοῇ, φὰς Ἰσσηδόνας εἶναι τοὺς ταῦτα λέγοντας. Ἀλλ' ὅσον μὲν ἡμεῖς ἀτρεκέως ἐπὶ μακρότατον οἷοί τ' ἐγενόμεθα ἀκοῇ ἐξικέσθαι, πᾶν εἰρήσεται.

XVII. Ἀπὸ τοῦ Βορυσθενειτέων ἐμπορίου (τοῦτο γὰρ τῶν παραθαλασσίων μεσαίτατόν ἐστι πάσης τῆς Σκυθικῆς), ἀπὸ τούτου πρῶτοι Καλλιππίδαι νέμονται ἐόντες Ἕλληνες Σκύθαι, ὑπὲρ δὲ τούτων ἄλλο ἔθνος οἱ Ἀλαζῶνες καλεῦνται. (2) Οὗτοι δὲ καὶ οἱ Καλλιππίδαι τὰ μὲν ἄλλα κατὰ ταὐτὰ Σκύθῃσι ἐπασκέουσι, σῖτον δὲ καὶ σπείρουσι καὶ σιτέονται, καὶ κρόμμυα καὶ σκόροδα καὶ φακοὺς καὶ κέγχρους. (3) Ὑπὲρ δὲ Ἀλαζώνων οἰκέουσι Σκύθαι ἀροτῆρες, οἳ οὐκ ἐπὶ σιτήσι σπείρουσι τὸν σῖτον, ἀλλ' ἐπὶ πρήσι. (4) Τούτων δὲ κατύπερθε οἰκέουσι Νευροί. Νευρῶν δὲ τὸ πρὸς βορέην ἄνεμον ἐρῆμος ἀνθρώπων, ὅσον ἡμεῖς ἴδμεν. Ταῦτα μὲν παρὰ τὸν Ὕπανιν ποταμόν ἐστι ἔθνεα πρὸς ἑσπέρης τοῦ Βορυσθένεος.

XVIII. Ἀτὰρ διαβάντι τὸν Βορυσθένεα ἀπὸ θαλάσσης πρῶτον μὲν ἡ Ὑλαίη, ἀπὸ δὲ ταύτης ἄνθρωποι οἰκέουσι Σκύθαι γεωργοί, τοὺς Ἕλληνες οἱ οἰκέοντες ἐπὶ τῷ Ὑπάνι ποταμῷ καλεῦσι Βορυσθενείτας, σφέας δὲ αὐτοὺς Ὀλβιοπολίτας. (2) Οὗτοι ὦν οἱ γεωργοὶ Σκύθαι νέμονται τὸ μὲν πρὸς τὴν ἠῶ ἐπὶ τρεῖς ἡμέρας ὁδοῦ, κατήκοντες ἐπὶ ποταμὸν τῷ οὔνομα κέεται Παντικάπης, τὸ δὲ πρὸς βορέην ἄνεμον πλόον ἀνὰ τὸν Βορυσθένεα ἡμερέων ἕνδεκα. (3) Ἤδη δὲ κατύπερθε τούτων ἐρῆμός ἐστι ἐπὶ πολλόν. Μετὰ δὲ τὴν ἐρῆμον Ἀνδροφάγοι οἰκέουσι, ἔθνος ἐὸν ἴδιον καὶ οὐδαμῶς Σκυθικόν. Τὸ δὲ τούτων κατύπερθε ἐρῆμος

Metaponti narrentur reperi. (2) Aiunt Metapontini, Aristeam sibi sua in terra adparuisse, jussisseque ipsos aram statuere Apollini, et statuam juxta illam aram ponere, quæ nominaretur Aristeæ Proconnesii. Dixisse enim, in solam ipsorum, ex omnibus Italiotis, regionem venisse Apollinem; et se, qui nunc Aristeas sit, illum esse comitatum; fuisse autem tunc, quum illum sequeretur, corvum. (3) His dictis, illum evanuisse. Aiunt autem Metapontini, se Delphos misisse qui consulerent oraculum, quodnam illud esset hominis spectrum; respondisseque Pythiam, ipsis parendum esse spectri mandatis; id si fecissent, bene eis cessurum. Se igitur, accepto hoc responso, exsecutos esse mandata. (4) Atque nunc stat Metapontii in foro statua, quam Aristeæ statuam vocant, juxta ipsam Apollinis statuam collocata, et lauri arbores illam circumstant. Sed hæc de Aristea hactenus dicta sunto.

XVI. Regione ea, de qua hunc sermonem facere institui, quid sit superne ulterius, nemo adcurate novit. Neminem quippe, qui suis id oculis conspexisse adfirmaret, potui reperire: etenim ne Aristeas quidem, cujus modo mentionem feci, ne hic quidem ultra Issedonas pervenit, ut in carmine suo ipse profitetur; sed, quæ de eis narrat qui supra hos habitant, ea fando accepta narravit, dicens Issedonas esse qui id tradant. Sed nos quidem, quoad longissime auditu cognoscere adcurate potuimus, omnia referemus.

XVII. A Borysthenitarum emporio, quod in medio maxime universæ oræ maritimæ Scythiæ situm est; ab hoc, inquam, primi Callippidæ habitant, qui sunt Græci Scythæ: tum super his alius populus, qui vocantur Alazones. (2) Hi atque Callippidæ in cæteris quidem Scytharum instituta sequuntur, frumentum vero et serunt et comedunt, itemque cepas et allium et lentem et milium. (3) Supra Alazones habitant Scythæ Aratores; qui frumentum serunt, non in cibi usum, sed vendendi caussa. (4) Super his Neuri habitant. A Neuris vero septemtrionem versus deserta hominibus terra est, quoad nos novimus. Hi sunt populi juxta Hypanin fluvium, ab occidente Borysthenis.

XVIII. Trans Borysthenem, prima a mari regio Hylæa est. Ab hac proximi habitant Scythæ Agricolæ, quos Græci Hypanin fluvium adcolentes Borysthenitas nominant, ipsi autem se Olbiopolitas. (2) Hi igitur Scythæ Agricolæ ad orientem Borysthenis habitant ad trium iter dierum, pertinentque usque ad fluvium cui nomen Panticapes; versus septemtrionem vero, undecim dierum iter adverso flumine navigantibus. (3) Jam supra hos longe lateque deserta regio est. Post desertum vero Androphagi habitant, proprius populus, neutiquam Scythicus. Supra

ἤδη ἀληθέως καὶ ἔθνος ἀνθρώπων οὐδέν, ὅσον ἡμεῖς ἴδμεν.

XIX. Τὸ δὲ πρὸς ἠῶ τῶν γεωργῶν τούτων Σκυθέων, διαβάντι τὸν Παντικάπην ποταμὸν, νομάδες ἤδη Σκύθαι νέμονται, οὔτ' ἔτι σπείροντες οὐδὲν οὔτε ἀροῦντες· ψιλὴ δὲ δενδρέων ἡ πᾶσα αὕτη γῆ πλὴν τῆς Ὑλαίης. Οἱ δὲ νομάδες οὗτοι τὸ πρὸς τὴν ἠῶ ἡμερέων τεσσέρων καὶ δέκα ὁδὸν νέμονται χώρην κατατείνουσαν ἐπὶ ποταμὸν Γέρρον.

XX. Πέρην δὲ τοῦ Γέρρου ταῦτα δὴ τὰ καλεύμενα βασιληΐα ἐστι καὶ Σκύθαι οἱ ἄριστοί τε καὶ πλείστοι καὶ τοὺς ἄλλους νομίζοντες Σκύθας δούλους σφετέρους εἶναι· (2) κατήκουσι δὲ οὗτοι τὸ μὲν πρὸς μεσαμβρίην ἐς τὴν Ταυρικὴν, τὸ δὲ πρὸς ἠῶ ἐπί τε τάφρον τὴν δὴ οἱ ἐκ τῶν τυφλῶν γενόμενοι ὤρυξαν, καὶ ἐπὶ τῆς λίμνης τῆς Μαιήτιδος τὸ ἐμπόριον τὸ καλέεται Κρημνοί· τὰ δὲ αὐτῶν κατήκουσι ἐπὶ ποταμὸν Τάναϊν. (3) Τὰ δὲ κατύπερθε πρὸς βορέην ἄνεμον τῶν βασιληΐων Σκυθέων οἰκέουσι Μελάγχλαινοι, ἄλλο ἔθνος καὶ οὐ Σκυθικόν. Μελαγχλαίνων δὲ τὸ κατύπερθε λίμναι καὶ ἐρῆμός ἐστι ἀνθρώπων, κατ' ὅσον ἡμεῖς ἴδμεν.

XXI. Τάναϊν δὲ ποταμὸν διαβάντι οὐκέτι Σκυθικὴ, ἀλλ' ἡ μὲν πρώτη τῶν λαξίων Σαυροματέων ἐστὶ, οἳ ἐκ τοῦ μυχοῦ ἀρξάμενοι τῆς Μαιήτιδος λίμνης νέμονται τὸ πρὸς βορέην ἄνεμον, ἡμερέων πεντεκαίδεκα ὁδὸν, πᾶσαν ἐοῦσαν ψιλὴν καὶ ἀγρίων καὶ ἡμέρων δενδρέων· ὑπεροικέουσι δὲ τούτων δευτέρην λάξιν ἔχοντες Βουδῖνοι, γῆν νεμόμενοι πᾶσαν δασέαν ὕλῃ παντοίῃ.

XXII. Βουδίνων δὲ κατύπερθε πρὸς βορέην ἐστὶ πρώτη μὲν ἐρῆμος ἐπ' ἡμερέων ἑπτὰ ὁδὸν, μετὰ δὲ τὴν ἐρῆμον ἀποκλίνοντι μᾶλλον πρὸς ἀπηλιώτην ἄνεμον νέμονται Θυσσαγέται, ἔθνος πολλὸν καὶ ἴδιον· ζώουσι δὲ ἀπὸ θήρης. (2) Συνεχέες δὲ τούτοισι ἐν τοῖσι αὐτοῖσι τόποισι κατοικημένοι εἰσὶ τοῖσι οὔνομα κέεται Ἰῦρκαι, καὶ οὗτοι ἀπὸ θήρης ζώοντες τρόπῳ τοιῷδε· (3) λοχᾷ ἐπὶ δένδρεον ἀναβάς, τὰ δέ ἐστι πυκνὰ ἀνὰ πᾶσαν τὴν χώρην· ἵππος δὲ ἑκάστῳ δεδιδαγμένος ἐπὶ γαστέρα κέεσθαι ταπεινότητος εἵνεκεν ἑτοῖμός ἐστι καὶ κύων· ἐπεὰν δὲ ἀπίδῃ τὸ θηρίον ἀπὸ τοῦ δενδρέου, τοξεύσας καὶ ἐπιβὰς ἐπὶ τὸν ἵππον διώκει, καὶ ὁ κύων ἕχεται. (4) Ὑπὲρ δὲ τούτων τὸ πρὸς τὴν ἠῶ ἀποκλίνοντι οἰκέουσι Σκύθαι ἄλλοι, ἀπὸ τῶν βασιληΐων Σκυθέων ἀποστάντες καὶ οὕτω ἀπικόμενοι ἐς τοῦτον τὸν χῶρον.

XXIII. Μέχρι μὲν δὴ τῆς τούτων τῶν Σκυθέων χώρης ἐστὶ ἡ καταλεχθεῖσα πᾶσα πεδιάς τε γῆ καὶ βαθύγαιος, τὸ δ' ἀπὸ τούτου λιθώδης τ' ἐστὶ καὶ τρηχέα. (2) Διεξελθόντι δὲ καὶ τῆς τρηχέης χῶρον πολλὸν οἰκέουσι ὑπώρεαν οὀρέων ὑψηλῶν ἄνθρωποι λεγόμενοι εἶναι πάντες φαλακροὶ ἐκ γενεῆς γινόμενοι, καὶ ἔρσενες καὶ θήλεαι ὁμοίως, καὶ σιμοὶ καὶ γένεια ἔχοντες μεγάλα, φωνὴν δὲ ἰδίην ἱέντες, ἐσθῆτι δὲ χρεώμενοι

hos vero jam verum desertum, nec ullus hominum populus, quoad novimus.

XIX. Ab oriente vero Agricolarum istorum Scytharum, trans Panticapen fluvium, Nomades Scythæ degunt, qui neque serunt quidquam, nec arant: estque arboribus nuda universa hæc regio, excepta Hylæa. Nomades autem hi, orientem versus, terram tenent per quattuordecim dierum iter patentem ad Gerrhum usque fluvium.

XX. Trans Gerrhum hæc est quæ Regia terra vocatur, quam Scythæ nobilissimi tenent et numerosissimi, qui reliquos Scythas servos suos esse reputant. (2) Pertinentque hi, meridiem versus, ad Tauricam, versus orientem vero, ad fossam illam quam cæcorum filii duxerunt, et ad emporium Mæotidis paludis quod Cremni vocatur; partim eorum etiam ad Tanain flumen. (3) Quæ supra Regios Scythas ad septemtrionem vergunt, ea Melanchlæni tenent, diversæ stirpis populus, non Scythicus. Supra Melanchlænos vero, paludes sunt, et terra hominibus vacua, quantum nos quidem novimus.

XXI. Trans Tanain fluvium non amplius Scythica terra, sed partium in quas illa regio divisa, prima est Sauromatarum; qui ab intimo Mæotidis paludis recessu initium capientes, tenent, septemtrionem versus, terram in quindecim dierum iter patentem, arboribus omnibus, tam cultis, quam agrestibus, nudam. Tum supra hos insequentem partem habitant Budini, terram tenentes arborum omni genere usquequaque frequentem.

XXII. Supra Budinos, versus septemtrionem, primo desertum est, per quinque dierum iter: post desertum vero, magis orientem versus, Thyssagetæ habitant, numerosa gens et propria, venatione victitans. (2) His contigui eodem in tractu habitant qui Iyrcæ vocantur, et ipsi venatione victitantes tali modo: (3) arborem conscendit venator, ibique in insidiis latet; frequentes autem per totam illam regionem arbores sunt: sub arbore præsto cuique venatori est equus in ventrem procumbere edoctus, quo quam minime e terra emineat, et juxta equum canis. Ub ex arbore feram homo conspexit, arcu ferit, moxque illam conscenso equo persequitur, et canis inhæret vestigiis. (4) Supra hos rursus, si orientem versus, declines, habitant alii Scythæ, qui ab Regiis Scythis defecerunt, et ea caussa hæc in loca migrarunt.

XXIII. Ad horum igitur usque Scytharum regionem universa quam descripsimus terra plana est et humilis: abinde vero petrosa et aspera. (2) Peragrato autem hujus asperæ terræ longo tractu, radices altorum montium habitant homines, qui narrantur inde a nativitate calvi esse omnes, mares pariter atque feminæ, et simo naso mentoque magno. Peculiari lingua utuntur, vestem autem gestant Scythicam,

νοι Σκυθικῇ, ζώοντες δὲ ἀπὸ δενδρέων. (3) Ποντικὸν μὲν οὔνομα τῷ δενδρέῳ ἀπ' οὗ ζώουσι, μέγαθος δὲ κατὰ συκέην μάλιστά κη· καρπὸν δὲ φορέει κυάμῳ ἴσον, πυρῆνα δὲ ἔχει. Τοῦτο ἐπεὰν γένηται πέπον, σακκέουσι ἱματίοισι, ἀπορρέει δ' ἀπ' αὐτοῦ παχὺ καὶ μέλαν· οὔνομα δὲ τῷ ἀπορρέοντί ἐστι ἄσχυ· (4) τοῦτο καὶ λείχουσι καὶ γάλακτι συμμίσγοντες πίνουσι, καὶ ἀπὸ τῆς παχύτητος αὐτοῦ τῆς τρυγὸς παλάθας συντιθέασι, καὶ ταύτας σιτέονται. Πρόβατα γάρ σφι οὐ πολλά ἐστι· οὐ γάρ τι σπουδαῖαι νομαὶ αὐτόθι εἰσί. (5) Ὑπὸ δενδρέῳ δὲ ἕκαστος κατοίκηται, τὸν μὲν χειμῶνα ἐπεὰν τὸ δένδρεον περικαλύψῃ πίλῳ στεγνῷ λευκῷ, τὸ δὲ θέρος ἄνευ πίλου. Τούτους οὐδεὶς ἀδικέει ἀνθρώπων· ἱροὶ γὰρ λέγονται εἶναι· οὐδέ τι ἀρήϊον ὅπλον ἐκτέαται. (6) Καὶ τοῦτο μὲν τοῖσι περιοικέουσι οὗτοί εἰσι οἱ τὰς διαφορὰς διαιρέοντες, τοῦτο δέ, ὃς ἂν φεύγων καταφύγῃ ἐς τούτους, ὑπ' οὐδενὸς ἀδικέεται. Οὔνομα δέ σφί ἐστι Ὀργιεμπαῖοι.

XXIV. Μέχρι μέν νυν τῶν φαλακρῶν τούτων πολλὴ περιφάνεια τῆς χώρης ἐστὶ καὶ τῶν ἔμπροσθε ἐθνέων· καὶ γὰρ Σκυθέων τινὲς ἀπικνέονται ἐς αὐτοὺς, τῶν οὐ χαλεπόν ἐστι πυθέσθαι, καὶ Ἑλλήνων τῶν ἐκ Βορυσθενέος τε ἐμπορίου καὶ τῶν ἄλλων Ποντικῶν ἐμπορίων. Σκυθέων δὲ οἱ ἂν ἔλθωσι ἐς αὐτοὺς, δι' ἑπτὰ ἑρμηνέων καὶ δι' ἑπτὰ γλωσσέων διαπρήσσονται. Μέχρι μὲν δὴ τούτων γινώσκεται.

XXV. Τὸ δὲ τῶν φαλακρῶν κατύπερθε οὐδεὶς ἀτρεκέως οἶδε φράσαι· οὔρεά τε γὰρ ὑψηλὰ ἀποτάμνει ἄβατα καὶ οὐδεὶς σφεα ὑπερβαίνει. (2) Οἱ δὲ φαλακροὶ οὗτοι λέγουσι, ἐμοὶ μὲν οὐ πιστὰ λέγοντες, οἰκέειν τὰ οὔρεα αἰγίποδας ἄνδρας, ὑπερβάντι δὲ τούτους ἄλλους ἀνθρώπους οἳ τὴν ἑξάμηνον καθεύδουσι. Τοῦτο δὲ οὐκ ἐνδέκομαι ἀρχήν. (3) Ἀλλὰ τὸ μὲν πρὸς ἠῶ τῶν φαλακρῶν γινώσκεται ἀτρεκέως ὑπ' Ἰσσηδόνων οἰκεόμενον, τὸ μέντοι κατύπερθε πρὸς βορέην ἄνεμον οὐ γινώσκεται, οὔτε τῶν φαλακρῶν οὔτε τῶν Ἰσσηδόνων, εἰ μὴ ὅσα αὐτῶν τούτων λεγόντων.

XXVI. Νόμοισι δὲ Ἰσσηδόνες τοιοισίδε λέγονται χρᾶσθαι. Ἐπεὰν ἀνδρὶ ἀποθάνῃ πατὴρ, οἱ προσήκοντες πάντες προσάγουσι πρόβατα, καὶ ἔπειτεν ταῦτα θύσαντες καὶ καταταμόντες τὰ κρέα κατατάμνουσι καὶ τὸν τοῦ δεκομένου τεθνεῶτα γονέα, ἀναμίξαντες δὲ πάντα τὰ κρέα δαῖτα προτιθέαται. (2) Τὴν δὲ κεφαλὴν αὐτοῦ ψιλώσαντες καὶ ἐκκαθήραντες καταχρυσοῦσι καὶ ἔπειτεν ἅτε ἀγάλματι χρέονται, θυσίας μεγάλας ἐπετέους ἐπιτελέοντες. Παῖς δὲ πατρὶ τοῦτο ποιέει, κατά περ οἱ Ἕλληνες τὰ γενέσια. Ἄλλως δὲ δίκαιοι καὶ οὗτοι λέγονται εἶναι, ἰσοκρατέες δὲ ὁμοίως αἱ γυναῖκες τοῖσι ἀνδράσι. Γινώσκονται μὲν δὴ καὶ οὗτοι.

XXVII. Τὸ δὲ ἀπὸ τούτων τὸ κατύπερθε Ἰσσηδόνες εἰσὶ οἱ λέγοντες τοὺς μουνοφθάλμους ἀνθρώπους καὶ τοὺς χρυσοφύλακας γρῦπας εἶναι, παρὰ δὲ τούτων Σκύθαι παραλαβόντες λέγουσι, παρὰ δὲ Σκυθέων ἡμεῖς

cæterum arborum fructu vitam sustentant. (3) Ponticum nomen arboris est, qua victitant, fici admodum magnitudine: fructum fert autem fabæ similem, nucleum intus habentem. Hunc fructum, postquam maturuit, pannis excolant; et, quod ab eo defluit crassum et nigrum, quod *aschy* adpellant, (4) id et lingunt, et lacte mixtum potant: ex fæcum vero ejus crássitudine massas conficiunt, quibus item vescuntur. Pecorum enim non magna illis copia est, quippe pascua ibi parum sunt eximia. (5) Quilibet paterfamilias sub arbore habitat; hieme quidem, arborem tegens tegmine ex lana coactili; æstate vero, absque tegmine. His hominibus nemo mortalium injuriam infert; sacri enim habentur; nec arma ulla bellica habent. (6) Iidem et finitimorum dirimunt controversias; et, si quis patria profugiens ad hos confugit, a nemine læditur. Nomen his est Orgiempæi.

XXIV. Jam usque ad calvos hos satis cognita hæc terra est; et, qui ante hos habitant populi, satis noti. Nam et Scytharum nonnulli ad illos commeant, e quibus haud ægre licet cognoscere, et Græcorum nonnulli ex Borysthenis emporio et ex aliis Ponticis emporiis. Scythæ vero, qui ad illos commeant, per septem interpretes septemque linguas negotia sua peragunt. Ad hos igitur usque cognita terra est.

XXV. Ultra calvos illos quinam habitent, liquido adfirmare nemo potest: nam prælti præruptique montes, quos nemo transcendit, præcludunt iter. (2) Narrant autem calvi, quod mihi quidem non persuadetur, habitari illos montes ab hominibus capripedibus: tum ultra hos degere alios homines, qui per sex menses dormiant; quod equidem nullo pacto admitto. (3) Quæ calvis ab oriente sita regio, eam quidem ab Issedonibus habitatam esse certis testimoniis cognitum est; quæ vero supra hanc ad septemtrionem vergit, cognita non est, nec calvis istis, nec Issedonibus, nisi quatenus hi ipsi narrant.

XXVI. Issedones autem hujusmodi uti institutis perhibentur. Quando cuipiam pater mortuus est, propinqui cuncti adducentes pecudes ad eum conveniunt: quibus mactatis et in frusta concisis, patrem etiam mortuum hospitis in frusta concidunt, mixtisque cunctis carnibus epulum exhibent. (2) Caput vero depilatum expurgatumque inaurant, eoque pro sacro utuntur, donario annua magna sacrificia peragentes. Hoc apud illos filius patri præstat, quemadmodum Græci diem, quo defunctus est pater, festum agunt. Cæterum hi quoque homines justi esse dicuntur: mulieres autem apud eos æquam cum viris potestatem habent. Igitur hi etiam noti sunt.

XXVII. Quod vero ad regionem spectat supra hos sitam, Issedones sunt qui narrant, habitare ibi homines quos dixi unoculos, et Grypas auri custodes: et fabulam ab Issedonibus traditam repetunt Scythæ, nosque alii a Scythis ac-

οἱ ἄλλοι νενομίκαμεν, καὶ οὐνομάζομεν αὐτοὺς Σκυθιστὶ Ἀριμασπούς· ἄριμα γὰρ ἓν καλεῦσι Σκύθαι, σποῦ δὲ τὸν ὀφθαλμόν.

XXVIII. Δυσχείμερος δὲ αὕτη ἡ καταλεχθεῖσα πᾶσα χώρη οὕτω δή τί ἐστι, ἔνθα τοὺς μὲν ὀκτὼ τῶν μηνῶν ἀφόρητος οἷος γίνεται κρυμὸς, ἐν τοῖσι ὕδωρ ἐκχέας πηλὸν οὐ ποιήσεις, πῦρ δὲ ἀνακαίων ποιήσεις πηλόν· (2) Ἡ δὲ θάλασσα πήγνυται καὶ ὁ Βόσπορος πᾶς ὁ Κιμμέριος, καὶ ἐπὶ τοῦ κρυστάλλου οἱ ἐντὸς τάφρου Σκύθαι κατοικημένοι στρατεύονται, καὶ τὰς ἁμάξας ἐπελαύνουσι πέρην ἐς τοὺς Σινδούς. Οὕτω μὲν δὴ τοὺς ὀκτὼ μῆνας διατελέει χειμὼν ἐὼν, τοὺς δ' ἐπιλοίπους τέσσερας ψύχεα αὐτόθι ἐστί. (3) Κεχώρισται δὲ οὗτος ὁ χειμὼν τοὺς τρόπους πᾶσι τοῖσι ἐν ἄλλῃσι χώρῃσι γινομένοισι χειμῶσι, ἐν τῷ τὴν μὲν ὡραίην οὐκ ὗει λόγου ἄξιον οὐδέν, τὸ δὲ θέρος ὕων οὐκ ἀνίει· βρονταί τε ἦμος τῇ ἄλλῃ γίνονται, τηνικαῦτα μὲν οὐ γίνονται, θέρεος δὲ ἀμφιλαφέες· ἢν δὲ χειμῶνος βροντὴ γένηται, ὡς τέρας θωμάζεται. Ὡς δὲ καὶ ἢν σεισμὸς γένηται ἤν τε θέρεος ἤν τε χειμῶνος ἐν τῇ Σκυθικῇ, τέρας νενόμισται. (4) Ἵπποι δὲ ἀνεχόμενοι φέρουσι τὸν χειμῶνα τοῦτον, ἡμίονοι δὲ οὐδὲ ὄνοι ἀνέχονται ἀρχήν· τῇ δὲ ἄλλῃ ἵπποι μὲν ἐν κρυμῷ ἑστεῶτες ἀποσφαχελίζουσι, ὄνοι δὲ καὶ ἡμίονοι ἀνέχονται.

XXIX. Δοκέει δέ μοι καὶ τὸ γένος τῶν βοῶν τὸ κόλον διὰ ταῦτα οὐ φύειν κέρεα αὐτόθι. Μαρτυρέει δέ μοι τῇ γνώμῃ καὶ Ὁμήρου ἔπος ἐν Ὀδυσσείῃ ἔχον ὧδε,

καὶ Λιβύην ὅθι τ' ἄρνες ἄφαρ κεραοὶ τελέθουσι,

ὀρθῶς εἰρημένον, ἐν τοῖσι θερμοῖσι ταχὺ παραγίνεσθαι τὰ κέρεα· ἐν δὲ τοῖσι ἰσχυροῖσι ψύχεσι ἢ οὐ φύει κέρεα τὰ κτήνεα ἀρχήν, ἢ φύοντα φύει μόγις.

XXX. Ἐνθαῦτα μέν νυν διὰ τὰ ψύχεα γίνεται ταῦτα· θωμάζω δέ (προσθήκας γὰρ δή μοι ὁ λόγος ἐξ ἀρχῆς ἐδίζητο) ὅτι ἐν τῇ Ἠλείῃ πάσῃ χώρῃ οὐ δυνέαται γίνεσθαι ἡμίονοι, οὔτε ψυχροῦ τοῦ χώρου ἐόντος οὔτε ἄλλου φανεροῦ αἰτίου οὐδενός. (2) Φασὶ δὲ αὐτοὶ Ἠλεῖοι ἐκ κατάρης τευ οὐ γίνεσθαι σφίσι ἡμιόνους. Ἀλλ' ἐπεὰν προσίῃ ἡ ὥρη κυίσκεσθαι τὰς ἵππους, ἐξελαύνουσι ἐς τοὺς πλησιοχώρους αὐτὰς, καὶ ἔπειτέν σφι ἐν τῇ τῶν πέλας ἐπιεῖσι τοὺς ὄνους, ἐς οὗ ἂν σχῶσι αἱ ἵπποι ἐν γαστρί· ἔπειτεν δὲ ὀπίσω ἀπελαύνουσι.

XXXI. Περὶ δὲ τῶν πτερῶν τῶν Σκύθαι λέγουσι ἀνάπλεον εἶναι τὸν ἠέρα, καὶ τούτων εἵνεκεν οὐκ οἷά τε εἶναι οὔτε ἰδέειν τὸ πρόσω τῆς ἠπείρου οὔτε διεξιέναι, τήνδε ἔχω περὶ αὐτῶν γνώμην· (2) τὰ κατύπερθε ταύτης τῆς χώρης αἰεὶ νίφεται, ἐλάσσονι δὲ τοῦ θέρεος ἢ τοῦ χειμῶνος, ὥσπερ καὶ οἰκός· ἤδη ὧν ὅστις ἀγχόθεν χιόνα ἀδρὴν πίπτουσαν εἶδε οἶδε τὸ λέγω· οἷκε γὰρ ἡ χιὼν πτεροῖσι· καὶ διὰ τὸν χειμῶνα τοῦτον ἐόντα τοιοῦτον ἀνοίκητα τὰ πρὸς βορέην ἐστὶ τῆς ἠπείρου ταύτης. (3) Τὰ ὦν πτερὰ εἰκάζοντας τὴν χιόνα τοὺς Σκύθας λέγειν, ἐκ τούτου τοῦ λόγου μοι δοκέουσι εἰκάζειν. Ἐν τοσούτῳ δὲ ἐόντι ψύχεϊ ἐν τῇ ἠπείρῳ ταύτῃ οἰκέουσι ἄνθρωποι, ἐκ τοῦ πολλὸν χρόνον ἐστὶ ἐπιμίσγεσθαι τοῖσι ἀνθρώποισι τοῖσι ἐνθεῦτεν ἀπικνεομένοισι, καὶ ἐπιμισγόμενοι οὐδὲν ἧσσον ἐκ τούτου τοῦ χρόνου

θας τε καὶ τοὺς περιοίκους δοκέω λέγειν. Ταῦτα μέν νυν τὰ λέγεται μακρότατα, εἴρηται.

XXXII. Ὑπερβορέων δὲ πέρι ἀνθρώπων οὔτε τι Σκύθαι λέγουσι οὔτε τινὲς ἄλλοι τῶν ταύτῃ οἰκημένων, εἰ μὴ ἄρα Ἰσσηδόνες. Ὡς δ' ἐγὼ δοκέω, οὐδ' οὗτοι λέγουσι οὐδέν· ἔλεγον γὰρ ἂν καὶ Σκύθαι, ὡς περὶ τῶν μουνοφθάλμων λέγουσι. (2) Ἀλλ' Ἡσιόδῳ μέν ἐστι περὶ Ὑπερβορέων εἰρημένα, ἔστι δὲ καὶ Ὁμήρῳ ἐν Ἐπιγόνοισι, εἰ δὴ τῷ ἐόντι γε Ὁμηρος ταῦτα τὰ ἔπεα ἐποίησε.

XXXIII. Πολλῷ δέ τι πλεῖστα περὶ αὐτῶν Δήλιοι λέγουσι, φάμενοι ἱρὰ ἐνδεδεμένα ἐν καλάμῃ πυρῶν ἐξ Ὑπερβορέων φερόμενα ἀπικνέεσθαι ἐς Σκύθας, ἀπὸ δὲ Σκυθέων ἤδη δεκομένους αἰεὶ τοὺς πλησιοχώρους ἑκάστους κομίζειν αὐτὰ τὸ πρὸς ἑσπέρης ἑκαστάτω ἐπὶ τὸν Ἀδρίην, ἐνθεῦτεν δὲ πρὸς μεσαμβρίην προπεμπόμενα πρώτους Δωδωναίους Ἑλλήνων δέκεσθαι, ἀπὸ δὲ τούτων καταβαίνειν ἐπὶ τὸν Μηλιέα κόλπον καὶ διαπορεύεσθαι ἐς Εὔβοιαν, πόλιν τε ἐς πόλιν πέμπειν μέχρι Καρύστου, τὸ δ' ἀπὸ ταύτης ἐκλιπεῖν Ἄνδρον· Καρυστίους γὰρ εἶναι τοὺς κομίζοντας ἐς Τῆνον, Τηνίους δὲ ἐς Δῆλον. (2) Ἀπικνέεσθαι μέν νυν ταῦτα τὰ ἱρὰ οὕτω λέγουσι ἐς Δῆλον, πρῶτον δὲ τοὺς Ὑπερβορέους πέμψαι φερούσας τὰ ἱρὰ δύο κόρας, τὰς οὐνομάζουσι Δήλιοι εἶναι Ὑπερόχην τε καὶ Λαοδίκην· ἅμα δὲ αὐτῇσι ἀσφαλείης εἵνεκεν πέμψαι τοὺς Ὑπερβορέους τῶν ἀστῶν ἄνδρας πέντε πομποὺς, τούτους οἳ νῦν περφερέες καλεῦνται, τιμὰς μεγάλας ἐν Δήλῳ ἔχοντες. (3) Ἐπεὶ δὲ τοῖσι Ὑπερβορέοισι τοὺς ἀποπεμφθέντας ὀπίσω οὐκ ἀπονοστέειν, δεινὰ ποιευμένους εἰ σφεας αἰεὶ καταλάμψεται ἀποστέλλοντας μὴ ἀποδέκεσθαι, οὕτω δὴ φέροντας ἐς τοὺς οὔρους τὰ ἱρὰ ἐνδεδεμένα ἐν πυρῶν καλάμῃ τοῖς πλησιοχώροις ἐπισκήπτειν, κελεύοντας προπέμπειν σφέα ἀπ' ἑωυτῶν ἐς ἄλλο ἔθνος. (4) Καὶ ταῦτα μὲν οὕτω προπεμπόμενα ἀπικνέεσθαι λέγουσι ἐς Δῆλον· οἶδα δὲ αὐτὸς τούτοισι τοῖσι ἱροῖσι τόδε ποιεύμενον προσφερὲς, τὰς Θρηϊκίας καὶ τὰς Παιονίδας γυναῖκας, ἐπεὰν θύωσι τῇ Ἀρτέμιδι τῇ βασιλῃίῃ, οὐκ ἄνευ πυρῶν καλάμης ἑρδούσας τὰ ἱρά. Καὶ ταῦτα μὲν δὴ οἶδα ταύτας ποιεύσας.

XXXIV. Τῇσι δὲ παρθένοισι ταύτῃσι τῇσι Ὑπερβορέων τελευτησάσῃσι ἐν Δήλῳ κείρονται καὶ αἱ κόραι καὶ οἱ παῖδες οἱ Δηλίων· αἱ μὲν πρὸ γάμου πλόκαμον ἀποταμνόμεναι καὶ περὶ ἄτρακτον εἰλίξασαι ἐπὶ τὸ σῆμα τιθεῖσι (τὸ δὲ σῆμά ἐστι ἔσω ἐς τὸ Ἀρτεμίσιον ἐσιόντι ἀριστερῆς χειρὸς, ἐπιπέφυκε δέ οἱ ἐλαίη), (2) οἱ δὲ παῖδες τῶν Δηλίων περὶ χλόην τινὰ εἰλίξαντες τῶν τριχῶν τιθεῖσι καὶ οὗτοι ἐπὶ τὸ σῆμα. Αὗται μὲν δὴ ταύτην τιμὴν ἔχουσι πρὸς τῶν Δήλου οἰκητόρων.

XXXV. Φασὶ δὲ οἱ αὐτοὶ καὶ τὴν Ἄργην τε καὶ τὴν Ὦπιν ἰούσας παρθένους ἐξ Ὑπερβορέων, κατὰ τοὺς αὐτοὺς τούτους ἀνθρώπους πορευομένας, ἀπικέσθαι ἐς Δῆλον ἔτι πρότερον Ὑπερόχης τε καὶ Λαοδίκης. (2) Ταύτας μέν νυν τῇ Εἰλειθυίῃ ἀποφερούσας ἀντὶ τοῦ

Scythis eorumque finitimis arbitror. Atque hæc quidem, quæ de remotissimis terris narrantur, hactenus e nobis commemorata sunt.

XXXII. De Hyperboreis vero hominibus nec Scythæ loquuntur, nec alii ulli, qui istas regiones incolunt, nisi forsan Issedones. At ne hi quidem, ut mihi videtur, de illis quidquam memorant: alioqui enim Scythæ quoque de eisdem narrarent, quemadmodum de unoculis. (2) Sed Hesiodus de Hyperboreis locutus est, atque etiam Homerus in Epigonis, si modo vere auctor hujus carminis Homerus est.

XXXIII. Longe vero plurima de his Delii narrant, dicentes, sacra stramini triticeo illigata, ex Hyperboreis delata, venire ad Scythas; a Scythis vero accipere ea et deferre populum quemque deinceps habitantem versus occidentem, usque ad Adriaticum sinum: inde meridiem versus mitti, et primos ex Græcis Dodonæos ea accipere; ab his descendere ad sinum Meliensem, et in Eubœam transire, ibique de civitate ad civitatem mitti usque Carystum; inde denique, prætermissa Andro insula, ab ipsis Carystiis in Tenum insulam, a Teniis tandem in Delum deferri. (2) Eo modo in Delum pervenire sacra ista dicunt. Primò autem Hyperboreos aiunt duas misisse virgines sacra hæc ferentes, quarum nomen Delii aiunt fuisse Hyperochen et Laodicen; simulque cum his tutelæ caussa comites misisse quinque viros de civibus suis deductores, hos qui nunc Perphereos vocantur: qui summos Deli honores obtinent. (3) Quum vero hi ab illis missi non reverterentur ad suos, graviter ferentes Hyperboreos, si forte semper futurum sit ipsis ut non recipiant quos miserint; ea caussa sacra illa triticeo stramini illigata non nisi ad fines suos pertulisse, finitimisque mandasse, ut sua e terra ad alium populum ea deferrent: (4) atque ita hæc gradatim missa, aiunt, Delum pervenire. Novi autem equidem simile quoddam hisce sacris sacrum peragi a Thracicis Pæonicisque mulieribus: hæ enim, quando Dianæ Reginæ sacrificium celebrant, non sine triticeo stramine sacra faciunt. Hoc illarum novi equidem institutum.

XXXIV. In honorem autem harum virginum Hyperborearum, quæ Deli mortuæ dicuntur, caput tondent et puellæ et pueri Deliorum; et illæ quidem ante nuptias præcisum sibi cincinnum, et fuso circumvolutum, in earum sepulcro deponunt: (est autem sepulcrum illud in Dianæ templo, intranti ad sinistram; in eoque nata est oliva arbor:) (2) pueri vero Deliorum herbis quibusdam capillos circumvolvunt, et hos pariter super sepulcro illo deponunt. Hunc honorem illæ a Deli incolis consequuntur.

XXXV. Narrant autem iidem, Argen quoque atque Opin, virgines ex Hyperboreis, itinere per eosdem populos facto, in Delum venisse prius etiam quam Hyperochen et Laodicen: (2) et has quidem venisse tributi ferendi caussa, quod Lucinæ

ὠκυτόκου τὸν ἐτάξαντο φόρον ἀπικέσθαι, τὴν δὲ Ἄργην τε καὶ τὴν Ὦπιν ἅμα αὐτοῖσι τοῖσι θεοῖσι ἀπικέσθαι λέγουσι καί σφι τιμὰς ἄλλας δεδόσθαι πρὸς σφέων· (1) καὶ γὰρ ἀγείρειν σφι τὰς γυναῖκας, ἐπουνομαζούσας τὰ οὐνόματα ἐν τῷ ὕμνῳ τόν σφι Ὄλλην ἀνὴρ Λύκιος ἐποίησε, παρὰ δὲ σφέων μαθόντας νησιώτας τε καὶ Ἴωνας ὑμνέειν Ὦπίν τε καὶ Ἄργην οὐνομάζοντάς τε καὶ ἀγείροντας (οὗτος δὲ ὁ Ὄλλην καὶ τοὺς ἄλλους τοὺς παλαιοὺς ὕμνους ἐποίησε ἐκ Λυκίης ἐλθὼν τοὺς ἀειδομένους ἐν Δήλῳ), καὶ τῶν μηρίων καταγιζομένων ἐπὶ τῷ βωμῷ τὴν σποδὸν ταύτην ἐπὶ τὴν θήκην τῆς Ὦπιός τε καὶ Ἄργης ἀναισιμοῦσθαι ἐπιβαλλομένην. Ἡ δὲ θήκη αὐτῶν ἐστὶ ὄπισθε τοῦ Ἀρτεμισίου, πρὸς ἠῶ τετραμμένη, ἀγχοτάτω τοῦ Κηΐων ἱστιητορίου.

XXXVI. Καὶ ταῦτα μὲν Ὑπερβορέων πέρι εἰρήσθω· τὸν γὰρ περὶ Ἀβάριος λόγον τοῦ λεγομένου εἶναι Ὑπερβορέου οὐ λέγω, λέγων ὡς τὸν ὀϊστὸν περιέφερε κατὰ πᾶσαν τὴν γῆν, οὐδὲν σιτεόμενος. Εἰ δὲ εἰσί τινες ὑπερβόρεοι ἄνθρωποι, εἰσὶ καὶ ὑπερνότιοι ἄλλοι. (2) Γελῶ δὲ ὁρέων γῆς περιόδους γράψαντας πολλοὺς ἤδη, καὶ οὐδένα νόον ἔχόντως ἐξηγησάμενον· οἳ Ὠκεανόν τε ῥέοντα γράφουσι πέριξ τὴν γῆν ἐοῦσαν κυκλοτερέα ὡς ἀπὸ τόρνου, καὶ τὴν Ἀσίην τῇ Εὐρώπῃ ποιεύντων ἴσην. Ἐν ὀλίγοισι γὰρ ἐγὼ δηλώσω μέγαθός τε ἑκάστης αὐτέων, καὶ οἵη τις ἐστὶ ἐς γραφὴν ἑκάστη.

XXXVII. Πέρσαι οἰκέουσι κατήκοντες ἐπὶ τὴν νοτίην θάλασσαν τὴν Ἐρυθρὴν καλευμένην· τούτων δ' ὑπεροικέουσι πρὸς βορέεω ἀνέμου Μῆδοι, Μήδων δὲ Σάσπειρες, Σασπείρων δὲ Κόλχοι κατήκοντες ἐπὶ τὴν βορηίην θάλασσαν, ἐς τὴν Φᾶσις ποταμὸς ἐκδιδοῖ. Ταῦτα τέσσερα ἔθνεα οἰκέει ἐκ θαλάσσης ἐς θάλασσαν.

XXXVIII. Ἐνθεῦτεν δὲ τὸ πρὸς ἑσπέρης ἀκταὶ διφάσιαι ἀπ' αὐτῆς κατατείνουσι ἐς θάλασσαν, τὰς ἐγὼ ἀπηγήσομαι. (2) Ἔνθεν μὲν ἡ ἀκτὴ ἡ ἑτέρη τὰ πρὸς βορέην ἀπὸ Φάσιος ἀρξαμένη παρατέταται ἐς θάλασσαν παρά τε τὸν Πόντον καὶ τὸν Ἑλλήσποντον μέχρι Σιγείου τοῦ Τρωϊκοῦ· τὰ δὲ πρὸς νότου ἡ αὐτὴ αὕτη ἀκτὴ ἀπὸ τοῦ Μυριανδρικοῦ κόλπου τοῦ πρὸς Φοινίκῃ κειμένου τείνει τὰ ἐς θάλασσαν μέχρι Τριοπίου ἄκρης. (3) Οἰκέει δ' ἐν τῇ ἀκτῇ ταύτῃ ἔθνεα ἀνθρώπων τριήκοντα. Αὕτη μέν νυν ἡ ἑτέρη τῶν ἀκτέων.

XXXIX. Ἡ δὲ δὴ ἑτέρη ἀπὸ Περσέων ἀρξαμένη παρατέταται ἐς τὴν Ἐρυθρὴν θάλασσαν, ἥ τε Περσικὴ καὶ ἡ ἀπὸ ταύτης ἐκδεκομένη Ἀσσυρίη καὶ ἀπὸ Ἀσσυρίης ἡ Ἀραβίη· λήγει δὲ αὕτη, οὐ λήγουσα εἰ μὴ νόμῳ, ἐς τὸν κόλπον τὸν Ἀράβιον, ἐς τὸν Δαρεῖος ἐκ τοῦ Νείλου διώρυχα ἐσήγαγε. (2) Μέχρι μέν νυν Φοινίκης ἀπὸ Περσέων χῶρος πλατὺς καὶ πολλός ἐστι· τὸ δ' ἀπὸ Φοινίκης παρήκει διὰ τῆσδε τῆς θαλάσσης ἡ ἀκτὴ αὕτη παρά τε Συρίην τὴν Παλαιστίνην καὶ Αἴγυπτον, ἐς τὴν τελευτᾷ· ἐν τῇ ἔθνεά ἐστι τρία μοῦνα. Ταῦτα μὲν ἀπὸ Περσέων τὰ πρὸς ἑσπέρης τῆς Ἀσίης ἔχοντά ἐστι.

XL. Τὰ δὲ κατύπερθε Περσέων καὶ Μήδων καὶ Σασπείρων καὶ Κόλχων, τὰ πρὸς ἠῶ τε καὶ ἥλιον ἀνα-

pro maturato partu pactæ fuissent; Argen vero et Opin simul cum ipsis diis aiunt advenisse, hisque alios honores a se esse tributos; (3) his enim stipem corrogare mulieres nomina earum invocantes in hymno eo, quem ipsis Olen, vir Lycius, composuit; et a se edoctos insulanos etiam et Ionas Opin et Argen carmine celebrare, nomen illarum invocantes, stipemque eisdem corrogantes: (idem vero Olen, qui e Lycia venit, alia etiam prisca carmina confecit, quæ Deli canuntur:) et cineres ex femoribus in ara crematis omnes sepulcro Opis et Arges injici. Est autem illarum sepulcrum post Dianæ templum, orientem versus, proxime cœnaculum Ceorum.

XXXVI. Atque hæc quidem de Hyperboreis dicta sunto. Nam de Abaride fabulam, qui Hyperboreus fuisse perhibetur, taceo; nec memoro quo pacto sagittam ille per universam terram circumtulerit, nihil cibi capiens. Quodsi vero sunt Hyperborei quidam homines, fuerint etiam alii Hypernotii. (2) Rideo autem quum multos jam video describentes terræ circuitus, neque quemquam ullum qui sana mente rem explicet: nam Oceanum illi describunt, quasi terram undique circumfluat, quam orbiculatam fingunt velut ex torno; et Asiam æqualem faciunt Europæ. Brevibus verbis igitur et magnitudinem utriusque harum terrarum declarabo, et qualis fere sit utriusque figura.

XXXVII. Persæ suam regionem incolunt ad australe mare pertinentes, quod Rubrum vocatur. Supra hos, septemtrionem versus, Medi habitant; supra Medos Saspires; supra Saspiras Colchi, ad boreale mare pertinentes, in quod Phasis fluvius influit. Hi quattuor populi ab altero mari habitant ad alterum.

XXXVIII. Inde ex eadem Asia, versus occidentem, duæ oræ porriguntur in mare, quas ego describam. (2) Altera ora, in boreali parte a Phasi incipiens, in mare excurrit secundum Pontum et Hellespontum, usque ad Troicum Sigeum: in parte meridionali, eadem ora initium capit a Myriandrico sinu, ad Phœnicen sito, et in mare porrigitur usque ad Triopium promontorium. (3) Hanc oram triginta incolunt hominum populi: et hæc quidem altera est earum quas dixi orarum.

XXXIX. Altera vero ora, a Perside incipiens, in Rubrum mare porrigitur; estque Persica, tum hanc excipiens Assyriaca, et post Assyriacam Arabica ora. Desinit autem hæc ora (non quidem vere desinens, sed solummodo ex usu loquendi) in sinum Arabium, in quem Darius fossam ex Nilo duxit. (2) Jam a Perside usque ad Phœnicen lata et ampla regio est: a Phœnice vero hæc ora per mare nostrum (*mediterraneum*) secundum Syriam Palæstinam ad Ægyptum porrigitur, ubi desinit: hancque oram nonnisi tres incolunt populi. Hæ sunt Asiæ regiones Persis ab occidente sitæ.

XL. Quæ vero ultra Persas et Medos Saspiresque et Colchos versus orientem solem spectant, secundum ea,

τέλλοντα, ἔνθεν μὲν ἡ Ἐρυθρὴ παρήκει θάλασσα, πρὸς βορέεω δὲ ἡ Κασπίη τε θάλασσα καὶ ὁ Ἀράξης ποταμὸς, ῥέων πρὸς ἥλιον ἀνίσχοντα. (2) Μέχρι δὲ τῆς Ἰνδικῆς οἰκέεται Ἀσίη· τὸ δὲ ἀπὸ ταύτης ἐρῆμος ἤδη τὸ πρὸς τὴν ἠῶ, οὐδ' ἔχει οὐδεὶς φράσαι οἷον δή τι ἐστί. Τοιαύτη μὲν καὶ τοσαύτη ἡ Ἀσίη ἐστί.

XLI. Ἡ δὲ Λιβύη ἐν τῇ ἀκτῇ τῇ ἑτέρῃ ἐστί· ἀπὸ γὰρ Αἰγύπτου Λιβύη ἤδη ἐκδέκεται. Κατὰ μέν νυν Αἴγυπτον ἡ ἀκτὴ αὕτη στεινή ἐστι· ἀπὸ γὰρ τῆσδε τῆς θαλάσσης ἐς τὴν Ἐρυθρὴν θάλασσαν δέκα μυριάδες εἰσὶ ὀργυιέων, αὗται δ' ἂν εἶεν χίλιοι στάδιοι· τὸ δὲ ἀπὸ τοῦ στεινοῦ τούτου κάρτα πλατέα τυγχάνει ἐοῦσα ἡ ἀκτὴ ἥτις Λιβύη κέκληται.

XLII. Θωμάζω ὦν τῶν διουρισάντων καὶ διελόντων Λιβύην τε καὶ Ἀσίην καὶ Εὐρώπην· οὐ γὰρ σμικρὰ τὰ διαφέροντα αὐτέων ἐστί· μήκεϊ μὲν γὰρ παρ' ἀμφοτέρας παρήκει ἡ Εὐρώπη, εὔρεος δὲ πέρι οὐδὲ συμβαλέειν ἀξίη φαίνεταί μοι εἶναι. (2) Λιβύη μὲν γὰρ δηλοῖ ἑωυτὴν ἐοῦσα περίρρυτος, πλὴν ὅσον αὐτῆς πρὸς τὴν Ἀσίην οὐρίζει, Νεκὼ τοῦ Αἰγυπτίων βασιλέος πρώτου τῶν ἡμεῖς ἴδμεν καταδέξαντος, ὃς ἐπείτε τὴν διώρυχα ἐπαύσατο ὀρύσσων τὴν ἐκ τοῦ Νείλου διέχουσαν ἐς τὸν Ἀράβιον κόλπον, ἀπέπεμψε Φοίνικας ἄνδρας πλοίοισι, ἐντειλάμενος ἐς τὸ ὀπίσω δι' Ἡρακλέων στηλέων διεκπλώειν ἕως ἐς τὴν βορηίην θάλασσαν καὶ οὕτω ἐς Αἴγυπτον ἀπικνέεσθαι. (3) Ὁρμηθέντες ὦν οἱ Φοίνικες ἐκ τῆς Ἐρυθρῆς θαλάσσης ἔπλωον τὴν νοτίην θάλασσαν· ὅκως δὲ γίνοιτο φθινόπωρον, προσίσχοντες ἂν σπείρεσκον τὴν γῆν, ἵνα ἑκάστοτε τῆς Λιβύης πλώοντες γινοίατο, καὶ μένεσκον τὸν ἄμητον· θερίσαντες δ' ἂν τὸν σῖτον ἔπλωον, ὥστε δύο ἐτέων διεξελθόντων τρίτῳ ἔτεϊ κάμψαντες Ἡρακλέας στήλας ἀπίκοντο ἐς Αἴγυπτον. (4) Καὶ ἔλεγον ἐμοὶ μὲν οὐ πιστά, ἄλλῳ δέ δή τεῳ, ὡς περιπλώοντες τὴν Λιβύην τὸν ἥλιον ἔσχον ἐς τὰ δεξιά. Οὕτω μὲν αὕτη ἐγνώσθη τὸ πρῶτον.

XLIII. Μετὰ δὲ Καρχηδόνιοί εἰσι οἱ λέγοντες, ἐπεὶ Σατάσπης γε ὁ Τεάσπιος ἀνὴρ Ἀχαιμενίδης οὐ περιέπλωσε Λιβύην, ἐπ' αὐτὸ τοῦτο πεμφθείς, ἀλλὰ δείσας τό τε μῆκος τοῦ πλόου καὶ τὴν ἐρημίην ἀπῆλθε ὀπίσω, οὐδ' ἐπετέλεσε τὸν ἐπέταξέ οἱ ἡ μήτηρ ἆεθλον. (2) Θυγατέρα γὰρ Ζωπύρου τοῦ Μεγαβύζου παρθένον ἐβιήσατο· ἔπειτεν μέλλοντος αὐτοῦ διὰ ταύτην τὴν αἰτίην ἀνασκολοπιέεσθαι ὑπὸ Ξέρξεω βασιλέος, ἡ μήτηρ τοῦ Σατάσπεος ἐοῦσα Δαρείου ἀδελφεὴ παραιτήσατο, φᾶσά οἱ αὐτὴ μέζω ζημίην ἐπιθήσειν ἢπερ ἐκεῖνον· Λιβύην γάρ οἱ ἀνάγκην ἔσεσθαι περιπλώειν, ἐς ὃ ἂν ἀπίκηται περιπλώων αὐτὴν ἐς τὸν Ἀράβιον κόλπον. (3) Συγχωρήσαντος δὲ Ξέρξεω ἐπὶ τούτοισι, ὁ Σατάσπης ἀπικόμενος ἐς Αἴγυπτον καὶ λαβὼν νέα τε καὶ ναύτας παρὰ τούτων ἔπλωε ἐπὶ Ἡρακλέας στήλας· διεκπλώσας δὲ, καὶ κάμψας τὸ ἀκρωτήριον τῆς Λιβύης τῷ οὔνομα Σολόεις ἐστὶ, ἔπλωε πρὸς μεσαμβρίην· περήσας δὲ θάλασσαν πολλὴν ἐν πολλοῖσι μησὶ, ἐπείτε τοῦ πλεῦνος αἰεὶ ἔδεε,

ab altera parte (*a meridie*) Rubrum mare porrigitur, a septemtrione vero Caspium mare et Araxes fluvius, qui contra solem orientem fluit. (2) Usque ad Indiam vero, non ultra, habitatur Asia : quæ inde versus orientem spectant, deserta regio est; quæ qualis sit, nemo dicere potest. Talis igitur ac tanta Asia est.

XLI. Libya in altera earum, quas dixi, orarum est : est enim Libya Ægypto contigua. Jam ad Ægyptum quidem angusta hæc ora est : nam ab nostro mari ad mare Rubrum sunt centum millia orgyiarum, quæ mille admodum stadia conficiunt. Inde ab his vero angustiis valde spatiosa fit hæc ora, quæ Libya vocatur.

XLII. Miror autem hos, qui universam terram in tres partes dividunt atque distinguunt, Libyam, Asiam, et Europam : nec enim exigua inter has est differentia. Nam longitudine quidem secundum utramque (Asiam et Africam) porrigitur Europa : quod vero ad latitudinem ejus attinet, ne potest quidem, quod mihi manifestum est recte, cum illis conferri. (2) Nam Africa quidem ipsa se declarat esse circumfluam, præter eam partem quæ Asiæ est contigua; ex quo primus, quem novimus, Neco rex Ægyptiorum rem demonstravit. Hic enim, postquam desiit fossam fodere, quæ ex Nilo in sinum Arabium dirigebatur, viros Phœnices navibus emisit, dato mandato, ut per Herculeas columnas renavigarent in mare quod Libyæ a septemtrione est, atque ita in Ægyptum reverterentur. (3) Igitur Phœnices, ex Rubro mari profecti, per australe mare navigarunt : et, quando adveniebat autumnus, adpulsis ad terram navibus, quamcumque ad Libyæ regionem tunc pervenissent, in ea sementem faciebant, messemque exspectabant : deinde, messo frumento, navibus ulterius pergebant. Ita, duobus elapsis annis, tertio anno, itinere per Herculeas columnas flexo, in Ægyptum pervenerunt. (4) Dixeruntque, quod mihi quidem non persuadetur, sed fortasse alii cuipiam, quum Libyam circumnavigarent, habuisse se solem a dextra. Hoc modo primum cognita Libya est.

XLIII. Post hos, Carthaginienses idem adfirmant : nam Sataspes quidem, Teaspis filius, de Achæmenidarum stirpe, non circumnavigavit Libyam, quamquam ob id ipsum emissus : sed, quum longitudine itineris, tum solitudine territus, retrogressus est, neque laborem implevit a matre sibi injunctum. (2) Is filiæ Zopyri virgini vim intulerat, nepti Megabyzi : quam ob culpam quum in eo esset ut a Xerxe rege e palo suspenderetur, mater Sataspis, quæ soror erat Darii, deprecata est supplicium, ipsam se dicens graviorem ipso pœnam illi inflicturam; impositurum quippe ei necessitatem circumnavigandi Libyam, donec ea circumnavigata in Arabium sinum pervenisset. (3) Quam in conditionem postquam Xerxes consensit, Sataspes in Ægyptum profectus, accepta ab Ægyptiis navi nautisque, ad Herculeas navigavit columnas : hisque transmissis, circumvectus Africæ promontorium, cui Solois nomen est, meridiem versus navigavit : et permultum maris pluribus mensibus emensus, quum major semper itineris pars conficienda superesset

ἀποστρέψας ὀπίσω ἀπέπλωε ἐς Αἴγυπτον. (4) Ἐκ δὲ ταύτης ἀπικόμενος παρὰ βασιλέα Ξέρξεα ἔλεγε φὰς τὰ προσωτάτω ἀνθρώπους σμικροὺς παραπλώειν, ἐσθῆτι φοινικηίῃ διαχρεωμένους, οἳ ὅκως σφεῖς καταγοίατο τῇ νηῒ φεύγεσκον πρὸς τὰ οὔρεα λείποντες τὰς πόλις· αὐτοὶ δὲ ἀδικέειν οὐδὲν ἐσιόντες, πρόβατα δὲ μοῦνα ἐξ αὐτῶν λαμβάνειν. (5) Τοῦ δὲ μὴ περιπλῶσαι Λιβύην παντελέως αἴτιον τόδε ἔλεγε, τὸ πλοῖον τὸ πρόσω οὐ δυνατὸν ἔτι εἶναι προβαίνειν, ἀλλ' ἐνίσχεσθαι. Ξέρξης δὲ οὔ οἱ συγγινώσκων λέγειν ἀληθέα, οὐκ ἐπιτελέσαντά τε τὸν προκείμενον ἆεθλον ἀνεκολόπισε, τὴν ἀρχαίην νικην ἐπιτιμέων. (6) Τούτου δὲ τοῦ Σατάσπεος εὐνοῦχος ἀπέδρη ἐς Σάμον, ἐπείτε ἐπύθετο τάχιστα τὸν δεσπότεα τετελευτηκότα, ἔχων χρήματα μεγάλα, τὰ Σάμιος ἀνὴρ κατέσχε, τοῦ ἐπιστάμενος τὸ οὔνομα ἐκὼν ἐπιλήθομαι.

XLIV. Τῆς δὲ Ἀσίης τὰ πολλὰ ὑπὸ Δαρείου ἐξευρέθη, ὃς βουλόμενος Ἰνδὸν ποταμὸν, ὃς χροκοδείλους δεύτερος οὗτος ποταμῶν πάντων παρέχεται, τοῦτον τὸν ποταμὸν εἰδέναι τῇ ἐς θάλασσαν ἐκδιδοῖ, πέμπει πλοίοισι ἄλλους τε τοῖσι ἐπίστευε τὴν ἀληθείαν ἐρέειν, καὶ δὴ καὶ Σκύλακα ἄνδρα Καρυανδέα. (2) Οἱ δὲ ὁρμηθέντες ἐκ Κασπατύρου τε πόλιος καὶ τῆς Πακτυϊκῆς γῆς ἔπλωον κατὰ ποταμὸν πρὸς ἠῶ τε καὶ ἡλίου ἀνατολὰς ἐς θάλασσαν, διὰ θαλάσσης δὲ πρὸς ἑσπέρην πλώοντες τριηκοστῷ μηνὶ ἀπικνέονται ἐς τοῦτον τὸν χῶρον ὅθεν ὁ Αἰγυπτίων βασιλεὺς τοὺς Φοίνικας, τοὺς πρότερον εἶπα, ἀπέστειλε περιπλώειν Λιβύην. (3) Μετὰ δὲ τούτους περιπλώσαντας Ἰνδούς τε κατεστρέψατο Δαρεῖος καὶ τῇ θαλάσσῃ ταύτῃ ἐχρᾶτο. Οὕτω καὶ τῆς Ἀσίης, πλὴν τὰ πρὸς ἥλιον ἀνίσχοντα, τὰ ἄλλα ἀνεύρηται ὁμοίη παρεχομένη τῇ Λιβύῃ.

XLV. Ἡ δὲ Εὐρώπη πρὸς οὐδαμῶν φανερή ἐστι γινωσκομένη, οὔτε τὰ πρὸς ἥλιον ἀνατέλλοντα οὔτε τὰ πρὸς βορέην, εἰ περίρρυτός ἐστι· μήκεϊ δὲ γινώσκεται παρ' ἀμφοτέρας παρήκουσα. (2) Οὐδ' ἔχω συμβαλέσθαι ἐπ' ὅτευ μιῇ ἐούσῃ γῇ οὐνόματα τριφάσια κέεται ἐπωνυμίας ἔχοντα γυναικῶν, καὶ οὐρίσματα αὐτῇ Νεῖλός τε ὁ Αἰγύπτιος ποταμὸς ἐτέθη καὶ Φᾶσις ὁ Κόλχος (οἱ δὲ Τάναϊν ποταμὸν τὸν Μαιήτην καὶ πορθμηΐα τὰ Κιμμέρια λέγουσι), οὐδὲ τῶν διουρισάντων τὰ οὐνόματα πυθέσθαι, καὶ ὅθεν ἔθεντο τὰς ἐπωνυμίας. (3) Ἤδη γὰρ Λιβύη μὲν ἐπὶ Λιβύης λέγεται ὑπὸ τῶν πολλῶν Ἑλλήνων ἔχειν τὸ οὔνομα, γυναικὸς αὐτόχθονος, ἡ δὲ Ἀσίη ἐπὶ τῆς Προμηθέος γυναικὸς τὴν ἐπωνυμίην. Καὶ τούτου μὲν μεταλαμβάνονται τοῦ οὐνόματος Λυδοὶ, φάμενοι ἐπ' Ἀσίεω τοῦ Κότυος τοῦ Μάνεω κεκλῆσθαι τὴν Ἀσίην, ἀλλ' οὐκ ἐπὶ τῆς Προμηθέος Ἀσίης· ἀπ' ὅτευ καὶ τὴν ἐν Σάρδισι φυλὴν κεκλῆσθαι Ἀσιάδα. (4) Ἡ δὲ δὴ Εὐρώπη οὔτε εἰ περίρρυτός ἐστι γινώσκεται πρὸς οὐδαμῶν ἀνθρώπων, οὔτε ὁκόθεν τὸ οὔνομα ἔλαβε τοῦτο, οὔτε ὅστις οἱ ἦν ὁ θέμενος φαίνεται, εἰ μὴ ἀπὸ τῆς Τυρίης φήσομεν Εὐρώπης λαβέειν τὸ οὔνομα τὴν χώρην· πρότερον δὲ ἦν ἄρα ἀνώνυμος ὥσπερ αἱ

retro navigavit, in Ægyptumque est reversus. (4) Ex qua quum ad Xerxem regem rediisset, narravit, in remotissimis locis præter homines se navigasse statura minutos, veste e palmæ foliis utentes; qui, quando ipsi navem ad terram adpulissent, relictis oppidis in montes profugissent: se vero cum suis, oppida illorum ingressum, nulla injuria incolis inlata, pecora solummodo eorum abegisse. (5) Quod autem Libyam non penitus circumnavigasset, caussam hanc esse aiebat: navem non potuisse ulterius progredi, sed fuisse inhibitam. Xerxes autem, persuasum sibi habens vera eum non dicere, quod impositum laborem non esset exsecutus, pristinam pœnam irrogavit et e palo suspendit. (6) Hujus Sataspis eunuchus, audita domini morte, propere Samum confugit, ingentes secum ferens pecunias, quas intervertit civis quidam Samius; cujus nomen, cognitum mihi quidem, volens obliviscor.

XLIV. Asiæ vero plurima pars (ante incognita) a Dario pervestigata est. Is quum cognoscere voluisset, ubinam Indus fluvius, unus post Nilum fluviorum omnium qui crocodilos alat, in mare se evolvat; cum navibus quum alios misit, quos verum esse relaturos judicabat, tum Scylacem inprimis, civem Caryandensem. (2) Hi igitur ex Caspatyro oppido et Pactyica regione profecti, secundo fluvio orientem solem versus in mare navigarunt: tum per mare occidentem versus navigantes, trigesimo mense eum in locum pervenerunt, unde rex Ægyptiorum Phœnices illos, de quibus supra dixi, emisit Libyam circumnavigaturos. (3) Confecta horum navigatione, Indos subegit Darius, et mari illo usus est. Atque ita Asiæ, præter eam partem quæ Indis ab oriente est, reliqua cognita sunt; compertumque est, Asiam similia exhibere atque Africam.

XLV. Europa autem a nemine plane cognita est; neque compertum habemus an aut ab oriente aut a septemtrione circumfluasit: illud novimus, longitudine secundum Libyam Asiamque esse illam porrectam. (2) Nec vero conjectura adsequi possum, cur, quum una sit terra, tribus illa nominibus distinguatur, a mulierum nominibus desumptis, terminique eidem ponantur, Nilus fluvius Ægyptius, et Phasis Colchicus; pro quo quidem alii Tanaim fluvium Mæoticum ponunt, et Cimmeria Porthmea: neque nomina potui comperire eorum qui hanc distributionem instituerunt, nec cur ista nomina his regionibus imposuerint. (3) Nam Libyam quidem plerique Græci aiunt a Libya, muliere indigena, nomen invenisse; Asiam vero a cognomine uxoris Promethei. Ac nomen hoc sibi vindicant Lydi; perhibentes, a Cotyis filio, Manis nepote, cui Asias nomen fuit, nominatam Asiam fuisse, non a Promethei uxore Asia: ab eodemque etiam Sardibus tribum Asiadem ducere nomen. (4) Sed Europa, quemadmodum, an circumfluasit, nulli hominum compertum est; sic nec, unde hoc nomen acceperit, aut quis ei illud imposuerit, adparet; nisi dicamus, a Tyria Europa nomen invenisse hanc regionem: tum vero antea carebat no-

ἕτεραι. (5) Ἀλλ' αὕτη γε ἐκ τῆς Ἀσίης τε φαίνεται ἐοῦσα καὶ οὐκ ἀπικομένη ἐς τὴν γῆν ταύτην ἥτις νῦν ὑπ' Ἑλλήνων Εὐρώπη καλέεται, ἀλλ' ὅσον ἐκ Φοινίκης ἐς Κρήτην, ἐκ Κρήτης δὲ ἐς Λυκίην. Ταῦτα μέν νυν ἐπὶ τοσοῦτον εἰρήσθω· τοῖσι γὰρ νομιζομένοισι αὐτῶν χρησόμεθα.

XLVI. Ὁ δὲ Πόντος ὁ Εὔξεινος, ἐπ' ὃν ἐστρατεύετο Δαρεῖος, χωρέων πασέων παρέχεται ἔξω τοῦ Σκυθικοῦ ἔθνεα ἀμαθέστατα· οὔτε γὰρ ἔθνος τῶν ἐντὸς τοῦ Πόντου οὐδὲν ἔχομεν προβαλέσθαι σοφίης πέρι, οὔτε ἄνδρα λόγιον εἴδαμεν γενόμενον πάρεξ τοῦ Σκυθικοῦ ἔθνεος καὶ Ἀναχάρσιος. (2) Τῷ δὲ Σκυθικῷ γένεϊ ἓν μὲν τὸ μέγιστον τῶν ἀνθρωπηίων πρηγμάτων σοφώτατα πάντων ἐξεύρηται τῶν ἡμεῖς ἴδμεν, τὰ μέντοι ἄλλα οὐκ ἄγαμαι. (3) Τὸ δὲ μέγιστον οὕτω σφι ἀνεύρηται ὥστε ἀποφυγέειν τε μηδένα ἐπελθόντα ἐπὶ σφέας, μὴ βουλομένους τε ἐξευρεθῆναι καταλαβέειν μὴ οἷόν τε εἶναι· τοῖσι γὰρ μήτε ἄστεα μήτε τείχεα ᾖ ἐκτισμένα, ἀλλὰ φερέοικοι ἐόντες πάντες ἕωσι ἱπποτοξόται, ζώοντες μὴ ἀπ' ἀρότου, ἀλλ' ἀπὸ κτηνέων, οἰκήματά τε σφι ᾖ ἐπὶ ζευγέων, κῶς οὐκ ἂν εἶησαν οὗτοι ἄμαχοί τε καὶ ἄποροι προσμίσγειν;

XLVII. Ἐξεύρηται δέ σφι ταῦτα τῆς τε γῆς ἐούσης ἐπιτηδέης καὶ τῶν ποταμῶν ἐόντων σφι συμμάχων· ἥ τε γὰρ γῆ ἐοῦσα πεδιὰς αὕτη ποιώδης τε καὶ εὔυδρός ἐστι, ποταμοί τε δι' αὐτῆς ῥέουσι οὐ πολλῷ τέῳ ἀριθμὸν ἐλάσσονες τῶν ἐν Αἰγύπτῳ διωρύχων. (2) Ὅσοι δὲ οὐνομαστοί τέ εἰσι αὐτῶν καὶ προσπλωτοὶ ἀπὸ θαλάσσης, τούτους οὐνομανέω. Ἴστρος μὲν πεντάστομος, μετὰ δὲ Τύρης τε καὶ Ὕπανις καὶ Βορυσθένης καὶ Παντικάπης καὶ Ὑπάκυρις καὶ Γέρρος καὶ Τάναϊς· ῥέουσι δὲ οὗτοι κατὰ τάδε.

XLVIII. Ἴστρος μὲν ἐὼν μέγιστος ποταμῶν πάντων τῶν ἡμεῖς ἴδμεν, ἴσος αἰεὶ αὐτὸς ἑωυτῷ ῥέει καὶ θέρεος καὶ χειμῶνος, πρῶτος δὲ τὸ ἀπ' ἑσπέρης τῶν ἐν τῇ Σκυθικῇ ῥέων κατὰ τοιόνδε μέγιστος γέγονε, ποταμῶν καὶ ἄλλων ἐς αὐτὸν ἐκδιδόντων. (2) Εἰσὶ δὲ οἵδε οἱ μέγαν αὐτὸν ποιεῦντες, διὰ μέν γε τῆς Σκυθικῆς χώρης πέντε μὲν οἱ ῥέοντες, τόν τε Σκύθαι Πόρατα καλεῦσι, Ἕλληνες δὲ Πυρετόν, καὶ ἄλλος Τιαραντός καὶ Ἀραρός τε καὶ Νάπαρις καὶ Ὀρδησσός. (3) Ὁ μὲν πρῶτος λεχθεὶς τῶν ποταμῶν μέγας καὶ πρὸς ἡῶ ῥέων ἀνακοινοῦται τῷ Ἴστρῳ τὸ ὕδωρ, ὁ δὲ δεύτερος λεχθεὶς Τιαραντὸς πρὸς ἑσπέρης τε μᾶλλον καὶ ἐλάσσων, ὁ δὲ δὴ Ἀραρός τε καὶ ὁ Νάπαρις καὶ ὁ Ὀρδησσὸς διὰ μέσου τούτων ἰόντες ἐσβάλλουσι ἐς τὸν Ἴστρον. (4) Οὗτοι μὲν αὐτιγενέες ποταμοὶ Σκυθικοὶ συμπληθύνουσι αὐτόν· ἐκ δὲ Ἀγαθύρσων Μάρις ποταμὸς ῥέων συμμίσγεται τῷ Ἴστρῳ.

XLIX. Ἐκ δὲ τοῦ Αἵμου τῶν κορυφέων τρεῖς ἄλλοι μεγάλοι ῥέοντες πρὸς βορέην ἄνεμον ἐσβάλλουσι ἐς αὐτὸν, Ἄτλας καὶ Αὔρας καὶ Τίβισις. Διὰ δὲ Θρηίκης καὶ Θρηίκων τῶν Κροβύζων ῥέοντες Ἄθρυς καὶ Νόης καὶ Ἀρτάνης ἐκδιδοῦσι ἐς τὸν Ἴστρον· ἐκ δὲ Παιόνων

mine, quemadmodum duæ reliquæ. (5) At hanc quidem ex Asia fuisse constat, neque in hanc terram, quam Europam Græci vocant, pervenisse: nec enim ultra Cretam ex Phœnice pervenit, ex Creta vero in Lyciam. Atque hæc hactenus dicta sunto: cæterum nos eisdem nominibus utemur, quæ sunt usu recepta.

XLVI. Pontus Euxinus, in quem Darius expeditionem suscepit, præ regionibus omnibus populos habet inculissimos, si Scythicam gentem excipias. Neque enim populum ullum ex his, qui citra Pontum habitant, possumus sapientiæ caussa memorare, nec virum novimus qui eruditionis nomine claruerit, nisi Scythicum populum, et in hoc Anacharsin. (2) Scythica autem gens unum, quod maximum est in rebus humanis, præ cæteris omnibus, quos novimus, hominibus sapientissime invenit: cætera tamen ejusdem non laudo. (3) Maximum illud, quod dico, ita ab his inventum est, ut et nemo qui illos bello invaserit, effugere possit; et ut ipsi, si nolint reperiri, a nemine possint deprehendi. Nam, qui nec oppida nec castella exstructa habent, sed, domos suas secum ferentes, sagittarii equites sunt cuncti, non aratro victitantes, sed pecoribus, domos suas plaustris circumvehentes; quo pacto hi non essent invicti, atque etiam aditu perquam difficiles?

XLVII. Est autem hoc ab illis inventum quum opportunitate terræ, tum fluviorum adjumento: est enim terra hæc plana, herbida, et irrigua; fluviique illam perfluunt non multo pauciores numero, quam canales sunt in Ægypto. (2) Quorum fluviorum, qui et notabiliores sunt, et a mari adnavigari possunt, eos recensebo. Sunt autem Ister, quinque ostiis patens, dein Tyras, et Hypanis, et Borysthenes, et Panticapes, et Hypacyris, et Gerrhus, et Tanais. Est autem horum cursus hujusmodi.

XLVIII. Ister, fluviorum omnium, quos novimus, maximus, semper sibi ipse æqualis fluit et æstate et hieme. Ab occasu venit, primusque est qui Scythicam adluit terram: ob id omnium maximus, quod alii multi in eum influunt. (2) Qui illum augent, hi sunt: primum quinque, qui Scythicam terram perfluunt: is quem Scythæ Porata, Græci vero Pyreton vocant; tum deinde Tiarantus; porro Ararus, et Naparis, et Ordessus. (3) Quem primo loco nominavi horum fluviorum, is magnus est, et ad orientem fluens aquam suam cum Istro miscet: secundo loco memoratus, Tiarantus, magis ab occidente, estque minor. Ararus vero et Naparis et Ordessus, medium inter hos cursum tenentes in Istrum influunt. (4) Hi sunt fluvii in ipsa Scythia oriundi, qui Istrum augent. Ex Agathyrsis autem decurrens Maris fluvius itidem cum Istro aquam suam miscet.

XLIX. Tum ex Hæmi montis verticibus tres alii magni fluvii, septemtrionem versus decurrentes, in eumdem influunt, Atlas, Auras, et Tibisis: per Thraciam vero et Crobyzos Thracas fluentes Athrys et Noes et Artanes Istro

καὶ οὔρεος Ῥοδόπης Σκίος ποταμὸς μέσον σχίζων τὸν Αἷμον ἐκδιδοῖ ἐς αὐτόν. (2) Ἐξ Ἰλλυριῶν δὲ ῥέων πρὸς βορέην ἄνεμον Ἄγγρος ποταμὸς ἐσβάλλει ἐς πεδίον τὸ Τριβαλλικὸν καὶ ἐς ποταμὸν Βρόγγον, ὁ δὲ Βρόγγος ἐς τὸν Ἴστρον· οὕτω ἀμφοτέρους ἐόντας μεγάλους ὁ Ἴστρος δέχεται. (3) Ἐκ δὲ τῆς κατύπερθε χώρης Ὀμβρίκων Κάρπις ποταμὸς καὶ ἄλλος Ἄλπις πρὸς βορέην ἄνεμον καὶ οὗτοι ῥέοντες ἐκδιδοῦσι ἐς αὐτόν. (4) Ῥέει γὰρ δὴ διὰ πάσης τῆς Εὐρώπης ὁ Ἴστρος, ἀρξάμενος ἐκ Κελτῶν, οἳ ἔσχατοι πρὸς ἡλίου δυσμέων μετὰ Κύνητας οἰκέουσι τῶν ἐν τῇ Εὐρώπῃ· ῥέων δὲ διὰ πάσης τῆς Εὐρώπης ἐς τὰ πλάγια τῆς Σκυθικῆς ἐσβάλλει.

L. Τούτων ὦν τῶν καταλεχθέντων καὶ ἄλλων πολλῶν συμβαλλομένων τὸ σφέτερον ὕδωρ γίνεται ὁ Ἴστρος ποταμῶν μέγιστος, ἐπεὶ ὕδωρ γε ἓν πρὸς ἓν συμβάλλειν ὁ Νεῖλος πλήθεϊ ἀποκρατέει· ἐς γὰρ δὴ τοῦτον οὔτε ποταμὸς οὔτε κρήνη οὐδεμία ἐσδιδοῦσα ἐς πλῆθός οἱ συμβάλλεται. (2) Ἴσος δὲ αἰεὶ ῥέει ἔν τε θέρεϊ καὶ χειμῶνι ὁ Ἴστρος κατὰ τοιόνδε τι, ὡς ἐμοὶ δοκέει. Τοῦ μὲν χειμῶνός ἐστι ὅσος περ ἐστί, ὀλίγῳ τε μέζων τῆς ἑωυτοῦ φύσιος γίνεται· ὕεται γὰρ ἡ γῆ αὕτη τοῦ χειμῶνος πάμπαν ὀλίγῳ, νιφετῷ δὲ πάντα χρέεται. (3) Τοῦ δὲ θέρεος ἡ χιὼν ἡ ἐν τῷ χειμῶνι πεσοῦσα, ἐοῦσα ἀμφιλαφής, τηκομένη πάντοθεν ἐσδιδοῖ ἐς τὸν Ἴστρον· αὕτη τε δὴ ἡ χιὼν ἐσδιδοῦσα ἐς αὐτὸν συμπληθύνει, καὶ ὄμβροι πολλοί τε καὶ λάβροι σὺν αὐτῇ· ὕει γὰρ δὴ τὸ θέρος. (4) Ὅσῳ δὲ πλέον ἐπ' ἑωυτὸν ὕδωρ ὁ ἥλιος ἐπέλκεται ἐν τῷ θέρεϊ ἢ ἐν τῷ χειμῶνι, τοσούτῳ τὰ συμμισγόμενα τῷ Ἴστρῳ πολλαπλήσιά ἐστι τοῦ θέρεος ἢπερ τοῦ χειμῶνος· ἀντιτιθέμενα δὲ ταῦτα ἀντισήκωσις γίνεται, ὥστε ἴσον μιν αἰεὶ φαίνεσθαι ἐόντα.

LI. Εἷς μὲν δὴ τῶν ποταμῶν τοῖσι Σκύθῃσί ἐστι ὁ Ἴστρος, μετὰ δὲ τοῦτον Τύρης, ὃς ἀπὸ βορέεω μὲν ἀνέμου ὁρμᾶται, ἄρχεται δὲ ῥέων ἐκ λίμνης μεγάλης ἣ οὐρίζει τήν τε Σκυθικὴν καὶ τὴν Νευρίδα γῆν. Ἐπὶ δὲ τῷ στόματι αὐτοῦ κατοικέαται Ἕλληνες, οἳ Τυρῖται καλεῦνται.

LII. Τρίτος δὲ Ὕπανις ποταμὸς ὁρμᾶται μὲν ἐκ τῆς Σκυθικῆς, ῥέει δὲ ἐκ λίμνης μεγάλης τὴν πέριξ νέμονται ἵπποι ἄγριοι λευκοί· καλέεται δ' ἡ λίμνη αὕτη ὀρθῶς μήτηρ Ὑπάνιος. (2) Ἐκ ταύτης ὦν ἀνατέλλων ὁ Ὕπανις ποταμὸς ῥέει ἐπὶ μὲν πέντε ἡμερέων πλόον βραχὺς καὶ γλυκὺς ἔτι, ἀπὸ δὲ τούτου πρὸς θαλάσσης τεσσέρων ἡμερέων πλόον πικρὸς αἰνῶς. Ἐκδιδοῖ γὰρ ἐς αὐτὸν κρήνη πικρή, οὕτω δή τι ἐοῦσα πικρή, ἣ μεγάθεϊ σμικρὴ ἐοῦσα κιρνᾷ τὸν Ὕπανιν ἐόντα ποταμὸν ἐν ὀλίγοισι μέγαν. (3) Ἔστι δὲ ἡ κρήνη αὕτη ἐν οὔροισι χώρης τῆς τε ἀροτήρων Σκυθέων καὶ Ἀλαζώνων· οὔνομα δὲ τῇ κρήνῃ, καὶ ὅθεν ῥέει τῷ χώρῳ, Σκυθιστὶ μὲν Ἐξαμπαῖος, κατὰ δὲ τὴν Ἑλλήνων γλῶσσαν Ἱραὶ ὁδοί. (4) Συνάγουσι δὲ τὰ τέρματα ὅ τε Τύρης καὶ ὁ Ὕπανις κατ' Ἀλάζωνας· τὸ δὲ ἀπὸ τούτου ἀποστρέψας ἑκάτερος ῥέει εὐρύνων τὸ μέσον.

LIII. Τέταρτος δὲ Βορυσθένης ποταμός, ὃς ἐστι

miscentur : porro ex Pæonia et monte Rhodopè decurrens Scius fluvius, mediumque scindens Hæmum, in eumdem Istrum influit. (2) Tum ex Illyriis versus septemtrionem fluens Angrus fluvius in campum labitur Triballicum, atque inde in Brongum fluvium, Brongus vero in Istrum : ita ambos, jam satis magnos, excipit Ister. (3) Ex regione vero super Umbris sita oriens Carpis fluvius, et alius Alpis fluvius, versus septemtrionem fluentes, in eumdem se exonerant. (4) Universam enim Europam Ister perfluit, initium sumens ex Celtis, qui populorum omnium Europæ extremi versus occidentem habitant post [præter?] Cynetas : totamque Europam emensus, Scythiam a latere adluit.

L. His igitur, quos recensui, fluviis, aliisque præterea multis, aquam suam miscentibus, fluviorum maximus fit Ister. Nam si solius per se aquam cum Nili aqua conferas, copia illum superat Nilus : in hunc enim nullus alius fluvius, immo ne fontis quidem rivulus influit, qui eum augeat. (2) Quod vero constanter sibi ipse æqualis fluat Ister tam æstate quam hieme, id tali quadam ex caussa, ut mihi videtur, efficitur. Hieme tantus est fere, quantus est sua natura et paulo quidem major : nam parum admodum hieme pluit in hac regione; nix maxime omnia obtinet. (3) Æstate vero liquefacta ingens nivis copia, quæ per hiemem cecidit, undique in Istrum dilabitur : et hæc proinde nix, simulque frequentes vehementesque imbres, in illum confluentes, augent fluvium : nam æstate ibidem pluit. (4) Quanto majorem itaque aquæ copiam sol æstate in se attrahit, quam hieme; tanto copiosiores per æstatem, quam per hiemem, sunt aquæ quæ cum Istro miscentur. Quibus invicem oppositis, exsistit æquilibrium; unde semper sibi par deprehenditur hic fluvius.

LI. Primus igitur Scytharum fluvius est Ister : post hunc vero Tyras est. Is a septemtrione progrediens, fluere incipit ex magno lacu, quæ in confinibus est Scythicæ et Neuridis terræ. Ad ejus ostium autem habitant Græci, qui Tyritæ vocantur.

LII. Tertius fluvius, Hypanis, in ipsa Scythia oritur; effluitque e lacu, circa quem feri equi pascuntur albi : nomen lacui merito inditum, Mater Hypanios. (2) Ex hoc igitur ortum capiens Hypanis, per quinque dierum navigationem brevis fluit, et dulcis adhuc : inde vero, ad quattuor dierum a mari navigationem, amarus admodum : influit enim in eum fons amarus, ita quidem amarus, ut, quamquam est exiguus, inficiat tamen sapore suo Hypanin, fluvium inter paucos [*al.* minores] magnum. (3) Est hic fons in confinibus terræ Scytharum Agricolarum et Alazonum : nomen fonti, et ipsi loco unde fluit, Scythica lingua Exampæus, Græcorum vero sermone Sacræ viæ. (4) Modico autem a se invicem intervallo fluunt Tyras et Hypanis in Alazonum regione : deinde vero cursum uterque inflectit, latius intervallum in medio relinquens.

LIII. Quartus fluvius Borysthenes est, maximus horum

μέγιστός τε μετ' Ἴστρον τούτων καὶ πολυαρκέστατος κατὰ γνώμας τὰς ἡμετέρας οὔτι μοῦνον τῶν Σκυθικῶν ποταμῶν, ἀλλὰ καὶ τῶν ἄλλων ἁπάντων πλὴν Νείλου τοῦ Αἰγυπτίου· τούτῳ γὰρ οὐκ οἷά τέ ἐστι συμβαλέειν ἄλλον ποταμόν· (2) τῶν δὲ λοιπῶν Βορυσθένης ἐστὶ πολυαρκέστατος, ὃς νομάς τε καλλίστας καὶ εὐκομιδεστάτας κτήνεσι παρέχεται ἰχθῦς τε ἀρίστους διακριδὸν καὶ πλείστους, πίνεσθαί τε ἥδιστός ἐστι, ῥέει τε καθαρὸς παρὰ θολεροῖσι, σπόρος τε παρ' αὐτὸν ἄριστος γίνεται, ποίη τε, τῇ οὐ σπείρεται ἡ χώρη, βαθυτάτη. (3) Ἅλες τε ἐπὶ τῷ στόματι αὐτοῦ αὐτόματοι πήγνυνται ἄπλετοι· κήτεά τε μεγάλα ἀνάκανθα, τὰ ἀνταχαίους καλεῦσι, παρέχεται ἐς ταρίχευσιν, ἄλλα τε πολλὰ θωμάσαι ἄξια. (4) Μέχρι μέν νυν Γέρρου χώρου, ἐς τὸν τεσσεράκοντα ἡμερέων πλόος ἐστί, γινώσκεται ῥέων ἀπὸ βορέεω ἀνέμου· τὸ δὲ κατύπερθε δι' ὧν ῥέει ἀνθρώπων οὐδεὶς ἔχει φράσαι, φαίνεται δὲ ῥέων δι' ἐρήμου ἐς τῶν γεωργῶν Σκυθέων τὴν χώρην· οὗτοι γὰρ οἱ Σκύθαι παρ' αὐτὸν ἐπὶ δέκα ἡμερέων πλόον νέμονται. (5) Μούνου δὲ τούτου τοῦ ποταμοῦ καὶ Νείλου οὐκ ἔχω φράσαι τὰς πηγάς· δοκέω δέ, οὐδὲ οὐδεὶς Ἑλλήνων. Ἀγχοῦ τε δὴ θαλάσσης ὁ Βορυσθένης ῥέων γίνεται, καί οἱ συμμίσγεται ὁ Ὕπανις ἐς τὠυτὸ ἕλος ἐκδιδούς. (6) Τὸ δὲ μεταξὺ τῶν ποταμῶν τούτων ἐὸν ἔμβολον τῆς χώρης Ἱππόλεω ἄκρη καλέεται, ἐν δὲ αὐτῷ ἱρὸν Δήμητρος ἐνίδρυται· πέρην δὲ τοῦ ἱροῦ ἐπὶ τῷ Ὑπάνι Βορυσθενεῖται κατοικέαται.

LIV. Ταῦτα μὲν τὰ ἀπὸ τούτων τῶν ποταμῶν· μετὰ δὲ τούτους πέμπτος ποταμὸς ἄλλος τῷ οὔνομα Παντικάπης· ῥέει δὲ καὶ οὗτος ἀπὸ βορέεω τε καὶ ἐκ λίμνης, καὶ τὸ μεταξὺ τούτου τε καὶ τοῦ Βορυσθένεος νέμονται οἱ γεωργοὶ Σκύθαι, ἐκδιδοῖ δὲ ἐς τὴν Ὑλαίην, παραμειψάμενος δὲ ταύτην τῷ Βορυσθενεῖ συμμίσγεται.

LV. Ἕκτος δὲ Ὑπάκυρις ποταμός, ὃς ὁρμᾶται μὲν ἐκ λίμνης, διὰ μέσων δὲ τῶν νομάδων Σκυθέων ῥέων ἐκδιδοῖ κατὰ Καρκινῖτιν πόλιν, ἐς δεξιὴν ἀπέργων τήν τε Ὑλαίην καὶ τὸν Ἀχιλλήϊον καλεύμενον δρόμον.

LVI. Ἕβδομος δὲ Γέρρος ποταμὸς ἀπέσχισται μὲν ἀπὸ τοῦ Βορυσθένεος κατὰ τοῦτο τῆς χώρης ἐς ὃ γινώσκεται ὁ Βορυσθένης· ἀπέσχισται μέν νυν ἐκ τούτου τοῦ χώρου, οὔνομα δὲ ἔχει τό περ ὁ χῶρος αὐτὸς, Γέρρος, ῥέων δ' ἐς θάλασσαν οὐρίζει τήν τε τῶν νομάδων χώρην καὶ τὴν τῶν βασιληΐων Σκυθέων, ἐκδιδοῖ δὲ ἐς τὸν Ὑπάκυριν.

LVII. Ὄγδοος δὲ δὴ Τάναϊς ποταμὸς, ὃς ῥέει τὰ ἀνέκαθεν ἐκ λίμνης μεγάλης ὁρμεώμενος, ἐκδιδοῖ δὲ ἐς μέζω ἔτι λίμνην καλευμένην Μαιῆτιν, ἣ οὐρίζει Σκύθας τε τοὺς βασιληΐους καὶ Σαυρομάτας. Ἐς δὲ Τάναϊν τοῦτον ἄλλος ποταμὸς ἐσβάλλει τῷ οὔνομά ἐστι Ὕργις.

LVIII. Τοῖσι μὲν δὴ οὐνομαστοῖσι ποταμοῖσι οὕτω δή τι οἱ Σκύθαι ἐσκευάδαται, τοῖσι δὲ κτήνεσι ἡ ποίη ἀναφυομένη ἐν τῇ Σκυθικῇ ἐστὶ ἐπιχολωτάτη πασέων

post Istrum, idemque commoda præbens plurima, secundum meam sententiam, non modo Scythicorum fluminum, sed et aliorum omnium, Nilo Ægyptio excepto : cum hoc enim conferri nullus fluvius potest; (2) reliquorum vero omnium plurima commoda suppeditat Borysthenes. Præbet enim pascua pecoribus pulcerrima et optime curata : præbet pisces præ cæteris eximios et copiosissimos; estque potatu dulcissimus; fluit limpidus in vicinia turbidorum; seges juxta eum fit optima; et, ubi non seritur terra, ibi herba nascitur altissima; (3) ad ostium ejus sal concrescit sponte, idque maxima copia; et cete ibi præbet fluvius ingentia, eaque spinis carentia, quos antacæos vocant, ad condiendum sale; denique alia multa miratu digna. (4) Usque ad locum, cui Gerrhus nomen, ad quem navigatio est quadraginta dierum, compertum est a septemtrione fluere hunc amnem : ulterius vero per quos homines fluat, dicere nemo potest. Constat autem, per desertum fluere in Scytharum Agricolarum regionem : hi enim juxta illum ad decem dierum navigationem habitant. (5) Hujus unius fluvii atque Nili indicare fontes non possum : puto autem, nec ullum posse Græcorum. Ubi haud procul a mari fluit Borysthenes, ibi ei miscetur Hypanis, et in eumdem lacum se exonerat. (6) Quod ibi inter utrumque fluvium interjacet veluti rostrum terræ, Hippolai promontorium vocatur, in quo Cereris templum exstructum : ultra id templum vero ad Hypanin Borysthenitæ habitant.

LIV. Hæc sunt quæ de his fluviis memoranda habui. Post hos quintus est fluvius, cui nomen Panticapes. Etiam hic a septemtrione fluit, et ex lacu ortum capit; interjectamque inter hunc et Borysthenem regionem incolunt Scythæ Agricolæ : deinde in Hylæam permeat, qua transmissa Borysthenis miscetur.

LV. Sextus fluvius, Hypacyris, postquam e lacu exiit, et per medios Scythas Nomades fluxit, ostium habet prope Carcinitin oppidum, a dextra parte terminans Hylæam et Achilleum quod vocatur Curriculum.

LVI. Septimus fluvius, Gerrhus, a Borysthene separatur circa illam regionis partem, usque ad quam cognitus Borysthenes est; ab hoc igitur inde loco distinctus, nomen habet idem quod loci nomen est, qui locus ipse Gerrhus nominatur. Versus mare fluens, disterminat Nomadum regionem a Regiorum Scytharum terra : influit autem in Hypacyrin.

LVII. Octavus fluvius Tanais, in superioribus regionibus ex magno lacu ortus, influit in majorem lacum qui Mæotis vocatur et qui Regios Scythas a Sauromatis dividit. In hunc Tanain vero incidit alius fluvius cui nomen est Hyrgis.

LVIII. Ita igitur nobilissimis fluviis instructi Scythæ sunt. Herbæ autem, quæ in Scythica nascuntur terra, omnium quæ nobis innotuerunt maxime hanc vim habent,

ποιέων τῶν ἡμεῖς ἴδμεν· ἀνοιγομένοισι δὲ τοῖσι κτήνεσι ἔστι σταθμώσασθαι ὅτι τοῦτο οὕτω ἔχει.

LIX. Τὰ μὲν δὴ μέγιστα οὕτω σφι εὔπορά ἐστι, τὰ δὲ λοιπὰ νόμαια κατὰ τάδε σφι διακέεται. Θεοὺς μὲν μούνους τούσδε ἱλάσκονται, Ἱστίην μὲν μάλιστα, ἐπὶ δὲ Δία τε καὶ Γῆν, νομίζοντες τὴν Γῆν τοῦ Διὸς εἶναι γυναῖκα, μετὰ δὲ τούτους Ἀπόλλωνά τε καὶ οὐρανίην Ἀφροδίτην καὶ Ἡρακλέα καὶ Ἄρεα. (2) Τούτους μὲν πάντες οἱ Σκύθαι νενομίκασι, οἱ δὲ καλεύμενοι βασιλήϊοι Σκύθαι καὶ τῷ Ποσειδέωνι θύουσι. Οὐνομάζεται δὲ Σκυθιστὶ Ἱστίη μὲν Ταβιτί, Ζεὺς δὲ ὀρθότατα κατὰ γνώμην γε τὴν ἐμὴν καλεύμενος Παπαῖος, Γῆ δὲ Ἀπία, Ἀπόλλων δὲ Οἰτόσυρος, οὐρανίη δὲ Ἀφροδίτη Ἀρτίμπασα, Ποσειδέων δὲ Θαμιμασάδας. (3) Ἀγάλματα δὲ καὶ βωμοὺς καὶ νηοὺς οὐ νομίζουσι ποιέειν πλὴν Ἄρεϊ· τούτῳ δὲ νομίζουσι.

LX. Θυσίη δὲ ἡ αὐτὴ πᾶσι κατέστηκε περὶ πάντα τὰ ἱρὰ ὁμοίως, ἑρδομένη ὧδε· τὸ μὲν ἱρήϊον αὐτὸ ἐμπεποδισμένον τοὺς ἐμπροσθίους πόδας ἕστηκε· ὁ δὲ θύων ὄπισθε τοῦ κτήνεος ἑστεὼς σπάσας τὴν ἀρχὴν τοῦ στρόφου καταβάλλει μιν, πίπτοντος δὲ τοῦ ἱρηίου ἐπικαλέει τὸν θεὸν τῷ ἂν θύῃ, καὶ ἐπειτεν βρόχῳ περὶ ὦν ἔβαλε τὸν αὐχένα, σκυταλίδα δὲ ἐμβαλὼν περιάγει καὶ ἀποπνίγει, οὔτε πῦρ ἀνακαύσας οὔτε καταρξάμενος οὔτ' ἐπισπείσας· ἀποπνίξας δὲ καὶ ἀποδείρας τράπεται πρὸς ἕψησιν.

LXI. Τῆς δὲ γῆς τῆς Σκυθικῆς αἰνῶς ἀξύλου ἐούσης ὧδέ σφι ἐς τὴν ἕψησιν τῶν κρεῶν ἐξεύρηται· (2) ἐπεὰν ἀποδείρωσι τὰ ἱρήϊα, γυμνοῦσι τὰ ὀστέα τῶν κρεῶν, ἔπειτεν ἐσβάλλουσι, ἢν μὲν τύχωσι ἔχοντες, ἐς λέβητας ἐπιχωρίους, μάλιστα Λεσβίοισι κρητῆρσι προσικέλους, χωρὶς ἢ ὅτι πολλῷ μέζονας· ἐς τούτους ἐσβάλλοντες ἕψουσι ὑποκαίοντες τὰ ὀστέα τῶν ἱρηίων. (3) Ἢν δὲ μή σφι παρῇ λέβης, οἱ δὲ ἐς τὰς γαστέρας τῶν ἱρηίων ἐσβάλλοντες τὰ κρέα πάντα καὶ παραμίξαντες ὕδωρ ὑποκαίουσι τὰ ὀστέα· τὰ δὲ αἴθεται κάλλιστα, αἱ δὲ γαστέρες χωρέουσι εὐπετέως τὰ κρέα ἐψιλωμένα τῶν ὀστέων· καὶ οὕτω βοῦς τε ἑωυτὸν ἐξέψει καὶ τἆλλα ἱρήϊα ἑωυτὸ ἕκαστον. (4) Ἐπεὰν δὲ ἑψηθῇ τὰ κρέα, ὁ θύσας τῶν κρεῶν καὶ τῶν σπλάγχνων ἀπαρξάμενος ῥίπτει ἐς τὸ ἔμπροσθε. Θύουσι δὲ καὶ τἆλλα πρόβατα καὶ ἵππους μάλιστα.

LXII. Τοῖσι μὲν δὴ ἄλλοισι τῶν θεῶν οὕτω θύουσι καὶ ταῦτα τῶν κτηνέων, τῷ δὲ Ἄρεϊ ὧδε. Κατὰ νομοὺς ἑκάστοισι τῶν ἀρχηίων ἐσίδρυταί σφι Ἄρεος ἱρὸν τοιόνδε· (2) φρυγάνων φάκελοι συννενέαται ὅσον τ' ἐπὶ σταδίους τρεῖς μῆκος καὶ εὖρος, ὕψος δὲ ἔλασσον· ἄνω δὲ τούτου τετράγωνον ἄπεδον πεποίηται, καὶ τὰ μὲν τρία τῶν κώλων ἐστὶ ἀπότομα, κατὰ δὲ τὸ ἓν ἐπιβατόν. (3) Ἔτεος δὲ ἑκάστου ἁμάξας πεντήκοντα καὶ ἑκατὸν ἐπινέουσι φρυγάνων· ὑπονοστέει γὰρ δὴ αἰεὶ ὑπὸ τῶν χειμώνων. Ἐπὶ τούτου δὴ τοῦ ὄγκου ἀκινάκης σιδήρεος ἵδρυται ἀρχαῖος ἑκάστοισι, καὶ τοῦτ' ἐστὶ τοῦ

ut bilem pecoribus augeant · quod ita esse, ex apertis pecoribus colligere licet.

LIX. Istis igitur maximis commodis quum abundent Scythæ, cæterum institutis utuntur hujusmodi. Deos solos placant hosce: Vestam quidem maxime; insuper vero Jovem et Terram, existimantes Terram Jovis esse uxorem: post hos vero, Apollinem, et cœlestem Venerem, et Herculem, et Martem. (2) Hos igitur universi colunt Scythæ: Regii vero qui vocantur Scythæ Neptuno etiam sacra faciunt. Nominatur autem Scythico sermone Vesta quidem Tabiti; Jupiter vero rectissime, mea quidem sententia, Papæus (*quasi Pater*) vocatur; Terra vero, Apia; Apollo, Œtosyrus; cœlestis Venus, Artimpasa; Neptunus, Thamimasadas. (3) Statuas vero et aras et templa erigere non habent in usu, nisi Marti: huic uni erigunt.

LX. Sacrorum faciendorum in omnibus sacrificiis eadem est ratio Scythis omnibus; quæ est hujusmodi: stat victima, anteriores pedes constrictos habens; tum is qui sacra facit, pone stans, attrahit principium funis, atque ita prosternit pecus. Idem, dum cadit victima, deum illum invocat cui sacra facit: tum laqueum cervici circumjicit, et insertum laqueo fustem circumagens, strangulat victimam, non igne incenso, non auspicatus, nulla libatione facta: sed postquam strangulavit victimam, excoriavitque, ad coquendum se confert.

LXI. Quum autem ligno admodum careat Scythica terra, coquendarum carnium hujusmodi ratio ab illis inventa est: (2) Postquam excoriarunt victimas, ossa carnibus nudant, tum, si forte ad manus sunt lebetes, quales in illa terra conficiuntur, Lesbiis crateribus fere similes, nisi quod multo majores; in hos injiciunt carnes, easque succensis inferne pecorum ossibus elixant: (3) quodsi non adest illis lebes, tum vero carnes omnes in alvum victimæ injiciunt, aquamque admiscent, atque ita ossa infra succendunt. Optime autem ardent ossa; et alvus victimæ facile capit carnes ossibus nudatas. Atque ita bos, aut aliud quodlibet pecus, se ipsum elixat. (4) Postquam elixæ sunt carnes, tunc is qui sacrum facit, carnium et viscerum prosicias deo oblatas ante se projicit. Immolant autem et cætera armenta ac pecora, sed maxime equos.

LXII. Cæteris igitur diis Scythæ ita, ut dixi, sacrificant, et hæc pecora immolant. Marti vero sacra in hunc modum instituunt. In singulis præfecturis, quo loco convenire solent magistratus, ibi Martis templum ipsis erectum est hujusmodi: (2) congeruntur sarmentorum fasces, ex quibus fit cumulus in longitudinem latitudinemque trium fere stadiorum; altitudo quidem minor. Super hoc cumulo fit planities quadrata, cujus tria latera abrupta sunt, ab uno quarto latere patet adscensus. (3) Quotannis centum et quinquaginta plaustra sarmentorum adcumulant: illa enim per vim tempestatum subsidunt. Super quoque horum tumulorum erigitur vetustus acinaces ferreus, estque hoc

Ἄρεος τὸ ἄγαλμα. (4) Τούτῳ δὲ τῷ ἀκινάκεϊ θυσίας ἐπετέους προσάγουσι προβάτων καὶ ἵππων, καὶ δὴ καὶ τοῖσδ' ἔτι πλέω θύουσι ἢ τοῖσι ἄλλοισι θεοῖσι· ὅσους ἂν τῶν πολεμίων ζωγρήσωσι, ἀπὸ τῶν ἑκατὸν ἀνδρῶν ἄνδρα ἕνα θύουσι, τρόπῳ οὐ τῷ αὐτῷ καὶ τὰ πρόβατα, ἀλλ' ἑτεροίῳ. (5) Ἐπεὰν γὰρ οἶνον ἐπισπείσωσι κατὰ τῶν κεφαλέων, ἀποσφάζουσι τοὺς ἀνθρώπους ἐς ἄγγος καὶ ἔπειτεν ἀνενείκαντες ἄνω ἐπὶ τὸν ὄγκον τῶν φρυγάνων καταχέουσι τὸ αἷμα τοῦ ἀκινάκεος. Ἄνω μὲν δὴ φορέουσι τοῦτο, κάτω δὲ παρὰ τὸ ἱρὸν ποιεῦσι τάδε· (6) τῶν ἀποσφαγέντων ἀνδρῶν τοὺς δεξιοὺς ὤμους πάντας ἀποτάμνοντες σὺν τῇσι χερσὶ ἐς τὸν ἠέρα ἱεῖσι, καὶ ἔπειτεν καὶ τὰ ἄλλα ἀπέρξαντες ἱρήϊα ἀπαλλάσσονται. Χεὶρ δὲ τῇ ἂν πέσῃ κέεται, καὶ χωρὶς ὁ νεκρός.

LXIII. Θυσίαι μέν νυν αὗταί σφι κατεστέασι, ὑσὶ δὲ οὗτοι οὐδὲν νομίζουσι, οὐδὲ τρέφειν ἐν τῇ χώρῃ τὸ παράπαν θέλουσι.

LXIV. Τὰ δ' ἐς πόλεμον ἔχοντα ὧδέ σφι διακέεται· ἐπεὰν τὸν πρῶτον ἄνδρα καταβάλῃ ἀνὴρ Σκύθης, τοῦ αἵματος ἐμπίνει. Ὅσους δ' ἂν φονεύσῃ ἐν τῇ μάχῃ, τούτων τὰς κεφαλὰς ἀποφέρει τῷ βασιλέϊ· ἀπενείκας μὲν γὰρ κεφαλὴν τῆς ληίης μεταλαμβάνει τὴν ἂν λάβωσι, μὴ ἐνείκας δὲ οὔ. (2) Ἀποδείρει δὲ αὐτὴν τρόπῳ τοιῷδε· περιταμὼν κύκλῳ περὶ τὰ ὦτα καὶ λαβόμενος τῆς κεφαλῆς ἐκσείει, μετὰ δὲ σαρκίσας βοὸς πλευρῇ δέψει τῇσι χερσὶ, ὀργήσας δὲ αὐτὸ ἅτε χειρόμακτρον ἔκτηται, ἐκ δὲ τῶν χαλινῶν τοῦ ἵππου τὸν αὐτὸς ἐλαύνει, ἐκ τούτου ἐξάπτει καὶ ἀγάλλεται· ὃς γὰρ ἂν πλεῖστα δέρματα χειρόμακτρα ἔχῃ, ἀνὴρ ἄριστος οὗτος κέκριται. (3) Πολλοὶ δὲ αὐτῶν ἐκ τῶν ἀποδερμάτων καὶ χλαίνας ἐπείνυσθαι ποιεῦσι, συρράπτοντες κατά περ βαίτας. Πολλοὶ δὲ ἀνδρῶν ἐχθρῶν τὰς δεξιὰς χέρας νεκρῶν ἐόντων ἀποδείραντες αὐτοῖσι ὄνυξι καλύπτρας τῶν φαρετρέων ποιεῦνται· (4) δέρμα δὲ ἀνθρώπου καὶ παχὺ καὶ λαμπρὸν ἦν ἄρα, σχεδὸν δερμάτων πάντων λαμπρότατον λευκότητι· πολλοὶ δὲ καὶ ὅλους ἀνδρας ἐκδείραντες καὶ διατείναντες ἐπὶ ξύλων ἐπ' ἵππων περιφέρουσι. Ταῦτα μὲν δὴ οὕτω σφι νενόμισται.

LXV. Αὐτὰς δὲ τὰς κεφαλὰς, οὐτι πάντων, ἀλλὰ τῶν ἐχθίστων, ποιεῦσι τάδε. Ἀποπρίσας ἕκαστος πᾶν τὸ ἔνερθε τῶν ὀφρύων ἐκκαθαίρει· καὶ ἢν μὲν ᾖ πένης, ὁ δ' ἔξωθεν ὠμοβοέην μούνην περιτείνας οὕτω χρᾶται, ἢν δὲ ᾖ πλούσιος, τὴν μὲν ὠμοβοέην περιτείνει, ἔσωθεν δὲ καταχρυσώσας οὕτω χρᾶται ποτηρίῳ. (2) Ποιεῦσι δὲ τοῦτο καὶ ἐκ τῶν οἰκηίων, ἢν σφι διάφοροι γένωνται καὶ ἢν ἐπικρατήσῃ αὐτοῦ παρὰ τῷ βασιλέϊ. Ξείνων δέ οἱ ἐλθόντων τῶν ἂν λόγον ποιέηται, τὰς κεφαλὰς ταύτας παραφέρει, καὶ ἐπιλέγει ὡς οἱ ἑόντες οἰκήϊοι πόλεμον προσεθήκαντο καί σφεων αὐτὸς ἐπεκράτησε, ταύτην ἀνδραγαθίην λέγοντες.

LXVI. Ἅπαξ δὲ τοῦ ἐνιαυτοῦ ἑκάστου ὁ νομάρχης ἕκαστος ἐν τῷ ἑωυτοῦ νομῷ κιρνᾷ κρητῆρα οἴνου, ἀπ'

Martis simulacrum; (4) eidemque acinaci quotannis offerunt victimas pecorum et equorum : atque his ipsis (acinacibus) plures victimas immolant, quam reliquis diis. Quos captivos faciunt ex hostibus, ex eorum numero centesimum quemque virum mactant; non eodem modo quo pecora, sed diverso. (5) Postquam vinum super capita hominum profuderunt, jugulant eos super vase : deinde sanguinem sursum in sarmentorum tumulum portant, et super acinace effundunt. Dum superne hunc sanguinem gestant, infra juxta templum hæc faciunt : (6) jugulatorum hominum dextros lacertos omnes, cum manibus præcisos, in aerem projiciunt : et deinde, quum reliquarum victimarum sacrificium peregere, abeunt. Quocumque cecidit manus, ibi jacet; et seorsum cadaver.

LXIII. Hæc est apud eos sacrificiorum ratio. Suibus autem nullo modo utuntur, omninoque eas alere sua in terra nolunt.

LXIV. Institutis ad bellum spectantibus utuntur hujusmodi : quem primum ex hostibus prostravit vir Scytha, ejus potat sanguinem. Quotquot in prælio interfecit, horum capita ad regem perfert : adlato enim capite, fit prædæ particeps quam fecerunt; non adlato vero, partem nullam capit. (2) Caput autem pelle nudat hoc modo : in orbem circumcidit cutim circa aures; dein prehensam excutit de capite : tum, postquam carnem costa bovilla detersit, subigit pellem manibus; atque ita mollita utitur tamquam mantili, et ex freno equi, quo vehitur, suspendit gloriaturque. Nam qui plurima mantilia ex hostium pellibus habet, is fortissimus vir censetur. (3) Multi eorum etiam ex detractis hisce pellibus læenas, quas induant, conficiunt, consarcinantes illas in modum coriaceæ vestis pastoritiæ. Multi item dextras manus occisorum hostium cum ipsis unguibus excoriant, et ex hujusmodi pellibus opercula conficiunt pharetrarum. (4) Est autem pellis humana et spissa et candida, ita quidem, ut, candoris splendore omnia propemodum coria alia superet. Multi etiam totos homines excoriant, et super lignis extentos in equis circumvehunt. Hæc ita apud illos usu recepta sunt.

LXV. Ipsis autem capitibus, non utique omnium, sed inimicissimorum, hocce faciunt : quod infra supercilia est, id totum serra abscindunt; et expurgato cranio, si pauper homo est, nonnisi extrinsecus corium superinducit bovinum, et sic utitur pro poculo : sin dives est, bovinum quidem pariter superinducit corium, intus vero cranium deaurat, atque ita pro poculo utitur. (2) Faciunt idem etiam familiaribus, quando inter ipsos orta discordia est, atque regis judicio alter alteri in potestatem est traditus. Quodsi cui deinde advenit hospes, cujus rationem quampiam habet, huic ille hæc capita profert, memorans fuisse hos olim sibi familiares, deinde bellum sibi intulisse; se vero eis discessisse superiorem. Hæc tamquam fortia facta narrant.

LXVI. Semel quotannis quisque præfectus in sua præfectura vini craterem miscet, de quo bibunt Scythæ omnes

οὗ πίνουσι τῶν Σκυθέων τοῖσι ἂν ἀνδρες πολέμιοι ἀναραιρημένοι ἔωσι· τοῖσι δ' ἂν μὴ κατεργασμένον ᾖ τοῦτο, οὐ γεύονται τοῦ οἴνου τούτου, ἀλλ' ἠτιμωμένοι ἀποκατέαται· ὀνειδος δέ σφί ἐστι μέγιστον τοῦτο. Ὅσοι δὲ ἂν αὐτῶν καὶ κάρτα πολλοὺς ἄνδρας ἀναραιρηκότες ἔωσι, οὗτοι δὲ σύνδυο κύλικας ἔχοντες πίνουσι ὁμοῦ.

LXVII. Μάντιες δὲ Σκυθέων εἰσὶ πολλοί, οἳ μαντεύονται ῥάβδοισι ἰτείνῃσι πολλῇσι ὧδε· ἐπεὰν φακέλους ῥάβδων μεγάλους ἐνείκωνται, θέντες χαμαὶ διεξελίσσουσι αὐτοὺς, καὶ ἐπὶ μίαν ἑκάστην ῥάβδον τιθέντες θεσπίζουσι, ἅμα τε λέγοντες ταῦτα συνειλέουσι τὰς ῥάβδους ὀπίσω καὶ αὖτις κατὰ μίαν συντιθεῖσι. (2) Αὕτη μέν σφι ἡ μαντικὴ πατρωίη ἐστὶ, οἱ δὲ Ἐνάρεες οἱ ἀνδρόγυνοι τὴν Ἀφροδίτην σφι λέγουσι μαντικὴν δοῦναι· φιλύρης ὦν φλοιῷ μαντεύονται. Ἐπεὰν τὴν φιλύρην τρίχα σχίσῃ, διαπλέκων ἐν τοῖσι δακτύλοισι τοῖσι ἑωυτοῦ καὶ διαλύων χρᾷ.

LXVIII. Ἐπεὰν δὲ βασιλεὺς ὁ Σκυθέων κάμῃ, μεταπέμπεται τῶν μαντίων ἄνδρας τρεῖς τοὺς εὐδοκιμέοντας μάλιστα, οἳ τρόπῳ τῷ εἰρημένῳ μαντεύονται· καὶ λέγουσι οὗτοι ὡς τὸ ἐπίπαν μάλιστα τάδε, ὡς τὰς βασιληίας ἱστίας ἐπιώρκηκε δς καὶ δς, λέγοντες τῶν ἀστῶν τὸν ἂν δὴ λέγωσι. (2) Τὰς δὲ βασιληίας ἱστίας νόμος Σκύθῃσι τὰ μάλιστά ἐστι ὀμνύναι τότε ἐπεὰν τὸν μέγιστον ὅρκον ἐθέλωσι ὀμνύναι. (3) Αὐτίκα δὲ διαλελαμμένος ἄγεται οὗτος τὸν ἂν δὴ φῶσι ἐπιορκῆσαι, ἀπιγμένον δὲ ἐλέγχουσι οἱ μάντιες ὡς ἐπιορκήσας φαίνεται ἐν τῇ μαντικῇ τὰς βασιληίας ἱστίας καὶ διὰ ταῦτα ἀλγέει ὁ βασιλεύς· ὁ δὲ ἀρνέεται, οὐ φάμενος ἐπιορκῆσαι, καὶ δεινολογέεται. (4) Ἀρνεομένου δὲ τούτου ὁ βασιλεὺς μεταπέμπεται ἄλλους διπλησίους μάντιας· καὶ ἢν μὲν καὶ οὗτοι ἐσορέοντες ἐς τὴν μαντικὴν καταδήσωσι ἐπιορκῆσαι, τοῦ δὲ ἰθέως τὴν κεφαλὴν ἀποτάμνουσι, καὶ τὰ χρήματα αὐτοῦ διαλαγχάνουσι οἱ πρῶτοι τῶν μαντίων, ἢν δὲ οἱ ἐπελθόντες μάντιες ἀπολύσωσι, ἄλλοι πάρεισι μάντιες καὶ μάλα ἄλλοι. Ἤν ὦν οἱ πλεῦνες τὸν ἄνθρωπον ἀπολύσωσι, δέδοκται τοῖσι πρώτοισι τῶν μαντίων αὐτοῖσι ἀπόλλυσθαι.

LXIX. Ἀπολλῦσι δῆτα αὐτοὺς τρόπῳ τοιῷδε· ἐπεὰν ἅμαξαν φρυγάνων πλήσωσι καὶ ὑποζεύξωσι βοῦς, ἐμποδίσαντες τοὺς μάντιας καὶ χέρας ὀπίσω δήσαντες καὶ στομώσαντες κατεργνῦσι ἐς μέσα τὰ φρύγανα, ὑποπρήσαντες δὲ αὐτὰ ἀπιεῖσι φοβήσαντες τοὺς βοῦς. (2) Πολλοὶ μὲν δὴ συγκατακαίονται τοῖσι μάντισι βόες, πολλοὶ δὲ περικεκαυμένοι ἀποφεύγουσι, ἐπεὰν αὐτῶν ὁ ῥυμὸς κατακαυθῇ. Κατακαίουσι δὲ τρόπῳ τῷ εἰρημένῳ καὶ δι' ἄλλας αἰτίας τοὺς μάντιας, ψευδομάντιας καλεῦντες. (3) Τοὺς δ' ἂν ἀποκτείνῃ βασιλεὺς, τούτων οὐδὲ τοὺς παῖδας λείπει, ἀλλὰ πάντα τὰ ἔρσενα κτείνει, τὰ δὲ θήλεα οὐκ ἀδικέει.

LXX. Ὅρκια δὲ ποιεῦνται Σκύθαι ὧδε πρὸς τοὺς ἂν ποιέωνται· ἐς κύλικα μεγάλην κεραμίνην οἶνον ἐγχέαντες αἷμα συμμίσγουσι τῶν τὰ ὅρκια ταμνομένων, τύψαντες ὀπέατι ἢ ἐπιταμόντες μαχαίρῃ σμικρὸν τοῦ

quotquot sunt qui hostes interfecerunt : qui nihil tale ediderunt, hi vinum hoc non gustant, sed seorsum sine honore sedent : idque apud illos maxima ignominia habetur. Qui vero magnum quemdam hominum occiderunt numerum, hi bina singuli pocula habentes, ex utroque bibunt.

LXVII. Vatum apud Scythas ingens numerus est; qui salignis virgis divinant hoc modo : magnos secum ferunt baculorum fasces; hos humi positos dissolvunt, et singulis baculis separatim positis divinant : dumque divinationem edunt, rursus convolvunt baculos, iterumque singulos componunt. (2) Hæc divinandi ratio illis a majoribus tradita est. Enarees vero, semiviri illi, Venerem sibi dedisse aiunt divinandi artem. Hi interiore tiliæ cortice vaticinantur. Tiliam trifariam scissam digitis suis implicat vates, rursusque solvens vaticinatur.

LXVIII. Quando morbo laborat rex Scytharum, vocat ad se e vatibus tres viros præ cæteris probatos, qui prædicto modo divinant : et dicunt hi plerumque, hunc aut illum civem, quem nominatim designant, regios Lares pejerasse. (2) Moris est autem apud Scythas, quando maximum interponere jusjurandum volunt, ut per regios Lares jurent. (3) Protinus igitur ille homo, quem hi pejerasse dicunt, corripitur adduciturque : et in medio stantem arguunt vates, per divinationem compertum esse, pejerasse illum regios Lares, eaque caussa ægrotare regem. Tum ille negat factum, contenditque se non pejerasse, et lamentatur. (4) Quo infitiante, duplum numerum aliorum vatum rex arcessit : qui si et ipsi, sortibus inspectis, eumdem perjurii arguunt, e vestigio priores vates caput hominis præcidunt, bonaque ejus inter se dividunt. Quod si hi, qui supervenerunt, vates illum absolvunt, alii adsunt, iterumque alii : quorum si major numerus absolvit hominem, tum decretum est, ut primi illi ex vatibus ipsi morte plectantur.

LXIX. Supplicium autem de illis sumunt hoc modo : plaustrum replent sarmentis, bovesque jungunt; tum compedibus vinctos vates, manibus in tergum religatis, oreque obstructo, in media sarmenta infulciunt; et igne sarmentis subjecto territant agitantque boves. (2) Et multi quidem boves simul cum vatibus igne absumuntur; multi vero ambusti, cremato temone, aufugiunt. Eodem modo etiam alias ob culpas comburunt vates, falsos vates adpellantes. (3)Quos vero interficit rex, eorum ne liberis quidem parcit, sed mares omnes occidit; solæ feminæ illæsæ abeunt.

LXX. Fœdus quando feriunt cum aliis Scythæ, hoc ritu utuntur : postquam grande in poculum fictile infuderunt vinum, subula percutiunt aut cultello incidunt corporis aliquam partem eorum qui fœdus faciunt, eorumque sanguinem

σώματος καὶ ἔπειτεν ἀποδάψαντες ἐς τὴν κύλικα ἀκινάκεα καὶ ὀϊστοὺς καὶ σάγαριν καὶ ἀκόντιον· ἐπεὰν δὲ ταῦτα ποιήσωσι, κατεύχονται πολλὰ καὶ ἔπειτεν ἀποπίνουσι αὐτοί τε οἱ τὸ ὅρκιον ποιεύμενοι καὶ τῶν ἑπομένων οἱ πλείστου ἄξιοι.

LXXI. Ταφαὶ δὲ τῶν βασιλέων ἐν Γέρροισι εἰσί, ἐς ὃ ὁ Βορυσθένης ἐστὶ προσπλωτός· ἐνθαῦτα, ἐπεάν σφι ἀποθάνῃ ὁ βασιλεύς, ὄρυγμα γῆς μέγα ὀρύσσουσι τετράγωνον, ἑτοῖμον δὲ τοῦτο ποιήσαντες ἀναλαμβάνουσι τὸν νεκρὸν, κατακεκηρωμένον μὲν τὸ σῶμα, τὴν δὲ νηδὺν ἀνασχισθεῖσαν καὶ καθαρθεῖσαν, πλέην κυπέρου κεκομμένου καὶ θυμιήματος καὶ σελίνου σπέρματος καὶ ἀννήσου, συνερραμμένην ὀπίσω, καὶ κομίζουσι ἐν ἁμάξῃ ἐς ἄλλο ἔθνος. (2) Οἱ δ' ἂν παραδέξωνται κομισθέντα τὸν νεκρὸν, ποιεῦσι τά περ οἱ βασιλήϊοι Σκύθαι· τοῦ ὠτὸς ἀποτάμνονται, τρίχας περιχείρονται, βραχίονας περιτάμνονται, μέτωπον καὶ ῥῖνα καταμύσσονται, διὰ τῆς ἀριστερῆς χερὸς ὀϊστοὺς διαβυνέονται. (3) Ἐνθεῦτεν δὲ κομίζουσι ἐν ἁμάξῃ τὸν νέκυν τοῦ βασιλέος ἐς ἄλλο ἔθνος τῶν ἄρχουσι· οἱ δέ σφι ἕπονται ἐς τοὺς πρότερον ἦλθον. Ἐπεὰν δὲ πάντας περιέλθωσι τὸν νέκυν κομίζοντες, ἐν Γέρροισι ἔσχατα κατοικημένοισί εἰσι τῶν ἐθνέων τῶν ἄρχουσι καὶ ἐν τῇσι ταφῇσι. (4) Καὶ ἔπειτεν, ἐπεὰν θέωσι τὸν νέκυν ἐν τῇσι θήκῃσι ἐπὶ στιβάδος, παραπήξαντες αἰχμὰς ἔνθεν καὶ ἔνθεν τοῦ νεκροῦ ξύλα ὑπερτείνουσι καὶ ἔπειτεν ῥιψὶ καταστεγάζουσι, ἐν δὲ τῇ λοιπῇ εὐρυχωρίῃ τῆς θήκης τῶν παλλακέων τε μίαν ἀποπνίξαντες θάπτουσι καὶ τὸν οἰνοχόον καὶ μάγειρον καὶ ἱπποκόμον καὶ διήκονον καὶ ἀγγελιηφόρον καὶ ἵππους καὶ τῶν ἄλλων ἁπάντων ἀπαρχὰς καὶ φιάλας χρυσέας· ἀργύρῳ δὲ οὐδὲν οὐδὲ χαλκῷ χρέονται. (5) Ταῦτα δὲ ποιήσαντες χοῦσι πάντες χῶμα μέγα, ἁμιλλεώμενοι καὶ προθυμεόμενοι ὡς μέγιστον ποιῆσαι.

LXXII. Ἐνιαυτοῦ δὲ περιφερομένου αὖτις ποιεῦσι τοιόνδε· λαβόντες τῶν λοιπῶν θεραπόντων τοὺς ἐπιτηδεωτάτους (οἱ δέ εἰσι Σκύθαι ἐγγενέες· οὗτοι γὰρ δὴ θεραπεύουσι τοὺς ἂν αὐτὸς ὁ βασιλεὺς κελεύσῃ, ἀργυρώνητοι δὲ οὐκ εἰσί σφι θεράποντες), τούτων ὧν τῶν διηκόνων ἐπεὰν ἀποπνίξωσι πεντήκοντα, καὶ ἵππους τοὺς καλλιστεύοντας πεντήκοντα, ἐξελόντες αὐτῶν τὴν κοιλίην καὶ καθήραντες ἐμπιπλᾶσι ἀχύρων καὶ συρράπτουσι· (2) ἀψῖδος δὲ ἥμισυ ἐπὶ δύο ξύλα στήσαντες ὕπτιον, καὶ τὸ ἕτερον ἥμισυ τῆς ἀψῖδος ἐπ' ἕτερα δύο, καταπήξαντες τρόπῳ τοιούτῳ πολλὰ ταῦτα, ἔπειτεν τῶν ἵππων κατὰ τὰ μήκεα ξύλα παχέα διελάσαντες μέχρι τῶν τραχήλων ἀναβιβάζουσι αὐτοὺς ἐπὶ τὰς ἀψῖδας. (3) Τῶν δὲ αἱ μὲν πρότεραι ἀψῖδες ὑπέχουσι τοὺς ὤμους τῶν ἵππων, αἱ δὲ ὄπισθε παρὰ τοὺς μηροὺς τὰς γαστέρας ὑπολαμβάνουσι· σκέλεα δὲ ἀμφότερα κατακρέμαται μετέωρα. (4) Χαλινοὺς δὲ καὶ στόμια ἐμβαλόντες ἐς τοὺς ἵππους κατατείνουσι ἐς τὸ πρόσθε αὐτῶν, καὶ ἔπειτεν ἐκ πασσάλων δέουσι. (5) Τῶν δὲ δὴ νεηνίσκων τῶν ἀποπεπνιγμένων τῶν πεντήκοντα ἕνα cum vino miscent: deinde in calicem intingunt acinacem, sagittas, sagarin, et jaculum. His peractis, multa adprecantur; ac deinde calicem ebibunt et hi ipsi, qui fœdus faciunt, et ex comitibus hi qui præ aliis dignitate eminent.

LXXVI. Sepulcra regum in Gerrhis sunt, eo loco quousque adverso Borysthene navigari potest. Ibi, quando rex Scytharum e vivis decessit, ingentem fossam fodiunt quadratam. Qua perfecta, corpore incerato, alvo primum incisa et expurgata, dein cypero odorato minutim conciso et suffimento et apii semine et anetho repleta, rursusque consuta, sumunt cadaver, et plaustro ad alium populum devehunt. (2) Tum hi, ad quos ita devectum pervenit cadaver, idem faciunt quod Regii Scythæ: partem auris sibi amputant, capillos tondent, brachia circumcirca incidunt, frontem nasumque fodicant, et per sinistram manum sagittas transfigunt. (3) Tum ex hac regione ad alium populum, cui imperant, cadaver regis plaustro devehunt; et hi, ad quos illud primum pervenit, sequuntur. Postquam per omnes Scythiæ populos pervexerunt cadaver, jam in Gerrhis sunt, qui extremi habitant eorum quibus imperant populorum, ubi est sepulturæ locus. (4) Ibi tum cadaver, toro impositum, in sepulcro deponunt; et hastis utrimque circa cadaver defixis, superne ligna intendunt, ac deinde cratibus contegunt. In reliquo vero sepulcri spatio unam ex pellicibus strangulatam sepeliunt, et pinceruam, et coquum, et equisonem, et ministrum, et internuncium, et equos, et aliorum omnium primitias, et phialas aureas: argento enim et ære non utuntur. (5) His rebus peractis, humum certatim adgerunt, magnumque studium adhibent ut tumulum erigant quam maximum.

LXXII. Circumacto anno, bocce agunt: ex reliquis regis famulis (sunt autem hi Scythæ indigenæ: nam famulantur regi quoscumque ille jussit; nec habent servos ære emptos), ex reliquis igitur hisce famulis quinquaginta maxime idoneos, et totidem numero equos præstantissimos, strangulant; quos, exemptis intestinis, expurgataque alvo, paleis implent et sutura claudunt: (2) tum dimidiatum rotæ circulum super duobus lignis supinum statuunt, et alterum rotæ dimidium super aliis duobus lignis; eodemque modo multa defigunt; deinde equos, quorum per corpora secundum longitudinem usque ad colla trajecta sunt ligna spissa, super istis dimidiatis circulis collocant ita, (3) ut anteriores semicirculi humeros equorum, posteriores ventrem prope femora sustineant, crura vero utrimque suspensa hæreant. (4) Denique frena et habenas equis injiciunt, habenasque antrorsum tensas palis adligant. (5) Postremo quinquaginta strangulatorum juvenum quemque equo imponunt; idque faciunt ligno recto

ἕκαστον ἀναβιβάζουσι ἐπὶ τὸν ἵππον, ὧδε ἀναβιβάζοντες· ἐπεὰν νεκροῦ ἑκάστου παρὰ τὴν ἄκανθαν ξύλον ὀρθὸν διελάσωσι μέχρι τοῦ τραχήλου, κάτωθεν δὲ ὑπερέχει τοῦ ξύλου τούτου τὸ ἐς τόρμον πηγνῦσι τοῦ ἑτέρου ξύλου τοῦ διὰ τοῦ ἵππου. (6) Ἐπιστήσαντες δὲ κύκλῳ τὸ σῆμα ἱππέας τοιούτους ἀπελαύνουσι.

LXXIII. Οὕτω μὲν τοὺς βασιλέας θάπτουσι· τοὺς δὲ ἄλλους Σκύθας, ἐπεὰν ἀποθάνωσι, περιάγουσι οἱ ἀγχοτάτω προσήκοντες κατὰ τοὺς φίλους ἐν ἁμάξῃσι κειμένους, τῶν δὲ ἕκαστος ὑποδεκόμενος εὐωχέει τοὺς ἑπομένους, καὶ τῷ νεκρῷ πάντων παρατιθεῖ τῶν καὶ τοῖσι ἄλλοισι. (2) Ἡμέρας δὲ τεσσεράκοντα οὕτω οἱ ἰδιῶται περιάγονται, ἔπειτεν θάπτονται. Θάψαντες δὲ οἱ Σκύθαι καθαίρονται τρόπῳ τοιῷδε· (3) σμήσάμενοι τὰς κεφαλὰς καὶ ἐκπλυνάμενοι ποιεῦσι περὶ τὸ σῶμα τάδε· ἐπεὰν ξύλα στήσωσι τρία ἐς ἄλληλα κεκλιμένα, περὶ ταῦτα πίλους εἰρινέους περιτείνουσι, συμφράξαντες δὲ ὡς μάλιστα λίθους ἐκ πυρὸς διαφανέας ἐσβάλλουσι ἐς σκάφην κειμένην ἐν μέσῳ τῶν ξύλων τε καὶ τῶν πίλων.

LXXIV. Ἔστι δέ σφι κάνναβις φυομένη ἐν τῇ χώρῃ πλὴν παχύτητος καὶ μεγάθεος τῷ λίνῳ ἐμφερεστάτη· ταύτῃ δὲ πολλῷ ὑπερφέρει ἡ κάνναβις. (2) Αὕτη καὶ αὐτομάτη καὶ σπειρομένη φύεται, καὶ ἐξ αὐτῆς Θρῇϊκες μὲν καὶ εἵματα ποιεῦνται τοῖσι λινέοισι ὁμοιότατα· οὐδ' ἄν, ὅστις μὴ κάρτα τρίβων εἴη αὐτῆς, διαγνοίη λίνου ἢ καννάβιος ἐστί· ὃς δὲ μὴ εἶδέ κω τὴν καννάβιδα, λίνεον δοκήσει εἶναι τὸ εἷμα.

LXXV. Ταύτης ὦν οἱ Σκύθαι τῆς καννάβιος τὸ σπέρμα ἐπεὰν λάβωσι, ὑποδύνουσι ὑπὸ τοὺς πίλους, καὶ ἔπειτεν ἐπιβάλλουσι τὸ σπέρμα ἐπὶ τοὺς διαφανέας λίθους τῷ πυρί· τὸ δὲ θυμιᾶται ἐπιβαλλόμενον, καὶ ἀτμίδα παρέχεται τοσαύτην ὥστε Ἑλληνικὴ οὐδεμία ἂν μιν πυρίη ἀποκρατήσειε. (2) Οἱ δὲ Σκύθαι ἀγάμενοι τῇ πυρίῃ ὠρύονται. Τοῦτό σφι ἀντὶ λουτροῦ ἐστί· οὐ γὰρ δὴ λοῦνται ὕδατι τὸ παράπαν τὸ σῶμα. (2) Αἱ δὲ γυναῖκες αὐτῶν ὕδωρ παραχέουσαι κατασώχουσι περὶ λίθον τρηχὺν τῆς κυπαρίσσου καὶ κέδρου καὶ λιβάνου ξύλου, καὶ ἔπειτεν τὸ κατασωχόμενον τοῦτο παχὺ ἐὸν καταπλάσσονται πᾶν τὸ σῶμα καὶ τὸ πρόσωπον· καὶ ἅμα μὲν εὐωδίη σφέας ἀπὸ τούτου ἴσχει, ἅμα δὲ ἀπαιρέουσαι τῇ δευτέρῃ ἡμέρῃ τὴν καταπλαστὺν γίνονται καθαραὶ καὶ λαμπραί.

LXXVI. Ξεινικοῖσι δὲ νομαίοισι καὶ οὗτοι αἰνῶς χρᾶσθαι φεύγουσι, μή τί γε ὧν ἄλλων, Ἑλληνικοῖσι δὲ καὶ ἥκιστα, ὡς διέδεξαν Ἀναχάρσι τε καὶ δεύτερα αὖτις Σκύλῃ. (2) Τοῦτο μὲν γὰρ Ἀνάχαρσις ἐπείτε γῆν πολλὴν θεωρήσας καὶ ἀποδεξάμενος κατ' αὐτὴν σοφίην πολλὴν ἐκομίζετο ἐς ἤθεα τὰ Σκυθέων, πλώων δὲ δι' Ἑλλησπόντου προσίσχει ἐς Κύζικον, καὶ εὗρε γὰρ τῇ μητρὶ τῶν θεῶν ἀνάγοντας τοὺς Κυζικηνοὺς ὁρτὴν κάρτα μεγαλοπρεπέως, εὔξατο τῇ μητρὶ ὁ Ἀνάχαρσις, ἢν σῶς καὶ ὑγιὴς ἀπονοστήσῃ ἐς ἑωυτοῦ, θύσειν τε κατὰ ταὐτὰ κατ' ἃ ὥρα τοὺς Κυζικηνοὺς ποιεῦν-

per corpus secundum spinam dorsi usque ad cervicem transfixo, cujus ligni pars inferior eminens inseritur foramini, quod est in altero ligno per equi corpus transjecto. (6) Hujusmodi equites postquam circa monumentum in orbem constituerunt, discedunt.

LXXIII. Tali igitur ratione reges sepeliunt. Reliquos autem Scythas, quum decesserunt, circumvehunt cognatione proximi, plaustris impositos, ad amicos. Et horum quisque lauto epulo excipit comitantes, mortuoque eadem omnia adponit quæ cæteris. (2) Per quadraginta dies ita circumvehuntur privati, deinde sepeliuntur. Postquam mortuum sepeliverunt Scythæ, hoc modo lustrantur: (3) postquam caput smegmate terserunt, et gnaviter lavarunt, corpori faciunt hocce: tria ligna statuunt versus se invicem inclinata; circum hæc laneos pileos prætendunt; quos ubi quam arctissime inter se junxerunt, in suppositum in medio lignorum pileorumque alveolum lapides conjiciunt igne candentes.

LXXIV. Nascitur autem in hac terra cannabis, lino simillima, si crassitiem et magnitudinem excipias, quibus quippe cannabis longe superat linum. (2) Et sponte hæc nascitur, et sata: ex eaque Thraces vestimenta etiam conficiunt, lineis simillima; quæ, nisi quis admodum sit usu peritus, non dignoscat ex linone sint, an ex cannabi: qui vero cannabin numquam vidit, lineum esse vestimentum putabit.

LXXV. Hujus igitur cannabis semen sumunt Scythæ, et, postquam sub pileos subierunt, semen hoc lapidibus igne candentibus injiciunt: quod dum ita adoletur, vaporem diffundit tantum, ut Græcanica nulla assa desudatio eum superet: (2) et Scythæ, delectati hac desudatione, ululatum tollunt: estque hoc illis balnei loco; nam aqua omnino non lavant corpus. (3) Mulieres vero eorum in aspero lapide, adfusa aqua, conterunt ligni frusta cypressi, cedri, et thuriferæ arboris: deinde isto detrito, quod crassum est, oblinunt totum corpus atque faciem. Id eis simul suavem conciliat odorem; simulque, postquam postridie abstulerunt hoc cataplasma, mundæ sunt et nitidæ.

LXXVI. Peregrinorum institutorum usum etiam hi vehementer aversantur, et, ne dicam aliorum populorum institutis, Græcanicis adeo minime omnium utuntur; id quod in Anacharside, et deinde iterum in Scyla, ostenderunt. (2) Primum enim Anacharsis, postquam multas spectaverat terras, et multa ibi sapientiæ ediderat specimina, Scytharum ad sedes reversurus, per Hellespontum navigans, ad Cyzicum adpulit. Ibi quum Cyzicenos offendisset Matri deorum festum celebrantes sane quam magnificum, Matri votum fecit Anacharsis, si salvus sospesque domum rediisset, se eodem modo, quo a Cyzice-

τας καὶ παννυχίδα στήσειν. (3) Ὡς δὲ ἀπίκετο ἐς τὴν Σκυθικὴν, καταδὺς ἐς τὴν καλευμένην Ὑλαίην (ἡ δ' ἐστὶ μὲν παρὰ τὸν Ἀχιλλήϊον δρόμον, τυγχάνει δὲ πᾶσα ἐοῦσα δενδρέων παντοίων πλέη), ἐς ταύτην δὴ καταδὺς ὁ Ἀνάχαρσις τὴν ὀρτὴν πᾶσαν ἐπετέλεε τῇ θεῷ, τύμπανόν τε ἔχων καὶ ἐκδησάμενος ἀγάλματα. (4) Καὶ τῶν τις Σκυθέων καταφρασθεὶς αὐτὸν ταῦτα ποιεῦντα ἐσήμηνε τῷ βασιλέϊ Σαυλίῳ· ὁ δὲ καὶ αὐτὸς ἀπικόμενος ὡς εἶδε τὸν Ἀνάχαρσιν ποιεῦντα ταῦτα, τοξεύσας αὐτὸν ἀπέκτεινε. (5) Καὶ νῦν ἤν τις εἴρηται περὶ Ἀναχάρσιος, οὔ φασί μιν Σκύθαι γινώσκειν, διὰ τοῦτο ὅτι ἐξεδήμησέ τε ἐς τὴν Ἑλλάδα καὶ ξεινικοῖσι ἔθεσι διεχρήσατο. Ὡς δ' ἐγὼ ἤκουσα Τίμνεω τοῦ Ἀριαπείθεος ἐπιτρόπου, εἶναι αὐτὸν Ἰδανθύρσου τοῦ Σκυθέων βασιλέος πάτρων, παῖδα δὲ εἶναι Γνούρου τοῦ Λύκου τοῦ Σπαργαπείθεος. (6) Εἰ ὦν ταύτης ἦν τῆς οἰκίης ὁ Ἀνάχαρσις, ἴστω ὑπὸ τοῦ ἀδελφεοῦ ἀποθανών· Ἰδάνθυρσος γὰρ ἦν παῖς Σαυλίου, Σαύλιος δὲ ἦν ὁ ἀποκτείνας Ἀνάχαρσιν.

LXXVII. Καίτοι τινὰ ἤδη ἤκουσα λόγον ἄλλον ὑπὸ Πελοποννησίων λεγόμενον, ὡς ὑπὸ τοῦ Σκυθέων βασιλέος Ἀνάχαρσις ἀποπεμφθεὶς τῆς Ἑλλάδος μαθητὴς γένοιτο, ὀπίσω τε ἀπονοστήσας φαίη πρὸς τὸν ἀποπέμψαντα Ἕλληνας πάντας ἀσχόλους εἶναι ἐς πᾶσαν σοφίην πλὴν Λακεδαιμονίων, τούτοισι δὲ εἶναι μούνοισι σωφρόνως δοῦναί τε καὶ δέξασθαι λόγον. (2) Ἀλλ' οὗτος μὲν ὁ λόγος ἄλλως πέπαισται ὑπ' αὐτῶν Ἑλλήνων, ὁ δ' ὢν ἀνὴρ ὥσπερ πρότερον εἰρέθη διεφθάρη. Οὗτος μέν νυν οὕτω δή τι ἔπρηξε διὰ ξεινικά τε νόμαια καὶ Ἑλληνικὰς ὁμιλίας.

LXXVIII. Ἡλλοῖσι δὲ κάρτα ἔτεσι ὕστερον Σκύλης ὁ Ἀριαπείθεος ἔπαθε παραπλήσια τούτῳ. Ἀριαπείθεϊ γὰρ τῷ Σκυθέων βασιλέϊ γίνεται μετ' ἄλλων παίδων Σκύλης· ἐξ Ἰστριηνῆς δὲ γυναικὸς οὗτος γίνεται καὶ οὐδαμῶς ἐγχωρίης· τὸν ἡ μήτηρ αὕτη γλῶσσάν τε Ἑλλάδα καὶ γράμματα ἐδίδαξε. (2) Μετὰ δὲ χρόνῳ ὕστερον Ἀριαπείθης μὲν τελευτᾷ δόλῳ ὑπὸ Σπαργαπείθεος τοῦ Ἀγαθύρσων βασιλέος, Σκύλης δὲ τήν τε βασιληίην παρέλαβε καὶ τὴν γυναῖκα τοῦ πατρὸς, τῇ οὔνομα ἦν Ὀποίη· ἦν δὲ αὕτη ἡ Ὀποίη ἀστὴ, ἐξ ἧς ἦν Ὄρικος Ἀριαπείθεϊ παῖς. (3) Βασιλεύων δὲ Σκυθέων ὁ Σκύλης διαίτῃ οὐδαμῶς ἠρέσκετο Σκυθικῇ, ἀλλὰ πολλὸν πρὸς τὰ Ἑλληνικὰ μᾶλλον τετραμμένος ἦν ἀπὸ παιδεύσιος τῆς ἐπεπαίδευτο, ἐποιέέ τε τοιοῦτο· (4) εὖτε ἀγάγοι τὴν στρατιὴν τὴν Σκυθέων ἐς τὸ Βορυσθενειτέων ἄστυ (οἱ δὲ Βορυσθενεῖται οὗτοι λέγουσι σφέας αὐτοὺς εἶναι Μιλησίους), ἐς τούτους ὅκως ἔλθοι ὁ Σκύλης, τὴν μὲν στρατιὴν καταλείπεσκε ἐν τῷ προαστείῳ, αὐτὸς δὲ ὅκως ἔλθοι ἐς τὸ τεῖχος καὶ τὰς πύλας ἐγκληίσειε, τὴν στολὴν ἀποθέμενος τὴν Σκυθικὴν λάβεσκε ἂν Ἑλληνίδα ἐσθῆτα, ἔχων δ' ἂν ταύτην ἠγόραζε οὔτε δορυφόρων ἑπομένων οὔτε ἄλλου οὐδενός (τὰς δὲ πύλας ἐφύλασσον, μή τίς μιν Σκυθέων ἴδοι ἔχοντα ταύτην τὴν στολήν), καὶ τἆλλα

nis fieri vidisset, sacra ei facturum, pervigiliumque instituturum. (3) Tum postquam in Scythicam terram pervenit, in Hylæa se abdens, quæ est regio prope Achillis Curriculum, estque tota arboribus varii generis referta; in hac igitur se abdens Anacharsis, omnem festi cærimoniam deæ absolvit, tympano etiam utens, et imagines gestans de pectore suspensas. (4) Quæ agentem animadvertens quidam Scytha regi Saulio rem indicavit: et ille, adveniens ipse, Anacharsin hæc agentem videns, excussa sagitta interfecit. (5) Et nunc, si quis quærit de Anacharside, aiunt Scythæ, se illum non nosse, propterea quod in Græciam peregrinatus et peregrinis usus est institutis. Ut vero equidem ex Timna audivi, præfecto Ariapithis, fuit Anacharsis patruus Idanthyrsi, regis Scytharum, filius autem Gnuri, nepos Lyci, pronepos Spargapithis. (6) Quodsi ex hac familia erat Anacharsis, sciat a fratre se esse interfectum: Idanthyrsus enim filius fuit Saulii, Saulius autem interfecit Anacharsin.

LXXVII. Quamquam alium etiam sermonem audivi, quem Peloponnesii narrant, dicentes, a rege Scytharum missum Anacharsin, Græciæ discipulum fuisse: eumque, postquam domum esset reversus, dixisse ei qui illum miserat, Græcos universos in omni genere scientiarum artiumque occupari, exceptis Lacedæmoniis: hos vero solos hoc habere, ut prudenter et edant et accipiant sermonem. (2) At hæc fabula temere ab ipsis Græcis per ludum narratur. Hic igitur vir eo, quo dixi, modo periit: idque ei accidit propter externos ritus et Græcanicas consuetudines.

LXXVIII. Multis autem admodum interjectis annis Scyles, Ariapithis filius, simili atque Anacharsis usus est fato. Ariapithes, Scytharum rex, quum alios habuerat filios, tum Scylam, natum ex muliere non indigena, sed Istriana, quæ eum ipsa Græco sermone Græcisque literis erudivit. (2) Tempore interjecto, Ariapithes per dolum occiditur a Spargapithe, Agathyrsorum rege, et Scyles in regnum successit; et uxorem patris, cui Opœa nomen erat, matrimonio sibi junxit. Fuit autem hæc Opœa civis Scythica, ex eaque natus Ariapithi erat filius Oricus. (3) Regnum igitur Scytharum adeptus Scyles vitæ ratione Scythica neutiquam delectabatur, sed ad instituta magis inclinabat Græcorum, propter disciplinam qua erat institutus. Itaque tali usus est ratione: (4) quando Scytharum exercitum ad Borysthenitarum urbem ducebat (Borysthenitæ hi autem sese dicebant esse Milesios), ad hos igitur quoties veniebat Scyles, exercitu in suburbio relicto, ipse urbem ingressus, clausis portis, deposito Scythico cultu, Græcanicum induebat vestimentum. Hoc indutus in foro versabatur, nullo satellite nulloque alio comitatu stipatus: portæ autem interim custodiebantur, ne quis Scytha eum conspiceret hoc cultu utentem: tum vero

ἐχρᾶτο διαίτῃ Ἑλληνικῇ, καὶ θεοῖσι ἱρὰ ἐποίεε κατὰ νόμους τοὺς Ἑλλήνων. (5) Ὅτε δὲ διατρίψειε μῆνα ἢ πλέον τούτου, ἀπαλλάσσετο ἐνδὺς τὴν Σκυθικὴν στολήν. Ταῦτα ποιέεσκε πολλάκις, καὶ οἰκία τε ἐδείματο ἐν Βορυσθένεϊ καὶ γυναῖκα ἔγημε ἐς αὐτὰ ἐπιχωρίην.

LXXIX. Ἐπείτε δὲ ἔδεέ οἱ κακῶς γενέσθαι, ἐγένετο ἀπὸ προφάσιος τοιῆσδε. Ἐπεθύμησε Διονύσῳ Βακχείῳ τελεσθῆναι, μέλλοντι δέ οἱ ἐς χεῖρας ἄγεσθαι τὴν τελετὴν ἐγένετο φάσμα μέγιστον. (2) Ἦν οἱ ἐν Βορυσθενεϊτέων τῇ πόλι οἰκίης μεγάλης καὶ πολυτελέος περιβολὴ, τῆς καὶ ὀλίγον τι πρότερον τούτων μνήμην εἶχον, τὴν πέριξ λευκοῦ λίθου σφίγγες τε καὶ γρῦπες ἕστασαν· (3) ἐς ταύτην ὁ θεὸς ἐνέσκηψε βέλος. Καὶ ἡ μὲν κατεκάη πᾶσα, Σκύλης δὲ οὐδὲν τούτου εἵνεκεν ἔσσον ἐπετέλεσε τὴν τελετήν. (4) Σκύθαι δὲ τοῦ βακχεύειν πέρι Ἕλλησι ὀνειδίζουσι· οὐ γάρ φασι οἰκὸς εἶναι θεὸν ἐξευρίσκειν τοῦτον ὅστις μαίνεσθαι ἐνάγει ἀνθρώπους. (5) Ἐπείτε δὲ ἐτελέσθη τῷ Βακχείῳ ὁ Σκύλης, διεδρηπέτευσε τῶν τις Βορυσθενεϊτέων πρὸς τοὺς Σκύθας, λέγων, « ἡμῖν γὰρ καταγελᾶτε, ὦ Σκύθαι, ὅτι βακχεύομεν καὶ ἡμέας ὁ θεὸς λαμβάνει· νῦν οὗτος ὁ δαίμων καὶ τὸν ὑμέτερον βασιλέα λελάβηκε, καὶ βακχεύει καὶ ὑπὸ τοῦ θεοῦ μαίνεται. Εἰ δέ μοι ἀπιστέετε, ἕπεσθε, καὶ ὑμῖν ἐγὼ δέξω. » (6) Εἵποντο τῶν Σκυθέων οἱ προεστεῶτες, καὶ αὐτοὺς ἀναγαγὼν ὁ Βορυσθενεΐτης λάθρῃ ἐπὶ πύργον κατῖσε. Ἐπείτε δὲ παρῆϊε σὺν τῷ θιάσῳ ὁ Σκύλης καὶ εἶδόν μιν βακχεύοντα οἱ Σκύθαι, κάρτα συμφορὴν μεγάλην ἐποιήσαντο, ἐξελθόντες δὲ ἐσήμαινον πάσῃ τῇ στρατιῇ τὰ ἴδοιεν.

LXXX. Ὡς δὲ μετὰ ταῦτα ἐξήλαυνε ὁ Σκύλης ἐς ἦθεα τὰ ἑωυτοῦ, οἱ Σκύθαι προστησάμενοι τὸν ἀδελφεὸν αὐτοῦ Ὀκταμασάδην, γεγονότα ἐκ τῆς Τήρεω θυγατρὸς, ἐπανιστέατο τῷ Σκύλῃ. Ὁ δὲ μαθὼν τὸ γινόμενον ἐπ' ἑωυτῷ καὶ τὴν αἰτίην δι' ἣν ἐποιέετο, καταφεύγει ἐς τὴν Θρηΐκην. (2) Πυθόμενος δὲ ὁ Ὀκταμασάδης ταῦτα ἐστρατεύετο ἐπὶ τὴν Θρηΐκην. Ἐπείτε δὲ ἐπὶ τῷ Ἴστρῳ ἐγένετο, ἠντίασάν μιν οἱ Θρῆϊκες, μελλόντων δὲ αὐτῶν συνάψειν ἔπεμψε Σιτάλκης παρὰ τὸν Ὀκταμασάδην λέγων τοιάδε, « τί δεῖ ἡμέας ἀλλήλων πειρηθῆναι; εἷς μέν μευ τῆς ἀδελφεῆς παῖς, ἔχεις δέ μευ ἀδελφεόν. Σύ τ' ἐμοὶ ἀπόδος τοῦτον, καὶ ἐγὼ σοὶ τὸν σὸν Σκύλην παραδίδωμι· στρατιῇ δὲ μήτε σὺ κινδυνεύσῃς μήτ' ἐγώ. » (3) Ταῦτά οἱ πέμψας ὁ Σιτάλκης ἐπεκηρυκεύετο· ἦν γὰρ παρὰ τῷ Ὀκταμασάδῃ ἀδελφεὸς Σιτάλκεω πεφευγὼς τοῦτον. (4) Ὁ δὲ Ὀκταμασάδης καταινέει ταῦτα, ἐκδοὺς δὲ τὸν ἑωυτοῦ μήτρωα Σιτάλκῃ ἔλαβε τὸν ἀδελφεὸν Σκύλην, καὶ Σιτάλκης μὲν παραλαβὼν τὸν ἀδελφεὸν ἀπήγετο, Σκύλεω δὲ Ὀκταμασάδης αὐτοῦ ταύτῃ ἀπέταμε τὴν κεφαλήν. (5) Οὕτω μὲν περιστέλλουσι τὰ σφέτερα νόμαια Σκύθαι, τοῖσι δὲ παρακτεωμένοισι ξεινικοὺς νόμους τοιαῦτα ἐπιτίμια διδοῦσι.

LXXXI. Πλῆθος δὲ τὸ Σκυθέων οὐκ οἷός τε ἐγενόμην ἀκριβέως πυθέσθαι, ἀλλὰ καὶ πολλῷ τινὶ ἐλάσσονας ἔφασαν εἶναι οἱ ἄνθρωποι τοὺς νῦν ἐόντας ἢ τοὺς πρὸ τούτου γενομένους, καὶ τοῦτο ἐπὶ πᾶσι τοῖσι ἔθνεσι τοῖσι ἐγὼ ἐπιστέατο. Τοῦτο δὲ ἐποίησε ὁ Ἄρης ποιέων τὰ εἰωθότα ποιέειν· ἐν τῇσι γὰρ ἐστρατεύετο χώρῃσι, ἐνταῦθα ἐπιλείπει τοὺς ἀνθρώπους.

et reliquam sequebatur vitæ rationem Græcanicam, et diis more Græcorum sacra faciebat. (5) Sic ibi per mensem aut etiam amplius moratus, Scythica iterum sumpta veste discedebat. Atque hoc sæpius faciebat, et ædes sibi etiam in Borysthene urbe curaverat exstruendas, et uxorem indigenam duxit, quæ ædes illas habitabat.

LXXIX. Quum autem esset in fatis ut male ei res cederet, accidit hoc tali ex occasione. Dionysii Bacchii sacris cupiverat initiari : quumque jam in eo esset ut initia ei traderentur, maximum incidit prodigium. (2) Erant ei in urbe Borysthenitarum magnificæ et vasto circuitu ædes, quarum etiam paulo ante feci mentionem; circa quas circumcirca sphinges et grypes stabant ex candido marmore : (3) in has ædes deus telum jaculatus est, et totæ igne consumptæ sunt : Scyles vero nihilo minus propterea initiationem absolvit. (4) Probro autem Græcis vertunt Scythæ bacchandi ritum; aiuntque, non esse rationi consentaneum, talem reperiri deum, qui homines in furorem agat. Quum absoluta esset initiatio Scylæ in sacra Bacchii, Borysthenitarum aliquis ad Scythas transfugit, dicens : « Vos nobis irridetis, Scythæ, quod Bacchanalia agamus, quodque deus nos corripiat: nunc hic deus regem quoque corripuit vestrum; isque bacchatur, a deo in furorem actus. Quodsi mihi fidem non habetis, sequimini; et ego vobis ostendam. » (6) Secuti sunt Scytharum proceres, quos Borysthenita clam in turrim deduxit, ibique residere jussit. Quumque præteriret Scyles cum bacchantium choro, bacchabundum videntes Scythæ, ingentis calamitatis loco habuerunt; egressique, universo exercitui, quæ viderant, indicarunt.

LXXX. Deinde, postquam ad lares suos Scyles reversus est, ducem sibi constituentes Scythæ fratrem ejus Octamasaden, Terei filia natum, a Scyla defecerunt. Et ille, ubi, quid adversus se gereretur, et qua de caussa, cognovit, in Thraciam profugit. (2) Quo cognito, Octamasades arma adversus Thraciam movit; et quum ad Istrum pervenisset, obviam ei Thraces venerunt. Jamque in eo erant ut ad manus venirent, quum ad Octamasaden nuncium Sitalces misit, qui ei diceret : « Quid opus est, ut armorum fortunam invicem experiamur? Tu meæ sororis es filius : habes autem apud te meum fratrem. Trade mihi hunc, et ego tibi tuum fratrem Scylam tradam. Armorum vero discrimen nec tu adeas, nec ego. » (3) Hæc per caduceatorem ei dicenda curavit : erat enim apud Octamasaden frater Sitalcæ profugus. (4) Et Octamasades, probata hac conditione, Sitalcæ avunculum suum tradidit, et ab illo fratrem suum Scylam recepit. Inde Sitalces acceptum fratrem secum abduxit : Scylæ vero Octamasades ibidem illico caput præcidit. (5) Ita sua instituta tuentur Scythæ, et hanc mercedem solvunt his qui externos ritus adsciscunt.

LXXXI. Multitudo quanta sit Scytharum, pro certo non

μην ἀτρεκέως πυθέσθαι, ἀλλὰ διαφόρους λόγους περ τοῦ ἀριθμοῦ ἤκουον· καὶ γὰρ κάρτα πολλοὺς εἶναί σφεας καὶ ὀλίγους ὡς Σκύθας εἶναι. (2) Τοσόνδε μέντοι ἀπέφαινόν μοι ἐς ὄψιν. Ἔστι μεταξὺ Βορυσθένεός τε ποταμοῦ καὶ Ὑπάνιος χῶρος, οὔνομα δέ οἱ ἐστι Ἐξαμπαῖος· τοῦ καὶ ὀλίγον τι πρότερον τούτων μνήμην εἶχον, φάμενος ἐν αὐτῷ κρήνην ὕδατος πικροῦ εἶναι ἀπ' ἧς τὸ ὕδωρ ἀπορρέον τὸν Ὑπανιν ἄποτον ποιέειν. (3) Ἐν τούτῳ τῷ χώρῳ κέεται χαλκήϊον, μεγάθεϊ καὶ ἑξαπλήσιον τοῦ ἐπὶ στόματι τοῦ Πόντου κρητῆρος, τὸν Παυσανίης ὁ Κλεομβρότου ἀνέθηκε. Ὃς δὲ μὴ εἶδέ κω τοῦτον, ὧδε δηλώσω· ἑξακοσίους ἀμφορέας εὐπετέως χωρέει τὸ ἐν Σκύθῃσι χαλκήϊον, πάχος δὲ τὸ Σκυθικὸν τοῦτο χαλκήϊόν ἐστι δακτύλων ἓξ. (4) Τοῦτο ὦν ἔλεγον οἱ ἐπιχώριοι ἀπ' ἀρδίων γενέσθαι. Βουλόμενον γὰρ τὸν σφέτερον βασιλέα, τῷ οὔνομα εἶναι Ἀριαντὰν, [τοῦτον] εἰδέναι τὸ πλῆθος τὸ Σκυθέων κελεύειν μιν πάντας Σκύθας ἄρδιν ἕκαστον μίαν ἀπὸ τοῦ ὄϊστοῦ κομίσαι· ὃς δ' ἂν μὴ κομίσῃ, θάνατον ἠπείλεε. (5) Κομισθῆναί τε δὴ χρῆμα πολλὸν ἀρδίων, καί οἱ δόξαι ἐξ αὐτῶν μνημόσυνον ποιήσαντι λιπέσθαι· ἐκ τούτων δή μιν τὸ χαλκήϊον ποιῆσαι τοῦτο καὶ ἀναθεῖναι ἐς τὸν Ἐξαμπαῖον τοῦτον. Ταῦτα δὴ περὶ τοῦ πλήθεος τοῦ Σκυθέων ἤκουον.

LXXXII. Θωμάσια δὲ ἡ χώρη αὕτη οὐκ ἔχει, χωρὶς ἢ ὅτι ποταμούς τε πολλῷ μεγίστους καὶ ἀριθμὸν πλείστους. (2) Τὸ δὲ ἀποθωμάσαι ἄξιον καὶ πάρεξ τῶν ποταμῶν καὶ τοῦ μεγάθεος τοῦ πεδίου παρέχεται, εἰρήσεται· ἴχνος Ἡρακλέος φαίνουσι ἐν πέτρῃ ἐνεόν, τὸ οἷκε μὲν βήματι ἀνδρὸς, ἔστι δὲ τὸ μέγαθος δίπηχυ, παρὰ τὸν Τύρην ποταμόν. Τοῦτο μέν νυν τοιοῦτό ἐστι, ἀναβήσομαι δὲ ἐς τὸν κατ' ἀρχὰς ἧϊα λέξων λόγον.

LXXXIII. Παρασκευαζομένου Δαρείου ἐπὶ τοὺς Σκύθας, καὶ ἐπιπέμποντος ἀγγέλους ἐπιτάξοντας τοῖσι μὲν πεζὸν στρατὸν, τοῖσι δὲ νέας παρέχειν, τοῖσι δὲ ζευγνύναι τὸν Θρηΐκιον Βόσπορον, Ἀρτάβανος ὁ Ὑστάσπεος, ἀδελφεὸς ἐὼν Δαρείου, ἐχρήϊζε μηδαμῶς αὐτὸν στρατηΐην ἐπὶ Σκύθας ποιέεσθαι, καταλέγων τῶν Σκυθέων τὴν ἀπορίην. (2) Ἀλλ' οὐ γὰρ ἔπειθε συμβουλεύων οἱ χρηστὰ, ὁ μὲν ἐπέπαυτο, ὁ δὲ ἐπειδή οἱ τὰ πάντα παρεσκεύαστο, ἐξήλαυνε τὸν στρατὸν ἐκ Σούσων.

LXXXIV. Ἐνθαῦτα τῶν Περσέων Οἰόβαζος ἐδεήθη Δαρείου τριῶν ἐόντων οἱ παίδων καὶ πάντων στρατευομένων ἕνα αὐτῷ καταλειφθῆναι. Ὁ δέ οἱ ἔφη ὡς φίλῳ ἐόντι καὶ μετρίων δεομένῳ πάντας τοὺς παῖδας καταλείψειν. (2) Ὁ μὲν δὴ Οἰόβαζος περιχαρὴς ἦν, ἐλπίζων τοὺς υἱέας στρατηΐης ἀπολελύσθαι· ὁ δὲ ἐκέλευσε τοὺς ἐπὶ τούτων ἐπεστεῶτας ἀποκτεῖναι πάντας τοὺς Οἰοβάζου παῖδας. Καὶ οὗτοι μὲν ἀποσφαγέντες αὐτοῦ ταύτῃ ἐλείποντο.

LXXXV. Δαρεῖος δὲ ἐπείτε πορευόμενος ἐκ Σούσων ἀπίκετο τῆς Καλχηδονίης ἐπὶ τὸν Βόσπορον, ἵνα ἔζευ-

potui comperire; sed dissentientes de eorum numero audivi sermones: aliis numerosam admodum esse gentem dicentibus, aliis exiguam, non per se, sed pro Scytharum nomine. (2) Verumtamen hoc mihi oculis subjecerunt. Est inter Borysthenem fluvium et Hypanin locus, cui nomen Exampæus, cujus etiam paulo ante feci mentionem, quum dicerem esse ibi amaræ aquæ fontem, ex quo aqua in Hypanin influens impotabilem hunc fluvium reddat (3). Ibi loci positum est ahenum, amplitudine sexcuplum crateris illius, quem in ostio Ponti Pausanias, Cleombroti filius, dedicavit. Qui hunc non vidit, ei rem hoc modo declarabo: sexcentas facile amphoras capit illud in Scythia ahenum: crassitudo autem ejusdem sex est digitorum. (4) Hoc igitur ahenum narrant indigenæ ex sagittarum acuminibus esse confectum. Regem quippe ipsorum, nomine Ariantan, quum vellet numerum nosse Scytharum, universos Scythas jussisse quemque unum teli spiculum conferre: si quis non contulisset, ei comminatum esse mortem. (5) Comportata igitur ingente spiculorum copia, visum ei esse ex his monumentum, quod relinqueret, curare conficiendum. Itaque ex illis spiculis ahenum hoc conficiendum illum curasse, idque in hoc Exampæo dedicasse. Hæc de Scytharum numero relata audivi.

LXXXII. Cæterum mirabilia nulla habet hæc regio, nisi quod fluvios possidet longe maximos, et numero plurimos. (2) Unam tamen rem, quam illa præter fluvios et præter planitiei amplitudinem præbet miratu dignam, commemorabo. Monstrant Scythæ Herculis vestigium petræ impressum juxta Tyram fluvium, quod pedi quidem viri est simile, sed longitudine bicubitali. Et hæc quidem ita se habent: redeo autem ad eam narrationem, quam initio adgressus eram exponere.

LXXXIII. Bellum quum Darius adversus Scythas pararet, nunciosque dimitteret, qui aliis comparandum pedestrem exercitum, aliis suppeditandas naves, aliis ponte jungendum Bosporum Thracicum imperarent; Artabanus interim, Hystaspis filius, frater Darii, oravit eum, ut expeditionem adversus Scythas nequaquam susciperet, narrans inopiam Scytharum. (2) Qui quidem, ubi nihil profecit utilia illi suadendo, ad extremum destitit: Darius vero, postquam omnia parata habuit, Susis exercitum eduxit.

LXXXIV. Ibi tunc Persarum aliquis, Œobazus, quum tres haberet filios, in bellum proficiscentes omnes, petiit a rege, unus eorum apud se relinqueretur. Cui ille respondit, ut homini amico, et modica petenti, omnes se ei relicturum. (5) Quo responso vehementer gavisus Œobazus speravit militiæ missionem habere filios: at rex imperat tum adstantibus, ut omnes interficiant Œobazi filios; atque ita illi interfecti, ibidem relinquebantur.

LXXXV. Susis profectus Darius, postquam in Calchedoniam ditionem ad Bosporum pervenit, ubi pons junctus

κτο ἡ γέφυρα, ἐνθεῦτεν ἐσβὰς ἐς νέα ἔπλωε ἐπὶ τὰς Κυανέας καλευμένας, τὰς πρότερον πλαγκτὰς Ἕλληνές φασι εἶναι, ἐζόμενος δὲ ἐπὶ τῷ ἱρῷ ἐθηείτο τὸν Πόντον ἐόντα ἀξιοθέητον. (2) Πελαγέων γὰρ ἁπάντων πέφυκε θωμασιώτατος· τοῦ τὸ μὲν μῆκός εἰσι στάδιοι ἑκατὸν καὶ χίλιοι καὶ μύριοι, τὸ δὲ εὖρος, τῇ εὐρύτατος αὐτὸς ἑωυτοῦ, στάδιοι τριηκόσιοι καὶ τρισχίλιοι. (3) Τούτου τοῦ πελάγεος τὸ στόμα ἐστι εὖρος τέσσερες στάδιοι· μῆκος δὲ τοῦ στόματος, ὁ αὐχήν, τὸ δὴ Βόσπορος κέκληται, κατ' ὃ δὴ ἔζευκτο ἡ γέφυρα, ἐπὶ σταδίους εἴκοσι καὶ ἑκατόν ἐστι. Τείνει δ' ἐς τὴν Προποντίδα ὁ Βόσπορος. (4) Ἡ δὲ Προποντὶς ἐοῦσα εὖρος μὲν σταδίων πεντακοσίων, μῆκος δὲ τετρακοσίων καὶ χιλίων, καταδιδοῖ ἐς τὸν Ἑλλήσποντον ἐόντα στεινότητα μὲν ἑπτὰ σταδίους, μῆκος δὲ τετρακοσίους. Ἐκδιδοῖ δὲ ὁ Ἑλλήσποντος ἐς χάσμα πελάγεος τὸ δὴ Αἰγαῖον καλέεται.

LXXXVI. Μεμέτρηται δὲ ταῦτα ὧδε. Νηῦς ἐπίπαν μάλιστά κῃ κατανύει ἐν μακρημερίῃ ὀργυιὰς ἑπτακισμυρίας, νυκτὸς δὲ ἑξακισμυρίας. Ἧδη ὦν ἐς μὲν Φᾶσιν ἀπὸ τοῦ στόματος (τοῦτο γάρ ἐστι τοῦ Πόντου μακρότατον) ἡμερέων ἐννέα πλόος ἐστὶ καὶ νυκτῶν ὀκτώ· αὗται ἑνδεκα μυριάδες καὶ ἑκατὸν ὀργυιέων γίνονται, ἐκ δὲ τῶν ὀργυιέων τούτων στάδιοι ἑκατὸν καὶ χίλιοι καὶ μύριοί εἰσι. (2) Ἐς δὲ Θεμισκύρην τὴν ἐπὶ Θερμώδοντι ποταμῷ ἐκ τῆς Σινδικῆς (κατὰ τοῦτο γάρ ἐστι τοῦ Πόντου εὐρύτατον) τριῶν τε ἡμερέων καὶ δύο νυκτῶν πλόος· αὗται δὲ τρεῖς μυριάδες καὶ τριήκοντα ὀργυιέων γίνονται, στάδιοι δὲ τριηκόσιοι καὶ τρισχίλιοι. (3) Ὁ μέν νυν Πόντος οὗτος καὶ Βόσπορός τε καὶ Ἑλλήσποντος οὕτω τέ μοι μεμετρέαται καὶ κατὰ τὰ εἰρημένα πεφύκασι· παρέχεται δὲ καὶ λίμνην ὁ Πόντος ἐκδιδοῦσαν ἐς ἑωυτὸν οὐ πολλῷ τέῳ ἐλάσσω ἑωυτοῦ, ἡ Μαιῆτίς τε καλέεται καὶ μήτηρ τοῦ Πόντου.

LXXXVII. Ὁ δὲ Δαρεῖος ὡς ἐθηήσατο τὸν Πόντον, ἔπλωε ὀπίσω ἐπὶ τὴν γέφυραν, τῆς ἀρχιτέκτων ἐγένετο Μανδροκλέης Σάμιος· θηησάμενος δὲ καὶ τὸν Βόσπορον στήλας ἔστησε δύο ἐπ' αὐτῷ λίθου λευκοῦ, ἐν τὰ μὲν γράμματα ἐς μὲν τὴν Ἀσσύρια, ἐς δὲ τὴν Ἑλληνικὰ, ἔθνεα πάντα ὅσα περ ἦγε. Ἦγε δὲ πάντα τῶν ἦρχε· τούτων μυριάδες ἐξηριθμήθησαν, χωρὶς τοῦ ναυτικοῦ, ἑβδομήκοντα σὺν ἱππεῦσι, νέες δὲ ἑξακόσιαι συνελέχθησαν. (2) Τῇσι μέν νυν στήλῃσι ταύτῃσι Βυζάντιοι, κομίσαντες ἐς τὴν πόλιν, ὕστερον τούτων ἐχρήσαντο πρὸς τὸν βωμὸν τῆς Ὀρθωσίης Ἀρτέμιδος, χωρὶς ἑνὸς λίθου· οὗτος δὲ κατελείφθη παρὰ τοῦ Διονύσου τὸν νηὸν ἐν Βυζαντίῳ, γραμμάτων Ἀσσυρίων πλέος. (3) Τοῦ δὲ Βοσπόρου ὁ χῶρος τὸν ἔζευξε βασιλεὺς Δαρεῖος, ὡς ἐμοὶ δοκέειν συμβαλλομένῳ, μέσον ἐστὶ Βυζαντίου τε καὶ τοῦ ἐπὶ στόματι ἱροῦ.

LXXXVIII. Δαρεῖος δὲ μετὰ ταῦτα, ἡσθεὶς τῇ σχεδίῃ, τὸν ἀρχιτέκτονα αὐτῆς Μανδροκλέα τὸν Σάμιον ἐδωρήσατο πᾶσι δέκα· ἀπ' ὧν δὴ Μανδροκλέης ἀπαρχὴν, ζῷα γραψάμενος πᾶσαν τὴν ζεῦξιν τοῦ Βοσπόρου

erat, inde conscensa navi ad Cyaneas quæ vocantur insulas navigavit, quas olim errabundas fuisse Græci perhibent. Tum ad templum ejus regionis residens spectavit Pontum, spectatu sane dignum. (2) Est enim pelagorum omnium maxime mirabile. Longitudo ejus undecim millium et centum stadiorum est : latitudo, ubi maxima, stadiorum ter mille et trecentorum. (3) Ostium hujus pelagi quattuor stadia patet in latitudinem : longitudo ostii, collum illud, quod Bosporus vocatur, in quo ipso junctus pons erat, centum et viginti stadiorum est : pertinetque Bosporus ad Propontidem. (4) Propontis vero, quingenta stadia patens in latitudinem, et mille quadringenta in longitudinem, in Hellespontum defluit; cujus latitudo septem stadia metitur; longitudo vero quadringenta stadia. Influit autem Hellespontus in mare apertius hoc, quod Ægæum vocatur.

LXXXVI. Dimensa autem ista sunt hoc modo. Navis longiori die navigans conficit plerumque orgyias fere septuagies mille, noctu vero sexagies. Est autem a Ponti orificio usque ad Phasin (quæ maxima longitudo hujus maris) novem dierum octoque noctium navigatio : unde confiunt centum et undecim myriades orgyiarum; quo ex numero orgyiarum colliguntur stadia undecies mille et centum. (2) Ad Themiscyram vero, quæ est ad Thermodontem fluvium, a Sindica regione (qua est maxima Ponti latitudo) trium dierum et duarum noctium navigatio est : unde conficiuntur triginta tres myriades orgyiarum, stadia vero ter mille et trecenta. (3) Pontus igitur hic et Bosporus et Hellespontus ita a me dimensi sunt; et ea, quam dixi, eorum ratio est. Offert vero idem Pontus etiam lacum qui in eum influit, haud multo minorem ipso. Mæotis palus vocatur is lacus, et Mater Ponti.

LXXXVII. Postquam Pontum contemplatus est Darius, retro navigavit ad pontem; cujus architectus fuit Mandrocles Samius. Deinde postquam Bosporum etiam spectavit, duas in ipsa ora ejus columnas posuit candido ex lapide, quibus incisa erant, alteri Assyriis literis, alteri Græcis, populorum omnium nomina quos ducebat : ducebat autem omnes, qui imperio ipsius erant subjecti. Numerus autem hominum erat, exceptis classiariis, septingenta millia una cum equitibus : naves autem collectæ erant sexcentæ. (2) Columnas istas post id tempus Byzantii in urbem suam transportarunt, eisque usi sunt ad aram Dianæ Orthosiæ, uno lapide excepto, qui juxta Bacchi templum prope Byzantium relictus est, Assyriis literis oppletus. (3) Locus autem Bospori, quem ponte junxit Darius, ut mihi quidem conjectanti videtur, medius est inter Byzantium et templum quod est ad ostium.

LXXXVIII. Deinde gavisus ponte Darius, architectum illius Mandroclem Samium donavit denis rebus omnibus : quibus de muneribus Mandrocles, primitiarum nomine, in Junonis templo picturam dedicavit, in qua totus ille pons

καὶ βασιλέα τε Δαρεῖον ἐν προεδρίῃ κατήμενον καὶ τὸν στρατὸν αὐτοῦ διαβαίνοντα, ταῦτα γραψάμενος ἀνέθηκε ἐς τὸ Ἡραῖον, ἐπιγράψας τάδε,

Βόσπορον ἰχθυόεντα γεφυρώσας ἀνέθηκε
Μανδροκλέης Ἥρῃ μνημόσυνον σχεδίης,
αὐτῷ μὲν στέφανον περιθεὶς, Σαμίοισι δὲ κῦδος,
Δαρείου βασιλέος ἐκτελέσας κατὰ νοῦν.

Ταῦτα μέν νυν τοῦ ζεύξαντος τὴν γέφυραν μνημόσυνα ἐγένετο.

LXXXIX. Δαρεῖος δὲ δωρησάμενος Μανδροκλέα διέβαινε ἐς τὴν Εὐρώπην, τοῖσι Ἴωσι παραγγείλας πλώειν ἐς τὸν Πόντον μέχρι Ἴστρου ποταμοῦ, ἐπεὰν δὲ ἀπίκωνται ἐς τὸν Ἴστρον, ἐνθαῦτα αὐτὸν περιμένειν ζευγνύντας τὸν ποταμόν· τὸ γὰρ δὴ ναυτικὸν ἦγον Ἴωνές τε καὶ Αἰολέες καὶ Ἑλλησπόντιοι. (2) Ὁ μὲν δὴ ναυτικὸς στρατὸς τὰς Κυανέας διεκπλώσας ἔπλωε ἰθὺ τοῦ Ἴστρου, ἀναπλώσας δὲ ἀνὰ τὸν ποταμὸν δυῶν ἡμερέων πλόον ἀπὸ θαλάσσης, τοῦ ποταμοῦ τὸν αὐχένα, ἐκ τοῦ σχίζεται τὰ στόματα τοῦ Ἴστρου, ἐζεύγνυε. (3) Δαρεῖος δὲ ὡς διέβη τὸν Βόσπορον κατὰ τὴν σχεδίην, ἐπορεύετο διὰ τῆς Θρηΐκης, ἀπικόμενος δὲ ἐπὶ Τεάρου ποταμοῦ τὰς πηγὰς ἐστρατοπεδεύσατο ἡμέρας τρεῖς.

XC. Ὁ δὲ Τέαρος λέγεται ὑπὸ τῶν περιοίκων εἶναι ποταμῶν ἄριστος τά τε ἄλλα ἐς ἄκεσιν φέροντα, καὶ δὴ καὶ ἀνδράσι καὶ ἵπποισι ψώρην ἀκέσασθαι. (2) Εἰσὶ δὲ αὐτοῦ αἱ πηγαὶ δυῶν δέουσαι τεσσερήκοντα, ἐκ πέτρης τῆς αὐτῆς ῥέουσαι· καὶ αἱ μὲν αὐτέων εἰσὶ ψυχραὶ, αἱ δὲ θερμαί. Ὁδὸς δ' ἐπ' αὐτάς ἐστι ἴση ἐξ Ἡραίου τε πόλιος τῆς παρὰ Περίνθῳ καὶ ἐξ Ἀπολλωνίης τῆς ἐν τῷ Εὐξείνῳ πόντῳ, δυῶν ἡμερέων ἑκατέρη. (3) Ἐκδιδοῖ δὲ ὁ Τέαρος οὗτος ἐς τὸν Κοντάδεστον ποταμὸν, ὁ δὲ Κοντάδεστος ἐς τὸν Ἀγριάνην, ὁ δὲ Ἀγριάνης ἐς τὸν Ἕβρον, ὁ δὲ ἐς θάλασσαν τὴν παρ' Αἶνῳ πόλι.

XCI. Ἐπὶ τοῦτον ὦν τὸν ποταμὸν ἀπικόμενος ὁ Δαρεῖος ὡς ἐστρατοπεδεύσατο, ἡσθεὶς τῷ ποταμῷ στήλην ἔστησε καὶ ἐνθαῦτα, γράμματα ἐγγράψας λέγοντα τάδε, « Τεάρου ποταμοῦ κεφαλαὶ ὕδωρ ἄριστόν τε καὶ κάλλιστον παρέχονται πάντων ποταμῶν· καὶ ἐπ' αὐτὰς ἀπίκετο, ἐλαύνων ἐπὶ Σκύθας στρατὸν, ἀνὴρ ἄριστός τε καὶ κάλλιστος πάντων ἀνθρώπων, Δαρεῖος ὁ Ὑστάσπεος, Περσέων τε καὶ πάσης τῆς ἠπείρου βασιλεύς. » Ταῦτα δὴ ἐνθαῦτα ἐγράφη.

XCII. Δαρεῖος δὲ ἐνθεῦτεν ὁρμηθεὶς ἀπίκετο ἐπ' ἄλλον ποταμὸν τῷ οὔνομα Ἀρτισκός ἐστι, ὃς διὰ Ὀδρυσέων ῥέει. Ἐπὶ τοῦτον δὴ τὸν ποταμὸν ἀπικόμενος ἐποίησε τοιόνδε· ἀποδέξας χωρίον τῇ στρατιῇ ἐκέλευε πάντα ἄνδρα λίθον ἕνα παρεξιόντα τιθέναι ἐς τὸ ἀποδεδεγμένον τοῦτο χωρίον. (2) Ὡς δὲ ταῦτα ἡ στρατιὴ ἐπετέλεσε, ἐνθαῦτα κολωνοὺς μεγάλους τῶν λίθων καταλιπὼν ἀπήλαυνε τὴν στρατιήν.

XCIII. Πρὶν δὲ ἀπικέσθαι ἐπὶ τὸν Ἴστρον, πρώτους αἱρέει Γέτας τοὺς ἀθανατίζοντας. Οἱ μὲν γὰρ δὴ

Bospori et Darius rex in solio præsidens, et universus exercitus ejus pontem transiens, omnia hæc descripta erant, addita inscriptione hujusmodi:

Piscosum Bosporum qui junxit Mandrocles
Junoni dedicavit pontis monumentum;
coronam sibi, Samiis gloriam comparans
opere ex Darii regis mente perfecto.

Hoc fuit monumentum hujus viri, qui pontem illum junxerat.

LXXXIX. Donato Mandrocle, Darius in Europam transiit, mandato dato Ionibus ut in Pontum navigarent usque ad Istrum fluvium; ad eum autem quum pervenissent, ut ipsum ibi exspectarent et ponte jungerent fluvium: classem enim ducebant Iones et Æoles et Hellespontii. (2) Navalis igitur exercitus, Cyaneas insulas prætervectus, recta versus Istrum navigavit: et adverso flumine bidui iter a mari emensus, collum fluvii, ubi in diversa ostia scinditur Ister, ponte junxit. (3) Darius vero, trajecto per pontem Bosporo, per Thraciam iter fecit: quumque ad Teari fluvii fontes pervenisset, triduo ibi stativa habuit.

XC. Tearus hic fluvius ab adcolis perhibetur fluviorum esse optimus, quum ad alios sanandos morbos, tum ad scabiem curandam et hominum et equorum. (2) Fontes ejus sunt duodequadraginta, ex eadem rupe fluentes: quorum alii frigidi sunt, alii calidi. Iter ad illos fontes æquale est ex Heræo oppido, quod ad Perinthum est, et ex Apollonia quæ est ad Pontum Euxinum, utrimque bidui iter. (3) Influit autem Tearus in Contadestum fluvium, Contadestus vero in Agrianen, Agrianes in Hebrum, Hebrus vero in mare se exonerat prope Ænum oppidum.

XCI. Ad hunc igitur fluvium postquam pervenit Darius et castra metatus est, delectatus fluvio, cippum etiam ibi posuit, cum inscriptione in hanc sententiam: « Teari fluvii fontes aquam fundunt fluviorum omnium præstantissimam et pulcerrimam: et ad hos fontes venit, exercitum adversus Scythas ducens, vir omnium hominum præstantissimus et pulcerrimus, Darius Hystaspis filius, Persarum rex et universæ continentis. » Hæc ibi inscripta erant.

XCII. Inde profectus Darius ad alium fluvium pervenit cui nomen Artiscus, qui per Odrysas fluit. Ad hunc fluvium postquam pervenit, hocce instituit facere: designans locum quemdam, jussit ut quilibet vir de exercitu, dum eum locum præteriret, unum lapidem ibidem deponeret. (2) Quod quum ab exercitu esset factum, ingentibus lapidum tumulis ibi relictis, exercitum ulterius promovit.

XCIII. Priusquam vero ad Istrum pervenisset, primos Getas vi subegit, illos qui se immortales prædicant. Nam,

τὸν Σαλμυδησσὸν ἔχοντες Θρῄϊκες καὶ ὑπὲρ Ἀπολλωνίης τε καὶ Μεσαμβρίης πολιος οἰκημένοι, καλεύμενοι δὲ Σκυρμιάδαι καὶ Νιψαῖοι, ἀμαχητὶ σφέας αὐτοὺς παρέδοσαν Δαρείῳ· οἱ δὲ Γέται πρὸς ἀγνωμοσύνην τραπόμενοι αὐτίκα ἐδουλώθησαν, Θρηίκων ἐόντες ἀνδρηϊώτατοι καὶ δικαιότατοι.

XCIV. Ἀθανατίζουσι δὲ τόνδε τὸν τρόπον· οὔτε ἀποθνήσκειν ἑωυτοὺς νομίζουσι, ἰέναι τε τὸν ἀπολλύμενον παρὰ Ζάλμοξιν δαίμονα· οἱ δὲ αὐτῶν τὸν αὐτὸν τοῦτον νομίζουσι Γεβελέϊζιν. (2) Διὰ πεντετηρίδος δὲ τὸν πάλῳ λαχόντα αἰεὶ σφέων αὐτῶν ἀποπέμπουσι ἄγγελον παρὰ τὸν Ζάλμοξιν, ἐντελλόμενοι τῶν ἂν ἑκάστοτε δέωνται. (3) Πέμπουσι δὲ ὧδε· οἱ μὲν αὐτῶν ταχθέντες ἀκόντια τρία ἔχουσι, ἄλλοι δὲ διαλαβόντες τοῦ ἀποπεμπομένου παρὰ τὸν Ζάλμοξιν τὰς χεῖρας καὶ τοὺς πόδας, ἀνακινήσαντες αὐτὸν μετέωρον, ῥιπτεῦσι ἐς τὰς λόγχας. (4) Ἢν μὲν δὴ ἀποθάνῃ ἀναπαρεὶς, τοῖσι δὲ θεὸς δοκέει εἶναι· ἢν δὲ μὴ ἀποθάνῃ, αἰτιέονται αὐτὸν τὸν ἄγγελον, φάμενοί μιν ἄνδρα κακὸν εἶναι, αἰτησάμενοι δὲ τοῦτον ἄλλον ἀποπέμπουσι· ἐντέλλονται δὲ ἔτι ζώοντι. (5) Οὗτοι οἱ αὐτοὶ Θρῄϊκες καὶ πρὸς βροντήν τε καὶ ἀστραπὴν τοξεύοντες ἄνω πρὸς τὸν οὐρανὸν ἀπειλεῦσι τῷ θεῷ, οὐδένα ἄλλον θεὸν νομίζοντες εἶναι εἰ μὴ τὸν σφέτερον.

XCV. Ὡς δὲ ἐγὼ πυνθάνομαι τῶν τὸν Ἑλλήσποντον οἰκεόντων Ἑλλήνων καὶ Πόντον, τὸν Ζάλμοξιν τοῦτον ἐόντα ἄνθρωπον δουλεῦσαι ἐν Σάμῳ, δουλεῦσαι δὲ Πυθαγόρῃ τῷ Μνησάρχου· ἐνθεῦτεν δὲ αὐτὸν γενόμενον ἐλεύθερον χρήματα κτήσασθαι συχνὰ, κτησάμενον δὲ ἀπελθεῖν ἐς τὴν ἑωυτοῦ· (2) ἅτε δὲ κακοβίων τε ἐόντων τῶν Θρηίκων καὶ ὑπαφρονεστέρων, τὸν Ζάλμοξιν τοῦτον ἐπιστάμενον δίαιτάν τε Ἰάδα καὶ ἤθεα βαθύτερα ἢ κατὰ Θρῄϊκας, οἷα Ἕλλησί τε ὁμιλήσαντα καὶ Ἑλλήνων οὐ τῷ ἀσθενεστάτῳ σοφιστῇ Πυθαγόρῃ, κατασκευάσασθαι ἀνδρεῶνα, ἐς τὸν πανδεκεύοντα τῶν ἀστῶν τοὺς πρώτους καὶ εὐωχέοντα ἀναδιδάσκειν ὡς οὔτε αὐτὸς οὔτε οἱ συμπόται αὐτοῦ οὔτε οἱ ἐκ τούτων αἰεὶ γινόμενοι ἀποθανέονται, ἀλλ' ἥξουσι ἐς χῶρον τοῦτον ἵνα αἰεὶ περιεόντες ἕξουσι τὰ πάντα ἀγαθά. (3) Ἐν ᾧ δὲ ἐποίεε τὰ καταλεχθέντα καὶ ἔλεγε ταῦτα, ἐν τούτῳ κατάγαιον οἴκημα ἐποιέετο. Ὡς δέ οἱ παντελέως εἶχε τὸ οἴκημα, ἐκ μὲν τῶν Θρηίκων ἠφανίσθη, καταβὰς δὲ κάτω ἐς τὸ κατάγαιον οἴκημα διαιτᾶτο ἐπ' ἔτεα τρία· οἱ δέ μιν ἐπόθεόν τε καὶ ἐπένθεον ὡς τεθνεῶτα· τετάρτῳ δὲ ἔτεϊ ἐφάνη τοῖσι Θρῄξι, καὶ οὕτω πιθανά σφι ἐγένετο τὰ ἔλεγε ὁ Ζάλμοξις. Ταῦτά φασί μιν ποιῆσαι.

XCVI. Ἐγὼ δὲ περὶ μὲν τούτου καὶ τοῦ καταγαίου οἰκήματος, οὔτε ἀπιστέω οὔτε ὧν πιστεύω τι λίην, δοκέω δὲ πολλοῖσι ἔτεσι πρότερον τὸν Ζάλμοξιν τοῦτον γενέσθαι Πυθαγόρεω. Εἴτε δὲ ἐγένετό τις Ζάλμοξις ἄνθρωπος, εἴτ' ἐστὶ δαίμων τις Γέτῃσι οὗτος ἐπιχώριος, χαιρέτω. Οὗτοι μὲν δὴ τρόπῳ τοιούτῳ

qui Salmydessum incolunt Thraces, et qui super Apollonia et Mesembria oppido sedes habent, qui Scyrmiadæ et Nipsæi nominantur, sine pugna se Dario tradiderant. Getæ vero, obstinate resistentes, mox in servitutem sunt redacti, quum quidem essent Thracum et nobilissimi et justissimi.

XCIV. Immortales autem hi sese prædicant hoc modo : non mori sese putant, sed hac ex vita decedentes ad Zalmoxin deum ire; quem eumdem nonnulli Gebeleizin invocant. (2) Quinto vero quoque anno unum e suorum numero, sorte lectum, nuncium mittunt ad Zalmoxin, mandata ei dantes de his rebus quas tunc maxime desiderant. (3) Mittunt autem hoc modo : ordine stant alii, tria jacula tenentes : alii pedibus manibusque prehensum hunc, qui ad Zalmoxin amandatur, vibrantes sursum conjiciunt, ut in hastas incidat. (4) Qui si transfixus moritur, tum illis propitius videtur esse Zalmoxis : sin non moritur, in culpa ponunt ipsum nuncium, dicentes pravum esse hominem; loco hujus vero quem caussantur, alium mittunt, cui tum adhuc vivo dant mandata. (5) Iidem Thraces, quum tonat fulguratque, sagittas sursum adversus cœlum contorquent, minitantes deo : nec enim alium deum censent nisi suum.

XCV. Ut vero a Græcis accepi ad Hellespontum et Pontum habitantibus, homo fuit hic Zalmoxis, servitutem serviens Sami; servus autem fuit Pythagoræ, Mnesarchi filii. Deinde vero manumissum, aiunt, magnas sibi comparasse pecunias, hisque instructum, domum rediisse. (2) Quum vero et misere viverent Thraces, et parum cultis essent ingeniis; Zalmoxin hunc, vitæ rationem Ionicam edoctum, et moribus institutum cultioribus quam qui apud Thracas obtinerent, ut qui cum Græcis habuisset consuetudinem, et cum Pythagora, viro inter Græcos ingenii cultura eminente, exstruendam sibi curasse exhedram, in qua primarios quosque popularium excipere consuesset, et inter epulandum illos docuisset, neque se, neque convivas suos, nec horum posteros, morituros; sed venturos in locum talem, ubi perpetuo viventes omnibus bonis sint fruituri. (3) In eadem vero exhedra, ubi hæc faciebat dicebatque, construendam sibi interim parasse, aiunt, cameram subterraneam; quæ postquam perfecta esset, evanuisse eum e Thracum conspectu : scilicet in subterraneam istam cameram descendisse, ibique per triennium esse moratum; et Thracas illum, ut mortuum, desiderasse luctuque esse prosecutos; quarto vero anno Thracibus eum rursus adparuisse : atque ita persuasos hos fuisse, vera esse quæ Zalmoxis dixisset. Hæc ab eo facta esse perhibent.

XCVI. Ego vero, quod de subterranea camera aiunt, neque negare velim, neque fidem admodum his adhibeo : puto vero multis ante Pythagoram annis hunc Zalmoxin vixisse. Sive autem homo quispiam fuerit hic Zalmoxis, sive indigena Getarum deus, valeat ille. Getæ igitur, qui

χρεώμενοι, ὡς ἐχειρώθησαν ὑπὸ Περσέων, εἵποντο τῷ ἄλλῳ στρατῷ·

XCVII. Δαρεῖος δὲ ὡς ἀπίκετο καὶ ὁ πεζὸς ἅμ' αὐτῷ στρατὸς ἐπὶ τὸν Ἴστρον, ἐνθαῦτα διαβάντων πάντων Δαρεῖος ἐκέλευσε τοὺς Ἴωνας τὴν σχεδίην λύσαντας ἕπεσθαι κατ' ἤπειρον ἑωυτῷ καὶ τὸν ἐκ τῶν νεῶν στρατόν. (2) Μελλόντων δὲ τῶν Ἰώνων λύειν καὶ ποιέειν τὰ κελευόμενα, Κώης ὁ Ἐρξάνδρου στρατηγὸς ἐὼν Μυτιληναίων ἔλεξε Δαρείῳ τάδε, πυθόμενος πρότερον εἰ οἱ φίλον εἴη γνώμην ἀποδέκεσθαι παρὰ τοῦ βουλομένου ἀποδείκνυσθαι· « ὦ βασιλεῦ, ἐπὶ γῆν γὰρ μέλλεις στρατεύεσθαι τῆς οὔτε ἀρηρομένον φανήσεται οὐδὲν οὔτε πόλις οἰκεομένη· σὺ νυν γέφυραν ταύτην ἐᾶ κατὰ χώρην ἱστάναι, φυλάκους αὐτῆς λιπὼν τούτους οἵπερ μιν ἔζευξαν. (3) Καὶ ἢν τε κατὰ νόον πρήξωμεν εὑρόντες Σκύθας, ἔσται ἄποδος ἡμῖν, ἢν τε καὶ μή σφεας εὑρεῖν δυνώμεθα, ἥ γε ἄποδος ἡμῖν ἀσφαλής· οὐ γὰρ ἔδεισά κω μὴ ἐσσωθέωμεν ὑπὸ Σκυθέων μάχῃ, ἀλλὰ μᾶλλον μὴ οὐ δυνάμενοί σφεας εὑρεῖν πάθωμέν τι ἀλώμενοι. (4) Καὶ τάδε λέγειν φαίη τις ἄν με ἐμεωυτοῦ εἵνεκεν, ὡς καταμένω· ἐγὼ δὲ γνώμην μὲν τὴν εὐρισκον ἀρίστην σοὶ, βασιλεῦ, ἐς μέσον φέρω, αὐτὸς μέντοι ἕψομαί τοι καὶ οὐκ ἂν λειφθείην. » (5) Κάρτα τε ἥσθη τῇ γνώμῃ Δαρεῖος, καί μιν ἠμείψατο τοισίδε, « ξεῖνε Λέσβιε, σωθέντος ἐμεῦ ὀπίσω ἐς οἶκον τὸν ἐμὸν ἐπιφάνηθί μοι πάντως, ἵνα σε ἀντὶ χρηστῆς συμβουλίης χρηστοῖσι ἔργοισι ἀμείψωμαι. »

XCVIII. Ταῦτα δὲ εἵπας καὶ ἀπάψας ἅμματα ἑξήκοντα ἐν ἱμάντι, καλέσας ἐς λόγους τοὺς Ἰώνων τυράννους ἔλεγε τάδε, « ἄνδρες Ἴωνες, ἡ μὲν πρότερον γνώμη ἀποδεχθεῖσα ἐς τὴν γέφυραν μετείσθω μοι, ἔχοντες δὲ τὸν ἱμάντα τόνδε ποιέετε τάδε· (2) ἐπεάν με ἴδητε τάχιστα πορευόμενον ἐπὶ Σκύθας, ἀπὸ τούτου ἀρξάμενοι τοῦ χρόνου λύετε ἅμμα ἓν ἑκάστης ἡμέρης· ἢν δὲ ἐν τούτῳ τῷ χρόνῳ μὴ παρέω, ἀλλὰ διεξέλθωσι ὑμῖν αἱ ἡμέραι τῶν ἁμμάτων, ἀποπλώετε ἐς τὴν ὑμετέρην αὐτῶν. (3) Μέχρι δὲ τούτου, ἐπείτε οὕτω μετέδοξε, φυλάσσετε τὴν σχεδίην, πᾶσαν προθυμίην σωτηρίης τε καὶ φυλακῆς παρεχόμενοι. Ταῦτα δὲ ποιεῦντες ἐμοὶ μεγάλως χαριέεσθε. » Δαρεῖος μὲν ταῦτα εἵπας ἐς τὸ πρόσω ἠπείγετο.

XCIX. Τῆς δὲ Σκυθικῆς γῆς ἡ Θρηίκη τὸ ἐς θάλασσαν προκέεται· κόλπου δὲ ἀγομένου τῆς γῆς ταύτης, ἡ Σκυθικὴ τε ἐκδέκεται καὶ ὁ Ἴστρος ἐκδιδοῖ ἐς αὐτὴν, πρὸς εὖρον ἄνεμον τὸ στόμα τετραμμένος. (2) Τὸ δὲ ἀπὸ Ἴστρου ἔρχομαι σημανέων τὸ πρὸς θάλασσαν αὐτῆς τῆς Σκυθικῆς χώρης ἐς μέτρησιν. Ἀπὸ Ἴστρου αὕτη ἤδη ἀρχαίη Σκυθικὴ ἐστι, πρὸς μεσαμβρίην τε καὶ νότον ἄνεμον κειμένη, μέχρι πόλιος καλευμένης Καρκινίτιδος. (3) Τὸ δὲ ἀπὸ ταύτης τὴν μὲν ἐπὶ θάλασσαν τὴν αὐτὴν φέρουσαν, ἐοῦσαν ὀρεινήν τε χώρην καὶ προκειμένην τὸ ἐς Πόντον, νέμεται τὸ Ταυρικὸν ἔθνος μέχρι χερσονήσου τῆς τρηχέης καλευμένης· αὕτη δὲ ἐς θάλασσαν τὴν πρὸς ἀπηλιώτην ἄνεμον κατήκει. (4)

eo quo dixi instituto utuntur, postquam a Persis subacti erant, reliquum exercitum sunt secuti.

XCVII. Ubi ad Istrum Darius cum pedestri exercitu pervenit, ibi tunc, postquam fluvium omnes trajecissent, Ionas rex solvere pontem jussit, seque et navales copias pedestri itinere sequi. (2) Jamque in eo Iones erant, ut exsequerentur mandatum, pontemque solverent; quum Coes, Exandri filius, dux Mytilenæorum, percunctatus prius a Dario, an benigne accepturus esset consilium, si quis ei dare vellet, hæc ad eum verba fecit: « In terram, rex, expeditionem suscipis, in qua nec aratum quidpiam, nec oppidum adparebit habitatum. Tu igitur sine hunc pontem suo loco stare, et custodes ejus relinque hos, qui eum junxerunt. (3) Ita, sive nobis, Scythas nactis, res ex sententia cesserit, paratus reditus erit; sive reperire eos non potuerimus, vel sic tutus certe reditus est. Nam illud quidem numquam verijus sum, ne prælio a Scythis vincamur; sed hoc potius, ne, reperire illos haud usquam valentes, per oberrationem incommodi quidpiam patiamur. (4) Ac fortasse dixerit aliquis, mei caussa me hæc dicere, quo hic maneam. At equidem tibi rex, quæ optima mihi videtur sententia, eam in medium propono: cæterum ipse te sequar, neque hic velim relinqui. » (5) Cujus viri consilio valde delectatus Darius his verbis ei respondit: « Hospes Lesbie, postquam salvus domum meam ero reversus, fac omnino mihi præsto sis, ut te pro bono consilio bene factis remunerer. »

XCVIII. His dictis, sexaginta nodos in loro nexuit, eoque facto, ad colloquium convocatos Ionum tyrannos in hunc modum est adlocutus: « Viri Iones, sententiam prius dictam, quod ad pontem attinet, missam facio. Ecce vobis hoc lorum; quo sumpto, facite quæ jam edico: (2) ex quo me videritis hinc adversus Scythas profectum, ab illo tempore incipientes, quotidie unum nodum hujus lori solvite. Sin intra hoc tempus non adfuero, sed elapsi erunt tot dies quot sunt nodi, tum quidem vestram in patriam navigate. (3) Usque ad id tempus vero, quoniam in hanc partem mutavi sententiam, custodite pontem, omne studium in illo conservando custodiendoque ponentes. Hoc facientes, gratissimum mihi feceritis. » Hæc locutus Darius, nulla interposita mora, in ulteriora perrexit.

XCIX. Ante Scythicam terram sita Thracia est, ad mare pertinens. Inde, in sinum ducta hac regione, incipit Scythia, per quam Ister in mare influit, orificio orientem versus tendente. (2) Jam Scythiæ inde ab Istro eam partem, quæ secundum mare porrigitur, ad mensuram declarare adgredior. Protinus ab Istro hæc est vetus Scythia, versus meridiem sita, usque ad oppidum cui Carcinitis nomen. (3) Tum contiguam hinc regionem, ad idem mare pertinentem, quæ montana est et in Pontum prominens, incolit Taurica gens, ad Chersonesum usque Asperam quæ vocatur. Hæc vero ad illud mare pertinet quod est orientem versus. (4) Scythiæ enim fines duabus a partibus ad mare

Ἔστι γὰρ τῆς Σκυθικῆς τὰ δύο μέρεα τῶν οὔρων ἐς θάλασσαν φέροντα, τήν τε πρὸς μεσαμβρίην καὶ τὴν πρὸς ἠῶ, κατά περ τῆς Ἀττικῆς χώρης· καὶ παραπλήσια ταύτῃ καὶ οἱ Ταῦροι νέμονται τῆς Σκυθικῆς, ὡς εἰ τῆς Ἀττικῆς ἄλλο ἔθνος καὶ μὴ Ἀθηναῖοι νεμοίατο τὸν γουνὸν τὸν Σουνιακὸν, μᾶλλον ἐς τὸν πόντον τὴν ἄκρην ἀνέχοντα, τὸν ἀπὸ Θορικοῦ μέχρι Ἀναφλύστου δήμου. Λέγω δὲ ὡς εἶναι ταῦτα σμικρὰ μεγάλοισι συμβαλέειν. (5) Τοιοῦτον ἡ Ταυρικὴ ἐστι. Ὃς δὲ τῆς Ἀττικῆς ταῦτα μὴ παραπέπλωκε, ἐγὼ δὲ ἄλλως δηλώσω· ὡς εἰ τῆς Ἰηπυγίης ἄλλο ἔθνος καὶ μὴ Ἰήπυγες ἀρξάμενοι ἐκ Βρεντεσίου λιμένος ἀποταμοίατο μέχρι Τάραντος καὶ νεμοίατο τὴν ἄκρην. Δύο δὲ λέγων ταῦτα πολλὰ λέγω παρόμοια, τοῖσι ἄλλοισι οἷκε ἡ Ταυρική.

C. Τὸ δ' ἀπὸ τῆς Ταυρικῆς ἤδη Σκύθαι τὸ κατύπερθε τῶν Ταύρων καὶ τὰ πρὸς θαλάσσης τῆς ἠοίης νέμονται (τοῦ τε Βοσπόρου τοῦ Κιμμερίου τὰ πρὸς ἑσπέρης καὶ τῆς λίμνης τῆς Μαιήτιδος) μέχρι Τανάϊδος ποταμοῦ, ὃς ἐκδιδοῖ ἐς μυχὸν τῆς λίμνης ταύτης. (2) Ἤδη ὦν ἀπὸ μὲν Ἴστρου τὰ κατύπερθε ἐς τὴν μεσόγαιαν φέροντα ἀποκληίεται ἡ Σκυθικὴ ὑπὸ πρώτων Ἀγαθύρσων, μετὰ δὲ Νευρῶν, ἔπειτεν δὲ Ἀνδροφάγων, τελευταίων δὲ Μελαγχλαίνων.

CI. Ἔστι ὦν τῆς Σκυθικῆς ὡς ἐούσης τετραγώνου, τῶν δύο μερέων κατηκόντων ἐς θάλασσαν, πάντῃ ἴσον τό τε ἐς τὴν μεσόγαιαν φέρον καὶ τὸ παρὰ τὴν θάλασσαν. (2) Ἀπὸ γὰρ Ἴστρου ἐπὶ Βορυσθένεα δέκα ἡμερέων ὁδὸς, ἀπὸ Βορυσθένεός τ' ἐπὶ τὴν λίμνην τὴν Μαιῆτιν ἑτέρων δέκα· καὶ τὸ ἀπὸ θαλάσσης ἐς μεσόγαιαν ἐς τοὺς Μελαγχλαίνους τοὺς κατύπερθε Σκυθέων οἰκημένους εἴκοσι ἡμερέων ὁδός. Ἡ δὲ ὁδὸς ἡ ἡμερησίη ἀνὰ δισκόσια στάδια συμβέβληταί μοι. (3) Οὕτω ἂν εἴη τῆς Σκυθικῆς τὰ ἐπικάρσια τετρακισχιλίων σταδίων καὶ τὰ ὄρθια τὰ ἐς τὴν μεσόγαιαν φέροντα ἑτέρων τοσούτων σταδίων. Ἡ μέν νυν γῆ αὕτη ἐστὶ μέγαθος τοσαύτη.

CII. Οἱ δὲ Σκύθαι δόντες σφίσι λόγον ὡς οὐκ οἷοί τέ εἰσι τὸν Δαρείου στρατὸν ἰθυμαχίῃ διώσασθαι μοῦνοι, ἔπεμπον ἐς τοὺς πλησιοχώρους ἀγγέλους· τῶν δὲ καὶ δὴ οἱ βασιλέες συνελθόντες ἐβουλεύοντο ὡς στρατοῦ ἐπελαύνοντος μεγάλου. (2) Ἦσαν δὲ οἱ συνελθόντες βασιλέες Ταύρων καὶ Ἀγαθύρσων καὶ Νευρῶν καὶ Ἀνδροφάγων καὶ Μελαγχλαίνων καὶ Γελωνῶν καὶ Βουδίνων καὶ Σαυροματέων.

CIII. Τούτων Ταῦροι μὲν νόμοισι τοιοισίδε χρέονται. Θύουσι μὲν τῇ παρθένῳ τούς τε ναυηγοὺς καὶ τοὺς ἂν λάβωσι Ἑλλήνων ἐπαναχθέντας, τρόπῳ τοιῷδε· καταρξάμενοι ῥοπάλῳ παίουσι τὴν κεφαλήν. (2) Οἱ μὲν δὴ λέγουσι ὡς τὸ σῶμα ἀπὸ τοῦ κρημνοῦ ὠθέουσι κάτω (ἐπὶ γὰρ κρημνοῦ ἵδρυται τὸ ἱρόν), τὴν δὲ κεφαλὴν ἀνασταυροῦσι· οἱ δὲ κατὰ μὲν τὴν κεφαλὴν ὁμολογέουσι, τὸ μέντοι σῶμα οὐκ ὠθέεσθαι ἀπὸ τοῦ κρημνοῦ λέγουσι, ἀλλὰ γῇ κρύπτεσθαι. (3) Τὴν δὲ

pertinent, tam a meridie, quam ab oriente, quemadmodum Atticæ regionis fines. Et similiter hanc Scythiæ partem Tauri incolunt, ac si Atticæ angulum Suniacum, promontorium illud magis in mare excurrens a Thorico usque ad Anaphlystum pagum, alius incoleret populus, non Athenienses. Dico autem hoc, prout parva hæc cum magnis conferri possunt. (5) Talis igitur Taurica est. Quodsi quis hanc Atticæ partem non præternavigavit, huic ego alia ratione rem declarabo: *perinde est ac si Iapygiæ promontorium non Iapyges habitarent*, sed alius populus, a Brundusio portu incipiens, et usque ad Tarentum ab illis præcisus. Atque hæc duo quum dico, multa alia similia dico, quibuscum conferri Taurica potest.

C. Jam inde a Taurica terra, quæ sunt supra Tauros, et quæ ad mare quod ad orientem est pertinent, ea rursus Scythæ *incolunt*, *quæ ab occidente Bospori Cimmerii* et Paludis Mæotidis sunt usque ad Tanaim fluvium, qui in intimum Mæotidis hujus recessum se exonerat. (2) Jam igitur inde ab Istro [*usque ad Tanain*] superne mediterranea versus disterminatur Scythia primum ab Agathyrsis, deinde a Neuris, post hos ab Androphagis, postremo a Melanchlænis.

CI. Scythiæ igitur, formam fere quadratam habentis, duæ sunt partes ad mare pertinentes; quarum utraque alteri quaquaversum æqualis est, tum qua in mediterranea porrigitur, tum secundum mare. (2) Etenim ab Istro ad Borysthenem iter est decem dierum, rursusque a Borysthene ad Mæotin paludem aliorum decem dierum iter: a *mari vero versus mediterranea ad Melanchlænos, qui supra* Scythas incolunt, iter est viginti dierum. Iter autem diurnum mihi æquiparatur ducenis stadiis. (3) Ita Scythica terra, in transversum, patebit quater mille stadia; in rectum vero, mediterranea versus, totidem alia stadia. Hæc igitur hujus terræ amplitudo est.

CII. Scythæ secum reputantes, solos se impares esse Darii copiis justo prælio repellendis, nuncios miserunt ad finitimos: quorum reges etiam convenere deliberaturi, utpote ingenti invadente exercitu. (2) Erant autem reges, qui convenere, Taurorum, et Agathyrsorum, et Neurorum, et Androphagorum, et Melanchlænorum, et Gelonorum, et *Budinorum*, et *Sauromatarum*.

CIII. Ex his Tauri institutis utuntur hujusmodi. Naufragos, et quoscumque ceperunt Græcos illuc delatos, immolant Virgini hoc modo: postquam sacra auspicati sunt, clava feriunt hominis caput: (2) et corpus quidem, ut alii dicunt, de præcipitio dejiciunt (in prærupta enim rupe exstructum *templum est*), *caput vero in cruce erigunt*: rursus alii de capite quidem consentiunt, corpus autem non de præcipitio dejici aiunt, sed terra condi. (3) Deam au-

δαίμονα ταύτην τῇ θύουσι λέγουσι αὐτοὶ Ταῦροι Ἰφιγένειαν τὴν Ἀγαμέμνονος εἶναι. Πολεμίους δὲ ἄνδρας τοὺς ἂν χειρώσωνται ποιεῦσι τάδε· (4) ἀποταμὼν ἕκαστος κεφαλὴν ἀποφέρεται ἐς τὰ οἰκία, ἔπειτεν ἐπὶ ξύλου μεγάλου ἀναπείρας ἱστᾷ ὑπὲρ τῆς οἰκίης ὑπερέχουσαν πολλὸν, μάλιστα δὲ ὑπὲρ τῆς καπνοδόκης. Φασὶ δὲ τούτους φυλάκους τῆς οἰκίης πάσης ὑπεραιωρέεσθαι. Ζώουσι δὲ ἀπὸ λῃΐης τε καὶ πολέμου.

CIV. Ἀγάθυρσοι δὲ ἁβρότατοι ἄνδρες εἰσὶ καὶ χρυσοφόροι τὰ μάλιστα, ἐπίκοινον δὲ τῶν γυναικῶν τὴν μίξιν ποιεῦνται, ἵνα κασίγνητοί τε ἀλλήλων ἐῶσι καὶ οἰκήϊοι ἐόντες πάντες μήτε φθόνῳ μήτ' ἔχθεϊ χρέωνται ἐς ἀλλήλους. Τὰ δ' ἄλλα νόμαια Θρῄξι προσκεχωρήκασι.

CV. Νευροὶ δὲ νόμοισι μὲν χρέονται Σκυθικοῖσι, γενεῇ δὲ μιῇ πρότερόν σφεας τῆς Δαρείου στρατηλασίης κατέλαβε ἐκλιπεῖν τὴν χώρην πᾶσαν ὑπ' ὀφίων· ὄφιας γάρ σφι πολλοὺς μὲν ἡ χώρη ἀνέφαινε, οἱ δὲ πλεῦνες ἄνωθέν σφι ἐκ τῶν ἐρήμων ἐπέπεσον, ἐς ὃ πιεζόμενοι οἴκησαν μετὰ Βουδίνων τὴν ἑωυτῶν ἐκλιπόντες. (2) Κινδυνεύουσι δὲ οἱ ἄνθρωποι οὗτοι γόητες εἶναι· λέγονται γὰρ ὑπὸ Σκυθέων καὶ Ἑλλήνων τῶν ἐν τῇ Σκυθικῇ κατοικημένων ὡς ἔτεος ἑκάστου ἅπαξ τῶν Νευρῶν ἕκαστος λύκος γίνεται ἡμέρας ὀλίγας καὶ αὖτις ὀπίσω ἐς τὠυτὸ κατίσταται. Ἐμὲ μέν νυν ταῦτα λέγοντες οὐ πείθουσι, λέγουσι δὲ οὐδὲν ἧσσον, καὶ ὀμνῦσι δὲ λέγοντες.

CVI. Ἀνδροφάγοι δὲ ἀγριώτατα πάντων ἀνθρώπων ἔχουσι ἤθεα, οὔτε δίκην νομίζοντες οὔτε νόμῳ οὐδενὶ χρεώμενοι. Νομάδες δέ εἰσι, ἐσθῆτα δὲ φορέουσι τῇ Σκυθικῇ ὁμοίην, γλῶσσαν δὲ ἰδίην ἔχουσι, ἀνθρωποφαγέουσι δὲ μοῦνοι τούτων.

CVII. Μελάγχλαινοι δὲ εἵματα μὲν μέλανα φορέουσι πάντες, ἐπ' ὧν καὶ τὰς ἐπωνυμίας ἔχουσι, νόμοισι δὲ Σκυθικοῖσι χρέονται.

CVIII. Βουδῖνοι δὲ ἔθνος ἐὸν μέγα καὶ πολλὸν γλαυκόν τε πᾶν ἰσχυρῶς ἐστὶ καὶ πυρρόν. Πόλις δὲ ἐν αὐτοῖσι πεπόλισται ξυλίνη, οὔνομα δὲ τῇ πόλι ἐστὶ Γελωνός· τοῦ δὲ τείχεος μέγαθος κῶλον ἕκαστον τριήκοντα σταδίων ἐστὶ, ὑψηλὸν δὲ καὶ πᾶν ξύλινον, καὶ οἰκίαι αὐτῶν ξύλιναι καὶ τὰ ἱρά. (2) Ἔστι γὰρ δὴ αὐτόθι Ἑλληνικῶν θεῶν ἱρὰ Ἑλληνικῶς κατεσκευασμένα ἀγάλμασί τε καὶ βωμοῖσι καὶ νηοῖσι ξυλίνοισι, καὶ τῷ Διονύσῳ τριετηρίδας ἀνάγουσι καὶ βακχεύουσι. (3) Εἰσὶ γὰρ οἱ Γελωνοὶ τὸ ἀρχαῖον Ἕλληνες, ἐκ δὲ τῶν ἐμπορίων ἐξαναστάντες οἰκησαν ἐν τοῖσι Βουδίνοισι· καὶ γλώσσῃ τὰ μὲν Σκυθικῇ, τὰ δὲ Ἑλληνικῇ χρέονται.

CIX. Βουδῖνοι δὲ οὐ τῇ αὐτῇ γλώσσῃ χρέονται καὶ Γελωνοί. Ἀλλ' οὐδὲ δίαιτα ἡ αὐτή ἐστι Γελωνοῖσι καὶ Βουδίνοισι· οἱ μὲν γὰρ Βουδῖνοι ἐόντες αὐτόχθονες νομάδες τέ εἰσι καὶ φθειροτραγέουσι μοῦνοι τῶν ταύτῃ, Γελωνοὶ δὲ γῆς τε ἐργάται καὶ σιτοφάγοι καὶ κήπους ἐκτημένοι, οὐδὲν τὴν ἰδέην ὁμοῖοι οὐδὲ τὸ χρῶμα.

tem, cui has victimas immolant, ipsi Tauri aiunt Iphigeniam esse, Agamemnonis filiam. Hostibus, quos bello ceperunt, hoc faciunt: (4) qui captivum fecit, is ei caput præcidit, domumque suam relatum, prælto infixum palo, erigit ita ut multo supra domum, atque adeo supra fumarium, emineat; dicuntque, hos tamquam custodes totarum ædium ita sublime eminere. Vivunt autem ex præda et bello.

CIV. Agathyrsi lautissimi et mollissimi homines sunt, maximamque partem aurum gestant. Cum mulieribus in commune consuetudinem habent, quo sint inter se fratres et consanguinei, eoque nec invidiam nec inimicitias invicem exerceant. Quod ad alia attinet instituta, ad Thraces accedunt.

CV. Neuri Scythicis utuntur institutis. Proxima autem ante Darii expeditionem generatione accidit his, ut terram suam desererent totam propter serpentes. Ingentem enim ipsis serpentum multitudinem ediderat hæc regio, quorum quidem major pars ex superioribus regionibus, quæ desertæ sunt, invaserant. Ad extremum, malis pressi, relicta sua terra, cum Budinis habitatum concesserunt. (2) Videntur autem præstigiatores esse hi homines: narrant certe Scythæ et Græci Scythiam incolentes, semel quotannis Neurorum quemque per aliquot dies in lupum mutari, deinde vero rursus formæ suæ reddi. Mihi quidem hæc narrantes non persuadent; narrant vero nihilo minus, atque etiam interposito jurejurando adfirmant.

CVI. Androphagi ferocissimos omnium hominum mores habent; neque jus colentes ullum, neque lege ulla utentes. Nomades sunt: vestem gestant Scythicæ similem, lingua vero utuntur propria. Soli autem ex illis populis humana carne vescuntur.

CVII. Melanchlæni vestimenta nigra gestant; a quibus etiam nomen est eis impositum: institutis autem utuntur Scythicis.

CVIII. Budini, magnus populus et numerosus, glauci admodum sunt omnes, et rubicundi. Urbem hi in sua ditione conditam habent ligneam: Gelonus oppido nomen est: cujus muri latus quodque triginta stadia in longitudinem patet, altus vero murus, totusque ligneus: ædes item et templa lignea sunt. (2) Sunt enim ibi Græcanicorum deorum templa, Græco more instructa imaginibus et aris et delubris ligneis. Iidem Baccho triennalia festa agunt, et bacchanalia celebrant. (3) Sunt enim Geloni origine Græci: qui ex emporiis suis pulsi, in Budinos habitatum concesserunt: linguaque utuntur partim Scythica, partim vero Græca.

CIX. Budini vero non eadem lingua, atque Geloni, utuntur: nec eadem utrisque vitæ ratio est. Budini enim, indigena gens, nomades (*pastores*) sunt, solique hi ex omnibus istarum regionum incolis pediculos comedunt: Geloni vero terram colunt, panem comedunt, hortos habent; nihil istis nec forma similes, nec colore. Verumtamen

Ὑπὸ μέντοι Ἑλλήνων καλεῦνται καὶ οἱ Βουδῖνοι Γελωνοί, οὐκ ὀρθῶς καλεύμενοι. (2) Ἡ δὲ χώρη σφέων πᾶσά ἐστι δασέα ἴδῃσι παντοίῃσι· ἐν δὲ τῇ ἴδῃ τῇ πλείστῃ ἐστὶ λίμνη μεγάλη τε καὶ πολλὴ καὶ ἕλος καὶ κάλαμος περὶ αὐτήν· ἐν δὲ ταύτῃ ἐνύδριες ἁλίσκονται καὶ κάστορες καὶ ἄλλα θηρία τετραγωνοπρόσωπα, τῶν τὰ δέρματα περὶ τὰς σισύρας παραρράπτεται, καὶ οἱ ὄρχιες αὐτοῖσί εἰσι χρήσιμοι ἐς ὑστερέων ἄκεσιν.

CX. Σαυροματέων δὲ πέρι ὧδε λέγεται. Ὅτε Ἕλληνες Ἀμαζόσι ἐμαχέσαντο (τὰς δὲ Ἀμαζόνας καλεῦσι Σκύθαι Οἰόρπατα, δύναται δὲ τὸ οὔνομα τοῦτο κατ' Ἑλλάδα γλῶσσαν ἀνδροκτόνοι· οἰὸρ γὰρ καλεῦσι τὸν ἄνδρα, τὸ δὲ πατὰ κτείνειν), τότε λόγος τοὺς Ἕλληνας νικήσαντας τῇ ἐπὶ Θερμώδοντι μάχῃ ἀποπλώειν ἄγοντας τρισὶ πλοίοισι τῶν Ἀμαζόνων ὅσας ἐδυνέατο ζωγρῆσαι, τὰς δὲ ἐν τῷ πελάγεϊ ἐπιθεμένας ἐκκόψαι τοὺς ἄνδρας. (2) Πλοῖα δὲ οὐ γινώσκειν αὐτὰς, οὐδὲ πηδαλίοισι χρᾶσθαι οὐδὲ ἱστίοισι οὐδὲ εἰρεσίῃ· ἀλλ' ἐπεὶ ἐξέκοψαν τοὺς ἄνδρας, ἐφέροντο κατὰ κῦμα καὶ ἄνεμον· καὶ ἀπικνέονται τῆς λίμνης τῆς Μαιήτιδος ἐπὶ Κρημνούς. Οἱ δὲ Κρημνοί εἰσι γῆς τῆς Σκυθέων τῶν ἐλευθέρων. (3) Ἐνθαῦτα ἀποβᾶσαι ἀπὸ τῶν πλοίων αἱ Ἀμαζόνες ὡδοιπόρεον ἐς τὴν οἰκεομένην. Ἐντυχοῦσαι δὲ πρώτῳ ἱπποφορβίῳ τοῦτο διήρπασαν, καὶ ἐπὶ τούτων ἱππαζόμεναι ἐληΐζοντο τὰ τῶν Σκυθέων.

CXI. Οἱ δὲ Σκύθαι οὐκ εἶχον συμβαλέσθαι τὸ πρῆγμα· οὔτε γὰρ φωνὴν οὔτε ἐσθῆτα οὔτε τὸ ἔθνος ἐγίνωσκον, ἀλλ' ἐν θώματι ἔσαν ὁκόθεν ἔλθοιεν, εἰκάζοντες δ' αὐτὰς εἶναι ἄνδρας τὴν αὐτὴν ἡλικίην ἔχοντας, μάχην τε δὴ πρὸς αὐτὰς ἐποιεῦντο. (2) Ἐκ δὲ τῆς μάχης τῶν νεκρῶν ἐκράτησαν οἱ Σκύθαι, καὶ οὕτω ἔγνωσαν ἐούσας γυναῖκας. Βουλευομένοισι ὦν αὐτοῖσι ἔδοξε κτείνειν μὲν οὐδενὶ τρόπῳ ἔτι αὐτὰς, ἐωυτῶν δὲ τοὺς νεωτάτους ἀποπέμψαι ἐς αὐτὰς, πλῆθος εἰκάσαντας ὅσαι περ ἐκεῖναι ἔσαν· (3) τούτους δὲ στρατοπεδεύεσθαι πλησίον ἐκείνων καὶ ποιέειν τά περ ἂν καὶ ἐκεῖναι ποιέωσι· ἢν δὲ αὐτοὺς διώκωσι, μάχεσθαι μὲν μὴ, ὑποφεύγειν δέ· ἐπεὰν δὲ παύσωνται, ἐλθόντας αὐτοὺς πλησίον στρατοπεδεύεσθαι. (4) Ταῦτα ἐβουλεύσαντο οἱ Σκύθαι βουλόμενοι ἐξ αὐτέων παῖδας ἐγγενήσεσθαι.

CXII. Ἀποπεμφθέντες δὲ οἱ νεηνίσκοι ἐποίευν τὰ ἐντεταλμένα. Ἐπεὶ δὲ ἔμαθον αὐτοὺς αἱ Ἀμαζόνες ἐπ' οὐδεμιῇ δηλήσι ἀπιγμένους, ἐῶν χαίρειν· προσεχώρεον δὲ πλησιαιτέρω τὸ στρατόπεδον τῷ στρατοπέδῳ ἐπ' ἡμέρῃ ἑκάστῃ. (2) Εἶχον δὲ οὐδὲν οὐδ' οἱ νεηνίσκοι, ὥσπερ οὐδὲ αἱ Ἀμαζόνες, εἰ μὴ τὰ ὅπλα καὶ τοὺς ἵππους· ἀλλὰ ζόην ἕζωον τὴν αὐτὴν ἐκείνῃσι, θηρεύοντές τε καὶ ληΐζόμενοι.

CXIII. Ἐποίευν δὲ αἱ Ἀμαζόνες ἐς τὴν μεσαμβρίην τοιόνδε· ἐγίνοντο σποράδες κατὰ μίαν τε καὶ δύο, πρόσω δὴ ἀπ' ἀλλήλων ἐς εὐμαρίην ἀποσκιδνάμεναι. Μαθόντες δὲ καὶ οἱ Σκύθαι ἐποίευν τὠυτὸ τοῦτο· καί τις μουνωθεισέων τινὶ αὐτέων ἐνεχρίμπτετο· καὶ ἡ Ἀμα-

a Græcis Budini etiam Geloni nominantur; parum recte id quidem. (2) Est autem universa illorum terra silvis frequens, omni genere arborum refertis. In vastissima silva lacus est magnus et amplus, et circumcirca palus arundine frequens. In eo lacu lutræ capiuntur, et castores, et aliæ quadrato fronte feræ, quarum pelles penulis prætexuntur, testiculi vero ad uterorum curationem sunt utiles.

CX. De Sauromatis hæc fama est. Postquam Græci cum Amazonibus pugnarunt, (Amazonas autem Scythæ Oiorpata nominant, quod vocabulum Græco sermone viricidas significat: *oior* enim virum dicunt; *pata* vero, occidere:) tunc igitur Græci perhibentur, victoria apud Thermodontem relata, tribus navibus domum repetiisse; tot Amazonas, quot vivas capere potuerant, secum vehentes. At illas in medio mari invasisse viros, cunctosque interfecisse. (2) Easdem vero, quum navigandi essent imperitæ, et nec gubernaculorum usum nossent, nec velorum, nec remorum, occisis viris, delatas quo fluctus ventique pellerent, Cremnos ad Mæotidem paludem pervenisse: sunt autem Cremni locus, in Liberorum Scytharum regione. (3) Ibi postquam e navibus exscenderunt Amazones, pedibus in habitata loca profectæ, quod primum offenderunt equorum armentum, hoc direpto obequitantes, res Scytharum prædabantur.

CXI. Scythæ vero, quum nec linguam earum, nec vestimentum, neque gentem nossent, conjectare non potuerant quid hoc rei esset, demirabanturque unde adessent. Quum vero viros esse ejusdem staturæ ætatisque existimarent, prælium cum illis commiserunt: (2) ex pugna autem potiti mortuis, cognoverunt feminas esse. Deliberantibus igitur visum est, neutiquam illas dehinc occidere, sed e suis qui maxime juvenes essent adversus eas mittere, numero, quantum conjicere poterant, pares illarum numero. (3) Hos jusserunt in earumdem vicinia habere castra, facereque eadem quæ illas viderent facientes: sin illæ ipsos persequerentur, non pugnam cum eis inire, sed sese recipere; quando vero persequi desinerent illæ, tum rursus adpropinquare eisdem et castra propius ponere. (4) Hoc consilium Scythæ ceperunt, cupientes ex illis liberos sibi progigni.

CXII. Missi juvenes mandata sunt exsecuti. Quos ubi viderunt Amazones non lædendi consilio advenisse, valere sinebant: et quotidie propius castra castris admovebantur. (2) Nihil autem aliud habebant hi juvenes, quemadmodum etiam Amazones, nisi arma et equos: vitam autem sustentabant perinde atque illæ, venando et prædam agendo.

CXIII. Sub meridiem hoc agere Amazones consueverant: sparsim singulæ aut binæ, seorsum ab invicem, levandi ventris caussa vagabantur. Qua re animadversa, Scythæ perinde fecerunt: et eorum unus ad aliquam ex illis, quæ longius a cæteris sola versabatur, proprius accessit: nec

ζὼν οὐκ ἀπωθέετο, ἀλλὰ περιεῖδε χρήσασθαι. (2) Καὶ φωνῆσαι μὲν οὐκ εἶχε (οὐ γὰρ συνίεσαν ἀλλήλων), τῇ δὲ χειρὶ ἔφραζε ἐς τὴν ὑστεραίην ἐλθεῖν ἐς τὠυτὸ χωρίον καὶ ἕτερον ἄγειν, σημαίνουσα δύο γενέσθαι, καὶ αὐτὴ ἑτέρην ἄξειν. (3) Ὁ δὲ νεηνίσκος ἐπεὶ ἀπῆλθε, ἔλεξε ταῦτα πρὸς τοὺς λοιποὺς· τῇ δὲ ὑστεραίῃ ἦλθε ἐς τὸ χωρίον αὐτός τε οὗτος καὶ ἕτερον ἦγε, καὶ τὴν Ἀμαζόνα εὗρε δευτέρην αὐτὴν ὑπομένουσαν. Οἱ δὲ λοιποὶ νεηνίσκοι ὡς ἐπύθοντο ταῦτα, καὶ αὐτοὶ ἐκτιλώσαντο τὰς λοιπὰς τῶν Ἀμαζόνων.

CXIV. Μετὰ δὲ συμμίξαντες τὰ στρατόπεδα οἰκεον ὁμοῦ, γυναῖκα ἔχων ἕκαστος ταύτην τῇ τὸ πρῶτον συνεμίχθη. Τὴν δὲ φωνὴν τὴν μὲν τῶν γυναικῶν οἱ ἄνδρες οὐκ ἐδυνέατο μαθέειν, τὴν δὲ τῶν ἀνδρῶν αἱ γυναῖκες συνέλαβον. (2) Ἐπεὶ δὲ συνῆκαν ἀλλήλων, ἔλεξαν πρὸς τὰς Ἀμαζόνας τάδε οἱ ἄνδρες, « ἡμῖν εἰσὶ μὲν τοκέες, εἰσὶ δὲ κτήσιες. Νῦν ὦν μηκέτι πλεῦνα χρόνον ζόην τοιήνδε ἔχωμεν, ἀλλ' ἀπελθόντες ἐς τὸ πλῆθος διαιτώμεθα. Γυναῖκας δὲ ἕξομεν ὑμέας καὶ οὐδαμὰς ἄλλας. » (3) Αἱ δὲ πρὸς ταῦτα ἔλεξαν τάδε, « ἡμεῖς οὐκ ἂν δυναίμεθα οἰκέειν μετὰ τῶν ὑμετέρων γυναικῶν· οὐ γὰρ τὰ αὐτὰ νόμαια ἡμῖν τε καὶ ἐκείνῃσι ἐστί. (4) Ἡμεῖς μὲν τοξεύομέν τε καὶ ἀκοντίζομεν καὶ ἱππαζόμεθα, ἔργα δὲ γυναικήια οὐκ ἐμάθομεν· αἱ δὲ ὑμέτεραι γυναῖκες τούτων μὲν οὐδὲν τῶν ἡμεῖς κατελέξαμεν ποιεῦσι, ἔργα δὲ γυναικήια ἐργάζονται καὶ μένουσι ἐν τῇσι ἁμάξῃσι, οὔτ' ἐπὶ θήρην ἰοῦσαι οὔτε ἄλλῃ οὐδαμῇ. Οὐκ ἂν ὦν δυναίμεθα ἐκείνῃσι συμφέρεσθαι. (5) Ἀλλ' εἰ βούλεσθε γυναῖκας ἔχειν ἡμέας καὶ δοκέειν εἶναι δικαιότατοι, ἐλθόντες παρὰ τοὺς τοκέας ἀπολάχετε τῶν κτημάτων τὸ μέρος, καὶ ἔπειτεν ἐλθόντες οἰκέωμεν ἐπ' ἡμέων αὐτέων. »

CXV. Ἐπείθοντο καὶ ἐποίησαν ταῦτα οἱ νεηνίσκοι. Ἐπείτε δὲ ἀπολαχόντες τῶν κτημάτων τὸ ἐπιβάλλον ἦλθον ὀπίσω παρὰ τὰς Ἀμαζόνας, ἔλεξαν αἱ γυναῖκες πρὸς αὐτοὺς τάδε, « ἡμέας ἔχει φόβος τε καὶ δέος, ὅκως χρὴ οἰκέειν ἐν τῷδε τῷ χώρῳ τοῦτο μὲν ὑμέας ἀποστερησάσας πατέρων, τοῦτο δὲ τὴν γῆν τὴν ὑμετέρην δηλησαμένας πολλά. (2) Ἀλλ' ἐπείτε ἀξιοῦτε ἡμέας γυναῖκας ἔχειν, τάδε ποιέετε ἅμα ἡμῖν· φέρετε ἐξαναστέωμεν ἐκ τῆς γῆς τῆσδε, καὶ περήσαντες Τάναϊν ποταμὸν οἰκέωμεν. »

CXVI. Ἐπείθοντο καὶ ταῦτα οἱ νεηνίσκοι, διαβάντες δὲ τὸν Τάναϊν ὡδοιπόρεον πρὸς ἥλιον ἀνίσχοντα τριῶν μὲν ἡμερέων ἀπὸ τοῦ Τανάϊδος ὁδὸν, τριῶν δὲ ἀπὸ τῆς λίμνης τῆς Μαιήτιδος πρὸς βορέην ἄνεμον. Ἀπικόμενοι δὲ ἐς τοῦτον τὸν χῶρον ἐν τῷ νῦν κατοικέαται, οἴκησαν τοῦτον. (2) Καὶ διαίτῃ ἀπὸ τούτου χρέονται τῇ παλαιῇ τῶν Σαυροματέων αἱ γυναῖκες, καὶ ἐπὶ θήρην ἐπ' ἵππων ἐκφοιτέουσαι ἅμα τοῖσι ἀνδράσι καὶ χωρὶς τῶν ἀνδρῶν, καὶ ἐς πόλεμον φοιτέουσαι, καὶ στολὴν τὴν αὐτὴν τοῖσι ἀνδράσι φορέουσαι.

CXVII. Φωνῇ δὲ οἱ Σαυρομάται νομίζουσι Σκυθικῇ, σολοικίζοντες αὐτῇ ἀπὸ τοῦ ἀρχαίου, ἐπεὶ οὐ

illa eum repudiavit, sed sese frui passa est. (2) Et colloqui quidem cum illo non potuit (nec enim sermonem suum invicem intelligebant), sed signo manu dato invitavit eum, ut postridie eumdem in locum adducto comite veniret; significans, duas adfuturas; se nempe adducturam aliam. (3) Juvenis, ad suos reversus, sociis hæc nunciavit: et insequente die rediit et ipse in constitutum locum, et alterum secum adduxit; reperitque Amazonem, cum socia sese exspectantem. Id ubi compererunt reliqui juvenes, etiam ipsi reliquas Amazonas cicurarunt.

CXIV. Posthæc junctis castris una habitarunt: et quisque eam habuit uxorem, cum qua primum consuetudinem habuerat. Et linguam quidem mulierum addiscere viri non potuerunt, sed virorum sermonem didicerunt mulieres. (2) Ubi se invicem intelligebant, Amazonas his verbis compellarunt viri: « Sunt nobis parentes, sunt etiam possessiones. Nunc igitur non amplius talem vivamus vitam; sed ad nostros redeamus, cum illisque vitam agamus. Et vos habebimus uxores, nec ullas alias. » (3) At illæ ad hæc responderunt: « Nos vero non poterimus cum vestris vivere mulieribus: nec enim eadem nobis atque illis instituta sunt. (4) Nos arcu utimur, et sagittis, et equis; muliebria vero non didicimus opera. Vestræ autem mulieres nihil horum, quæ diximus, agunt; opera vero faciunt muliebria, in plaustris desidentes, nec venatum exeuntes, neque alio usquam. Itaque cum illis non poterimus consuescere. (5) Sed si nos habere vultis uxores, et videri vultis æquissime agere; abite ad parentes vestros, et facultatum partem ab eis sortiti, ad nos redite; ac deinde seorsum ab illis habitemus. »

CXV. Paruerunt juvenes, et, quod illæ postulaverant, fecerunt. Postquam vero facultatum ratam partem acceperunt, et ad Amazonas sunt reversi, hæc eis dixere uxores: « Timor nos atque metus tenet, quo pacto hoc in loco habitare possimus; quum et patribus vos privaverimus, et terram vexaverimus vestram. (2) Sed, si cupitis porro nos habere uxores, hæcce facite nobiscum: agite, hac ex terra excedamus; et trajecto Tanai fluvio, ibi habitemus. »

CXVI. In hanc quoque conditionem consensere juvenes. Trajecto Tanai, tridui viam a Tanai versus orientem progressi sunt, et tridui item viam a Mæotide palude versus septemtrionem; et postquam in eum locum venerunt, ubi etiam nunc habitant, ibi sedes ceperunt. (2) Atque ab illo tempore vetustam vitæ rationem mulieres Sauromatarum conservarunt venatum exeuntes, vectæ equis una cum maritis aut sine maritis, et in bellum proficiscentes, eamdemque cum viris vestem gestantes.

CXVII. Sermone Sauromatæ utuntur Scythico, solœce quidem illo utentes inde ab antiquis temporibus, quoniam

χρηστῶς ἐξέμαθον αὐτὴν αἱ Ἀμαζόνες. (2) Τὰ περὶ γάμων δὲ ὧδε σφι διακέεται· οὐ γαμέεται παρθένος οὐδεμία πρὶν ἂν τῶν πολεμίων ἄνδρα ἀποκτείνῃ. Αἱ δέ τινες αὐτέων καὶ τελευτέουσι γηραιαὶ πρὶν γήμασθαι, οὐ δυνάμεναι τὸν νόμον ἐκπλῆσαι.

CXVIII. Ἐπὶ τούτων ὦν τῶν καταλεχθέντων ἐθνέων τοὺς βασιλέας ἡλισμένους ἀπικόμενοι τῶν Σκυθέων οἱ ἄγγελοι ἔλεγον ἐκδιδάσκοντες ὡς ὁ Πέρσης, ἐπειδὴ οἱ τὰ ἐν τῇ ἠπείρῳ τῇ ἑτέρῃ πάντα κατέστραπται, γέφυραν ζεύξας ἐπὶ τῷ αὐχένι τοῦ Βοσπόρου διαβέβηκε ἐς τήνδε τὴν ἤπειρον, διαβὰς δὲ καὶ καταστρεψάμενος Θρήϊκας γεφυροῖ ποταμὸν Ἴστρον, βουλόμενος καὶ τάδε πάντα ὑπ' ἑωυτῷ ποιήσασθαι. « Ὑμεῖς ὦν μηδενὶ τρόπῳ ἐκ τοῦ μέσου κατήμενοι περιίδητε ἡμέας διαφθαρέντας, ἀλλὰ τὠυτὸ νώσαντες ἀντιάζωμεν τὸν ἐπιόντα. (2) Οὐκ ὦν ποιήσετε ταῦτα; ἡμεῖς μὲν πιεζόμενοι ἢ ἐκλείψομεν τὴν χώρην ἢ μένοντες ὁμολογίῃ χρησόμεθα· τί γὰρ πάθωμεν μὴ βουλομένων ὑμέων τιμωρέειν; ὑμῖν δὲ οὐδὲν ἐπὶ τούτῳ ἔσται ἐλαφρότερον· ἥξει γὰρ ὁ Πέρσης οὐδέν τι μᾶλλον ἐπ' ἡμέας ἢ οὐ καὶ ἐπ' ὑμέας, οὐδέ οἱ καταχρήσει ἡμέας καταστρεψαμένῳ ὑμέων ἀπέχεσθαι. (3) Μέγα δὲ ὑμῖν λόγων τῶνδε μαρτύριον ἐρέομεν· εἰ γὰρ ἐπ' ἡμέας μούνους ἐστρατηλάτεε ὁ Πέρσης τίσασθαι τῆς πρόσθε δουλοσύνης βουλόμενος, χρῆν αὐτὸν πάντων τῶν ἄλλων ἀπεχόμενον οὕτω ἰέναι ἐπὶ τὴν ἡμετέρην, καὶ ἂν ἐδήλου πᾶσι ὡς ἐπὶ Σκύθας ἐλαύνει καὶ οὐκ ἐπὶ τοὺς ἄλλους. (4) Νῦν δὲ ἐπείτε τάχιστα διέβη τήνδε τὴν ἤπειρον, τοὺς αἰεὶ ἐμποδὼν γινομένους ἡμεροῦται πάντας· τούς τε δὴ ἄλλους ἔχει ὑπ' ἑωυτῷ Θρήϊκας, καὶ δὴ καὶ τοὺς ἡμῖν ἐόντας πλησιοχώρους Γέτας. »

CXIX. Ταῦτα Σκυθέων ἐπαγγελλομένων ἐβουλεύοντο οἱ βασιλέες οἱ ἀπὸ τῶν ἐθνέων ἥκοντες, καί σφεων ἐσχίσθησαν αἱ γνῶμαι· ὁ μὲν γὰρ Γελωνὸς καὶ ὁ Βουδῖνος καὶ ὁ Σαυρομάτης κατὰ τὠυτὸ γενόμενοι ὑπεδέκοντο Σκύθῃσι τιμωρήσειν· (2) ὁ δὲ Ἀγάθυρσος καὶ Νευρὸς καὶ Ἀνδροφάγος καὶ οἱ τῶν Μελαγχλαίνων καὶ Ταύρων τάδε Σκύθῃσι ὑπεκρίναντο, « εἰ μὲν μὴ ὑμεῖς ἔατε οἱ πρότερον ἀδικήσαντες Πέρσας καὶ ἄρξαντες πολέμου, τούτων δεόμενοι τῶν νῦν δέεσθε λέγειν τε ἂν ἐφαίνεσθε ἡμῖν ὀρθὰ, καὶ ἡμεῖς ὑπακούσαντες τὠυτὸ ἂν ὑμῖν ἐπρήσσομεν. (3) Νῦν δὲ ὑμεῖς τε ἐς τὴν ἐκείνων ἐσβαλόντες γῆν ἄνευ ἡμέων ἐπεκρατέετε Περσέων, ὅσον χρόνον ὑμῖν ὁ θεὸς παρεδίδου· καὶ ἐκεῖνοι, ἐπεί σφεας ὠυτὸς θεὸς ἐγείρει, τὴν ὁμοίην ὑμῖν ἀποδιδοῦσι. Ἡμεῖς δὲ οὔτε τι τότε ἠδικήσαμεν τοὺς ἄνδρας τούτους οὐδὲν, οὔτε νῦν πρότεροι πειρησόμεθα ἀδικέειν. (4) Ἢν μέντοι ἐπίῃ καὶ ἐπὶ τὴν ἡμετέρην ἄρξῃ τε ἀδικέων, καὶ ἡμεῖς οὐ πεισόμεθα. Μέχρι δὲ τοῦτο ἴδωμεν, μενέομεν παρ' ἡμῖν αὐτοῖσι· ἥκειν γὰρ δοκέομεν οὐκ ἐπ' ἡμέας Πέρσας, ἀλλ' ἐπὶ τοὺς αἰτίους τῆς ἀδικίης γενομένους. »

CXX. Ταῦτα ὡς ἀπενειχθέντα ἐπύθοντο οἱ Σκύθαι, ἐβουλεύοντο ἰθυμαχίην μὲν μηδεμίαν ποιέεσθαι ἐκ

eum non recte didicerant Amazones. (2) Quod ad nuptias spectat, hoc apud illos institutum obtinet : nulla virgo viro nubit, quin prius ex hostibus virum quempiam occiderit : suntque apud eos quæ vetulæ moriantur priusquam nupserint, quoniam satisfacere legi non potuerunt.

CXVIII. Ad horum igitur, quos commemoravi, populorum congregatos reges ubi venere Scytharum legati, edocuerunt eos, Persarum regem, postquam in altera continente omnia armis suis subjecisset, ponte in collo Bospori posito in hanc trajecisse continentem; et, subactis Thracibus, Istrum fluvium ponte jungere, hoc consilio ut et hæc omnia suam sub potestatem redigat. « Vos igitur nequaquam, res vestras a nostris rebus separantes, disperdi nos sinite; sed communi consilio obviam eamus invadenti! (2) Id nisi feceritis; nos, ab illis pressi, aut regione excedemus; aut, manentes, deditionem faciemus. Quid enim aliud facere possimus, si vos opem nobis ferre nolueritis? At non idcirco melius vobiscum agetur : venit enim Persa non magis contra nos, quam contra vos; nec nobis subactis contentus, a vobis abstinebit. (3) Magnum vero hujus rei testimonium proferimus : nam, si adversus nos solos arma movisset Persa, ulciscendæ superioris servitutis caussa, oportebat illum ita nostram invadere terram, ut ab aliis populis omnibus abstineret; cunctisque declaraturus erat, adversus Scythas se ducere exercitum, non adversus alios. (4) Nunc vero, ex quo in hanc continentem trajecit, continuo, quoscumque obviam habet, perdomat omnes. Sane quidem quum reliquos suæ potestati subjecit Thracas, tum nostros quoque finitimos Getas. »

CXIX. Hæc quum Scythæ exposuissent, deliberarunt reges qui ex prædictis populis convenerant. Divisæ autem fuerunt eorum sententiæ : nam Gelonus quidem, et Budinus, et Sauromata, idem sentientes, opem ferendam Scythis receperunt; (2) Agathyrsus vero, et Neurus, et Androphagus, et Melanchlænorum Taurorumque reges, hæcce Scythis responderunt : « Nisi vos priores injuria adfecissetis Persas, bellique fecissetis initium, recte utique videremini nobis precari quæ precamini, dicereque quæ dixistis; et nos precibus vestris morem gerentes, eadem (*quæ hi vobis recipiunt*) præstituri vobis eramus. (3) Nunc vero vos, absque nobis, illorum terram invasistis, et imperium in Persas, quamdiu deus vobis permisit, obtinuistis : et illi nunc, ab eodem deo excitati, paria vobis reddunt. At nos neque tunc injuria ulla adfecimus hos viros, neque nunc priores injuria illos lacessere conabimur. (4) Quodsi tamen nostram etiam terram invadere hostis voluerit, et injuriarum fecerit initium, nos quoque ipsi non tolerabimus : donec autem hoc viderimus, domi manebimus; nec enim contra nos venisse Persas existimamus, sed contra eos qui injuriarum fuerunt auctores. »

CXX. Hæc ubi ad se relata Scythæ audiere, decreverunt justam quidem ex aperto pugnam nullam conserere, quo-

τοῦ ἐμφανέος, ὅτι δή σφι οὗτοί γε σύμμαχοι οὐ προσεγένοντο, ὑπεξιόντες δὲ καὶ ὑπεξελαύνοντες τὰ φρέατα, τὰ παρεξίοιεν αὐτοὶ, καὶ τὰς κρήνας συγχοῦν, τὴν ποίην τε ἐκ τῆς γῆς ἐκτρίβειν, διχοῦ σφέας διελόντες. (2) Καὶ πρὸς μὲν τὴν μίαν τῶν μοιρέων, τῆς ἐβασίλευε Σκώπασις, προσχωρέειν Σαυρομάτας· τούτους μὲν δὴ ὑπάγειν, ἢν ἐπὶ τοῦτο τράπηται ὁ Πέρσης, ἰθὺ Τανάϊδος ποταμοῦ παρὰ τὴν Μαιῆτιν λίμνην ὑποφεύγοντας, ἀπελαύνοντός τε τοῦ Πέρσεω ἐπιόντας διώκειν. (3) Αὕτη μέν σφι μία ἦν μοῖρα τῆς βασιληΐης, τεταγμένη ταύτην τὴν ὁδὸν ἥπερ εἴρηται· τὰς δὲ δύο τῶν βασιληΐων, τήν τε μεγάλην τῆς ἦρχε Ἰδάνθυρσος καὶ τὴν τρίτην τῆς ἐβασίλευε Τάξακις, συνελθούσας ἐς τὠυτὸ καὶ Γελωνῶν τε καὶ Βουδίνων προσγενομένων, ἡμέρης καὶ τούτους ὁδῷ προέχοντας τῶν Περσέων ὑπεξάγειν, ὑπιόντας τε καὶ ποιεῦντας τὰ βεβουλευμένα. (4) Πρῶτα μέν νυν ὑπάγειν σφέας ἰθὺ τῶν χωρέων τῶν ἀπειπαμένων τὴν σφετέρην συμμαχίην, ἵνα καὶ τούτους ἐκπολεμώσωσι· εἰ δὲ μὴ ἑκόντες γε ὑπέδυσαν τὸν πόλεμον τὸν πρὸς Πέρσας, ἀλλ' ἀέκοντας ἐκπολεμῶσαι· μετὰ δὲ τοῦτο ὑποστρέφειν ἐς τὴν σφετέρην καὶ ἐπιχειρέειν, ἢν δὴ βουλευομένοισι δοκέῃ.

CXXI. Ταῦτα οἱ Σκύθαι βουλευσάμενοι ὑπηντίαζον τὴν Δαρείου στρατιὴν, προδρόμους ἀποστείλαντες τῶν ἱππέων τοὺς ἀρίστους. Τὰς δὲ ἁμάξας ἐν τῇσί σφι διαιτᾶτο τὰ τέκνα τε καὶ αἱ γυναῖκες πᾶσαι, καὶ τὰ πρόβατα πάντα πλὴν ὅσα σφι ἐς φορβὴν ἱκανὰ ἦν, τοσαῦτα ὑπολιπόμενοι τὰ ἄλλα ἅμα τῇσι ἁμάξῃσι προέπεμψαν, ἐντειλάμενοι αἰεὶ τὸ πρὸς βορέεω ἐλαύνειν. Ταῦτα μὲν δὴ προεκομίζετο.

CXXII. Τῶν δὲ Σκυθέων οἱ πρόδρομοι ὡς εὗρον τοὺς Πέρσας ὅσον τε τριῶν ἡμερέων ὁδὸν ἀπέχοντας ἀπὸ τοῦ Ἴστρου, οὗτοι μὲν τούτους εὑρόντες, ἡμέρης ὁδῷ προέχοντες, ἐστρατοπεδεύοντο τὰ ἐκ τῆς γῆς φυόμενα λεαίνοντες. (2) Οἱ δὲ Πέρσαι ὡς εἶδον ἐπιφανεῖσαν τῶν Σκυθέων τὴν ἵππον, ἐπῄεσαν κατὰ στίβον αἰεὶ ὑπαγόντων· καὶ ἔπειτεν (πρὸς γὰρ τὴν μίαν τῶν μοιρέων ἴθυσαν) οἱ Πέρσαι ἐδίωκον πρὸς ἠῶ τε καὶ τοῦ Τανάϊδος. (3) Διαβάντων δὲ τούτων τὸν Τάναϊν ποταμὸν οἱ Πέρσαι ἐπιδιαβάντες ἐδίωκον, ἐς ὃ τῶν Σαυροματέων τὴν χώρην διεξελθόντες ἀπίκοντο ἐς τὴν τῶν Βουδίνων.

CXXIII. Ὅσον μὲν δὴ χρόνον οἱ Πέρσαι ἤϊσαν διὰ τῆς Σκυθικῆς καὶ τῆς Σαυρομάτιδος χώρης, οἱ δὲ εἶχον οὐδὲν σίνεσθαι ἅτε τῆς χώρης ἐούσης χέρσου· ἐπείτε δὲ ἐς τὴν τῶν Βουδίνων χώρην ἐσέβαλον, ἐνθαῦτα δὴ ἐντυχόντες τῷ ξυλίνῳ τείχεϊ, ἐκλελοιπότων τῶν Βουδίνων καὶ κεκεινωμένου τοῦ τείχεος πάντων, ἐνέπρησαν αὐτό. (2) Τοῦτο δὲ ποιήσαντες εἵποντο αἰεὶ τὸ πρόσω κατὰ στίβον, ἐς ὃ διεξελθόντες ταύτην ἐς τὴν ἐρῆμον ἀπίκοντο. Ἡ δὲ ἐρῆμος αὕτη ὑπ' οὐδαμῶν νέμεται ἀνδρῶν, κέεται δὲ ὑπὲρ τῆς Βουδίνων χώρης ἐοῦσα πλῆθος ἑπτὰ ἡμερέων ὁδοῦ. (3) Ὑπὲρ δὲ τῆς ἐρήμου Θυσσαγέται οἰκέουσι, ποταμοὶ δὲ ἐξ αὐτῶν τέσσερες μεγάλοι

niam hi sibi armorum socii non accederent; sed, recedentes et armenta retro agentes, puteos qua præterirent et fontes obstruere, herbamque e terra natam atterere, bifariam sese partientes. (2) Et alteram quidem harum partium, quam duceret rex Scopasis, junctis Sauromatis, recta versus Tanain fluvium secundum Mæotin paludem, si huc se converteret Persa, debere regredi; et, quando retro duceret rex, illum persequi atque invadere. (3) Hæc igitur una pars Regni [*id est, Regiorum Scytharum*] hac via, qua dixi, collocata erat. Duas autem reliquas Scytharum Regiorum partes, majorem, cui Idanthyrsus imperabat, tertiamque cui præerat rex Taxacis, collectas inter se et junctas cum Gelonis atque Budinis, similiter, unius diei itinere inter se et Persas sectantes interjecto, debere regredi, et ea facere quæ decreta essent. (4) Hos igitur primum recta versus eorum ditionem recipere sese debere, qui societatem ipsis negassent, quo hos etiam bello implicarent; (ut, qui noluissent sponte fortunam belli Persici subire, inviti tamen bella recogerentur:) deinde vero in suam ditionem sese convertere, et adgredi hostem, si deliberantibus ita videretur.

CXXI. His ita deliberatis, Scythæ exercitui Darii obviam sunt progressi, præcursoribus præmissis equitibus præstantissimis. Plaustra vero, in quibus vitam agebant liberi eorum uxoresque omnes, et pecora omnia, præterquam quot ad victum sufficiebant, tot relictis, cætera simul cum plaustris dimiserunt, dato mandato, ut versus septemtrionem continuo agerent. Hæc igitur ita in tuto collocabant.

CXXII. Antecursores Scytharum postquam Persas repererunt tridui itinere ab Istro progressos, unius diei itinere ab illis distantes castra posuerunt; et, quidquid progignit terra, id omne contriverunt. (2) Persæ vero, ut Scytharum equitatum viderunt sibi comparentem, vestigia eorum legentes progressi sunt, quum quidem illi continuo retro cederent. Erant autem hi, contra quos iter suum Persæ dirigebant, una illa Scytharum pars, quam supra commemoravi; itaque eosdem deinde orientem versus, et versus Tanain, sunt persecuti. (3) Et postquam Tanain fluvium hi trajecerunt, Persæ item trajecto fluvio eos sunt persecuti; donec, peragrata Sauromatarum ditione, in Budinorum regionem pervenerunt.

CXXIII. Quamdiu igitur per Scythicam et Sauromatidem terram iter Persæ faciebant; nihil quod vastare possent repererunt, quippe in arida et inculta terra. Postquam vero Budinorum ingressi sunt regionem, ligneam ibi urbem offendentes, a Budinis desertam, et omnibus rebus vacuam, incenderunt. (2) Dum hoc agebant, continuo per tritam viam ulterius progrediebantur, donec in terram prorsus desertam pervenerunt. Situm est autem hoc desertum, a nullis prorsus hominibus habitatum, supra Budinorum regionem, patetque in septem dierum iter. (3) Super eo deserto habitant Thyssagetæ: quorum ex terra quattuor exeunt magna flumina, quæ postquam per Mæotas fluxere,

ῥέοντες διὰ Μαιητέων ἐκδιδοῦσι ἐς τὴν λίμνην τὴν καλευμένην Μαιῆτιν, τοῖσι οὐνόματα κέεται τάδε, Λύκος, Ὄαρος, Τάναϊς, Ὕργις.

CXXIV. Ἐπεὶ ὦν ὁ Δαρεῖος ἦλθε ἐς τὴν ἐρῆμον, παυσάμενος τοῦ δρόμου ἵδρυσε τὴν στρατιὴν ἐπὶ ποταμῷ Ὀάρῳ. Τοῦτο δὲ ποιήσας ὀκτὼ τείχεα ἐτείχεε μεγάλα, ἴσον ἀπ' ἀλλήλων ἀπέχοντα, σταδίους ὡς ἑξήκοντα μάλιστά κη· τῶν ἔτι ἐς ἐμὲ τὰ ἐρείπια σῶα ἦν. (2) Ἐν ᾧ δὲ οὗτος πρὸς ταῦτα ἐτράπετο, οἱ διωκόμενοι Σκύθαι περιελθόντες τὰ κατύπερθε ὑπέστρεφον ἐς τὴν Σκυθικήν. (3) Ἀφανισθέντων δὲ τούτων τὸ παράπαν, ὡς οὐκέτι ἐφαντάζοντό σφι, οὕτω δὴ ὁ Δαρεῖος τείχεα μὲν ἐκεῖνα ἡμίεργα μετῆκε, αὐτὸς δὲ ὑποστρέψας ἤϊε πρὸς ἑσπέρην, δοκέων τούτους τε πάντας τοὺς Σκύθας εἶναι καὶ πρὸς ἑσπέρην σφέας φεύγειν.

CXXV. Ἐλαύνων δὲ τὴν ταχίστην τὸν στρατὸν ὡς ἐς τὴν Σκυθικὴν ἀπίκετο, ἐνέκυρσε ἀμφοτέρῃσι τῇσι μοίρῃσι τῶν Σκυθέων, ἐντυχὼν δὲ ἐδίωκε ὑπεκφέροντας ἡμέρης ὁδῷ. (2) Καὶ οὐ γὰρ ἀνίει ἐπιὼν ὁ Δαρεῖος, οἱ Σκύθαι κατὰ τὰ βεβουλευμένα ὑπέφευγον ἐς τῶν ἀπειπαμένων τὴν σφετέρην συμμαχίην, πρώτην δὲ ἐς τῶν Μελαγχλαίνων τὴν γῆν. (3) Ὡς δὲ ἐσβαλόντες τούτους ἐτάραξαν οἵ τε Σκύθαι καὶ οἱ Πέρσαι, κατηγέοντο οἱ Σκύθαι ἐς τῶν Ἀνδροφάγων τοὺς χώρους. Ταραχθέντων δὲ καὶ τούτων ὑπῆγον ἐπὶ τὴν Νευρίδα. Ταρασσομένων δὲ καὶ τούτων ἦϊσαν ὑποφεύγοντες οἱ Σκύθαι ἐς τοὺς Ἀγαθύρσους. (4) Ἀγάθυρσοι δὲ ὁρέοντες καὶ τοὺς ὁμούρους φεύγοντας ὑπὸ Σκυθέων καὶ τεταραγμένους, πρὶν ἢ σφι ἐμβαλέειν τοὺς Σκύθας πέμψαντες κήρυκα ἀπηγόρευον Σκύθῃσι μὴ ἐπιβαίνειν τῶν σφετέρων οὔρων, προλέγοντες ὡς εἰ πειρήσονται ἐσβαλόντες, σφίσι πρῶτα διαμαχέσονται. (5) Ἀγάθυρσοι μὲν προείπαντες ταῦτα ἐβώθεον ἐπὶ τοὺς οὔρους, ἐρύκειν ἐν νῷ ἔχοντες τοὺς ἐπιόντας· Μελάγχλαινοι δὲ καὶ Ἀνδροφάγοι καὶ Νευροὶ ἐσβαλόντων τῶν Περσέων ἅμα Σκύθῃσι οὔτε πρὸς ἀλκὴν ἐτράποντο, ἐπιλαθόμενοί τε τῆς ἀπειλῆς ἔφευγον αἰεὶ τὸ πρὸς βορέεω ἐς τὴν ἐρῆμον τεταραγμένοι. (6) Οἱ δὲ Σκύθαι ἐς μὲν τοὺς Ἀγαθύρσους οὐκέτι ἀπείπαντας ἀπικνέοντο· οἱ δὲ ἐκ τῆς Νευρίδος χώρης ἐς τὴν σφετέρην κατηγέοντο τοῖσι Πέρσῃσι.

CXXVI. Ὡς δὲ πολλὸν τοῦτο ἐγίνετο καὶ οὐκ ἐπαύετο, πέμψας Δαρεῖος ἱππέα παρὰ τὸν Σκυθέων βασιλέα Ἰδάνθυρσον ἔλεγε τάδε, « δαιμόνιε ἀνδρῶν, τί φεύγεις αἰεί, ἐξὸν τοι τῶνδε τὰ ἕτερα ποιέειν; εἰ μὲν γὰρ ἀξιόχρεος δοκέεις εἶναι σεωυτῷ τοῖσι ἐμοῖσι πρήγμασι ἀντιωθῆναι, σὺ δὲ στάς τε καὶ παυσάμενος πλάνης μάχεσθαι· εἰ δὲ συγγινώσκεαι εἶναι ἔσσων, σὺ δὲ καὶ οὕτω παυσάμενος τοῦ δρόμου δεσπότῃ τῷ σῷ δῶρα φέρων γῆν τε καὶ ὕδωρ ἔλθὲ ἐς λόγους. »

CXXVII. Πρὸς ταῦτα ὁ Σκυθέων βασιλεὺς Ἰδάνθυρσος ἔλεγε τάδε, « οὕτω τὸ ἐμὸν ἔχει, ὦ Πέρσα. Ἐγὼ οὐδένα κω ἀνθρώπων δείσας ἔφυγον οὔτε πρότερον οὔτε νῦν σὲ φεύγω· οὐδέ τι νεώτερόν εἰμι ποιήσας νῦν

in Mæotin paludem, quæ vocatur, sese exonerant : nomina his fluminibus imposita sunt Lycus, Oarus, Tanais, Hyrgis.

CXXIV. Darius, postquam in desertum pervenit, omisso cursu, ad flumen Oarum stativa habuit : ac per id tempus octo magna castella munivit, paribus intervallis a se invicem distantia, sexaginta circiter stadia; quorum mea etiam nunc ætate superfuerunt ruinæ. (2) Dum ille in his erat occupatus, interim Scythæ, quos erat persecutus, circumitis locis superioribus, in Scythiam sunt reversi. (3) Qui quum prorsus ex conspectu essent remoti, nec usquam amplius comparerent, ita Darius, castellis illis imperfectis relictis, retrogressus est, itinere ad occidentem converso. Putabat enim, hos esse universos Scythas, et occidentem versus profugere.

CXXV. Magnis itineribus cum exercitu profectus Darius, ut in Scythicam terram pervenit, incidit in junctas duas alteras Scytharum partes : quas ibi nactus, persecutus est ita, ut illi, sese recipientes, semper unius diei itinere ipsum antecederent. (2) Quumque instare eis Darius non intermitteret, Scythæ, ut initio decreverant, in illorum regum ditionem se receperunt, qui armorum societatem illis negaverant; et primum quidem in Melanchlænorum terram. (3) Quos quum tumultu replessent et Scythæ et Persæ, terram illorum ingressi; mox in Androphagorum regionem Scythæ illis præiverunt : et horum quoque rebus perturbatis, in Neuridem terram se receperunt : denique, his etiam concussis, Agathyrsos Scythæ subterfugientes petivere. (4) Agathyrsi, finitimos fugere videntes et exagitatos a Scythis, præcone misso, priusquam suam ditionem Scythæ invaderent, edixerunt illis, intra fines suos ne pedem ponerent : prædixeruntque, si invadere conarentur, secum prius fore armis decertandum. (5) His per præconem prædictis, Agathyrsi ad fines suæ ditionis præsto fuerunt, constitutum habentes prohibere invadentes. Melanchlæni vero et Androphagi et Neuri, Persis simul cum Scythis irrumpentibus, ne fortuna quidem armorum tentata, obliti minarum, continuo ulterius septemtrionem versus in desertum territi turbatique profugerant. (6) Scythæ vero, ab Agathyrsis prohibiti, horum ditionem jam non sunt ingresssi, sed ex Neuride terra in suam Persis præiverunt.

CXXVI. Ita quum tempus extraheretur, neque finis ullus adpareret, Darius, misso ad Idanthyrsum Scytharum regem equite, hæc ei dixit : « Male feriate homo, cur fugis semper, quum tibi liceat duorum utrum libuerit facere? quodsi enim satis virium tibi videris habere ad resistendum meis rebus, siste gradum, et desinens vagari pugnam committe : sin tibi conscius es esse inferior, etiam sic vagari desine; et domino tuo dona ferens terram et aquam, in colloquium veni. »

CXXVII. Ad hæc Scytharum rex Idanthyrsus hæc respondit : « Ita mihi res habet, Persa : equidem nullum umquam hominem metuens fugi, neque ante hoc tempus, nec nunc te fugio. Neque nunc novum quidpiam

ἢ καὶ ἐν εἰρήνῃ ἐώθεα ποιέειν. (2) Ὅ τι δὲ οὐκ αὐτίκα μάχομαί τοι, ἐγὼ καὶ τοῦτο σημανέω· ἡμῖν οὔτε ἄστεα οὔτε γῆ πεφυτευμένη ἐστί, τῶν πέρι δείσαντες μὴ ἁλῷ ἢ καρπὴ ταχύτερον συμμίσγοιμεν ἂν ἐς μάχην ὑμῖν. Εἰ δὲ δέοι πάντως ἐς τοῦτο κατὰ τάχος ἀπικνέεσθαι, τυγχάνουσι ἡμῖν ἐόντες τάφοι πατρώιοι. (3) Φέρετε, τούτους ἀνευρόντες συγχέειν πειρᾶσθε αὐτούς, καὶ γνώσεσθε τότε εἴτε ὑμῖν μαχεσόμεθα περὶ τῶν τάφων εἴτε καὶ οὐ μαχεσόμεθα. Πρότερον δὲ, ἢν μὴ ἡμέας λόγος αἱρέῃ, οὐ συμμίξομέν τοι. (4) Ἀμφὶ μὲν μάχῃ τοσαῦτα εἰρήσθω, δεσπότας δὲ ἐμοὺς ἐγὼ Δία τε νομίζω τὸν ἐμὸν πρόγονον καὶ Ἱστίην τὴν Σκυθέων βασιλειαν μούνους εἶναι. Σοὶ δὲ ἀντὶ μὲν δώρων γῆς τε καὶ ὕδατος δῶρα πέμψω τοιαῦτα οἷά σοι πρέπει ἐλθεῖν, ἀντὶ δὲ τοῦ ὅτι δεσπότης ἔφησας εἶναι ἐμὸς, κλαίειν λέγω. » Τοῦτό ἐστι ἡ ἀπὸ Σκυθέων ῥῆσις. Ὁ μὲν δὴ κῆρυξ οἰχώκεε ἀγγελέων ταῦτα Δαρείῳ.

CXXVIII. Οἱ δὲ Σκυθέων βασιλέες ἀκούσαντες τῆς δουλοσύνης τὸ οὔνομα ὀργῆς ἐπλήσθησαν. Τὴν μὲν δὴ μετὰ Σαυροματέων μοῖραν ταχθεῖσαν, τῆς ἦρχε Σκώπασις, πέμπουσι Ἴωσι κελεύοντες ἐς λόγους ἀπικέσθαι, τούτοισι οἱ τὸν Ἴστρον ἐζευγμένον ἐφρούρεον· αὐτῶν δὲ τοῖσι ὑπολειπομένοισι ἔδοξε πλανᾶν μὲν μηκέτι Πέρσας, σῖτα δὲ ἑκάστοτε ἀναιρεομένοισι ἐπιτίθεσθαι. (2) Νωμέοντες ὦν σῖτα ἀναιρεομένους τοὺς Δαρείου ἐποίευν τὰ βεβουλευμένα. Ἡ μὲν δὴ ἵππος τὴν ἵππον αἰεὶ τράπεσκε ἡ τῶν Σκυθέων, οἱ δὲ τῶν Περσέων ἱππόται φεύγοντες ἐσέπιπτον ἐς τὸν πεζὸν, ὁ δὲ πεζὸς ἂν ἐπεκούρεε· (3) οἱ δὲ Σκύθαι ἐσαράξαντες τὴν ἵππον ὑπέστρεφον, τὸν πεζὸν φοβεόμενοι. Ἐποιεῦντο δὲ καὶ τὰς νύκτας παραπλησίας προσβολὰς οἱ Σκύθαι.

CXXIX. Τὸ δὲ τοῖσι Πέρσῃσί τε ἦν σύμμαχον καὶ τοῖσι Σκύθῃσι ἀντίζοον ἐπιτιθεμένοισι τῷ Δαρείου στρατοπέδῳ, θῶμα μέγιστον ἐρέω, τῶν τε ὄνων ἡ φωνὴ καὶ τῶν ἡμιόνων τὸ εἶδος. (2) Οὔτε γὰρ ὄνον οὔτε ἡμίονον γῆ ἡ Σκυθικὴ φέρει, ὡς καὶ πρότερόν μοι δεδήλωται· οὐδὲ ἔστι ἐν τῇ Σκυθικῇ πάσῃ χώρῃ τὸ παράπαν οὔτε ὄνος οὔτε ἡμίονος διὰ τὰ ψύχεα. (3) Ὑβρίζοντες ὦν οἱ ὄνοι ἐτάρασσον τὴν ἵππον τῶν Σκυθέων. Πολλάκις δὲ ἐπελαυνόντων ἐπὶ τοὺς Πέρσας μεταξὺ ὄκως ἀκούσειαν οἱ ἵπποι τῶν ὄνων τῆς φωνῆς, ἐταράσσοντό τε ὑποστρεφόμενοι καὶ ἐν θώματι ἔσχον, ὀρθὰ ἱστάντες τὰ ὦτα, ἅτε οὔτε ἀκούσαντες πρότερον φωνῆς τοιαύτης οὔτε ἰδόντες τὸ εἶδος. Ταῦτά μέν νυν ἐπὶ σμικρόν τι ἐφέροντο τοῦ πολέμου.

CXXX. Οἱ δὲ Σκύθαι ὄκως τοὺς Πέρσας ἴδοιεν τεθορυβημένους, ἵνα παραμένοιέν τε ἐπὶ πλέω χρόνον ἐν τῇ Σκυθικῇ καὶ παραμένοντες ἀνιῶατο τῶν πάντων ἐπιδεέες ἐόντες, ἐποίευν τοιάδε. (2) Ὄκως τῶν προβάτων τῶν σφετέρων αὐτῶν καταλίποιεν μετὰ τῶν νομέων, αὐτοὶ ἂν ὑπεξήλαυνον ἐς ἄλλον χῶρον· οἱ δὲ ἂν Πέρσαι ἐπελθόντες λάβεσκον τὰ πρόβατα, καὶ λαβόντες ἐπῄροντο ἂν τῷ πεποιημένῳ.

facio, aut aliud, quam quod in pace facere adsuevi. (2) Quid sit vero quod non continuo pugnam tecum committam, id quoque tibi declarabo. Neque oppida sunt nobis, nec culta arva, quibus metuentes ne capiantur aut vastentur, properemus pugnam vobiscum conserere. Sin cupis quamprimum eo venire; sunt nobis patria sepulcra : (3) agite, hæc indagate, et reperta disturbare tentate; tunc cognoscetis, utrum pro sepulcris pugnaturi simus vobiscum, an non pugnaturi. Prius vero, quam nobis ratio suaserit, pugnam tecum non conseremus. (4) Et hæc quidem de pugna dicta sunto. Dominos autem meos solos duco esse Jovem, meum progenitorem, et Vestam, Scytharum reginam. Tibi autem, loco terræ et aquæ quæ tu dona postulas, ea dona mittam quæ ad te mitti decet : pro eo vero, quod dominum te meum esse dixisti, in malam rem te jubeo abire. » (Hoc est, quod vulgo dicunt, Scythicum dictum.) Istud igitur responsum præco ad Darium retulit.

CXXVIII. Reges vero Scytharum, audito servitutis nomine, iram non tenuere. Igitur illud suorum agmen, cui juncti Sauromatæ erant, quod sub Scopasis erat imperio, ad Istrum mittunt, dato mandato ut Ionibus in colloquium veniant, illis qui pontem in Istro positum custodiebant. Eis vero qui relinquebantur placuit, non amplius circumducere Persas; sed, quoties cibum caperent, de improviso in eos impetum facere. (2) Observantes igitur illos cibum capientes, quæ decreverant, exsequebantur. Et equitatum quidem constanter in fugam vertebat Scytharum equitatus; et Persarum equites fuga in pedites incidebant. Tum vero suppetias veniebat peditatus : (3) et Scythæ, postquam equites hostium in pedites rejecerant, recedebant, peditatum metuentes. Similes vero impressiones noctu etiam Scythæ faciebant.

CXXIX. Erat tunc Persis utilis, Scythis vero inimica, Darii castra adgredientibus, res dictu mira admodum; nimirum vox asinorum, et mulorum species. (2) Etenim nec asinum nec mulum fert Scythica terra, quemamodum supra etiam demonstratum a me est : neque est omnino in universa Scythica regione aut asinus aut mulus, propter frigora. (3) Igitur lascivientes asini territabant equitatum Scytharum : sæpeque, dum in Persas impetum faciebant Scythæ, equi audientes interim vocem asinorum, consternati avertebantur, et mirabundi erigebant aures, ut qui numquam antea vel vocem talem audivissent, vel speciem vidissent. Atque hoc, leve quidem, sed aliquid tamen ad belli successum Persæ adepti sunt.

CXXX. Scythæ quum subinde magnos motus fieri in castris Persarum [*veluti reditum parantium*] observarent; quo illi diutius in Scythia manerent, ibique manentes penuria rerum omnium premerentur, hocce fecerunt. (2) De pecoribus suis idemtidem nonnulla cum pastoribus relinquebant, et ipsi se retro in alium locum paulisper recipiebant. Tum Persæ, impetu facto, capiebant pecora, et præda facta exsultabant.

CXXXI. Πολλάκις δὲ τοιούτου γινομένου, τέλος Δαρεῖός τε ἐν ἀπορίῃσι εἴχετο, καὶ οἱ Σκυθέων βασιλέες μαθόντες τοῦτο ἔπεμπον κήρυκα δῶρα Δαρείῳ φέροντα ὄρνιθά τε καὶ μῦν καὶ βάθρακον καὶ ὀϊστοὺς πέντε. (2) Πέρσαι δὲ τὸν φέροντα τὰ δῶρα ἐπειρώτεον τὸν νόον τῶν διδομένων· ὁ δὲ οὐδὲν ἔφη οἱ ἐπεστάλθαι ἄλλο ἢ δόντα τὴν ταχίστην ἀπαλλάσσεσθαι· αὐτοὺς δὲ τοὺς Πέρσας ἐκέλευε, εἰ σοφοί εἰσι, γνῶναι τὸ ἐθέλει τὰ δῶρα λέγειν. Ταῦτα ἀκούσαντες οἱ Πέρσαι ἐβουλεύοντο.

CXXXII. Δαρείου μέν νυν ἡ γνώμη ἦν Σκύθας ἑωυτῷ διδόναι σφέας τε αὐτοὺς καὶ γῆν τε καὶ ὕδωρ, εἰκάζων τῇδε, ὡς μῦς μὲν ἐν γῇ γίνεται καρπὸν τὸν αὐτὸν ἀνθρώπῳ σιτεόμενος, βάθρακος δὲ ἐν ὕδατι, ὄρνις δὲ μάλιστα οἶκε ἵππῳ, τοὺς δὲ ὀϊστοὺς ὡς τὴν ἑωυτῶν ἀλκὴν παραδιδοῦσι. (2) Αὕτη μὲν Δαρείῳ ἡ γνώμη ἀπεδέδεκτο, συνεστήκεε δὲ ταύτῃ τῇ γνώμῃ ἡ Γωβρύεω, τῶν ἀνδρῶν τῶν ἑπτὰ ἑνὸς τῶν τὸν μάγον κατελόντων, εἰκάζοντος τὰ δῶρα λέγειν « ἢν μὴ ὄρνιθες γενόμενοι ἀναπτῆσθε ἐς τὸν οὐρανόν, ὦ Πέρσαι, ἢ μύες γενόμενοι κατὰ τῆς γῆς καταδύητε, ἢ βάθρακοι γενόμενοι ἐς τὰς λίμνας ἐσπηδήσητε, οὐκ ἀπονοστήσετε ὀπίσω ὑπὸ τῶνδε τῶν τοξευμάτων βαλλόμενοι. »

CXXXIII. Πέρσαι μὲν δὴ οὕτω τὰ δῶρα εἰκαζον· ἡ δὲ Σκυθέων μία μοῖρα ἡ ταχθεῖσα πρότερον μὲν παρὰ τὴν Μαιῆτιν λίμνην φρουρέειν, τότε δὲ ἐπὶ τὸν Ἴστρον Ἴωσι ἐς λόγους ἐλθεῖν, ὡς ἀπίκετο ἐπὶ τὴν γέφυραν, ἔλεγε τάδε, « ἄνδρες Ἴωνες, ἐλευθερίην ὑμῖν ἥκομεν φέροντες, ἢν πέρ γε ἐθέλητε ἐσακούειν. (2) Πυνθανόμεθα γὰρ Δαρεῖον ἐντείλασθαι ὑμῖν ἑξήκοντα ἡμέρας μούνας φρουρήσαντας τὴν γέφυραν, αὐτοῦ μὴ παραγενομένου ἐν τούτῳ τῷ χρόνῳ ἀπαλλάσσεσθαι ἐς τὴν ὑμετέρην. (3) Νῦν ὦν ὑμεῖς τάδε ποιεῦντες ἐκτὸς μὲν ἔσεσθε πρὸς ἐκείνου αἰτίης, ἐκτὸς δὲ πρὸς ἡμέων· τὰς προκειμένας ἡμέρας παραμείναντες τὸ ἀπὸ τούτου ἀπαλλάσσεσθε. » Οὗτοι μέν νυν ὑποδεξαμένων Ἰώνων ποιήσειν ταῦτα ὀπίσω τὴν ταχίστην ἠπείγοντο.

CXXXIV. Πέρσῃσι δὲ μετὰ τὰ δῶρα τὰ ἐλθόντα Δαρείῳ ἀντετάχθησαν οἱ ὑπολειφθέντες Σκύθαι πεζῷ καὶ ἵπποισι ὡς συμβαλέοντες. Τεταγμένοισι δὲ τοῖσι Σκύθῃσι λαγὸς ἐς τὸ μέσον διήϊξε. τῶν δὲ ὡς ἕκαστοι ὥρεον τὸν λαγὸν ἐδίωκον. (2) Ταραχθέντων δὲ τῶν Σκυθέων καὶ βοῇ χρεωμένων, εἴρετο ὁ Δαρεῖος τῶν ἀντιπολέμων τὸν θόρυβον· πυθόμενος δέ σφεας τὸν λαγὸν διώκοντας, εἶπε ἄρα πρὸς τούς περ ἐώθεε καὶ τὰ ἄλλα λέγειν, « οὗτοι ὦνδρες ἡμέων πολλὸν καταφρονέουσι, καί μοι νῦν φαίνεται Γωβρύης εἶπαι περὶ τῶν Σκυθικῶν δώρων ὀρθῶς. (3) Ὡς ὦν οὕτω ἤδη δοκεόντων καὶ αὐτῷ μοι ἔχειν, βουλῆς ἀγαθῆς δεῖ, ὅκως ἀσφαλέως ἡ κομιδὴ ἡμῖν ἔσται τὸ ὀπίσω. » Πρὸς ταῦτα Γωβρύης εἶπε, « ὦ βασιλεῦ, ἐγὼ σχεδὸν μὲν καὶ λόγῳ ἠπιστάμην τούτων τῶν ἀνδρῶν τὴν ἀπορίην, ἐλθὼν δὲ μᾶλλον ἐξέμαθον, ὁρέων αὐτοὺς ἐμπαίζοντας ἡμῖν. (4) Νῦν ὦν μοι δοκέει, ἐπεὰν τάχιστα νὺξ ἐπέλθῃ, ἐκκαύσαντας τὰ πυρὰ ὡς καὶ ἄλλοτε ἐώθαμεν ποιέειν, τῶν

CXXXI. Id quum sæpius fieret, ad extremum Darius, quid consilii caperet, incertus hærebat. Quod ubi animadverterunt Scytharum reges, præconem ad eum miserunt dona ferentem, avem et murem et ranam et quinque sagittas. (2) Hæc adferentem dona interrogarunt Persæ, quænam esset mens datorum; et ille respondit, nihil aliud sibi mandatum fuisse, nisi ut his datis quamprimum abiret : ipsos autem Persas, si sapientes essent, cognoscere jussit, quidnam ista dona significarent. Quo audito responso, consultabant inter se Persæ.

CXXXII. Et Darii quidem sententia erat, Scythas sese et terram et aquam ipsi tradere : id quod inde colligebat, quod mus in terra viveret, eodem fructu atque homo vescens, rana vero in aqua viveret, avis autem similis admodum esset equo; denique tela illos tradere, tamquam suam fortitudinem. (2) Hanc Darius sententiam dixerat. Cui opposita erat Gobryæ sententia, unius e septem viris qui Magum oppresserant. Is conjectabat, dona illa hæc significare : « Nisi aves facti, o Persæ, in cœlum evolaveritis, aut in mures conversi subeatis terram, aut ut ranæ in paludes insilieritis, salvi hinc non revertemini, hisce sagittis confixi. »

CXXXIII. In hunc igitur modum dona illa Persæ interpretabantur. Interim una illa Scytharum pars, cui antea mandatum fuerat, ut ad Mæotidem paludem custodiam agerent, tum vero, ut Ionibus ad Istrum in colloquium venirent, ubi ad pontem pervenere, hæc ad eos verba fecerunt : « Viri Iones, venimus libertatem vobis adferentes, si quidem audire nos volueritis. (2) Cognovimus enim, mandasse vobis Darium, nonnisi sexaginta dies custodire pontem, hisque elapsis, si intra id tempus ille non adfuerit, in patriam vestram abire. (3) Nunc igitur, si hoc quod vobis edicimus feceritis, extra culpam et apud illum eritis, et apud nos : ad constitutum diem manete, eoque elapso discedite. » Hæc quum se facturos Iones esse polliciti, ocyus illi retro se proripuerunt.

CXXXIV. Reliqui Scythæ, postquam dona, quæ diximus, ad Darium miserant, instructis peditibus equitibusque in aciem sunt progressi, tamquam prælium commissuri. Quibus jam in acie stantibus, quum forte lepus in medium prosiluisset, ut quisque leporem conspexit, ita eum persequi cœpit. (2) Turbatis itaque illorum ordinibus, et orto clamore, caussam Darius quæsivit hujus tumultus, qui apud hostes ortus esset. Quos ubi comperit leporem persequi, dixit ad hos cum quibus et alias communicare sermones consueverat : « Nimium nos hi viri contemnunt : ac mihi nunc plane videtur, de Scythicis donis recte Gobryas judicasse. (3) Quoniam igitur me quoque judice hæc ita se habent, bono consilio opus est, quo tutus nobis hinc sit receptus. » Ad hæc Gobryas : « Rex, inquit, mihi quidem satis etiam auditu cognita erat horum hominum paupertas : nunc vero, postquam in eorum terram adveni, magis etiam cognovi, videns quo pacto nos ludibrio habeant. (4) Itaque mihi sic faciendum videtur : quamprimum nox aderit,

στρατιωτέων τοὺς ἀσθενεστάτους ἐς τὰς ταλαιπωρίας ἐξαπατήσαντας καὶ τοὺς ὄνους πάντας καταδήσαντας ἀπαλλάσσεσθαι, πρὶν ἢ καὶ ἐπὶ τὸν Ἴστρον ἰοῦσαι Σκύθας λύσοντας τὴν γέφυραν, ἢ καί τι Ἴωσι δόξαι τὸ ἡμέας οἷόν τε ἔσται ἐξεργάσασθαι. » Γωβρύης μὲν ταῦτα συνεβούλευε.

CXXXV. Μετὰ δὲ νύξ τε ἐγένετο καὶ Δαρεῖος ἐχρᾶτο τῇ γνώμῃ ταύτῃ· τοὺς μὲν καματηροὺς τῶν ἀνδρῶν, καὶ τῶν ἦν ἐλάχιστος ἀπολλυμένων λόγος, καὶ τοὺς ὄνους πάντας καταδήσας κατέλιπε αὐτοῦ ταύτῃ ἐν τῷ στρατοπέδῳ. (2) Κατέλιπε δὲ τούς τε ὄνους καὶ τοὺς ἀσθενέας τῆς στρατιῆς τῶνδε εἵνεκεν, ἵνα οἱ μὲν ὄνοι βοὴν παρέχωνται· οἱ δὲ ἄνθρωποι ἀσθενείης μὲν εἵνεκεν κατελείποντο, προφάσιος δὲ τῆσδε δηλαδή, ὡς αὐτὸς μὲν σὺν τῷ καθαρῷ τοῦ στρατοῦ ἐπιθήσεσθαι μέλλοι τοῖσι Σκύθῃσι, οὗτοι δὲ τὸ στρατόπεδον τοῦτον τὸν χρόνον ῥυοίατο. (3) Ταῦτα τοῖσι ὑπολειπομένοισι ὑποθέμενος ὁ Δαρεῖος καὶ πυρὰ ἐκκαύσας τὴν ταχίστην ἠπείγετο ἐπὶ τὸν Ἴστρον. Οἱ δὲ ὄνοι ἐρημωθέντες τοῦ ὁμίλου οὕτω μὲν δὴ μᾶλλον πολλῷ ἔσαν τῆς φωνῆς· ἀκούσαντες δὲ οἱ Σκύθαι τῶν ὄνων πάγχυ κατὰ χώρην ἤλπιζον τοὺς Πέρσας εἶναι.

CXXXVI. Ἡμέρης δὲ γενομένης γνόντες οἱ ὑπολειφθέντες ὡς προδεδομένοι εἶεν ὑπὸ Δαρείου, χεῖράς τε προετείνοντο τοῖσι Σκύθῃσι καὶ ἔλεγον τὰ κατήκοντα· οἱ δὲ ὡς ἤκουσαν ταῦτα, τὴν ταχίστην συστραφέντες, αἵ τε δύο μοῖραι τῶν Σκυθέων καὶ ἡ μετὰ Σαυροματέων καὶ Βουδίνοι καὶ Γελωνοί, ἐδίωκον τοὺς Πέρσας ἰθὺ τοῦ Ἴστρου. (2) Ἅτε δὲ τοῦ Περσικοῦ μὲν τοῦ πολλοῦ ἐόντος πεζοῦ στρατοῦ, καὶ τὰς ὁδοὺς οὐκ ἐπισταμένου ὥστε οὐ τετμημένων τῶν ὁδῶν, τοῦ δὲ Σκυθικοῦ ἱππότεω καὶ τὰ σύντομα τῆς ὁδοῦ ἐπισταμένου, ἁμαρτόντες ἀλλήλων, ἔφθησαν πολλῷ οἱ Σκύθαι τοὺς Πέρσας ἐπὶ τὴν γέφυραν ἀπικόμενοι. (3) Μαθόντες δὲ τοὺς Πέρσας οὐκω ἀπιγμένους ἔλεγον πρὸς τοὺς Ἴωνας ἐόντας ἐν τῇσι νηυσί, « ἄνδρες Ἴωνες, αἵ τε ἡμέραι ὑμῖν τοῦ ἀριθμοῦ διοιχέαται, καὶ οὐ ποιέετε δίκαια ἔτι παραμένοντες. (4) Ἀλλ' ἐπεὶ πρότερον δειμαίνοντες ἐμένετε, νῦν λύσαντες τὸν πόρον τὴν ταχίστην ἅπιτε χαίροντες ἐλεύθεροι, θεοῖσί τε καὶ Σκύθῃσι εἰδότες χάριν. Τὸν δὲ πρότερον ἐόντα ὑμέων δεσπότην ἡμεῖς παραστησόμεθα οὕτω ὥστε ἐπὶ μηδαμοὺς ἔτι ἀνθρώπους αὐτὸν στρατεύσασθαι. »

CXXXVII. Πρὸς ταῦτα οἱ Ἴωνες ἐβουλεύοντο. Μιλτιάδεω μὲν τοῦ Ἀθηναίου, στρατηγέοντος καὶ τυραννεύοντος Χερσονησιτέων τῶν ἐν Ἑλλησπόντῳ, ἦν γνώμη πείθεσθαι Σκύθῃσι καὶ ἐλευθεροῦν Ἰωνίην, Ἱστιαίου δὲ τοῦ Μιλησίου ἐναντίη ταύτῃ, λέγοντος ὡς νῦν μὲν διὰ Δαρεῖον ἕκαστος αὐτῶν τυραννεύει πόλιος, τῆς Δαρείου δὲ δυνάμιος καταιρεθείσης οὔτε αὐτὸς Μιλησίων οἷός τε ἔσεσθαι ἄρχειν οὔτε ἄλλον οὐδένα οὐδαμῶν· βουλήσεσθαι γὰο ἑκάστην τῶν πολίων δημοκρατέεσθαι μᾶλλον ἢ τυραννεύεσθαι. (2) Ἱστιαίου δὲ γνώμην ταύτην ἀποδεικνυμένου αὐτίκα πάντες ἔσαν

incensis ignibus sicut alias facere consuevimus, deceptis eis ex militibus qui ad tolerandos labores nimis infirmi sunt, et adligatis asinis omnibus, hinc abeundum, priusquam aut Scythæ ad Istrum pergant pontem rescissuri, aut Iones etiam consilium aliquod, quod nos perdat, capiant. » Hæc Gobryas suasit.

CXXXV. Deinde, ut nox adfuit, eo consilio Darius usus est. Morbosos ex militibus, et quorum jacturam minimi faciebat, asinos item omnes religatos, in castris quo loco erant reliquit. (2) Reliquit autem et asinos et infirmos milites hac caussa, ut asini clamorem tollerent : homines autem, infirmitatis quidem caussa relinquebantur; sed species nempe prætendebatur, regem cum flore exercitus de improviso adgressurum esse Scythas, et hos interim debere castra tueri. (3) Hoc postquam iis qui relinquebantur significaverat Darius, incensis ignibus, quamprimum ad Istrum redire properavit. Tum vero asini, procul a cœtu cui adsueverant relicti, multo tumultuosiorem etiam ruditum edebant; asinos autem audientes Scythæ prorsus existimarunt, suo loco mansisse Persas.

CXXXVI. Orta luce, qui relicti erant, proditos se esse intelligentes a Dario, manus ad Scythas tendebant, ea quæ par erat dicentes. Quibus illi auditis, propere collectis copiis omnibus, et duo illa quæ diximus juncta Scytharum agmina, et unum tertium cum Sauromatis, et Budini et Geloni, simul omnes persecuti sunt Persas, recta versus Istrum directo itinere. (2) At, quum major pars Persici exercitus pedestris esset, nec itinerum esset peritus, utpote viis non tritis, Scythicus autem exercitus esset equestris, et compendiorum itineris gnarus; accidit, ut a se invicem aberrarent, et multo prius Scythæ, quam Persæ, ad pontem pervenirent. (3) Qui ubi cognoverunt, nondum advenisse Persas, Ionibus, qui in navibus erant, hæcce dixere : « Viri Iones, dierum numerus vobis præteriit : itaque male facitis, quod adhuc manetis. (4) At, quoniam huc usque metu mansistis, nunc quidem solvite pontem, et ocyus abite, recuperata libertate gaudentes, et diis atque Scythis habentes gratiam. Cum illo autem, qui adhuc vester fuit dominus, ita nos agemus, ut adversus nullum populum posthac arma sit moturus. »

CXXXVII. Super his itaque deliberarunt Iones. Et Miltiadis quidem Atheniensis, qui dux et tyrannus erat Chersonesitarum ad Hellespontum, hæc erat sententia, parerent Scythis, et Ioniam liberarent. Cui opposita erat Histiæi sententia Milesii, dicentis, nunc quidem unumquemque ipsorum in sua civitate regnare; Darii vero eversa potentia, nec se Mileti, neque alium quemquam ullius civitatis imperium porro posse obtinere : fore enim ut quæque civitas populari uti imperio malit, quam uni parere. (2) Hanc sententiam postquam Histiæus dixit, protinus

τετραμμένοι πρὸς ταύτην τὴν γνώμην, πρότερον τὴν Μιλτιάδεω αἱρεόμενοι.

CXXXVIII. Ἔσαν δὲ οὗτοι οἱ διαφέροντές τε τὴν ψῆφον καὶ ἐόντες λόγου πρὸς βασιλέος, Ἑλλησποντίων μὲν τύραννοι Δάφνις τε Ἀβυδηνὸς καὶ Ἱπποκλος Λαμψακηνὸς καὶ Ἡρόφαντος Παριηνὸς καὶ Μητρόδωρος Προκοννήσιος καὶ Ἀρισταγόρης Κυζικηνὸς καὶ Ἀρίστων Βυζάντιος· (2) οὗτοι μὲν οἱ ἐξ Ἑλλησπόντου, ἀπ' Ἰωνίης δὲ Στράττις τε Χῖος καὶ Αἰάκης Σάμιος καὶ Λαοδάμας Φωκαιεὺς καὶ Ἱστιαῖος Μιλήσιος, τοῦ ἦν γνώμη ἡ προκειμένη ἐναντίη τῇ Μιλτιάδεω. Αἰολέων δὲ παρῆν λόγιμος μοῦνος Ἀρισταγόρης Κυμαῖος.

CXXXIX. Οὗτοι ὦν ἐπείτε τὴν Ἱστιαίου αἱρέοντο γνώμην, ἔδοξέ σφι πρὸς ταύτῃ τάδε ἔργα τε καὶ ἔπεα προσθεῖναι, τῆς μὲν γεφύρης λύειν τὰ κατὰ τοὺς Σκύθας ἐόντα, λύειν δὲ ὅσον τόξευμα ἐξικνέεται, ἵνα καὶ ποιέειν τι δοκέωσι ποιεῦντες μηδὲν καὶ οἱ Σκύθαι μὴ πειρώατο βιώμενοι καὶ βουλόμενοι διαβῆναι τὸν Ἴστρον κατὰ τὴν γέφυραν, εἶπαί τε λύοντας τῆς γεφύρης τὸ ἐς τὴν Σκυθικὴν ἔχον ὡς πάντα ποιήσουσι τὰ Σκύθῃσί ἐστι ἐν ἡδονῇ. (2) Ταῦτα μὲν προσέθηκαν τῇ γνώμῃ· μετὰ δὲ ἐκ πάντων ὑπεκρίνατο Ἱστιαῖος τάδε λέγων, « ἄνδρες Σκύθαι, χρηστὰ ἥκετε φέροντες καὶ ἐς καιρὸν ἐπείγεσθε· καὶ τά τε ἀπ' ὑμέων ἡμῖν χρηστῶς ὁδοῦται καὶ τὰ ἀπ' ἡμέων ἐς ὑμέας ἐπιτηδέως ὑπηρετέεται. (3) Ὡς γὰρ ὁρᾶτε, καὶ λύομεν τὸν πόρον καὶ προθυμίην πᾶσαν ἕξομεν θέλοντες εἶναι ἐλεύθεροι. Ἐν ᾧ δὲ ἡμεῖς τάδε λύομεν, ὑμέας καιρός ἐστι δίζησθαι ἐκείνους, εὑρόντας δὲ ὑπέρ τε ἡμέων καὶ ὑμέων αὐτῶν τίσασθαι οὕτω ὡς ἐκείνους πρέπει. »

CXL. Σκύθαι μὲν τὸ δεύτερον Ἴωσι πιστεύσαντες λέγειν ἀληθέα ὑπέστρεφον ἐπὶ ζήτησιν τῶν Περσέων, καὶ ἡμάρτανον πάσης τῆς ἐκείνων διεξόδου. Αἴτιοι δὲ τούτου αὐτοὶ οἱ Σκύθαι ἐγένοντο, τὰς νομὰς τῶν ἵππων τὰς ταύτῃ διαφθείραντες καὶ τὰ ὕδατα συγχώσαντες. (2) Εἰ γὰρ ταῦτα μὴ ἐποίησαν, παρεῖχε ἄν σφι, εἰ ἐβούλοντο, εὐπετέως ἐξευρέειν τοὺς Πέρσας· νῦν δὲ τά σφι ἐδόκεε ἄριστα βεβουλεῦσθαι, κατὰ ταῦτα ἐσφάλησαν. (3) Σκύθαι μέν νυν τῆς σφετέρης χώρης τῇ χιλός τε τοῖσι ἵπποισι καὶ ὕδατα ἦν, ταύτῃ διεξιόντες ἐδίζηντο τοὺς ἀντιπολέμους, δοκέοντες καὶ ἐκείνους διὰ τοιούτων τὴν ἀπόδρησιν ποιέεσθαι· οἱ δὲ δὴ Πέρσαι τὸν πρότερον ἑωυτῶν γενόμενον στίβον, τοῦτον φυλάσσοντες ἦισαν, καὶ οὕτω μόγις εὗρον τὸν πόρον. (4) Οἷα δὲ νυκτός τε ἀπικόμενοι καὶ λελυμένης τῆς γεφύρης ἐντυχόντες, ἐς πᾶσαν ἀρρωδίην ἀπίκατο μή σφεας οἱ Ἴωνες ἔωσι ἀπολελοιπότες.

CXLI. Ἦν δὲ περὶ Δαρεῖον ἀνὴρ Αἰγύπτιος φωνέων μέγιστον ἀνθρώπων· τοῦτον τὸν ἄνδρα καταστάντα ἐπὶ τοῦ χείλεος τοῦ Ἴστρου ἐκέλευε Δαρεῖος καλέειν Ἱστιαῖον Μιλήσιον. Ὁ μὲν δὴ ἐποίεε ταῦτα, Ἱστιαῖος δὲ ἐπακούσας τῷ πρώτῳ κελεύματι τάς τε νέας ἁπάσας παρεῖχε διαπορθμεύειν τὴν στρατιὴν καὶ τὴν γέφυραν ἔζευξε.

omnes huic sunt adsensi, quum prius Miltiadis probassent consilium.

CXXXVIII. Fuere autem hi, qui in illa deliberatione suffragia ferebant, et gratia valebant apud regem : Hellespontiorum quidem tyranni, Daphnis, Abydenus; Hippoclus, Lampsacenus; Herophantus, Parienus; Metrodorus, Proconnesius; Aristagoras, Cyzicenus; et Ariston, Byzantius : (2) hi ex Hellesponto adfuere. Ex Ionia vero : Strattis, Chius; Æaces, Samius; Laodamas, Phocæensis; et Histiæus, Milesius, cujus erat in medium proposita sententia, Miltiadi contraria. Ex Æolensibus unus aderat vir nobilis, Aristagoras Cymæus.

CXXXIX. Hi igitur postquam Histiæi probaverant sententiam, hæc præterea et facienda et dicenda decreverunt : pontis quidem partem solvendam, quæ Scytharum ripam spectaret, solvendam autem ad teli jactum; quo et facere aliquid viderentur, nihil licet facientes, et ne Scythæ tentarent vim adferre et Istrum ponte transire : dicendumque, dum pontis partem ad Scythas spectantem solverent, se omnia facturos quæ Scythis grata essent futura. (2) Has conditiones Histiæi sententiæ adjecerunt. Deinde nomine omnium Histiæus Scythis hæc respondit : « Viri Scythæ, utilia et benigna attulistis, et opportune properastis. Ut autem, quæ a vobis proficiscuntur, benigne fiunt in nostrum commodum; sic et nos vobis studiose morem gerimus. (3) Ut enim videtis, solvimus pontem; et omne studium adhibebimus, quo libertatem recuperemus. Dum vero nos in hoc solvendo occupamur, interim commodum fuerit, ut vos istos quæratis; et, postquam repereritis, eam ab illis, quam par est, pœnam et vestro et nostro nomine sumatis. »

CXL. Tum Scythæ, fidem iterum adhibentes Ionibus, vera eos dicere sibi persuadentes, reversi sunt, Persas inquisituri; sed iterum tota via, qua illi transiere, aberrarunt. Cujus erroris ipsi Scythæ caussa fuere, eo quod pascua omnia in illa regione corruperant, aquasque obstruxerant. (2) Id enim ni fecissent; facile, si voluissent, Persas inventuri erant : nunc per id ipsum consilium, quod optime a se initum putabant, decepti sunt. (3) Scythæ igitur per ea terræ suæ loca proficiscentes quærebant Persas, ubi et pabulum erat equis et aqua, rati per eadem loca Persas quoque se recipere : at illi eamdem viam tenentes retrogressi sunt, qua prius erat profecti; atque ita ægre tandem locum trajectus repererunt. (4) Quum vero noctu advenirent, solutumque offenderent pontem; gravis eos metus incessit, ne Iones sese deseruissent.

CXLI. Erat tunc apud Darium vir Ægyptius, omnium hominum vocalissimus. Hunc Darius jussit, in ripa Istri stantem, vocare Histiæum Milesium. Quod ubi ille fecit, exaudita prima compellatione Histiæus naves omnes ad trajiciendum exercitum expedivit, pontemque junxit.

CXLII. Πέρσαι μὲν ὦν οὕτω ἐκφεύγουσι, Σκύθαι δὲ διζήμενοι καὶ τὸ δεύτερον ἥμαρτον τῶν Περσέων, καὶ τοῦτο μέν, ὡς ἐόντας Ἴωνας ἐλευθέρους, κακίστους τε καὶ ἀνανδροτάτους κρίνουσι εἶναι ἁπάντων ἀνθρώπων, τοῦτο δέ, ὡς δούλων Ἰώνων τὸν λόγον ποιεύμενοι, ἀνδράποδα φιλοδέσποτά φασι εἶναι καὶ ἄδηστα μάλιστα. Ταῦτα μὲν δὴ Σκύθῃσι ἐς Ἴωνας ἀπέρριπται.

CXLII. Atque ita Persæ effugerunt : Scythæ vero, illos inquirentes, iterum ab eis aberrarunt. Et exinde Scythæ Ionas, quatenus liberi sunt, mollissimos et effœminatissimos omnium hominum esse judicant; quatenus vero de eisdem ut servis verba faciunt, mancipia aiunt esse dominis quam maxime dedita et fidelissima. Hæc dicteria in Ionas jactant Scythæ.

CXLIII. Δαρεῖος δὲ διὰ τῆς Θρηϊκῆς πορευόμενος ἀπίκετο ἐς Σηστὸν τῆς Χερσονήσου· ἐνθεῦτεν δὲ αὐτὸς μὲν διέβη τῇσι νηυσὶ ἐς τὴν Ἀσίην, λείπει δὲ στρατηγὸν ἐν τῇ Εὐρώπῃ Μεγάβαζον ἄνδρα Πέρσην, τῷ Δαρεῖός κοτε ἔδωκε γέρας, τοιόνδε εἶπας ἐν Πέρσῃσι ἔπος. (2) Ὡρμημένου Δαρείου βοιὰς τρώγειν, ὡς ἄνοιξε τάχιστα τὴν πρώτην τῶν βοιέων, εἴρετο αὐτὸν ὁ ἀδελφεὸς Ἀρτάβανος ὅ τι βούλοιτ' ἂν οἱ τοσοῦτο πλῆθος γενέσθαι ὅσοι ἐν τῇ βοιῇ κόκκοι· Δαρεῖος δὲ εἶπε Μεγαβάζους ἂν οἱ τοσούτους ἀριθμὸν γενέσθαι βούλεσθαι μᾶλλον ἢ τὴν Ἑλλάδα ὑπήκοον. (3) Ἐν μὲν δὴ Πέρσῃσι ταῦτά μιν εἶπας ἐτίμα, τότε δὲ αὐτὸν ὑπέλιπε στρατηγὸν ἔχοντα τῆς στρατιῆς τῆς ἑωυτοῦ ὀκτὼ μυριάδας.

CXLIII. Darius, per Thraciam profectus, Sestum in Chersonneso pervenit : unde ipse quidem navibus in Asiam trajecit, ducem vero exercitus in Europa reliquit Megabazum, virum Persam : cui Darius olim singularem habuerat honorem, hoc in eum verbo coram Persis dicto. (2) Mala Punica comedere cupiverat Darius : qui postquam primum aperuit malum, quæsivit ex eo frater Artabanus, quidnam esset, cujus tantum sibi numerum esse cuperet, quantus numerus granorum in Punico malo? Cui Darius respondit : malle se tot numero Megabazos habere, quam Græciam suæ potestati subjectam. (3) Hæc in Persis dicens, illum honoraverat : tunc vero eumdem imperatorem reliquit cum octo myriadibus de suo exercitu.

CXLIV. Οὗτος δὲ ὁ Μεγάβαζος εἶπας τόδε τὸ ἔπος ἐλίπετο ἀθάνατον μνήμην πρὸς Ἑλλησποντίων· γενόμενος γὰρ ἐν Βυζαντίῳ ἐπύθετο ἑπτακαίδεκα ἔτεσι πρότερον Καλχηδονίους κτίσαντας τὴν χώρην Βυζαντίων, πυθόμενος δὲ ἔφη Καλχηδονίους τοῦτον τὸν χρόνον τυγχάνειν ἐόντας τυφλούς· οὐ γὰρ ἂν τοῦ καλλίονος παρεόντος κτίζειν χώρου τὸν αἰσχίονα ἑλέσθαι, εἰ μὴ ἦσαν τυφλοί. (2) Οὗτος δὴ ὦν τότε ὁ Μεγάβαζος στρατηγὸς λειφθεὶς ἐν τῇ χώρῃ Ἑλλησποντίων τοὺς μὴ μηδίζοντας κατεστρέφετο.

CXLIV. Idem Megabazus hoc dicto, quod jam relaturus sum, immortalem sui memoriam apud Hellespontios reliquit : nam quum Byzantii agens audiret, Calchedonios septemdecim annis ante Byzantios urbem suam in ea regione, ubi sita est, condidisse; hoc igitur audito de Calchedoniis dixit, eos cæcos illo tempore fuisse : etenim, quum pulcrior fuisset locus condendæ urbi, turpiorem non fuisse electuros, ni cæci fuissent. (2) Ille igitur Megabazus, imperator tunc relictus in Hellespontiorum regione, armis subegit civitates, quæ cum Medis non sentiebant.

CXLV. Οὗτος μέν νυν ταῦτα ἔπρησσε, τὸν δὲ αὐτὸν δὲ τοῦτον χρόνον ἐγίνετο ἐπὶ Λιβύην ἄλλος στρατιῆς μέγας στόλος, διὰ πρόφασιν τὴν ἐγὼ ἀπηγήσομαι προδιηγησάμενος πρότερον τάδε. (2) Τῶν ἐκ τῆς Ἀργοῦς ἐπιβατέων παίδων παῖδες ἐξελαθέντες ὑπὸ Πελασγῶν τῶν ἐκ Βραυρῶνος ληϊσαμένων τὰς Ἀθηναίων γυναῖκας, ὑπὸ τούτων ἐξελαθέντες ἐκ Λήμνου οἴχοντο πλώοντες ἐς Λακεδαίμονα, ἵζόμενοι δὲ ἐν τῷ Τηϋγέτῳ πῦρ ἀνέκαιον. (3) Λακεδαιμόνιοι δὲ ἰδόντες ἄγγελον ἔπεμπον, πευσόμενοι τίνες τε καὶ ὁκόθεν εἰσί· οἱ δὲ τῷ ἀγγέλῳ εἰρωτέοντι ἔλεγον ὡς εἶησαν μὲν Μινύαι, παῖδες δὲ εἶεν τῶν ἐν τῇ Ἀργοῖ πλωόντων ἡρώων, προσσχόντας δὲ τούτους ἐς Λῆμνον φυτεῦσαι σφέας. (4) Οἱ δὲ Λακεδαιμόνιοι ἀκηκοότες τὸν λόγον τῆς γενεῆς τῶν Μινυέων, πέμψαντες τὸ δεύτερον εἰρώτεον τί ἐθέλοντες ἥκοιέν τε ἐς τὴν χώρην καὶ πῦρ αἴθοιεν. (5) Οἱ δὲ ἔφασαν ὑπὸ Πελασγῶν ἐκβληθέντες ἥκειν ἐς τοὺς πατέρας· δικαιότατον γὰρ εἶναι οὕτω τοῦτο γίνεσθαι· δέεσθαί τε οἰκέειν ἅμα τούτοισι μοῖράν τε τιμέων μετέχοντες καὶ τῆς γῆς ἀπολαχόντες. (6) Λακεδαιμονίοισι δὲ ἔαδε δέκεσθαι τοὺς Μινύας ἐπ' οἷσι ἐθέλουσι αὐτοί· μάλιστα δὲ ἐνῆγέ σφεας ὥστε ποιέειν ταῦτα τῶν Τυνδαριδέων ἡ ναυτιλίη ἐν τῇ Ἀργοῖ. Δεξάμενοι δὲ τοὺς Μινύας γῆς τε

CXLV. Dum hæc ille agebat, per idem tempus alia ingens expeditio militaris in Libyam suscepta est; cujus caussam ego exponam, postquam hæcce prius commemoravero. (2) Argonautarum nepotes, a Pelasgis eis, qui Atheniensium mulieres Braurone rapuerant, Lemno ejecti, navigarant Lacedæmonem; et sedibus in Taygeto captis, ignem incenderant. (3) Id conspicati Lacedæmonii, misso nuncio sciscitabantur, quinam essent, et unde. Nuncio hi respondent, Minyas se esse, heroum illorum filios, qui in Argo navi navigassent : ab illis, postquam Lemnum adpulissent, esse se procreatos. (4) Lacedæmonii, audita hac narratione de genere Minyarum, iterum miserunt qui ex illis quærerent, quo consilio in ipsorum venissent terram, et ignem accenderent. (5) Dixerunt, a Pelasgis ejectos se ad parentes venire : æquissimum enim esse ita fieri : cupereque cum illis habitare, honorum participes, et terræ portionem sortitos. (6) Placuit tunc Lacedæmoniis, Minyas recipere eis conditionibus, quas ipsi proposuerant : maxime vero, ut hoc facerent, movit eos hoc, quod Tyndaridæ participes fuerant expeditionis Argonautarum. Itaque receptis Minyis et terræ portionem adsignarunt, et per tribus

μετέδοσαν καὶ ἐς φυλὰς διεδάσαντο. Οἱ δὲ αὐτίκα μὲν γάμους ἔγημαν, τὰς δὲ ἐκ Λήμνου ἤγοντο ἐξέδοσαν ἄλλοισι.

CXLVI. Χρόνου δὲ οὐ πολλοῦ διεξελθόντος αὐτίκα οἱ Μινύαι ἐξύβρισαν, τῆς τε βασιληίης μεταιτέοντες καὶ ἄλλα ποιεῦντες οὐκ ὅσια. (2) Τοῖσι ὦν Λακεδαιμονίοισι ἔδοξε αὐτοὺς ἀποκτεῖναι, συλλαβόντες δέ σφεας κατέβαλον ἐς ἐρκτήν. Κτείνουσι δὲ τοὺς ἂν κτείνωσι Λακεδαιμόνιοι νυκτὸς, μετ' ἡμέρην δὲ οὐδένα. (3) Ἐπεὶ ὦν ἔμελλόν σφεας καταχρήσεσθαι, παραιτήσαντο αἱ γυναῖκες τῶν Μινυέων, ἐοῦσαι ἀσταί τε καὶ τῶν πρώτων Σπαρτιητέων θυγατέρες, ἐσελθεῖν τε ἐς τὴν ἐρκτὴν καὶ ἐς λόγους ἐλθεῖν ἑκάστη τῷ ἑωυτῆς ἀνδρί. Οἱ δὲ σφεας παρῆκαν, οὐδένα δόλον δοκέοντες ἐξ αὐτέων ἔσεσθαι. (4) Αἱ δὲ ἐπείτε ἐσῆλθον, ποιεῦσι τοιάδε· πᾶσαν τὴν εἶχον ἐσθῆτα παραδοῦσαι τοῖσι ἀνδράσι αὐταὶ τὴν τῶν ἀνδρῶν ἔλαβον. Οἱ δὲ Μινύαι ἐνδύντες τὴν γυναικηίην ἐσθῆτα, ἅτε γυναῖκες, ἐξήϊσαν ἔξω, ἐκφυγόντες δὲ τρόπῳ τοιούτῳ ἵζοντο αὖτις ἐς τὸ Ταΰγετον.

CXLVII. Τὸν δὲ αὐτὸν τοῦτον χρόνον Θήρας ὁ Αὐτεσίωνος τοῦ Τισαμενοῦ τοῦ Θερσάνδρου τοῦ Πολυνείκεος ἔστελλε ἐς ἀποικίην ἐκ Λακεδαίμονος. Ἦν δὲ ὁ Θήρας οὗτος, γένος ἐὼν Καδμεῖος, τῆς μητρὸς ἀδελφεὸς τοῖσι Ἀριστοδήμου παισὶ Εὐρυσθένεϊ καὶ Προκλέϊ· ἐόντων δ' ἔτι τῶν παίδων τούτων νηπίων ἐπιτροπαίην εἶχε ὁ Θήρας τὴν ἐν Σπάρτῃ βασιληίην. (2) Αὐξηθέντων δὲ τῶν ἀδελφιδέων καὶ παραλαβόντων τὴν ἀρχὴν οὕτω δὴ ὁ Θήρας δεινὸν ποιεύμενος ἄρχεσθαι ὑπ' ἄλλων ἐπείτε ἐγεύσατο ἀρχῆς, οὐκ ἔφη μενέειν ἐν τῇ Λακεδαίμονι, ἀλλ' ἀποπλώσεσθαι ἐς τοὺς συγγενέας. (3) Ἦσαν δὲ ἐν τῇ νῦν Θήρῃ καλευμένῃ νήσῳ, πρότερον δὲ Καλλίστῃ τῇ αὐτῇ ταύτῃ, ἀπόγονοι Μεμβλιάρου τοῦ Ποικίλεω ἀνδρὸς Φοίνικος. (4) Κάδμος γὰρ ὁ Ἀγήνορος Εὐρώπην διζήμενος προσέσχε ἐς τὴν νῦν Θήρην καλευμένην· προσσχόντι δὲ εἴτε δή οἱ ἡ χώρη ἤρεσε, εἴτε καὶ ἄλλως ἠθέλησε ποιῆσαι τοῦτο, καταλείπει γὰρ ἐν τῇ νήσῳ ταύτῃ ἄλλους τε τῶν Φοινίκων καὶ δὴ καὶ τῶν ἑωυτοῦ συγγενέων Μεμβλίαρον. (5) Οὗτοι ἐνέμοντο τὴν Καλλίστην καλευμένην ἐπὶ γενεὰς, πρὶν ἢ Θήραν ἐλθεῖν ἐκ Λακεδαίμονος, ὀκτὼ ἀνδρῶν.

CXLVIII. Ἐπὶ τούτους δὴ ὦν ὁ Θήρας ληὸν ἔχων ἀπὸ τῶν φυλέων ἔστελλε, συνοικήσων τούτοισι καὶ οὐδαμῶς ἐξελῶν αὐτοὺς, ἀλλὰ κάρτα οἰκηϊεύμενος. (2) Ἐπείτε δὲ καὶ οἱ Μινύαι ἐκδράντες ἐκ τῆς ἐρκτῆς ἵζοντο ἐς τὸ Ταΰγετον, τῶν Λακεδαιμονίων βουλευομένων σφέας ἀπολλύναι παραιτέεται ὁ Θήρας, ὅκως μήτε φόνος γένηται, αὐτός τε ὑπεδέκετο σφεας ἐξάξειν ἐκ τῆς χώρης. (3) Συγχωρησάντων δὲ τῇ γνώμῃ τῶν Λακεδαιμονίων, τρισὶ τριηκοντέροισι ἐς τοὺς Μεμβλιάρου ἀπογόνους ἔπλωσε, οὐτι πάντας ἄγων τοὺς Μινύας, ἀλλ' ὀλίγους τινάς. (4) Οἱ γὰρ πλεῦνες αὐτῶν ἐτράποντο ἐς τοὺς Παρωρεήτας καὶ Καύκωνας, τούτους δ' ἐξελάσαντες ἐκ τῆς χώρης σφέας αὐτοὺς ἓξ μοίρας διεῖλον, καὶ ἔπειτεν ἔκτισαν πόλιας τάσδε ἐν αὐτοῖσι, Λέ-

eosdem distribuerunt. Et illi statim matrimonia contraxerunt; uxoresque suas, quas Lemni duxerant, aliis elocarunt.

CXLVI. Haud multo vero interjecto tempore jam insolescere Minyæ cœperunt, regni participes fieri postulantes, et alia patrantes nefaria. (2) Itaque interimere eos decrevere Lacedæmonii; et prehensos in custodiam misere. Supplicio autem adficiunt Lacedæmonii, quoscumque morte plectunt, nocturno tempore, interdiu vero neminem. (3) Quum igitur in eo essent ut supplicio eos adficerent, uxores Minyarum, quæ cives erant, et primariorum Spartanorum filiæ, precatæ sunt ut ipsis liceret in carcerem intrare, et cum *suo cujusque marito colloqui*. Et *hi illas introire* passi sunt, nullum inde dolum suspicati. (4) At illæ, carcerem ingressæ, hoc instituunt facere: quidquid habebant vestium, id maritis dabant; ipsæ maritorum vestes induebant. Ita Minyæ, muliebri vestitu induti, quasi mulieres, egrediebantur: eoque modo postquam evasere, iterum in Taygeto sedes ceperunt.

CXLVII. Per idem vero tempus Theras, filius Autesionis, Tisameni nepos, Thersandri pronepos, Polynicis abnepos, colonos duxit Lacedæmone. Erat hic Theras, genere Cadmeus, avunculus filiorum Aristodemi, Eurysthenis et Proclis: *qui quoad minores fuerant ætate*, Theras tutor illorum nomine regnum Spartæ administraverat. (2) Postquam autem adoleverunt sororis filii, regnumque capessiverunt, graviter ferens Theras ab aliis regi, qui regnum ipse gustasset; negavit Lacedæmone se mansurum, sed ad cognatos suos ait navigaturum. (3) Erant autem in insula, quæ Thera nunc vocatur, cui olim Calliste nomen fuerat, Membliari posteri, Pœcilis filii, natione Phœnicis. (4) Cadmus enim, Agenoris filius, Europam quærens, ad Theram quæ nunc vocatur adpulerat; ibi quum adpulisset, tum, sive quod ei placeret illa regio, sive alia quapiam *caussa permotus, reliquit in ea insula quum alios Phœnices*, tum ex cognatis suis Membliarum: (5) atque hi Callistam quæ tunc vocabatur habitabant per octo hominum generationes, priusquam Theras Lacedæmone eo advenisset.

CXLVIII. Ad hos igitur Theras cum multitudine quadam e Spartanorum tribubus profectus est, una cum illis habitaturus, et neutiquam insula eos ejecturus, sed admodum sibi eorum animos concilians. (2) Jam, quum Minyæ ex carcere profugi in Taygeto consedissent, et de eis interficiendis deliberarent Lacedæmonii, deprecatus est Theras ne fieret cædes, pollicitus se illos ex ipsorum finibus educturum. (3) Cui *sententiæ quum cessissent* Lacedæmonii, tribus navibus triginta remorum Theras ad Membliari posteros navigavit; non utique omnes secum Minyas ducens, sed exiguum eorum numerum. (4) Nam major pars in Paroreatarum et Cauconum fines se contulit: hisque terra sua ejectis, in sex partes sese partiti sunt, et deinde in eadem regione hæcce oppida condiderunt, Le-

πρεσν, Μάκιστον, Φριξὸς, Πύργον, Ἔπιον, Νούδιον· τούτων δὲ τὰς πλεῦνας ἐπ' ἐμέο Ἠλεῖοι ἐπόρθησαν. Τῇ δὲ νήσῳ ἐπὶ τοῦ οἰκιστέω Θήρα ἡ ἐπωνυμίη ἐγένετο.

CXLIX. Ὁ δὲ παῖς οὐ γὰρ ἔφη οἱ συμπλώσεσθαι, τοιγαρῶν ἔφη αὐτὸν καταλείψειν ὅϊν ἐν λύκοισι· ἐπὶ τοῦ ἔπεος τούτου οὔνομα τῷ νεηνίσκῳ τούτῳ Οἰόλυκος ἐγένετο, καί κως τὸ οὔνομα τοῦτο ἐπεκράτησε. (2) Οἰολύκου δὲ γίνεται Αἰγεὺς, ἀπ' οὗ Αἰγεῖδαι καλεῦνται, φυλὴ μεγάλη ἐν Σπάρτῃ. Τοῖσι δὲ ἐν τῇ φυλῇ ταύτῃ ἀνδράσι οὐ γὰρ ὑπέμειναν τὰ τέκνα, ἱδρύσαντο ἐκ θεοπροπίου Ἐρινύων τῶν Λαΐου τε καὶ Οἰδιπόδεω ἱρόν· καὶ μετὰ τοῦτο ὑπέμεινε τὠυτὸ τοῦτο καὶ ἐν Θήρῃ τοῖσι ἀπὸ τῶν ἀνδρῶν τούτων γεγονόσι.

CL. Μέχρι μέν νυν τούτου τοῦ λόγου Λακεδαιμόνιοι Θηραίοισι κατὰ ταὐτὰ λέγουσι, τὸ δὲ ἀπὸ τούτου μοῦνοι Θηραῖοι ὧδε γενέσθαι λέγουσι. (2) Γρῖνος ὁ Αἰσανίου ἐὼν Θήρα τούτου ἀπόγονος καὶ βασιλεύων Θήρης τῆς νήσου ἀπίκετο ἐς Δελφοὺς, ἄγων ἀπὸ τῆς πόλιος ἑκατόμβην· εἵποντο δέ οἱ καὶ ἄλλοι τῶν πολιητέων καὶ δὴ καὶ Βάττος ὁ Πολυμνήστου, ἐὼν γένος Εὐφημίδης τῶν Μινυέων. (3) Χρεωμένῳ δὲ τῷ Γρίνῳ τῷ βασιλέϊ τῶν Θηραίων περὶ ἄλλων χρᾷ ἡ Πυθίη κτίζειν ἐν Λιβύῃ πόλιν. Ὁ δὲ ἀμείβετο λέγων, « ἐγὼ μὲν, ὤναξ, πρεσβύτερός τε ἤδη εἰμὶ καὶ βαρὺς ἀείρεσθαι· σὺ δέ τινα τῶνδε τῶν νεωτέρων κέλευε ταῦτα ποιέειν. » Ἅμα τε ἔλεγε ταῦτα καὶ ἐδείκνυε ἐς τὸν Βάττον. (4) Τότε μὲν τοσαῦτα, μετὰ δὲ ἀπελθόντες ἀλογίην εἶχον τοῦ χρηστηρίου, οὔτε Λιβύην εἰδότες ὅκου γῆς εἴη, οὔτε τολμέοντες ἐς ἀφανὲς χρῆμα ἀποστέλλειν ἀποικίην.

CLI. Ἑπτὰ δὲ ἐτέων μετὰ ταῦτα οὐκ ὗε τὴν Θήρην, ἐν τοῖσι τὰ δένδρεα πάντα σφι τὰ ἐν τῇ νήσῳ πλὴν ἑνὸς ἐξαυάνθη. Χρεωμένοισι δὲ τοῖσι Θηραίοισι προέφερε ἡ Πυθίη τὴν ἐς Λιβύην ἀποικίην. (2) Ἐπείτε δὲ κακοῦ οὐδὲν ἦν σφι μῆχος, πέμπουσι ἐς Κρήτην ἀγγέλους διζημένους εἴ τις Κρητῶν ἢ μετοίκων ἀπιγμένος εἴη ἐς Λιβύην. (3) Περιπλανεώμενοι δὲ αὐτὴν οὗτοι ἀπίκοντο καὶ ἐς Ἴτανον πόλιν, ἐν ταύτῃ δὲ συμμίσγουσι ἀνδρὶ πορφυρεῖ τῷ οὔνομα ἦν Κορώβιος, ὃς ἔφη ὑπ' ἀνέμων ἀπενειχθεὶς ἀπικέσθαι ἐς Λιβύην καὶ Λιβύης ἐς Πλατέαν νῆσον. (4) Μισθῷ δὲ τοῦτον πείσαντες ἦγον ἐς Θήρην, ἐκ δὲ Θήρης ἔπλωον κατάσκοποι ἄνδρες τὰ πρῶτα οὐ πολλοί· κατηγησαμένου δὲ τοῦ Κορωβίου ἐς τὴν νῆσον ταύτην δὴ τὴν Πλατέαν, τὸν μὲν Κορώβιον λείπουσι, σιτία καταλιπόντες ὁσωνδὴ μηνῶν, αὐτοὶ δὲ ἔπλωον τὴν ταχίστην ἀπαγγελέοντες Θηραίοισι περὶ τῆς νήσου.

CLII. Ἀποδημεόντων δὲ τούτων πλέω χρόνον τοῦ συγκειμένου τὸν Κορώβιον ἐπέλιπε τὰ πάντα. (2) Μετὰ δὲ νηῦς Σαμίη, τῆς ναύκληρος ἦν Κωλαῖος, πλώουσα ἐπ' Αἰγύπτου ἀπηνείχθη ἐς τὴν Πλατέαν ταύτην· πυθόμενοι δὲ οἱ Σάμιοι παρὰ τοῦ Κορωβίου τὸν πάντα λόγον, σιτία οἱ ἐνιαυτοῦ καταλείπουσι. (3) Αὐτοὶ δὲ ἀναχθέντες ἐκ τῆς νήσου καὶ γλιχόμενοι Αἰγύπτου

preum, Macistum, Phrixas, Pyrgum, Epium, Nudium; quorum quidem pleraque ab Eleis mea ætate eversa sunt. Insula autem, quam dixi, a conditoris nomine Thera est adpellata.

CXLIX. Filius autem Theræ enavigare cum patre noluerat: itaque dixerat pater, se eum relinquere tamquam ovem inter lupos: (*græce* ὅϊν ἐν λύκοις): a quo dicto nomen huic adolescenti Œolycus (Ovilupus) inditum est, idque nomen dein invaluit. (2) Hujus Œolyci filius fuit Ægeus; a quo Ægidæ nomen habent, magna tribus Spartæ. Qua ex tribu viris quum in vita non manerent liberi, ex oraculi edicto statuerunt templum Furiis Laii et Œdipodis dedicatum: et ex eo tempore mansere illis liberi, itemque in Thera insula eis qui ex his viris progeniti sunt.

CL. Hactenus Lacedæmoniorum narratio et Theræorum consentit: quæ his subjungam, ea soli Theræi memorant ita accidisse. (2) Grinus, Æsanii filius, unus ex posteris hujus Theræ, quum rex Theræorum esset, Delphos venit, hecatomben offerens nomine civitatis: sequebanturque eum et alii ex civibus, atque etiam Battus, Polymnesti filius, de Euphemi genere, unius ex Minyis. (3) Grino vero, regi Theræorum, quum de aliis rebus consuleret oraculum, edixit Pythia, civitatem debere eum in Libya condere. Tum ille respondit: « At equidem, o Rex, ætate jam sum provectior, et gravis ad majus quidpiam moliendum. Qnin tu aliquem ex junioribus hisce id facere jube. » Ista dicens, Battum digito monstravit. (4) Et hæc quidem tunc. Deinde vero, postquam abierant, neglexerunt oraculi effatum; quum nec Libya ubi esset nossent, nec auderent coloniam mittere obscuram in rem.

CLI. Post hæc vero per septem annos non pluit Theræ; arboresque ipsis in insula omnes, una excepta, exaruerant. Consulentibus igitur oraculum Theræis, objecit Pythia coloniam in Libyam deducendam. (2) Itaque, quum nullum aliud ipsis esset mali remedium, in Cretam nuncios mittunt, qui quærerent, an Cretensium aliquis, aut inquilinorum, in Libyam umquam pervenisset. (3) Nuncii per Cretam oberrantes, quum in alia oppida, tum Itanum venerunt; ubi cum purpurario quodam, cui nomen erat Corobius, sermones miscent, qui eis ait, ventis se in Libyam fuisse delatum, et quidem in Plateam insulam Libyæ venisse. (4) Hunc igitur hominem, proposita mercede, Theram ducunt. Et ex Thera mittuntur primum exploratores, haud multi numero: quibus quum viam in Plateam hanc insulam Corobius monstrasset, relinquunt ibi Corobium cum nescio quot mensium cibariis, et ipsi ocyus domum navigarunt, nuncium Theræis de illa insula relaturi.

CLII. Quibus ultra constitutum tempus redire differentibus, Corobium omnia defecerunt. (2) Deinde vero Samia navis, Ægyptum petens, cujus nauclerus Colæus erat, ad Plateam hanc delata est: et Samii, postquam a Corobio rem omnem cognoverunt, unius anni cibaria ei reliquerunt. (3) Tum hi, ex insula profecti, quum Ægyptum petentes

ἔπλωον, ἀποφερόμενοι ἀπηλιώτῃ ἀνέμῳ· καὶ οὐ γὰρ ἀνίει τὸ πνεῦμα, Ἡρακλέας στήλας διεκπερήσαντες ἀπίκοντο ἐς Ταρτησσόν, θείῃ πομπῇ χρεώμενοι. (4) Τὸ δὲ ἐμπόριον τοῦτο ἦν ἀκήρατον τοῦτον τὸν χρόνον, ὥστε ἀπονοστήσαντες οὗτοι ὀπίσω μέγιστα δὴ Ἑλλήνων πάντων τῶν ἡμεῖς ἀτρέκειαν ἴδμεν ἐκ φορτίων ἐκέρδησαν, μετά γε Σώστρατον τὸν Λαοδάμαντος Αἰγινήτην· τούτῳ γὰρ οὐκ οἷά τέ ἐστι ἐρίσαι ἄλλον. (5) Οἱ δὲ Σάμιοι τὴν δεκάτην τῶν ἐπικερδίων ἐξελόντες ἓξ τάλαντα ἐποιήσαντο χαλκῆιον κρητῆρος Ἀργολικοῦ τρόπον· περὶς δὲ αὐτὸ γρυπῶν κεφαλαὶ πρόκροσσοί εἰσι· καὶ ἀνέθηκαν ἐς τὸ Ἡραῖον, ὑποστήσαντες αὐτῷ τρεῖς χαλκέους κολοσσοὺς ἑπταπήχεας, τοῖσι γούνασι ἐρηρεισμένους. (6) Κυρηναίοισι δὲ καὶ Θηραίοισι ἐς Σαμίους ἀπὸ τούτου τοῦ ἔργου πρῶτα φιλίαι μεγάλαι συνεκρήθησαν.

navigarent, subsolano vento sunt abrepti, et, non intermittente vi venti, per Herculis columnas transvecti, Tartessum pervenere, divino quodam numine eos deducente. (4) Erat ea tempestate integrum hoc emporium: itaque iidem inde redeuntes, maximum Græcorum omnium, quorum certior quædam ad nos notitia pervenit, ex mercibus lucrum fecerunt, post Sostratum utique, Laodamantis filium, Æginetam: cum hoc enim nemo alius contendere potest. (5) Samii vero decimam lucri partem eximentes, sex talenta, ahenum faciendum curarunt, ad crateris Argolici modum, circa quod sunt grypum capita prominentia: atque in Junonis templo hoc ahenum dedicarunt, impositum tribus æneis colossis septenorum cubitorum, qui genubus innituntur. (6) Ab hoc autem facto primum ingens amicitia Cyrenæis Theræisque cum Samiis contracta est.

CLIII. Οἱ δὲ Θηραῖοι ἐπείτε τὸν Κορώβιον λιπόντες ἐν τῇ νήσῳ ἀπίκοντο ἐς τὴν Θήρην, ἀπήγγελλον ὡς σφι εἴη νῆσος ἐπὶ Λιβύῃ ἐκτισμένη. (2) Θηραίοισι δὲ ἔαδε ἀδελφεύν τε ἀπ' ἀδελφεοῦ πέμπειν πάλῳ λαχόντα, καὶ ἀπὸ τῶν χώρων ἁπάντων ἑπτὰ ἐόντων ἄνδρας, εἶναι δέ σφεων καὶ ἡγεμόνα καὶ βασιλέα Βάττον. Οὕτω δὴ στέλλουσι δύο πεντηκοντέρους ἐς τὴν Πλατέαν.

CLIII. Theræi vero, postquam, relicto in insula Corobio, Theram redierant, renunciarunt, esse a se insulam in Libyæ ora conditam. (2) Placuit igitur Theræis, ut e singulis ditionis suæ locis, quæ numero septem erant, viri mitterentur, ita quidem ut frater cum fratre sorte contenderet uter in coloniam abiret: ducemque eorum atque regem Battum designarunt. Ita igitur duas naves quinquaginta remorum in Plateam miserunt.

CLIV. Ταῦτα δὲ Θηραῖοι λέγουσι, τὰ δ' ἐπίλοιπα τοῦ λόγου συμφέρονται ἤδη Θηραῖοι Κυρηναίοισι. Κυρηναῖοι γὰρ τὰ περὶ Βάττον οὐδαμῶς ὁμολογέουσι Θηραίοισι. Λέγουσι γὰρ οὕτω. (2) Ἔστι τῆς Κρήτης Ἄξος πόλις, ἐν τῇ ἐγένετο Ἐτέαρχος βασιλεὺς, ὃς ἐπὶ θυγατρὶ ἀμήτορι τῇ οὔνομα ἦν Φρονίμη, ἐπὶ ταύτῃ ἔγημε ἄλλην γυναῖκα. Ἡ δὲ ἐπεσελθοῦσα ἐδικαίευ εἶναι καὶ τῷ ἔργῳ μητρυιὴ τῇ Φρονίμῃ, παρέχουσά τε κακὰ καὶ πᾶν ἐπ' αὐτῇ μηχανεωμένη· καὶ τέλος μαχλοσύνην ἐπενείκασά οἱ πείθει τὸν ἄνδρα ταῦτα ἔχειν οὕτω. (3) Ὁ δὲ ἀναγνωσθεὶς ὑπὸ τῆς γυναικὸς ἔργον οὐκ ὅσιον ἐμηχανᾶτο ἐπὶ τῇ θυγατρί. Ἦν γὰρ δὴ Θεμίσων ἀνὴρ Θηραῖος ἔμπορος ἐν τῇ Ἄξῳ· τοῦτον ὁ Ἐτέαρχος παραλαβὼν ἐπὶ ξείνια ἐξορκοῖ ἢ μέν οἱ διηκονήσειν ὅ τι ἂν δεηθῇ. (4) Ἐπείτε δὲ ἐξώρκωσε, ἀγαγών οἱ παραδιδοῖ τὴν ἑωυτοῦ θυγατέρα, καὶ ταύτην ἐκέλευε καταποντῶσαι ἀπαγαγόντα. Ὁ δὲ Θεμίσων περιημεκτήσας τῇ ἀπάτῃ τοῦ ὅρκου καὶ διαλυσάμενος τὴν ξεινίην ἐποίεε τοιάδε· (5) παραλαβὼν τὴν παῖδα ἀπέπλωε, ὡς δὲ ἐγίνετο ἐν τῷ πελάγεϊ, ἀποσιεύμενος τὴν ἐξόρκωσιν τοῦ Ἐτεάρχου, σχοινίοισι αὐτὴν διαδήσας κατῆκε ἐς τὸ πέλαγος, ἀνασπάσας δὲ ἀπίκετο ἐς τὴν Θήρην.

CLIV. Hæc Theræi memorant: in reliqua narratione Theræis cum Cyrenæis convenit. Nam quod ad Battum spectat, neutiquam cum Theræis Cyrenæi consentiunt. Rem enim hi ita narrant. (2) Est Cretæ urbs Axus, cujus rex fuit Etearchus. Is quum filiam haberet matre orbam, nomine Phronimam, aliam duxit uxorem. Hæc post illius matrem domum ducta, voluit etiam re ipsa noverca esse Phronimæ, multis eam malis adficiendo, et quidlibet adversus eam moliendo: ad extremum, impudicitiæ crimen ei inferens, persuasit marito rem ita esse. (3) Et ille, persuasus ab uxore, nefarium in filiam facinus machinatur. Aderat tunc Axi Themison, civis Theræus, mercaturam faciens. Hunc, hospitio exceptum, jurejurando adstringit ad operam sibi in ea re, quam ab illo petiturus esset, navandam. (4) Qui quum interposito juramento fidem suam dedisset, adductam ei tradidit filiam suam, jubens ut abductam in alto mari demergeret. Themison, fraudem jurisjurandi indigne ferens, soluto hospitio, hæcce fecit: (5) accepta puella, navi profectus est: ubi vero in alto fuit, quo se exsolveret jurisjurandi religione ab Etearcho sibi oblata, funibus religatam puellam in mare demisit, rursusque extractam secum Theram duxit.

CLV. Ἐνθεῦτεν δὲ τὴν Φρονίμην παραλαβὼν Πολύμνηστος, ἐὼν τῶν Θηραίων ἀνὴρ δόκιμος, ἐπαλλακεύετο. Χρόνου δὲ περιιόντος ἐξεγένετό οἱ παῖς ἰσχόφωνος καὶ τραυλὸς, τῷ οὔνομα ἐτέθη Βάττος, ὡς Θηραῖοί τε καὶ Κυρηναῖοι λέγουσι, ὡς μέντοι ἐγὼ δοκέω, ἄλλο τι· Βάττος δὲ μετωνομάσθη, ἐπείτε ἐς Λιβύην ἀπίκετο, ἀπό τε τοῦ χρηστηρίου τοῦ γενομένου ἐν Δελφοῖσι αὐ-

CLV. Inde Phronimam domum suam sumpsit Polymnestus, spectatus vir apud Theræos, eaque pro pellice usus est. Circumacto tempore natus est huic ex illa filius, hæsitante voce et balbutiente; cui nomen impositum est Battus, ut quidem Theræi et Cyrenæi aiunt: ut vero mihi videtur, aliud statim impositum ei nomen erat; Battus vero deinde demum, postquam in Libyam pervenit, nominatus est, nomine sumpto ab oraculo quod ei Delphis editum

τῷ καὶ ἀπὸ τῆς τιμῆς τὴν ἔσχε τὴν ἐπωνυμίην ποιεύμενος· (2) Λίβυες γὰρ βασιλέα βάττον καλεῦσι, καὶ τούτου εἵνεκεν δοκέω θεσπίζουσαν τὴν Πυθίην καλέσαι μιν Λιβυκῇ γλώσσῃ, εἰδυῖαν ὡς βασιλεὺς ἔσται ἐν Λιβύῃ. Ἐπείτε γὰρ ἠνδρώθη οὗτος, ἦλθε ἐς Δελφοὺς περὶ τῆς φωνῆς· (3) ἐπειρωτέοντι δέ οἱ χρᾷ ἡ Πυθίη τάδε,

Βάττ', ἐπὶ φωνὴν ἦλθες· ἄναξ δέ σε Φοῖβος Ἀπόλλων
ἐς Λιβύην πέμπει μηλοτρόφον οἰκιστῆρα,

ὥσπερ εἰ εἶπαι Ἑλλάδι γλώσσῃ χρεωμένη, « ὦ βασιλεῦ, ἐπὶ φωνὴν ἦλθες. » (5) Ὁ δ' ἀμείβετο τοισίδε· « ὦναξ, ἐγὼ μὲν ἦλθον παρὰ σὲ χρησόμενος περὶ τῆς φωνῆς, σὺ δέ μοι ἄλλα ἀδύνατα χρᾷς, κελεύων Λιβύην ἀποικίζειν τέῳ δυνάμι, κοίῃ χειρί; » (6) Ταῦτα λέγων οὐκὶ ἔπειθε ἄλλα οἱ χρᾶν· ὡς δὲ κατὰ ταὐτὰ ἐθέσπιζέ οἱ καὶ πρότερον, οἴχετο μεταξὺ ἀπολιπὼν ὁ Βάττος ἐς τὴν Θήρην.

CLVI. Μετὰ δὲ αὐτῷ τε τούτῳ καὶ τοῖσι ἄλλοισι Θηραίοισι συνεφέρετο παλιγκότως· ἀγνοεῦντες δὲ τὰς συμφορὰς οἱ Θηραῖοι ἔπεμπον ἐς Δελφοὺς περὶ τῶν παρεόντων κακῶν. Ἡ δὲ Πυθίη σφι ἔχρησε συγκτίζουσι Βάττῳ Κυρήνην τῆς Λιβύης ἄμεινον πρήξειν. (2) Ἀπέστελλον μετὰ ταῦτα τὸν Βάττον οἱ Θηραῖοι δύο πεντηκοντέροισι. Πλώσαντες δὲ ἐς τὴν Λιβύην οὗτοι, οὐ γὰρ εἶχον ὅ τι ποιέωσι ἄλλο, ὀπίσω ἀπαλλάσσοντο ἐς τὴν Θήρην. (3) Οἱ δὲ Θηραῖοι καταγομένους ἔβαλλον καὶ οὐκ ἐων τῇ γῇ προσίσχειν, ἀλλ' ὀπίσω πλώειν ἐκέλευον. Οἱ δὲ ἀναγκαζόμενοι ὀπίσω ἀπέπλωον, καὶ ἔκτισαν νῆσον ἐπὶ Λιβύῃ κειμένην, τῇ οὔνομα, ὡς καὶ πρότερον εἰρέθη, ἐστὶ Πλατέα. Λέγεται δὲ ἴση εἶναι ἡ νῆσος τῇ νῦν Κυρηναίων πόλι.

CLVII. Ταύτην οἰκέοντες δύο ἔτεα, οὐδὲν γάρ σφι χρηστὸν συνεφέρετο, ἕνα αὐτῶν καταλιπόντες οἱ λοιποὶ πάντες ἀπέπλωον ἐς Δελφούς· ἀπικόμενοι δὲ ἐπὶ τὸ χρηστήριον ἐχρέοντο, φάμενοι οἰκέειν τε τὴν Λιβύην καὶ οὐδὲν ἄμεινον πρήσσειν οἰκεῦντες. (2) Ἡ δὲ Πυθίη σφι πρὸς ταῦτα χρᾷ τάδε,

Αἰ τὺ ἐμεῦ Λιβύην μηλοτρόφον οἰδας ἄμεινον,
μὴ ἐλθὼν ἐλθόντος, ἄγαν ἄγαμαι σοφίην σευ.

Ἀκούσαντες δὲ τούτων οἱ ἀμφὶ τὸν Βάττον ἀπέπλωον ὀπίσω· οὐ γὰρ δή σφεας ἀπίει ὁ θεὸς τῆς ἀποικίης, πρὶν δὴ ἀπίκωνται ἐς αὐτὴν Λιβύην. (3) Ἀπικόμενοι δὲ ἐς τὴν νῆσον καὶ ἀναλαβόντες τὸν ἔλιπον, ἔκτισαν αὐτῆς Λιβύης χῶρον ἀντίον τῆς νήσου τῷ οὔνομα ἦν Ἄζιρις, τὸν νάπαι τε κάλλιστοι ἐπ' ἀμφότερα συγκληίουσι καὶ ποταμὸς τὰ ἐπὶ θάτερα παραρρέει.

CLVIII. Τοῦτον οἰκεον τὸν χῶρον ἓξ ἔτεα· ἑβδόμῳ δέ σφεας ἔτεϊ παραιτησάμενοι Λίβυες ὡς ἐς ἀμείνονα χῶρον ἄξουσι, ἀνέγνωσαν ἐκλιπεῖν. (2) Ἦγον δέ σφεας ἐνθεῦτεν οἱ Λίβυες ἀναστήσαντες πρὸς ἑσπέρην· καὶ τὸν κάλλιστον τῶν χώρων ἵνα διεξιόντες οἱ Ἕλληνες μὴ ἴδοιεν, συμμετρησάμενοι τὴν ὥρην τῆς ἡμέρης νυκτὸς παρῆγον. Ἔστι δὲ τῷ χώρῳ τούτῳ οὔνομα Ἴρασα. (3) Ἀγαγόντες δέ σφεας ἐπὶ κρήνην λεγομένην εἶναι

erat, et a dignitate quam inter suos habuit: (2) regem enim Libyes Battum vocant; eaque de caussa puto Pythiam, oraculum edentem, Libyca illum lingua adpellasse, quum sciret regem eum fore in Libya. Nam postquam ille ad virilem pervenit ætatem, Delphos profectus est, de voce sua consulturus; (3) consulenti autem hæc respondit Pythia:

Batte, vocis caussa venisti: at te rex Phœbus Apollo
in Libyam mittit ovibus divitem, coloniæ conditorem:

quasi dixisset Græco sermone utens, « Rex, vocis caussa venisti. » (5) Tum vero ille respondit: « O Rex, equidem veni, vocis meæ caussa te consulturus; tu vero mihi alia respondes impossibilia, jubens me coloniam in Libya condere: quanam tandem vi? qua hominum manu? » (6) Quæ ille dicens, non persuasit Pythiæ ut aliud sibi responsum daret. Quum igitur eadem, quæ antea, ei responderet; interim Battus, illa relicta, Theram rediit.

CLVI. Post hæc et in hunc ipsum et in reliquos Theræos denuo ira dei incubuit. Et Theræi caussam ignorantes calamitatum, Delphos misere qui de præsentibus malis consulerent. Quibus Pythia respondit, si cum Batto Cyrenen in Libya coloniam conderent, melius cum ipsis actum iri. (2) Miserunt posthæc Theræi Battum cum duabus navibus quinquaginta remorum: sed hi, postquam in Libyam navigarunt, quoniam cæteroquin quod agerent non habebant, Theram sunt reversi. (3) At redeuntes telis repulerunt Theræi, nec adpellere ad terram passi sunt, sed retro navigare jusserunt. Illi igitur, necessitate coacti, navibus retro abierunt: et insulam condiderunt ad oram Libyæ sitam, cui nomen (ut supra dictum) Platea. Dicitur autem hæc insula pari esse magnitudine, atque nunc est urbs Cyrenæorum.

CLVII. Hanc insulam postquam per biennium habitarant, quum nihil illis prospere cederet, uno suorum ibi relicto, reliqui omnes Delphos navigarunt: oraculumque adeuntes, responsum petiere, dicentes, Libyam se habitare, nec idcirco melius secum agi. (2) Ad hæc illis tale responsum Pythia dedit:

Si tu Libyam ovium nutricem melius nosti, [pientiam.
qui non adiisti, quam ego qui adii; valde miror tuam sa-

Quæ Battus cum suis ubi audivit, retro navigavit: nec enim illos condenda colonia, quasi mandato satisfecissent, prius absolvit deus, quam in ipsam Libyam pervenissent. (3) Igitur postquam in insulam pervenerunt, recepto eo quem ibi reliquerant, in ipsa Libya e regione insulæ locum eum condiderunt cui nomen Aziris; quem amœnissimi colles cum nemoribus et vallibus utrimque includunt, et ab altero latere amnis præterfluit.

CLVIII. Hunc locum quum per sex annos incoluissent, septimo anno, precantibus indigenis, et meliorem in locum sese illos perducturos esse pollicentibus, persuasi sunt hunc relinquere. (2) Duxeruntque eos Libyes inde moventes occidentem versus: per pulcerrimam autem regionem, ne eam transeuntes Græci viderent noctu eos transduxerunt, diei horam ita commensi: nomen huic regioni Irasa est. (3) Deinde eos ad fontem duxerunt, qui Apollini sacer per-

Ἀπόλλωνος εἶπαν, « ἄνδρες Ἕλληνες, ἐνθαῦτα ὑμῖν ἐπιτήδεον οἰκέειν· ἐνθαῦτα γὰρ ὁ οὐρανὸς τέτρηται. »

CLIX. Ἐπὶ μέν νυν Βάττου τε τοῦ οἰκιστέω τῆς ζόης, ἄρξαντος ἐπὶ τεσσεράκοντα ἔτεα, καὶ τοῦ παιδὸς αὐτοῦ Ἀρκεσίλεω ἄρξαντος ἑκκαίδεκα ἔτεα, οἰκεον οἱ Κυρηναῖοι ἐόντες τοσοῦτοι ὅσοι ἀρχὴν ἐς τὴν ἀποικίην ἐστάλησαν· ἐπὶ δὲ τοῦ τρίτου, Βάττου τοῦ εὐδαίμονος καλευμένου, Ἕλληνας πάντας ὥρμησε χρήσασα ἡ Πυθίη πλώειν συνοικήσοντας Κυρηναίοισι Λιβύην· ἐπεκαλεῦντο γὰρ οἱ Κυρηναῖοι ἐπὶ γῆς ἀναδασμῷ. (2). Ἔχρησε δὲ ὧδε ἔχοντα,

Ὅς δέ κεν ἐς Λιβύην πολυήρατον ὕστερον ἔλθῃ
γᾶς ἀναδαιομένας, μετά οἱ ποκά φαμι μελήσειν.

Συλλεχθέντος δὲ δμίλου πολλοῦ ἐς τὴν Κυρήνην περιταμνόμενοι γῆν πολλὴν οἱ περίοικοι Λίβυες καὶ ὁ βασιλεὺς αὐτῶν τῷ οὔνομα ἦν Ἀδικράν, οἷα τῆς τε χώρης στερισκόμενοι καὶ περιυβριζόμενοι ὑπὸ τῶν Κυρηναίων, πέμψαντες ἐς Αἴγυπτον ἔδοσαν σφέας αὐτοὺς Ἀπρίῃ τῷ Αἰγύπτου βασιλεῖ. (3) Ὁ δὲ συλλέξας στρατὸν Αἰγυπτίων πολλὸν ἔπεμπε ἐπὶ τὴν Κυρήνην. Οἱ δὲ Κυρηναῖοι ἐκστρατευσάμενοι ἐς Ἴρασα χῶρον καὶ ἐπὶ κρήνην Θέστιν συνέβαλόν τε τοῖσι Αἰγυπτίοισι καὶ ἐνίκησαν τῇ συμβολῇ· (4) ἅτε γὰρ οὐ πεπειρημένοι πρότερον οἱ Αἰγύπτιοι Ἑλλήνων καὶ παραχρεώμενοι διεφθάρησαν οὕτω ὥστε ὀλίγοι τινὲς αὐτῶν ἀπενόστησαν ἐς Αἴγυπτον. Ἀντὶ τούτων Αἰγύπτιοι κατὰ ταὐτὰ ἐπιμεμφόμενοι Ἀπρίῃ ἀπέστησαν ἀπ' αὐτοῦ.

CLX. Τούτου δὲ τοῦ Βάττου γίνεται παῖς Ἀρκεσίλεως, ὃς βασιλεύσας πρῶτα τοῖσι ἑωυτοῦ ἀδελφεοῖσι ἐστασίασε, ἐς ὃ μιν οὗτοι ἀπολιπόντες οἴχοντο ἐς ἄλλον χῶρον τῆς Λιβύης καὶ ἐπ' ἑωυτῶν βαλόμενοι ἔκτισαν πόλιν ταύτην ἣ τότε καὶ νῦν Βάρκη καλέεται· κτίζοντες δ' ἅμα αὐτὴν ἀπιστᾶσι ἀπὸ τῶν Κυρηναίων τοὺς Λίβυας. (2) Μετὰ δὲ Ἀρκεσίλεως ἐς τοὺς ὑποδεξαμένους τε τῶν Λιβύων καὶ ἀποστάντας τοὺς αὐτοὺς τούτους ἐστρατεύετο· οἱ δὲ Λίβυες δείσαντες αὐτὸν οἴχοντο φεύγοντες πρὸς τοὺς ἠοίους τῶν Λιβύων. (3) Ὁ δὲ Ἀρκεσίλεως εἵπετο φεύγουσι, ἐς ὃ ἐν Λεύκωνί τε τῇς Λιβύης ἐγίνετο ἐπιδιώκων καὶ ἔδοξε τοῖσι Λίβυσι ἐπιθέσθαι οἱ. Συμβαλόντες δὲ ἐνίκησαν τοὺς Κυρηναίους τοσοῦτο ὥστε ἑπτακισχιλίους ὁπλίτας Κυρηναίων ἐνθαῦτα πεσέειν. (4) Μετὰ δὲ τὸ τρῶμα τοῦτο Ἀρκεσίλεων μὲν κάμνοντά τε καὶ φάρμακον πεπωκότα ὁ ἀδελφεὸς Λέαρχος ἀποπνίγει, Λέαρχον δὲ ἡ γυνὴ ἡ Ἀρκεσίλεω δόλῳ κτείνει, τῇ οὔνομα ἦν Ἐρυξώ.

CLXI. Διεδέξατο δὲ τὴν βασιληίην τοῦ Ἀρκεσίλεω ὁ παῖς Βάττος, χωλὸς ἐὼν καὶ οὐκ ἀρτίπους. Οἱ δὲ Κυρηναῖοι πρὸς τὴν καταλαβοῦσαν συμφορὴν ἔπεμπον ἐς Δελφοὺς ἐπειρησομένους ὅντινα τρόπον καταστησάμενοι κάλλιστα ἂν οἰκέοιεν. (2) Ἡ δὲ Πυθίη ἐκέλευε ἐκ Μαντινέης τῆς Ἀρκάδων καταρτιστῆρα ἀγαγέσθαι. Αἴτεον ὦν οἱ Κυρηναῖοι, καὶ οἱ Μαντινέες ἔδοσαν ἄνδρα τῶν ἀστῶν δοκιμώτατον, τῷ οὔνομα ἦν Δημῶναξ. Οὗτος

hibetur, dixeruntque : « Viri Græci, hic vobis commodum est habitare : hic enim perforatum est cœlum. »

CLIX. Jam, quousque et Battus vixit, coloniæ conditor, qui annos regnavit quadraginta, et hujus filius Arcesilaus, qui sedecim annos regnavit, habitarunt hanc regionem Cyrenæi tot numero, quot initio in coloniam fuerant missi. Tertio vero regnante, Batto cognomine Felice, Græcos omnes Pythia edito oraculo induxit, ut in Africam navigarent, cum Cyrenæis eam frequentaturi : invitaverant enim illos Cyrenæi, agrorum partitionem polliciti. (2) Oraculum Pythiæ tale erat :

Serior in Libyen quisquis pervenerit almam
post discretum agrum, mox hunc, affirmo, pigebit.

Postquam igitur magna hominum multitudo Cyrenen confluxit, finitimi Libyes, magna regionis parte exclusi, rexque eorum, cui nomen erat Adicran, quippe agris exuti et contumeliose habiti a Cyrenæis, missis in Ægyptum legatis, Apriæ regi Ægypti sese tradiderunt. (3) Et ille ingentem Ægyptiorum contractum exercitum contra Cyrenen misit. Cui Cyrenæi cum suis copiis in regionem cui Irasa nomen et ad fontem Thestin obviam progressi, prælio cum Ægyptiis commisso victoriam reportarunt. (4) Ægyptii enim, Græcorum arma prius non experti, illosque aspernati, ita cæsi sunt, ut eorum pauci quidam in Ægyptum redierint. Cujus cladis culpam ipsi Apriæ tribuentes Ægyptii protinus ab eo defecerunt.

CLX. Batti hujus filius fuit Arcesilaus; qui postquam regnum suscepit, primum cum fratribus suis discordias exercuit; donec hi, illo relicto, in alium Libyæ locum concesserunt, inter seque inito consilio urbem hanc condiderunt, cui nomen inditum, quod etiam nunc obtinet, Barca; simulque Afris, ut a Cyrenæis deficerent, persuaserunt. (2) Post hæc Arcesilaus adversus hos Afros, qui fratres suos receperant, et ab ipso defecerant, arma movit. Afri vero, illum metuentes, ad Libyes versus orientem incolentes confugerunt : (3) et Arcesilaus, fugientes secutus, et Leuconem usque, Libyæ oppidum, persecutus est : ibi adgredi eum Libyes statuerunt. Qui prælio commisso tam insignem victoriam reportarunt de Cyrenæis, ut ex iis septem millia armatorum in illo loco ceciderint. (4) Post eam cladem ægrotans Arcesilaus, quum medicamentum sumpsisset, a fratre Learcho strangulatus est. Learchum vero uxor Arcesilæ, cui nomen erat Eryxo, per dolum occidit.

CLXI. Arcesilao in regnum successit filius Battus, pede claudus neque integer. Cyrenæi vero ob tristem rerum suarum statum Delphos miserunt qui deum consulerent, qua inita ratione optime res suas administrarent. (2) Quos Pythia jussit ex Mantinea Arcadiæ moderatorem arcessere. Petierunt igitur Cyrenæi a Mantinensibus : hique illis dederunt virum inter cives probatissimum, cui nomen erat De-

ὧν ὤνηρ ἀπικόμενος ἐς τὴν Κυρήνην καὶ μαθὼν ἕκαστα τοῦτο μὲν τριφύλους ἐποίησέ σφεας, τῇδε διαθείς· (3) Θηραίων μὲν γὰρ καὶ τῶν περιοίκων μίαν μοῖραν ἐποίησε, ἄλλην δὲ Πελοποννησίων καὶ Κρητῶν, τρίτην δὲ νησιωτέων πάντων· τοῦτο δὲ τῷ βασιλέϊ Βάττῳ τεμένεα ἐξελὼν καὶ ἱρωσύνας, τὰ ἄλλα πάντα τὰ πρότερον εἶχον οἱ βασιλέες ἐς μέσον τῷ δήμῳ ἔθηκε.

CLXII. Ἐπὶ μὲν δὴ τούτου τοῦ Βάττου οὕτω διετέλεε ἐόντα, ἐπὶ δὲ τοῦ τούτου παιδὸς Ἀρκεσίλεω πολλὴ ταραχὴ περὶ τῶν τιμέων ἐγένετο. Ἀρκεσίλεως γὰρ ὁ Βάττου τε τοῦ χωλοῦ καὶ Φερετίμης οὐκ ἔφη ἀνέξεσθαι κατὰ ὁ Μαντινεὺς Δημῶναξ ἔταξε, ἀλλ' ἀπαίτεε τὰ τῶν προγόνων γέρεα. (2) Ἐνθεῦτεν στασιάζων ἐσσώθη καὶ ἔφυγε ἐς Σάμον, ἡ δὲ μήτηρ οἱ ἐς Σαλαμῖνα τῆς Κύπρου ἔφυγε. (3) Τῆς δὲ Σαλαμῖνος τοῦτον τὸν χρόνον ἐπεκράτεε Εὐέλθων, ὃς τὸ ἐν Δελφοῖσι θυμιητήριον ἐὸν ἀξιοθέητον ἀνέθηκε, τὸ ἐν τῷ Κορινθίων θησαυρῷ κέεται. (4) Ἀπικομένη δὲ παρὰ τοῦτον ἡ Φερετίμη ἐδέετο στρατιῆς ἥ κατάξει σφέας ἐς τὴν Κυρήνην. Ὁ δέ γε Εὐέλθων πᾶν μᾶλλον ἢ στρατιήν οἱ ἐδίδου· ἡ δὲ λαμβάνουσα τὸ διδόμενον καλὸν μὲν ἔφη καὶ τοῦτο εἶναι, κάλλιον δὲ ἐκεῖνο, τὸ δοῦναί οἱ δεομένῃ στρατιήν· τοῦτο γὰρ ἐπὶ παντὶ τῷ διδομένῳ ἔλεγε. (5) Τελευταῖόν οἱ ἐξέπεμψε δῶρον ὁ Εὐέλθων ἄτρακτον χρύσεον καὶ ἠλακάτην, προσῆν δὲ καὶ εἶριον· εἰπάσης δὲ αὖτις τῆς Φερετίμης τὠυτὸ ἔπος, ὁ Εὐέλθων ἔφη τοιούτοισι γυναῖκας δωρέεσθαι, ἀλλ' οὐ στρατιῇ.

CLXIII. Ὁ δὲ Ἀρκεσίλεως τοῦτον τὸν χρόνον ἐὼν ἐν Σάμῳ συνήγειρε πάντα ἄνδρα ἐπὶ γῆς ἀναδασμῷ. Συλλεγομένου δὲ στρατοῦ πολλοῦ ἐστάλη ἐς Δελφοὺς Ἀρκεσίλεως χρησόμενος τῷ χρηστηρίῳ περὶ κατόδου. (2) Ἡ δὲ Πυθίη οἱ χρᾷ τάδε, « ἐπὶ μὲν τέσσερας Βάττους καὶ Ἀρκεσίλεως τέσσερας, ὀκτὼ ἀνδρῶν γενεὰς, διδοῖ ὑμῖν Λοξίης βασιλεύειν Κυρήνης· πλέον μέντοι τούτου οὐδὲ πειρᾶσθαι παραινέει. (3) Σὺ μέντοι ἥσυχος εἶναι κατελθὼν ἐς τὴν σεωυτοῦ. Ἢν δὲ τὴν κάμινον εὕρῃς πλέην ἀμφορέων, μὴ ἐξοπτήσῃς τοὺς ἀμφορέας, ἀλλ' ἀπόπεμπε κατ' οὖρον. Εἰ δὲ ἐξοπτήσεις τὴν κάμινον, μὴ ἐσέλθῃς ἐς τὴν ἀμφίρρυτον· εἰ δὲ μή, ἀποθανέαι καὶ αὐτὸς καὶ ταῦρος ὁ καλλιστεύων. »

CLXIV. Ταῦτα ἡ Πυθίη Ἀρκεσίλεῳ χρᾷ. Ὁ δὲ παραλαβὼν τοὺς ἐκ τῆς Σάμου κατῆλθε ἐς τὴν Κυρήνην, καὶ ἐπικρατήσας τῶν πρηγμάτων τοῦ μαντηίου οὐκ ἐμέμνητο, ἀλλὰ δίκας τοὺς ἀντιστασιώτας αἴτεε τῆς ἑωυτοῦ φυγῆς. (2) Τῶν δὲ οἱ μὲν τὸ παράπαν ἐκ τῆς χώρης ἀπαλλάσσοντο, τοὺς δέ τινας χειρωσάμενος ὁ Ἀρκεσίλεως ἐς Κύπρον ἀπέστειλε ἐπὶ διαφθορῇ. Τούτους μέν νυν Κνίδιοι ἀπενειχθέντας πρὸς τὴν σφετέρην ἐρρύσαντο καὶ ἐς Θήρην ἀπέστειλαν. Ἑτέρους δέ τινας τῶν Κυρηναίων ἐς πύργον μέγαν Ἀγλωμάχου καταφυγόντας ἰδιωτικὸν ὕλην περινήσας ὁ Ἀρκεσίλεως ἐνέπρησε. (3) Μαθὼν δὲ ἐπ' ἐξεργασμένοισι τὸ μαντήϊον ἐὸν τοῦτο, ὅτι μιν ἡ Πυθίη οὐκ ἔα εὑρόντα ἐν τῇ καμίνῳ τοὺς ἀμφορέας ἐξοπτῆσαι, ἔργετο ἐκὼν τῆς

monax. Hic vir igitur postquam Cyrenen pervenit, cognitis rebus singulis, primum in tres tribus distribuit Cyrenæos, partitione in hunc modum instituta: (3) Theræorum et eorum qui in vicinia habitabant [*sive* perioecorum], unam partem constituit; alteram partem Lacedæmoniorum et Cretensium; tertiam reliquorum insularium. Deinde, regi Batto eximios tribuens agros et sacerdotia, reliqua omnia, quæ antea regum fuerant, populo in medium posuit.

CLXII. Jam, regnante quidem hoc Batto, iste rerum status duravit. Sub hujus autem filio Arcesilao multæ turbæ de honoribus sunt exortæ. Arcesilaus enim, Batti claudi filius et Pheretimæ, negavit se toleraturum rerum statum a Mantinensi Demonacte ordinatum, verum honores et privilegia repetiit suorum majorum. (2) Inde excitata seditione victus, Samum profugit: mater vero Pheretima, et ipsa fugiens, Salaminem Cypri se recepit. (3) Salaminem per id tempus tenuit Euelthon, is qui thuribulum illud spectatu dignum Delphis dedicavit, quod est in Corinthiorum thesauro repositum. (4) Hunc adiens Pheretima, exercitum ab eo petiit, qui se et filium Cyrenen reduceret. At ei Euelthon quidlibet magis, quam exercitum, dedit. Et illa accipiens dona, bonum quidem, ait, et hoc esse; melius vero illud fore, si petenti sibi daret exercitum. His verbis, quoties donum aliquod accepit, usa est. (5) Postremo Euelthon dono ei misit fusum aureum et colum, cui lana etiam circumdata. Quumque idem dictum Pheretima repeteret, respondit Euelthon, talia munera dari mulieribus, non exercitum.

CLXIII. Per idem tempus Arcesilaus, Samo moratus, unumquemque excitabat spe dividendorum agrorum proposita. Quumque jam magnam manum contraxisset, Delphos est profectus, de reditu consulturus oraculum; (2) cui Pythia hoc dedit responsum: « Quattuor Battis et quattuor Arcesilais, per octo hominum generationes, dat Loxias regnum obtinere Cyrenæ: ulterius vero ut ne conemini quidem hortatur. (3) Tu tamen, quum domum redieris, quietus esto: et quando fornacem repereris plenum amphoris, ne excoque amphoras, sed ad auram illas emitte. Sin excoxeris fornacem, ne in circumfluum intres: alioqui peribis tu et pulcerrimus taurus. »

CLXIV. Hoc a Pythia accepto responso Arcesilaus, sumptis secum Samiis, Cyrenen rediit. Et ibi rerum potitus, editi oraculi non erat memor, sed pœnas repetivit exsilii sui ab adversariis. (2) Horum autem alii regione prorsus excesserunt: alios vero, in potestatem suam redactos, Arcesilaus Cyprum misit, ibi interficiendos. At hos quidem Cnidii, suam ad oram delatos, servarunt, et Theram miserunt. Alios vero Cyrenæorum nonnullos, qui in privatam Aglomachi magnam turrim confugerant, circumdata materia Arcesilaus cremavit. (3) Quo patrato facinore animadvertens hanc esse oraculi sententiam, quod noluisset Pythia ut repertas in fornace amphoras excoqueret, Cyrenæorum

τῶν Κυρηναίων πόλιος, δειμαίνων τε τὸν κεχρησμένον θάνατον καὶ δοκέων ἀμφίρρυτον τὴν Κυρήνην εἶναι. (4) Εἶχε δὲ γυναῖκα συγγενέα ἑωυτοῦ, θυγατέρα δὲ τῶν Βαρκαίων τοῦ βασιλέως, τῷ οὔνομα ἦν Ἀλαζίρ. Παρὰ τοῦτον ἀπικνέεται, καί μιν Βαρκαῖοί τε ἄνδρες καὶ τῶν ἐκ Κυρήνης φυγάδων τινὲς καταμαθόντες ἀγοράζοντα κτείνουσι, πρὸς δὲ καὶ τὸν πενθερὸν αὐτοῦ Ἀλαζίρα. Ἀρκεσίλεως μέν νυν εἴτε ἑκὼν εἴτε ἀέκων ἁμαρτὼν τοῦ χρησμοῦ ἐξέπλησε μοῖραν τὴν ἑωυτοῦ.

CLXV. Ἡ δὲ μήτηρ Φερετίμη, ἕως μὲν ὁ Ἀρκεσίλεως ἐν τῇ Βάρκῃ διαιτᾶτο ἐξεργασμένος ἑωυτῷ κακὸν, ἡ δὲ εἶχε αὐτὴ τοῦ παιδὸς τὰ γέρεα ἐν Κυρήνῃ, καὶ τἄλλα νεμομένη καὶ ἐν βουλῇ παρίζουσα· ἐπείτε δὲ ἔμαθε ἐν τῇ Βάρκῃ ἀποθανόντα οἱ τὸν παῖδα, φεύγουσα οἰχώκεε ἐς Αἴγυπτον. (2) Ἔσαν γάρ οἱ ἐκ τοῦ Ἀρκεσίλεω εὐεργεσίαι ἐς Καμβύσεα τὸν Κύρου πεποιημέναι· οὗτος γὰρ ἦν ὁ Ἀρκεσίλεως ὃς Κυρήνην Καμβύσῃ ἔδωκε καὶ φόρον ἐτάξατο. Ἀπικομένη δὲ ἐς Αἴγυπτον ἡ Φερετίμη Ἀρυάνδεω ἱκέτις ἕζετο, τιμωρῆσαι ἑωυτῇ κελεύουσα, προϊσχομένη πρόφασιν ὡς διὰ τὸν μηδισμὸν ὁ παῖς οἱ τέθνηκε.

CLXVI. Ὁ δὲ Ἀρυάνδης ἦν οὗτος τῆς Αἰγύπτου ὕπαρχος ὑπὸ Καμβύσεω κατεστεὼς, ὃς ὑστέρῳ χρόνῳ τούτων παρισεύμενος Δαρείῳ διεφθάρη· πυθόμενος γὰρ καὶ ἰδὼν Δαρεῖον ἐπιθυμέοντα μνημόσυνον ἑωυτοῦ λιπέσθαι τοῦτο τὸ μὴ ἄλλῳ εἴη βασιλεῖ κατεργασμένον, ἐμιμέετο τοῦτον, ἐς ὃ ἔλαβε τὸν μισθόν. (2) Δαρεῖος μὲν γὰρ χρυσίον καθαρώτατον ἀπεψήσας ἐς τὸ δυνατώτατον νόμισμα ἐκόψατο, Ἀρυάνδης δὲ ἄρχων Αἰγύπτου ἀργύριον τοιοῦτο τοῦτο ἐποίεε· καὶ νῦν ἐστι ἀργύριον καθαρώτατον τὸ Ἀρυανδικόν. Μαθὼν δὲ Δαρεῖός μιν ταῦτα ποιεῦντα, αἰτίην οἱ ἄλλην ἐπενείκας, ὡς οἱ ἐπανίσταιτο, ἀπέκτεινε.

CLXVII. Τότε δὲ οὗτος ὁ Ἀρυάνδης κατοικτείρας Φερετίμην διδοῖ αὐτῇ στρατὸν τὸν ἐξ Αἰγύπτου ἅπαντα, καὶ τὸν πεζὸν καὶ τὸν ναυτικόν· στρατηγὸν δὲ τοῦ μὲν πεζοῦ Ἄμασιν ἀπέδεξε ἄνδρα Μαράφιον, τοῦ δὲ ναυτικοῦ Βάδρην ἐόντα Πασαργάδην γένος. (2) Πρὶν δὲ ἢ ἀποστεῖλαι τὴν στρατιὴν, ὁ Ἀρυάνδης πέμψας ἐς τὴν Βάρκην κήρυκα ἐπυνθάνετο τίς εἴη ὁ Ἀρκεσίλεων ἀποκτείνας. Οἱ δὲ Βαρκαῖοι αὐτοὶ ὑπεδέκοντο πάντες· πολλά τε γὰρ καὶ κακὰ πάσχειν ὑπ' αὐτοῦ. (3) Πυθόμενος δὲ ταῦτα ὁ Ἀρυάνδης οὕτω δὴ τὴν στρατιὴν ἀπέστειλε ἅμα τῇ Φερετίμῃ. Αὕτη μέν νυν αἰτίη πρόσχημα τοῦ λόγου ἐγίνετο, ἐπέμπετο δὲ ἡ στρατιὴ, ὡς ἐμοὶ δοκέειν, ἐπὶ Λιβύων καταστροφῇ· Λιβύων γὰρ δὴ ἔθνεα πολλὰ καὶ παντοῖα ἐστὶ, καὶ τὰ μὲν αὐτῶν ὀλίγα βασιλέος ἦν ὑπήκοα, τὰ δὲ πλέω ἐφρόντιζε Δαρείου οὐδέν.

CLXVIII. Οἰκέουσι δὲ κατὰ τάδε Λίβυες, ἀπ' Αἰγύπτου ἀρξάμενοι· πρῶτοι Ἀδυρμαχίδαι Λιβύων κατοικέαται, οἳ νόμοισι μὲν τὰ πλέω Αἰγυπτίοισι χρέονται, ἐσθῆτα δὲ φορέουσι οἵην περ οἱ ἄλλοι Λίβυες. (2) Αἱ δὲ γυναῖκες αὐτῶν ψέλιον περὶ ἑκατέρῃ

urbe ultro abstinuit, mortem timens oraculo significatam, et circumfluam illam existimans esse Cyrenen. (4) Habuit uxorem, cognatam sui, filiam regis Barcæorum, cui nomen erat Alazir : ad hunc se recepit. At ibi conspicati eum cives Barcæi et Cyrenæorum exsulum nonnulli in foro versantem interfecerunt, simulque cum illo socerum Alazirem. Ita Arcesilaus, oraculi responso sive volens sive præter suam voluntatem non obsecutus, fatum suum implevit.

CLXV. Dum Arcesilaus, mali sui sibi auctor, Barcæ versabatur, interim mater ejus Pheretima honoribus filii Cyrenæ fungebatur, quum cætera administrans, tum in senatu adsidens : postquam vero filium cognovit Barcæ periisse, relicta Cyrene in Ægyptum profugit. (2) Exstabant enim merita ab Arcesilao in Cambysen Cyri filium collata : erat quippe hic Arcesilaus, qui Cyrenen Cambysi tradiderat, et tributum ei pactus erat pendendum. In Ægyptum ubi pervenit Pheretima, supplex adiit Aryanden, suppetias sibi ferre rogans; caussam interserens, periisse filium suum eo quod Medorum favisset partibus.

CLXVI. Erat hic Aryandes præfectus Ægypti, a Cambyse constitutus; idem qui postea, quum se parem gereret Dario, interfectus est. Postquam enim cognovit viditque Darium cupere monumentum relinquere sui, quale nemo ante illum rex effecisset, æmulatus est eum, donec tandem mercedem retulit. (5) Etenim Darius aurum ita excoquendum curaverat, ut, quoad maxime fieri posset, esset purgatissimum; quo ex auro monetam procudit. Aryandes vero, Ægypti præfectus, idem ipsum argento fecit : atque etiam nunc purgatissimum argentum est Aryandicum. Id ubi eum facere cognovit Darius, alia in eum culpa collata, quasi adversus ipsum rebellasset, interficiendum curavit.

CLXVII. Tunc vero Aryandes hic, miseratus Pheretimam, pollicetur et universum qui in Ægypto erat exercitum, pedestrem et classiarium; duce nominato pedestrium copiarum Amasi, de Maraphiorum genere; navalium vero Badra, de genere Pasargadarum. (2) Priusquam autem mitteret exercitum, præconem in urbem Barcam misit, quæsiturum quis esset qui Arcesilaum interfecisset. Barcæi vero universi in se culpam receperunt, multa ab illo mala passos se esse dicentes. (3) Qua re cognita, tum demum exercitum cum Pheretima misit. Et hæc quidem caussa verbo tenus prætendebatur : missus autem, ut mihi quidem videtur, est exercitus hoc consilio, ut Libyes sub Persarum redigerentur potestatem. Sunt enim Libyum (sive Afrorum) multi atque varii populi : quorum pauci nonnulli regis imperio parebant, plerique autem nullam Darii habebant rationem.

CLXVIII. Habitant autem Libyes hoc modo, incipiendo ab Ægypto, primi Afrorum sedes habent Adyrmachidæ. qui institutis quidem maximam partem utuntur Ægyptiis, vestem vero gestant, qualem cæteri fere Libyes. (5) Mu-

τῶν κνημέων φορέουσι χάλκεον· τὰς κεφαλὰς δὲ κομέουσαι, τοὺς φθεῖρας ἐπὰν λάβωσι τοὺς ἑωυτῆς ἑκάστη ἀντιδάκνει καὶ οὕτω ῥίπτει. (3) Οὗτοι δὲ μοῦνοι Λιβύων τοῦτο ἐργάζονται, καὶ τῷ βασιλεῖ μοῦνοι τὰς παρθένους μελλούσας συνοικέειν ἐπιδεικνῦσι· ἢ δὲ ἂν τῷ βασιλέϊ ἀρεστὴ γένηται, ὑπὸ τούτου διαπαρθενεύεται. (4) Παρήκουσι δὲ οὗτοι οἱ Ἀδυρμαχίδαι ἀπ' Αἰγύπτου μέχρι λιμένος τῷ οὔνομα Πλυνός ἐστι.

CLXIX. Τούτων δὲ ἔχονται Γιλιγάμμαι, νεμόμενοι τὴν πρὸς ἑσπέρην χώρην μέχρι Ἀφροδισιάδος νήσου. Ἐν δὲ τῷ μεταξὺ τούτου χώρῳ ἥ τε Πλατέα νῆσος ἐπικέεται τὴν ἔκτισαν Κυρηναῖοι, καὶ ἐν τῇ ἠπείρῳ Μενελάϊος λιμήν ἐστι καὶ Ἄζιρις, τὴν οἱ Κυρηναῖοι οἰκεον· (2) καὶ τὸ σίλφιον ἄρχεται ἀπὸ τούτου· παρήκει δὲ ἀπὸ Πλατέης νήσου μέχρι τοῦ στόματος τῆς Σύρτιος τὸ σίλφιον. Νόμοισι δὲ χρέονται οὗτοι παραπλησίοισι τοῖσι ἑτέροισι.

CLXX. Γιλιγαμμέων δὲ ἔχονται τὸ πρὸς ἑσπέρης Ἀσβύσται· οὗτοι τὸ ὑπὲρ Κυρήνης οἰκέουσι. Ἐπὶ θάλασσαν δὲ οὐ κατήκουσι Ἀσβύσται· τὸ γὰρ παρὰ τὴν θάλασσαν Κυρηναῖοι νέμονται. (2) Τεθριπποβάται δὲ οὐκ ἥκιστα, ἀλλὰ μάλιστα Λιβύων εἰσὶ, νόμους δὲ τοὺς πλεῦνας μιμέεσθαι ἐπιτηδεύουσι τοὺς Κυρηναίων.

CLXXI. Ἀσβυστέων δὲ ἔχονται τὸ πρὸς ἑσπέρης Αὐσχῖσαι· οὗτοι ὑπὲρ Βάρκης οἰκέουσι, κατήκοντες ἐπὶ θάλασσαν κατ' Εὐεσπερίδας. (2) Αὐσχισέων δὲ κατὰ μέσον τῆς χώρης οἰκέουσι Βάκαλες, ὀλίγον ἔθνος, κατήκοντες ἐπὶ θάλασσαν κατὰ Ταύχειρα πόλιν τῆς Βαρκαίης· νόμοισι δὲ τοῖσι αὐτοῖσι χρέονται τοῖσι καὶ οἱ ὑπὲρ Κυρήνης.

CLXXII. Αὐσχισέων δὲ τούτων τὸ πρὸς ἑσπέρης ἔχονται Νασαμῶνες, ἔθνος ἐὸν πολλὸν, οἳ τὸ θέρος καταλείποντες ἐπὶ τῇ θαλάσσῃ τὰ πρόβατα ἀναβαίνουσι ἐς Αὔγιλα χῶρον ὀπωριεῦντες τοὺς φοίνικας· οἱ δὲ πολλοὶ καὶ ἀμφιλαφέες πεφύκασι, πάντες ἐόντες καρποφόροι. (2) Τοὺς δὲ ἀττελέβους ἐπὰν θηρεύσωσι, αὐήναντες πρὸς τὸν ἥλιον καταλέουσι καὶ ἔπειτεν ἐπὶ γάλα ἐπιπάσσοντες πίνουσι. Γυναῖκας δὲ νομίζοντες πολλὰς ἔχειν ἕκαστος ἐπίκοινον αὐτέων τὴν μίξιν ποιεῦνται, τρόπῳ παραπλησίῳ τῷ καὶ Μασσαγέται· ἐπὰν σκίπωνα προστήσωνται, μίσγονται. (3) Πρῶτον δὲ γαμέοντος Νασαμῶνος ἀνδρὸς νόμος ἐστὶ τὴν νύμφην νυκτὶ τῇ πρώτῃ διὰ πάντων διεξελθεῖν τῶν δαιτυμόνων μισγομένην· τῶν δὲ ὡς ἕκαστός οἱ μιχθῇ, διδοῖ δῶρον τὸ ἂν ἔχῃ φερόμενος ἐξ οἴκου. (4) Ὁρκίοισι δὲ καὶ μαντιχῇ χρέονται τοιῇδε· ὀμνῦσι μὲν τοὺς παρὰ σφίσι ἄνδρας δικαιοτάτους καὶ ἀρίστους λεγομένους γενέσθαι, τούτους, τῶν τύμβων ἁπτόμενοι· μαντεύονται δὲ ἐπὶ τῶν προγόνων φοιτέοντες τὰ σήματα, καὶ κατευξάμενοι ἐπικατακοιμέονται· τὸ δ' ἂν ἴδῃ ἐν τῇ ὄψι ἐνύπνιον, τούτῳ χρᾶται. (5) Πίστισι δὲ τοιῇσίδε χρέονται· ἐκ τῆς χειρὸς διδοῖ πιέειν, καὶ αὐτὸς ἐκ τῆς

lieres eorum in utraque tibia armillam gestant æneam : comam alunt; et pediculos, quos quæque capit, vicissim mordet, atque ita abjicit. (3) Hi soli ex cunctis Afris hoc faciunt : iidemque soli virgines, quum in eo sunt ut nubant, regi ostendunt; quarum quæcumque illi placet, eam rex devirginat. (4) Pertinent hi Adyrmachidæ ab Ægypto usque ad portum cui nomen est Plynus.

CLXIX. His contigui sunt Giligammæ, terram incolentes occidentem versus, usque ad Aphrodisiadem insulam. In hujus regionis medio ad oram sita est Platea insula, in quam Cyrenæi duxerant coloniam; in continente vero est Menelaius portus, et Aziris oppidum, quod incolebant Cyrenæi; (2) unde incipit silphium; pertinet autem silphium a Platea insula usque ad ostium Syrtis. Institutis hi utuntur iisdem fere atque ii de quibus ante dictum.

CLXX. Giligammarum, occidentem versus, finitimi sunt Asbystæ. Hi supra Cyrenen habitant : nec ad mare pertinent; oram enim maritimam Cyrenæi incolunt. (2) In regendis quadrigis non postremi sunt, sed vel maxime inter Afros omnes eminent. Instituta autem pleraque æmulantur Cyrenæorum.

CLXXI. Asbystis ab occidente contermini sunt Auschisæ. Hi super Barcam habitant, pertinentque ad mare circa Euesperidas. (2) In media Auschisarum ditione habitant Bacales, exiguus populus, ad mare pertinentes prope Tauchira, oppidum ditionis Barcææ. Iisdem institutis hi utuntur atque illi qui supra Cyrenen habitant.

CLXXII. Auschisarum horum, versus occidentem, finitimi sunt Nasamones, numerosus populus; qui æstate, relictis ad mare pecoribus, ad locum cui Augila nomen, adscendunt, palmulas collecturi : nascuntur enim ibi frequentes palmæ arbores, insigni magnitudine, et frugiferæ omnes. (2) Iidem locustas venantur, quas ad solem siccatas molunt, et deinde lacti inspersas una cum lacte bibunt. Uxores quidem quisque complures solet habere, sed promiscue cum quibuslibet coeunt : simili modo, atque Massagetæ, scipione prius in terram defixo concumbunt. (3) Quando primum uxorem ducit vir Nasamon, moris est ut prima nocte sponsa cum singulis deinceps convivis concumbat : et quilibet, postquam coïit, donum dat quod domo secum attulit. (4) Jurisjurandi et divinationis apud eos hi ritus sunt : jurant per viros qui inter ipsos justissimi et fortissimi dicuntur fuisse; per hos jurant, sepulcra eorum tangentes. Divinaturi, ad sepulcra accedunt majorum, et peractis precibus ibidem indormiunt : quodcumque dein visum quisque per somnum vidit, eo utitur. (5) Fidem sibi mutuo dant hoc modo : alter alteri ex sua manu præbet bibendum, vicissim

τοῦ ἑτέρου πίνει· ἢν δὲ μὴ ἔχωσι ὑγρὸν μηδέν, οἱ δὲ τῆς χαμαῖθεν σποδοῦ λαβόντες λείχουσι.

CLXXIII. Νασαμῶσι δὲ προσόμουροί εἰσι Ψύλλοι· οὗτοι ἐξαπολώλασι τρόπῳ τοιῷδε· ὁ νότος σφι πνέων ἄνεμος τὰ ἕλυτρα τῶν ὑδάτων ἐξηύηνε, ἡ δὲ χώρη σφι πᾶσα ἐντὸς ἐοῦσα τῆς Σύρτιος ἦν ἄνυδρος· οἱ δὲ βουλευσάμενοι κοινῷ λόγῳ ἐστρατεύοντο ἐπὶ τὸν νότον (λέγω δὲ ταῦτα τὰ λέγουσι Λίβυες), καὶ ἐπείτε ἐγίνοντο ἐν τῇ ψάμμῳ, πνεύσας ὁ νότος κατέχωσέ σφεας. Ἐξαπολομένων δὲ τούτων ἔχουσι τὴν χώρην οἱ Νασαμῶνες.

CLXXIV. Τούτων δὲ κατύπερθε πρὸς νότον ἄνεμον ἐν τῇ θηριώδεϊ οἰκέουσι Γαράμαντες, οἳ πάντα ἄνθρωπον φεύγουσι καὶ παντὸς ὁμιλίην, καὶ οὔτε ὅπλον ἐκτέαται ἀρήϊον οὐδὲν οὔτε ἀμύνεσθαι ἐπιστέαται.

CLXXV. Οὗτοι μὲν δὴ κατύπερθε οἰκέουσι Νασαμώνων· τὸ δὲ παρὰ τὴν θάλασσαν ἔχονται τὸ πρὸς ἑσπέρης Μάκαι, οἳ λόφους κείρονται, τὸ μὲν μέσον τῶν τριχῶν ἀνιέντες αὔξεσθαι, τὰ δὲ ἔνθεν καὶ ἔνθεν κείροντες ἐν χροΐ, ἐς δὲ τὸν πόλεμον στρουθῶν καταγαίων ὁρὰς φορέουσι προβλήματα. (2) Διὰ δὲ αὐτῶν Κῖνυψ ποταμὸς ῥέων ἐκ λόφου καλευμένου Χαρίτων ἐς θάλασσαν ἐκδιδοῖ. Ὁ δὲ λόφος οὗτος ὁ Χαρίτων δασὺς ἰδῆσί ἐστι, ἐούσης τῆς ἄλλης τῆς προκαταλελαχθείσης Λιβύης ψιλῆς· ἀπὸ θαλάσσης δὲ ἐς αὐτὸν στάδιοι διηκόσιοί εἰσι.

CLXXVI. Μακέων δὲ τούτων ἐχόμενοι Γινδᾶνές εἰσι, τῶν αἱ γυναῖκες περισφύρια δερμάτων πολλὰ ἑκάστη φορέει κατὰ τοιόνδε τι, ὡς λέγεται· κατ' ἄνδρα ἕκαστον μιχθέντα περισφύριον περιδέεται· ἡ δ' ἂν πλεῖστα ἔχῃ, αὕτη ἀρίστη δέδοκται εἶναι ὡς ὑπὸ πλείστων ἀνδρῶν φιληθεῖσα.

CLXXVII. Ἀκτὴν δὲ προέχουσαν ἐς τὸν πόντον τούτων τῶν Γινδάνων νέμονται Λωτοφάγοι, οἳ τὸν καρπὸν μοῦνον τοῦ λωτοῦ τρώγοντες ζώουσι. (2) Ὁ δὲ τοῦ λωτοῦ καρπός ἐστι μέγαθος ὅσον τε τῆς σχίνου, γλυκύτητα δὲ τοῦ φοίνικος τῷ καρπῷ προσίκελος. Ποιεῦνται δὲ ἐκ τοῦ καρποῦ τούτου οἱ Λωτοφάγοι καὶ οἶνον.

CLXXVIII. Λωτοφάγων δὲ τὸ παρὰ θάλασσαν ἔχονται Μάχλυες, τῷ λωτῷ μὲν καὶ οὗτοι χρεώμενοι, ἀτὰρ ἔσσον γε τῶν πρότερον λεχθέντων. (2) Κατήκουσι δὲ ἐπὶ ποταμὸν μέγαν τῷ οὔνομα Τρίτων ἐστί· ἐκδιδοῖ δὲ οὗτος ἐς λίμνην μεγάλην Τριτωνίδα· ἐν δὲ αὐτῇ νῆσος ἔνι τῇ οὔνομα Φλά. Ταύτην δὲ τὴν νῆσον Λακεδαιμονίοισί φασι λόγιον εἶναι κτίσαι.

CLXXIX. Ἔστι δὲ καὶ ὅδε λόγος λεγόμενος, Ἰήσονα, ἐπείτε οἱ ἐξεργάσθη ὑπὸ τῷ Πηλίῳ ἡ Ἀργώ, ἐσθέμενον ἐς αὐτὴν ἄλλην τε ἑκατόμβην καὶ δὴ καὶ τρίποδα χάλκεον περιπλώειν Πελοπόννησον, βουλόμενον ἐς Δελφοὺς ἀπικέσθαι· καί μιν, ὡς πλώοντα γενέσθαι κατὰ Μαλέην, ὑπολαβέειν ἄνεμον βορέην καὶ ἀποφέρειν πρὸς τὴν Λιβύην· πρὶν δὲ κατιδέσθαι γῆν, ἐν τοῖσι βράχεσι γενέσθαι λίμνης τῆς Τριτωνίδος. (2)

que ex alterius bibit manu : quodsi liquoris nihil adest, pulverem humo sublatam lingunt.

CLXXIII. Nasamonibus contermini sunt Psylli. Hi tali modo interierunt : Notus ventus exsiccaverat receptacula, quæ habuerant, aquarum : est enim regio intra Syrtin omnis aquarum inops. Tum illi, re deliberata, communi consilio adversus Notum expeditionem susceperunt : (refero autem hæc, quæ Libyes narrant :) et, postquam in arenas pervenerunt, coortus Notus eos obruit. Quibus exstinctis, regionem eorum Nasamones occuparunt.

CLXXIV. Supra hos, meridiem versus, in regione feris frequente, habitant Garamantes; qui quemcumque hominem fugiunt; et cujuscumque commercium : nec arma ulla ad belli usum hi habent, nec pugnare norunt.

CLXXV. Hi igitur supra Nasamones habitant : juxta mare vero, et ab occidente, finitimi eorumdem Macæ sunt. Hi in medio capillos crescere sinentes, hinc vero atque illinc in cute tondentes, per hanc tonsuram cristas gerunt. In bellum proficiscentes, struthionum terrestrium pelles pro scutis gestant. (2) Per eorumdem ditionem Cinyps fluvius, ex colle profluens cui nomen Charitôn, (*id est*, Gratiarum collis) in mare provolvitur. Hic collis Charitôn nemoribus frequens est, quum reliqua Libya, quam adhuc commemoravi, arboribus nuda sit. A mari ad illum stadia sunt ducenta.

CLXXVI. Macis his proximi sunt Gindanes : quorum mulieres fascias ex pellibus ad pedum malleolos gestant unaquæque multas; idque hac de caussa fieri aiunt : ut cum quoque viro concubuit mulier, ita fasciam circumligat; et, quæ plurimas gestat, ea præstantissima esse judicatur, quippe a plurimis viris amata.

CLXXVII. Oram horum Gindanum, quæ in mare prominet, Lotophagi habitant; qui nullo alio cibo, nisi loti fructu, vitam sustentant. (2) Est autem loti fructus magnitudine baccæ lentisci, dulcedine vero similis fructui palmæ arboris. Parant vero Lotophagi etiam vinum ex eodem fructu.

CLXXVIII. Lotophagos, secundum mare, excipiunt Machlyes; qui et ipsi quidem loto utuntur, verumtamen minus quam prædicti. (2) Pertinent hi ad flumen magnum, cui nomen Triton : infunditurque is fluvius in magnum lacum Tritonidem, in quo est insula cui nomen Phla. Hanc insulam, aiunt, Lacedæmonios ex oraculi effato colonis debuisse frequentare.

CLXXIX. Narratur vero etiam hæc historia : Iasonem, postquam sub Pelio navem Argo construxisset, quum alia hecatombe, tunc et tripode æneo in navem imposito, Peloponnesum esse circumvectum, Delphos profecturum, sed quum circa Maleam navigaret, vento borea abreptum et ad Libyam fuisse adpulsum; priusquam autem terram conspexisset, hæsisse in brevibus Tritonidis lacus.

Καί οἱ ἀπορέοντι τὴν ἐξαγωγὴν λόγος ἐστὶ φανῆναι Τρίτωνα, καὶ κελεύειν τὸν Ἰήσονα ἑωυτῷ δοῦναι τὸν τρίποδα, φάμενόν σφι καὶ τὸν πόρον δέξειν καὶ ἀπήμονας ἀποστελέειν. (3) Πειθομένου δὲ τοῦ Ἰήσονος, οὕτω δὴ τόν τε διέκπλοον τῶν βραχέων δεικνύναι τὸν Τρίτωνά σφι, καὶ τὸν τρίποδα θεῖναι ἐν τῷ ἑωυτοῦ ἱρῷ ἐπιθεσπίσαντά τε τῷ τρίποδι καὶ τοῖσι σὺν Ἰήσονι σημήναντα τὸν πάντα λόγον, ὡς ἐπεὰν τὸν τρίποδα κομίσηται τῶν τις ἐκγόνων τῶν ἐν τῇ Ἀργοῖ συμπλωόντων, τότε ἑκατὸν πόλιας οἰκῆσαι περὶ τὴν Τριτωνίδα λίμνην Ἑλληνίδας πᾶσαν εἶναι ἀνάγκην. Ταῦτα ἀκούσαντας τοὺς ἐπιχωρίους τῶν Λιβύων κρύψαι τὸν τρίποδα.

CLXXX. Τούτων δὲ ἔχονται τῶν Μαχλύων Αὐσέες· οὗτοι δὲ καὶ οἱ Μάχλυες πέριξ τὴν Τριτωνίδα λίμνην οἰκέουσι, τὸ μέσον δέ σφι οὐρίζει ὁ Τρίτων. Καὶ οἱ μὲν Μάχλυες τὰ ὀπίσω κομέουσι τῆς κεφαλῆς, οἱ δὲ Αὐσέες τὰ ἔμπροσθε. (2) Ὀρτῇ δὲ ἐνιαυσίῃ Ἀθηναίης αἱ παρθένοι αὐτῶν δίχα διαστᾶσαι μάχονται πρὸς ἀλλήλας λίθοισί τε καὶ ξύλοισι, τῷ αὐτιγενέϊ θεῷ λέγουσαι τὰ πάτρια ἀποτελέειν, τὴν Ἀθηναίην καλεῦμεν. Τὰς δὲ ἀποθνησκούσας τῶν παρθένων ἐκ τῶν τρωμάτων ψευδοπαρθένους καλεῦσι. (3) Πρὶν δ' ἀνεῖναι αὐτὰς μάχεσθαι, τάδε ποιεῦσι· κοινῇ παρθένον τὴν καλλιστεύουσαν ἑκάστοτε κοσμήσαντες κυνέῃ τε Κορινθίῃ καὶ πανοπλίῃ Ἑλληνικῇ καὶ ἐπ' ἅρμα ἀναβιβάσαντες περιάγουσι τὴν λίμνην κύκλῳ. (4) Ὁτέοισι δὲ τὸ πάλαι ἐκόσμεον τὰς παρθένους πρὶν ἢ σφι Ἕλληνας παροικισθῆναί, οὐκ ἔχω εἰπαι, δοκέω δ' ὦν Αἰγυπτίοισι ὅπλοισι κοσμέεσθαι αὐτάς· ἀπὸ γὰρ Αἰγύπτου καὶ τὴν ἀσπίδα καὶ τὸ κράνος φημὶ ἀπῖχθαι ἐς τοὺς Ἕλληνας. (5) Τὴν δὲ Ἀθηναίην φασὶ Ποσειδέωνος εἶναι θυγατέρα καὶ τῆς Τριτωνίδος λίμνης, καί μιν μεμφθεῖσάν τι τῷ πατρὶ δοῦναι ἑωυτὴν τῷ Διΐ, τὸν δὲ Δία ἑωυτοῦ μιν ποτήσασθαι θυγατέρα. (6) Ταῦτα μὲν λέγουσι, μίξιν δὲ ἐπίκοινον τῶν γυναικῶν ποιέονται, οὔτε συνοικέοντες κτηνηδόν τε μισγόμενοι. Ἐπεὰν δὲ γυναικὶ τὸ παιδίον ἁδρὸν γένηται, συμφοιτέουσι ἐς τὠυτὸ οἱ ἄνδρες τρίτου μηνός, καὶ τῷ ἂν οἰκῇ τῶν ἀνδρῶν τὸ παιδίον, τούτου παῖς νομίζεται.

CLXXXI. Οὗτοι μὲν οἱ παραθαλάσσιοι τῶν νομάδων Λιβύων εἰρέαται, ὑπὲρ δὲ τούτων ἐς μεσόγαιαν ἡ θηριώδης ἐστὶ Λιβύη, ὑπὲρ δὲ τῆς θηριώδεος ὀφρύη ψάμμου κατήκει, παρατείνουσα ἀπὸ Θηβέων τῶν Αἰγυπτίων ἐπ' Ἡρακλέας στήλας. (2) Ἐν δὲ τῇ ὀφρύῃ ταύτῃ μάλιστα διὰ δέκα ἡμερέων ὁδοῦ ἅλὸς ἐστι τρύφεα κατὰ χόνδρους μεγάλους ἐν κολωνοῖσι, καὶ ἐν κορυφῇσι ἑκάστου τοῦ κολωνοῦ ἀνακοντίζει ἐκ μέσου τοῦ ἅλὸς ὕδωρ ψυχρὸν καὶ γλυκὺ, περὶ δὲ αὐτὸ ἄνθρωποι οἰκέουσι ἔσχατοι πρὸς τῆς ἐρήμου καὶ ὑπὲρ τῆς θηριώδεος, πρῶτοι μὲν ἀπὸ Θηβέων διὰ δέκα ἡμερέων ὁδοῦ Ἀμμώνιοι, ἔχοντες τὸ ἱρὸν ἀπὸ τοῦ Θηβαιέος Διός· καὶ γὰρ τὸ ἐν Θήβῃσι, ὡς καὶ πρότερον εἰρήκαί μοι, κριοπρόσωπον τοῦ Διὸς τώγαλμά ἐστι. (3) Τυγχά-

(2) Ibi tunc inopi consilii, nescientique quo pacto educeret navem, adparuisse aiunt Tritonem, jussisseque Iasonem, ut sibi daret tripodem illum; dicentem, se illis monstraturum exitum, et incolumes emissurum. (3) Cui postquam morem gessisset Iason, tum Tritonem illis tutum per brevia exitum monstrasse, et tripodem in suo templo deposuisse; ex eodem vero tripode oraculo edito rem omnem Iasoni ejusque sociis prædixisse; nempe, si quis ex Argonautarum posteris tripodem illum abstulisset, tunc inevitabili necessitate centum urbes Græcas circa Tritonidem lacum esse condendas. Quæ ubi cognovissent Libyes hanc regionem incolentes, tripodem illos occultasse.

CLXXX. Machlyum horum finitimi sunt Ausenses; qui pariter atque illi Tritonidem lacum adcolunt, sed interfluente Tritone ab illis dirimuntur. Et Machlyes quidem in postica capitis parte comam alunt; Ausenses vero in anteriore. (2) Annuo Minervæ festo virgines horum duabus a partibus stantes pugnant invicem lapidibus atque fustibus, dicentes, indigenæ deo (quam Minervam nos vocamus) se patrio ritu officium præstare. Si quæ virgines ex vulneribus moriuntur, has falso nominatas virgines dicunt. (3) Priusquam vero illas ad pugnandum committant, hoc faciunt: pulcerrimam virginum publice exornant galea Corinthia reliquaque armatura Græcanica, et currui impositam circa lacum circumvehunt. (4) Quonam vero cultu virgines ornaverint priusquam Græci in eorum vicinia habitarunt, non habeo dicere: videntur mihi autem Ægyptiis armis eas instruxisse. Nam ab Ægypto et scutum et galeam autumo ad Græcos pervenisse. (5) Minervam autem perhibent esse Neptuni filiam et Tritonidis paludis; dedisse autem se ipsam Jovi, quum nescio quid haberet quod de patre conquereretur: Jovemque eam pro filia adoptasse. (6) Hæc quidem ita narrant. Cæterum promiscue cum mulieribus pecudum more coeunt, non una habitantes. Tertio quoque mense conveniunt viri: quo in conventu, postquam adultus est puer quem mulier peperit, cui viro similis reperitur puer, is ejus pater esse censetur.

CLXXXI. Quos adhuc recensui, hi sunt Nomades Libyes, mare adcolentes. Supra hos vero, mediterranea versus, feris frequens Libya est. Tum supra hanc Ferinam Libyam supercilium porrigitur arenosum, a Thebis Ægyptiis usque versus Herculeas pertinens columnas. (2) In eo supercilio per decem fere dierum iter sunt in collibus frusta salis, ingentibus grumis; et in cujuslibet collis vertice e medio sale exsilit aqua frigida ac dulcis: circaque illas aquas habitant extremi homines versus Desertam Libyam et ultra Ferinam. Et primi quidem, a Thebis decem dierum itinere distantes, habitant Ammonii, qui templum Jovis habent, a Thebæi Jovis templo derivatum: nam etiam Thebis, ut ante dictum est, arietina facie est Jovis simu-

νει δὲ καὶ ἄλλο σφι ὕδωρ κρηναῖον ἐὸν, τὸ τὸν μὲν ὄρθρον γίνεται χλιαρὸν, ἀγορῆς δὲ πληθυούσης ψυχρότερον· μεσαμβρίη τέ ἐστι καὶ τὸ κάρτα γίνεται ψυχρόν· τηνικαῦτα δὲ ἄρδουσι τοὺς κήπους· (4) ἀποκλινομένης δὲ τῆς ἡμέρης ὑπίεται τοῦ ψυχροῦ, ἐς ὃ δύεταί τε ὁ ἥλιος καὶ τὸ ὕδωρ γίνεται χλιαρόν· ἐπὶ δὲ μᾶλλον ἰὸν ἐς τὸ θερμὸν ἐς μέσας νύκτας πελάζει, τηνικαῦτα δὲ ζέει ἀμβολάδην· παρέρχονταί τε μέσαι νύκτες καὶ ψύχεται μέχρι ἐς ἠῶ. Ἐπίκλησιν δὲ αὕτη ἡ κρήνη καλέεται ἡλίου.

CLXXXII. Μετὰ δὲ Ἀμμωνίους, διὰ τῆς ὀφρύης τῆς ψάμμου δι' ἄλλων δέκα ἡμερέων ὁδοῦ, κολωνός τε ἅλός ἐστι ὁμοῖος τῷ Ἀμμωνίῳ καὶ ὕδωρ, καὶ ἄνθρωποι περὶ αὐτὸν οἰκέουσι· τῷ δὲ χώρῳ τούτῳ οὔνομα Αὐγιλά ἐστι. Ἐς τοῦτον τὸν χῶρον οἱ Νασαμῶνες ὀπωριεῦντες τοὺς φοίνικας φοιτέουσι.

CLXXXIII. Ἀπὸ δὲ Αὐγίλων διὰ δέκα ἡμερέων ἄλλων ὁδοῦ ἕτερος ἅλὸς κολωνὸς καὶ ὕδωρ καὶ φοίνικες καρποφόροι πολλοὶ, κατά περ καὶ ἐν τοῖσι ἑτέροισι· καὶ ἄνθρωποι οἰκέουσι ἐν αὐτῷ τοῖσι οὔνομα Γαράμαντές ἐστι, ἔθνος μέγα ἰσχυρῶς, οἳ ἐπὶ τὸν ἅλα γῆν ἐπιφορέοντες οὕτω σπείρουσι. (2) Συντομώτατον δ' ἐστὶ ἐς τοὺς Λωτοφάγους, ἐκ τῶν τριήκοντα ἡμερέων ἐς αὐτοὺς ὁδός ἐστι. Ἐν τοῖσι καὶ οἱ ὀπισθονόμοι βόες γίνονται. Ὀπισθονόμοι δὲ διὰ τόδε εἰσί· τὰ κέρεα ἔχουσι κεκυφότα ἐς τὸ ἔμπροσθε· (3) διὰ τοῦτο ὀπίσω ἀναχωρέοντες νέμονται· ἐς γὰρ τὸ ἔμπροσθε οὐκ οἷοί τέ εἰσι προεμβαλλόντων ἐς τὴν γῆν τῶν κερέων. Ἄλλο δὲ οὐδὲν διαφέρουσι τῶν ἄλλων βοῶν ὅτι μὴ τοῦτο, καὶ τὸ δέρμα ἐς παχύτητά τε καὶ τρῖψιν. (4) Οἱ Γαράμαντες δὲ οὗτοι τοὺς τρωγλοδύτας Αἰθίοπας θηρεύουσι τοῖσι τεθρίπποισι· οἱ γὰρ τρωγλοδύται Αἰθίοπες πόδας τάχιστοι ἀνθρώπων πάντων εἰσὶ τῶν ἡμεῖς πέρι λόγους ἀποφερομένους ἀκούομεν. (5) Σιτέονται δὲ οἱ τρωγλοδύται ὄφις καὶ σαύρους καὶ τὰ τοιαῦτα τῶν ἑρπετῶν· γλῶσσαν δὲ οὐδεμιῇ ἄλλῃ παρομοίην νενομίκασι, ἀλλὰ τετρίγασι κατά περ αἱ νυκτερίδες.

CLXXXIV. Ἀπὸ δὲ Γαραμάντων δι' ἄλλων δέκα ἡμερέων ὁδοῦ ἄλλος ἅλός τε κολωνὸς καὶ ὕδωρ, καὶ ἄνθρωποι περὶ αὐτὸν οἰκέουσι τοῖσι οὔνομά ἐστι Ἀτάραντες, οἳ ἀνώνυμοί εἰσι μοῦνοι ἀνθρώπων τῶν ἡμεῖς ἴδμεν· ἅλέσι μὲν γάρ σφί ἐστι Ἀτάραντες οὔνομα, ἑνὶ δὲ ἑκάστῳ αὐτῶν οὔνομα οὐδὲν κέεται. (2) Οὗτοι τῷ ἡλίῳ ὑπερβάλλοντι καταρέονται καὶ πρὸς τούτοισι πάντα τὰ αἰσχρὰ λοιδορέονται, ὅτι σφέας καίων ἐπιτρίβει, αὐτούς τε τοὺς ἀνθρώπους καὶ τὴν χώρην αὐτῶν. (3) Μετὰ δὲ δι' ἄλλων δέκα ἡμερέων ὁδοῦ ἄλλος κολωνὸς ἅλὸς καὶ ὕδωρ, καὶ ἄνθρωποι περὶ αὐτὸν οἰκέουσι. Ἔχεται δὲ τοῦ ἅλὸς τούτου οὖλος τῷ οὔνομά ἐστι Ἄτλας· (4) ἔστι δὲ στεινὸν καὶ κυκλοτερὲς πάντῃ, ὑψηλὸν δὲ οὕτω δή τι λέγεται ὡς τὰς κορυφὰς αὐτοῦ οὐκ οἷά τε εἶναι ἰδέσθαι· οὐδέκοτε γὰρ αὐτὰς ἀπολείπειν νέφεα οὔτε θέρεος οὔτε χειμῶνος. Τοῦτον κίονα τοῦ οὐρανοῦ λέγουσι οἱ ἐπιχώριοι εἶναι. (5) Ἐπὶ τούτου

lacrum. (3) Est autem ibi alia etiam aqua fontana : quæ mane tepida est, versus meridiem autem frigidior, ipso vero medio die admodum fit frigida, quo tempore hortos illi irrigant : (4) tum inclinante die minuitur paulatim frigus usque ad solem occidentem, ubi rursus tepida fit aqua : dein paulatim calescit magis, donec media nox adest; tunc vero fervens exæstuat : post mediam noctem rursus refrigescit usque ad auroram. Nomen fontis est Solis fons.

CLXXXII. Post Ammonios in eodem arenoso supercilio, post decem iterum dierum iter, tumulus salis est, similis Ammonio, item aqua; ibique rursus homines habitant : nomen ejus loci Augila est. Hic est locus, quo proficisci consueverunt Nasamones, palmulas collecturi.

CLXXXIII. Ab Augilis, rursus post decem dierum iter, alius est salis tumulus, et aqua, et frequentes palmæ arbores frugiferæ, quemadmodum et in cæteris tumulis. Ibi inhabitant homines, quibus nomen Garamantes, magnus admodum populus : qui humum in salem ingerunt, atque ita sementem faciunt. (2) Brevissima ab his via ad Lotophagos, a quibus iter est triginta dierum ad illos. In horum terra nascuntur etiam boves qui opisthonomi (*retro pascentes*) vocantur. Sunt autem opisthonomi hanc ob caussam, quod cornua habent antrorsum curvata; (3) qua de caussa retro gradientes pascuntur : nam antrorsum progredientes pasci non possunt, quoniam, priusquam progredi possint, cornua in terram impinguntur. Cæterum ab aliis bobus nil differunt, nisi hoc ipso, et corii crassitie duritieque. (4) Iidem Garamantes quadrigis venantur Troglodytas Æthiopas. Sunt enim hi Troglodytæ Æthiopes pedibus pernicissimi omnium hominum, de quibus fando relatum audivimus. (5) Vescuntur autem Troglodytæ serpentibus atque lacertis, et id genus reptilibus : sermone vero utuntur nulli alii simili; sed strident veluti noctuæ.

CLXXXIV. Post Garamantes, interjecto iterum dierum decem itinere, alius est salis tumulus, et aqua : quo loco homines habitant, qui Atarantes vocatur. Hi soli omnium, quos novimus, hominum innominati sunt : nam cuncti quidem in universum Atarantes nominantur, unicuique autem per se nullum nomen impositum est. (2) Iidem solem capitibus ipsorum imminentem exsecrantur et fœdis quibusque conviciis incessunt, eo quod et ipsos homines et ipsorum terram urendo vexet et consumat. (3) Deinde, post aliorum decem dierum iter, est alius salis tumulus, et aqua, et circùm habitantes homines : cui salis tumulo proximus est mons, cui nomen Atlas; (4) angustus est, et circumcirca rotundus; idem ea esse altitudine perhibetur, ut vertices ejus conspici non possint; numquam enim nubibus vacare, nec æstate, nec hieme. Hunc montem cœli fulcrum esse aiunt indigenæ. (5) Ab hoc monte homines

τοῦ οὔρεος οἱ ἄνθρωποι οὗτοι ἐπώνυμοι ἐγένοντο· καλεῦνται γὰρ Ἄτλαντες. Λέγονται δὲ οὔτε ἔμψυχον οὐδὲν σιτέεσθαι οὔτε ἐνύπνια ὁρᾶν.

CLXXXV. Μέχρι μὲν δὴ τῶν Ἀτλάντων τούτων ἔχω τὰ οὐνόματα τῶν ἐν τῇ ὀφρύῃ κατοικημένων καταλέξαι, τὸ δ' ἀπὸ τούτων οὐκέτι. Διήκει δ' ὦν ἡ ὀφρύη μέχρι Ἡρακλέων στηλέων καὶ τὸ ἔξω τούτων. (2) Ἔστι δὲ ἅλός τε μέταλλον ἐν αὐτῇ διὰ δέκα ἡμερέων ὁδοῦ καὶ ἄνθρωποι οἰκέοντες. Τὰ δὲ οἰκία τοῦτοισι πᾶσι ἐκ τῶν ἁλίνων χόνδρων οἰκοδομέαται. Ταῦτα γὰρ ἤδη τῆς Λιβύης ἄνομβρά ἐστι· οὐ γὰρ ἂν ἐδυνέατο μένειν οἱ τοῖχοι ἐόντες ἅλινοι, εἰ ὗε. (3) Ὁ δὲ ἅλς αὐτόθι καὶ λευκὸς καὶ πορφύρεος τὸ εἶδος ὀρύσσεται. Ὑπὲρ δὲ τῆς ὀφρύης ταύτης, τὸ πρὸς νότον καὶ μεσόγαιαν τῆς Λιβύης, ἐρῆμος καὶ ἄνυδρος καὶ ἄθηρος καὶ ἄνομβρος καὶ ἄξυλός ἐστι ἡ χώρη, καὶ ἰκμάδος ἐστὶ ἐν αὐτῇ οὐδέν.

CLXXXVI. Οὕτω μὲν μέχρι τῆς Τριτωνίδος λίμνης ἀπ' Αἰγύπτου νομάδες εἰσὶ κρεοφάγοι τε καὶ γαλακτοπόται Λίβυες, καὶ θηλέων τε βοῶν οὔτι γευόμενοι, διότι περ οὐδὲ Αἰγύπτιοι, καὶ ὗς οὐ τρέφοντες. (2) Βοῶν μέν νυν θηλέων οὐδ' αἱ Κυρηναίων γυναῖκες διαιτεῦσι πατέεσθαι διὰ τὴν ἐν Αἰγύπτῳ Ἶσιν, ἀλλὰ καὶ νηστείας αὐτῇ καὶ ὁρτὰς ἐπιτελέουσι· αἱ δὲ τῶν Βαρκαίων γυναῖκες οὐδὲ ὑῶν πρὸς τῇσι βουσὶ γεύονται. Ταῦτα μὲν δὴ οὕτω ἔχει.

CLXXXVII. Τὸ δὲ πρὸς ἑσπέρης τῆς Τριτωνίδος λίμνης οὐκέτι νομάδες εἰσὶ Λίβυες, οὐδὲ νόμοισι τοῖσι αὐτοῖσι χρεώμενοι, οὐδὲ κατὰ τὰ παιδία ποιεῦντες οἷόν τι καὶ οἱ νομάδες ἐώθασι ποιέειν. (2) Οἱ γὰρ δὴ τῶν Λιβύων νομάδες, εἰ μὲν πάντες, οὐκ ἔχω ἀτρεκέως τοῦτο εἰπεῖν, ποιεῦσι δὲ αὐτῶν συχνοὶ τοιάδε· τῶν παιδίων τῶν σφετέρων, ἐπεὰν τετραέτεα γένηται, οἵσπῃ προβάτων καίουσι τὰς ἐν τῇσι κορυφῇσι φλέβας, μετεξέτεροι δὲ αὐτῶν τὰς ἐν τοῖσι κροτάφοισι, τοῦδε εἵνεκεν ὡς μὴ σφεας ἐς τὸν πάντα χρόνον καταρρέον φλέγμα ἐκ τῆς κεφαλῆς δηλέηται. Καὶ διὰ τοῦτό σφεας λέγουσι εἶναι ὑγιηροτάτους. (3) Εἰσὶ γὰρ ὡς ἀληθέως Λίβυες ἀνθρώπων πάντων ὑγιηρότατοι τῶν ἡμεῖς ἴδμεν· εἰ μὲν διὰ τοῦτο, οὐκ ἔχω ἀτρεκέως εἰπεῖν, ὑγιηρότατοι δ' ὦν εἰσί. (4) Ἢν δὲ καίουσι τὰ παιδία σπασμὸς ἐπιγένηται, ἐξεύρηταί σφι ἄκος· τράγου οὖρον σπείσαντες ῥύονται σφεας. Λέγω δὲ τὰ λέγουσι αὐτοὶ Λίβυες.

CLXXXVIII. Θυσίαι δὲ τοῖσι νομάσι εἰσὶ αἵδε· ἐπεὰν τοῦ ὠτὸς ἀπάρξωνται τοῦ κτήνεος, ῥιπτέουσι ὑπὲρ τὸν ὦμον, τοῦτο δὲ ποιήσαντες ἀποστρέφουσι τὸν αὐχένα αὐτοῦ. Θύουσι δὲ ἡλίῳ καὶ σελήνῃ μούνοισι. (2) Τούτοισι μέν νυν πάντες Λίβυες θύουσι, ἀτὰρ οἱ περὶ τὴν Τριτωνίδα λίμνην νέμοντες τῇ Ἀθηναίῃ μάλιστα, μετὰ δὲ τῷ Τρίτωνι καὶ τῷ Ποσειδέωνι.

CLXXXIX. Τὴν δὲ ἄρα ἐσθῆτα καὶ τὰς αἰγίδας τῶν ἀγαλμάτων τῆς Ἀθηναίης ἐκ τῶν Λιβυσσέων ἐποιήσαντο οἱ Ἕλληνες· πλὴν γὰρ ἢ ὅτι σκυτίνη ἡ ἐσθὴς

isti nomen invenere: Atlantes enim vocantur. Dicuntur autem hi nec animatum quidquam comedere, nec insomnia videre.

CLXXXV. Ad hos igitur usque Atlantes nomina edere possum populorum, supercilium illud habitantium; ulterius vero non possum. Porrigitur autem idem supercilium usque ad Herculeas columnas, atque etiam extra eas. (2) Suntque in illo ex denorum dierum itineris intervallo salis fodinæ, et homines ibi habitantes, quorum omnium domus ex salis grumis sunt exstructæ: nam iste jam Libyæ tractus pluvia caret; nec vero durare muri ædium illi possent, si plueret. (3) Effoditur autem ibi sal et albus colore, et purpureus. Ultra istud vero supercilium, versus meridiem et mediterranea Libyæ, deserta est terra, et aquis, feris, pluvia, lignis vacua, omnique humore prorsus destituta.

CLXXXVI. Itaque inde ab Ægypto usque ad Tritonidem quidem lacum sunt Nomades Libyes, carnium esu et lactis potu viventes. Vaccarum vero carnem hi non gustant, eamdem ob caussam propter quam nec Ægyptii: neque vero porcos alunt. (2) Vaccarum carne vesci Cyrenæorum etiam mulieres nefas ducunt propter Ægyptiam Isin, cujus in honorem etiam jejunia agunt et festos dies celebrant: Barcæorum vero mulieres non modo vaccas, sed ne porcos quidem gustant. Et hæc quidem ita se habent.

CLXXXVII. Qui vero ab occidente Tritonidis lacus habitant Libyes, hi non jam nomades sunt, neque eisdem utuntur institutis, nec pueris faciunt simile quiddam quod Nomades facere consuerunt. (2) Nomades enim Libyæ, haud satis scio an omnes, multi certe eorum hoc faciunt: quando pueri eorum quartum annum compleverunt, tunc illis venas in vertice capitis lana ovium succida urunt, nonnulli etiam venas temporum; idque hac caussa faciunt, ne insequente tempore umquam ex pituita laborent e capite defluente: et hanc ob caussam aiunt optima se frui valetudine. (3) Revera enim Libyes præ omnibus hominibus, quos novimus, firmissima utuntur valetudine; an hac ipsa de caussa, equidem pro certo haud dixerim: sunt autem utique firmissima valetudine. (4) Quodsi pueros, dum inuruntur, convulsio corripit, inventa est ab eis medicina: inspersa hirci urina eis medentur. Refero autem quæ ab ipsis Afris narrantur.

CLXXXVIII. Sacrificiorum ritus apud Nomades hi sunt: ab aure pecudis auspicantur, quam præcisam super humerum projiciunt: hoc facto, cervicem victimæ retro vertunt. Non autem immolant nisi Soli et Lunæ. (2) His Libyes cuncti sacra faciunt: sed, qui circa Tritonidem lacum sedes habent, hi Minervæ maxime, et post hanc Tritoni et Neptuno sacrificant.

CLXXXIX. Vestem vero et ægides, quibus instruuntur Minervæ imagines, a Libyssis adoptarunt Græci: præter-

τῶν Λιβυσσέων ἐστὶ καὶ οἱ θύσανοι οἱ ἐκ τῶν αἰγίδων αὐτῇσι οὐκ ὄφιές εἰσι, ἀλλ' ἱμάντινοι, τὰ δὲ ἄλλα πάντα κατὰ τὠυτὸ ἔσταλται. (2) Καὶ δὴ καὶ τὸ οὔνομα κατηγορέει ὅτι ἐκ Λιβύης ἥκει ἡ στολὴ τῶν Παλλαδίων· αἰγέας γὰρ περιβάλλονται ψιλὰς περὶ τὴν ἐσθῆτα θυσανωτὰς αἱ Λίβυσσαι, κεχρημένας ἐρευθεδάνῳ, ἐκ δὲ τῶν αἰγέων τούτων αἰγίδας οἱ Ἕλληνες μετωνόμασαν. (3) Δοκέει δ' ἐμοιγε καὶ ἡ ὀλολυγὴ ἐπ' ἱροῖσι ἐνθαῦτα πρῶτον γενέσθαι· κάρτα γὰρ ταύτῃ χρέονται αἱ Λίβυσσαι, καὶ χρέονται καλῶς. Καὶ τέσσερας ἵππους συζευγνύναι παρὰ Λιβύων οἱ Ἕλληνες μεμαθήκασι.

CXC. Θάπτουσι δὲ τοὺς ἀποθνήσκοντας οἱ νομάδες κατά περ οἱ Ἕλληνες, πλὴν Νασαμώνων· οὗτοι δὲ κατημένους θάπτουσι, φυλάσσοντες, ἐπεὰν ἀπίῃ τὴν ψυχὴν, ὅκως μιν κατίσουσι μηδὲ ὕπτιος ἀποθανέεται. (2) Οἰκήματα δὲ σύμπηκτα ἐξ ἀνθερίκων ἐνερμένων περὶ σχοίνους ἐστὶ, καὶ ταῦτα περιφορητά. Νόμοισι μὲν τοιούτοισι οὗτοι χρέονται.

CXCI. Τὸ δὲ πρὸς ἑσπέρης τοῦ Τρίτωνος ποταμοῦ Αὐσέων ἔχονται ἀροτῆρες ἤδη Λίβυες καὶ οἰκίας νομίζοντες ἐκτῆσθαι, τοῖσι οὔνομα κέεται Μάξυες· οἱ τὰ ἐπὶ δεξιὰ τῶν κεφαλέων κομέουσι, τὰ δ' ἐπ' ἀριστερὰ κείρουσι, τὸ δὲ σῶμα μίλτῳ χρίονται. (2) Φασὶ δὲ οὗτοι εἶναι τῶν ἐκ Τροίης ἀνδρῶν. Ἡ δὲ χώρη αὕτη τε καὶ ἡ λοιπὴ τῆς Λιβύης ἡ πρὸς ἑσπέρην πολλῷ θηριωδεστέρη τε καὶ δασυτέρη ἐστὶ τῆς τῶν νομάδων χώρης. (2) Ἡ μὲν γὰρ δὴ πρὸς τὴν ἠῶ τῆς Λιβύης, τὴν οἱ νομάδες νέμουσι, ἐστὶ ταπεινή τε καὶ ψαμμώδης μέχρι τοῦ Τρίτωνος ποταμοῦ, ἡ δὲ ἀπὸ τούτου τὸ πρὸς ἑσπέρης, ἡ τῶν ἀροτήρων, ὀρεινή τε κάρτα καὶ δασέα καὶ θηριώδης· (4) καὶ γὰρ οἱ ὄφιες οἱ ὑπερμεγάθεες καὶ οἱ λέοντες κατὰ τούτους εἰσὶ καὶ οἱ ἐλέφαντές τε καὶ ἄρκτοι καὶ ἀσπίδες τε καὶ ὄνοι οἱ τὰ κέρεα ἔχοντες καὶ οἱ κυνοκέφαλοι καὶ οἱ ἀκέφαλοι οἱ ἐν τοῖσι στήθεσι τοὺς ὀφθαλμοὺς ἔχοντες, ὡς δὴ λέγονταί γε ὑπὸ Λιβύων, καὶ οἱ ἄγριοι ἄνδρες καὶ γυναῖκες ἄγριαι καὶ ἄλλα πλήθεϊ πολλὰ θηρία καταψευστά.

CXCII. Κατὰ τοὺς νομάδας δέ ἐστι τούτων οὐδέν, ἀλλ' ἄλλα τοιάδε, πύγαργοι καὶ ζορκάδες καὶ βουβάλιες καὶ ὄνοι, οὐκ οἱ τὰ κέρεα ἔχοντες, ἀλλ' ἄλλοι ἄποτοι (οὐ γὰρ δὴ πίνουσι), καὶ ὄρυες, τῶν τὰ κέρεα τοῖσι φοίνιξι οἱ πήχεες ποιεῦνται (μέγαθος δὲ τὸ θηρίον τοῦτο κατὰ βοῦν ἐστί), καὶ βασσάρια καὶ ὕαιναι καὶ ὕστριχες καὶ κριοὶ ἄγριοι καὶ δίκτυες καὶ θῶες καὶ πάνθηρες καὶ βόρυες, καὶ κροκόδειλοι ὅσον τε τριπήχεες χερσαῖοι, τῇσι σαύρῃσι ἐμφερέστατοι, καὶ στρουθοὶ κατάγαιοι, καὶ ὄφιες σμικροὶ, κέρας ἓν ἕκαστος ἔχοντες. (2) Ταῦτά τε δὴ αὐτόθι ἐστὶ θηρία, καὶ τὰ περ τῇ ἄλλῃ, πλὴν ἐλάφου τε καὶ ὑὸς ἀγρίου· ἔλαφος δὲ καὶ ὗς ἄγριος ἐν Λιβύῃ πάμπαν οὐκ ἔστι. (3) Μυῶν δὲ γένεα τριξὰ αὐτόθι ἐστί· οἱ μὲν δίποδες καλεῦνται, οἱ δὲ ζεγέριες (τὸ δὲ οὔνομα τοῦτο ἐστὶ μὲν Λιβυκὸν, δύναται δὲ κατ' Ἑλλάδα γλῶσσαν βουνοί), οἱ δὲ ἐχινέες. (4) Εἰσὶ δὲ καὶ γαλέαι ἐν τῷ σιλφίῳ γινόμεναι, τῇσι Ταρτησσίῃσι

quam enim quod pellicea est Libyssarum vestis, et quod fimbriæ, ex illarum ægidibus (*thoracibus caprinis*) pendentes, non serpentes sunt, sed ex loris factæ, reliqua omnia eodem modo instructa sunt. (2) Atque etiam nomen declarat, ex Libya venisse cultum quo instruuntur Palladia: quippe Libyssæ mulieres vesti suæ circumjiciunt nudas ægeas (*thoraces ex pelle caprina*) fimbriatas, rubia tinctas: ex his vero ægeis Græci ægidas denominarunt. (3) Videturque mihi etiam ululatus in sacris hic primum exstitisse: utuntur hoc enim maxime mulieres Libyssæ, et belle utuntur. Etiam quadrijugos equos jungere ab Afris didicerunt Græci.

CXC. Mortuos sepeliunt Nomades eodem modo atque Græci, exceptis Nasamonibus. Hi enim sedentes sepeliunt: eoque curant, ut æger, quum in eo est ut animam efflet, sedeat, nec supinus moriatur. (2) Domus illorum ex asphodelorum caulibus compactæ sunt, intertextis juncis; suntque portatiles. Hujusmodi istorum sunt instituta.

CXCI. Ab occasu Tritonis fluvii Ausensibus jam finitimi sunt Agricolæ Libyes, et stabilibus domibus utentes; quorum nomen est Maxyes. Hi in dextra capitis parte comam alunt, sinistram tondent: corpus vero minio tingunt. (2) Aiuntque se hi ex Trojanis viris esse oriundos. Regio hæc autem, et reliqua pars Libyæ occidentem spectans, multo frequentior est feris silvisque quam Nomadum regio. (3) Nam orientalis Libyæ tractus, quem Nomades incolunt, humilis est et arenosus, usque ad Tritonem fluvium: qui vero hinc ad occidentem vergit, qui Agricolarum est, is montanus admodum, et nemorosus, et feris bestiis frequens. (4) Sunt enim ibi immani magnitudine serpentes, sunt ibidem leones, et elephanti, et ursi, et aspides, et asini cornuti: sunt item cynocephali (*canicipites*), et acephali (*sine capite homines*) oculos in pectore habentes, ut quidem Libyes perhibent, et feri viri, feminæque feræ; denique alia multa numero monstra ficta et ementita.

CXCII. In Nomadum vero regione nihil horum, sed alia bestiarum genera hæcce: pygargi (*de genere antilloparum*), dorcades, bubali, asini, non cornuti illi, sed alii impoti, nempe qui non bibunt: tum oryes (*sive* oryges, *antiloparum species*), quorum ex cornibus conficiuntur Punicarum cithararum brachia (*ad verticillos inserendos*), bovis fere magnitudine bestia; sunt item bassaria, (*de vulpium genere*), hyænæ, hystrices, feri arietes, dictyes, thoes, pantheres, boryes, crocodili terrestres tricubitales, lacertis simillimi, struthiones terrestres, serpentes pusilli singulis cornibus instructi. (2) Et hæ ibi bestiæ sunt, et aliæ quæ item alibi, cervo et apro exceptis: cervus enim et aper in Africa omnino nullus reperitur. (3) Sunt autem ibidem murium tria genera; unum eorum qui bipedes vocantur: alii zegeries, Libyco nomine, quod Græca lingua colles significat: tertium genus, echinees. (4) Sunt etiam

δμοιόταται. Τοσαῦτα μέν νυν θηρία ἡ τῶν νομάδων Λιβύων γῆ ἔχει, ὅσον ἡμεῖς ἱστορέοντες ἐπὶ μακρότατον οἷοί τε ἐγενόμεθα ἐξικέσθαι.

CXCIII. Μαξύων δὲ Λιβύων Ζαύηκες ἔχονται, τοῖσι αἱ γυναῖκες ἡνιοχεῦσι τὰ ἅρματα ἐς τὸν πόλεμον.

CXCIV. Τούτων δὲ Γύζαντες ἔχονται, ἐν τοῖσι μέλι πολλὸν μὲν μέλισσαι κατεργάζονται, πολλῷ δ' ἔτι πλέον λέγεται δημιουργοὺς ἄνδρας ποιέειν. Μιλτοῦνται δ' ὦν πάντες οὗτοι καὶ πιθηκοφαγέουσι· οἱ δέ σφι ἄφθονοι ὅσοι ἐν τοῖσι οὔρεσι γίνονται.

CXCV. Κατὰ τούτους δὲ λέγουσι Καρχηδόνιοι κέεσθαι νῆσον τῇ οὔνομα εἶναι Κύραυνιν, μῆκος μὲν διηκοσίων σταδίων, πλάτος δὲ στεινὴν, διαβατὸν ἐκ τῆς ἠπείρου, ἐλαιέων τε μεστὴν καὶ ἀμπέλων. (2) Λίμνην δὲ ἐν αὐτῇ εἶναι, ἐκ τῆς αἱ παρθένοι τῶν ἐπιχωρίων πτεροῖσι ὀρνίθων κεχριμένοισι πίσσῃ ἐκ τῆς ἰλύος ψῆγμα ἀναφέρουσι χρυσοῦ. Ταῦτα εἰ μέν ἐστι ἀληθέως οὐκ οἶδα, τὰ δὲ λέγεται γράφω· εἴη δ' ἂν πᾶν, ὅκου καὶ ἐν Ζακύνθῳ ἐκ λίμνης καὶ ὕδατος πίσσαν ἀναφερομένην αὐτὸς ἐγὼ ὥρεον. (3) Εἰσὶ μὲν καὶ πλεῦνες αἱ λίμναι αὐτόθι, ἡ δ' ὧν μεγίστη αὐτέων ἑβδομήκοντα ποδῶν πάντῃ, βάθος δὲ βιόργυιός ἐστι· ἐς ταύτην κοντὸν κατιεῖσι ἐπ' ἄκρῳ μυρσίνην προσδήσαντες, καὶ ἔπειτεν ἀναφέρουσι τῇ μυρσίνῃ πίσσαν, ὀδμὴν μὲν ἔχουσαν ἀσφάλτου, τὰ δ' ἄλλα τῆς Πιερικῆς πίσσης ἀμείνω· (4) ἐσχέουσι δὲ ἐς λάκκον ὀρωρυγμένον ἀγχοῦ τῆς λίμνης· ἐπεὰν δὲ ἀθροίσωσι συχνὴν, οὕτω ἐς τοὺς ἀμφορέας ἐκ τοῦ λάκκου καταχέουσι. Ὅ τι δ' ἂν ἐσπέσῃ ἐς τὴν λίμνην, ὑπὸ γῆν ἰὸν ἀναφαίνεται ἐν τῇ θαλάσσῃ· ἡ δὲ ἀπέχει ὡς τέσσερα στάδια ἀπὸ τῆς λίμνης Οὕτω ὦν καὶ τὰ ἀπὸ τῆς νήσου τῆς ἐπὶ Λιβύῃ κειμένης οἰκότα ἐστὶ ἀληθείῃ.

CXCVI. Λέγουσι δὲ καὶ τάδε Καρχηδόνιοι, εἶναι τῆς Λιβύης χῶρόν τε καὶ ἀνθρώπους ἔξω Ἡρακλέων στηλέων κατοικημένους, ἐς τοὺς ἐπεὰν ἀπίκωνται καὶ ἐξέλωνται τὰ φορτία, θέντες αὐτὰ ἐπεξῆς παρὰ τὴν κυματωγὴν, ἐσβάντες ἐς τὰ πλοῖα τύφειν καπνόν· τοὺς δ' ἐπιχωρίους ἰδομένους τὸν καπνὸν ἰέναι ἐπὶ τὴν θάλασσαν καὶ ἔπειτεν ἀντὶ τῶν φορτίων χρυσὸν τιθέναι καὶ ἐξαναχωρέειν πρόσω ἀπὸ τῶν φορτίων. (2) Τοὺς δὲ Καρχηδονίους ἐκβάντας σκέπτεσθαι, καὶ ἢν μὲν φαίνηταί σφι ἄξιος ὁ χρυσὸς τῶν φορτίων, ἀνελόμενοι ἀπαλλάσσονται, ἢν δὲ μὴ ἄξιος, ἐσβάντες ὀπίσω ἐς τὰ πλοῖα κατέαται, οἱ δὲ προσελθόντες ἄλλον πρὸς ὧν ἔθηκαν χρυσὸν, ἐς οὗ ἂν πείθωσι. (3) Ἀδικέειν δὲ οὐδετέρους· οὔτε γὰρ αὐτοὺς τοῦ χρυσοῦ ἅπτεσθαι πρὶν ἂν σφι ἀπισωθῇ τῇ ἀξίῃ τῶν φορτίων, οὔτ' ἐκείνους τῶν φορτίων ἅπτεσθαι πρότερον ἢ αὐτοὶ τὸ χρυσίον λάβωσι.

CXCVII. Οὗτοι μέν εἰσι τοὺς ἡμεῖς ἴσμεν Λιβύων οὐνομάσαι· καὶ τούτων οἱ πολλοὶ βασιλέος τοῦ Μήδων οὔτε τι νῦν οὔτε τότε ἐφρόντιζον οὐδέν. Τόσον δὲ ἔτι ἔχω εἰπαι περὶ τῆς χώρης ταύτης, ὅτι τέσσερα ἔθνεα νέμεται αὐτὴν καὶ οὐ πλέω τούτων, ὅσον ἡμεῖς ἴδμεν,

mustelæ, quæ in silphio nascuntur, Tartessiis simillimæ. Tot bestiarum genera habet hæc Nomadum Libycorum regio, quoad nos longissime percunctando comperire potuimus.

CXCIII. Maxyum Afrorum finitimi Zaueces sunt; quibus mulieres plaustra aurigantur, in bellum proficiscentibus.

CXCIV. His contigui sunt Gyzantes : apud quos plurimum mellis parant apes : multo vero major copia paratur hominum artificio. Hi omnes minio pinguntur; vesciturque simiis, quarum incredibilis copia in eorum montibus nascitur.

CXCV. Prope horum regionem, aiunt Carthaginienses, insulam esse, cui nomen Cyraunis, ducentorum stadiorum longitudine, latitudine arctam, in quam transiri e continenti possit : esse autem eam oleis et vitibus refertam. (2) Esse in eadem lacum, e quo virgines indigenæ pennis volucrum pice illitis ramenta auri ex limo referant. Hoc quidem an vere ita habeat nescio : scribo autem quæ narrantur. Fuerit autem omnino verum; quandoquidem etiam Zacynthi e lacu et ex aqua colligi picem ipse vidi. (3) Sunt ibi lacus quidem plures, quorum maximus est septuaginta pedum quaquaversum, duodecim pedum altitudine : in hunc demittunt contum, cujus in extremo myrtus alligata est; hac myrto educunt picem, quæ odorem habet asphalti, cæterum Piericæ præstat pici. (4) Hanc infundunt in scrobem prope lacum effossam : et postquam probabilem picis copiam collegerunt, ex fovea illam in amphoras infundunt. Quidquid in lacum incidit, id terram subit, et in mari rursus comparet; abest autem mare a lacu fere quattuor stadia. Ita igitur etiam, quæ de insula illa narrantur ad Africam sita, non dissimilia vero sunt.

CXCVI. Narrant iidem Carthaginienses hæcce : esse locum Libyæ extra Herculeas columnas, hominesque ibi habitantes, quos quando ipsi mercandi caussa adeant, expositas e navi merces in ipso litoris cripidine a se ordine disponi : tunc se, conscensis rursus navibus, excitare fumum. Indigenas, conspecto fumo, accedere ad mare, et deposito pro mercibus auro, rursus procul a mercibus discedere. (2) Tum Carthaginienses, navibus egressos, rem inspicere : et, si æquivalentem mercibus auri copiam repererint, ablato auro abire; sin minus, redire itidem in naves, ibique residere. Tum denuo accedentes illos aliud aurum ad prius adjicere, donec ipsis ut satis habeant persuaserint. (3) Nec vero alteros alteris facere injuriam : nam nec sese aurum tangere priusquam sibi pretium æquivalens mercibus fuerit visum; nec illos mercibus prius imponere manus quam ipsi accepissent aurum.

CXCVII. Hi sunt Africæ populi, quos potui commemorare : et horum quidem plerique Medorum regem neque nunc curant, neque tunc ullam ejus habuerunt rationem. Hoc vero solum adhuc de hac terra dicendum habeo, quattuor nationes illam incolere, nec plures, quoad nos novimus :

καὶ τὰ μὲν δύο αὐτόχθονα τῶν ἐθνέων, τὰ δὲ δύο οὔ, Λίβυες μὲν καὶ Αἰθίοπες αὐτόχθονες, οἱ μὲν τὰ πρὸς βορέω, οἱ δὲ τὰ πρὸς νότου τῆς Λιβύης οἰκέοντες· Φοίνικες δὲ καὶ Ἕλληνες ἐπήλυδες.

CXCVIII. Δοκέει δέ μοι οὐδ' ἀρετὴν εἶναί τις ἡ Λιβύη σπουδαίη ὥστε ἢ Ἀσίῃ ἢ Εὐρώπῃ παραβληθῆναι, πλὴν Κίνυπος μούνης· τὸ γὰρ δὴ αὐτὸ οὔνομα ἡ γῆ τῷ ποταμῷ ἔχει. (2) Αὕτη δὲ ὁμοίη τῇ ἀρίστῃ γεῶν Δήμητρος καρπὸν ἐκφέρειν, οὐδὲ οἷκε οὐδὲν τῇ ἄλλῃ Λιβύῃ. Μελάγγαιός τε γάρ ἐστι καὶ ἔπυδρος πίδαξι, καὶ οὔτε αὐχμοῦ φροντίζουσα οὐδὲν οὔτε ὄμβρον πλέω πιοῦσα δεδήληται· ὕεται γὰρ δὴ ταῦτα τῆς Λιβύης. (3) Τῶν δὲ ἐκφορίων τοῦ καρποῦ ταὐτὰ μέτρα τῇ Βαβυλωνίῃ γῇ κατίσταται. Ἀγαθὴ δὲ γῇ καὶ τὴν Εὐεσπερῖται νέμονται· ἐπ' ἑκατοστὰ γάρ, ἐπεὰν αὐτὴ ἑωυτῆς ἄριστα ἐνείκῃ, ἐκφέρει, ἡ δὲ ἐν τῇ Κίνυπι ἐπὶ τριηκόσια.

CIC. Ἔχει δὲ καὶ ἡ Κυρηναίη χώρη, ἐοῦσα ὑψηλοτάτη ταύτης τῆς Λιβύης τὴν οἱ νομάδες νέμονται, τρεῖς ὥρας ἐν ἑωυτῇ ἀξίας θώματος. (2) Πρῶτα μὲν γὰρ τὰ παραθαλάσσια τῶν καρπῶν ὀργᾷ ἀμᾶσθαί τε καὶ τρυγᾶσθαι· τούτων δὲ δὴ συγκεκομισμένων τὰ ὑπὲρ τῶν θαλασσιδίων χώρων τὰ μέσα ὀργᾷ συγκομίζεσθαι, τὰ βουνοὺς καλεῦσι· συγκεκόμισταί τε οὗτος ὁ μέσος καρπὸς καὶ ὁ ἐν τῇ κατυπερτάτῃ τῆς γῆς πεπαίνεταί τε καὶ ὀργᾷ, ὥστε ἐκπέποταί τε καὶ καταβέβρωται ὁ πρῶτος καρπὸς καὶ ὁ τελευταῖος συμπαραγίνεται. Οὕτω ἐπ' ὀκτὼ μῆνας Κυρηναίους ὀπώρη ἐπέχει. Ταῦτα μέν νυν ἐπὶ τοσοῦτον εἰρήσθω.

CC. Οἱ δὲ Φερετίμης τιμωροὶ Πέρσαι ἐπείτε ἐκ τῆς Αἰγύπτου σταλέντες ὑπὸ τοῦ Ἀρυάνδεω ἀπίκατο ἐς τὴν Βάρκην, ἐπολιόρκεον τὴν πόλιν ἐπαγγελλόμενοι ἐκδιδόναι τοὺς αἰτίους τοῦ φόνου τοῦ Ἀρκεσίλεω· τῶν δὲ πᾶν γὰρ ἦν τὸ πλῆθος μεταίτιον, οὐκ ἐδέκοντο τοὺς λόγους. (2) Ἐνθαῦτα δὴ ἐπολιόρκεον τὴν Βάρκην ἐπὶ μῆνας ἐννέα, ὀρύσσοντές τε ὀρύγματα ὑπόγαια φέροντα ἐς τὸ τεῖχος, καὶ προσβολὰς καρτερὰς ποιεύμενοι. Τὰ μέν νυν ὀρύγματα ἀνὴρ χαλκεὺς ἀνεῦρε ἐπιχάλκῳ ἀσπίδι, ὧδε ἐπιφρασθείς· περιφέρων αὐτὴν ἐντὸς τοῦ τείχεος προσίσχε πρὸς τὸ δάπεδον τῆς πόλιος· (3) τὰ μὲν δὴ ἄλλα ἔσκε κωφὰ πρὸς τὰ προσίσχε, κατὰ δὲ τὰ ὀρυσσόμενα ἠχέεσκε χαλκὸς τῆς ἀσπίδος. Ἀντορύσσοντες δ' ἂν ταύτῃ οἱ Βαρκαῖοι ἔκτεινον τῶν Περσέων τοὺς γεωρυχέοντας. Τοῦτο μὲν δὴ οὕτω ἐξευρέθη, τὰς δὲ προσβολὰς ἀπεκρούοντο οἱ Βαρκαῖοι.

CCI. Χρόνον δὲ δὴ πολλὸν τριβομένων καὶ πιπτόντων ἀμφοτέρων πολλῶν, καὶ οὐκ ἔσσον τῶν Περσέων, Ἄμασις ὁ στρατηγὸς τοῦ πεζοῦ μηχανᾶται τοιάδε. (2) Μαθὼν τοὺς Βαρκαίους ὡς κατὰ μὲν τὸ ἰσχυρὸν οὐκ αἱρετοὶ εἶεν, δόλῳ δὲ αἱρετοί, ποιέει τοιάδε· νυκτὸς τάφρον ὀρύξας εὐρέαν ἐπέτεινε ξύλα ἀσθενέα ὑπὲρ αὐτῆς, κατύπερθε δὲ ἐπιπολῆς τῶν ξύλων χοῦν γῆς ἐπεφόρησε, ποιέων τῇ ἄλλῃ γῇ ἰσόπεδον. Ἅμα ἡμέρῃ δὲ ἐς λόγους προεκαλέετο τοὺς Βαρκαίους· οἱ δὲ ἀσπαστῶς

quarum nationum duæ indigenæ sunt; duæ vero non sunt: Libyes et Æthiopes, indigenæ; illi ad septemtrionem, hi ad meridiem Libyæ habitantes: Phœnices vero et Græci, advenæ sunt.

CXCVIII. Videtur mihi autem bonitate soli neutiquam præstare Libya, ut cum Asia aut cum Europa possit conferri; excepta sola Cinype; nam idem regioni nomen est atque fluvio. (2) Hæc vero regio fructuum cerealium proventu par est optimæ terrarum omnium; et reliquæ Libyæ prorsus dissimilis. Habet enim nigrum solum; frequentibus rigatur fontibus: et nec siccitatem timet, nec a nimiis imbribus inundata læditur; pluit enim in hac Libyæ parte. (3) Proventuum frumenti eadem ratio et mensura est, atque in Babylonica terra. Est vero etiam bona terra quam Euesperitæ colunt; nam, quando ubertate præstat messis, fert terra horum centuplum; sed Cinyps trecentuplum.

CXCIX. Cyrenaica regio, quæ altissima est hujus tractus Libyæ, quem Nomades tenent, tres in se tempestates continet, miratu dignas (2) Primum maritimus tractus fructibus turget et ad messem vindemiamque maturus est. His collectis fructibus, medius tractus, supra maritimum porrectus, quem colles vocant, ad messem maturescit. Denique comportatis ex hoc medio tractu fructibus, turgescunt etiam et ad maturitatem pervenerunt illi, qui in altissimo terræ tractu nascuntur. Ita quando epotus comestusque est primus fructus, tunc opportune adest extremus: adeoque per octo menses collectio fructuum Cyrenæos occupat. Sed hæc quidem hactenus dicta sunto.

CC. Persæ ab Aryande ex Ægypto auxilio missi Pheretimæ, postquam Barcam venere, obsidione cinxerunt urbem, postulantes ut traderentur cædis Arcesilai auctores. Sed conditionem non accepere oppidani, quippe quorum universa multitudo particeps erat culpæ. (2) Itaque oppugnarunt Barcam Persæ novem continuos menses, et cuniculos agentes quibus in urbem intrarent, et validas in murum impressiones facientes. Sed cuniculos indagavit reperitque faber ærarius æneo scuto. Re enim secum perpensa, circumtulit scutum intra murum, et pavimento urbis admovit. (3) Jam alia loca, ubi illud admovebat, surda erant; qua parte vero erant cuniculi, ibi sonum edebat æs scuti. Itaque ibidem ex adverso cuniculum agentes Barcæi interficiebant Persas terram fodientes. Ita indagati cuniculi sunt: impressiones vero in murum factas valide repellebant Barcæi.

CCI. His rebus quum in multum temporis duceretur, multique ex utrisque caderent, ac minime pauciores ex Persarum numero, dux pedestrium copiarum Amasis hoc consilium capit. (2) Intelligens vi capi Barcæos non posse, dolo vero posse, hæc facere instituit: noctu latam fodit fossam, cui ligna parum valida instravit, superque ligna humum ingessit, ita ut superficies reliquæ terræ esset æqualis. Ut illuxit, Barcæos ad colloquium invitavit; cui lubentes illi morem gesserunt: et ad extremum

ὑπήκουσαν, ἐς ὅ σφι ἔαδε ὁμολογίῃ χρήσασθαι. (1) Τὴν δὲ ὁμολογίην ἐποιεῦντο τοιήνδε τινά, ἐπὶ τῆς κρυπτῆς τάφρου τάμνοντες ὅρκια, ἔστ' ἂν ἡ γῆ αὕτη οὕτω ἔχῃ, μένειν τὸ ὅρκιον κατὰ χώρην, καὶ Βαρκαίους τε ὑποτελέειν φάναι ἀξίην βασιλέϊ καὶ Πέρσας μηδὲν ἄλλο νεοχμοῦν κατὰ Βαρκαίους. (4) Μετὰ δὲ τὸ ὅρκιον Βαρκαῖοι μὲν πιστεύσαντες τούτοισι αὐτοί τε ἐξήϊσαν ἐκ τοῦ ἄστεος καὶ τῶν πολεμίων ἐων παριέναι ἐς τὸ τεῖχος τὸν βουλόμενον, τὰς πύλας πάσας ἀνοίξαντες· οἱ δὲ Πέρσαι καταρρήξαντες τὴν κρυπτὴν γέφυραν ἔθεον ἔσω ἐς τὸ τεῖχος. (5) Κατέρρηξαν δὲ τοῦδε εἵνεκεν τὴν ἐποίησαν γέφυραν, ἵνα ἐμπεδορκέοιεν, ταμόντες τοῖσι Βαρκαίοισι χρόνον μένειν αἰεὶ τὸ ὅρκιον ὅσον ἂν ἡ γῆ μένῃ κατὰ τότε εἶχε· καταρρήξασι δὲ οὐκέτι ἔμενε τὸ ὅρκιον κατὰ χώρην.

placuit compositionem invicem inire. (3) Compositionem autem fecerunt, super occulta fossa sacrificantes, in has conditiones : quousque hæc terra ita maneret, firmum manere jusjurandum : et Barcæos promittere mulctam se regi soluturos ; Persas vero, nihil porro se contra Barcæos novaturos. (4) Peracto fœdere, Barcæi his fidem adhibentes, et ipsi egrediebantur urbe, et hostium quisquis vellet intra muros ingredi patiebantur, omnibus apertis portis. At Persæ, disrupto occulto ponte, in urbem irruebant. (5) Pontem autem, quem fecerant, hac caussa ruperunt, ut starent juramento, quo pacti erant cum Barcæis, tamdiu ratum fore fœdus, quamdiu terra hæc in eo statu, quo tunc esset, maneret. Rupto autem ponte, non amplius firmum manebat fœdus.

CCII. Τοὺς μέν νυν αἰτιωτάτους τῶν Βαρκαίων ἡ Φερετίμη, ἐπείτε οἱ ἐκ τῶν Περσέων παρεδόθησαν, ἀνεσκολόπισε κύκλῳ τοῦ τείχεος, τῶν δέ σφι γυναικῶν τοὺς μαζοὺς ἀποταμοῦσα περιέστιξε καὶ τούτοισι τὸ τεῖχος· (2) τοὺς δὲ λοιποὺς τῶν Βαρκαίων ληΐην ἐκέλευσε θέσθαι τοὺς Πέρσας, πλὴν ὅσοι αὐτῶν ἔσαν Βαττιάδαι τε καὶ τοῦ φόνου οὐ μεταίτιοι· τούτοισι δὲ τὴν πόλιν ἐπέτρεψε ἡ Φερετίμη.

CCII. Jam igitur Pheretima Barcæorum eos, qui cædis faciendæ maxime fuerant auctores, deditos sibi a Persis, circa murum crucibus suffixit, et uxorum eorumdem præsectas mammas pariter circa murum in seriem suspendit. (2) Reliquos vero Barcæos Persis prædæ loco permisit, exceptis Battiadis et eis qui cædis non fuissent participes : his vero urbem Pheretima tradidit.

CCIII. Τοὺς ὦν δὴ λοιποὺς τῶν Βαρκαίων οἱ Πέρσαι ἀνδραποδισάμενοι ἀπῆισαν ὀπίσω· καὶ ἐπείτε ἐπὶ τῇ Κυρηναίων πόλι ἐπέστησαν, οἱ Κυρηναῖοι λόγιόν τι ἀποσιεύμενοι διεξῆκαν αὐτοὺς διὰ τοῦ ἄστεος. (2) Διεξιούσης δὲ τῆς στρατιῆς Βάρης μὲν ὁ τοῦ ναυτικοῦ στρατοῦ στρατηγὸς ἐκέλευε αἱρέειν τὴν πόλιν, Ἄμασις δὲ ὁ τοῦ πεζοῦ οὐκ ἔα· ἐπὶ Βάρκην γὰρ ἀποσταλῆναι μούνην Ἑλληνίδα πολιν· ἐς ὃ διεξελθοῦσι καὶ ἱζομένοισι ἐπὶ Διὸς Λυκαίου ὄχθον μετεμέλησέ σφι οὐ σχοῦσι τὴν Κυρήνην. Καὶ ἐπειρέοντο τὸ δεύτερον παριέναι ἐς αὐτήν· οἱ δὲ Κυρηναῖοι οὐ περιώρεον. (3) Τοῖσι δὲ Πέρσῃσι οὐδενὸς μαχομένου φόβος ἐνέπεσε, ἀποδραμόντες δὲ ὅσον ἑξήκοντα στάδια ἵζοντο. Ἰδρυθέντι δὲ τῷ στρατοπέδῳ ταύτῃ ἦλθε παρ' Ἀρυάνδεω ἄγγελος ἀποκαλέων αὐτούς. Οἱ δὲ Πέρσαι Κυρηναίων δεηθέντες ἐπόδιά σφι δοῦναι ἔτυχον, λαβόντες δὲ ταῦτα ἀπαλλάσσοντο ἐς τὴν Αἴγυπτον. (4) Παραλαβόντες δὲ τὸ ἐνθεῦτεν αὐτοὺς Λίβυες τῆς τε ἐσθῆτος εἵνεκεν καὶ τῆς σκευῆς τοὺς ὑπολειπομένους αὐτῶν καὶ ἐπελκομένους ἐφόνευον, ἐς ὃ ἐς τὴν Αἴγυπτον ἀπίκοντο.

CCIII. Reliquos igitur Barcæos captivos abducentes Persæ redierunt : qui quum ad Cyrenæorum urbem accesserunt, Cyrenæi, oraculi cujusdam religione se soluturi, per ipsam urbem illos passi sunt transire. (2) Per quam dum transivit exercitus, Bares, navalibus copiis præfectus, capi urbem jussit : at Amasis, pedestris dux exercitus, ne id fieret prohibuit ; contra solam Barcam, dicens, nec contra aliam Græcam urbem se esse missum. Deinde vero, postquam transierant et in colle resederant Jovis Lycæi, pœnituit eos Cyrenen non tenuisse ; iterumque ingredi urbem tentarunt : sed Cyrenæi non admiserunt. (3) Tum Persas, nemine licet repugnante, metus incessit : et cursu se inde ad sexaginta fere stadia receperunt, ibique resederunt. Ubi dum stativa habuit exercitus, advenit ab Aryande nuncius, qui illos revocaret. Et Persæ, commeatum sibi præberi precati a Cyrenæis, accepto ab eisdem commeatu in Ægyptum abierunt. (4) At inde excipientes illos Libyes, ut quisque tardabat morabaturque, ita eum interficiebant, quo vestitu ejus reliquoque adparatu potirentur : donec reliqui in Ægyptum pervenerunt.

CCIV. Οὗτος ὁ Περσέων στρατὸς τῆς Λιβύης ἕκαστάτω ἐς Εὐεσπερίδας ἦλθε. Τοὺς δὲ ἠνδραποδίσαντο τῶν Βαρκαίων, τούτους δὲ ἐκ τῆς Αἰγύπτου ἀνασπάστους ἐποίησαν παρὰ βασιλέα, βασιλεὺς δέ σφι Δαρεῖος ἔδωκε τῆς Βακτρίης χώρης κώμην ἐγκατοικῆσαι. Οἱ δὲ τῇ κώμῃ ταύτῃ οὔνομα ἔθεντο Βάρκην, ἥπερ ἔτι καὶ ἐς ἐμὲ ἦν οἰκευμένη ἐν γῇ τῇ Βακτρίῃ.

CCIV. Hic Persarum exercitus longissime in Africa usque ad Euesperidas pervenerat. Quos vero ex Barcæis captivos abduxerant, hos ex Ægypto procul a patria amandatos ad regem miserunt : rexque Darius vicum illis Bactrianæ regionis habitandum concessit. Et illi vico huic nomen imposuere Barcam, quæ Barca ad meam usque ætatem in Bactriana habitata erat.

CCV. Οὐ μὲν οὐδὲ ἡ Φερετίμη εὖ τὴν ζόην κατέπλεξε. Ὡς γὰρ δὴ τάχιστα ἐκ τῆς Λιβύης τισαμένη τοὺς Βαρκαίους ἀπενόστησε ἐς τὴν Αἴγυπτον, ἀπέθανε κακῶς· ζώουσα γὰρ εὐλέων ἐξέζεσε, ὡς ἄρα ἀνθρώποισι

CCV. Nec vero Pheretima bono vitæ fine usa est. Etenim simul atque, capta de Barcæis ultione, ex Libya in Ægyptum redierat, misere obiit : vivens quippe vermibus scatuit e cute enatis. Ita nempe hominibus vindictæ nimis

αἱ λίην ἰσχυραὶ τιμωρίαι πρὸς θεῶν ἐπίφθονοι γίνονται. Ἡ μὲν δὴ Φερετίμης τῆς Βάττου τοιαύτη τε καὶ τοσαύτη τιμωρίη ἐγένετο ἐς Βαρκαίους.

atroces invidiosæ sunt apud deos. Talis igitur et tanta vindicta fuit, quam de Barcæis cepit Pheretima, Batti filia [*sive* uxor].

ΗΡΟΔΟΤΟΥ

ΙΣΤΟΡΙΩΝ ΠΕΜΠΤΗ.

(ΤΕΡΨΙΧΟΡΗ.)

I. Οἱ δὲ ἐν τῇ Εὐρώπῃ τῶν Περσέων καταλειφθέντες ὑπὸ Δαρείου, τῶν ὁ Μεγάβαζος ἦρχε, πρώτους μὲν Περινθίους Ἑλλησποντίων οὐ βουλομένους ὑπηκόους εἶναι Δαρείου κατεστρέψαντο, περιεφθέντας πρότερον καὶ ὑπὸ Παιόνων τρηχέως. (2) Οἱ γὰρ ὧν ἀπὸ Στρυμόνος Παίονες χρήσαντος τοῦ θεοῦ στρατεύεσθαι ἐπὶ Περινθίους, καὶ ἢν μὲν ἀντικατιζόμενοι ἐπικαλέσωνται σφέας οἱ Περίνθιοι οὐνομαστὶ βώσαντες, τοὺς δὲ ἐπιχειρέειν, ἢν δὲ μὴ ἐπιβώσωνται, μὴ ἐπιχειρέειν, ἐποίευν οἱ Παίονες ταῦτα. (3) Ἀντικατιζομένων δὲ τῶν Περινθίων ἐν τῷ προαστείῳ, ἐνθαῦτα μουνομαχίη τριφασίη ἐκ προκλήσιός σφι ἐγένετο· καὶ γὰρ ἀνδρα ἀνδρὶ καὶ ἵππον ἵππῳ συνέβαλον καὶ κύνα κυνί. (4) Νικώντων δὲ τὰ δύο τῶν Περινθίων, ὡς ἐπαιώνιζον κεχαρηκότες, συνεβάλοντο οἱ Παίονες τὸ χρηστήριον αὐτὸ τοῦτο εἶναι καὶ εἶπάν κου παρὰ σφίσι αὐτοῖσι «νῦν ἂν εἴη ὁ χρησμὸς ἐπιτελεόμενος ἡμῖν, νῦν ἡμέτερον τὸ ἔργον.» Οὕτω τοῖσι Περινθίοισι παιωνίσασι ἐπιχειρέουσι οἱ Παίονες, καὶ πολλόν τε ἐκράτησαν καὶ ἐλιπόν σφεων ὀλίγους.

II. Τὰ μὲν δὴ ἀπὸ Παιόνων πρότερον γενόμενα ὧδε ἐγένετο· τότε δὲ ἀνδρῶν ἀγαθῶν περὶ τῆς ἐλευθερίης γινομένων τῶν Περινθίων οἱ Πέρσαι τε καὶ ὁ Μεγάβαζος ἐπεκράτησαν πλήθεϊ. (2) Ὡς δὲ ἐχειρώθη ἡ Πέρινθος, ἤλαυνε τὸν στρατὸν ὁ Μεγάβαζος διὰ τῆς Θρηϊκης, πᾶσαν πόλιν καὶ πᾶν ἔθνος τῶν ταύτῃ οἰκημένων ἡμερούμενος βασιλέϊ· ταῦτα γάρ οἱ ἐντέταλτο ἐκ Δαρείου, Θρηΐκην καταστρέφεσθαι.

III. Θρηίκων δὲ ἔθνος μέγιστόν ἐστι μετά γε Ἰνδοὺς πάντων ἀνθρώπων· εἰ δὲ ὑπ' ἑνὸς ἄρχοιτο ἢ φρονέοι κατὰ ὠυτό, ἄμαχόν τ' ἂν εἴη καὶ πολλῷ κράτιστον πάντων ἐθνέων κατὰ γνώμην τὴν ἐμήν. Ἀλλὰ γὰρ τοῦτο ἄπορόν σφι καὶ ἀμήχανον μή κοτε ἐγγένηται· εἰσὶ δὴ κατὰ τοῦτο ἀσθενέες. (2) Οὐνόματα δὲ πολλὰ ἔχουσι κατὰ χώρας ἕκαστοι, νόμοισι δὲ οὗτοι παραπλησίοισι πάντες χρέονται κατὰ πάντα, πλὴν Γετέων καὶ Τραυσῶν καὶ τῶν κατύπερθε Κρηστωναίων οἰκεόντων.

IV. Τούτων δὲ τὰ μὲν Γέται οἱ ἀθανατίζοντες ποι-

HERODOTI

HISTORIARUM LIBER QUINTUS.

(TERPSICHORE.)

I. Persæ, quos in Europa Darius reliquerat, quibus præerat Megabazus, primos ex Hellespontiis Perinthios, parere nolentes regis imperio, subegerunt. Iidem Perinthii superiori tempore a Pæonibus quoque male fuerant mulctati. (2) Pæones, Strymonem adcolentes, oraculi responso moniti erant ut arma adversus Perinthios moverent, et, si quidem Perinthii oppositis castris ipsos invocassent, nominatim compellantes, tum hos invaderent; sin non inclamassent, non invaderent. Idque fecerunt Pæones. (3) Quibus quum castra Perinthii opposuissent in suburbio, ex provocatione triplex instituebatur certamen singulare; etenim virum cum viro, et equum cum equo committebant, et canem cum cane: (4) et duobus certaminibus vicerunt Perinthii. Qui quum præ gaudio pæanem canerent, tum conjectantes Pæones hoc esse quod significasset oraculum, dixerunt inter se: « Nunc impletum nobis oraculum fuerit, nunc nostrum opus est. » Et cantantes Perinthios adgressi Pæones, ingentem reportarunt victoriam paucosque ex illis reliquos fecerunt.

II. Hæc olim a Pæonibus in hunc modum gesta erant. At tunc fortiter pro libertate pugnantes Perinthii, jam multitudine victi sunt a Persis et Megabazo. (2) Subacta Perintho, per Thraciam exercitum circumducens Megabazus, cuncta oppida, cunctosque populos ibi habitantes, sub regis imperium redegit: hoc enim illi mandatum erat, a Dario, subigere Thraciam.

III. Thracum natio, post Indos utique, maxima est nationum omnium: qui si sub unius essent imperio, aut concordes inter se essent, invicti forent, et longe populorum omnium, ut mihi quidem videtur, potentissimi. At hoc ipsum difficile est illis, atque impossibile, ut fiat umquam: eam ob caussam infirmi sunt. (2) Habent autem, pro regionum diversitate, multa ac varia nomina: sed eisdem moribus institutisque utuntur omnes, exceptis Getis, et Trausis, et qui ultra Crestonæos habitant.

IV. Et Getarum quidem instituta, qui immortales se esse

εῦσι, εἴρηταί μοι. Τραυσοὶ δὲ τὰ μὲν ἄλλα πάντα κατὰ ταὐτὰ τοῖσι ἄλλοισι Θρηΐξι ἐπιτελέουσι, κατὰ δὲ τὸν γινόμενόν σφι καὶ ἀπογινόμενον ποιεῦσι τοιάδε· (2) τὸν μὲν γινόμενον περιιζόμενοι οἱ προσήκοντες ὀλοφύρονται, ὅσα μιν δεῖ ἐπείτε ἐγένετο ἀναπλῆσαι κακὰ, ἀπηγεόμενοι τὰ ἀνθρωπήϊα πάντα πάθεα· τὸν δ' ἀπογινόμενον παίζοντές τε καὶ ἡδόμενοι γῇ κρύπτουσι, ἐπιλέγοντες ὅσων κακῶν ἐξαπαλλαχθείς ἐστι ἐν πάσῃ εὐδαιμονίῃ.

V. Οἱ δὲ κατύπερθε Κρηστωναίων ποιεῦσι τοιάδε. Ἔχει γυναῖκας ἕκαστος πολλάς· ἐπεὰν ὧν τις αὐτῶν ἀποθάνῃ, κρίσις γίνεται μεγάλη τῶν γυναικῶν καὶ φίλων σπουδαὶ ἰσχυραὶ περὶ τοῦδε, ἥτις αὐτέων ἐφιλέετο μάλιστα ὑπὸ τοῦ ἀνδρός· ἡ δ' ἂν κριθῇ καὶ τιμηθῇ, ἐγκωμιασθεῖσα ὑπό τε ἀνδρῶν καὶ γυναικῶν σφάζεται ἐς τὸν τάφον ὑπὸ τοῦ οἰκηϊωτάτου ἑωυτῆς, σφαχθεῖσα δὲ συνθάπτεται τῷ ἀνδρί. Αἱ δὲ ἄλλαι συμφορὴν μεγάλην ποιεῦνται· ὄνειδος γάρ σφι τοῦτο μέγιστον γίνεται.

VI. Τῶν δὲ δὴ ἄλλων Θρηίκων ἐστὶ ὅδε ὁ νόμος· πωλεῦσι τὰ τέκνα ἐπ' ἐξαγωγῇ. Τὰς δὲ παρθένους οὐ φυλάσσουσι, ἀλλ' ἐῶσι τοῖσι αὐταὶ βούλονται ἀνδράσι μίσγεσθαι· τὰς δὲ γυναῖκας ἰσχυρῶς φυλάσσουσι, καὶ ὠνέονται τὰς γυναῖκας παρὰ τῶν γονέων χρημάτων μεγάλων. (2) Καὶ τὸ μὲν ἐστίχθαι εὐγενὲς κέκριται, τὸ δ' ἄστικτον ἀγενές. Ἀργὸν εἶναι κάλλιστον, γῆς δὲ ἐργάτην ἀτιμότατον. Τὸ ζώειν ἀπὸ πολέμου καὶ λῃστύος κάλλιστον. Οὗτοι μέν σφεων οἱ ἐπιφανέστατοι νόμοι εἰσί.

VII. Θεοὺς δὲ σέβονται μούνους τούσδε, Ἄρεα καὶ Διόνυσον καὶ Ἄρτεμιν. Οἱ δὲ βασιλέες αὐτῶν, πάρεξ τῶν ἄλλων πολιητέων, σέβονται Ἑρμῆν μάλιστα θεῶν, καὶ ὀμνῦσι μοῦνον τοῦτον, καὶ λέγουσι γεγονέναι ἀπὸ Ἑρμέω ἑωυτούς.

VIII. Ταφαὶ δὲ τοῖσι εὐδαίμοσι αὐτῶν εἰσὶ αἵδε· τρεῖς μὲν ἡμέρας προτιθέασι τὸν νεκρὸν, καὶ παντοῖα σφάξαντες ἱρήϊα εὐωχέονται, προκλαύσαντες πρῶτον· ἔπειτεν δὲ θάπτουσι κατακαύσαντες ἢ ἄλλως γῇ κρύψαντες, χῶμα δὲ χέαντες ἀγῶνα τιθεῖσι παντοῖον, ἐν τῷ τὰ μέγιστα ἆεθλα τίθεται κατὰ λόγον μουνομαχίης. Ταφαὶ μὲν δὴ Θρηίκων εἰσὶ αὗται.

IX. Τὸ δὲ πρὸς βορέω ἔτι τῆς χώρης ταύτης, οὐδεὶς ἔχει φράσαι τὸ ἀτρεκὲς οἵτινές εἰσι ἀνθρώπων οἱ οἰκέοντες αὐτὴν, ἀλλὰ τὰ πέρην ἤδη τοῦ Ἴστρου ἐρῆμος χώρη φαίνεται ἐοῦσα καὶ ἄπειρος. Μούνους δὲ δύναμαι πυθέσθαι οἰκέοντας πέρην τοῦ Ἴστρου ἀνθρώπους τοῖσι οὔνομα εἶναι Σιγύννας, ἐσθῆτι χρεωμένους Μηδικῇ. (2) Τοὺς δὲ ἵππους αὐτῶν εἶναι λασίους ἅπαν τὸ σῶμα, ἐπὶ πέντε δακτύλους τὸ βάθος τῶν τριχῶν, μικροὺς δὲ καὶ σιμοὺς καὶ ἀδυνάτους ἄνδρας φέρειν· ζευγνυμένους δὲ ὑπ' ἅρματα εἶναι ὀξυτάτους, ἁρματηλατέειν δὲ πρὸς ταῦτα τοὺς ἐπιχωρίους. (3) Κατήκειν δὲ τούτων τοὺς οὔρους ἀγχοῦ Ἐνετῶν τῶν ἐν τῷ Ἀδρίῃ. Εἶναι δὲ Μήδων σφέας ἀποίκους λέγουσι· ὅκως δὲ οὗ-

praedicant, supra exposui. Trausi vero, aliis quidem in rebus ab reliquis Thracibus nihil differunt; sed recens apud eos natis ac denatis hoc faciunt: (2) natum circumsident cognati, et miserantur, quot quantaque mala oporteat eum, ex quo natus sit, implere, omnia quæ homines manent mala commemorantes. Denatum vero jocantes lætantesque terra condunt, commemorantes quot quantisque malis sit liberatus, quamque omni parte beatus.

V. Apud eos qui supra Crestonæos habitant, hic mos obtinet: uxores quilibet vir plures habet: jam, quando vir moritur, magna fit inter uxores disceptatio et acris amicorum contentio super hac quæstione, quænam ex uxoribus carissima fuerit marito. Dein, quæ talis judicata est, et cui hic honos habetur, illa, a viris atque mulieribus collaudata, jugulatur super tumulum ab his qui eam proxime cognatione attingunt, et jugulata una cum marito sepelitur: reliquæ vero magnæ sibi calamitati id ducunt; namque maximum hoc eis probrum censetur.

VI. Reliqui Thraces hisce utuntur institutis. Vendunt liberos suos, in alias terras abducendos. Virgines non custodiunt, sed congredi cum quibusque voluerint viris patiuntur: uxores vero severe custodiunt; emunt autem uxores a parentibus ingenti pretio. (2) Punctam notis habere cutem, nobile judicatur: impressa non habere stigmata, ignobile. Otiosum esse, honestissimum habetur, terram colere, quam maxime inhonestum. Ex bello et præda vivere, laudatissimum. Hi sunt præcipui illorum mores.

VII. Deos autem solos colunt hosce: Martem, et Bacchum, et Dianam. Reges vero eorum, præter privatos cives, Mercurium maxime colunt deorum, et per hunc solum jurant; dicuntque a Mercurio se esse prognatos.

VIII. Sepulturæ apud divites hæc ratio est: per triduum exponunt mortuum, prius illum deplorantes, sed mox victimarum omne genus mactantes, lautaque celebrantes convivia. Deinde sepeliunt combustum, aut etiam non combustum terra condunt. Postquam tumulum adgesserunt, certaminum varia proponunt genera, in quibus maxima pretia ponuntur, ut consentaneum est, his qui singulari certamine vincunt. Hæc est sepulturæ apud Thracas ratio.

IX. A septemtrione hujus regionis quinam habitent homines, pro certo dicere nemo potest. Illud quidem adparet, esse trans Istrum desertam terram et infinitam. Solos tantum resciscere potui trans Istrum habitantes homines, quibus nomen perhibetur esse Sigynnæ, Medica veste utentes: (2) quorum equos aiunt esse toto corpore hirsutos, pilis ad quinque (latos) digitos longis; exiguos illos, et simos, et parum validos ad viros vehendos; plaustris autem junctos, esse velocissimos; et eam ob causam plaustris vehi indigenas. (3) Pertinere autem horum fines fere usque ad Enetos, qui ad Adriam habitant. A Medis autem sese ortos dicunt. Quonam vero pacto Medorum hi fuerint coloni,

τοι Μήδων ἀποικοι γεγόνασι, ἐγὼ μὲν οὐκ ἔχω ἐπιφράσασθαι, γένοιτο δ' ἂν πᾶν ἐν τῷ μακρῷ χρόνῳ. Σιγύννας δ' ὧν καλεῦσι Λίγυες οἱ ἄνω ὑπὲρ Μασσαλίης οἰκέοντες τοὺς καπήλους, Κύπριοι δὲ τὰ δόρατα.

X. Ὡς δὲ Θρῄϊκες λέγουσι, μέλισσαι κατέχουσι τὰ πέρην τοῦ Ἴστρου, καὶ ὑπὸ τούτων οὐκ εἶναι διελθεῖν τὸ προσωτέρω. Ἐμοὶ μέν νυν ταῦτα λέγοντες δοκέουσι λέγειν οὐκ οἰκότα· τὰ γὰρ ζῶα ταῦτα φαίνεται εἶναι δύσριγα· ἀλλά μοι τὰ ὑπὸ τὴν ἄρκτον ἀοίκητα δοκέει εἶναι διὰ τὰ ψύχεα. (2) Ταῦτα μέν νυν τῆς χώρης ταύτης πέρι λέγεται· τὰ παραθαλάσσια δ' ὧν αὐτῆς Μεγάβαζος Περσέων κατήκοα ἐποίεε.

XI. Δαρεῖος δὲ ὡς διαβὰς τάχιστα τὸν Ἑλλήσποντον ἀπίκετο ἐς Σάρδις, ἐμνήσθη τῆς ἐξ Ἱστιαίου τε τοῦ Μιλησίου εὐεργεσίης καὶ τῆς παραινέσιος τοῦ Μυτιληναίου Κώεω, μεταπεμψάμενος δέ σφεας ἐς Σάρδις ἐδίδου αὐτοῖσι αἵρεσιν. (2) Ὁ μὲν δὴ Ἱστιαῖος, ἅτε τυραννεύων τῆς Μιλήτου, τυραννίδος μὲν οὐδεμιῆς προσεχρήϊζε, αἰτέει δὲ Μύρκινον τὴν Ἠδωνίδα βουλόμενος ἐν αὐτῇ πόλιν κτίσαι. (3) Οὗτος μὲν δὴ ταύτην αἱρέεται, ὁ δὲ Κώης, οἷά τε οὐ τύραννος δημότης τε ἐών, αἰτέει Μυτιλήνης τυραννεῦσαι. Τελεωθέντων δὲ ἀμφοτέροισι οὗτοι μὲν κατὰ εἵλοντο ἐτράποντο.

XII. Δαρεῖον δὲ συνήνεικε πρῆγμα τοιόνδε ἰδόμενον ἐπιθυμῆσαι ἐντείλασθαι Μεγαβάζῳ Παίονας ἑλόντα ἀνασπάστους ποιῆσαι ἐκ τῆς Εὐρώπης ἐς τὴν Ἀσίην. Ἦν Πίγρης καὶ Μαντύης ἄνδρες Παίονες, οἳ ἐπείτε Δαρεῖος διέβη ἐς τὴν Ἀσίην, αὐτοὶ ἐθέλοντες Παιόνων τυραννεύειν ἀπικνέονται ἐς Σάρδις, ἅμα ἀγόμενοι ἀδελφεὴν μεγάλην τε καὶ εὐειδέα. (2) Φυλάξαντες δὲ Δαρεῖον προκατιζόμενον ἐς τὸ προάστειον τὸ τῶν Λυδῶν ἐποίησαν τοιόνδε· σκευάσαντες τὴν ἀδελφεὴν ὡς εἶχον ἄριστα, ἐπ' ὕδωρ ἔπεμπον ἄγγος ἐπὶ τῇ κεφαλῇ ἔχουσαν καὶ ἐκ τοῦ βραχίονος ἵππον ἐπέλκουσαν καὶ κλώθουσαν λίνον. (3) Ὡς δὲ παρεξῄϊε ἡ γυνὴ, ἐπιμελὲς τῷ Δαρείῳ ἐγένετο· οὔτε γὰρ Περσικὰ ἦν οὔτε Λύδια τὰ ποιεύμενα ἐκ τῆς γυναικὸς, οὔτε πρὸς τῶν ἐκ τῆς Ἀσίης οὐδαμῶν. Ἐπιμελὲς δ' ὡς οἱ ἐγένετο, τῶν δορυφόρων τινὰς πέμπει κελεύων φυλάξαι ὅ τι χρήσεται τῷ ἵππῳ ἡ γυνή. (4) Οἱ μὲν δὴ ὄπισθε εἵποντο· ἡ δὲ ἐπείτε ἀπίκετο ἐπὶ τὸν ποταμὸν, ἦρσε τὸν ἵππον, ἄρσασα δὲ καὶ τὸ ἄγγος τοῦ ὕδατος ἐμπλησαμένη τὴν αὐτὴν ὁδὸν παρεξῄϊε, φέρουσα τὸ ὕδωρ ἐπὶ τῆς κεφαλῆς καὶ ἐπέλκουσα ἐκ τοῦ βραχίονος τὸν ἵππον καὶ στρέφουσα τὸν ἄτρακτον.

XIII. Θωμάζων δὲ ὁ Δαρεῖος τά τε ἤκουσε ἐκ τῶν κατασκόπων καὶ τὰ αὐτὸς ὥρα, ἄγειν αὐτὴν ἐκέλευε ἑωυτῷ ἐς ὄψιν. Ὡς δὲ ἄχθη, παρῆσαν καὶ οἱ ἀδελφεοὶ αὐτῆς οὐ κη πρόσω σκοπιὴν ἔχοντες τούτων. (2) Εἰρωτέοντος δὲ τοῦ Δαρείου ὁποδαπὴ εἴη, ἔφασαν οἱ νεηνίσκοι εἶναι Παίονες καὶ ἐκείνην εἶναι σφέων ἀδελφεήν. Ὁ δ' ἀμείβετο, τίνες δὲ οἱ Παίονες ἄνθρωποί εἰσι καὶ κοῦ γῆς οἰκημένοι, καὶ τί ἐκεῖνοι ἐθέλοντες ἦλθοιεν ἐς Σάρδις. (3) Οἱ δέ οἱ ἔφραζον ὡς ἦλθοιεν μὲν

exputare equidem non queo : sed longo temporis tractu fieri utique omnia possunt. Cæterum Sigynnæ apud Ligures super Massiliam habitantes, institores vocantur; apud Cyprios vero, hastæ.

X. Narrant quidem Thraces, apes occupare terras trans Istrum, eaque caussa non posse homines ulterius progredi. Quæ mihi parum probabiliter ab his dici videntur; quoniam constat frigoris impatientes esse istas bestiolas : sed propter frigus inhabitatæ mihi videntur esse regiones sub septemtrionibus sitæ. (2) Hæc sunt igitur quæ de hac regione memorantur. Cæterum maritimum illius tractum, ut supra dixi, Megabazus sub Persarum redegit potestatem.

XI. Darius simulatque trajecto Hellesponto Sardes pervenit, recordatus est beneficii ab Histiæo Milesio in se collati, et consilii a Mytilenæo Coe dati. Itaque his Sardes arcessitis optionem dedit. (2) Et Histiæus quidem, utpote Mileti tyrannus, nullam sibi insuper tyrannidem postulavit : petiit vero Myrcinum Edonidem, cupiens in ea urbem condere. (3) Hanc igitur hic optavit. Coes vero, ut qui non tyrannus, sed privatus esset, petiit Mytilenæ tyrannidem. Impetrato uterque quod optaverat, eo se contulit.

XII. Posthæc oblata Dario est res talis, qua conspecta incessit eum cupido mandandi Megabazo, ut Pæonas subigeret, et ex Europa in Asiam abstractos mitteret. Res ea hujusmodi fuit. Erant Pigres et Mantyas, viri Pæones : qui, postquam Darius in Asiam trajecerat, cupientes ipsi tyrannidem occupare Pæoniæ, Sardes venere, secum ducentes sororem, magnam statura, et forma præstantem. (2) Hi observato tempore quum Darius in Lydorum suburbio in publico sederet, hocce instituerunt : sororem, quam poterant optime instructam, aquandum miserunt, vas in capite gestantem, ex brachio post se ducentem equum, simulque linum nentem. (3) Ut præteribat mulier, advertit Darii animum : etenim nec ex Persarum more, nec ex Lydorum hoc erat, quod illa faciebat, nec ullius Asiatici populi moribus conveniens. Igitur quum ea res animum regis advertisset, misit satellitum nonnullos, jussos observare quid equo faceret hæc mulier. (4) Itaque hi pone sequebantur : illa vero, ubi ad fluvium pervenit, aquavit equum; quo aquato, vas suum aqua replevit et eadem via præteriit, aquam super capite gestans, equum ex brachio post se trahens, et manu fusum torquens.

XIII. Miratus Darius quæ partim ex speculatoribus audivit, partim ipse vidit, jussit coram se adduci mulierem. Ea ut adducebatur, aderant simul fratres ejus, qui haud procul alicubi, quid ageretur, speculati erant. (2) Interrogante Dario, cujas illa esset, responderunt juvenes, esse se Pæones, illamque suam esse sororem. Denuo interrogat rex : quinam vero homines Pæones sint, et ubi terrarum habitent; denique quid illi sibi vellent quod Sardes venissent. (3) Responderunt illi, venisse ut traderent se regi;

ἐκείνῳ δώσοντες σφέας αὐτοὺς, εἴη δὲ ἡ Παιονίη ἐπὶ τῷ Στρυμόνι ποταμῷ πεπολισμένη, ὁ δὲ Στρυμὼν οὐ πρόσω τοῦ Ἑλλησπόντου, εἶησαν δὲ Τευκρῶν τῶν ἐκ Τροίης ἄποικοι. (4) Οἱ μὲν δὴ ταῦτα ἕκαστα ἔλεγον, ὁ δὲ εἰρώτα εἰ καὶ πᾶσαι εἶησαν αὐτόθι αἱ γυναῖκες οὕτω ἐργάτιδες. Οἱ δὲ καὶ τοῦτο ἔφασαν προθύμως οὕτω ἔχειν· αὐτοῦ γὰρ ὧν τούτου εἵνεκεν καὶ ἐποιέετο.

XIV. Ἐνθαῦτα Δαρεῖος γράφει γράμματα πρὸς Μεγάβαζον, τὸν ἔλιπε ἐν τῇ Θρηίκῃ στρατηγὸν, ἐντελόμενος ἐξαναστῆσαι ἐξ ἡθέων Παίονας καὶ παρ' ἑωυτὸν ἀγαγεῖν καὶ αὐτοὺς καὶ τέκνα τε καὶ γυναῖκας αὐτῶν. (2) Αὐτίκα δὲ ἱππεὺς ἔθεε φέρων τὴν ἀγγελίην ἐπὶ τὸν Ἑλλήσποντον, περαιωθεὶς δὲ διδοῖ τὸ βιβλίον τῷ Μεγαβάζῳ. Ὁ δὲ ἐπιλεξάμενος καὶ λαβὼν ἡγεμόνας ἐκ τῆς Θρηίκης ἐστρατεύετο ἐπὶ τὴν Παιονίην.

XV. Πυθόμενοι δὲ οἱ Παίονες τοὺς Πέρσας ἐπὶ σφέας ἰέναι, ἁλισθέντες ἐξεστρατεύσαντο πρὸς θαλάσσης, δοκέοντες ταύτῃ ἐπιχειρήσειν τοὺς Πέρσας ἐμβάλλοντας. (2) Οἱ μὲν δὴ Παίονες ἔσαν ἑτοῖμοι τὸν Μεγαβάζου στρατὸν ἐπιόντα ἐρύκειν· οἱ δὲ Πέρσαι πυθόμενοι συνηλίσθαι τοὺς Παίονας καὶ τὴν πρὸς θαλάσσης ἐσβολὴν φυλάσσοντας, ἔχοντες ἡγεμόνας τὴν ἄνω ὁδὸν τράπονται, λαθόντες δὲ τοὺς Παίονας ἐσπίπτουσι ἐς τὰς πολιας αὐτῶν ἐούσας ἀνδρῶν ἐρήμους· οἷα δὲ κεινῇσι ἐπιπεσόντες εὐπετέως κατέσχον. (3) Οἱ δὲ Παίονες ὡς ἐπύθοντο ἐχομένας τὰς πόλιας, αὐτίκα διασκεδασθέντες κατ' ἑωυτοὺς ἕκαστοι ἐτράποντο καὶ παρεδίδοσαν σφέας αὐτοὺς τοῖσι Πέρσῃσι. Οὕτω δὴ Παιόνων Σιροπαίονές τε καὶ Παιόπλαι καὶ οἱ μέχρι τῆς Πρασιάδος λίμνης ἐξ ἡθέων ἐξαναστάντες ἤγοντο ἐς τὴν Ἀσίην.

XVI. Οἱ δὲ περὶ τὸ Πάγγαιον οὖρος καὶ Δόβηρας καὶ Ἀγριᾶνας καὶ Ὀδομάντους καὶ αὐτὴν τὴν λίμνην τὴν Πρασιάδα οὐκ ἐχειρώθησαν ἀρχὴν ὑπὸ Μεγαβάζου. (2) Ἐπειρήθη δὲ καὶ τοὺς ἐν τῇ λίμνῃ κατοικημένους ἐξαιρέειν ὧδε. Ἰκρία ἐπὶ σταυρῶν ὑψηλῶν ἐζευγμένα ἐν μέσῃ ἕστηκε τῇ λίμνῃ, ἔσοδον ἐκ τῆς ἠπείρου στεινὴν ἔχοντα μιῇ γεφύρῃ. (3) Τοὺς δὲ σταυροὺς τοὺς ὑπεστεῶτας τοῖσι ἰκρίοισι τὸ μέν κου ἀρχαῖον ἔστησαν κοινῇ πάντες οἱ πολιῆται, μετὰ δὲ νόμῳ χρεώμενοι ἱστᾶσι τοιῷδε· κομίζοντες ἐξ οὔρεος τῷ οὔνομά ἐστι Ὄρβηλος, κατὰ γυναῖκα ἑκάστην ὁ γαμέων τρεῖς σταυροὺς ὑπίστησι· ἄγεται δὲ ἕκαστος συχνὰς γυναῖκας. (4) Οἰκεῦσι δὲ τοιοῦτον τρόπον, κρατέων ἕκαστος ἐπὶ τῶν ἰκρίων καλύβης τε ἐν τῇ διαιτᾶται καὶ θύρης καταπακτῆς διὰ τῶν ἰκρίων κάτω φερούσης ἐς τὴν λίμνην. Τὰ δὲ νήπια παιδία δέουσι τοῦ ποδὸς σπάρτῳ, μὴ κατακυλισθῇ δειμαίνοντες. (5) Τοῖσι δὲ ἵπποισι καὶ τοῖσι ὑποζυγίοισι παρέχουσι χόρτον ἰχθῦς· τῶν δὲ πλῆθός ἐστι τοσοῦτον ὥστε ὅταν τὴν θύρην τὴν καταπακτὴν ἀνακλίνῃ, κατίει σχοίνῳ σπυρίδα κεινὴν ἐς τὴν λίμνην, καὶ οὐ πολλόν τινα χρόνον ἐπισχὼν ἀνασπᾷ πλήρεα ἰχθύων. Τῶν δὲ ἰχθύων

esse autem Pæoniam regionem ad Strymonem fluvium; Strymonem vero haud procul abesse ab Hellesponto; esse autem Pæones Teucrorum ex Troia colonos. (4) Quæ quum illi singula ex rei veritate dixissent, rogavit rex, an etiam omnes ibi mulieres ita essent laboriosæ. Cui illi, rem ita habere, prompte responderunt: nam ea ipsa caussa hæc ita instituerant.

XIV. Ibi tum ad Megabazum, quem in Thracia copiarum ducem reliquerat, literas scripsit Darius, jubens eum Pæonas e sedibus suis abstrahere, ad seque abducere, et ipsos et liberos eorum et uxores. (2) Protinusque eques, nuncium delaturus, cucurrit ad Hellespontum; eoque trajecto, literas Megabazo reddidit. Quibus ille perlectis, viæ ducibus ex Thracia sumptis, bellum intulit Pæonibus.

XV. Qui ubi resciverunt adversus se proficisci Persas, junctis copiis obviam illis progressi sunt versus mare, existimantes ab hac parte conaturos esse Persas terram suam invadere. (2) Sic igitur exercitum Megabazi, adversus se proficiscentem, prohibere parati Pæones erant. At Persæ, certiores facti conjunctis copiis Pæones aditum terræ suæ a parte maris custodire, secuti viæ duces, per superiora loca iter fecerunt: itaque, insciis Pæonibus, oppida illorum invadunt, viris vacua; illaque facile, utpote defensoribus nudata, ceperunt. (3) Deinde Pæones, postquam resciverunt capta sua esse oppida, continuo dispersi, ad suos quique lares sese contulerunt, Persisque se dediderunt. Atque ita Pæonum hi qui Siropæones vocantur, et qui Pæoplæ, et qui usque ad Prasiadem lacum habitabant, e sedibus suis abstracti, in Asiam sunt abducti.

XVI. Sed qui circa Pangæum montem habitant, et Doberes, et Agrianes, et Odomanti, item qui ipsum lacum Prasiadem incolunt, hi nullatenus subacti sunt a Megabazo; (2) quamquam et hos, qui hunc lacum incolunt, conatus erat sub potestatem redigere Persarum. Lacum autem hi incolunt tali modo. Stant in medio lacu tabulata, altis palis instrata, quæ angustum habent ex continente aditum uno ponte. (3) Palos, super quibus strata sunt tabulata, olim cives universi publico nomine statuerant. Deinde vero invaluit usus, ut iidem hoc modo statuantur: ut quisque uxorem ducit, quas quidem permultas unusquisque ducit, ita pro quaque uxore tres palos statuit, ex monte adductos, cui nomen Orbēlus. (4) Habitant hic autem tali modo: unusquisque super tabulatis illis tugurium habet, in quo vitam agit, et januam demissilem, quæ per tabulatum deorsum fert ad paludem. Parvulos autem pueros puellasque sparto ex pede adligant, metuentes ne imprudentes decidant. (5) Equis et jumentis pro pabulo pisces præbent. Est autem horum tanta copia, ut, quando quis demissilem januam reclinavit, et vacuam corbem ex fune in aquam demisit, brevi interposita mora plenam piscibus extrahat. Sunt autem piscium illorum duo genera,

ἐστὶ γένεα δύο, τοὺς καλεῦσι πάπρακάς τε καὶ τίλωνας. Παιόνων μὲν δὴ οἱ χειρωθέντες ἤγοντο ἐς τὴν Ἀσίην.

XVII. Μεγάβαζος δὲ ὡς ἐχειρώσατο τοὺς Παίονας, πέμπει ἀγγέλους ἐς Μακεδονίην ἄνδρας ἑπτὰ Πέρσας, οἳ μετ' αὐτὸν ἐκεῖνον ἔσαν δοκιμώτατοι ἐν τῷ στρατοπέδῳ. Ἐπέμποντο δὲ οὗτοι παρ' Ἀμύντεα αἰτήσοντες γῆν τε καὶ ὕδωρ Δαρείῳ βασιλεῖ. (2) Ἔστι δὲ ἐκ τῆς Πρασιάδος λίμνης σύντομος κάρτα ἐς τὴν Μακεδονίην· πρῶτα μὲν γὰρ ἔχεται τῆς λίμνης τὸ μέταλλον ἐξ οὗ ὕστερον τούτων τάλαντον ἀργυρίου Ἀλεξάνδρῳ ἡμέρης ἑκάστης ἐφοίτα, μετὰ δὲ τὸ μέταλλον Δύσωρον καλεύμενον οὖρος ὑπερβάντα εἶναι ἐν Μακεδονίῃ.

XVIII. Οἱ ὦν Πέρσαι οἱ πεμφθέντες οὗτοι παρὰ τὸν Ἀμύντεα ὡς ἀπίκοντο, αἴτεον ἐλθόντες ἐς ὄψιν τὴν Ἀμύντεω Δαρείῳ βασιλεῖ γῆν τε καὶ ὕδωρ. Ὁ δὲ ταῦτά τε ἐδίδου καὶ σφεας ἐπὶ ξείνια καλέει, παρασκευασάμενος δὲ δεῖπνον μεγαλοπρεπὲς ἐδέκετο τοὺς Πέρσας φιλοφρόνως. (2) Ὡς δὲ ἀπὸ δείπνου ἐγένοντο, διαπίνοντες εἶπαν οἱ Πέρσαι τάδε, « ξεῖνε Μακεδών, ἡμῖν νόμος ἐστὶ τοῖσι Πέρσῃσι, ἐπεὰν δεῖπνον προτιθώμεθα μέγα, τότε καὶ τὰς παλλακὰς καὶ τὰς κουριδίας γυναῖκας ἐσάγεσθαι παρέδρους. Σύ νυν, ἐπεί περ προθύμως μὲν ἐδέξαο, μεγάλως δὲ ξεινίζεις, διδοῖς τε βασιλεῖ Δαρείῳ γῆν τε καὶ ὕδωρ, ἔπεο νόμῳ τῷ ἡμετέρῳ. » (3) Εἶπε πρὸς ταῦτα Ἀμύντης, « ὦ Πέρσαι, νόμος μὲν ἡμῖν γέ ἐστι οὐκ οὗτος, ἀλλὰ κεχωρίσθαι ἄνδρας γυναικῶν· ἐπείτε δὲ ὑμεῖς ἐόντες δεσπόται προσχρηίζετε τούτων, παρέσται ὑμῖν καὶ ταῦτα. » (4) Εἶπας τοσαῦτα ὁ Ἀμύντης μετεπέμψατο τὰς γυναῖκας· αἱ δ' ἐπείτε καλεύμεναι ἦλθον, ἐπεξῆς ἀντίαι ἵζοντο τοῖσι Πέρσῃσι. (5) Ἐνθαῦτα οἱ Πέρσαι ἰδόμενοι γυναῖκας εὐμόρφους ἔλεγον πρὸς Ἀμύντεα φάμενοι τὸ ποιηθὲν τοῦτο οὐδὲν εἶναι σοφόν· κρέσσον γὰρ εἶναι ἀρχῆθεν μὴ ἐλθεῖν τὰς γυναῖκας ἢ ἐλθούσας καὶ μὴ παριζομένας ἀντίας ἵζεσθαι ἀλγηδόνας σφι ὀφθαλμῶν. (6) Ἀναγκαζόμενος δὲ ὁ Ἀμύντης ἐκέλευε παρίζειν· πειθομένων δὲ τῶν γυναικῶν αὐτίκα οἱ Πέρσαι μαστῶν τε ἅπτοντο οἷα πλεύνως οἰνωμένοι, καί κού τις καὶ φιλέειν ἐπειρᾶτο.

XIX. Ἀμύντης μὲν δὴ ταῦτα ὁρέων ἀτρέμας εἶχε, καίπερ δυσφορέων, οἷα ὑπερδειμαίνων τοὺς Πέρσας· Ἀλέξανδρος δὲ ὁ Ἀμύντεω παρεών τε καὶ ὁρέων ταῦτα, ἅτε νέος τε ἐὼν καὶ κακῶν ἀπαθὴς, οὐδαμῶς ἔτι κατέχειν οἷός τ' ἦν, ὥστε δὲ βαρέως φέρων, εἶπε πρὸς Ἀμύντεα τάδε, « σὺ μὲν, ὦ πάτερ, εἶκε τῇ ἡλικίῃ, ἀπιών τε ἀναπαύεο, μηδὲ λιπάρεε τῇ πόσι· ἐγὼ δὲ προσμένων αὐτοῦ τῇδε πάντα τὰ ἐπιτήδεα παρέξω τοῖσι ξείνοισι. » (2) Πρὸς ταῦτα συνεὶς ὁ Ἀμύντης ὅτι νεώτερα πρήγματα πρήξειν μέλλοι Ἀλέξανδρος, λέγει, « ὦ παῖ, σχεδὸν γάρ σευ ἀνακαιομένου συνίημι τοὺς λόγους, ὅτι βέλεις ἐμὲ ἐκπέμψας ποιέειν τι νεώτερον· ἐγὼ ὦν σευ χρηίζω μηδὲν νεοχμῶσαι κατ' ἄνδρας τούτους, ἵνα μὴ

quos papraces et tilones adpellant. Ex Pæonibus igitur ii qui subacti erant, in Asiam sunt abducti.

XVII. Megabazus, subactis Pæonibus, legatos misit in Macedoniam, septem viros Persas, qui post illum spectatissimi erant in exercitu. Missi hi sunt ad Amyntam, terram et aquam ab *illo postulaturi nomine Darii regis*. (2) Est autem a Prasiade palude via brevis admodum in Macedoniam. Primum enim, proxima ab hac palude est metallifodina, ex qua postero tempore talentum argenti quotidie redibat Alexandro : post hoc metallum si montem superaveris cui Dysorus nomen, in Macedonia eris.

XVIII. Persæ igitur hi legati, ubi ad Amyntam pervenere, intromissi petierunt ab eo regi Dario terram et aquam : et ille hæc dedit, et ad hospitium illos vocavit, magnificeque *instructa cœna peramice* Persas accepit. (2) Post cœnam, bibendo certantes, hæc dixere Persæ : « Hospes Macedo, nobis Persis mos est, quando lautam celebramus cœnam, tunc etiam pellices et legitimas uxores adducere, et sedes illis inter nos tribuere. Tu igitur, quoniam benevole nos excepisti, et magnificam adposuisti cœnam, tradisque regi Dario terram et aquam, nostrum sequere morem. » (3) Ad hæc Amyntas : « Persæ, inquit, nobis quidem neutiquam hic mos est; sed separantur viri a mulieribus Sed quoniam vos, qui estis domini, hoc insuper postulatis, etiam hoc vobis aderit. » (4) *His dictis, mulieres arcessivit* Amyntas. Quæ ubi vocatæ advenerant, ordine consederunt ex adverso Persarum. (5) Tum vero Persæ, formosas conspicientes mulieres, Amyntæ dixere, parum prudenter hoc esse factum : satius enim fuisse futurum, prorsus non advenire mulieres, quam, postquam venissent, non adsidere, sed ex adverso sedere, oculorum ipsis dolorem. (6) Coactus igitur Amyntas, adsidere eas jussit. Quod ubi fecerunt mulieres, Persæ protinus mammas illarum contrectare, quippe gnaviter adpoti, non nemo etiam osculari conabatur.

XIX. Et Amyntas quidam hæc videns, quamvis iniquo ferens animo, nihil movebat, supra modum metuens Persas. At Alexander, Amyntæ filius, præsens videnque hæc, utpote juvenis et malorum inexpertus, continere se nequaquam amplius potuit. Igitur indigne rem ferens, dixit ad patrem : « Tu quidem, pater, *concede ætati*, abi hinc, et da te quieti, nec ulterius adside compotationi : ego vero hic manebo, omniaque necessaria hospitibus præbebo. » (2) Ad hæc Amyntas, intelligens novi quiddam audacius moliri Alexandrum : « Intelligo fere, fili, inquit, sermonem tuum hominis esse excandescentis; et velle te, me dimisso, novum quidpiam moliri. Atqui oro te, nihil novi adversus hos viros moliaris, ne nos disperdas : sed

ἐξεργάσῃ ἡμέας, ἀλλ' ἀνέχευ ὀρέων τὰ ποιεύμενα· ἀμφὶ δὲ ἀπόδῳ τῇ ἐμῇ πείσομαί τοι. »

XX. Ὡς δὲ ὁ Ἀμύντης χρηίσας τούτων οἰχώκεε, λέγει ὁ Ἀλέξανδρος πρὸς τοὺς Πέρσας, « γυναικῶν τούτων, ὦ ξεῖνοι, πολλή ἐστι ὑμῖν εὐπέτεια, καὶ εἰ πάσῃσι βούλεσθε μίσγεσθαι καὶ ὁκοσῃσιῶν αὐτέων. (2) Τούτου μὲν πέρι αὐτοὶ ἀποσημανέετε· νῦν δὲ, σχεδὸν γὰρ ἤδη τῆς κοίτης ὥρη προσέρχεται ὑμῖν καὶ καλῶς ἔχοντας ὑμέας ὀρέω μέθης, γυναῖκας ταύτας, εἰ ὑμῖν φίλον ἐστὶ, ἅπετε λούσασθαι, λουσαμένας δὲ ὀπίσω προσδέχεσθε. » (3) Εἶπας ταῦτα, συνέπαινοι γὰρ ἔσαν οἱ Πέρσαι, γυναῖκας μὲν ἐξελθούσας ἀπέπεμπε ἐς τὴν γυναικηΐην, αὐτὸς δὲ ὁ Ἀλέξανδρος ἴσους τῇσι γυναιξὶ ἀριθμὸν ἄνδρας λειογενείους τῇ τῶν γυναικῶν ἐσθῆτι σκευάσας καὶ ἐγχειρίδια δοὺς παρῆγε ἔσω, παράγων δὲ τούτους ἔλεγε τοῖσι Πέρσῃσι τάδε, « ὦ Πέρσαι, οἵκατε πανδαισίῃ τελέῃ ἱστιῆσθαι· τά τε γὰρ ἄλλα ὅσα εἴχομεν, καὶ πρὸς τὰ οἷά τε ἦν ἐξευρόντας παρέχειν, πάντα ὑμῖν πάρεστι, καὶ δὴ καὶ τόδε τὸ πάντων μέγιστον, τάς τε ἑωυτῶν μητέρας καὶ τὰς ἀδελφεὰς ἐπιδαψιλευσόμεθα ὑμῖν, ὡς παντελέως μάθητε τιμεώμενοι πρὸς ἡμέων τῶν πέρ ἐστε ἄξιοι, πρὸς δὲ καὶ βασιλέϊ τῷ πέμψαντι ἀπαγγείλητε ὡς ἀνὴρ Ἕλλην Μακεδόνων ὕπαρχος εὖ ὑμέας ἐδέξατο καὶ τραπέζῃ καὶ κοίτῃ. » (4) Ταῦτα εἶπας Ἀλέξανδρος παρίζει Πέρσῃ ἀνδρὶ ἄνδρα Μακεδόνα ὡς γυναῖκα τῷ λόγῳ· οἱ δὲ, ἐπείτε σφέων οἱ Πέρσαι ψαύειν ἐπειρέοντο, διεργάζοντο αὐτούς.

XXI. Καὶ οὗτοι μὲν τούτῳ τῷ μόρῳ διεφθάρησαν, καὶ αὐτοὶ καὶ ἡ θεραπηΐη αὐτῶν· εἵπετο γὰρ δή σφι καὶ ὀχήματα καὶ θεράποντες καὶ ἡ πᾶσα πολλὴ παρασκευή· πάντα δὴ ταῦτα ἅμα πᾶσι ἐκείνοισι ἠφάνιστο. (2) Μετὰ δὲ, χρόνῳ οὐ πολλῷ ὕστερον, ζήτησις τῶν ἀνδρῶν τούτων μεγάλη ἐκ τῶν Περσέων ἐγίνετο, καί σφεας Ἀλέξανδρος κατέλαβε σαφίῃ, χρήμασά τε δοὺς πολλὰ καὶ τὴν ἑωυτοῦ ἀδελφεὴν τῇ οὔνομα ἦν Γυγαίη· δοὺς δὲ ταῦτα κατέλαβε ὁ Ἀλέξανδρος Βουβάρῃ ἀνδρὶ Πέρσῃ, τῶν διζημένων τοὺς ἀπολομένους τῷ στρατηγῷ. Ὁ μέν νυν τῶν Περσέων τούτων θάνατος οὕτω καταλαμφθεὶς ἐσιγήθη.

XXII. Ἕλληνας δὲ τούτους εἶναι τοὺς ἀπὸ Περδίκκεω γεγονότας, κατά περ αὐτοὶ λέγουσι, αὐτός τε οὕτω τυγχάνω ἐπιστάμενος, καὶ δὴ καὶ ἐν τοῖσι ὄπισθε λόγοισι ἀποδέξω ὡς εἰσὶ Ἕλληνες, πρὸς δὲ καὶ οἱ τὸν ἐν Ὀλυμπίῃ διέποντες ἀγῶνα Ἑλλήνων οὕτω ἔγνωσαν εἶναι. (2) Ἀλεξάνδρου γὰρ ἀεθλεύειν ἐλομένου καὶ καταβάντος ἐπ' αὐτὸ τοῦτο, οἱ ἀντιθευσόμενοι Ἑλλήνων ἐξεῖργόν μιν, φάμενοι οὐ βαρβάρων ἀγωνιστέων εἶναι τὸν ἀγῶνα, ἀλλ' Ἑλλήνων· Ἀλέξανδρος δὲ ἐπειδὴ ἀπέδεξε ὡς εἴη Ἀργεῖος, ἐκρίθη τε εἶναι Ἕλλην, καὶ ἀγωνιζόμενος στάδιον συνεξέπιπτε τῷ πρώτῳ. Ταῦτα μέν νυν οὕτω κη ἐγένετο.

XXIII. Μεγάβαζος δὲ ἄγων τοὺς Παίονας ἀπίκετο ἐπὶ τὸν Ἑλλήσποντον, ἐνθεῦτεν δὲ διαπεραιωθεὶς ἀπίκετο ἐς Σάρδις. (2) Ἅτε δὲ τειχέοντος ἤδη Ἰστιαίου

patere fieri, quæ hic agi vides. Quod autem me, ut hinc abeam, mones, tibi obsequar. »

XX. Postquam Amyntas, hæc precatus, abiit; tum vero Persas Alexander his verbis est adlocutus : « Harum mulierum, hospites, facilis vobis usus patet; sive cum omnibus velitis concumbere, sive quibuscum ex illis volueritis : (2) de hoc vos ipsi, quid vobis videatur, significate. Nunc vero, quum fere adpropinquet tempus cubitum eundi, et pulcre vos videam adpotos, mulieres has, si placet vobis, sinite lavari; et exspectate lotas redituras. » (3) Hæc dicta quum collaudassent Persæ, mulieres abeuntes dimisit in gynæceum : ipse vero Alexander viros lævi mento, tot numero quot erant feminæ, muliebri cultu ornatos, pugionibusque instructos, introduxit. Quos producens, sic Persas adloquitur : « Videmini, Persæ, convivio a nobis omni munificentia instructo fuisse excepti : nam et alia quæcumque in promptu habuimus, et quæ insuper vobis præbenda potuimus reperire, ea vobis omnia adposita sunt : et nunc ecce hoc etiam, quod omnium maximum est, et matres nostras et sorores, larga liberalitate vobis exhibemus; quo cognoscatis, nos omni honorum genere, quibus digni estis, vos esse prosequutos; utque etiam regi, qui vos misit, renuncietis, virum Græcum, Macedoniæ sub regis auspiciis præfectum, laute vos et mensa et lecto excepisse. » (4) Hæc locutus Alexander, juxta quemque Persam virum Macedonem, quasi mulierem nempe, adsidere jussit : qui mox Persas, contrectare illos conantes, interfecerunt.

XXI. Hac igitur morte hi perierunt, et ipsi, et illorum famulitium : nam et plaustra, et famuli, et multa adparatuum genera illos secuta erant; quæ omnia simul cum ipsis evanuerunt. (2) Haud multo post vero acris inquisitio horum virorum caussa a Persis instituta est : sed inquirentes Alexander inhibuit continuitque astu, et multa pecunia, et sorore sua, cui nomen erat Gygæa, in matrimonium data Bubaræ quidem, viro Persæ, duci eorum quibus inquisitio horum qui perierant mandata erat. Ita Persarum istorum cædes silentio compressa est.

XXII. Fuisse hos a Perdicca oriundos (Amyntam et Alexandrum) origine, ut ipsi aiunt, Græcos, et ego verum esse scio, et in sequentibus historiis demonstrabo Græcos fuisse. Agnoverunt vero etiam hi, qui Olympiæ certamina Græcorum administrant, ita se rem habere. (2) Etenim quum Alexander solennibus ludis cuperet certare, et ob id ipsum Olympiam esset profectus, Græci, quibuscum concursurus erat, excludere eum voluerunt; dicentes, barbarorum non esse hoc certamen, sed Græcorum. At Alexander, postquam se origine esse Argivum demonstravit, Græcus esse judicatus est; et, quum stadio esset certaturus, sors ei cum primo excidit. Et hæc quidem ita gesta sunt.

XXIII. Megabazus, Pæonas ducens, ad Hellespontum pervenerat; indeque, eo trajecto, Sardes pervenit. (2) Quumque per id tempus Histiæus Milesius jam muro mu-

τοῦ Μιλησίου τὴν παρὰ Δαρείου αἰτήσας ἔτυχε μισθὸν δωρεὴν φυλακῆς τῆς σχεδίης, ἐόντος δὲ τοῦ χώρου τούτου παρὰ Στρυμόνα ποταμὸν τῷ οὔνομά ἐστι Μύρκινος, μαθὼν ὁ Μεγάβαζος τὸ ποιεύμενον ἐκ τοῦ Ἰστιαίου, ὡς ἦλθε τάχιστα ἐς τὰς Σάρδις ἄγων τοὺς Παίονας, ἔλεγε Δαρείῳ τάδε, (3) « ὦ βασιλεῦ, κοῖόν τι χρῆμα ἐποίησας, ἀνδρὶ Ἕλληνι δεινῷ τε καὶ σοφῷ δοὺς ἐγκτήσασθαι πόλιν ἐν Θρηίκῃ, ἵνα ἴδῃ τε ναυπηγήσιμός ἐστι ἄφθονος καὶ πολλοὶ κωπέες καὶ μέταλλα ἀργύρεα, ὅμιλός τε πολλὸς μὲν Ἕλλην περιοικέει, πολλὸς δὲ βάρβαρος, οἳ προστάτεω ἐπιλαβόμενοι ποιήσουσι τοῦτο τὸ ἂν ἐκεῖνος ἐξηγέηται καὶ ἡμέρης καὶ νυκτός. (4) Σύ νυν τοῦτον τὸν ἄνδρα παῦσον ταῦτα ποιεῦντα, ἵνα μὴ οἰκηίῳ πολέμῳ συνέχηαι. Τρόπῳ δὲ ἠπίῳ μεταπεμψάμενος παῦσον· ἐπεὰν δὲ αὐτὸν περιλάβῃς, ποιέειν ὅκως μηκέτι ἐκεῖνος ἐς Ἕλληνας ἀπίξεται. »

XXIV. Ταῦτα λέγων ὁ Μεγάβαζος εὐπετέως ἔπειθε Δαρεῖον ὡς εὖ προορέων τὸ μέλλον γίνεσθαι. Μετὰ δὲ ἄγγελον πέμψας ὁ Δαρεῖος ἐς τὴν Μύρκινον ἔλεγε τάδε, « Ἰστιαῖε, βασιλεὺς Δαρεῖος τάδε λέγει· ἐγὼ φροντίζων εὑρίσκω ἐμοί τε καὶ τοῖσι ἐμοῖσι πρήγμασι οὐδένα εἶναι σεῦ ἄνδρα εὐνοέστερον· τοῦτο δὲ οὐ λόγοισι, ἀλλ' ἔργοισι οἶδα μαθών. (2) Νῦν ὦν, ἐπινοέω γὰρ πρήγματα μεγάλα κατεργάσασθαι, ἀπικνέεο μοι πάντως, ἵνα τοι αὐτὰ ὑπερθέωμαι. » Τούτοισι τοῖσι ἔπεσι πιστεύσας ὁ Ἰστιαῖος, καὶ ἅμα μέγα ποιεύμενος βασιλέος σύμβουλος γενέσθαι, ἀπίκετο ἐς τὰς Σάρδις. (3) Ἀπικομένῳ δέ οἱ ἔλεγε Δαρεῖος τάδε, « Ἰστιαῖε, ἐγώ σε μετεπεμψάμην τῶνδε εἵνεκεν· ἐπείτε τάχιστα ἐνόστησα ἀπὸ Σκυθέων καὶ σύ μοι ἐγένεο ἐξ ὀφθαλμῶν, οὐδέν κω ἄλλο χρῆμα οὕτω ἐν βραχεῖ ἐπεζήτησα ὡς σὲ ἰδέειν τε καὶ ἐς λόγους μοι ἀπικέσθαι, ἐγνωκὼς ὅτι κτημάτων πάντων ἐστὶ τιμιώτατον ἀνὴρ φίλος συνετός τε καὶ εὔνοος, τά τοι ἐγὼ καὶ ἀμφότερα συνειδὼς ἔχω μαρτυρέειν ἐς πρήγματα τὰ ἐμά. (4) Νῦν ὦν, εὖ γὰρ ἐποίησας ἀπικόμενος, τάδε τοι ἐγὼ προτείνομαι· Μίλητον μὲν ἔα καὶ τὴν νεόκτιστον ἐν Θρηίκῃ πόλιν, σὺ δέ μοι ἑπόμενος ἐς Σοῦσα ἔχε τά περ ἂν ἐγὼ ἔχω, ἐμός τε σύσσιτος ἐὼν καὶ σύμβουλος. »

XXV. Ταῦτα Δαρεῖος εἶπας, καὶ καταστήσας Ἀρταφέρνεα ἀδελφεὸν ἑωυτοῦ ὁμοπάτριον ὕπαρχον εἶναι Σαρδίων, ἀπήλαυνε ἐς Σοῦσα ἅμα ἀγόμενος Ἰστιαῖον, Ὀτάνεα δὲ ἀποδέξας στρατηγὸν εἶναι τῶν παραθαλασσίων ἀνδρῶν· (2) τοῦ τὸν πατέρα Σισάμνην βασιλεὺς Καμβύσης γενόμενον τῶν βασιληίων δικαστέων, ὅτι ἐπὶ χρήμασι δίκην ἄδικον ἐδίκασε, σφάξας ἀπέδειρε πᾶσαν τὴν ἀνθρωπέην, σπαδίξας δὲ αὐτοῦ τὸ δέρμα ἱμάντας ἐξ αὐτοῦ ἔταμε καὶ ἐνέτεινε τὸν θρόνον ἐς τὸν ἕζων ἐδίκαζε· ἐντανύσας δὲ ὁ Καμβύσης ἀπέδεξε δικαστὴν εἶναι ἀντὶ τοῦ Σισάμνεω, τὸν ἀποκτείνας ἀπέδειρε, τὸν παῖδα τοῦ Σισάμνεω, ἐντειλάμενός οἱ μεμνῆσθαι ἐν τῷ κατίζων θρόνῳ δικάζει.

XXVI. Οὗτος ὦν ὁ Ὀτάνης, ὁ ἐγκατιζόμενος ἐς τοῦτον τὸν θρόνον, τότε διάδοχος γενόμενος Μεγαβάζῳ

niret locum eum, quem dono optanti dederat Darius, mercedem custoditi pontis, qui locus ad Strymonem fluvium est, et Myrcinus vocatur; Megabazus, cognito quod agebat Histiæus, simulatque cum Pæonibus, quos regi adducebat, Sardes pervenit, hæc ad Darium verba fecit: (3) « O rex, quamnam tu rem fecisti? homini Græco, acri et callido, urbem possidendam dedisti in Thracia, ubi copiosa ad construendas naves est materia, et multi sunt remiges, et argenti metalla; et frequentes circum habitant Græci, frequentesque barbari, qui hunc ducem nacti, facient quidquid ille jusserit sive die sive nocte. (4) Tu igitur hunc virum ista agentem inhibe; ne domestico premaris bello: leni vero modo inhibe ad te arcessitum. Postquam autem in potestate eum habueris, danda opera ne amplius ille ad Græcos perveniat. »

XXIV. Hæc locutus Megabazus facile Dario persuasit, intelligenti recte illum futura prospicere. Deinde ad Histiæum Myrcini versantem nuncium misit Darius, qui hæc ei diceret: « Histiæe, rex Darius hæc ait: Ego, studiose quærens, neminem reperio, qui mihi meisque rebus magis, quam tu, faveat: idque non verbis, sed factis, habeo compertum. (2) Nunc igitur, quum magnas res gerendas animo volvam, fac omnino me convenias, ut eas tecum communicem. » His verbis fidem habens Histiæus, magnique faciens regis esse consiliarius, Sardes pervenit. (3) Qui ubi in regis venit conspectum, his verbis eum Darius est adlocutus: « Histiæe, ego te hac caussa arcessivi. Simul atque e Scythia redii, tuque mihi fuisti ex oculis, protinus nullius alius rei tantum me desiderium cepit, quam tui videndi, et tecum sermones miscendi; quippe gnarus, omnium bonorum pretiosissimum esse virum amicum, qui tam intelligens sit, quam benevolus: quæ duo ego in te adversus res meas cognovi, inesseque tibi possum testari. (4) Quare bene fecisti quod ad me adveneris, tibique ego hæc propono: missam fac Miletum, et recens conditam in Thracia urbem: me vero sequere Susa euntem, et habe quæ ego habeo, meusque esto commensalis et consiliarius. »

XXV. His dictis Darius, postquam Artaphernem, fratrem suum eodem patre natum, præfectum nominaverat Sardium, Susa est profectus, Histiæum secum ducens. Copiis vero maritimæ oræ præsidentibus ducem nominavit Otanem; (2) cujus patrem Sisamnen, unum ex judicibus regiis, Cambyses rex, quod accepta pecunia injustam pronunciasset sententiam, interfecerat, interfectoque totam detraxerat pellem, et scissis ex detracta pelle loris intenderat sellam, in qua ille sedens jus dixerat: quo facto rex filium ejusdem Sisamnæ, quem interfectum excoriaverat, in patris locum nominaverat judicem, monitum ut recordaretur quanam in sella jus dicens sederet.

XXVI. Hic igitur Otanes, qui in illa sedere sella jussus erat, nunc successor imperii datus Megabazo, Byzantios

τῆς στρατηγίης Βυζαντίους τε εἶλε καὶ Καλχηδονίους, εἶλε δὲ Ἄντανδρον τὴν ἐν τῇ Τρῳάδι γῇ, εἶλε δὲ Λαμπώνιον, λαβὼν δὲ παρὰ Λεσβίων νέας εἶλε Λῆμνόν τε καὶ Ἴμβρον, ἀμφοτέρας ἔτι τότε ὑπὸ Πελασγῶν οἰκεομένας.

XXVII. (Οἱ μὲν δὴ Λήμνιοι καὶ ἐμαχέσαντο εὖ καὶ ἀμυνόμενοι ἀνὰ χρόνον ἐκακώθησαν. Τοῖσι δὲ περιεοῦσι αὐτῶν οἱ Πέρσαι ὕπαρχον ἐπιστᾶσι Λυκάρητον τὸν Μαιανδρίου τοῦ βασιλεύσαντος Σάμου ἀδελφεόν· οὗτος ὁ Λυκάρητος ἄρχων ἐν Λήμνῳ τελευτᾷ.) (2) Αἰτίη δὲ τούτου ἥδε· πάντας ἠνδραποδίζετο καὶ κατεστρέφετο, τοὺς μὲν λιποστρατίης ἐπὶ Σκύθας αἰτιώμενος, τοὺς δὲ σίνεσθαι τὸν Δαρείου στρατὸν τὸν ἀπὸ Σκυθέων ὀπίσω ἀποκομιζόμενον. Οὗτος μέν νυν τοσαῦτα ἐξεργάσατο στρατηγήσας.

XXVIII. Μετὰ δὲ οὐ πολλὸν χρόνον ἄνεσις κακῶν ἦν, καὶ ἤρχετο τὸ δεύτερον ἐκ Νάξου τε καὶ Μιλήτου Ἴωσι γίνεσθαι κακά. (2) Τοῦτο μὲν γὰρ ἡ Νάξος εὐδαιμονίῃ τῶν νήσων προέφερε, τοῦτο δὲ κατὰ τὸν αὐτὸν χρόνον ἡ Μίλητος αὐτή τε ἐωυτῆς μάλιστα δὴ τότε ἀκμάσασα, καὶ δὴ καὶ τῆς Ἰωνίης ἦν πρόσχημα, κατύπερθε δὲ τούτων ἐπὶ δύο γενεὰς ἀνδρῶν νοσήσασα ἐς τὰ μάλιστα στάσι, μέχρι οὗ μιν Πάριοι κατήρτισαν· τούτους γὰρ καταρτιστῆρας πάντων Ἑλλήνων εἵλοντο οἱ Μιλήσιοι.

XXIX. Κατήλλαξαν δέ σφεας ὧδε οἱ Πάριοι. Ὡς ἀπίκοντο αὐτῶν ἄνδρες οἱ ἄριστοι ἐς τὴν Μίλητον, ὥρεον γὰρ δή σφεας δεινῶς οἰκοφθορημένους, ἔφασαν αὐτῶν βούλεσθαι διεξελθεῖν τὴν χώρην. (2) Ποιεῦντες δὲ ταῦτα καὶ διεξιόντες πᾶσαν τὴν Μιλησίην, ὅκως τινὰ ἴδοιεν ἐν ἀνεστηκυίῃ τῇ χώρῃ ἀγρὸν εὖ ἐξεργασμένον, ἀπεγραφέατο τὸ οὔνομα τοῦ δεσπότεω τοῦ ἀγροῦ. (2) Διεξελάσαντες δὲ πᾶσαν τὴν χώρην καὶ σπανίους εὑρόντες τούτους, ὡς τάχιστα κατέβησαν ἐς τὸ ἄστυ, ἁλίην ποιησάμενοι ἀπέδεξαν τούτους μὲν τὴν πόλιν νέμειν τῶν εὗρον τοὺς ἀγροὺς εὖ ἐξεργασμένους (δοκέειν γὰρ ἔφασαν καὶ τῶν δημοσίων οὕτω δή σφεας ἐπιμελήσεσθαι ὥσπερ τῶν σφετέρων), τοὺς δὲ ἄλλους Μιλησίους τοὺς πρὶν στασιάζοντας τούτων ἔταξαν πείθεσθαι. Πάριοι μέν νυν οὕτω Μιλησίους κατήρτισαν.

XXX. Τότε δὲ ἐκ τούτων τῶν πολίων ὧδε ἤρχετο κακὰ γίνεσθαι τῇ Ἰωνίῃ. Ἐκ Νάξου ἔφυγον ἄνδρες τῶν παχέων ὑπὸ τοῦ δήμου, φυγόντες δὲ ἀπίκοντο ἐς Μίλητον. (2) Τῆς δὲ Μιλήτου ἐτύγχανε ἐπίτροπος ἐὼν Ἀρισταγόρης ὁ Μολπαγόρεω, γαμβρός τε ἐὼν καὶ ἀνεψιὸς Ἱστιαίου τοῦ Λυσαγόρεω, τὸν ὁ Δαρεῖος ἐν Σούσοισι κατεῖχε. Ὁ γὰρ Ἱστιαῖος τύραννος ἦν Μιλήτου, καὶ ἐτύγχανε τοῦτον τὸν χρόνον ἐὼν ἐν Σούσοισι, ὅτε οἱ Νάξιοι ἦλθον ξεῖνοι πρὶν ἐόντες τῷ Ἱστιαίῳ. (3) Ἀπικόμενοι δὲ οἱ Νάξιοι ἐς τὴν Μίλητον ἐδέοντο τοῦ Ἀρισταγόρεω, εἴ κως αὐτοῖσι παράσχοι δύναμίν τινα καὶ κατέλθοιεν ἐς τὴν ἑωυτῶν. Ὁ δὲ ἐπιλεξάμενος ὡς ἦν δι' ἑωυτοῦ κατέλθωσι ἐς τὴν πόλιν ἄρξει τῆς Νάξου, σκῆψιν δὲ ποιεύμενος τὴν ξεινίην τὴν Ἱστιαίου,

cepit et Calchedonios: Antandrum item expugnavit in Troade terra, et Lamponium: deinde, acceptis a Lesbiis navibus, Lemnum cepit et Imbrum, utramque per id tempus adhuc a Pelasgis habitatam.

XXVII. (Lemnii igitur, fortiter quidem pugnantes resistentesque per aliquod tempus, deinde male sunt adfecti. Qui ex his reliqui fuere, iis Lycaretus, Mæandrii frater, regis Sami, a Persis est præfectus. Is Lycaretus Lemno imperans mortuus est.) (2) Caussa autem hæc erat: omnes istos in servitutem redegit evertitque Otanes, in alios culpam conferens quod desertores fuissent Scythicæ expeditionis; in alios, quod exercitum vexassent Darii e Scythia revertentem. Has ille res gessit, dum hoc ducatu functus est.

XXVIII. Brevis deinde malorum fuit intermissio; sed mox ex Naxo et Mileto exorta rursus mala sunt Ionibus. (2) Naxus per id tempus omnes insulas opulentia superabat. Eademque tempestate Miletus quum per se ipsa magis, quam umquam, florebat, tum universæ Ioniæ princeps habebatur. Superioribus vero temporibus eadem civitas per duas hominum generationes seditionibus quammaxime fuerat adflicta, donec res ejus composuerunt Parii: hos enim ex omnibus Græcis conciliatores elegerant Milesii.

XXIX. Conciliarunt eos autem Parii hoc modo. Postquam cives ex his nobilissimi Miletum pervenerunt, quum pessime apud illos administratam viderent rem domesticam, dixerunt peragrare se velle illorum regionem. (2) Quod ubi fecerunt, totamque peragrarunt Milesiorum ditionem; ubicumque in desolata regione viderunt agrum bene cultum, nomen ejus qui erat agri dominus scripto consignabant. (3) Percursa universa regione, in qua quidem raros hos invenerant; simulatque in urbem descenderunt, concione convocata, hos ipsos designarunt qui civitatem administrarent, quorum agros bene cultos repererant: videri enim, aiebant, eosdem rem etiam publicam eadem diligentia administraturos, qua privatam rem suam administrassent. Reliquos vero Milesios, qui prius dissensionibus inter se concertaverant, hisce parere jusserunt. In hunc modum Parii res composuerunt Milesiorum.

XXX. Tunc vero ex his, quas dixi, civitatibus mala cœperunt Ioniæ oriri hoc modo. E Naxo cives nonnulli opulenti in exsilium acti erant a populo, qui patria pulsi Miletum venerunt. (2) Administrabat tunc Miletum Aristagoras Molpagoræ filius, gener et consobrinus Histiæi, Lysagoræ filii, quem per id tempus Susis Darius detinebat. Fuit enim Histiæus Mileti tyrannus, eratque tunc Susis quum Naxii advenerunt, qui prius hospites fuerant Histiæi. (3) Hi ubi Miletum venerunt, rogarunt Aristagoram, ut militum aliquam manum sibi præberet qua adjuti in patriam redirent. Et ille, secum reputans, si ipsius opera in patriam hi rediissent, dominum se fore Naxi; prætendens Histiæi hospitium, his verbis cum eis egit: Ego quidem,

τόνδε σφι τὸν λόγον προσέφερε, « αὐτὸς μὲν ὑμῖν οὐ φερέγγυός εἰμι δύναμιν τοσαύτην παρασχεῖν ὥστε κατάγειν ἀεκόντων τῶν τὴν πόλιν ἐχόντων Ναξίων· πυνθάνομαι γὰρ ὀκτακισχιλίην ἀσπίδα Ναξίοισι εἶναι καὶ πλοῖα μακρὰ πολλά· μηχανήσομαι δὲ πᾶσαν σπουδὴν ποιεύμενος. (4) Ἐπινοέω δὲ τῇδε. Ἀρταφέρνης μοι τυγχάνει ἐὼν φίλος, ὁ δὲ Ἀρταφέρνης Ὑστάσπεω μέν ἐστι παῖς, Δαρείου δὲ τοῦ βασιλέος ἀδελφεὸς, τῶν δ' ἐπιθαλασσίων τῶν ἐν τῇ Ἀσίῃ ἄρχει πάντων, ἔχων στρατιήν τε πολλὴν καὶ πολλὰς νέας. Τοῦτον ὦν δοκέω τὸν ἄνδρα ποιήσειν τῶν ἂν χρηΐζωμεν. » (5) Ταῦτα ἀκούσαντες οἱ Νάξιοι προσέθεσαν τῷ Ἀρισταγόρῃ πρήσσειν τῇ δύναιτο ἄριστα, καὶ ὑπίσχεσθαι δῶρα ἐκέλευον καὶ δαπάνην τῇ στρατιῇ ὡς αὐτοὶ διαλύσοντες, ἐλπίδας πολλὰς ἔχοντες, ὅταν ἐπιφανέωσι ἐς τὴν Νάξον, πάντα ποιήσειν τοὺς Ναξίους τὰ ἂν αὐτοὶ κελεύωσι, ὡς δὲ καὶ τοὺς ἄλλους νησιώτας· τῶν γὰρ νήσων τούτων τῶν Κυκλάδων οὐδεμία κω ἦν ὑπὸ Δαρείῳ.

XXXI. Ἀπικόμενος δὲ ὁ Ἀρισταγόρης ἐς τὰς Σάρδις λέγει πρὸς τὸν Ἀρταφέρνεα ὡς Νάξος εἴη νῆσος μεγάθεϊ μὲν οὐ μεγάλη, ἄλλως δὲ καλή τε καὶ ἀγαθὴ καὶ ἀγχοῦ Ἰωνίης, χρήματα δ' ἔνι πολλὰ καὶ ἀνδράποδα. « Σὺ ὦν ἐπὶ ταύτην τὴν χώρην στρατηλάτεε, κατάγων ἐς αὐτὴν τοὺς φυγάδας ἐξ αὐτῆς. (2) Καί τοι ταῦτα ποιήσαντι τοῦτο μέν ἐστι ἑτοῖμα παρ' ἐμοὶ χρήματα μεγάλα πάρεξ τῶν ἀναισιμωμάτων τῇ στρατιῇ (ταῦτα μὲν γὰρ δίκαιον ἡμέας τοὺς ἄγοντας παρέχειν), τοῦτο δὲ νήσους βασιλεῖ προσκτήσεαι αὐτήν τε Νάξον καὶ τὰς ἐκ ταύτης ἠρτημένας, Πάρον καὶ Ἄνδρον καὶ ἄλλας τὰς Κυκλάδας καλευμένας. (3) Ἐνθεῦτεν δὲ ὁρμεώμενος εὐπετέως ἐπιθήσεαι Εὐβοίῃ, νήσῳ μεγάλῃ τε καὶ εὐδαίμονι, οὐκ ἐλάσσονι Κύπρου καὶ κάρτα εὐπετεῖ αἱρεθῆναι. Ἀποχρέουσι δὲ ἑκατὸν νέες ταύτας πάσας χειρώσασθαι. » (4) Ὁ δὲ ἀμείβετο αὐτὸν τοισίδε, « σὺ ἐς οἶκον τὸν βασιλέος ἐξηγητὴς γίνεαι πρηγμάτων ἀγαθῶν, καὶ ταῦτα εὖ παραινέεις πάντα, πλὴν τῶν νεῶν τοῦ ἀριθμοῦ· ἀντὶ δὲ ἑκατὸν νεῶν διηκόσιαί τοι ἑτοῖμοι ἔσονται ἅμα τῷ ἔαρι. Δεῖ δὲ τούτοισι καὶ αὐτὸν βασιλέα συνέπαινον γίνεσθαι. »

XXXII. Ὁ μὲν δὴ Ἀρισταγόρης ὡς ταῦτα ἤκουσε, περιχαρὴς ἐὼν ἀπῆϊε ἐς Μίλητον· ὁ δὲ Ἀρταφέρνης, ὥς οἱ πέμψαντι ἐς Σοῦσα καὶ ὑπερθέντι τὰ ἐκ τοῦ Ἀρισταγόρεω λεγόμενα συνέπαινος καὶ αὐτὸς Δαρεῖος ἐγένετο, παρεσκευάσατο μὲν διηκοσίας τριήρεας, πολλὸν δὲ κάρτα ὅμιλον Περσέων τε καὶ τῶν ἄλλων συμμάχων, (2) στρατηγὸν δὲ τούτων ἀπέδεξε Μεγαβάτην ἄνδρα Πέρσην τῶν Ἀχαιμενιδέων, ἑωυτοῦ τε καὶ Δαρείου ἀνεψιὸν, τοῦ Παυσανίης ὁ Κλεομβρότου Λακεδαιμόνιος, εἰ δὴ ἀληθής γέ ἐστι ὁ λόγος, ὑστέρῳ χρόνῳ τούτων ἡρμόσατο θυγατέρα, ἔρωτα σχὼν τῆς Ἑλλάδος τύραννος γενέσθαι. Ἀποδέξας δὲ Μεγαβάτην στρατηγὸν Ἀρταφέρνης ἀπέστειλε τὸν στρατὸν παρὰ τὸν Ἀρισταγόρεα.

XXXIII. Παραλαβὼν δὲ ὁ Μεγαβάτης ἐκ τῆς Μιλήτου τόν τε Ἀρισταγόρεα καὶ τὴν Ἰάδα στρατιὴν

inquit, non tantam hominum manum polliceri vobis possum, quæ sufficiat ad vos, invitis his qui Naxum urbem nunc tenent, in patriam reducendos : audio enim octo millia cetratorum esse Naxiis, et longarum navium magnum numerum. Operam vero dabo omni adhibito studio. (4) In hunc autem modum rem perficere cogito. Est mihi amicus Artaphernes, Hystaspis filius, Darii regis frater, qui universæ præest oræ Asiæ, et numerosum habet exercitum, navesque multas : hunc virum puto, quod cupimus, esse effecturum. » (5) His auditis, Naxii mandatum dant Aristagoræ, ut quam posset optime hanc rem perficiat, et dona polliceatur Artapherni, et stipendium militibus ab ipsis persolvendum : magnas quippe spes habebant, quando Naxi adparuissent, omnia facturos Naxios quæ ipsi jussissent, pariterque insulanos omnes : nulladum enim ex Cycladibus his insulis per id tempus in Darii erat potestate.

XXXI. Aristagoras ubi Sardes pervenit, cum Artaphernе egit, memorans, esse Naxum insulam, non ita quidem amplam, alioqui vero pulcram bonamque, et Ioniæ vicinam : esseque in ea et opes magnas et multa mancipia. « Tu igitur, inquit, in hanc regionem mitte exercitum, qui exsules in eam reducat. (2) Id si feceris, partim, magnæ tibi a me præsto sunt pecuniæ, præter sumptus belli, quos æquum est ut nos, qui exercitum petimus, persolvamus : partim vero, insulas adquires regi, et ipsam Naxum, et ex illa pendentes Parum et Andrum, aliasque quæ Cyclades vocantur. (3) Inde vero impetu facto facile adgredieris Eubœam, amplam et opulentam insulam, Cypro haud minorem, et subactu admodum facilem. Sufficiunt autem naves centum ad has omnes in regis redigendas potestatem. » (4) Respondet Artaphernes his verbis : « Tu vero, quæ ex utilitate sunt regiæ domus proponis, et recte hæc omnia mones, præterquam quod ad numerum spectat navium. Nam loco centum navium, paratæ tibi erunt primo vere ducentæ. Oportet vero hisce rebus etiam regis auctoritatem accedere. »

XXXII. His auditis, Aristagoras lætus Miletum rediit. Artaphernes vero, misso Susa nuncio, postulatisque Aristagoræ cum rege communicatis, postquam probavit rem ipse quoque Darius, ducentas instruxit triremes, magnamque admodum multitudinem et Persarum et sociorum contraxit, (2) ducemque horum constituit Megabaten, virum Persam de genere Achæmenidarum, suum et Darii consobrinum; eumdem cujus filiam Pausanias Lacedæmonius, Cleombroti filius, si vera fama est, postero tempore in matrimonium sibi desponsavit, cupiens tyrannus fieri Græciæ. Megabate duce constituto, exercitum istum ad Aristagoram misit Artaphernes.

XXXIII. Megabates, adsumtis ex Mileto Aristagora, et Ionico exercitu, et exsulibus Naxiis, navibus pro-

καὶ τοὺς Ναξίους ἔπλωε πρόφασιν ἐπ' Ἑλλησπόντου, ἐπείτε δὲ ἐγένετο ἐν Χίῳ, ἔσχε τὰς νέας ἐς Καύκασα, ὡς ἐνθεῦτεν βορέῃ ἀνέμῳ ἐς τὴν Νάξον διαβάλοι. (2) Καὶ οὐ γὰρ ἔδεε τούτῳ τῷ στόλῳ Ναξίους ἀπολέσθαι, πρῆγμα τοιόνδε συνηνείχθη γενέσθαι. Περιιόντος Μεγαβάτεω τὰς ἐπὶ τῶν νεῶν φυλακὰς, ἐπὶ νεὸς Μυνδίης ἔτυχε οὐδεὶς φυλάσσων· ὁ δὲ δεινόν τι ποιησάμενος ἐκέλευσε τοὺς δορυφόρους ἐξευρόντας τὸν ἄρχοντα ταύτης τῆς νεὸς, τῷ οὔνομα ἦν Σκύλαξ, τοῦτον δῆσαι διὰ θαλαμίης διελόντας τῆς νεὸς κατὰ τοῦτο, ἔξω μὲν κεφαλὴν ποιεῦντας, ἔσω δὲ τὸ σῶμα. (3) Δεθέντος δὲ τοῦ Σκύλακος, ἐξαγγέλλει τις τῷ Ἀρισταγόρῃ ὅτι τὸν ξεῖνόν οἱ τὸν Μύνδιον Μεγαβάτης δήσας λυμαίνοιτο. Ὁ δ' ἐλθὼν παραιτέετο τὸν Πέρσην, τυγχάνων δὲ οὐδενὸς τῶν ἐδέετο, αὐτὸς ἐλθὼν ἔλυσε. (4) Πυθόμενος δὲ κάρτα δεινὸν ἐποιήσατο ὁ Μεγαβάτης, καὶ ἐσπέρχετο τῷ Ἀριστταγόρῃ. Ὁ δὲ εἶπε, « σοὶ δὲ καὶ τούτοισι τοῖσι πρήγμασι τί ἐστι; οὔ σε ἀπέστειλε Ἀρταφέρνης ἐμέο πείθεσθαι καὶ πλώειν τῇ ἂν ἐγὼ κελεύω; τί πολλὰ πρήσσεις; » (5) Ταῦτα εἶπε Ἀριστταγόρης. Ὁ δὲ θυμωθεὶς τούτοισι, ὡς νὺξ ἐγένετο, ἔπεμπε ἐς Νάξον πλοίῳ ἄνδρας φράσοντας τοῖσι Ναξίοισι πάντα τὰ παρεόντα σφι πρήγματα.

XXXIV. Οἱ γὰρ ὧν Νάξιοι οὐδὲν πάντως προσεδέκοντο ἐπὶ σφέας τὸν στολον τοῦτον ὁρμήσεσθαι. Ἐπεὶ μέντοι ἐπύθοντο, αὐτίκα μὲν ἐσηνείκαντο τὰ ἐκ τῶν ἀγρῶν ἐς τὸ τεῖχος, παρεσκευάσαντο δὲ ὡς πολιορκησόμενοι καὶ σῖτα καὶ ποτὰ, καὶ τὸ τεῖχος ἐσάξαντο. (2) Καὶ οὗτοι μὲν παρεσκευάδατο ὡς παρεσομένου σφι πολέμου, οἱ δ' ἐπείτε διέβαλον ἐκ τῆς Χίου τὰς νέας ἐς τὴν Νάξον, πρὸς πεφραγμένους προσεφέροντο καὶ ἐπολιόρκεον μῆνας τέσσερας. (3) Ὡς δὲ τά τε ἔχοντες ἦλθον χρήματα οἱ Πέρσαι, ταῦτα καταδεδαπάνητό σφι, καὶ αὐτῷ τῷ Ἀριστταγόρῃ προσαναισίμωτο πολλὰ, τοῦ πλεῦνός τε ἐδέετο ἡ πολιορκίη, ἐνθαῦτα τείχεα τοῖσι φυγάσι τῶν Ναξίων οἰκοδομήσαντες ἀπαλλάσσοντο ἐς τὴν ἤπειρον, κακῶς πρήσσοντες.

XXXV. Ἀριστταγόρης δὲ οὐκ εἶχε τὴν ὑπόσχεσιν τῷ Ἀρταφέρνεϊ ἐκπληρῶσαι· ἅμα δὲ ἐπίεζέ μιν ἡ δαπάνη τῆς στρατιῆς ἀπαιτεομένη, ἀρρώδεέ τε τοῦ στρατοῦ πρήξαντος κακῶς καὶ Μεγαβάτῃ διαβεβλημένος, ἐδόκεέ τε τὴν βασιληίην τῆς Μιλήτου ἀπαιρεθήσεσθαι. (2) Ἀρρωδέων δὲ τούτων ἕκαστα ἐβουλεύετο ἀπόστασιν· συνέπιπτε γὰρ καὶ τὸν ἐστιγμένον τὴν κεφαλὴν ἀπῖχθαι ἐκ Σούσων παρ' Ἱστιαίου, σημαίνοντα ἀπίστασθαι Ἀριστταγόρεα ἀπὸ βασιλέος. (3) Ὁ γὰρ Ἱστιαῖος βουλόμενος τῷ Ἀριστταγόρῃ σημῆναι ἀποστῆναι ἄλλως μὲν οὐδαμῶς εἶχε ἀσφαλέως σημῆναι ὥστε φυλασσομένων τῶν ὁδῶν, ὁ δὲ τῶν δούλων τὸν πιστότατον ἀποξυρήσας τὴν κεφαλὴν ἔστιξε καὶ ἀνέμεινε ἀναφῦναι τὰς τρίχας, ὡς δὲ ἀνέφυσαν τάχιστα, ἀπέπεμπε ἐς Μίλητον ἐντειλάμενος αὐτῷ ἄλλο μὲν οὐδὲν, ἐπεὰν δὲ ἀπίκηται ἐς Μίλητον, κελεύειν Ἀριστταγόρεα ξυρήσαντά μιν τὰς τρίχας κατιδέσθαι ἐς τὴν κεφαλήν· τὰ δὲ στίγματα

fectus est quasi in Hellespontum navigaturus. Ubi vero prope Chium fuit, ad Caucasa continuit naves, inde vento borea in Naxum trajecturus. (2) Ibi, quum non esset in fatis ut hac classe Naxii perderentur, res accidit hujusmodi. Dum custodias navium obit Megabates, forte in nave Myndia nemo erat qui custodiam ageret. Qua re ille indignatus, jussit satellites quærere hujus navis præfectum, cui nomen erat Scylax, repertumque ita vincire, ut per thalamiam (*per foramen per quod infimi remi exstant*) navis suæ trajiceretur, capite extrorsum eminente, corpore versus interiora porrecto. (3) In hunc modum vincto Scylace, renunciat aliquis Aristagoræ, hospitem Myndium a Megabate ita vinctum contumelioseque habitum esse. Et abit ille ad Persam, veniam pro illo precans : a quo quum nihil impetrasset, ipse Myndiam navem adit, illumque solvit. (4) Quo cognito indignatus Megabates, cum Aristagora expostulavit. Cui hic dixit : « Ad te vero quid hæ res pertinent? nonne te Artaphernes misit qui mihi pareas, navigesque quo ego jussero? rebus alienis quid te immiscas? » (5) Hæc postquam dixit Aristagoras, iratus Megabates, ut nox advenit, navigio Naxum misit nonnullos, qui Naxiis omnia quæ ipsis imminerent significarent.

XXXIV. Neutiquam enim exspectaverant Naxii, adversus se illam dirigi expeditionem. Postquam vero intellexerunt, continuo ad tolerandam obsidionem sese comparaverunt, rebus suis ex agris intra muros comportatis, urbeque et cibariis et potulentis, muro autem munimentis instructo. (2) Qui postquam ad sustinendum bellum erant instructi, hostes, ex Chio Naxum trajicientes, bene munitos sunt adgressi, et per quattuor menses obsederunt. (3) Sed absumptis pecuniis omnibus quas secum Persæ attulerant, multisque etiam insuper ab Aristagora insumptis, quum ad continuandam obsidionem pluribus adhuc esset opus, jam exsulibus Naxiis castella exstruxerunt, et male adfecti in continentem se receperunt.

XXXV. Jam vero Aristagoras, quum promissa implere Artapherni non posset, simulque premeretur stipendio persolvendo, quod exercitus repetebat, timensque quod et exercitus male esset adfectus, et ipse odium incurrisset Megabatæ; denique existimans Mileti tyrannidem sibi iri ereptum : (2) hæc singula timens, defectionem cœpit meditari. Acciderat enim forte per idem tempus, ut servus, cui caput punctis erat notatum, Susis ab Histiæo adveniret, monens Aristagoram ut a rege deficeret. (3) Histiæus enim, quum monere Aristagoram vellet ut defectionem moliretur, nec vero aliam ullam, qua ei rem tuto significaret, haberet rationem, quum viæ omnes essent interceptæ; servi caput, quem habuit fidelissimum, totondit, punctisque notavit; deinde exspectavit donec succrevissent capilli. Hunc, simulatque capilli succreverant, Miletum misit, nihil aliud monitum, nisi ut, quum primum Miletum venisset, juberet Aristagoram capillos ipsius tondere, caput

ἐσήμαινε, ὡς καὶ πρότερόν μοι εἴρηται, ἀπόστασιν. (4) Ταῦτα δὲ ὁ Ἱστιαῖος ἐποίεε συμφορὴν ποιεύμενος μεγάλην τὴν ἑωυτοῦ κατοχὴν τὴν ἐν Σούσοισι· ἀποστάσιος ὦν γινομένης πολλὰς εἶχε ἐλπίδας μετήσεσθαι ἐπὶ θάλασσαν, μὴ δὲ νεώτερόν τι ποιεύσης τῆς Μιλήτου οὐδαμὰ ἐς αὐτὴν ἥξειν ἔτι ἐλογίζετο.

XXXVI. Ἱστιαῖος μέν νυν ταῦτα διανοεύμενος ἀπέπεμπε τὸν ἄγγελον, Ἀρισταγόρῃ δὲ συνέπιπτε τοῦ αὐτοῦ χρόνου πάντα ταῦτα συνελθόντα· ἐβουλεύετο ὦν μετὰ τῶν στασιωτέων, ἐκφήνας τήν τε ἑωυτοῦ γνώμην καὶ τὰ παρὰ τοῦ Ἱστιαίου ἀπιγμένα. (2) Οἱ μὲν δὴ ἄλλοι πάντες γνώμην κατὰ τὠυτὸ ἐξεφέροντο, κελεύοντες ἀπίστασθαι· Ἑκαταῖος δ' ὁ λογοποιὸς πρῶτα μὲν οὐκ ἔα πόλεμον βασιλέϊ τῶν Περσέων ἀναιρέεσθαι, καταλέγων τά τε ἔθνεα πάντα τῶν ἦρχε Δαρεῖος καὶ τὴν δύναμιν αὐτοῦ, ἐπείτε δὲ οὐκ ἔπειθε, δεύτερα συνεβούλευε ποιέειν ὅκως ναυκρατέες τῆς θαλάσσης ἔσονται. (3) Ἄλλως μέν νυν οὐδαμῶς ἔφη λέγων ἐνορᾶν ἐσόμενον τοῦτο (ἐπίστασθαι γὰρ τὴν δύναμιν τὴν Μιλησίων ἐοῦσαν ἀσθενέα), εἰ δὲ τὰ χρήματα καταιρεθείη τὰ ἐκ τοῦ ἱροῦ τοῦ ἐν Βραγχίδῃσι, τὰ Κροῖσος ὁ Λυδὸς ἀνέθηκε, πολλὰς εἶχε ἐλπίδας ἐπικρατήσειν τῆς θαλάσσης, καὶ οὕτω αὐτούς τε ἕξειν χρήμασι χρᾶσθαι καὶ τοὺς πολεμίους οὐ συλήσειν αὐτά· τὰ δὲ χρήματα ἦν ταῦτα μεγάλα, ὡς δεδήλωταί μοι ἐν τῷ πρώτῳ τῶν λόγων. (4) Αὕτη μὲν δὴ οὐκ ἐνίκα ἡ γνώμη, ἐδόκεε δὲ ὅμως ἀπίστασθαι, ἕνα τε αὐτῶν πλώσαντα ἐς Μυοῦντα ἐς τὸ στρατόπεδον τὸ ἀπὸ τῆς Νάξου ἀπελθόν, ἐὸν ἐνθαῦτα, συλλαμβάνειν πειρᾶσθαι τοὺς ἐπὶ τῶν νεῶν ἐπιπλώοντας στρατηγούς.

XXXVII. Ἀποπεμφθέντος δὲ Ἰητραγόρεω κατ' αὐτὸ τοῦτο καὶ συλλαβόντος δόλῳ Ὀλίατον Ἰβανώλιος Μυλασέα καὶ Ἱστιαῖον Τύμνεω Τερμερέα καὶ Κώην Ἐρξάνδρου, τῷ Δαρεῖος Μυτιλήνην ἐδωρήσατο, καὶ Ἀρισταγόρεα Ἡρακλείδεω Κυμαῖον καὶ ἄλλους συχνούς, οὕτω δὴ ἐκ τοῦ ἐμφανέος ὁ Ἀρισταγόρης ἀπεστήκεε, πᾶν ἐπὶ Δαρείῳ μηχανεώμενος. (2) Καὶ πρῶτα μὲν λόγῳ μετεὶς τὴν τυραννίδα ἰσονομίην ἐποίεε τῇ Μιλήτῳ, ὡς ἂν ἑκόντες αὐτῷ οἱ Μιλήσιοι συναπισταίατο, μετὰ δὲ καὶ ἐν τῇ ἄλλῃ Ἰωνίῃ τὠυτὸ τοῦτο ἐποίεε, τοὺς μὲν ἐξελαύνων τῶν τυράννων, τοὺς δ' ἔλαβε τυράννους ἀπὸ τῶν νεῶν τῶν συμπλωσασέων ἐπὶ Νάξον, τούτους δὲ φίλα βουλόμενος ποιέεσθαι τῇσι πόλισι ἐξεδίδου, ἄλλον ἐς ἄλλην πόλιν παραδιδούς, ὅθεν εἴη ἕκαστος.

XXXVIII. Κώην μέν νυν Μυτιληναῖοι ἐπείτε τάχιστα παρέλαβον, ἐξαγαγόντες κατέλευσαν, Κυμαῖοι δὲ τὸν σφέτερον αὐτῶν ἀπῆκαν· ὡς δὲ καὶ ἄλλοι οἱ πλεῦνες ἀπίεσαν. (2) Τυράννων μέν νυν κατάπαυσις ἐγένετο ἀνὰ τὰς πόλιας, Ἀρισταγόρης δὲ ὁ Μιλήσιος ὡς τοὺς τυράννους κατέπαυσε, στρατηγοὺς ἐν ἑκάστῃ τῶν πολίων κελεύσας ἑκάστους καταστῆσαι, δεύτερα αὐτὸς ἐς Λακεδαίμονα τριήρεϊ ἀπόστολος ἐγίνετο· ἔδεε γὰρ δὴ συμμαχίης τινός οἱ μεγάλης ἐξευρεθῆναι.

XXXIX. Τῆς δὲ Σπάρτης Ἀναξανδρίδης μὲν ὁ

que inspicere. Significabant autem notæ, quemadmodum ante a me dictum est, defectionem esse moliendam. (4) Id Histiæus fecit, ægerrime ferens Susis sese detineri: nam, defectio si exstitisset, magnam spem habebat, ad mare se demissum iri; nihil autem novi moliente Mileto, nunquam se in illam rediturum existimaverat.

XXXVI. Hoc igitur machinatus Histiæus quum servum illum misisset, eodem tempore hæc omnia, eodem tendentia, Aristagoræ acciderunt. Deliberavit itaque cum suarum partium hominibus, hisque et sententiam suam, et quæ ei ab Histiæo advenerant, exposuit. (2) Ac cæteri quidem omnes in eamdem ivere sententiam, defectionem probantes. Hecatæus vero, historiarum scriptor, statim quidem negavit bellum cum rege Persarum esse suscipiendum; et populos omnes commemorans quibus imperaret Darius, et potentiam regis. Deinde vero, ubi hoc eis non persuasit, secundo loco hortatus illos est, operam darent ut navibus maris tenerent imperium. (3) Quum autem intelligat (sic verba facere perrexit) quam sint tenues Milesiorum vires, nullam se aliam perspicere viam qua eo possint pervenire, nisi si pecuniæ auferantur e templo quod est in Branchidis, quas Crœsus Lydus ibi deposuisset: id si fecissent, magnam se spem habere, posse ipsos maris obtinere imperium; atque ita et ipsos pecunias habituros, quibus utantur, et hostes illas non direpturos. Ingentes autem illæ pecuniæ erant, quemadmodum in primo harum Historiarum libro monstravimus. (4) At hæc quidem non vicit sententia, nihilo minus vero placuit deficere; simulque decreverunt, unum e suorum numero navi Myuntem mittere ad exercitum, qui, ex quo Naxum reliquerat, eo loci versabatur: ibi legatus ille operam daret, ut duces eorum qui in navibus essent prehenderet.

XXXVII. Missus est ad hoc ipsum perficiendum Iatragoras: isque dolo comprehendit Oliatum Ibanolis filium, Mylasensem, et Histiæum Tymnæ filium Termerensem, et Coen Erxandri, cui Darius Mytilenen dono dederat, et Aristagoram Heraclidæ filium Cymæum, multosque item alios. Atque ita ex professo defecit Aristagoras, quidlibet moliens adversus Darium. (2) Ac statim quidem, verbo certe, abdicavit tyrannidem, et juris æqualitatem proposuit Mileti civibus, quo libentius Milesii cum ipso deficerent. Deinde in reliqua Ionia idem fecit, tyrannos civitatibus expellens quos vero ex navibus prehenderat quæ expeditionis sociæ fuerant in Naxum susceptæ, hos, gratum facturus civitatibus, suæ cujusque civitatis civibus tradidit.

XXXVIII. Et Coen quidem Mytilenæi, simul atque illius compotes sunt facti, ex urbe eductum lapidibus obruerunt. Cymæi vero suum dimiserunt incolumem: pariterque alii etiam plerique suos dimiserunt. (2) Atque ita tyrannis liberatæ sunt Ioniæ civitates. Quibus submotis, Aristagoras Milesius in unaquaque civitate jussit prætorem constitui; deinde vero ipse Lacedæmonem suscepit legationem, triremi profectus: opus enim ei erat magnam aliquam comparare armorum societatem.

XXXIX. Spartæ per id tempus non amplius in vivis erat

Λέοντος οὐκέτι περιεὼν ἐβασίλευε, ἀλλὰ ἐτετελευτήκεε, Κλεομένης δὲ ὁ Ἀναξανδρίδεω εἶχε τὴν βασιληίην, οὐ κατ' ἀνδραγαθίην σχὼν, ἀλλὰ κατὰ γένος. Ἀναξανδρίδῃ γὰρ ἔχοντι γυναῖκα ἀδελφεῆς ἑωυτοῦ θυγατέρα, καὶ ἐούσης ταύτης οἱ καταθυμίης, παῖδες οὐκ ἐγίνοντο. (2) Τούτου δὲ τοιούτου ἐόντος οἱ ἔφοροι εἶπαν ἐπικαλεσάμενοι αὐτὸν, « εἴ τοι σύ γε σεωυτοῦ μὴ προορᾷς, ἀλλ' ἡμῖν τοῦτό ἐστι οὐ περιοπτέον, γένος τὸ Εὐρυσθένεος γενέσθαι ἐξίτηλον. Σύ νυν τὴν μὲν ἔχεις γυναῖκα, ἐπείτε τοι οὐ τίκτει, ἔξεο, ἄλλην δὲ γῆμον· καὶ ποιέων ταῦτα Σπαρτιήτῃσι ἀδήσεις. » (3) Ὁ δ' ἀμείβετο φὰς τούτων οὐδέτερα ποιήσειν, ἐκείνους τε οὐ καλῶς συμβουλεύειν παραινέοντας, τὴν ἔχει γυναῖκα ἐοῦσαν ἀναμάρτητον ἑωυτῷ, ταύτην ἀπέντα ἄλλην ἐσαγαγέσθαι· οὐδέ σφι πείσεσθαι.

XL. Πρὸς ταῦτα οἱ ἔφοροι καὶ οἱ γέροντες βουλευσάμενοι προσέφερον Ἀναξανδρίδῃ τάδε, « ἐπεὶ τοίνυν περιεχόμενόν σε ὁρέομεν τῆς ἔχεις γυναικὸς, σὺ δὲ ταῦτα ποίεε, καὶ μὴ ἀντίβαινε τούτοισι, ἵνα μή τι ἀλλοῖον περὶ σεῦ οἱ Σπαρτιῆται βουλεύσωνται. (2) Γυναικὸς μὲν τῆς ἔχεις οὐ προσδεόμεθά σευ τῆς ἐξέσιος· σὺ δὲ ταύτῃ τε πάντα ὅσα νῦν παρέχεις πάρεχε, καὶ ἄλλην πρὸς ταύτῃ ἐσάγαγε γυναῖκα τεκνοποιόν. » Ταῦτά κῃ λεγόντων συνεχώρησε ὁ Ἀναξανδρίδης, μετὰ δὲ γυναῖκας ἔχων δύο διξὰς ἱστίας οἴκεε, ποιέων οὐδαμὰ Σπαρτιητικά.

XL. Ad hæc ephori et seniores, re deliberata, hæc Anaxandridæ proposuerunt : « Quoniam igitur, inquiunt, videmus te amore uxoris tuæ captum, at tu hoc fac, nec huic te oppone conditioni, ne secius quidpiam de te decernant Spartani. (2) Non amplius postulamus, ut uxorem, quam habes, dimittas : præsta vero huic porro quæ adhuc ei præstitisti; sed aliam, præter hanc, domum duc uxorem, quæ liberos tibi pariat. » His fere ab illis dictis adsensus est Anaxandrides; et aliquanto post, alia insuper ducta uxore, duas habitavit domos, nequaquam ex more Spartanorum

XLI. Χρόνου δὲ οὐ πολλοῦ διελθόντος ἡ ἐσύστερον ἐπελθοῦσα γυνὴ τίκτει τὸν δὴ Κλεομένεα τοῦτον. Καὶ αὕτη τε ἐπέδρον βασιλέα Σπαρτιήτῃσι ἀπέφαινε, καὶ ἡ προτέρη γυνὴ τὸν πρότερον χρόνον ἄτοκος ἐοῦσα τότε κως ἐκύησε, συντυχίῃ ταύτῃ χρησαμένη. (2) Ἔχουσαν δὲ αὐτὴν ἀληθέϊ λόγῳ οἱ τῆς ἐπελθούσης γυναικὸς οἰκήϊοι πυθόμενοι ὤχλεον, φάμενοι αὐτὴν κομπέειν ἄλλως βουλομένην ὑποβαλέσθαι. (3) Δεινὰ δὲ ποιεύντων αὐτῶν, τοῦ χρόνου συντάμνοντος, ὑπ' ἀπιστίης οἱ ἔφοροι τίκτουσαν τὴν γυναῖκα περιιζόμενοι ἐφύλαξαν. Ἡ δὲ ὡς ἔτεκε Δωριέα, ἰθέως ἴσχει Λεωνίδεα, καὶ μετὰ τοῦτον ἰθέως ἴσχει Κλεόμβροτον· οἱ δὲ καὶ διδύμους λέγουσι Κλεόμβροτόν τε καὶ Λεωνίδεα γενέσθαι. (4) Ἡ δὲ Κλεομένεα τεκοῦσα καὶ τὸ δεύτερον ἐπελθοῦσα γυνὴ, ἐοῦσα θυγάτηρ Πρινητάδεω τοῦ Δημαρμένου, οὐκέτι ἔτικτε τὸ δεύτερον.

XLI. Haud multo interjecto tempore, uxor postmodum ducta peperit huncce Cleomenem. At, dum hæc futurum regni successorem Spartanis in lucem edit, forte fortuna contigit, ut prior uxor, quæ adhuc sterilis fuerat, gravida esset. (2) Huic, quum revera prægnans esset, re cognita, turbas ciebant cognati posterioris uxoris, dicentes frustra illam gloriari, velleque supponere sobolem. (3) Itaque his indigne rem ferentibus, instante partus tempore, increduli ephori parientem mulierem circumsedentes observabant. At illa peperit Dorieum; moxque iterum Leonidam; moxque rursus Cleombrotum : dicunt etiam nonnulli, gemellos fuisse Cleombrotum et Leonidam. (4) At posterius ducta uxor, mater Cleomenis, quæ Prinetadæ filia erat, Demarmeni neptis, post Cleomenem nullos alios liberos peperit.

XLII. Ὁ μὲν δὴ Κλεομένης, ὡς λέγεται, ἦν τε οὐ φρενήρης ἀκρομανής τε, ὁ δὲ Δωριεὺς ἦν τῶν ἡλίκων πάντων πρῶτος, εὖ τε ἠπίστατο κατ' ἀνδραγαθίην αὐτὸς σχήσων τὴν βασιληίην. (2) Ὥστε ὦν οὕτω φρονέων, ἐπειδὴ ὅ τε Ἀναξανδρίδης ἀπέθανε καὶ οἱ Λακεδαιμόνιοι χρεώμενοι τῷ νόμῳ ἐστήσαντο βασιλέα τὸν πρεσβύτατον Κλεομένεα, ὁ Δωριεὺς δεῖνόν τε ποιεύμενος καὶ οὐκ ἀξιῶν ὑπὸ Κλεομένεος βασιλεύεσθαι, αἰτήσας ληὸν Σπαρτιήτας ἦγε ἐς ἀποικίην, οὔτε τῷ ἐν Δελφοῖσι χρηστηρίῳ χρησάμενος ἐς ἥντινα γῆν κτίσων ἴῃ, οὔτε ποιήσας οὐδὲν τῶν νομιζομένων. (3) Οἷα δὲ βαρέως φέρων, ἀπίει ἐς τὴν Λιβύην τὰ πλοῖα· κατηγέοντο δέ

XLII. Et Cleomenes quidem, ut narrant, mentis haud satis erat compos, ac fere furiosus. Dorieus vero inter æquales primus erat; satisque speraverat, pro sua virtute regnum se adepturum. (2) Hanc spem alens, quum mortuo Anaxandride Spartani ex lege regem constituissent majorem natu Cleomenem, indigne rem ferens Dorieus, et sub Cleomenis vivere nolens imperio, postulata a Spartanis multitudine quadam ex plebe, colonos hos eduxit, non consulto Delphis oraculo quamnam in terram iret conditurus coloniam, neque aliud quidquam ex civitatis instituto ante exsecutus. (3) Sed, indignatus ut erat, ad Africam dirigit naves, ducibus usus civibus nonnullis Therææis. Ubi ad

οἱ ἄνδρες Θηραῖοι. Ἀπικόμενος δ' ἐς Κίνυπα, οἰκισε χῶρον κάλλιστον τῶν Λιβύων παρὰ ποταμόν. Ἐξελαθεὶς δὲ ἐνθεῦτεν τρίτῳ ἔτεῖ ὑπὸ Μακέων τε Λιβύων καὶ Καρχηδονίων ἀπίκετο ἐς Πελοπόννησον.

XLIII. Ἐνθαῦτα δέ οἱ Ἀντιχάρης ἀνὴρ Ἐλεώνιος συνεβούλευσε ἐκ τῶν Λαΐου χρησμῶν Ἡράκλειαν τὴν ἐν Σικελίῃ κτίζειν, φὰς τὴν Ἔρυκος χώρην πᾶσαν εἶναι Ἡρακλειδέων αὐτοῦ Ἡρακλέος κτησαμένου. (2) Ὁ δὲ ἀκούσας ταῦτα ἐς Δελφοὺς οἴχετο χρησόμενος τῷ χρηστηρίῳ, εἰ αἱρέει ἐπ' ἣν στέλλεται χώρην· ἡ δὲ Πυθίη οἱ χρᾷ αἱρήσειν. Παραλαβὼν δὲ ὁ Δωριεὺς τὸν στόλον τὸν καὶ ἐς Λιβύην ἦγε, ἐκομίζετο παρὰ τὴν Ἰταλίην.

XLIV. Τὸν χρόνον δὲ τοῦτον, ὡς λέγουσι Συβαρῖται, σφέας τε αὐτοὺς καὶ Τῆλυν τὸν ἑωυτῶν βασιλέα ἐπὶ Κρότωνα μέλλειν στρατεύεσθαι, τοὺς δὲ Κροτωνιήτας περιδεέας γενομένους δεηθῆναι Δωριέος σφίσι τιμωρῆσαι καὶ τυχεῖν δεηθέντας· συστρατεύεσθαί τε δὴ ἐπὶ Σύβαριν Δωριέα καὶ συνελέειν τὴν Σύβαριν. (2) Ταῦτα μέν νυν Συβαρῖται λέγουσι ποιῆσαι Δωριέα τε καὶ τοὺς μετ' αὐτοῦ, Κροτωνιῆται δὲ οὐδένα σφίσι φασὶ ξεῖνον προσεπιλαβέσθαι τοῦ πρὸς Συβαρίτας πολέμου εἰ μὴ Καλλίην τῶν Ἰαμιδέων μάντιν Ἠλεῖον μοῦνον, καὶ τοῦτον τρόπῳ τοιῷδε· παρὰ Τήλυος τοῦ Συβαρτέων τυράννου ἀποδράντα ἀπικέσθαι παρὰ σφέας, ἐπείτε οἱ τὰ ἱρὰ οὐ προεχώρεε χρηστὰ θυομένῳ ἐπὶ Κρότωνα.

XLV. Ταῦτα δ' αὖ οὗτοι λέγουσι. Μαρτύρια δὲ τούτων ἑκάτεροι ἀποδεικνῦσι τάδε, Συβαρῖται μὲν τέμενός τε καὶ νηὸν ἐόντα παρὰ τὸν ξηρὸν Κρᾶθιν, τὸν ἱδρύσασθαι συνελόντα τὴν πόλιν Δωριέα λέγουσι Ἀθηναίῃ ἐπωνύμῳ Κραθίῃ· τοῦτο δὲ αὐτοῦ Δωριέος τὸν θάνατον μαρτύριον μέγιστον ποιεῦνται, ὅτι παρὰ τὰ μεμαντευμένα ποιέων διεφθάρη· εἰ γὰρ δὴ μὴ παρέπρηξε μηδὲν, ἐπ' ὃ δὲ ἐστάλη ἐποίεε, εἶλε ἂν τὴν Ἐρυκίνην χώρην καὶ ἑλὼν κατέσχε, οὐδ' ἂν αὐτός τε καὶ ἡ στρατιὴ διεφθάρη. (2) Οἱ δ' αὖ Κροτωνιῆται ἀποδεικνῦσι Καλλίῃ μὲν τῷ Ἠλείῳ ἐξαίρετα ἐν γῇ τῇ Κροτωνιήτιδι πολλὰ δοθέντα, τὰ καὶ ἐς ἐμὲ ἔτι ἐνέμοντο οἱ Καλλίεω ἀπόγονοι, Δωριεῖ δὲ καὶ τοῖσι Δωριέος ἀπογόνοισι οὐδέν· καίτοι εἰ συνεπελάβετό γε τοῦ Συβαριτικοῦ πολέμου Δωριεὺς, δοθῆναι ἂν οἱ πολλαπλήσια ἢ Καλλίῃ. Ταῦτα μέν νυν ἑκάτεροι αὐτῶν μαρτύρια ἀποφαίνονται· καὶ πάρεστι, ὁκοτέροισί τις πείθεται αὐτῶν, τούτοισι προσχωρέειν.

XLVI. Συνέπλωον δὲ Δωριεῖ καὶ ἄλλοι συγκτίσται Σπαρτιητέων, Θεσσαλὸς καὶ Παραιβάτης καὶ Κελέης καὶ Εὐρυλέων, οἳ ἐπείτε ἀπίκοντο παντὶ στόλῳ ἐς τὴν Σικελίην, ἀπέθανον μάχῃ ἐσσωθέντες ὑπό τε Φοινίκων καὶ Ἐγεσταίων· μοῦνος δέ γε Εὐρυλέων τῶν συγκτιστέων περιεγένετο τούτου τοῦ πάθεος. (2) Συλλαβὼν δὲ οὗτος τῆς στρατιῆς τοὺς περιγενομένους ἔσχε Μινώην τὴν Σελινουσίων ἀποικίην, καὶ συνηλευθέρου Σελινουσίους τοῦ μουνάρχου Πειθαγόρεω. (3) Μετὰ δὲ, ὡς τοῦτον κατεῖλε, αὐτὸς τυραννίδι ἐπεχείρησε Σελι-

Cinypem pervenit, condidit locum Libyæ pulcerrimum juxta flumen. Inde vero ejectus tertio anno a Macis Libybus et Carthaginiensibus, in Peloponnesum rediit.

XLIII. Ibi Antichares, civis Eleonius, ex Laii oraculis consilium ei dedit, ut Heracleam in Sicilia conderet; dicens universam Erycis regionem Heraclidarum esse, quippe ab ipso Hercule adquisitam. (2) Quo audito, Delphos profectus Dorieus, quærit ex oraculo, an potiturus sit terra quam adire cogitaret; et Pythia, potiturum ea, respondit. Sumpta itaque classe et multitudine, quam eamdem in Africam duxerat, Italiam est prætervectus.

XLIV. Per id tempus, ut memorant Sybaritæ, ipsi et rex ipsorum Têlys in eo erant ut adversus Crotonem arma moverent: et Crotoniatæ, metu perculsi, rogarunt Dorieum ut opem sibi ferret, idque ab illo impetrarunt. Sic cum illis adversus Sybarin profectus est Dorieus, et una cum illis Sybarin cepit. (2) Hoc igitur a Dorieo, et his qui cum eo erant, gestum esse aiunt Sybaritæ: Crotoniatæ vero adfirmant, neminem peregrinum belli contra Sybaritas suscepti socium sibi fuisse, nisi unum Calliam, vatem Eleum, ex Iamidarum familia; eumque hac ratione, quod a Tely, Sybaritarum tyranno, ad se profugisset, quum sacrificanti adversus Crotonem sacra parum prospera evenissent.

XLV. Hoc quidem Crotoniatæ dicunt. Testimonia autem dictorum hæc adferunt utrique: Sybaritæ quidem, partim testantur agrum sacrum atque templum prope siccum Crathin; quæ Minervæ, cognomine Crathiæ, dedicata esse aiunt a Dorieo, postquam consociatis armis cum Crotoniatis Sybarin cepisset; partim ipsius Doriei mortem ut maximum adferunt argumentum, quippe quem periisse aiunt eo quod contra vaticinia fecisset: qui si nihil deliquisset, sed id fecisset ad quod missus erat, cepisset Erycinam terram, et captam obtinuisset, neque ipse cum suo exercitu fuisset interemptus. (2) Contra Crotoniatæ multa monstrant in Crotoniensi agro eximie donata Calliæ Eleo, quæ ad meam usque ætatem posteri Calliæ possederunt: Dorieo vero ejusque posteris nihil esse donatum; cui tamen, si socius fuisset Sybaritici belli, multo plura quam Calliæ fuissent donata. Hæc utrique proferunt testimonia; quorum utris fidem quisque habuerit, his accedat licet.

XLVI. Navigarunt autem cum Dorieo alii quoque Spartani, condendæ coloniæ socii, Thessalus, et Paræbates, et Celeas et Euryleon. Qui postquam cum universo adparatu in Siciliam pervenerunt, periere prælio superati a Pœnis et Egestanis. Unus sociorum illorum huic cladi superstes fuit Euryleon. (2) Is, collectis copiarum reliquiis, Minoam tenuit, Selinusiorum coloniam, et Selinusiis operam suam contulit, ut Pithagora monarcho liberarentur. (3) Postea vero, hoc sublato, tyrannidem Selinuntis ipse invasit, eam

νοῦντος, καὶ ἐμουνάρχησε χρόνον ἐπ' ὀλίγον· οἱ γάρ μιν Σελινούσιοι ἐπαναστάντες ἀπέκτειναν καταφυγόντα ἐπὶ Διὸς ἀγοραίου βωμόν.

XLVII. Συνέσπετο δὲ Δωριεῖ καὶ συναπέθανε Φίλιππος ὁ Βουτακίδεω Κροτωνιήτης ἀνήρ, ὃς ἁρμοσάμενος Τήλυος τοῦ Συβαρίτεω θυγατέρα ἔφυγε ἐκ Κρότωνος, ψευσθεὶς δὲ τοῦ γάμου οἴχετο πλώων ἐς Κυρήνην, ἐκ ταύτης δὲ ὁρμεώμενος συνέσπετο οἰκηΐῃ τε τριήρεϊ καὶ οἰκηΐῃ ἀνδρῶν δαπάνῃ, ἐών τε Ὀλυμπιονίκης καὶ κάλλιστος Ἑλλήνων τῶν κατ' ἑωυτόν. (2) Διὰ δὲ τὸ ἑωυτοῦ κάλλος ἠνείκατο παρ' Ἐγεσταίων τὰ οὐδεὶς ἄλλος· ἐπὶ γὰρ τοῦ τάφου αὐτοῦ ἡρώϊον ἱδρυσάμενοι θυσίῃσι αὐτὸν ἱλάσκονται.

XLVIII. Δωριεὺς μέν νυν τρόπῳ τοιούτῳ ἐτελεύτησε· εἰ δὲ ἠνέσχετο βασιλευόμενος ὑπὸ Κλεομένεος καὶ κατέμενε ἐν Σπάρτῃ, ἐβασίλευε ἂν Λακεδαίμονος· οὐ γάρ τινα πολλὸν χρόνον ἦρξε ὁ Κλεομένης, ἀλλ' ἀπέθανε ἄπαις, θυγατέρα μούνην λιπών, τῇ οὔνομα ἦν Γοργώ.

XLIX. Ἀπικνέεται δ' ὦν ὁ Ἀρισταγόρης ὁ Μιλήτου τύραννος ἐς τὴν Σπάρτην Κλεομένεος ἔχοντος τὴν ἀρχήν· τῷ δὴ ἐς λόγους ἦϊε, ὡς Λακεδαιμόνιοι λέγουσι, ἔχων χάλκεον πίνακα ἐν τῷ γῆς ἁπάσης περίοδος ἐνετέτμητο καὶ θάλασσά τε πᾶσα καὶ ποταμοὶ πάντες. (2) Ἀπικνεόμενος δὲ ἐς λόγους ὁ Ἀρισταγόρης ἔλεγε πρὸς αὐτὸν τάδε, « Κλεόμενες, σπουδὴν μὲν τὴν ἐμὴν μὴ θωμάσῃς τῆς ἐνθαῦτα ἀπίξιος· τὰ γὰρ κατήκοντά ἐστι τοιαῦτα. Ἰώνων παῖδας δούλους εἶναι ἀντ' ἐλευθέρων ὄνειδος καὶ ἄλγος μέγιστον μὲν αὐτοῖσι ἡμῖν, ἔτι δὲ τῶν λοιπῶν ὑμῖν, ὅσῳ προέστατε τῆς Ἑλλάδος. (3) Νῦν ὦν πρὸς θεῶν τῶν Ἑλληνίων ῥύσασθε Ἴωνας ἐκ δουλοσύνης, ἄνδρας ὁμαίμονας. Εὐπετέως δὲ ὑμῖν ταῦτα οἷά τε χωρέειν ἐστί· οὔτε γὰρ οἱ βάρβαροι ἄλκιμοί εἰσι, ὑμεῖς τε τὰ ἐς τὸν πόλεμον ἐς τὰ μέγιστα ἀνήκετε ἀρετῆς πέρι. (4) Ἥ τε μάχη αὐτῶν ἐστὶ τοιήδε, τόξα καὶ αἰχμὴ βραχέα· ἀναξυρίδας δὲ ἔχοντες ἔρχονται ἐς τὰς μάχας καὶ κυρβασίας ἐπὶ τῇσι κεφαλῇσι· οὕτω εὐπετέες χειρωθῆναι εἰσί. Ἔστι δὲ καὶ ἀγαθὰ τοῖσι τὴν ἤπειρον ἐκείνην νεμομένοισι ὅσα οὐδὲ τοῖσι συνάπασι ἄλλοισι, ἀπὸ χρυσοῦ ἀρξαμένοισι, ἄργυρος καὶ χαλκὸς καὶ ἐσθὴς ποικίλη καὶ ὑποζύγιά τε καὶ ἀνδράποδα· τὰ θυμῷ βουλόμενοι αὐτοὶ ἂν ἔχοιτε. (5) Κατοικέαται δὲ ἀλλήλων ἐχόμενοι ὡς ἐγὼ φράσω. Ἰώνων μὲν τῶνδε οἵδε Λυδοί, οἰκέοντές τε χώρην ἀγαθὴν καὶ πολυαργυρώτατοι ἐόντες. » Δεικνὺς δὲ ἔλεγε ταῦτα ἐς τῆς γῆς τὴν περίοδον, τὴν ἐφέρετο ἐν τῷ πίνακι ἐντετμημένην. « Λυδῶν δὲ » ἔφη λέγων ὁ Ἀρισταγόρης « οἵδε ἔχονται Φρύγες οἱ πρὸς τὴν ἠῶ, πολυπροβατώτατοί τε ἐόντες ἁπάντων τῶν ἐγὼ οἶδα καὶ πολυκαρπότατοι. (6) Φρυγῶν δὲ ἔχονται Καππαδόκαι, τοὺς ἡμεῖς Συρίους καλεῦμεν. Τούτοισι δὲ πρόσουροι Κίλικες, κατήκοντες ἐπὶ θάλασσαν τήνδε, ἐν τῇ ἥδε Κύπρος νῆσος κέεται· οἳ πεντακόσια τάλαντα βασιλέϊ τὸν ἐπέτεον φόρον ἐπιτελεῦσι. (7) Κι-

que per breve tempus obtinuit : nam insurrectione facta interfecerunt eum Selinusii, tametsi ad Forensis Jovis aram profugerat.

XLVII. Secutus Dorieum erat et cum eo periit etiam Philippus, Butacidæ filius, civis Crotoniata. Is quum sibi desponsasset Telyis filiam, Syharitarum regis, Crotone profugerat : frustratus autem nuptiis, relicta Italia Cyrenen navigaverat. Inde profectus, secutus erat Dorieum propria triremi, suo sumptu militibus instructa : vir qui in Olympicis certaminibus victoriam reportaverat, et formosissimus omnium suæ ætatis Græcorum. (2) Hic ob formæ præstantiam ab Egestanis consecutus est, quod nemo alius : hi enim super ejus sepulcro Heroum erexerunt, et sacrificiis eum placant.

XLVIII. Hunc finem habuit Dorieus : qui si sustinuisset sub Cleomenis vivere imperio et Spartæ manere, ipse rex evasisset Lacedæmonis. Neque enim diu admodum regnavit Cleomenes, sed mortuus est nulla prole relicta, nisi una filia, cui nomen erat Gorgo.

XLIX. Hoc igitur regnante Cleomene Spartam venit Aristagoras, Mileti tyrannus. Is regem conveniens, secum adferebat, ut narrant Lacedæmonii, æneam tabulam, in qua totius terræ circuitus erat incisus, et mare universum, fluviique omnes. (2) Ubi in colloquium venit regis, hæc ad eum verba fecit : « Cleomenes, ne meum studium te conveniendi mireris; talia enim sunt tempora. Servos esse Ionum filios, qui liberi esse debebant, probrum et dolor maxime quidem est nobis ipsis, verum etiam, præter cæteros Græcos, tanto magis vobis, quoniam principes estis Græciæ. (3) Nunc igitur, per deos te oro Græciæ præsides, e servitute vindicate Ionas, consanguineos vestros. Facile est autem vobis hoc exsequi. Nec enim fortes viri sunt barbari; vos vero bellicæ virtutis ad summum fastigium pervenistis. (4) Pugnæ genus autem illorum hoc est, arcus et breve spiculum. Braccis induti [*non scutis tecti*] in prælium eunt et tiaras [*pro galeis*] in capite gestant : ita superatu sunt faciles. Sunt autem continentem illam habitantibus bona, quanta non sunt aliis omnibus hominibus simul sumptis : aurum statim, tum argentum, et æs, et vestis variegata, et jumenta, et mancipia : quibus vos, si modo libuerit, potiemini. (5) Habitant autem, alius populus alterum attingens sic, quemadmodum ego dicam. Juxta Ionas hosce habitant hi Lydi, terram tenentes bonam et argento abundantem. » Hæc dicens, digito monstravit regionem in illo terræ circuitu, quem æri incisum secum attulerat. « Lydis vero (sic dicere perrexit) contigui sunt versus orientem Phryges hi, et armentis et terræ frugibus opulentissimi omnium, quos equidem novi, populorum. (6) Phrygibus proximi sunt Cappadoces, quos Syrios nos vocamus : hisque finitimi Cilices, ad mare hocce pertinentes, in quo Cyprus hæc insula est; qui quingenta talenta annuum tributum pendunt regi. (7) Cilices at-

λίχων δὲ τῶνδε ἔχονται Ἀρμένιοι οἵδε, καὶ οὗτοι ἐόντες πολυπρόβατοι, Ἀρμενίων δὲ Ματιηνοὶ χώρην τήνδε ἔχοντες. Ἔχεται δὲ τούτων γῆ ἥδε Κισσίη, ἐν τῇ ὁδὶ παρὰ ποταμὸν τόνδε Χοάσπεα κείμενά ἐστι τὰ Σοῦσα ταῦτα, ἔνθα βασιλεύς τε μέγας δίαιταν ποιέεται, καὶ τῶν χρημάτων οἱ θησαυροὶ ἐνθαῦτά εἰσι· ἑλόντες δὲ ταύτην τὴν πόλιν θαρσέοντες ἤδη τῷ Διὶ πλούτου πέρι ἐρίζετε. (8) Ἀλλὰ περὶ μὲν χώρης ἄρα οὐ πολλῆς οὐδὲ οὕτω χρηστῆς καὶ οὔρων σμικρῶν χρεών ἐστι ὑμέας μάχας ἀναβάλλεσθαι πρός τε Μεσσηνίους ἐόντας ἰσοπαλέας καὶ Ἀρκάδας τε καὶ Ἀργείους, τοῖσι οὔτε χρυσοῦ ἐχόμενόν ἐστι οὐδὲν οὔτε ἀργύρου, τῶν πέρι καί τινα ἐνάγει προθυμίη μαχόμενον ἀποθνήσκειν· παρέχον δὲ τῆς Ἀσίης πάσης ἄρχειν εὐπετέως, ἄλλο τι αἱρήσεσθε; » Ἀρισταγόρης μὲν ταῦτα ἔλεξε, Κλεομένης δὲ ἀμείβετο τοισίδε, « ὦ ξεῖνε Μιλήσιε, ἀναβάλλομαί τοι ἐς τρίτην ἡμέρην ὑποκρινέεσθαι. »

L. Τότε μὲν ἐς τοσοῦτον ἦλασαν· ἐπείτε δὲ ἡ κυρίη ἡμέρη ἐγένετο τῆς ὑποκρίσιος καὶ ἦλθον ἐς τὸ συγκείμενον, εἴρετο ὁ Κλεομένης τὸν Ἀρισταγόρεα ὁκόσων ἡμερέων ἀπὸ θαλάσσης τῆς Ἰώνων ὁδὸς εἴη παρὰ βασιλέα. (2) Ὁ δὲ Ἀρισταγόρης τἆλλα ἐὼν σοφὸς καὶ διαβάλλων ἐκεῖνον εὖ ἐν τούτῳ ἐσφάλη· χρεὼν γάρ μιν μὴ λέγειν τὸ ἐὸν, βουλόμενόν γε Σπαρτιήτας ἐξαγαγεῖν ἐς τὴν Ἀσίην, λέγειν δ' ὧν τριῶν μηνῶν φὰς εἶναι τὴν ἄνοδον. (3) Ὁ δὲ ὑπαρπάσας τὸν ἐπίλοιπον λόγον τὸν ὁ Ἀρισταγόρης ὥρμητο λέγειν περὶ τῆς ὁδοῦ, εἶπε, « ὦ ξεῖνε Μιλήσιε, ἀπαλλάσσεο ἐκ Σπάρτης πρὸ δύντος ἡλίου· οὐδένα γὰρ λόγον εὐπετέα λέγεις Λακεδαιμονίοισι, ἐθέλων σφέας ἀπὸ θαλάσσης τριῶν μηνῶν ὁδὸν ἀγαγεῖν. » Ὁ μὲν δὴ Κλεομένης ταῦτα εἶπας ἤϊε ἐς τὰ οἰκία.

LI. Ὁ δὲ Ἀρισταγόρης λαβὼν ἱκετηρίην ἤϊε ἐς τοῦ Κλεομένεος, ἐσελθὼν δὲ ἔσω ἅτε ἱκετεύων ἐπακοῦσαι ἐκέλευε τὸν Κλεομένεα, ἀποπέμψαντα τὸ παιδίον· προσεστήκεε γὰρ δὴ τῷ Κλεομένεϊ ἡ θυγάτηρ, τῇ οὔνομα ἦν Γοργώ· τοῦτο δέ οἱ καὶ μοῦνον τέκνον ἐτύγχανε ἐὸν ἐτέων ὀκτὼ ἢ ἐννέα ἡλικίην. (2) Κλεομένης δὲ λέγειν μιν ἐκέλευε τὰ βούλεται, μηδὲ ἐπισχεῖν τοῦ παιδίου εἵνεκεν. Ἐνθαῦτα δὴ ὁ Ἀρισταγόρης ἤρχετο ἐκ δέκα ταλάντων ὑπισχνεόμενος, ἢν οἱ ἐπιτελέσῃ τῶν ἐδέετο. (3) Ἀνανεύοντος δὲ τοῦ Κλεομένεος προέβαινε τοῖσι χρήμασι ὑπερβάλλων ὁ Ἀρισταγόρης, ἐς ὃ πεντήκοντά τε τάλαντα ὑπεδέδεκτο καὶ τὸ παιδίον ἠύδαξατο, « πάτερ, διαφθερέει σε ὁ ξεῖνος, ἢν μὴ ἀποστὰς ἴῃς. » (4) Ὡς τε δὴ Κλεομένης ἡσθεὶς τοῦ παιδίου τῇ παραινέσι ἤϊε ἐς ἕτερον οἴκημα, καὶ ὁ Ἀρισταγόρης ἀπαλλάσσετο τὸ παράπαν ἐκ τῆς Σπάρτης, οὐδέ οἱ ἐξεγένετο ἐπὶ πλέον ἔτι σημῆναι περὶ τῆς ἀνόδου τῆς παρὰ βασιλέα.

LII. Ἔχει γὰρ ἀμφὶ τῇ ὁδῷ ταύτῃ ὧδε. Σταθμοὶ τε πανταχῇ εἰσὶ βασιλήϊοι καὶ καταλύσιες κάλλιστοι, δι' οἰκεομένης τε ἡ ὁδὸς ἅπασα καὶ ἀσφαλέος. Διὰ μέν γε Λυδίης καὶ Φρυγίης σταθμοὶ τεἰνοντες εἴκοσί

tingunt hi Armenii, et ipsi armentis opulenti. Armeniis finitimi Matieni hancce possident regionem. Horum regionem attingit Cissia hæc, in qua juxta fluvium hunccce Choaspen sita hic sunt Susa, ubi rex magnus vitam agit, suntque pecuniarum illius thesauri. Hanc urbem quum ceperitis, tum fidenter cum Jove de divitiis contendetis. (8) At nunc de exiguo terræ tractu, neque illo ita bono, et de arctis finibus opus est vobis pugnare cum Messeniis, qui vobis pares sunt armis, et cum Arcadibus et Argivis, qui nihil possident quod sit auri aut argenti simile, cujus studio aliquis ad pugnandum cum vitæ periculo commoveatur. Quare quum facile sit vobis universæ Asiæ potiri imperio, aliudne quidpiam præoptabitis? » Hæc Aristagoras dixit; cui Cleomenes respondit his verbis : « Hospes Milesie, in tertium diem differo tibi respondere. »

L. Tunc quidem in tantum progressi sunt : ubi vero adfuit constitutus responsioni dies, et ad locum ventum est de quo convenerat, ex Aristagora Cleomenes quæsivit, quot dierum iter esset a mari Ioniam adluente usque ad regem. (2) Et Aristagoras, alioquin callidus homo, et pulcre illum circumveniens, in hoc quidem offendit. Nam quum non id quod res est dicere debuisset, ut qui Spartanos in Asiam cuperet evocare, ex veritate respondit, dicens trium mensium esse adscensum. (3) Tum vero Cleomenes, præcidens reliquum sermonem quem de itinere illo facturus erat Aristagoras, ait : « Hospes Milesie, excede Sparta ante solis occasum : nec enim sermonem dicis audiendum Lacedæmoniis, qui eos cupis trium mensium viam abducere a mari. » His dictis, Cleomenes domum abiit.

LI. Tum vero Aristagoras sumpto oleæ ramo domum adiit Cleomenis, et introgressus supplicis modo illum precatus est, ut, dimissa filiola, sese audiret : adstabat enim forte Cleomeni filia, cui nomen erat Gorgo, unica illius proles, annorum octo aut novem puella. (2) Jussit illum Cleomenes dicere quæ vellet, nec cessare puellæ eaussa. Ibi Aristagoras a decem incepit talentis quæ illi pollicebatur, si ea, quæ petiisset, effecta sibi dedisset : (3) abnuenteque Cleomene, progressus est Aristagoras augendo subinde pecuniæ summam; donec postremo, quum quinquaginta ei talenta reciperet, exclamavit puella : « Pater, corrumpet te hic hospes, ni ocyus hinc abscesseris. » (4) Et delectatus Cleomenes puellæ monito, in aliud conclave abiit, et Aristagoras Sparta omnino excessit neque ei licuerat de itinere ad regem plura his commemorare.

LII. Est autem illius itineris ratio hujusmodi. Stationes (*sive* mansiones) ubique sunt regiæ, et deversoria pulcerrima : totumque iter per culta ac tuta instituitur loca. Per Lydiam et Phrygiam viginti sunt mansiones, parasangæ

εἰσι, παρασάγγαι δὲ τέσσερες καὶ ἐνενήκοντα καὶ ἥμισυ. (2) Ἐκδέκεται δ' ἐκ τῆς Φρυγίης ὁ Ἅλυς ποταμὸς, ἐπ' ᾧ πύλαι τε ἔπεισι, τὰς διεξελάσαι πᾶσα ἀνάγκη καὶ οὕτω διεκπερᾶν τὸν ποταμὸν, καὶ φυλακτήριον μέγα ἐπ' αὐτῷ. Διαβάντι δὲ ἐς τὴν Καππαδοκίην καὶ ταύτῃ πορευομένῳ μέχρι οὔρων τῶν Κιλικίων σταθμοὶ δυῶν δέοντές εἰσι τριήκοντα, παρασάγγαι δὲ τέσσερες καὶ ἑκατόν. (3) Ἐπὶ δὲ τοῖσι τούτων οὔροισι διξάς τε πύλας διεξελᾷς καὶ διξὰ φυλακτήρια παραμείψεαι· ταῦτα δὲ διεξελάσαντι καὶ διὰ τῆς Κιλικίης ὁδὸν ποιευμένῳ τρεῖς εἰσὶ σταθμοὶ, παρασάγγαι δὲ πεντεκαίδεκα καὶ ἥμισυ. (4) Οὖρος δὲ Κιλικίης καὶ τῆς Ἀρμενίης ἐστὶ ποταμὸς νηυσιπέρητος, τῷ οὔνομα Εὐφρήτης. Ἐν δὲ τῇ Ἀρμενίῃ σταθμοὶ μέν εἰσι καταγωγέων πεντεκαίδεκα, παρασάγγαι δὲ ἓξ καὶ πεντήκοντα καὶ ἥμισυ, καὶ φυλακτήριον ἐν αὐτοῖσι. (5) Ποταμοὶ δὲ νηυσιπέρητοι τέσσερες διὰ ταύτης ῥέουσι, τοὺς πᾶσα ἀνάγκη διαπορθμεῦσαι ἐστὶ, πρῶτος μὲν Τίγρις, μετὰ δὲ δεύτερός τε καὶ τρίτος ὠυτὸς οὐνομαζόμενος, οὐκ ὠυτὸς ἐὼν ποταμὸς οὐδὲ ἐκ τοῦ αὐτοῦ ῥέων· ὁ μὲν γὰρ πρότερος αὐτῶν καταλεχθεὶς ἐξ Ἀρμενίων ῥέει, ὁ δὲ ὕστερον ἐκ Ματιηνῶν· ὁ δὲ τέταρτος τῶν ποταμῶν οὔνομα ἔχει Γύνδης, τὸν Κῦρος διέλαβέ κοτε ἐς διώρυχας ἑξήκοντα καὶ τριηκοσίας. (6) Ἐκ δὲ ταύτης τῆς Ἀρμενίης ἐσβάλλοντι ἐς τὴν Ματιηνὴν γῆν σταθμοί εἰσι τέσσερες. . . . . Ἐκ δὲ ταύτης ἐς τὴν Κισσίην χώρην μεταβαίνοντι ἑνδεκα σταθμοὶ, παρασάγγαι δὲ δύο καὶ τεσσεράκοντα καὶ ἥμισύ ἐστι ἐπὶ ποταμὸν Χοάσπεα, ἐόντα καὶ τοῦτον νηυσιπέρητον· ἐπ' ᾧ Σοῦσα πόλις πεπόλισται. Οὗτοι οἱ πάντες σταθμοί εἰσι ἑνδεκα καὶ ἑκατόν. Καταγωγαὶ μέν νυν σταθμῶν τοσαῦταί εἰσι ἐκ Σαρδίων ἐς Σοῦσα ἀναβαίνοντι.

LIII. Εἰ δὲ ὀρθῶς μεμέτρηται ἡ ὁδὸς ἡ βασιληίη τοῖσι παρασάγγῃσι καὶ ὁ παρασάγγης δύναται τριήκοντα στάδια, ὥσπερ οὗτός γε δύναται ταῦτα, ἐκ Σαρδίων στάδιά ἐστι ἐς τὰ βασιλήια τὰ Μεμνόνια καλεύμενα πεντακόσια καὶ τρισχίλια καὶ μύρια, παρασαγγέων ἐόντων πεντήκοντα καὶ τετρακοσίων. (2) Πεντήκοντα δὲ καὶ ἑκατὸν στάδια ἐπ' ἡμέρῃ ἑκάστῃ διεξιοῦσι ἀναισιμοῦνται ἡμέραι ἀπαρτὶ ἐνενήκοντα.

LIV. Οὕτω τῷ Μιλησίῳ Ἀρισταγόρῃ εἰπαντι πρὸς Κλεομένεα τὸν Λακεδαιμόνιον εἶναι τριῶν μηνῶν τὴν ἄνοδον τὴν παρὰ βασιλέα ὁρθῶς εἴρητο. Εἰ δέ τις τὸ ἀτρεκέστερον τούτων ἔτι δίζηται, ἐγὼ καὶ τοῦτο σημανέω· τὴν γὰρ ἐξ Ἐφέσου ἐς Σάρδις ὁδὸν δεῖ προσλογίσασθαι ταύτῃ. (2) Καὶ δὴ λέγω σταδίους εἶναι τοὺς πάντας ἀπὸ θαλάσσης τῆς Ἑλληνικῆς μέχρι Σούσων (τοῦτο γὰρ Μεμνόνιον ἄστυ καλέεται) τεσσεράκοντα καὶ τετρακισχιλίους καὶ μυρίους· οἱ γὰρ ἐξ Ἐφέσου ἐς Σάρδις εἰσὶ τεσσεράκοντα καὶ πεντακόσιοι στάδιοι, καὶ οὕτω τρισὶ ἡμέρῃσι μηκύνεται ἡ τρίμηνος ὁδός.

LV. Ἀπελαυνόμενος δὲ ὁ Ἀρισταγόρης ἐκ τῆς Σπάρτης ἦϊε ἐς τὰς Ἀθήνας γενομένας τυράννων ὧδε

vero nonaginta quattuor cum dimidia. (2) Phrygiam excipit Halys fluvius, ad quem est porta, per quam omnino transire oportet priusquam fluvium trajicias: estque ibidem magna custodia. Transgresso in Cappadociam, atque per eam pergenti usque ad Ciliciæ fines, mansiones sunt duodetriginta, parasangæ vero centum et quattuor: (3) in his confinibus autem duæ sunt portæ transeundæ, et prætereundæ duæ custodiæ. Has postquam præterieris, per Ciliciam iter facienti tres sunt mansiones, parasangæ vero quindecim cum dimidia. (4) Terminus Ciliciæ et Armeniæ flumen est navibus transmittendum, cui nomen Euphrates. In Armenia vero mansiones sunt deversoriorum quindecim, et parasangæ quinquaginta sex cum dimidia: estque in his etiam custodiæ statio. (5) Perfluunt autem Armeniam quattuor fluvii, quos navibus necessario oportet trajicere. Primus est Tigris: deinde secundus et tertius idem nomen habent, quamvis non idem sit fluvius, nec eodem ex loco fluens; prior enim eorum, quem recensui, ex Armeniis fluit, posterior vero ex Matienis. Quarto fluvio nomen est Gyndes, is quem Cyrus olim in trecentos et sexaginta alveos diduxit. (6) Ex hac Armenia ubi in Matienen regionem transieris, stationes sunt quattuor.... Tum ex hac in Cissiam regionem transgredienti, stationes undecim, parasangæ vero quadraginta duæ cum dimidia, usque ad Choaspen fluvium, navibus itidem trajiciendum; ad quem Susa urbs condita est. Harum omnium mansionum summa est centum et undecim: totque sunt stationes atque deversoria Sardibus Susa iter facienti

LIII. Quodsi vero recte parasangis dimensa est regia via, et parasanga si valet triginta stadia, uti revera valet erunt Sardibus usque ad regiam, quæ Memnonia vocatur, stadiorum tredecim millia et quingenta, quum sint parasangæ quadringentæ et quinquaginta. (2) Jam singulis diebus centena et quinquagena stadia conficiendo, consumuntur adcurate dies nonaginta.

LIV. Itaque Milesius Aristagoras, quando Cleomeni Lacedæmonio dixit, trium mensium iter esse quo ad regem adscenditur, recte ille dixit. Si quis vero curatius etiam de his quærat, ei ego hoc etiam declarabo; namque adjici debet iter Epheso Sardes faciendum. (2) Dico igitur, a Græco mari usque Susa, nam hæc Memnonia urbs vocatur, stadiorum omnium summam esse quattuordecim millia et quadraginta. Nam ab Epheso ad Sardes sunt stadia quingenta et quadraginta: itaque tribus diebus longius fit trimestre istud iter.

LV. Sparta pulsus Aristagoras Athenas inde se contulit: quæ *haud multo ante* tyrannis liberatæ erant, idque hoc

ἐλευθέρας. Ἐπεὶ Ἵππαρχον τὸν Πεισιστράτου, Ἱππίεω δὲ τοῦ τυράννου ἀδελφεὸν, ἰδόντα ὄψιν ἐνυπνίου τῷ ἑωυτοῦ πάθεϊ ἐναργεστάτην κτείνουσι Ἀριστογείτων καὶ Ἁρμόδιος γένος ἐόντες τὰ ἀνέκαθεν Γεφυραῖοι, μετὰ ταῦτα ἐτυραννεύοντο Ἀθηναῖοι ἐπ' ἔτεα τέσσερα οὐδὲν ἔσσον, ἀλλὰ καὶ μᾶλλον ἢ πρὸ τοῦ.

LVI. Ἡ μέν νυν ὄψις τοῦ Ἱππάρχου ἐνυπνίου ἦν ἥδε· ἐν τῇ προτέρῃ νυκτὶ τῶν Παναθηναίων ἐδόκεε ὁ Ἵππαρχος ἄνδρα οἱ ἐπιστάντα μέγαν καὶ εὐειδέα αἰνίσσεσθαι τάδε τὰ ἔπεα·

Τλῆθι λέων ἄτλητα παθὼν τετληότι θυμῷ·
οὐδεὶς ἀνθρώπων ἀδικῶν τίσιν οὐκ ἀποτίσει.

(2) Ταῦτα δὲ, ὡς ἡμέρη ἐγένετο τάχιστα, φανερὸς ἦν ὑπερτιθέμενος ὀνειροπόλοισι· μετὰ δὲ ἀπειπάμενος τὴν ὄψιν ἔπεμπε τὴν πομπὴν, ἐν τῇ δὴ τελευτᾷ.

LVII. Οἱ δὲ Γεφυραῖοι, τῶν ἔσαν οἱ φονέες οἱ Ἱππάρχου, ὡς μὲν αὐτοὶ λέγουσι, ἐγεγόνεσαν ἐξ Ἐρετρίης τὴν ἀρχὴν, ὡς δὲ ἐγὼ ἀναπυνθανόμενος εὑρίσκω, ἔσαν Φοίνικες τῶν σὺν Κάδμῳ ἀπικομένων Φοινίκων ἐς γῆν τὴν νῦν Βοιωτίην καλευμένην, οἴκεον δὲ τῆς χώρης ταύτης ἀπολαχόντες τὴν Ταναγρικὴν μοῖραν. (2) Ἐνθεῦτεν δὲ Καδμείων πρότερον ἐξαναστάντων ὑπ' Ἀργείων, οἱ Γεφυραῖοι οὗτοι δεύτερα ὑπὸ Βοιωτῶν ἐξαναστάντες ἐτράποντο ἐπ' Ἀθηνέων. Ἀθηναῖοι δέ σφεας ἐπὶ ῥητοῖσι ἐδέξαντο σφέων αὐτῶν εἶναι πολιήτας πολλῶν τέων καὶ οὐκ ἀξιαπηγήτων ἐπιτάξαντες ἔργεσθαι.

LVIII. Οἱ δὲ Φοίνικες οὗτοι οἱ σὺν Κάδμῳ ἀπικόμενοι, τῶν ἔσαν οἱ Γεφυραῖοι, ἄλλα τε πολλὰ οἰκήσαντες ταύτην τὴν χώρην ἐσήγαγον διδασκάλια ἐς τοὺς Ἕλληνας καὶ δὴ καὶ γράμματα, οὐκ ἐόντα πρὶν Ἕλλησι ὡς ἐμοὶ δοκέειν, πρῶτα μὲν τοῖσι καὶ ἅπαντες χρέονται Φοίνικες· μετὰ δὲ, χρόνου προβαίνοντος, ἅμα τῇ φωνῇ μετέβαλον καὶ τὸν ῥυθμὸν τῶν γραμμάτων. (2) Περιοίκεον δέ σφεας τὰ πολλὰ τῶν χώρων τοῦτον τὸν χρόνον Ἑλλήνων Ἴωνες, οἳ παραλαβόντες διδαχῇ παρὰ τῶν Φοινίκων τὰ γράμματα, μεταρρυθμίσαντές σφεων ὀλίγα ἐχρέοντο, χρεώμενοι δὲ ἐφάτισαν ὥσπερ καὶ τὸ δίκαιον ἔφερε, ἐσαγαγόντων Φοινίκων ἐς τὴν Ἑλλάδα Φοινικήϊα κεκλῆσθαι. (3) Καὶ τὰς βίβλους διφθέρας καλεῦσι ἀπὸ τοῦ παλαιοῦ οἱ Ἴωνες, ὅτι κοτὲ ἐν σπάνι βίβλων ἐχρέοντο διφθέρῃσι αἰγέῃσί τε καὶ οἰέῃσι· ἔτι δὲ καὶ τὸ κατ' ἐμὲ πολλοὶ τῶν βαρβάρων ἐς τοιαύτας διφθέρας γράφουσι.

LIX. Εἶδον δὲ καὶ αὐτὸς Καδμήϊα γράμματα ἐν τῷ ἱρῷ τοῦ Ἀπόλλωνος τοῦ Ἰσμηνίου ἐν Θήβῃσι τῇσι Βοιωτῶν, ἐπὶ τρίποσι τρισὶ ἐγκεκολαμμένα, τὰ πολλὰ ὁμοῖα ἐόντα τοῖσι Ἰωνικοῖσι. Ὁ μὲν δὴ εἷς τῶν τριπόδων ἐπίγραμμα ἔχει

Ἀμφιτρύων μ' ἀνέθηκεν ἰὼν ἀπὸ Τηλεβοάων.

Ταῦτα ἡλικίην ἂν εἴη κατὰ Λάϊον τὸν Λαβδάκου τοῦ Πολυδώρου τοῦ Κάδμου.

modo. Postquam Hipparchum, Pisistrati filium, Hippiæ tyranni fratrem, cui per somnum visum erat oblatum imminentem calamitatem perspicue significans, interfecerunt Aristogiton et Harmodius, generis origine Gephyræi; post hæc Athenæ per quattuor etiam nunc annos nihilo minus, immo magis etiam quam antea, tyrannide premebantur.

LVI. Insomnium Hipparcho oblatum hujusmodi erat: nocte quæ præcedebat Panathenæorum solennia, visum erat Hipparcho adstare ipsi virum grandem formosumque, ænigmaticis his verbis ipsum adloquentem:

Intoleranda, leo, patiens, animo forti tolerato!
nemo hominum injustus non solvet tempore pœnam.

(2) Hanc visionem ille, simulatque illuxit, palam ad somniorum conjectores retulit: deinde vero, sacris averruncandi caussa factis, pompam illam duxit, in qua interfectus est.

LVII. Gephyræi, quorum de genere erant Hipparchi percussores, principio, ut ipsi aiunt, ex Eretria fuerunt oriundi; ut vero ego rem percontatus reperio, Phœnices fuerunt ex illorum numero Phœnicum, qui cum Cadmo in hanc regionem, quæ nunc Bœotia vocatur, venerunt; et Tanagricum ejusdem regionis tractum, sorte acceptum, habitaverunt. (2) Inde postquam Cadmei prius ab Argivis erant expulsi, deinde Gephyræi hi a Bœotis ejecti, Athenas se converterunt. Et illos receperunt Athenienses hac conditione, ut cives essent Athenienses, at complurimus tamen, nec vero dignis quæ hic commemorentur, juribus essent exclusi.

LVIII. Phœnices autem hi, qui cum Cadmo advenerant, quorum de numero fuerunt Gephyræi, regionem hanc incolentes, quum alias res multas ad doctrinam spectantes attulerunt Hellenibus, tum literas; quarum usus nullus antea, ut mihi videtur, apud Hellenas fuerat. Ac primum quidem tales attulerant, qualibus omnes utuntur Phœnices: procedente vero tempore, simul cum sermone, literarum etiam ductus immutarunt. (2) Pleraque per id tempus loca circum illos habitabant Hellenes Iones: qui literas edocti a Phœnicibus, usi sunt eis forma paululum mutata; a quorum usu divulgatum est, ut, quemadmodum æquitas etiam postulabat, quoniam a Phœnicibus in Græciam introductæ sunt, Phœniciæ literæ nominarentur. (3) Atque byblos etiam (*id est*, libros papyraceos) antiquitus diphtheras (pelles rasas *sive* membranas) Iones vocant, quoniam in papyri inopia pellibus caprinis et ovillis utebantur. Atque etiam nunc mea ætate multi barbarorum talibus in pellibus scribunt.

LIX. Vidi vero etiam ipse literas Cadmeas in templo Apollinis Ismenii Thebis Bœotiæ, tripodibus tribus insculptas, maximam partem similes Ionicis literis. Unus ex illis tripodibus hanc habet inscriptionem:

Dedicavit me Amphitryon, rediens ex Telebois.

Hæc igitur scripta fuerint Laii ætate, filii Labdaci, nepotis Polydori, filii Cadmi.

LX. Ἕτερος δὲ τρίπους ἐν ἑξαμέτρῳ τόνῳ λέγει

Σκαῖος πυγμαχέων με ἑκηβόλῳ Ἀπόλλωνι
νικήσας ἀνέθηκε τεὴν περικαλλὲς ἄγαλμα.

Σκαῖος δ' ἂν εἴη ὁ Ἱπποκόωντος, εἰ δὴ οὗτός γ' ἐστὶ ὁ ἀναθεὶς καὶ μὴ ἄλλος τὠυτὸ οὔνομα ἔχων τῷ Ἱπποκόωντος, ἡλικίην κατ' Οἰδίπουν τὸν Λαΐου.

LXI. Τρίτος δὲ τρίπους λέγει καὶ οὗτος ἐν ἑξαμέτρῳ

Λαοδάμας τρίποδ' αὐτὸς ὑὸς κόπῳ Ἀπόλλωνι
μουναρχέων ἀνέθηκε τεὴν περικαλλὲς ἄγαλμα.

Ἐπὶ τούτου δὴ τοῦ Λαοδάμαντος τοῦ Ἐτεοκλέος μουναρχέοντος ἐξανιστέαται Καδμεῖοι ὑπ' Ἀργείων καὶ τράπονται ἐς τοὺς Ἐγχελέας. (2) Οἱ δὲ Γεφυραῖοι ὑπολειφθέντες ὕστερον ὑπὸ Βοιωτῶν ἀναχωρέουσι ἐς Ἀθήνας· καί σφι ἱρά ἐστι ἐν Ἀθήνῃσι ἱδρυμένα, τῶν οὐδὲν μέτα τοῖσι λοιποῖσι Ἀθηναίοισι, ἄλλα τε κεχωρισμένα τῶν ἄλλων ἱρῶν καὶ δὴ καὶ Ἀχαιίης Δήμητρος ἱρόν τε καὶ ὄργια.

LXII. Ἡ μὲν δὴ ὄψις τοῦ Ἱππάρχου ἐνυπνίου, καὶ οἱ Γεφυραῖοι ὅθεν ἐγεγόνεσαν, τῶν ἦσαν οἱ Ἱππάρχου φονέες, ἀπήγηταί μοι· δεῖ δὲ πρὸς τούτοισι ἔτι ἀναλαβέειν τὸν κατ' ἀρχὰς ἧïα λέξων λόγον, ὡς τυράννων ἠλευθερώθησαν Ἀθηναῖοι. (2) Ἱππίεω τυραννεύοντος καὶ ἐμπικραινομένου Ἀθηναίοισι διὰ τὸν Ἱππάρχου θάνατον, Ἀλκμεωνίδαι γένος ἐόντες Ἀθηναῖοι καὶ φεύγοντες Πεισιστρατίδας, ἐπείτε σφι ἅμα τοῖσι ἄλλοισι Ἀθηναίων φυγάσι πειρεωμένοισι κατὰ τὸ ἰσχυρὸν οὐ προεχώρεε κάτοδος, ἀλλὰ προσέπταιον μεγάλως πειρεώμενοι κατιέναι τε καὶ ἐλευθεροῦν τὰς Ἀθήνας Λειψύδριον τὸ ὑπὲρ Παιονίης τειχίσαντες, ἐνθαῦτα οἱ Ἀλκμεωνίδαι πᾶν ἐπὶ τοῖσι Πεισιστρατίδῃσι μηχανεώμενοι παρ' Ἀμφικτυόνων τὸν νηὸν μισθοῦνται τὸν ἐν Δελφοῖσι, τὸν νῦν ἐόντα, τότε δὲ οὔκω, τοῦτον ἐξοικοδομῆσαι. (3) Οἷα δὲ χρημάτων εὖ ἥκοντες καὶ ἐόντες ἄνδρες δόκιμοι ἀνέκαθεν ἔτι, τόν τε νηὸν ἐξεργάσαντο τοῦ παραδείγματος κάλλιον, τά τε ἄλλα καὶ συγκειμένου σφι πωρίνου λίθου ποιέειν τὸν νηόν, Παρίου τὰ ἔμπροσθε αὐτοῦ ἐξεποίησαν.

LXIII. Ὡς ὦν δὴ οἱ Ἀθηναῖοι λέγουσι, οὗτοι οἱ ἄνδρες ἐν Δελφοῖσι κατήμενοι ἀνέπειθον τὴν Πυθίην χρήμασι, ὅκως ἔλθοιεν Σπαρτιητέων ἄνδρες εἴτε ἰδίῳ στόλῳ εἴτε δημοσίῳ χρησόμενοι, προφαίνειν σφι τὰς Ἀθήνας ἐλευθεροῦν. (2) Λακεδαιμόνιοι δὲ, ὡς σφι αἰεὶ τὠυτὸ πρόφαντον ἐγίνετο, πέμπουσι Ἀγχιμόλιον τὸν Ἀστέρος, ἐόντα τῶν ἀστῶν ἄνδρα δόκιμον, σὺν στρατῷ ἐξελῶντα Πεισιστρατίδας ἐξ Ἀθηνέων, ὅμως καὶ ξεινίους σφι ἐόντας τὰ μάλιστα· τὰ γὰρ τοῦ θεοῦ πρεσβύτερα ἐποιεῦντο ἢ τὰ τῶν ἀνδρῶν· πέμπουσι δὲ τούτους κατὰ θάλασσαν πλοίοισι. (3) Ὁ μὲν δὴ προσσχὼν ἐς Φάληρον τὴν στρατιὴν ἀπέβησε, οἱ δὲ Πεισιστρατίδαι προπυνθανόμενοι ταῦτα ἐπεκαλεῦντο ἐκ Θεσσαλίης ἐπικουρίην· ἐπεποίητο γάρ σφι συμμαχίη πρὸς αὐτούς. (4) Θεσσαλοὶ δέ σφι δεομένοισι ἀπέπεμψαν, κοινῇ γνώμῃ χρεώμενοι, χιλίην τε ἵππον

LX. Alius tripus hexametro modulo hæc dixit :

Scæus, in adsueto pugilum certamine victor,
me tibi sacravit, speciosum munus, Apollo.

Scæus autem ille fuerit Hippocoontis filius : si modo hic fuit qui munus illud dedicavit, nec alius idem nomen gerens cum Hippocoontis filio : vixit hic autem Œdipi ætate, Laii filii.

LXI. Tertius tripus, hexametro pariter modulo, hæc inscripta habet :

Laodamas tripodem hunc divo, sua in urbe monarchus,
dignum spectatu sacrat decus arciteneuti.

Hic est ille Laodamas, Eteoclis filius, quo regnante Cadmei, ab Argivis sedibus suis ejecti, ad Encheleas se receperunt. (2) Gephyræi vero, tunc relicti, postea a Bœotis coacti sunt Athenas concedere. Et habent hi templa Athenis exstructa, quæ ad reliquos Athenienses nihil pertinent, quum alia, quibus nihil commune cum cæteris templis est, tum Achaicæ Cereris templum et sacra.

LXII. Quale fuerit visum Hipparcho oblatum, et unde oriundi Gephyraei, quorum de genere fuere Hipparchi percussores, est a me expositum. Superest ut post hæc redeam ad narrationem quam initio instituturus eram, dicamque qua ratione tyrannis liberati sint Athenienses. (2) Quo tempore Hippias tyrannidem obtinuit, et Athenienses ob Hipparchi cædem acerbius vexabat; per id tempus Alcmeonidæ, genere Athenienses, ob Pisistratidas vero patria profugi, postquam cum aliis Atheniensium exsulibus per vim reditum sibi parare conantes nihil profecissent, sed ad Lipsydrion supra Pæoniam, quem locum tentandi reditus caussa et liberandæ civitatis consilio muniverant, ingentem accepissent cladem; deinde, omnia adversus Pisistratidas molientes, ab Amphictyonibus templum Delphicum hoc, quod nunc est, et tunc nondum erat, ædificandum conduxerunt. (3) Quumque divitiis abundarent, et inde a majoribus spectati essent viri, exædificarunt templum quum alias pulcrius quam ferebat exemplar, tum frontem ejus ex Pario marmore effecerunt, quamquam conventum esset ut totum templum ex porino lapide construeretur.

LXIII. Hi igitur Alcmeonidæ, ut Athenienses narrant, dum Delphis morabantur, pecunia persuaserunt Pythiæ, ut, quoties Spartani cives Delphos venirent, sive privato nomine sive publico oraculum consulturi, constanter illos moneret, ut liberarent Athenas. (2) Proinde Lacedæmonii quum idem ipsis semper effatum ederetur, mittunt Anchimolium, Asteris filium, cum exercitu, spectatum inter cives virum, qui Pisistratidas Athenis pelleret, quamquam hospitii jure cum ipsis inprimis conjunctos : nam, quæ diis debentur, antiquiora duxerunt quam quæ hominibus. Hunc exercitum, mari navibus mittunt. (3) Anchimolius igitur, portum tenens Phalerum, ibi in terra deposuit. Qua re ante cognita, Pisistratidæ, quum esset eis fœdus cum Thessalis, auxilia e Thessalia acciverant. (4) Et precantibus Thessali, publico decreto, mille equites miserant, et

καὶ τὸν βασιλέα τὸν σφέτερον Κινέην ἄνδρα Κονιαῖον· τοὺς ἐπείτε ἔσχον συμμάχους οἱ Πεισιστρατίδαι, ἐμηχανέοντο τοιάδε· (5) κείραντες τῶν Φαληρέων τὸ πεδίον καὶ ἱππάσιμον ποιήσαντες τοῦτον τὸν χῶρον ἐπῆκαν τῷ στρατοπέδῳ τὴν ἵππον· ἐμπεσοῦσα δὲ διέφθειρε ἄλλους τε πολλοὺς τῶν Λακεδαιμονίων καὶ δὴ καὶ τὸν Ἀγχιμόλιον· τοὺς δὲ περιγενομένους αὐτῶν ἐς τὰς νέας κατέρξαν. (6) Ὁ μὲν δὴ πρῶτος στόλος ἐκ Λακεδαίμονος οὕτω ἀπήλλαξε, καὶ Ἀγχιμολίου εἰσὶ ταφαὶ τῆς Ἀττικῆς Ἀλωπεκῆσι, ἀγχοῦ τοῦ Ἡρακλείου τοῦ ἐν Κυνοσάργει.

LXIV. Μετὰ δὲ Λακεδαιμόνιοι μέζω στόλον στείλαντες ἀπέπεμψαν ἐπὶ τὰς Ἀθήνας, στρατηγὸν τῆς στρατιῆς ἀποδέξαντες βασιλέα Κλεομένεα τὸν Ἀναξανδρίδεω, οὐκέτι κατὰ θάλασσαν στείλαντες, ἀλλὰ κατ' ἤπειρον· (2) τοῖσι ἐσβαλοῦσι ἐς τὴν Ἀττικὴν χώρην ἡ τῶν Θεσσαλῶν ἵππος πρώτη προσέμιξε καὶ οὐ μετὰ πολὺ ἐτράπετο, καί σφεων ἔπεσον ὑπὲρ τεσσεράκοντα ἄνδρας· οἱ δὲ περιγενόμενοι ἀπαλλάσσοντο, ὡς εἶχον, ἰθὺς ἐπὶ Θεσσαλίης. (3) Κλεομένης δὲ ἀπικόμενος ἐς τὸ ἄστυ ἅμα Ἀθηναίων τοῖσι βουλομένοισι εἶναι ἐλευθέροισι ἐπολιόρκεε τοὺς τυράννους ἀπεργμένους ἐν τῷ Πελασγικῷ τείχεϊ.

LXV. Καὶ οὐδέν τι πάντως ἂν ἐξεῖλον τοὺς Πεισιστρατίδας οἱ Λακεδαιμόνιοι· οὔτε γὰρ ἐπέδρην ἐπενόεον ποιήσασθαι, οἵ τε Πεισιστρατίδαι σίτοισι καὶ ποτοῖσι εὖ παρεσκευάδατο· πολιορκήσαντές τε ἂν ἡμέρας ὀλίγας ἀπαλλάσσοντο ἐς τὴν Σπάρτην. (2) Νῦν δὲ συντυχίη τοῖσι μὲν κακὴ ἐπεγένετο, τοῖσι δὲ ἡ αὐτὴ αὕτη σύμμαχος· ὑπεκτιθέμενοι γὰρ ἔξω τῆς χώρης οἱ παῖδες τῶν Πεισιστρατιδέων ἥλωσαν. (3) Τοῦτο δὲ ὡς ἐγένετο, πάντα αὐτῶν τὰ πρήγματα συνετετάραχτο, παρέστησαν δὲ ἐπὶ μισθῷ τοῖσι τέκνοισι, ἐπ' οἷσι ἐβούλοντο οἱ Ἀθηναῖοι, ὥστε ἐν πέντε ἡμέρῃσι ἐκχωρῆσαι ἐκ τῆς Ἀττικῆς. (4) Μετὰ δὲ ἐξεχώρησαν ἐς Σίγειον τὸ ἐπὶ τῷ Σκαμάνδρῳ, ἄρξαντες μὲν Ἀθηναίων ἐπ' ἔτεα ἓξ τε καὶ τριήκοντα, ἐόντες δὲ καὶ οὗτοι ἀνέκαθεν Πύλιοί τε καὶ Νηλεῖδαι, ἐκ τῶν αὐτῶν γεγονότες καὶ οἱ ἀμφὶ Κόδρον τε καὶ Μέλανθον, οἳ πρότερον ἐπήλυδες ἐόντες ἐγένοντο Ἀθηναίων βασιλέες. (5) Ἐπὶ τούτου δὲ καὶ τὠυτὸ οὔνομα ἀπεμνημόνευσε Ἱπποκράτης τῷ παιδὶ θέσθαι τὸν Πεισίστρατον, ἐπὶ τοῦ Νέστορος Πεισιστράτου ποιεύμενος τὴν ἐπωνυμίην. (6) Οὕτω μὲν Ἀθηναῖοι τυράννων ἀπαλλάχθησαν· ὅσα δὲ ἐλευθερωθέντες ἔρξαν ἢ ἔπαθον ἀξιόχρεα ἀπηγήσιος πρὶν ἢ Ἰωνίην τε ἀποστῆναι ἀπὸ Δαρείου καὶ Ἀρισταγόρεα τὸν Μιλήσιον ἀπικόμενον ἐς Ἀθήνας χρῆσαι σφέων βωθέειν, ταῦτα πρῶτα φράσω.

LXVI. Ἀθῆναι ἐοῦσαι καὶ πρὶν μεγάλαι, τότε ἀπαλλαχθεῖσαι τυράννων ἐγίνοντο μέζονες· ἐν δὲ αὐτῇσι δύο ἄνδρες ἐδυνάστευον, Κλεισθένης τε ἀνὴρ Ἀλκμεωνίδης, ὅσπερ δὴ λόγον ἔχει τὴν Πυθίην ἀναπεῖσαι, καὶ Ἰσαγόρης ὁ Τισάνδρου οἰκίης μὲν ἐὼν δοκίμου, ἀτὰρ τὰ ἀνέκαθεν οὐκ ἔχω φράσαι· θύουσι δὲ οἱ

regem suum Cineam Coniæum. Quos auxiliares nacti Pisistratidæ, hocce instituerunt facere : (5) detonsa planitie Phalereorum, et loco hoc equitibus habili reddito, equitatum adversus hostium castra mittunt : qui in hos incidens, quum alios multos interfecit Lacedæmoniorum, tum et ducem Anchimolium, reliquos vero in naves compulerunt. (6) Hic finis fuit primæ expeditionis Lacedæmoniorum : estque sepulcrum Anchimolii in Attico pago, cui Alopecæ nomen, prope Herculis templum quod in Cynosarge.

LXIV. Post hæc majores copias adversus Athenas miserunt Lacedæmonii, duce exercitus Cleomene rege, Anaxandridæ filio : has vero non jam mari miserunt, sed per continentem. (2) Cum his, ut in Atticam regionem invaserunt, primum congressi Thessali equites, brevi tempore in fugam sunt versi, ceciderunt que ex eisdem amplius quadraginta; reliqui vero e vestigio recta versus Thessaliam abierunt. (3) Cleomenes autem, ut ad urbem pervenit, una cum his ex Atheniensibus, qui liberi vivere cupiebant, tyrannos obsedit, muro Pelasgico inclusos.

LXV. Nequaquam vero expugnaturi Pisistratidas erant Lacedæmonii : nec enim justam obsidionem instituere cogitaverant, et cibariis ac potulentis bene instructi Pisistratidæ erant : post paucorumque dierum obsidionem Spartam erant illi abituri. (2) Nunc vero supervenit casus, istis *infaustus, his vero idem peropportunus : capti enim sunt* Pisistratidarum liberi, quum in eo essent, ut extra Atticam in tuto collocarentur. (3) Quæ res postquam accidit, turbatæ sunt omnes eorumdem rationes. Itaque deditionem fecerunt eis conditionibus, quæ Atheniensibus placuerunt, ut, receptis liberis suis, intra quinque dies Attica excederent. (4) Atque ita relicta Attica Pisistratidæ Sigeum ad Scamandrum migrarunt, postquam Athenis sex et triginta annos regnaverant. Fuerunt autem hi origine Pylii et Nelidæ, eisdem majoribus prognati atque Codrus et Melanthus; qui et ipsi olim, quum advenæ essent, reges fuerunt Atheniensium. (5) Cujus in originis memoriam Hippocrates filio suo nomen Pisistrati imposuerat, de Pisistrato, Nestoris filio, ductum. (6) Hoc modo tyrannis suis liberati sunt Athenienses : quas vero res post receptam libertatem memoratu dignas vel gesserint vel passi sint, priusquam Ionia a Dario defecit, et Aristagoras Milesius Athenas venit opem illorum implorans, eas primum exponam.

LXVI. Athenæ, quum jam ante magnæ fuissent, nunc, postquam tyrannis liberatæ erant, majores evaserunt. Dominabantur autem in illis duo viri, Clisthenes, de familia Alcmeonidarum, is quem fama fert corrupisse Pythiam, et Isagoras, Tisandri filius, spectata quidem familia natus; cæterum, quibus majoribus antiquitus fuerit oriundus, dicere nequeo, nisi quod cognati ejus Jovi Cario

συγγενέες αὐτοῦ Διὶ Καρίῳ. (2) Οὗτοι οἱ ἄνδρες ἐστασίασαν περὶ δυνάμιος, ἐσσούμενος δὲ ὁ Κλεισθένης τὸν δῆμον προσεταιρίζεται. Μετὰ δὲ τετραφύλους ἐόντας Ἀθηναίους δεκαφύλους ἐποίησε, τῶν Ἴωνος παίδων Γελέοντος καὶ Αἰγικόρεος καὶ Ἀργάδεω καὶ Ὁπλητος ἀπαλλάξας τὰς ἐπωνυμίας, ἐπιχωρίων δ' ἑτέρων ἡρώων ἐπωνυμίας ἐξευρών, πάρεξ Αἴαντος· τοῦτον δέ, ἅτε ἀστυγείτονα καὶ σύμμαχον, ξεῖνον ἐόντα προσέθετο.

LXVII. Ταῦτα δὲ, δοκέειν ἐμοί, ἐμιμέετο ὁ Κλεισθένης οὗτος τὸν ἑωυτοῦ μητροπάτορα Κλεισθένεα τὸν Σικυῶνος τύραννον. (2) Κλεισθένης γὰρ Ἀργείοισι πολεμήσας τοῦτο μὲν ῥαψῳδοὺς ἔπαυσε ἐν Σικυῶνι ἀγωνίζεσθαι τῶν Ὁμηρείων ἐπέων εἵνεκεν, ὅτι Ἀργεῖοί τε καὶ Ἄργος τὰ πολλὰ πάντα ὑμνέαται· τοῦτο δὲ, ἡρώϊον γὰρ ἦν καὶ ἔστι ἐν αὐτῇ τῇ ἀγορῇ τῶν Σικυωνίων Ἀδρήστου τοῦ Ταλαοῦ, τοῦτον ἐπεθύμησε ὁ Κλεισθένης ἐόντα Ἀργεῖον ἐκβαλέειν ἐκ τῆς χώρης. (3) Ἐλθὼν δὲ ἐς Δελφοὺς ἐχρηστηριάζετο εἰ ἐκβάλοι τὸν Ἄδρηστον· ἡ δέ γε Πυθίη οἱ χρᾷ φᾶσα Ἄδρηστον μὲν εἶναι Σικυωνίων βασιλέα, ἐκεῖνον δὲ λευστῆρα. Ἐπεὶ δὲ ὁ θεὸς τοῦτό γε οὐ παρεδίδου, ἀπελθὼν ὀπίσω ἐφρόντιζε μηχανὴν τῇ αὐτὸς ὁ Ἄδρηστος ἀπαλλάξεται. (4) Ὡς δέ οἱ ἐξευρῆσθαι ἐδόκεε, πέμψας ἐς Θήβας τὰς Βοιωτίας ἔφη ἐθέλειν ἐπαγαγέσθαι Μελάνιππον τὸν Ἀστακοῦ· οἱ δὲ Θηβαῖοι ἔδοσαν. Ἐπαγαγόμενος δὲ ὁ Κλεισθένης τὸν Μελάνιππον, τέμενός οἱ ἀπέδεξε ἐν αὐτῷ τῷ πρυτανηίῳ καὶ μιν ἵδρυσε ἐνθαῦτα ἐν τῷ ἰσχυροτάτῳ. (5) Ἐπηγάγετο δὲ τὸν Μελάνιππον ὁ Κλεισθένης (καὶ γὰρτοῦτο δεῖ ἀπηγήσασθαι) ὡς ἐχθιστον ἐόντα Ἀδρήστῳ, ὃς τόν τε ἀδελφεόν οἱ Μηκιστέα ἀπεκτόνεε καὶ τὸν γαμβρὸν Τυδέα. (6) Ἐπείτε δέ οἱ τὸ τέμενος ἀπέδεξε, θυσίας τε καὶ ὁρτὰς Ἀδρήστου ἀπελόμενος ἔδωκε τῷ Μελανίππῳ. Οἱ δὲ Σικυώνιοι ἐώθεσαν μεγαλωστὶ κάρτα τιμᾶν τὸν Ἄδρηστον· ἡ γὰρ χώρη ἦν αὕτη Πολύβου, ὁ δὲ Ἄδρηστος ἦν Πολύβου θυγατριδέος, ἅπαις δὲ Πόλυβος τελευτέων διδοῖ Ἀδρήστῳ τὴν ἀρχήν. (7) Τά τε δὴ ἄλλα οἱ Σικυώνιοι ἐτίμεον τὸν Ἄδρηστον, καὶ δὴ πρὸς τὰ πάθεα αὐτοῦ τραγικοῖσι χοροῖσι ἐγέραιρον, τὸν μὲν Διόνυσον οὐ τιμέοντες, τὸν δὲ Ἄδρηστον. (8) Κλεισθένης δὲ χοροὺς μὲν τῷ Διονύσῳ ἀπέδωκε, τὴν δὲ ἄλλην θυσίην τῷ Μελανίππῳ. Ταῦτα μὲν ἐς Ἄδρηστόν οἱ πεποίητο.

LXVIII. Φυλὰς δὲ τὰς Δωριέων, ἵνα δὴ μὴ αἱ αὐταὶ ἔωσι τοῖσι Σικυωνίοισι καὶ τοῖσι Ἀργείοισι, μετέβαλε ἐς ἄλλα οὐνόματα. Ἔνθα καὶ πλεῖστον κατεγέλασε τῶν Σικυωνίων· ἐπὶ γὰρ ὑός τε καὶ ὄνου τὰς ἐπωνυμίας μετατιθεὶς αὐτὰ τὰ τελευταῖα ἐπέθηκε, πλὴν τῆς ἑωυτοῦ φυλῆς· ταύτῃ δὲ τὸ οὔνομα ἀπὸ τῆς ἑωυτοῦ ἀρχῆς ἔθετο. Οὗτοι μὲν δὴ Ἀρχέλαοι ἐκαλεῦντο, ἕτεροι δὲ Ὑᾶται, ἄλλοι δὲ Ὀνεᾶται, ἕτεροι δὲ Χοιρεᾶται. (2) Τούτοισι τοῖσι οὐνόμασι τῶν φυλέων ἐχρέοντο οἱ Σικυώνιοι καὶ ἐπὶ Κλεισθένεος ἄρχοντος καὶ ἐκείνου τεθνεῶτος ἔτι ἐπ' ἔτεα ἑξήκοντα· μετέ-

sacra faciunt. (2) Hi viri inter se de principatu contendebant. Qui superabatur ab æmulo Clisthenes plebis favorem sibi conciliabat: et deinde, quum in quattuor tribus distributi fuissent Athenienses, decem tribus constituit; mutatisque nominibus, quæ ab Ionis filiis, Geleonte et Ægicore et Argada et Hoplete, erant desumpta, ab indigenis heroibus eas denominavit, uno Ajace excepto; quem, ut vicinum et socium, quamquam peregrinum, adjecit.

LXVII. Qua in re, ut mihi videtur, Clisthenes hic avum suum maternum imitatus est, Clisthenem Sicyonis tyrannum. (2) Ille enim, quum bellum gereret cum Argivis, primum rhapsodos vetuit Sicyone inter se decertare, propter Homerica carmina, quoniam in illis ubique fere nonnisi Argivi et Argos celebrantur: deinde, quum esset in foro Sicyoniorum (et est hodieque) ædes Adrasto, Talai filio, tamquam heroi, consecrata, hunc Clisthenes, quippe Argivum, sede sua ejectum cupiebat. (3) Itaque Delphos profectus, consuluit oraculum, an ejiceret Adrastum. Cui Pythia respondit, Adrastum regem esse Sicyoniorum, ipsum vero lapidatorem. Postquam Deus ei hanc potestatem non fecit, domum reversus excogitavit rationem qua Adrastus ipse demigraret. (4) Quam rationem ubi reperisse visus est, Thebas Bœotias misit, dicens velle se Melanippum, Astaci filium, deducere Sicyonem: et permiserunt Thebani. Tum Clisthenes Melanippo Sicyonem deducto templum dedicavit in ipso prytaneo, ipsumque ibi in loco munitissimo statuit. (5) Melanippum autem arcessiverat Clisthenes (nam et hoc me declarare oportet), ut qui inimicissimus fuisset Adrasto, quippe cujus fratrem interfecisset Mecisteum, et Tydeum generum. (6) Huic postquam templum dedicavit, sacrificia et solennia Adrasto adempta eidem Melanippo attribuit. Consueverant autem Sicyonii magnifice admodum honorare Adrastum. Fuerat enim hæc regio Polybi, Adrastus autem Polybi ex filia nepos fuit: qui quum sine liberis decederet, tradidit Adrasto regnum. (7) Adrastum autem quum aliis honoribus colebant Sicyonii, tum calamitates ejus tragicis choris celebrabant, non Bacchum, sed Adrastum colentes. (8) Clisthenes vero choros Baccho tribuit, reliquam vero solennitatem Melanippo. Hoc modo cum Adrasto egit Clisthenes.

LXVIII. Idem vero tribuum Doriensium nomina mutavit, ne scilicet eædem Sicyoniis atque Argivis tribus essent. Atque id agens, maxime derisui habuit Sicyonios: quippe nova nomina a sue et asino desumens, terminationem solam pristinarum tribuum adjecit, sua tribu excepta, cui de suo imperio nomen imposuit: hos enim Archelaos nominavit; reliquorum autem alios Hyatas, alios Onatas, alios Chœreatas. (2) Quibus nominibus tribuum usi sunt Sicyonii non solum quoad regnavit Clisthenes, verum etiam post illius obitum sexaginta adhuc annis: deinde tamen,

πειτεν μέντοι λόγον σφίσι δόντες μετέβαλον ἐς τους Ὑλλέας καὶ Παμφύλους καὶ Δυμανάτας, τετάρτους δὲ αὐτοῖσι προσέθεντο ἐπὶ τοῦ Ἀδρήστου παιδὸς Αἰγιαλέος τὴν ἐπωνυμίην ποιεύμενοι κεκλῆσθαι Αἰγιαλέας.

LXIX. Ταῦτα μέν νυν ὁ Σικυώνιος Κλεισθένης ἐπεποιήκεε· ὁ δὲ δὴ Ἀθηναῖος Κλεισθένης ἐὼν τοῦ Σικυωνίου τούτου θυγατριδέος καὶ τὸ οὔνομα ἐπὶ τούτου ἔχων, δοκέειν ἐμοὶ καὶ οὗτος ὑπεριδὼν Ἴωνας, ἵνα μὴ σφίσι αἱ αὐταὶ ἔωσι φυλαὶ καὶ Ἴωσι, τὸν δμώνυμον Κλεισθένεα ἐμιμήσατο. (2) Ὡς γὰρ δὴ τὸν Ἀθηναίων δῆμον πρότερον ἀπωσμένον τότε πάντα πρὸς τὴν ἑωυτοῦ μοῖραν προσεθήκατο, τὰς φυλὰς μετωνόμασε καὶ ἐποίησε πλεῦνας ἐξ ἐλασσόνων· δέκα τε δὴ φυλάρχους ἀντὶ τεσσέρων ἐποίησε, δέκα δὲ καὶ τοὺς δήμους κατένεμε ἐς τὰς φυλάς· ἦν τε τὸν δῆμον προσθέμενος πολλῷ κατύπερθε τῶν ἀντιστασιωτέων.

LXX. Ἐν τῷ μέρεϊ δὲ ἐσσούμενος ὁ Ἰσαγόρης ἀντιτεχνᾶται τάδε· ἐπικαλέεται Κλεομένεα τὸν Λακεδαιμόνιον γενόμενον ἑωυτῷ ξεῖνον ἀπὸ τῆς Πεισιστρατιδέων πολιορκίης. (2) Τὸν δὲ Κλεομένεα εἶχε αἰτίη φοιτᾶν παρὰ τοῦ Ἰσαγόρεω τὴν γυναῖκα. Τὰ μὲν δὴ πρῶτα πέμπων ὁ Κλεομένης ἐς τὰς Ἀθήνας κήρυκα ἐξέβαλλε Κλεισθένεα καὶ μετ' αὐτοῦ ἄλλους πολλοὺς Ἀθηναίων, τοὺς ἐναγέας ἐπιλέγων. (3) Ταῦτα δὲ πέμπων ἔλεγε ἐκ διδαχῆς τοῦ Ἰσαγόρεω· οἱ μὲν γὰρ Ἀλκμεωνίδαι καὶ οἱ συστασιῶται αὐτῶν εἶχον αἰτίην τοῦ φόνου τούτου, αὐτὸς δὲ οὐ μετεῖχε, οὐδ' οἱ φίλοι αὐτοῦ.

LXXI. Οἱ δ' ἐναγέες Ἀθηναίων ὧδε ὠνομάσθησαν· ἦν Κύλων τῶν Ἀθηναίων ἀνὴρ Ὀλυμπιονίκης· οὗτος ἐπὶ τυραννίδι ἐκόμησε, προσποιησάμενος δὲ ἑταιρηίην τῶν ἡλικιωτέων καταλαβέειν τὴν ἀκρόπολιν ἐπειρήθη, οὐ δυνάμενος δὲ ἐπικρατῆσαι ἱκέτης ἵζετο πρὸς τῶγαλμα. (2) Τούτους ἀνιστέασι μὲν οἱ πρυτάνιες τῶν ναυκράρων, οἵπερ ἔνεμον τότε τὰς Ἀθήνας, ὑπεγγύους πλὴν θανάτου· φονεῦσαι δὲ αὐτοὺς αἰτίη ἔχει Ἀλκμεωνίδας. Ταῦτα πρὸ τῆς Πεισιστράτου ἡλικίης ἐγένετο.

LXXII. Κλεομένης δὲ ὡς πέμπων ἐξέβαλλε Κλεισθένεα καὶ τοὺς ἐναγέας, Κλεισθένης μὲν αὐτὸς ὑπεξέσχε· μετὰ δὲ οὐδὲν ἔσσον παρῆν ἐς τὰς Ἀθήνας ὁ Κλεομένης, οὐ σὺν μεγάλῃ χειρὶ, ἀπικόμενος δὲ ἀγηλατέει ἑπτακόσια ἐπίστια Ἀθηναίων, τά οἱ ὑπέθετο ὁ Ἰσαγόρης. (2) Ταῦτα δὲ ποιήσας δεύτερα τὴν βουλὴν καταλύειν ἐπειρᾶτο, τριηκοσίοισι δὲ τοῖσι Ἰσαγόρεω στασιώτῃσι τὰς ἀρχὰς ἐνεχείριζε. Ἀντισταθείσης δὲ τῆς βουλῆς καὶ οὐ βουλομένης πείθεσθαι ὅ τε Κλεομένης καὶ ὁ Ἰσαγόρης καὶ οἱ στασιῶται αὐτοῦ καταλαμβάνουσι τὴν ἀκρόπολιν. (3) Ἀθηναίων δὲ οἱ λοιποὶ τὰ αὐτὰ φρονήσαντες ἐπολιόρκεον αὐτοὺς ἡμέρας δύο· τῇ δὲ τρίτῃ ὑπόσπονδοι ἐξέρχονται ἐκ τῆς χώρης ὅσοι ἔσαν αὐτῶν Λακεδαιμόνιοι. (4) Ἐπετελέετο δὲ τῷ Κλεομένεϊ ἡ φήμη· ὡς γὰρ ἀνέβη ἐς τὴν ἀκρόπολιν μέλλων δὴ αὐτὴν κατασχήσειν, ἦϊε ἐς τὸ ἄδυτον τῆς θεοῦ ὡς προσερέων· ἡ δὲ Ἱρεια ἐξαναστᾶσα ἐκ τοῦ

re deliberata, mutarunt ea, et alios Hyllæos, alios Pamphylos, alios Dymanatas nominarunt : quartæ vero tribus nomen ab Ægialeo desumpserunt, Adrasti filio, tribulesque Ægialeas adpellarunt.

LXIX. Hæc Sicyonius Clisthenes fecerat. Atheniensis autem Clisthenes, Sicyonii ex filia nepos, qui nomen etiam ab illo erat nactus, hic itidem per contemtum (ut mihi videtur) Ionum, ne eadem Atheniensibus atque Ionibus tribuum nomina essent, cognominem Clisthenem est imitatus. (2) Postquam enim plebem omnem Atheniensium, prius a se alienatam, tum suas ad partes traduxerat, tribuum mutavit nomina, et numerum illarum auxit : decem etiam, quum quattuor fuissent, constituit phylarchas, et per decem tribus distribuit demos (*sive* curias) omnes Atheniensium. Eratque, plebe suis partibus adjecta, longe potentior quam adversarii.

LXX. Vicissim igitur ab illo superatus Isagoras hæc contra molitur : Cleomenem advocat Lacedæmonium, qui hospes ipsi factus erat inde ab obsidione Pisistratidarum : (2) quem quidem fama ferebat consuetudinem tunc habuisse cum uxore Isagoræ. Primum igitur Cleomenes, præcone Athenas misso, Clisthenem urbe ejecit, multosque cum eo alios Athenienses, hos dicens qui essent *enagees* (*id est*, piaculo contaminati). (3) Hæc autem per nuncium edixit, ab Isagora edoctus : habebant enim quidem Alcmeonidæ, et hi qui eorumdem erant partium, culpam commissæ cædis; at ipse Clisthenes ejusque amici non fuerant cædis participes.

LXXI. Enagees autem dicti sunt nonnulli ex Atheniensibus hac de caussa : fuit Cylon, civis Atheniensis, olympicorum certaminum victor : is cristas tollens, consilium inierat occupandæ tyrannidis; comparatisque sibi sociis ex æqualium numero, arcem occupare conatus est : quam quum obtinere non posset, supplex ad deæ imaginem consedit. (2) Hos homines igitur surgere inde jusserunt prytanes Naucrarorum, qui tunc civitatem administrabant, fide data punitum eos iri citra mortem; attamen occisi hi sunt culpa Alcmeonidarum. Sed hæc gesta sunt ante Pisistrati ætatem.

LXXII. Postquam Cleomenes, misso præcone, ejiciendos urbe Clisthenem et piaculo contaminatos edixit, unus Clisthenes ultro excessit. Deinde vero nihilo minus Athenas venit Cleomenes, non quidem cum magna manu : quo ubi pervenit, septingentas familias urbe ejecit, quas ei Isagoras indicaverat. (2) Quo facto, deinde senatum conatus est dissolvere, et trecentis civibus de Isagoræ factione tradidit magistratus. Quum vero resisteret senatus et imperio nollet parere, Cleomenes et Isagoras cum suarum partium civibus arcem occupant. (3) Et cæteri Athenienses, cum senatu sentientes, per biduum illos obsederunt : tertio vero die, deditione facta, Attica excessere quotquot eorum Lacedæmonii erant. (4) Atque ita implebatur Cleomeni ominosum quod acceperat dictum : nam quum in arcem, occupaturus illam, adscendisset, ad penetrale deæ accesserat, consulturus eam : at sacerdos de sella surgens,

θρόνου, πρὶν ἢ τὰς θύρας αὐτὸν ἀμεῖψαι, εἶπε, « ὦ ξεῖνε Λακεδαιμόνιε, πάλιν χώρεε μηδ' ἔσιθι ἐς τὸ ἱρόν· οὐ γὰρ θεμιτὸν Δωριεῦσι παριέναι ἐνθαῦτα. » (5) Ὁ δὲ εἶπε, « ὦγύναι, ἀλλ' οὐ Δωριεύς εἰμι, ἀλλ' Ἀχαιός. » Ὁ μὲν δὴ τῇ κληδόνι οὐδὲν χρεώμενος ἐπεχείρησέ τε καὶ τότε πάλιν ἐξέπιπτε μετὰ τῶν Λακεδαιμονίων· τοὺς δὲ ἄλλους Ἀθηναῖοι κατέδησαν τὴν ἐπὶ θανάτῳ, ἐν δὲ αὐτοῖσι καὶ Τιμησίθεον τὸν Δελφὸν, τοῦ ἔργα χειρῶν τε καὶ λήματος ἔχοιμ' ἂν μέγιστα καταλέξαι. Οὗτοι μέν νυν δεδεμένοι ἐτελεύτησαν.

LXXIII. Ἀθηναῖοι δὲ μετὰ ταῦτα Κλεισθένεα καὶ τὰ ἑπτακόσια ἐπίστια τὰ διωχθέντα ὑπὸ Κλεομένεος μεταπεμψάμενοι πέμπουσι ἀγγέλους ἐς Σάρδις, συμμαχίην βουλόμενοι ποιήσασθαι πρὸς Πέρσας· ἠπιστέατο γάρ σφι Λακεδαιμονίους τε καὶ Κλεομένεα ἐκπεπολεμῶσθαι. (2) Ἀπικομένων δὲ τῶν ἀγγέλων ἐς τὰς Σάρδις καὶ λεγόντων τὰ ἐντεταλμένα, Ἀρταφέρνης ὁ Ὑστάσπεος Σαρδίων ὕπαρχος ἐπειρώτα τίνες ἐόντες ἄνθρωποι καὶ κῇ γῆς οἰκημένοι δεοίατο Περσέων σύμμαχοι γενέσθαι, πυθόμενος δὲ πρὸς τῶν ἀγγέλων ἀπεκορύφου σφι τάδε· (3) εἰ μὲν διδοῦσι βασιλέϊ Δαρείῳ Ἀθηναῖοι γῆν τε καὶ ὕδωρ, ὁ δὲ συμμαχίην σφι συνετίθετο, εἰ δὲ μὴ διδοῦσι, ἀπαλλάσσεσθαι αὐτοὺς ἐκέλευε. Οἱ δὲ ἄγγελοι ἐπὶ σφέων αὐτῶν βαλόμενοι διδόναι ἔφασαν, βουλόμενοι τὴν συμμαχίην ποιήσασθαι. Οὗτοι μὲν δὴ ἀπελθόντες ἐς τὴν ἑωυτῶν αἰτίας μεγάλας ἔσχον.

LXXIV. Κλεομένης δὲ ἐπιστάμενος περιυβρίσθαι ἔπεσι καὶ ἔργοισι ὑπ' Ἀθηναίων συνέλεγε ἐκ πάσης Πελοποννήσου στρατὸν, οὐ φράζων ἐς τὸ συλλέγει, τίσασθαί τε ἐθέλων τὸν δῆμον τῶν Ἀθηναίων καὶ Ἰσαγόρεα βουλόμενος τύραννον καταστῆσαι· συνεξῆλθε γάρ οἱ οὗτος ἐκ τῆς ἀκροπόλιος. (2) Κλεομένης τε δὴ στόλῳ μεγάλῳ ἐσέβαλε ἐς Ἐλευσῖνα, καὶ οἱ Βοιωτοὶ ἀπὸ συνθήματος Οἰνόην αἱρέουσι καὶ Ὑσιὰς, δήμους τοὺς ἐσχάτους τῆς Ἀττικῆς, Χαλκιδέες τε ἐπὶ τὰ ἕτερα ἐσίνοντο ἐπιόντες χώρους τῆς Ἀττικῆς. (3) Ἀθηναῖοι δὲ, καίπερ ἀμφιβολίῃ ἐχόμενοι, Βοιωτῶν μὲν καὶ Χαλκιδέων ἐσύστερον ἔμελλον μνήμην ποιήσεσθαι, Πελοποννησίοισι δὲ ἐοῦσι ἐν Ἐλευσῖνι ἀντία ἔθεντο τὰ ὅπλα.

LXXV. Μελλόντων δὲ συνάψειν τὰ στρατόπεδα ἐς μάχην, Κορίνθιοι μὲν πρῶτοι σφίσι αὐτοῖσι δόντες λόγον ὡς οὐ ποιέοιεν τὰ δίκαια μετεβάλλοντό τε καὶ ἀπαλλάσσοντο, μετὰ δὲ Δημάρητος ὁ Ἀρίστωνος, ἐὼν καὶ οὗτος βασιλεὺς Σπαρτιητέων, καὶ συνεξαγαγών τε τὴν στρατιὴν ἐκ Λακεδαίμονος καὶ οὐκ ἐὼν διάφορος ἐν τῷ πρόσθε χρόνῳ Κλεομένεϊ. (2) Ἀπὸ δὲ ταύτης τῆς διχοστασίης ἐτέθη νόμος ἐν Σπάρτῃ μὴ ἐξεῖναι ἕπεσθαι ἀμφοτέρους τοὺς βασιλέας ἐξιούσης τῆς στρατιῆς· τέως γὰρ ἀμφότεροι εἵποντο· παραλυομένου δὲ τούτων τοῦ ἑτέρου καταλείπεσθαι καὶ τῶν Τυνδαριδέων τὸν ἕτερον· πρὸ τοῦ γὰρ δὴ καὶ οὗτοι ἀμφότεροι ἐπίκλητοί σφι ἐόντες εἵποντο. (3) Τότε δὴ ἐν τῇ Ἐλευσῖνι δρέοντες οἱ λοι-

priusquam ille per januam intrasset, dixit : « Retrogredere, hospes Lacedæmonie, nec in hoc templum pedem pone : nefas est enim Doriensibus huc intrare. » (5) Cui ille respondit : « At non Doriensis sum, o mulier, sed Achæus. » Igitur, quum spreto omine exsequi consilium esset adgressus, tunc rursus excidit cum Lacedæmoniis. Reliquos vero in vincula conjecerunt Athenienses, morti destinatos; et in his Timesitheum Delphensem, cujus viri opera manuum (*victorias Pythicas et Olympicas*) fortisque animi maxima possem commemorare. Et hi quidem in vinculis mortui sunt.

LXXIII. Post hæc Athenienses, revocato Clisthene et septingentis illis familiis, quæ a Cleomene patria erant pulsæ, Sardes legatos miserunt, cupientes cum Persis contrahere societatem : intellexerant enim, bellum sibi imminere cum Lacedæmoniis et Cleomene. (2) Postquam Sardes advenere legati, et mandata exposuere, quæsivit Artaphernes, Hystaspis filius, præfectus Sardium, quinam homines essent, et ubi terrarum habitarent, qui Persarum peterent societatem. Quod ubi ex legatis cognovit, brevibus verbis eos ita expedivit : (3) si regi Dario Athenienses terram traderent et aquam, societatem illis pollicitus est : si non traderent, abire illos jussit. Tum legati, re privatim inter se deliberata, tradere se, dixerunt; scilicet cupientes contrahi societatem. At hi, quum domum rediissent, gravem culpam sustinuerunt.

LXXIV. Cleomenes, quum se et verbis et factis contumeliose ab Atheniensibus acceptum existimaret, ex universa Peloponneso contraxit exercitum, quo consilio contrahat non dicens; sed pœnas sumere de populo Atheniensium cupiens, et Isagoram constituere tyrannum : hic enim cum illo ex arce Athenarum erat egressus. (2) Dum igitur ingenti cum exercitu Cleomenes Eleusinem invadit, per idem tempus Bœoti ex composito capiunt Œnoen et Hysias, extremos Atticæ pagos; et Chalcidenses ab alia parte Atticam ingressi regionem vastabant. (3) Tum Athenienses, quamquam ancipite pressi periculo, Bœotorum et Chalcidensium ultione in aliud tempus dilata, Peloponnesiis, quippe qui jam Eleusine erant, arma opposuerunt.

LXXV. Quum vero jam in eo essent utrimque exercitus ut ad manus venirent, ibi primum Corinthii, reputantes secum injuste se facere, retro conversi abscesserunt : deinde idem fecit Demaratus, Aristonis filius, qui et ipse rex erat Lacedæmoniorum, et una cum Cleomene exercitum eduxerat Lacedæmone, neque superiore tempore cum illo discordaverat. (2) Ab hoc vero dissidio facta lex est Spartæ, ne ambo reges, exeunte exercitu, castra sequerentur : adhuc enim ambo sequi consueverant : altero autem vacante a militia, alterum etiam Tyndaridarum domi relinqui; nam ante id tempus hi ambo, tamquam auxiliares, secuti erant. (3) Tunc igitur reliqui socii, qui Eleusine

ποὶ τῶν συμμάχων τούς τε βασιλέας τῶν Λακεδαιμονίων οὐκ ὁμολογέοντας καὶ Κορινθίους ἐκλιπόντας τὴν τάξιν, οἴχοντο καὶ αὐτοὶ ἀπαλλασσόμενοι.

LXXVI. Τέταρτον δὴ τοῦτο ἐπὶ τὴν Ἀττικὴν ἀπικόμενοι Δωριέες, δίς τε ἐπὶ πολέμῳ ἐσβαλόντες καὶ δὶς ἐπ' ἀγαθῷ τοῦ πλήθεος τοῦ Ἀθηναίων, πρῶτον μὲν ὅτε καὶ Μέγαρα κατοίκισαν (οὗτος ὁ στόλος ἐπὶ Κόδρου βασιλεύοντος Ἀθηναίων ὀρθῶς ἂν καλέοιτο), δεύτερον δὲ καὶ τρίτον ὅτε ἐπὶ Πεισιστρατιδέων ἐξέλασιν ὁρμηθέντες ἐκ Σπάρτης ἀπίκοντο, τέταρτον δὲ τότε ὅτε ἐς Ἐλευσῖνα Κλεομένης ἄγων Πελοποννησίους ἐσέβαλε· οὕτω τέταρτον τότε Δωριέες ἐσέβαλον ἐς Ἀθήνας.

LXXVII. Διαλυθέντος ὧν τοῦ στόλου τούτου ἀκλεῶς, ἐνθαῦτα Ἀθηναῖοι τίνυσθαι βουλόμενοι πρῶτα στρατηίην ποιεῦνται ἐπὶ Χαλκιδέας. Βοιωτοὶ δὲ τοῖσι Χαλκιδεῦσι βωθέουσι ἐπὶ τὸν Εὔριπον. (2) Ἀθηναίοισι δὲ ἰδοῦσι τοὺς βοηθοὺς ἔδοξε πρότερον τοῖσι Βοιωτοῖσι ἢ τοῖσι Χαλκιδεῦσι ἐπιχειρέειν. Συμβάλλουσί τε δὴ τοῖσι Βοιωτοῖσι οἱ Ἀθηναῖοι καὶ πολλῷ ἐκράτησαν, κάρτα δὲ πολλοὺς φονεύσαντες ἑπτακοσίους αὐτῶν ἐζώγρησαν. (3) Τῆς δὲ αὐτῆς ταύτης ἡμέρης οἱ Ἀθηναῖοι διαβάντες ἐς τὴν Εὔβοιαν συμβάλλουσι καὶ τοῖσι Χαλκιδεῦσι, νικήσαντες δὲ καὶ τούτους τετρακισχιλίους κληρούχους ἐπὶ τῶν ἱπποβοτέων τῇ χώρῃ λείπουσι· οἱ δ' ἱπποβόται ἐκαλεῦντο οἱ παχέες τῶν Χαλκιδέων. (4) Ὅσους δὲ καὶ τούτων ἐζώγρησαν, ἅμα τοῖσι Βοιωτῶν ἐζωγρημένοισι εἶχον ἐν φυλακῇ, ἐν πέδαις δήσαντες· χρόνῳ δὲ ἐλυσάν σφεας διμνέως ἀποτιμησάμενοι. Τὰς δὲ πέδας αὐτῶν, ἐν τῇσι ἐδεδέατο, ἀνεκρέμασαν ἐς τὴν ἀκρόπολιν· αἵπερ ἔτι καὶ ἐς ἐμὲ ἔσαν περιεοῦσαι, κρεμάμεναι ἐκ τειχέων περιπεφλευσμένων πυρὶ ὑπὸ τοῦ Μήδου, ἀντίον δὲ τοῦ μεγάρου τοῦ πρὸς ἑσπέρην τετραμμένου. (5) Καὶ τῶν λύτρων τὴν δεκάτην ἀνέθηκαν, ποιησάμενοι τέθριππον χάλκεον· τὸ δὲ ἀριστερῆς χερὸς ἕστηκε πρῶτον ἐσιόντι ἐς τὰ προπύλαια τὰ ἐν τῇ ἀκροπόλι· ἐπιγέγραπται δέ οἱ τάδε,

Ἔθνεα Βοιωτῶν καὶ Χαλκιδέων δαμάσαντες
παῖδες Ἀθηναίων ἔργμασιν ἐν πολέμου,
δεσμῷ ἐν ἀχλυόεντι σιδηρέῳ ἔσβεσαν ὕβριν·
τῶν ἵππους δεκάτην Παλλάδι τάσδ' ἔθεσαν.

LXXVIII. Ἀθηναῖοι μέν νυν ηὔξηντο· δηλοῖ δὲ οὐ κατ' ἓν μοῦνον, ἀλλὰ πανταχῇ ἡ ἰσηγορίη ὡς ἐστὶ χρῆμα σπουδαῖον, εἰ καὶ Ἀθηναῖοι τυραννευόμενοι μὲν οὐδαμῶν τῶν σφέας περιοικεόντων ἔσαν τὰ πολέμια ἀμείνους, ἀπαλλαχθέντες δὲ τυράννων μακρῷ πρῶτοι ἐγένοντο. (2) Δηλοῖ ὧν ταῦτα ὅτι κατεχόμενοι μὲν ἠθελοκάκεον ὡς δεσπότῃ ἐργαζόμενοι, ἐλευθερωθέντων δὲ αὐτὸς ἕκαστος ἑωυτῷ προεθυμέετο κατεργάζεσθαι.

LXXIX. Οὗτοι μέν νυν ταῦτα ἔπρησσον, Θηβαῖοι δὲ μετὰ ταῦτα ἐς θεὸν ἔπεμπον, βουλόμενοι τίσασθαι Ἀθηναίους. Ἡ δὲ Πυθίη ἀπὸ σφέων μὲν αὐτῶν οὐκ ἔφη αὐτοῖσι εἶναι τίσιν, ἐς πολύφημον δὲ ἐξενείκαντας ἐκέλευε τῶν ἄγχιστα δέεσθαι. (2) Ἀπελθόντων δὲ ὧν τῶν θεοπρόπων ἐξέφερον τὸ χρηστήριον ἁλίην ποιησάμενοι τῶν συμμάχων τούς τε βασιλέας τῶν Λακεδαιμονίων οὐκ ὁμολογέοντας καὶ Κορινθίους ἐκλιπόντας τὴν τάξιν, οἴχοντο καὶ αὐτοὶ ἀπαλλασσόμενοι.

erant, reges dissidere videntes, et Corinthios relinquere stationem, etiam ipsi converso agmine discessere.

LXXVI. Quarta hæc est expeditio, quam in Atticam suscepere Dorienses : bis enim hostiliter eam sunt ingressi, bis vero commodi caussa populi Atheniensis. Primo quidem loco, quum Megara colonis frequentarunt (nam hæc expeditio, Codro regnante Athenis suscepta, prima merito nominabitur) : iterum vero, atque tertio, quando ad ejiciendos Pisistratidas ex Sparta advenerunt : quarto tunc, quum Peloponnesios ducens Cleomenes, Eleusinem invasit. Ita tunc quarta vice Dorienses Athenas invaserunt.

LXXVII. Postquam inglorium hunc exitum habuit ista expeditio, tunc Athenienses, pœnas de Chalcidensibus sumturi, primum adversus hos arma moverunt : Chalcidensibus vero Bœroti opem laturi ad Euripum properarunt. (2) Quos ubi conspicati sunt Athenienses, Bœotos prius quam Chalcidenses adgredi placuit. Pugna cum Bœotis commissa, insignem victoriam Athenienses reportarunt, plurimis eorum occisis, et septingentis captis. (3) Deinde eodem die in Eubœam transgressi Athenienses cum Chalcidensibus etiam pugnam committunt : quibus et ipsis prælio victis, quater mille colonos in hippobotarum prædiis relinquunt : hippobotæ autem (*id est*, qui equos alunt) vocantur apud Chalcidenses homines locupletes. (4) Quotquot ex Chalcidensibus vivos ceperant Athenienses, perinde atque Bœotos, in custodia habuerunt, compedibus vinctos. Interjecto vero tempore eosdem manumiserunt, binis minis æstimatos : compedes autem, quibus isti vincti fuerant, suspenderunt in acropoli; quæ ad meam usque ætatem ibi superfuerunt, e muro pendentes a Medis ambusto, qui est ex adverso ædis occidentem spectantis. (5) Pretii autem redemptionis decimam consecrarunt, ex illaque quadrigam conficiendam curarunt æneam, quæ a sinistra stat primum ingredienti in propylæa quæ sunt in acropoli. Est autem in illa inscriptio hæc :

Attica perdomitis acri sub Marte juventus
Bœotis populis Chalcidicaque manu,
damna rependerunt vinclis et carcere cæco,
quorum hæ de decima stant tibi, Pallas, equæ.

LXXVIII. Auctæ igitur erant Athenarum opes. Adparet autem, non hoc uno exemplo, sed ubique, quam præclara res sit juris æqualibitas. Nam et Athenienses, quamdiu sub tyrannis erant, nullis ex finitimis populis bello fuerunt superiores; tyrannis autem liberati, longe primi evaserunt. (2) Quæ res declarat, quoad tyrannide erant pressi, ultro illos minus fortiter rem gessisse, quippe pro domino laborantes : postquam vero in libertatem sunt restituti, unusquisque pro se ipse studiose dabat operam ut recte rem gereret.

LXXIX. In hoc igitur statu res Atheniensium erat. Thebani vero, ultionem sumpturi de Atheniensibus, Delphos miserunt qui deum consulerent. Quibus Pythia respondit, per se non posse illos ultionem capere; sed rem ad clamosum (*populum*) referre jussit, et proximos rogare. (2) Legati domum reversi, convocata populi concione, re-

μενοι· ὡς ἐπυνθάνοντο δὲ λεγόντων αὐτῶν τῶν ἄγχιστα δέεσθαι, εἶπαν οἱ Θηβαῖοι ἀκούσαντες τούτων, « οὐκῶν ἄγχιστα ἡμέων οἰκέουσι Ταναγραῖοί τε καὶ Κορωναῖοι καὶ Θεσπιέες, καὶ οὗτοί γε ἅμα ἡμῖν αἰεὶ μαχόμενοι προθύμως συνδιαφέρουσι τὸν πόλεμον· τί δεῖ τούτων γε δέεσθαι; ἀλλὰ μᾶλλον μὴ οὐ τοῦτο ᾖ τὸ χρηστήριον. »

LXXX. Τοιαῦτα ἐπιλεγομένων εἶπε δή κοτε μαθών τις, « ἐγώ μοι δοκέω συνιέναι τὸ ἐθέλει λέγειν ἡμῖν τὸ μαντήϊον. Ἀσωποῦ λέγονται γενέσθαι θυγατέρες Θήβη τε καὶ Αἴγινα· τούτων ἀδελφέων ἐουσέων, δοκέω ἡμῖν Αἰγινητέων δέεσθαι τὸν θεὸν χρῆσαι τιμωρητήρων γενέσθαι. » (2) Καὶ οὐ γάρ τις ταύτης ἀμείνων γνώμη ἐδόκεε φαίνεσθαι, αὐτίκα πέμψαντες ἐδέοντο Αἰγινητέων, ἐπικαλεύμενοι κατὰ τὸ χρηστήριον σφι βωθέειν, ὡς ἐόντων ἀγχιστέων. Οἱ δέ σφι αἰτέουσι ἐπικουρίην τοὺς Αἰακίδας συμπέμπειν ἔφασαν.

LXXXI. Πειρησαμένων δὲ τῶν Θηβαίων κατὰ τὴν συμμαχίην τῶν Αἰακιδέων καὶ τρηχέως περιεφθέντων ὑπὸ Ἀθηναίων, αὖτις οἱ Θηβαῖοι πέμψαντες τοὺς μὲν Αἰακίδας σφι ἀπεδίδοσαν, τῶν δὲ ἀνδρῶν ἐδέοντο. (2) Αἰγινῆται δὲ εὐδαιμονίῃ τε μεγάλῃ ἐπαρθέντες καὶ ἔχθρης παλαιῆς ἀναμνησθέντες ἐχούσης ἐς Ἀθηναίους, τότε Θηβαίων δεηθέντων πόλεμον ἀκήρυκτον Ἀθηναίοισι ἐπέφερον· ἐπικειμένων γὰρ αὐτῶν Βοιωτοῖσι, ἐπιπλώσαντες μακρῇσι νηυσὶ ἐς τὴν Ἀττικὴν κατὰ μὲν ἔσυραν Φάληρον, κατὰ δὲ τῆς ἄλλης παραλίης πολλοὺς δήμους, ποιεῦντες δὲ ταῦτα μεγάλως Ἀθηναίους ἐσίνοντο.

LXXXII. Ἡ δὲ ἔχθρη ἡ προοφειλομένη ἐς Ἀθηναίους ἐκ τῶν Αἰγινητέων ἐγένετο ἐξ ἀρχῆς τοιῆσδε. Ἐπιδαυρίοισι ἡ γῆ καρπὸν οὐδένα ἀνεδίδου. Περὶ ταύτης ὦν τῆς συμφορῆς οἱ Ἐπιδαύριοι ἐχρέοντο ἐν Δελφοῖσι· ἡ δὲ Πυθίη σφέας ἐκέλευε Δαμίης τε καὶ Αὐξησίης ἀγάλματα ἱδρύσασθαι καί σφι ἱδρυσαμένοισι ἄμεινον συνοίσεσθαι. (2) Ἐπειρώτεον ὦν οἱ Ἐπιδαύριοι κότερα χαλκοῦ ποιέωνται τὰ ἀγάλματα ἢ λίθου· ἡ δὲ Πυθίη οὐδέτερα τούτων ἔα, ἀλλὰ ξύλου ἡμέρης ἐλαίης. Ἐδέοντο ὦν οἱ Ἐπιδαύριοι Ἀθηναίων ἐλαίην σφι δοῦναι ταμέσθαι, ἱροτάτας δὴ ἐκείνας νομίζοντες εἶναι· λέγεται δὲ καὶ ὡς ἐλαῖαι ἔσαν ἄλλοθι γῆς οὐδαμοῦ κατ' ἐκεῖνον τὸν χρόνον ἢ ἐν Ἀθήνῃσι. (3) Οἱ δὲ ἐπὶ τοισίδε δώσειν ἔφασαν ἐπ' ᾧ ἀπάξουσι ἔτεος ἑκάστου τῇ Ἀθηναίῃ τε τῇ πολιάδι ἱρὰ καὶ τῷ Ἐρεχθέϊ. Καταινέσαντες δ' ἐπὶ τούτοισι οἱ Ἐπιδαύριοι τῶν τε ἐδέοντο ἔτυχον, καὶ ἀγάλματα ἐκ τῶν ἐλαιέων τούτων ποιησάμενοι ἱδρύσαντο· καὶ ἥ τε γῆ σφι ἔφερε, καὶ Ἀθηναίοισι ἐπετέλεον τὰ συνέθεντο.

LXXXIII. Τοῦτον δ' ἔτι τὸν χρόνον, καὶ πρὸ τοῦ, Αἰγινῆται Ἐπιδαυρίων ἦρχον, τά τε ἄλλα καὶ δίκας διαβαίνοντες ἐς Ἐπίδαυρον ἐδίδοσάν τε καὶ ἐλάμβανον παρ' ἀλλήλων οἱ Αἰγινῆται. Τὸ δὲ ἀπὸ τοῦδε νέας τε πηξάμενοι καὶ ἀγνωμοσύνῃ χρησάμενοι ἀπέστησαν ἀπὸ τῶν Ἐπιδαυρίων. (2) Ἅτε δὲ ἐόντες διάφοροι,

nunciant oraculi responsum. Tum Thebani, ubi ex his audiverunt proximos debere rogari, dixere : « Nimirum proximi a nobis habitant Tanagræi, et Coronæi, et Thespienses : atque hi constanter nobiscum pugnant, strenueque arma nobiscum usque sociant. Quid opus est hos rogare? Immo videndum ne hæc non fuerit oraculi sententia. »

LXXX. Ita dum hi inter se disceptant, postremo aliquis, re audita, ait : « Ego mihi videor intelligere quid velit oraculum. Asopi dicuntur filiæ fuisse Thebe et Ægina : hæ quum sint scrores, puto jubere nos deum ab Æginetis auxilia petere. » (2) Et Thebani, quum nulla ex sententiis, quæ dicebantur, hac potior esse videretur, protinus ad Æginetas miserunt, ex oraculi mandato auxilia ab illis petentes, ut qui sibi essent proximi. Petentibus Æginetæ tradentes Æacidarum imagines, responderunt, se eis Æacidas auxilio mittere.

LXXXI. Thebani vero, Æacidarum auxilio freti, quum bello lacessissent Athenienses, aspere ab illis sunt accepti. Itaque iterum ad Æginetas miserunt, Æacidas illis reddentes, et virorum petentes auxilia. (2) Tum Æginetæ, opum magnitudine elati, et veteris memores inimicitiæ, quæ cum Atheniensibus obtinebat, precibus Thebanorum adnuentes, bellum Atheniensibus non ante denuntiatum intulerunt. Nam dum hi Bœotis instabant, interim Æginetæ longis navibus in Atticam profecti, Phalerum diripiebant, multosque reliquæ regionis maritimæ pagos; et ingens Atheniensibus damnum inferebant.

LXXXII. Vetustum, quod dixi, Æginetarum adversus Athenienses odium hanc habuit originem. Epidauriorum terra fructum nullum ediderat. Quam ob calamitatem quum oraculum Delphicum consulerent Epidaurii, jussit eos Pythia Damiæ et Auxesiæ imagines statuere : id si fecissent, melius cum illis actum iri. (2) Sciscitabantur igitur Epidaurii, utrum æneas faciendas curarent statuas, an ligneas. Responditque Pythia, Neutrum horum; sed ex sativæ oleæ ligno. Igitur Epidaurii ab Atheniensibus veniam petunt oleam arborem cædendi, quod sanctissimas existimassent Atticas oleas : sunt etiam qui dicant, per id tempus nullibi terrarum oleas exstitisse, nisi Athenis. (3) Athenienses se illis potestatem facere dixerunt ea conditione, ut illi quotannis Minervæ Urbis Præsidi et Erechtheo victimas adferrent. In hanc conditionem consentientes Epidaurii, nacti sunt quod petierant, et statuas ex his oleis confectas posuerunt. Ac dehinc illis terra fructum ferebat, et ipsi Atheniensibus id, de quo inter eos convenerat, persolvebant.

LXXXIII. Erant per illud adhuc tempus, sicuti etiam antea, Æginetæ Epidauriorum imperio subjecti, quum aliis in rebus, tum lites suas coram judice disceptaturi Epidaurum trajicere tenebantur. Deinde vero, constructis navibus, virium fiducia ferocientes, ab Epidauriis defecerunt. (2) Jamque ut hostes, et qui mari essent potentes, vexabant illos :

ἐδηλέοντο αὐτοὺς ὥστε δὴ θαλασσοκράτορες ἐόντες, καὶ δὴ καὶ τὰ ἀγάλματα ταῦτα τῆς τε Δαμίης καὶ τῆς Αὐξησίης ὑπαιρέονται αὐτῶν, καί σφεα ἐκόμισάν τε καὶ ἱδρύσαντο τῆς σφετέρης χώρης ἐς τὴν μεσόγαιαν, τῇ Οἴη μέν ἐστι οὔνομα, στάδια δὲ μάλιστά κη ἀπὸ τῆς πόλιος ὡς εἴκοσι ἀπέχει. (3) Ἱδρυσάμενοι δὲ ἐν τούτῳ τῷ χώρῳ θυσίῃσί τέ σφεα καὶ χοροῖσι γυναικηίοισι κερτόμοισι ἱλάσκοντο, χορηγῶν ἀποδεικνυμένων ἑκατέρῃ τῶν δαιμόνων δέκα ἀνδρῶν· κακῶς δὲ ἠγόρευον οἱ χοροὶ ἄνδρα μὲν οὐδένα, τὰς δὲ ἐπιχωρίας γυναῖκας. Ἔσαν δὲ καὶ τοῖσι Ἐπιδαυρίοισι αἱ τοιαῦται ἱρουργίαι· εἰσὶ δέ σφι καὶ ἄρρητοι ἱρουργίαι.

LXXXIV. Κλεφθέντων δὲ τῶνδε τῶν ἀγαλμάτων οἱ Ἐπιδαύριοι τοῖσι Ἀθηναίοισι τὰ συνέθεντο οὐκ ἐπετέλεον. (2) Πέμψαντες δὲ οἱ Ἀθηναῖοι ἐμήνιον τοῖσι Ἐπιδαυρίοισι· οἱ δὲ ἀπέφαινον λόγῳ ὡς οὐκ ἀδικέοιεν· ὅσον μὲν γὰρ χρόνον εἶχον τὰ ἀγάλματα ἐν τῇ χώρῃ, ἐπιτελέειν τὰ συνέθεντο, ἐπεὶ δὲ ἐστερῆσθαι αὐτῶν, οὐ δίκαιοι εἶναι ἀποφέρειν ἔτι, ἀλλὰ τοὺς ἔχοντας αὐτὰ Αἰγινήτας πρήσσεσθαι ἐκέλευον. (3) Πρὸς ταῦτα Ἀθηναῖοι ἐς Αἴγιναν πέμψαντες ἀπαίτεον τὰ ἀγάλματα· οἱ δὲ Αἰγινῆται ἔφασαν σφίσι τε καὶ Ἀθηναίοισι εἶναι οὐδὲν πρῆγμα.

LXXXV. Ἀθηναῖοι μέν νυν λέγουσι μετὰ τὴν ἀπαίτησιν ἀποσταλῆναι τριήρεϊ μιῇ τῶν ἀστῶν τούτους οἳ ἀποπεμφθέντες ἀπὸ τοῦ κοινοῦ καὶ ἀπικόμενοι ἐς Αἴγιναν τὰ ἀγάλματα ταῦτα ὡς σφετέρων ξύλων ἐόντα ἐπειρέοντο ἐκ τῶν βάθρων ἐξανασπᾶν, ἵνα σφέα ἀνακομίσωνται. (2) Οὐ δυναμένους δὲ τούτῳ τῷ τρόπῳ αὐτῶν κρατῆσαι, περιβαλόντας σχοινία ἕλκειν τὰ ἀγάλματα, καί σφι ἕλκουσι βροντήν τε καὶ ἅμα τῇ βροντῇ σεισμὸν ἐπιγενέσθαι· τοὺς δὲ τριηρίτας τοὺς ἕλκοντας ὑπὸ τούτων ἀλλοφρονῆσαι, παθόντας δὲ τοῦτο κτείνειν ἀλλήλους ἅτε πολεμίους, ἐς ὃ ἐκ πάντων ἕνα λειφθέντα ἀνακομισθῆναι αὐτὸν ἐς Φάληρον.

LXXXVI. Ἀθηναῖοι μέν νυν οὕτω λέγουσι γενέσθαι· Αἰγινῆται δὲ οὐ μιῇ νηῒ ἀπικέσθαι Ἀθηναίους (μίαν μὲν γὰρ καὶ ὀλίγῳ πλεῦνας μιῆς, καὶ εἴ σφι μὴ ἔτυχον ἐοῦσαι νέες, ἀπαμύνασθαι ἂν εὐπετέως), ἀλλὰ πολλῇσι νηυσὶ ἐπιπλώειν σφι ἐπὶ τὴν χώρην, αὐτοὶ δέ σφι εἶξαι καὶ οὐ διαναυμαχῆσαι. (2) Οὐκ ἔχουσι δὲ τοῦτο διασημῆναι ἀτρεκέως, οὔτε εἰ ἔσσονες συγγινωσκόμενοι εἶναι τῇ ναυμαχίῃ κατὰ τοῦτο εἶξαν, οὔτε εἰ βουλόμενοι ποιῆσαι οἷόν τι καὶ ἐποίησαν. (3) Ἀθηναίους μέν νυν, ἐπείτε σφι οὐδεὶς ἐς μάχην κατίστατο, ἀποβάντας ἀπὸ τῶν νεῶν τράπεσθαι πρὸς τὰ ἀγάλματα, οὐ δυναμένους δὲ ἀνασπάσαι ἐκ τῶν βάθρων αὐτὰ οὕτω δὴ περιβαλομένους σχοινία ἕλκειν, ἐς ὃ ἑλκόμενα τὰ ἀγάλματα ἀμφότερα τὠυτὸ ποιῆσαι, ἐμοὶ μὲν οὐ πιστὰ λέγοντες, ἄλλῳ δέ τεῳ· ἐς γούνατα γάρ σφι αὐτὰ πεσέειν, καὶ τὸν ἀπὸ τούτου χρόνον διατελέειν οὕτω ἔχοντα. (4) Ἀθηναίους μὲν δὴ ταῦτα ποιέειν· σφέας δὲ Αἰγινῆται λέγουσι πυθομένους τοὺς Ἀθηναίους ὡς μέλλοιεν ἐπὶ σφέας στρατεύεσθαι, ἑτοίμους Ἀργείους

atque etiam statuas hasce Damiæ et Auxesiæ illis subripuerunt, easque ablatas in mediterraneo suæ insulæ loco collocarunt, cui est Œa nomen et qui viginti fere ab urbe stadiis abest. (3) Hoc in loco erectas sacrificiis et cavillatoriis mulierum choris placabant, constitutis utrique dearum denis viris qui essent choragi. Dicteriis autem chori illi neminem virum lacessebant, sed mulieres indigenas. Eædem cærimoniæ apud Epidaurios obtinuerant : qui arcanis etiam sacris et ritibus utuntur.

LXXXIV. Epidaurii, ex quo eis subreptæ hæ statuæ sunt, jam Atheniensibus ea, de quibus inter ipsos convenerat, non solvebant. (2) Qua de re per legatos secum expostulantibus Atheniensibus demonstrarunt Epidaurii, nullam se injuriam facere : quoad enim in sua terra habuissent illas statuas, quod pacti erant exsolvisse; quibus sibi subreptis jam non æquum esse ut porro solvant, sed ab Æginetis, qui illas habeant, esse hoc exigendum. (3) Hoc accepto responso, Athenienses, Æginam missis legatis, statuas ab Æginetis repetiverunt : quibus illi responderunt, nihil sibi cum Atheniensibus esse negotii.

LXXXV. Jam porro aiunt Athenienses, postquam frustra repetitæ fuissent statuæ, profectos esse Athenis una triremi cives illos, qui publico nomine missi, quum Æginam pervenissent, statuas has, ut quæ ex ipsorum ligno fuissent confectæ, de basibus suis conati sunt abstrahere, Athenas transferendas. (2) Hos vero, quum isto modo compotes illarum fieri non potuissent, circumjectis funibus statuas traxisse. Sed dum trahebant, tonitru et cum tonitru exstitisse terræ motum : eaque re territos vectores illos qui trahebant, mente fuisse alienatos; in furoremque actos, mutuo sese invicem, veluti hostes, interfecisse; donec ex omnibus, qui triremi illa advenerant, unus superfuisset, solusque Phalerum rediisset.

LXXXVI. Athenienses igitur, rem ita gestam esse, aiunt. Æginetæ vero contendunt, non una navi advenisse Athenienses : unam enim navem, atque etiam paulo plures una, etiamsi sibi nullæ naves fuissent, facile a se repelli potuisse : sed multis navibus terram suam adgressos esse Athenienses; Æginetas vero his ultro cessisse, nec pugnæ navalis adiisse discrimen. (2) Illud vero liquido definire non possunt, utrum ea caussa cesserint, quod se impares esse committendo prælio navali intellexissent, an quod in animo habuissent facere id ipsum quod fecerunt. (3) Aiunt igitur, Athenienses, quum nemo ad pugnam paratus se illis opponeret, e navibus exscendisse, atque iter versus statuas esse ingressos : quas ubi e basibus suis non potuissent avellere, ita circumjectis funibus illas traxisse, donec utraque statua, dum ita trahebatur, eamdem rem fecerit; rem narrantes mihi quidem non credibilem, sed fortasse alii cuipiam : dicunt enim, in genua illas coram trahentibus procubuisse, atque ex illo tempore in hoc statu mansisse. (4) Hæc igitur ab Atheniensibus gesta esse aiunt Æginetæ; se vero, postquam de expeditione, quam Athenienses adversus Æginam erant suscepturi, certiores fuissent facti, Argivos

ποιέεσθαι. (5) Τούς τε δὴ Ἀθηναίους ἀποβεβάναι ἐς τὴν Αἰγιναίην, καὶ παρεῖναι βωθέοντάς σφι τοὺς Ἀργείους, καὶ λαθέειν τε ἐξ Ἐπιδαύρου διαβάντας ἐς τὴν νῆσον καὶ οὐ προακηκοόσι τοῖσι Ἀθηναίοισι ἐπιπεσέειν ὑποταμομένους τὸ ἀπὸ τῶν νεῶν, ἅμα τε ἐν τούτῳ τὴν βροντήν τε γενέσθαι καὶ τὸν σεισμὸν αὐτοῖσι.

LXXXVII. Λέγεται μέν νυν ὑπ' Ἀργείων τε καὶ Αἰγινητέων τάδε, ὁμολογέεται δὲ καὶ ὑπ' Ἀθηναίων ἕνα μοῦνον τὸν ἀποσωθέντα αὐτῶν ἐς τὴν Ἀττικὴν γενέσθαι· πλὴν Ἀργεῖοι μὲν λέγουσι αὐτῶν τὸ Ἀττικὸν στρατόπεδον διαφθειράντων τὸν ἕνα τοῦτον περιγενέσθαι, Ἀθηναῖοι δὲ τοῦ δαιμονίου· περιγενέσθαι μέντοι οὐδὲ τοῦτον τὸν ἕνα, ἀλλ' ἀπολέσθαι τρόπῳ τοιῷδε. (2) Κομισθεὶς γὰρ ἐς τὰς Ἀθήνας ἀπήγγειλε τὸ πάθος· πυθομένας δὲ τὰς γυναῖκας τῶν ἐπ' Αἴγιναν στρατευσαμένων ἀνδρῶν, δεινόν τι ποιησαμένας ἐκεῖνον μοῦνον ἐξ ἁπάντων σωθῆναι, πέριξ τὸν ἄνθρωπον τοῦτον λαβούσας καὶ κεντεύσας τῇσι περόνῃσι τῶν ἱματίων εἰρωτᾶν ἑκάστην αὐτέων ὅκῃ εἴη ὁ ἑωυτῆς ἀνήρ. (3) Καὶ τοῦτον μὲν οὕτω διαφθαρῆναι, Ἀθηναίοισι δὲ ἔτι τοῦ πάθεος δεινότερόν τι δόξαι εἶναι τὸ τῶν γυναικῶν ἔργον. Ἄλλῳ μὲν δὴ οὐκ ἔχειν ὅτεῳ ζημιώσωσι τὰς γυναῖκας, τὴν δὲ ἐσθῆτα μετέβαλον αὐτέων ἐς τὴν Ἰάδα· ἐφόρεον γὰρ δὴ πρὸ τοῦ αἱ τῶν Ἀθηναίων γυναῖκες ἐσθῆτα Δωρίδα, τῇ Κορινθίῃ παραπλησιωτάτην· μετέβαλον ὦν ἐς τὸν λίνεον χιθῶνα, ἵνα δὴ περόνῃσι μὴ χρέωνται.

LXXXVIII. Ἔστι δὲ ἀληθεῖ λόγῳ χρεωμένοισι οὐκ Ἰὰς αὕτη ἡ ἐσθὴς τὸ παλαιὸν, ἀλλὰ Κάειρα, ἐπεὶ ἥ γε Ἑλληνικὴ ἐσθὴς πᾶσα ἡ ἀρχαίη τῶν γυναικῶν ἡ αὐτὴ ἦν τὴν νῦν Δωρίδα καλεῦμεν. (2) Τοῖσι δὲ Ἀργείοισι καὶ τοῖσι Αἰγινήτῃσι καὶ πρὸς ταῦτα ἔτι τόδε ποιῆσαι νόμον εἶναι παρὰ σφίσι ἑκατέροισι τὰς περόνας ἡμιολίας ποιέεσθαι τοῦ τότε κατεστεῶτος μέτρου, καὶ ἐς τὸ ἱρὸν τῶν θεῶν τούτων περόνας μάλιστα ἀνατιθέναι τὰς γυναῖκας, Ἀττικὸν δὲ μήτε τι ἄλλο προσφέρειν πρὸς τὸ ἱρὸν μήτε κέραμον, ἀλλ' ἐκ χυτρίδων ἐπιχωρίων νόμον τὸ λοιπὸν αὐτόθι εἶναι πίνειν. (3) Ἀργείων μέν νυν καὶ Αἰγινητέων αἱ γυναῖκες ἐκ τε τόσου κατ' ἔριν τὴν Ἀθηναίων περόνας ἔτι καὶ ἐς ἐμὲ ἐφόρεον μέζονας ἢ πρὸ τοῦ·

LXXXIX. τῆς δὲ ἔχθρης τῆς πρὸς Αἰγινήτας Ἀθηναίοισι γενομένης ἀρχὴ κατὰ εἰρηται ἐγένετο. Τότε δὴ Θηβαίων ἐπικαλευμένων, προθύμως τῶν περὶ τὰ ἀγάλματα γενομένων ἀναμιμνησκόμενοι οἱ Αἰγινῆται ἐβώθεον τοῖσι Βοιωτοῖσι. (2) Αἰγινῆταί τε δὴ ἐδῄευν τῆς Ἀττικῆς τὰ παραθαλάσσια, καὶ Ἀθηναίοισι ὁρμεωμένοισι ἐπ' Αἰγινήτας στρατεύεσθαι ἦλθε μαντήϊον ἐκ Δελφῶν, ἐπισχόντας ἀπὸ τοῦ Αἰγινητέων ἀδικίου τριήκοντα ἔτεα, τῷ ἑνὶ καὶ τριηκοστῷ Αἰακῷ τέμενος ἀποδέξαντας ἄρχεσθαι τοῦ πρὸς Αἰγινήτας πολέμου καί σφι χωρήσειν τὰ βούλονται· ἢν δὲ αὐτίκα ἐπιστρατεύωνται, πολλὰ μέν σφεας ἐν τῷ μεταξὺ τοῦ χρόνου πείσεσθαι, πολλὰ δὲ καὶ ποιήσειν, τέλος

ut sibi præsto essent rogasse : (5) hosque, quo tempore Athenienses in Æginam exscendissent, eodem tempore suppetias sibi ferentes adfuisse; et, quum clam ex Epidauro in insulam trajecissent, in inscios Athenienses, itinere a navibus intercluso, fecisse impetum : eodemque simul tempore tonitru et terræ motum illis exstitisse.

LXXXVII. Hæc Argivi atque Æginetæ memorant. Cæterum Athenienses etiam fatentur, unum solummodo e suis salvum in Atticam rediisse; nisi quod Argivi aiunt, e clade, quam ipsi intulissent Attico exercitui, unum illum superstitem fuisse; Athenienses vero aiunt, e clade quam deus ipsis immisisset. Verumtamen ne hunc quidem, aiunt, calamitati supervixisse; sed periisse tali modo. (2) Athenas ut rediit, nunciavit calamitatem : quo divulgato nuncio, uxores virorum qui expeditionis in Æginam susceptæ fuerant socii, indigne ferentes solum hunc ex omnibus salvum rediisse, circa hominem circumfusas, fibulis vestium suarum fodicasse hominem, quæsisseque ex eo unamquamque, ubinam suus esset maritus. (3) Atque ita illum periisse : Atheniensibus autem hoc mulierum factum ipsa clade tristius fuisse visum; in quas quum alia ratione animadvertere non possent, vestem illarum in Ionicam mutarunt. Prius enim Doricam vestem gestaverant Atticæ mulieres, Corinthiacæ vesti simillimam : hanc igitur linea tunica permutarunt, quo ne fibulis utantur.

LXXXVIII. Est autem, verum si quærimus, non Ionicum hoc vestimentum, sed Caricum : nam omnium mulierum Græcarum vestimentum olim idem fuerat quod nunc Doricum nominamus. (2) Aiunt autem, apud Argivos et Æginetas ex occasione illius facti invaluisse morem, qui etiam nunc apud utrosque obtinet, ut fibulas faciant dimidio quam ad id tempus majores, utque in templo harum dearum fibulas maxime dedicent mulieres; tum lege apud illos cautum fuisse, ut nec aliud quidquam quod ex Attica profectum sit, in templum inferatur, nec fictile Atticum, sed ex indigenis ollulis posthac ibi bibatur. (3) Certe Argivorum et Æginetarum mulieres ab illo inde tempore ex contentione cum Atheniensibus, ad meam usque ætatem, majores quam antea fibulas gestabant.

LXXXIX. Inimicitiæ Atheniensium adversus Æginetas isto, quod exposui, principio ortum ceperant. Nunc igitur Æginetæ a Thebanis auxilio vocati, memores rerum circa statuas gestarum, libenter suppetias venere Thebanis. (2) Itaque maritima Atticæ ora ab Æginetis diripiebatur. Atheniensibus vero, expeditionem in Æginetas parantibus, adlatum est Delphis oraculum, jubens, ut triginta annos, ex quo injuriæ initium fecissent Æginetæ, abstinerent bello; primo autem et trigesimo anno belli adversus Æginetas initium facerent, postquam Æaco templum statuissent. Id si fecissent, rem eis ex voluntate cessuram. Sin protinus susciperent bellum, multa medio tempore passuros, multa vero etiam facturos; verumtamen ad extremum subactu-

μέντοι καταστρέψεσθαι. (3) Ταῦτα ὡς ἀπενειχθέντα ἤκουσαν οἱ Ἀθηναῖοι, τῷ μὲν Αἰακῷ τέμενος ἀπέδεξαν τοῦτο τὸ νῦν ἐπὶ τῆς ἀγορῆς ἱδρυται, τριήκοντα δὲ ἔτεα οὐκ ἀνέσχοντο ἀκούσαντες ὅκως χρεὼν εἴη ἐπισχεῖν πεπονθότας πρὸς Αἰγινητέων ἀνάρσια.

XC. Ἐς τιμωρίην δὲ παρασκευαζομένοισι αὐτοῖσι ἐκ Λακεδαιμονίων πρῆγμα ἐγειρόμενον ἐμπόδιον ἐγένετο. (2) Πυθόμενοι γὰρ οἱ Λακεδαιμόνιοι τὰ ἐκ τῶν Ἀλκμεωνιδέων ἐς τὴν Πυθίην μεμηχανημένα καὶ τὰ ἐκ τῆς Πυθίης ἐπὶ σφέας τε καὶ τοὺς Πεισιστρατίδας συμφορὴν ἐποιεῦντο διπλέην, ὅτι τε ἄνδρας ξείνους σφι ἐόντας ἐξεληλάκεσαν ἐκ τῆς ἐκείνων, καὶ ὅτι ταῦτα ποιήσασι χάρις οὐδεμία ἐφαίνετο πρὸς Ἀθηναίων. (3) Ἔτι τε πρὸς τούτοισι ἐνῆγόν σφεας οἱ χρησμοὶ λέγοντες πολλά τε καὶ ἀνάρσια ἔσεσθαι αὐτοῖσι ἐξ Ἀθηναίων, τῶν πρότερον μὲν ἔσαν ἀδαέες, τότε δὲ Κλεομένεος κομίσαντος ἐς Σπάρτην ἐξέμαθον. (4) Ἐκτήσατο δὲ ὁ Κλεομένης ἐκ τῆς Ἀθηναίων ἀκροπόλιος τοὺς χρησμούς, τοὺς ἐκτέατο μὲν πρότερον οἱ Πεισιστρατίδαι, ἐξελαυνόμενοι δὲ ἔλιπον ἐν τῷ ἱρῷ· καταλειφθέντας δὲ ὁ Κλεομένης ἀνέλαβε.

XCI. Τότε δὲ ὡς ἀνέλαβον οἱ Λακεδαιμόνιοι τοὺς χρησμοὺς καὶ τοὺς Ἀθηναίους ὥρεον αὐξομένους καὶ οὐδαμῶς ἑτοίμους ἐόντας πείθεσθαί σφι, νόῳ λαβόντες ὡς ἐλεύθερον μὲν ἐὸν τὸ γένος τὸ Ἀττικὸν ἰσόρροπον τῷ ἑωυτῶν ἂν γίνοιτο, κατεχόμενον δὲ ὑπὸ τυραννίδος ἀσθενὲς καὶ πειθαρχέεσθαι ἑτοῖμον· μαθόντες δὲ τούτων ἕκαστα μετεπέμποντο Ἱππίην τὸν Πεισιστράτου ἀπὸ Σιγείου τοῦ ἐν Ἑλλησπόντῳ, ἐς τὸ καταφεύγουσι οἱ Πεισιστρατίδαι. (2) Ἐπείτε δέ σφι Ἱππίης καλεύμενος ἦκε, μεταπεμψάμενοι καὶ τῶν ἄλλων συμμάχων ἀγγέλους ἔλεγόν σφι Σπαρτιῆται τάδε, « ἄνδρες σύμμαχοι, συγγινώσκομεν αὐτοῖσι ἡμῖν οὐ ποιήσασι ὀρθῶς· ἐπαρθέντες γὰρ κιβδήλοισι μαντηίοισι ἄνδρας ξείνους ἐόντας ἡμῖν τὰ μάλιστα καὶ ἀναδεκομένους ὑποχειρίας παρέξειν τὰς Ἀθήνας, τούτους ἐκ τῆς πατρίδος ἐξηλάσαμεν, καὶ ἐπειτεν ποιήσαντες ταῦτα δήμῳ ἀχαρίστῳ παρεδώκαμεν τὴν πόλιν, ὃς ἐπείτε δι' ἡμέας ἐλευθερωθεὶς ἀνέκυψε, ἡμέας μὲν καὶ τὸν βασιλέα ἡμέων περιυβρίσας ἐξέβαλε, δόξαν δὲ φύσας αὐξάνεται, ὥστε ἐκμαθήκασι μάλιστα μὲν οἱ περίοικοι αὐτῶν Βοιωτοὶ καὶ Χαλκιδέες, τάχα δέ τις καὶ ἄλλος ἐκμαθήσεται ἁμαρτών. (3) Ἐπείτε δὲ ἐκεῖνα ποιήσαντες ἡμάρτομεν, νῦν πειρησόμεθά σφεας ἅμα ὑμῖν ἀπικόμενοι τίσασθαι· αὐτοῦ γὰρ τούτου εἵνεκεν τόνδε τε Ἱππίην μετεπεμψάμεθα καὶ ὑμέας ἀπὸ τῶν πολίων, ἵνα κοινῷ τε λόγῳ καὶ κοινῷ στόλῳ ἐσαγαγόντες αὐτὸν ἐς τὰς Ἀθήνας ἀποδῶμεν τὰ καὶ ἀπειλόμεθα ».

XCII. Οἱ μὲν ταῦτα ἔλεγον, τῶν δὲ συμμάχων τὸ πλῆθος οὐκ ἐνεδέκετο τοὺς λόγους. Οἱ μέν νυν ἄλλοι ἡσυχίην ἦγον, Κορίνθιος δὲ Σωσικλέης ἔλεξε τάδε, (I.) « Ἦ δὴ ὅ τε οὐρανὸς ἔσται ἔνερθε τῆς γῆς καὶ ἡ γῆ μετέωρος ὑπὲρ τοῦ οὐρανοῦ, καὶ οἱ ἄνθρωποι νομὸν ἐν θαλάσσῃ ἕξουσι καὶ οἱ ἰχθύες τὸν πρότερον ἄνθρωποι,

ros Æginam. (3) Hæc renunciata ubi audivere Athenienses, Æaco templum statuerunt, quod etiam nunc in foro exstructum conspicitur : triginta vero annos non sustinuerunt bello abstinere, quamquam audiverant ita præcipi oraculo, quippe qui tam indigna ab Æginetis essent passi.

XC. Sed dum ad ultionem capiendam sese comparant, objicitur illis impedimentum a Lacedæmoniis suscitatum. (2) Quum enim dolum cognovissent Lacedæmonii, quem Alcmeonidæ cum Pythia adversus se et adversus Pisistratidas erant machinati, duplici dolore adfecti sunt; quod et viros, qui hospites ipsorum fuerant, patria pepulissent, et quod nullam sibi ob id factum gratiam ab Atheniensibus haberi viderent. (3) Præter hæc moverunt eos oracula, quæ multa sibi indigna ab Atheniensibus imminere prædicebant : quæ oracula, quum antea ignorassent, per id tempus illis innotuere, a Cleomene Spartam delata. (4) Nactus enim Cleomenes erat ex arce Athenarum oracula illa, quæ olim Pisistratidæ habuerant, eaque, quum Athenis pellerentur, in templo reliquerant. Hæc ibi relicta Cleomenes acceperat.

XCI. Tum igitur Lacedæmonii, acceptis his oraculis, quum Athenienses viderent augeri opibus, et neutiquam paratos Lacedæmoniis parere, reputarunt secum, populum Atheniensem, si libertate uteretur, sibi viribus fore parem; sin tyrannide premeretur, infirmum fore et ad parendum paratum. Hæc singula perpendentes Hippiam Pisistrati filium a Sigeo ad Hellespontum, quo confugerant Pisistratidæ, arcessiverunt. (2) Qui postquam vocatus advenit, convocatis etiam cæterorum sociorum legatis, hæc ad eos verba Spartani fecerunt : « Viri socii, aguovimus fatemurque non recte nos fecisse. Ementitis enim oraculis inducti, viros hospitii jure inprimis nobiscum conjunctos, quique Athenas nobis obnoxias reddere receperant, patria ejecimus, et post hoc peractum ingrato populo urbem et rempublicam restituimus : qui postquam per nos liberatus vires recepit, nos et regem nostrum contumeliose urbe ejecit, et magnos spiritus sumens crescit : quod experti sunt maxime finitimi illorum Boeoti et Chalcidenses, brevi vero etiam alii experientur, qui recta non inierint consilia. (3) Quoniam igitur nos, ista faciendo, peccavimus, nunc operam dabimus, ut una vobiscum illos adgressi puniamus. Hanc enim ipsam ob caussam et Hippiam hunc arcessivimus, et vos e civitatibus convocavimus, ut communi consilio et consociatis armis illum Athenas reducamus, eique quæ ademimus restituamus. »

XCII. Hæc Spartani dixerunt. Quæ quum plerisque sociorum displicuissent, alii quidem silentium tenuere, sed Corinthius Sosicles in hunc modum est locutus : (I.) « Profecto nimirum cœlum sub terram subibit, et terra supra cœlum erit sublimis, hominesque habitabunt in mari, et pisces domicilium occupabunt hominum, quando vos qui-

ὅτε γε ὑμεῖς, ὦ Λακεδαιμόνιοι, ἰσοκρατίας καταλύοντες τυραννίδας ἐς τὰς πόλις κατάγειν παρασκευάζεσθε, τοῦ οὔτε ἀδικώτερον οὐδέν ἐστι κατ' ἀνθρώπους οὔτε μιαιφονώτερον. (2) Εἰ γὰρ δὴ τοῦτό γε δοκέει ὑμῖν εἶναι χρηστὸν ὥστε τυραννεύεσθαι τὰς πόλις, αὐτοὶ πρῶτοι τύραννον καταστησάμενοι παρὰ σφίσι αὐτοῖσι οὕτω καὶ τοῖσι ἄλλοισι δίζησθε κατιστάναι· νῦν δὲ αὐτοὶ ἄπειροι ἐόντες τυράννων, καὶ φυλάσσοντες δεινότατα τοῦτο ἐν τῇ Σπάρτῃ μὴ γενέσθαι, παραχρᾶσθε ἐς τοὺς συμμάχους. (3) Εἰ δὲ αὐτοὶ ἔμπειροι ἔατε κατά περ ἡμεῖς, εἴχετε ἂν περὶ αὐτοῦ γνώμας ἀμείνονας συμβαλέσθαι ἤπερ νῦν. (II.) Κορινθίοισι γὰρ ἦν πόλιος κατάστασις τοιήδε· ἦν ὀλιγαρχίη, καὶ οὗτοι Βακχιάδαι καλεύμενοι ἔνεμον τὴν πόλιν, ἐδίδοσαν δὲ καὶ ἤγοντο ἐξ ἀλλήλων. (4) Ἀμφίονι δὲ ἐόντι τούτων τῶν ἀνδρῶν γίνεται θυγάτηρ χωλή· οὔνομα δέ οἱ ἦν Λάβδα. Ταύτην Βακχιαδέων γὰρ οὐδεὶς ἤθελε γῆμαι, ἴσχει Ἠετίων ὁ Ἐχεκράτεος, δήμου μὲν ἐκ Πέτρης ἐών, ἀτὰρ τὰ ἀνέκαθεν Λαπίθης τε καὶ Καινείδης. Ἐκ δέ οἱ ταύτης τῆς γυναικὸς οὐδ' ἐξ ἄλλης παῖδες ἐγίνοντο. (5) Ἐστάλη ὧν ἐς Δελφοὺς περὶ γόνου. Ἐσιόντα δὲ αὐτὸν ἰθέως ἡ Πυθίη προσαγορεύει τοισίδε τοῖσι ἔπεσι,

Ἠετίων, οὔτις σε τίει πολύτιτον ἐόντα.
Λάβδα κύει, τέξει δ' ὀλοοίτροχον· ἐν δὲ πεσεῖται
ἀνδράσι μουνάρχοισι, δικαιώσει δὲ Κόρινθον.

(6) Ταῦτα χρησθέντα τῷ Ἠετίωνι ἐξαγγέλλεταί κως τοῖσι Βακχιάδῃσι, τοῖσι τὸ μὲν πρότερον γενόμενον χρηστήριον ἐς Κόρινθον ἦν ἄσημον, φέρον τε ἐς τὠυτὸ καὶ τὸ τοῦ Ἠετίωνος, καὶ λέγον ὧδε,

Αἰετὸς ἐν πέτρῃσι κύει, τέξει δὲ λέοντα
καρτερὸν ὠμηστήν· πολλῶν δ' ὑπὸ γούνατα λύσει.
Ταῦτά νυν εὖ φράζεσθε, Κορίνθιοι, οἱ περὶ καλὴν
Πειρήνην οἰκεῖτε καὶ ὀφρυόεντα Κόρινθον.

(III.) Τοῦτο μὲν δὴ τοῖσι Βακχιάδῃσι πρότερον γενόμενον ἦν ἀτέκμαρτον· τότε δὲ τὸ Ἠετίωνι γενόμενον ὡς ἐπύθοντο, αὐτίκα καὶ τὸ πρότερον συνῆκαν ἐὸν συνῳδὸν τῷ Ἠετίωνος. (7) Συνέντες δὲ καὶ τοῦτο εἶχον ἐν ἡσυχίῃ, ἐθέλοντες τὸν μέλλοντα Ἠετίωνι γενέσθαι γόνον διαφθεῖραι. Ὡς δὲ ἔτεκε ἡ γυνὴ τάχιστα, πέμπουσι σφέων αὐτῶν δέκα ἐς τὸν δῆμον ἐν τῷ κατοίκητο Ἠετίων, ἀποκτενέοντας τὸ παιδίον. (8) Ἀπικόμενοι δὲ οὗτοι ἐς τὴν Πέτρην καὶ παρελθόντες ἐς τὴν αὐλὴν τὴν Ἠετίωνος αἴτεον τὸ παιδίον· ἡ δὲ Λάβδα εἰδυῖά τε οὐδὲν τῶν εἵνεκεν ἐκεῖνοι ἀπικοίατο, καὶ δοκέουσά σφεας φιλοφροσύνης τοῦ πατρὸς εἵνεκεν αἰτέειν, φέρουσα ἐνεχείρισε αὐτῶν ἑνί. Τοῖσι δὲ ἄρα ἐβεβούλευτο κατ' ὁδὸν τὸν πρῶτον αὐτῶν λαβόντα τὸ παιδίον προσουδίσαι. (9) Ἐπείτε ὦν ἔδωκε φέρουσα ἡ Λάβδα, τὸν λαβόντα τῶν ἀνδρῶν θείη τύχη προσεγέλασε τὸ παιδίον, καὶ τὸν φρασθέντα τοῦτο οἰκτός τις ἴσχει ἀποκτεῖναι, κατοικτείρας δὲ παραδιδοῖ τῷ δευτέρῳ, ὁ δὲ τῷ τρίτῳ. Οὕτω δὲ διεξῆλθε διὰ πάντων τῶν δέκα παραδιδόμενον, οὐδενὸς βουλομένου διεργάσασθαι. (10) Ἀποδόντες ὦν ὀπίσω τῇ τεκούσῃ τὸ παιδίον καὶ ἐξελθόντες ἔξω,

dem, Lacedæmonii, juris æquabilitate sublata, tyrannides in civitate reducere paratis: quo nihil est inter homines iniquius, nihil sceleratius. (2) Etenim, si vobis bonum hoc videtur, ut a tyrannis regantur civitates, ipsi primum apud vos ipsos tyrannum constituite, atque sic deinde apud alios constituere tentate! Nunc, qui tyrannos numquam estis experti ipsi, diligentissimeque cavetis ne quis Spartæ exoriatur, indigne cum sociis agitis. (3) Quodsi vos experti tyrannos essetis, quemadmodum nos, meliores de hac re, quam nunc, sententias in consilium adferre possetis. (II.) Apud Corinthios olim status civitatis hujusmodi fuit: erat oligarchia; et hi qui Bacchiadæ nominabantur administrabant civitatem, nec nisi inter se matrimonia inibant mutua. (4) Ex eorum numero virorum Amphioni erat filia pede clauda, cui nomen Labda: quam quum nemo Bacchiadarum ducere vellet uxorem, duxit eam Eetion (*sive* Aetion), Echecratis filius, homo ex pago Petra, cæterum generis origine Lapitha et Cænides. Cui quum nec ex hac, nec ex alia uxore, liberi essent nati; (5) proficiscitur ille Delphos, de sobole consulturus. Et intrantem protinus Pythia his est verbis adlocuta:

Aetion, nemo te honorat, quum sis valde honoratus. [det
Gravida est Labda, saxumque volubile pariet, quod inci-
in viros monarchos, et castigabit Corinthum.

(6) Responsum hoc Aetioni datum renunciatur forte Bacchiadis, quibus obscurum fuerat responsum aliud Corinthum spectans, quod prius editum erat eamdem in sententiam cum hoc quod nunc Aetioni datum est. Istud oraculum hujusmodi fuerat:

Aquila in petris gravida est, parietque leonem
validum, carnivorum, qui multorum genua solvet.
Hoc bene in animis versate, Corinthii, qui circa pulcram
Pirenen habitatis et supercilliosam Corinthum (*Acrocorinthum*).

(III.) Hoc igitur responsum, prius redditum, obscurum fuerat Bacchiadis: nunc vero, ubi cognoverunt istud quod Aetioni datum est, statim etiam prius illud, quod congruebat Aetionis responso, intellexerunt. (7) Hoc igitur quum intelligerent, presserunt silentio, prolemque Aetioni nascituram interficere decreverunt. Ac postquam peperit mulier, mittunt protinus decem de suis in pagum quem habitabat Aetion, qui interimerent puerum. (8) Hi ubi Petram venerunt, aulamque intrarunt Aetionis, puerum postulant: et mater, ignara quo consilio advenissent, existimansque benevolentiæ caussa in patrem cupere illos infantem videre, adfert illum, et uni horum in manus tradit. In itinere autem hi inter se constituerant, ut, qui puerulum primus in manus accepisset, is eum humo adlideret. (9) Jam vero divina quadam fortuna accidit, ut infans, dum tradebat eum mater, arrideret ei qui sumpserat: et hunc, ubi id animadvertit, misericordia retinuit ne occideret. Miseratus igitur puerum tradit alteri; et ille tradidit tertio: atque ita per cunctos decem transiit, ab altero alteri traditus; nemine interimere eum volente. (10) Postquam igitur matri puerum reddiderant, et domo erant egressi, stantes pro

ἑστεῶτες ἐπὶ τῶν θυρέων ἀλλήλων ἅπτοντο καταιτιώμενοι, καὶ μάλιστα τοῦ πρώτου λαβόντος, ὅτι οὐκ ἐποίησε κατὰ τὰ δεδογμένα, ἐς δ δή σφι χρόνου ἐγγινομένου ἔδοξε αὖτις παρελθόντας πάντας τοῦ φόνου μετίσχειν. (IV.) Ἔδεε δὲ ἐκ τοῦ Ἠετίωνος γόνου Κορίνθῳ κακὰ ἀναβλαστέειν. Ἡ Λάβδα γὰρ πάντα ταῦτα ἤκουε ἑστεῶσα πρὸς αὐτῇσι τῇσι θύρῃσι· δείσασα δὲ μή σφι μεταδόξῃ καὶ τὸ δεύτερον λαβόντες τὸ παιδίον ἀποκτείνωσι, φέρουσα κατακρύπτει ἐς τὸ ἀφραστότατον οἱ ἐφαίνετο εἶναι, ἐς κυψέλην, ἐπισταμένη ὡς εἰ ὑποστρέψαντες ἐς ζήτησιν ἀπικοίατο πάντα ἐρευνήσειν μέλλοιεν· τὰ δὴ καὶ ἐγένετο. (11) Ἐλθοῦσι δὲ καὶ διζημένοισι αὐτοῖσι ὡς οὐκ ἐφαίνετο, ἐδόκεε ἀπαλλάσσεσθαι καὶ λέγειν πρὸς τοὺς ἀποπέμψαντας ὡς πάντα ποιήσειαν τὰ ἐκεῖνοι ἐνετείλαντο. Οἱ μὲν δὴ ἀπελθόντες ἔλεγον ταῦτα. (V.) Ἠετίωνι δὲ μετὰ ταῦτα ὁ παῖς ηὐξάνετο, καί οἱ διαφυγόντι τοῦτον τὸν κίνδυνον ἀπὸ τῆς κυψέλης ἐπωνυμίην Κύψελος οὔνομα ἐτέθη. (12) Ἀνδρωθέντι δὲ καὶ μαντευομένῳ Κυψέλῳ ἐγένετο ἀμφιδέξιον χρηστήριον ἐν Δελφοῖσι, τῷ πίσυνος γενόμενος ἐπεχείρησέ τε καὶ ἔσχε Κόρινθον. Ὁ δὲ χρησμὸς ὅδε ἦν,

Ὄλβιος οὗτος ἀνὴρ ὃς ἐμὸν δόμον ἐσκαταβαίνει,
Κύψελος Ἠετίδης, βασιλεὺς κλειτοῖο Κορίνθου,
αὐτὸς καὶ παῖδες, παίδων γε μὲν οὐκέτι παῖδες.

(13) Τὸ μὲν δὴ χρηστήριον τοῦτο ἦν, τυραννεύσας δὲ ὁ Κύψελος τοιοῦτος δή τις ἀνὴρ ἐγένετο· πολλοὺς μὲν Κορινθίων ἐδίωξε, πολλοὺς δὲ χρημάτων ἀπεστέρησε, πολλῷ δ' ἔτι πλείους τῆς ψυχῆς. (VI.) Ἄρξαντος δὲ τούτου ἐπὶ τριήκοντα ἔτεα καὶ διαπλέξαντος τὸν βίον εὖ, διάδοχός οἱ τῆς τυραννίδος ὁ παῖς Περίανδρος γίνεται. (14) Ὁ τοίνυν Περίανδρος κατ' ἀρχὰς μὲν ἦν ἠπιώτερος τοῦ πατρὸς, ἐπείτε δὲ ὠμίλησε δι' ἀγγέλων Θρασυβούλῳ τῷ Μιλήτου τυράννῳ, πολλῷ ἔτι ἐγένετο Κυψέλου μιαιφονώτερος. Πέμψας γὰρ παρὰ Θρασύβουλον κήρυκα ἐπυνθάνετο ὄντινα ἂν τρόπον ἀσφαλέστατον καταστησάμενος τῶν πρηγμάτων κάλλιστα τὴν πόλιν ἐπιτροπεύοι. (15) Θρασύβουλος δὲ τὸν ἐλθόντα παρὰ τοῦ Περιάνδρου ἐξῆγε ἔξω τοῦ ἄστεος, ἐσβὰς δὲ ἐς ἄρουραν ἐσπαρμένην ἅμα τε διεξήϊε τὸ λήϊον ἐπειρωτέων τε καὶ ἀναποδίζων τὸν κήρυκα κατὰ τὴν ἀπὸ Κορίνθου ἄπιξιν, καὶ ἐκόλουε αἰεὶ ὅκως τινὰ ἴδοι τῶν ἀσταχύων ὑπερέχοντα, κολούων δὲ ἔρριπτε, ἐς δ τοῦ λήϊου τὸ κάλλιστόν τε καὶ βαθύτατον διέφθειρε τρόπῳ τοιούτῳ· διεξελθὼν δὲ τὸ χωρίον καὶ ὑποθέμενος ἔπος οὐδὲν ἀποπέμπει τὸν κήρυκα. (16) Νοστήσαντος δὲ τοῦ κήρυκος ἐς τὴν Κόρινθον ἦν πρόθυμος πυνθάνεσθαι τὴν ὑποθήκην ὁ Περίανδρος. Ὁ δὲ οὐδέν οἱ ἔφη Θρασύβουλον ὑποθέσθαι, θωμάζειν τε αὐτοῦ παρ' οἷόν μιν ἄνδρα ἀποπέμψειε, ὡς παραπλῆγά τε καὶ τῶν ἑωυτοῦ σινάμωρον, ἀπηγεόμενος τά περ πρὸς Θρασυβούλου ὀπώπεε. (VII.) Περίανδρος δὲ συνεὶς τὸ ποιηθὲν καὶ νόῳ σχὼν ὡς οἱ ὑπετίθετο Θρασύβουλος τοὺς ὑπερόχους τῶν ἀστῶν φονεύειν, ἐνθαῦτα δὴ πᾶσαν κακότητα ἐξέφαινε ἐς τοὺς πολιήτας. Ὅσα γὰρ Κύψελος ἀπέλιπε

foribus, conviciabantur alter alterum accusabantque, et eum maxime qui primus acceperat infantem, quod non fecisset quemadmodum inter ipsos constitutum fuisset. Ad extremum, interjecto tempore, placuit iterum intrare, et cunctos participare cædem. (IV.) Sed voluere fata, ut ex Aetionis prole malum exsisteret Corintho. Labda, stans ad ipsas fores, omnia ista exaudiverat. Itaque verita, ne mutato consilio puerum iterum acceptum interimerent, asportatum occultavit in loco, de quo minime cogitaturos illos existimavit, in arca : noverat enim si reversi denuo requirerent puerum, omnia illos pervestigaturos. Idque illi fecerunt. (11) Sed postquam redeuntibus quærentibusque nusquam comparuit infans, placuit abire, renunciareque his qui ipsos miserant, omnia a se peracta esse quæ mandata fuissent. Illi igitur abierunt, idque renunciarunt. (V.) Posthæc crevit Aetionis filius : et, quoniam periculum hoc effugerat, ab arca illa (*arcam Græci* cypselen *dicunt*) impositum ei nomen est Cypselus. (12) Qui postquam virilem ætatem est ingressus, oraculumque Delphis consuluit, ambiguum accepit responsum, quo fretus adgressus est tenuitque Corinthum. Responsum hoc erat :

Felix vir nostras hic qui descendit ad ædes,
Cypselus Aetides, claræ rex ille Corinthi,
ipse, et eo nati, sed nulli deinde nepotes.

(13) Hoc accepto responso postquam tyrannide potitus est Cypselus, vir fuit hujusmodi : multos Corinthiorum in exsilium ejecit, multis bona eripuit, sed longe plurimis vitam. (VI.) Huic, quum triginta regnasset annos, et prospera in fortuna vitam finisset, successor tyrannidis fuit filius Periander. (14) Et Periander quidem initio mitior erat quam pater : sed, ex quo per nuncios commercium habuit cum Thrasybulo, Milesiorum tyranno, multo etiam sanguinolentior evasit Cypselo. Misso enim ad Thrasybulum præcone quæsivit ex illo, quo pacto, rebus omnibus firmissime constitutis, optime præsset civitati. (15) Thrasybulus, homine qui a Periandro missus erat extra urbem educto, ingressus est arvum quoddam satum, cum illoque per segetem ambulans, sciscitansque ex eo et repetere jubens caussam cur ad se Corintho missus esset, detruncabat interim ut quamque vidit spicam super alias eminentem, præcisamque abjiciebat, donec pulcerrimam et pinguissimam segetis partem tali modo corrupit : denique, postquam agrum ita pervagatus est, dimisit legatum, nullum verbum ei præcipiens. (16) Ubi Corinthum rediit legatus, cupidus erat Periander cognoscendi Thrasybuli præcepta. At ille, nihil, ait, sibi mandasse Thrasybulum. mirari se vero qualem ad hominem a Periandro missus esset, vesanum quippe, et qui sua ipse destrueret. His dictis renunciavit, quid agentem Thrasybulum vidisset. (VII.) At Periander, intelligens factum, reputansque moneri se a Thrasybulo ut eminentiores quosque cives interimeret, tum vero omnem adversus cives nequitiam cœpit exercere. Nam quidquid Cypselus occidendo et in exsilium mittendo

κτείνων τε καὶ διώκων, Περίανδρός σφεα ἀπετέλεσε, μιῇ δὲ ἡμέρῃ ἀπέδυσε πάσας τὰς Κορινθίων γυναῖκας διὰ τὴν ἑωυτοῦ γυναῖκα Μέλισσαν. (17) Πέμψαντι γάρ οἱ ἐς Θεσπρωτοὺς ἐπ' Ἀχέροντα ποταμὸν ἀγγέλους ἐπὶ τὸ νεκυομαντήϊον παρακαταθήκης πέρι ξεινικῆς οὔτε σημανέειν ἔφη ἡ Μέλισσα ἐπιφανεῖσα οὔτε κατερέειν ἐν τῷ κέεται χώρῳ ἡ παρακαταθήκη· ῥιγοῦν τε γὰρ καὶ εἶναι γυμνή· τῶν γάρ οἱ συγκατέθαψε εἱμάτων ὄφελος εἶναι οὐδὲν οὐ κατακαυθέντων· μαρτύριον δέ οἱ εἶναι ὡς ἀληθέα ταῦτα λέγει, ὅτι ἐπὶ ψυχρὸν τὸν ἰπνὸν Περίανδρος τοὺς ἄρτους ἐπέβαλε. (18) Ταῦτα δὲ ὡς ὀπίσω ἀπηγγέλθη τῷ Περιάνδρῳ, (πιστὸν γάρ οἱ ἦν τὸ συμβόλαιον, ὃς νεκρῷ ἐούσῃ Μελίσσῃ ἐμίγη,) ἰθέως δὴ μετὰ τὴν ἀγγελίην κήρυγμα ἐποιήσατο ἐς τὸ Ἡραῖον ἐξιέναι πάσας τὰς Κορινθίων γυναῖκας. (19) Αἱ μὲν δὴ ὡς ἐς ὀρτὴν ἧϊσαν κόσμῳ τῷ καλλίστῳ χρεώμεναι, ὁ δ' ὑποστήσας τοὺς δορυφόρους ἀπέδυσέ σφεας πάσας ὁμοίως, τάς τ' ἐλευθέρας καὶ τὰς ἀμφιπόλους, συμφορήσας δὲ ἐς ὄρυγμα Μελίσσῃ ἐπευχόμενος κατέκαιε. (20) Ταῦτα δέ οἱ ποιήσαντι καὶ τὸ δεύτερον πέμψαντι ἔφρασε τὸ εἴδωλον τὸ Μελίσσης ἐς τὸν κατέθηκε χῶρον τοῦ ξείνου τὴν παρακαταθήκην. Τοιοῦτο μέν ἐστι ὑμῖν ἡ τυραννὶς, ὦ Λακεδαιμόνιοι, καὶ τοιούτων ἔργων. (21) Ἡμέας δὲ τοὺς Κορινθίους τό τε αὐτίκα θῶμα μέγα εἶχε ὅτε ὑμέας εἴδομεν μεταπεμπομένους Ἱππίην, νῦν τε δὴ καὶ μεζόνως θωμάζομεν λέγοντας ταῦτα, ἐπιμαρτυρόμεθά τε ἐπικαλεύμενοι ὑμῖν θεοὺς τοὺς Ἑλληνίους μὴ κατιστάναι τυραννίδας ἐς τὰς πόλις. Οὐκ ὦν παύσεσθε, ἀλλὰ πειρήσεσθε παρὰ τὸ δίκαιον κατάγοντες Ἱππίην; ἴστε ὑμῖν Κορινθίους γε οὐ συναινέοντας. »

XCIII. Σωσικλέης μὲν ἀπὸ Κορίνθου πρεσβεύων ἔλεξε τάδε, Ἱππίης δὲ αὐτὸν ἀμείβετο τοὺς αὐτοὺς ἐπικαλέσας θεοὺς ἐκείνῳ, ἦ μὲν Κορινθίους μάλιστα πάντων ἐπιποθήσειν Πεισιστρατίδας, ὅταν σφι ἥκωσι ἡμέραι αἱ κύριαι ἀνιᾶσθαι ὑπ' Ἀθηναίων. (2) Ἱππίης μὲν τούτοισι ἀμείψατο οἷά τε τοὺς χρησμοὺς ἀτρεκέστατα ἀνδρῶν ἐξεπιστάμενος· οἱ δὲ λοιποὶ τῶν συμμάχων τέως μὲν εἶχον ἐν ἡσυχίῃ σφέας αὐτοὺς, ἐπείτε δὲ Σωσικλέος ἤκουσαν εἰπαντος ἐλευθέρως, ἅπας τις αὐτῶν φωνὴν ῥήξας αἱρέετο τοῦ Κορινθίου τὴν γνώμην, Λακεδαιμονίοισί τε ἐπεμαρτυρέοντο μὴ ποιέειν μηδὲν νεώτερον περὶ πόλιν Ἑλλάδα.

XCIV. Οὕτω μὲν ταῦτα ἐπαύθη· Ἱππίῃ δὲ ἐνθεῦτεν ἀπελαυνομένῳ ἐδίδου μὲν Ἀμύντης ὁ Μακεδὼν Ἀνθεμοῦντα, ἐδίδοσαν δὲ Θεσσαλοὶ Ἰωλκόν. Ὁ δὲ τούτων μὲν οὐδέτερα αἱρέετο, ἀνεχώρεε δὲ ὀπίσω ἐς Σίγειον, τὸ εἶλε Πεισίστρατος αἰχμῇ παρὰ Μυτιληναίων, κρατήσας δὲ αὐτοῦ κατέστησε τύραννον εἶναι παῖδα τὸν ἑωυτοῦ νόθον Ἡγησίστρατον, γεγονότα ἐξ Ἀργείης γυναικὸς, ὃς οὐκ ἀμαχητὶ εἶχε τὰ παρέλαβε παρὰ Πεισιστράτου· (2) ἐπολέμεον γὰρ ἔκ τε Ἀχιλληίου πόλιος ὁρμεώμενοι καὶ Σιγείου χρόνον ἐπὶ συχνὸν Μυτιληναῖοί τε καὶ Ἀθηναῖοι, οἱ μὲν ἀπαιτέοντες

reliquum fecerat, id Periander consummavit. Atque etiam uno die universas mulieres Corinthias vestibus exuit, uxoris suæ gratia Melissæ. (17) Etenim quum in Thesprotiam ad Acherontem fluvium legatos misisset, qui oraculum, quod ibi per mortuorum evocationem responsa dat, consulerent de hospitis alicujus deposito, evocata Melissa respondit « se nec significaturam, nec edicturam quo loco esset illud « depositum : algere enim se, et esse nudam; nam quæ se« pulta secum fuissent vestimenta, nihil sibi prodesse, « quum non fuerint combusta. Argumentum autem, quo « cognoscere Periander possit vere hæc a se dici, hoc esse, « quod ille in frigidum furnum panes ingessisset. » (18) Hæc postquam Periandro sunt renunciata, quum satis certum ipsi esset illud veritatis argumentum, quippe qui cum mortua coiisset Melissa; statim post acceptum nuncium præconio edixit, ut omnes Corinthiorum mulieres in Junonis templum convenirent. (19) Et illæ, tamquam ad solennitatem, pulcerrimo ornatu instructæ convenerunt. Ille vero constitutis ad hoc satellitibus, vestimentis cunctas exuit, liberas perinde mulieres, et illarum famulas : collatasque in fossam vestes, invocatis Melissæ manibus, cremavit. (20) Quo facto, ubi iterum ad necromantium misit, demonstravit ei Melissæ idolum, quo in loco depositum hospitis collocasset. Hujusmodi vobis est tyrannis, o Lacedæmonii, et talia sunt illius facta! (21) Nos vero Corinthii tunc statim mirabamur, quum a vobis Hippiam arcessiri cognovimus; nunc vero etiam magis miramur hæc a vobis verba fieri; vosque obtestamur, deos invocantes Græciæ præsides, ne tyrannides in civitatibus constituatis. Non igitur ab eo incepto abstinebitis, sed conaturi estis præter id quod justum est reducere Hippiam? Scitote Corinthios quidem non probaturos esse factum vestrum. »

XCIII. Hæc quum locutus esset Sosicles, Corinthiorum legatus; respondit Hippias, eosdem quos ille deos testes invocans, certe Corinthios maxime desideraturos esse Pisistratidas, quando adfuerint illis statuti dies, quibus illos vexaturi sint Athenienses. (2) Hæc illi Hippias respondit, ut qui omnium adcuratissime cognita haberet oraculorum effata. Reliqui ex sociis silentium adhuc tenuerant : postquam vero Sosiclem audiverunt libere verba facientem, pro se quisque vocem rumpens, accedebant sententiæ Corinthii, obtestabanturque Lacedæmonios, ne quid adversus Græcam civitatem novi molirentur.

XCIV. Atque ita hæc res finem habuit. Hippiæ vero Lacedæmone profecto Amyntas Macedo Anthemunta oppidum obtulit, Thessali vero Iolcon. At ille, neutrum accipiens, Sigeum rediit; quod oppidum armis Pisistratus Mytilenæis eripuerat, et tyrannum ibi constituerat filium suum nothum Hegesistratum, ex Argiva muliere natum. Nec vero citra belli discrimen tenuerat ille regionem a Pisistrato acceptam. (2) Diu enim inter se Mytilenæi et Athenienses armis decertarunt, illi ex Achilleo oppido erumpentes, hi e Sigeo;

τὴν χώρην, Ἀθηναῖοι δὲ οὔτε συγγινωσκόμενοι, ἀποδεικνύντες τε λόγῳ οὐδὲν μᾶλλον Αἰολεῦσι μετεὸν τῆς Ἰλιάδος χώρης ἢ οὐ καὶ σφίσι καὶ τοῖσι ἄλλοισι, ὅσοι Ἑλλήνων συνεπρήξαντο Μενέλεῳ τὰς Ἑλένης ἁρπαγάς.

XCV. Πολεμεόντων δέ σφεων παντοῖα καὶ ἄλλα ἐγένετο ἐν τῇσι μάχῃσι, ἐν δὲ δὴ καὶ Ἀλκαῖος ὁ ποιητὴς συμβολῆς γενομένης καὶ νικώντων Ἀθηναίων αὐτὸς μὲν φεύγων ἐκφεύγει, τὰ δέ οἱ ὅπλα ἴσχουσι Ἀθηναῖοι, καί σφεα ἀνεκρέμασαν πρὸς τὸ Ἀθήναιον τὸ ἐν Σιγείῳ. (2) Ταῦτα δὲ Ἀλκαῖος ἐν μέλεϊ ποιήσας ἐπιτιθεῖ ἐς Μυτιλήνην, ἐξαγγελλόμενος τὸ ἑωυτοῦ πάθος Μελανίππῳ ἀνδρὶ ἑταίρῳ. Μυτιληναίους δὲ καὶ Ἀθηναίους κατήλλαξε Περίανδρος ὁ Κυψέλου· τούτῳ γὰρ διαιτητῇ ἐπετράποντο· κατήλλαξε δὲ ὧδε, νέμεσθαι ἑκατέρους τὴν ἔχουσι. Σίγειον μέν νυν οὕτω ἐγένετο ὑπ' Ἀθηναίοισι.

XCVI. Ἱππίης δὲ ἐπείτε ἀπίκετο ἐκ τῆς Λακεδαίμονος ἐς τὴν Ἀσίην, πᾶν χρῆμα ἐκίνεε διαβάλλων τούς τε Ἀθηναίους πρὸς τὸν Ἀρταφέρνεα, καὶ ποιέων ἅπαντα ὅκως αἱ Ἀθῆναι γενοίατο ὑπ' ἑωυτῷ τε καὶ Δαρείῳ. (2) Ἱππίης τε δὴ ταῦτα ἔπρησσε, καὶ οἱ Ἀθηναῖοι πυθόμενοι ταῦτα πέμπουσι ἐς Σάρδις ἀγγέλους, οὐκ ἐῶντες τοὺς Πέρσας πείθεσθαι Ἀθηναίων τοῖσι φυγάσι. (3) Ὁ δὲ Ἀρταφέρνης ἐκέλευέ σφεας, εἰ βουλοίατο σόοι εἶναι, καταδέκεσθαι ὀπίσω Ἱππίην. Οὐκ ὦν δὴ ἐνεδέκοντο τοὺς λόγους ἀποφερομένους Ἀθηναῖοι· οὐκ ἐνδεκομένοισι δέ σφι ἐδέδοκτο ἐκ τοῦ φανεροῦ τοῖσι Πέρσῃσι πολεμίους εἶναι.

XCVII. Νομίζουσι δὴ ταῦτα καὶ διαβεβλημένοισι ἐς τοὺς Πέρσας, ἐν τούτῳ δὴ τῷ καιρῷ ὁ Μιλήσιος Ἀρισταγόρης ὑπὸ Κλεομένεος τοῦ Λακεδαιμονίου ἐξελαθεὶς ἐκ τῆς Σπάρτης ἀπίκετο ἐς Ἀθήνας· αὕτη γὰρ ἡ πόλις τῶν λοιπέων ἐδυνάστευε μέγιστον. (2) Ἐπελθὼν δὲ ἐπὶ τὸν δῆμον ὁ Ἀρισταγόρης ταὐτὰ ἔλεγε τὰ καὶ ἐν τῇ Σπάρτῃ περὶ τῶν ἀγαθῶν τῶν ἐν τῇ Ἀσίῃ καὶ τοῦ πολέμου τοῦ Περσικοῦ, ὡς οὔτε ἀσπίδα οὔτε δόρυ νομίζουσι, εὐπετέες τε χειρωθῆναι εἴησαν. (3) Ταῦτά τε δὴ ἔλεγε καὶ πρὸς τοῖσι τάδε, ὡς οἱ Μιλήσιοι τῶν Ἀθηναίων εἰσὶ ἄποικοι, καὶ οἰκός σφεας εἴη ῥύεσθαι δυναμένους μέγα· καὶ οὐδὲν ὅ τι οὐκ ὑπίσχετο οἷα κάρτα δεόμενος, ἐς ὃ ἀνέπεισέ σφεας. (4) Πολλοὺς γὰρ οἷκε εἶναι εὐπετέστερον διαβάλλειν ἢ ἕνα, εἰ Κλεομένεα μὲν τὸν Λακεδαιμόνιον μοῦνον οὐκ οἷός τε ἐγένετο διαβαλέειν, τρεῖς δὲ μυριάδας Ἀθηναίων ἐποίησε τοῦτο. (5) Ἀθηναῖοι μὲν δὴ ἀναπεισθέντες ἐψηφίσαντο εἴκοσι νέας ἀποστεῖλαι βοηθοὺς Ἴωσι, στρατηγὸν ἀποδέξαντες αὐτῶν εἶναι Μελάνθιον ἄνδρα τῶν ἀστῶν ἐόντα τὰ πάντα δόκιμον· αὗται δὲ αἱ νέες ἀρχὴ κακῶν ἐγένοντο Ἕλλησί τε καὶ βαρβάροισι.

XCVIII. Ἀρισταγόρης δὲ προπλώσας καὶ ἀπικόμενος ἐς τὴν Μίλητον, ἐξευρὼν βούλευμα ἀπ' οὗ Ἴωσι μὲν οὐδεμία ἔμελλε ὠφελίη ἔσεσθαι, οὐδ' ὧν οὐδὲ τούτου εἵνεκεν ἐποίεε, ἀλλ' ὅκως βασιλέα Δαρεῖον λυπήσει illi quidem suam repetentes ditionem, Athenienses vero negantes illorum esse, et rationibus arguentes, nihilo magis ad Æolenses pertinere Iliadem ditionem, quam ad se et ad reliquos Hellenes, qui cum Menelao ulti essent Helenæ raptum.

XCV. Dum hi inter se bellum gerebant, quum alia multa atque varia in præliis gesta erant, tum Alcæus poeta, prælio facto, in quo victores erant Athenienses, fuga quidem ipse evaserat, sed armorum ipsius Athenienses erant potiti, qui ea in Minervæ templo Sigei suspenderunt. (2) Quam rem Alcæus, lyrico carmine descriptam, Mytilenen nunciavit, certiorem faciens de calamitate sua Melanippum, unum de suis amicis. Mytilenæos vero et Athenienses reconciliavit deinde Periander, Cypseli filius, quem suarum contentionum arbitrum utrique constituerant: conciliavit autem hac ratione, ut utrique eam tenerent regionem, quam possiderent. Ita Sigeum sub Atheniensium venerat potestatem.

XCVI. Hippias vero, ut Lacedæmone in Asiam pervenit, omnia movebat, insimulando Athenienses apud Artaphernem, omniaque moliebatur quibus efficeret, ut Athenæ in suam et Darii venirent potestatem. (2) Dum hæc Hippias agebat, re cognita, Athenienses Sardes misere legatos, qui Persas hortarentur, ne morem gererent exsulibus Atheniensium. (3) At eos Artaphernes, si salvi esse vellent, jussit Hippiam recipere. Quam conditionem ad se relatam quum neutiquam admitterent Athenienses, decreverunt ex professo hostes esse Persarum.

XCVII. Per idem tempus, quo id decreverant Athenienses, et odium incurrerant Persarum, Milesius Aristagoras, a Cleomene Lacedæmonio Sparta pulsus, venit Athenas: hæc enim civitas inter cæteras potentia maxime eminebat. (2) In concionem igitur populi progressus Aristagoras eadem quæ Spartæ verba fecit, de Asiæ bonis, et de bello cum Persis, quam faciles hi essent superatu, ut qui nec scuto nec hasta uterentur. (3) Præter hæc commemorabat, Atheniensium colonos esse Milesios, et æquum esse ut ab illis servarentur qui potentia præstarent. Denique nihil non pollicebatur, impense rogans; donec eis persuasit. (4) Videtur enim facilius esse decipere multitudinem, quam unum hominem: nam unum quidem Cleomenem Lacedæmonium non potuerat decipere, sed triginta Atheniensium millia facile potuit. (5) Athenienses igitur, oratione illius persuasi, decreverunt viginti naves auxilio mittere Ionibus, quarum ducem nominarunt Melanthium, civem quovis nomine probatum. Hæ naves et Græcis et barbaris principium fuere malorum.

XCVIII. Aristagoras ante illarum egressum domum revectus, postquam Miletum pervenit, consilium cepit, ex quo nihil quidem utilitatis rediturum ad Ionas erat; neque etiam hac caussa id fecit, sed quo regi Dario crearet

σειε, ἔπεμψε ἐς τὴν Φρυγίην ἄνδρα ἐπὶ τοὺς Παίονας τοὺς ἀπὸ Στρυμόνος ποταμοῦ αἰχμαλώτους γενομένους ὑπὸ Μεγαβάζου, οἰκέοντας δὲ τῆς Φρυγίης χῶρόν τε καὶ κώμην ἐπ' ἑωυτῶν, ὃς ἐπείτε ἀπίκετο ἐς τοὺς Παίονας, ἔλεγε τάδε, « ἄνδρες Παίονες, ἔπεμψέ με Ἀρισταγόρης ὁ Μιλήτου τύραννος σωτηρίην ὑμῖν ὑποθησόμενον, ἢν περ βούλησθε πείθεσθαι. (2) Νῦν γὰρ Ἰωνίη πᾶσα ἀπέστηκε ἀπὸ βασιλέος, καὶ ὑμῖν παρέχει σώζεσθαι ἐπὶ τὴν ὑμετέρην αὐτῶν, μέχρι μὲν θαλάσσης αὐτοῖσι ὑμῖν, τὸ δὲ ἀπὸ τούτου ἡμῖν ἤδη μελήσει. » Ταῦτα δὲ ἀκούσαντες οἱ Παίονες κάρτα τε ἀσπαστὸν ἐποιήσαντο, καὶ ἀναλαβόντες παῖδάς τε καὶ γυναῖκας ἀπεδίδρησκον ἐπὶ θάλασσαν· οἱ δέ τινες αὐτῶν καὶ κατέμειναν ἀρρωδήσαντες αὐτοῦ. (3) Ἐπείτε δὲ οἱ Παίονες ἀπίκοντο ἐπὶ θάλασσαν, ἐνθεῦτεν ἐς Χίον διέβησαν. Ἐόντων δὲ ἤδη ἐν Χίῳ, κατὰ πόδας ἐληλύθεε Περσέων ἵππος πολλὴ διώκουσα τοὺς Παίονας. Ὡς δὲ οὐ κατέλαβον, ἐπηγγέλλοντο ἐς τὴν Χίον τοῖσι Παίοσι ὅκως ἂν ὀπίσω ἀπέλθοιεν. (4) Οἱ δὲ Παίονες τοὺς λόγους οὐκ ἐνεδέκοντο, ἀλλ' ἐκ Χίου μὲν Χῖοί σφεας ἐς Λέσβον ἤγαγον, Λέσβιοι δὲ ἐς Δορίσκον ἐκόμισαν· ἐνθεῦτεν δὲ πεζῇ κομιζόμενοι ἀπίκοντο ἐς Παιονίην.

XCIX. Ἀρισταγόρης δὲ, ἐπειδὴ οἵ τε Ἀθηναῖοι ἀπίκοντο εἴκοσι νηυσὶ, ἅμα ἀγόμενοι Ἐρετριέων πέντε τριήρεας, οἳ οὐ τὴν Ἀθηναίων χάριν ἐστρατεύοντο, ἀλλὰ τὴν αὐτῶν Μιλησίων, ὀφειλόμενά σφι ἀποδιδόντες (οἱ γὰρ δὴ Μιλήσιοι πρότερον τοῖσι Ἐρετριεῦσι τὸν πρὸς Χαλκιδέας πόλεμον συνδιήνεικαν, ὅτε περ καὶ Χαλκιδεῦσι ἀντία Ἐρετριέων καὶ Μιλησίων Σάμιοι ἐβώθεον), οὗτοι ὦν ἐπείτε σφι ἀπίκοντο καὶ οἱ ἄλλοι σύμμαχοι παρῆσαν, ἐποιέετο στρατηίην ὁ Ἀρισταγόρης ἐς Σάρδις. (2) Αὐτὸς μὲν δὴ οὐκ ἐστρατεύετο, ἀλλ' ἔμενε ἐν Μιλήτῳ, στρατηγοὺς δὲ ἄλλους ἀπέδεξε Μιλησίων εἶναι, τὸν ἑωυτοῦ τε ἀδελφεὸν Χαροπῖνον καὶ τῶν ἄλλων ἀστῶν Ἑρμόφαντον.

C. Ἀπικόμενοι δὲ τῷ στόλῳ τούτῳ Ἴονες ἐς Ἔφεσον πλοῖα μὲν κατέλιπον ἐν Κορησσῷ τῆς Ἐφεσίης, αὐτοὶ δὲ ἀνέβαινον χειρὶ πολλῇ, ποιεύμενοι Ἐφεσίους ἡγεμόνας. (2) Πορευόμενοι δὲ παρὰ ποταμὸν Καΰστριον, ἐνθεῦτεν ἐπείτε ὑπερβάντες τὸν Τμῶλον ἀπίκοντο, αἱρέουσι Σάρδις οὐδενός σφι ἀντιωθέντος, αἱρέουσι δὲ χωρὶς τῆς ἀκροπόλιος τἆλλα πάντα· τὴν δὲ ἀκρόπολιν ἐρρύετο αὐτὸς Ἀρταφέρνης, ἔχων δύναμιν ἀνδρῶν οὐκ ὀλίγην.

CI. Τὸ δὲ μὴ λεηλατῆσαι ἑλόντας σφέας τὴν πόλιν ἔσχε τόδε· ἦσαν ἐν τῇσι Σάρδισι οἰκίαι αἱ μὲν πλεῦνες καλάμιναι, ὅσαι δ' αὐτέων καὶ πλίνθιναι ἦσαν, καλάμου εἶχον τὰς ὀροφάς. Τούτων δὴ μίαν τῶν τις στρατιωτέων ὡς ἐνέπρησε, αὐτίκα ἀπ' οἰκίης ἐς οἰκίην ἰὸν τὸ πῦρ ἐπενέμετο τὸ ἄστυ πᾶν. (2) Καιομένου δὲ τοῦ ἄστεος οἱ Λυδοί τε καὶ ὅσοι Περσέων ἐνῆσαν ἐν τῇ πόλι, ἀπολαμφθέντες πάντοθεν ὥστε τὰ περιέσχατα νεμομένου τοῦ πυρὸς, καὶ οὐκ ἔχοντες ἐξήλυσιν ἐκ τοῦ ἄστεος, συνέρρεον ἔς τε τὴν ἀγορὴν καὶ ἐπὶ τὸν Πακτωλὸν ποταμὸν, ὃς ἐκ μέσου τοῦ ἀκροπολίου ῥέων διὰ τῆς ἀγορῆς ἐξίει ἐς τὸν Τμῶλον, καὶ ἐκ τούτου ἐς τὸν πρὸ τῆς πόλιος ποταμὸν τὸν Ἕρμον, ὃς ἐκδιδοῖ ἐς θάλασσαν τὴν διὰ Φωκαίης ῥέων.

molestiam : hominem misit in Phrygiam ad Pæones illos, qui a Strymone fluvio captivi abducti a Megabazo, regionem vicumque Phrygiæ seorsum habitabant. Ad quos ubi pervenit legatus, his verbis cum eis egit : « Pæones, inquit, misit me Aristagoras Mileti tyrannus, ut salutis viam, si obtemperare volueritis, vobis ostendam. (2) Etenim Ionia nunc universa descivit a rege, licetque vobis salvis in patriam redire vestram. Ad mare quidem ut perveniatis, vos ipsi curabitis : reliqua jam nobis curæ erunt. » His auditis, lætati admodum Pæones, cum liberis et uxoribus ad mare se fuga receperunt : nonnulli tamen ex eisdem, metu retenti, loco se non moverunt. (3) Postquam ad mare pervenere Pæones, Chium inde trajecere. Quumque jam in Chio essent, e vestigio venit Persarum equitum magna manus, illos prosequentium : qui ubi Pæones non sunt consecuti, Chium miserunt præconem, ab illisque ut redirent postularunt. (4) Sed Pæones, propositam aspernati conditionem, Chio a Chiis Lesbum sunt transducti, Lesbiique eos Doriscum trajecerunt : inde vero pedibus redeuntes, in Pæoniam pervenerunt.

XCIX. Interim Athenienses cum viginti navibus Miletum advenerunt, quas sequebantur quinque triremes Eretriensium. Et Eretrienses quidem non Atheniensium gratia huic se adjunxerant expeditioni, sed ipsis Milesiis gratum facturi, beneficiumque ab illis acceptum rependentes. Namque Milesii prius sociam Eretriensibus operam in bello cum Chalcidensibus præstiterant, quo tempore Samii Chalcidensibus adversus Eretrienses et Milesios miserant auxilia. Athenienses igitur postquam advenere cum Eretriensibus, quum et reliqui adessent socii, expeditionem adversus Sardes suscepit Aristagoras : (2) ita quidem ut in bellum ipse non proficisceretur, sed Mileti maneret, constitutis aliis Milesiorum ducibus, fratre suo Charopino, et ex reliquorum numero civium Hermophanto.

C. Hac classe quum Ephesum pervenissent Iones, relictis navibus Coressi in finibus Ephesiorum, ipsi magna manu ascenderunt, viæ ducibus utentes Ephesiis. (2) Progressi autem secundum Caystrium flumen, inde superato Tmolo, Sardes pervenere; et urbem capiunt, nemine contra prodeunte : nempe reliqua omnia occuparunt præter arcem; arcem vero ipse Artaphernes cum haud exigua vi militum tutabatur.

CI. Quominus vero captam diripere possent urbem, hæc res fuit impedimento : erant Sardibus pleræque domus ex arundine constructæ; quæcumque vero etiam ex lateribus, earum tecta arundinea erant. Harum unam quum incendisset quidam ex militibus, continuo de domo in domum grassatus ignis universam urbem depascebat. (2) Ardente urbe, Lydi et quicumque Persæ in urbe erant, undique interclusi, utpote extrema absumente incendio, neque exitum ullum habentes ex urbe, in forum confluxerunt ad Pactolum fluvium : qui fluvius auri ramenta illis ex Tmolo

λὸν ποταμὸν, ὃς σφι ψῆγμα χρυσοῦ καταφορέων ἐκ τοῦ Τμώλου διὰ μέσης τῆς ἀγορῆς ῥέει καὶ ἔπειτεν ἐς τὸν Ἕρμον ποταμὸν ἐκδιδοῖ, ὁ δὲ ἐς θάλασσαν· ἐπὶ τοῦτον δὴ τὸν Πακτωλὸν καὶ ἐς τὴν ἀγορὴν ἀθροιζόμενοι οἵ τε Λυδοὶ καὶ οἱ Πέρσαι ἠναγκάζοντο ἀμύνεσθαι. (3) Οἱ δὲ Ἴωνες ὁρέοντες τοὺς μὲν ἀμυνομένους τῶν πολεμίων, τοὺς δὲ σὺν πλήθεϊ πολλῷ προσφερομένους, ἐξανεχώρησαν δείσαντες πρὸς τὸ οὖρος τὸ Τμῶλον καλεύμενον, ἐνθεῦτεν δὲ ὑπὸ νύκτα ἀπαλλάσσοντο ἐπὶ τὰς νέας.

CII. Καὶ Σάρδιες μὲν ἐνεπρήσθησαν, ἐν δὲ αὐτῇσι καὶ ἰρὸν ἐπιχωρίης θεοῦ Κυβήβης, τὸ σκηπτόμενοι Πέρσαι ὕστερον ἀντενεπίμπρασαν τὰ ἐν Ἕλλησι ἱρά. Τότε δὲ οἱ Πέρσαι οἱ ἐντὸς Ἅλυος ποταμοῦ νομοὺς ἔχοντες, προπυνθανόμενοι ταῦτα, συνηλίζοντο καὶ ἐβώθεον τοῖσι Λυδοῖσι. (2) Καί κως ἐν μὲν Σάρδισι οὐκέτι ἐόντας τοὺς Ἴωνας εὑρίσκουσι, ἑπόμενοι δὲ κατὰ στίβον αἱρέουσι αὐτοὺς ἐν Ἐφέσῳ. Καὶ ἀντετάχθησαν μὲν οἱ Ἴωνες, συμβαλόντες δὲ πολλὸν ἐσσώθησαν. (3) Καὶ πολλοὺς αὐτῶν οἱ Πέρσαι φονεύουσι, ἄλλους τε οὐνομαστοὺς, ἐν δὲ δὴ καὶ Εὐαλκίδεα στρατηγέοντα Ἐρετριέων, στεφανηφόρους τε ἀγῶνας ἀναιρηκότα καὶ ὑπὸ Σιμωνίδεω τοῦ Κηΐου πολλὰ αἰνεθέντα. Οἱ δὲ αὐτῶν ἀπέφυγον τὴν μάχην, ἐσκεδάσθησαν ἀνὰ τὰς πόλιας.

CIII. Τότε μὲν δὴ οὕτω ἠγωνίσαντο· μετὰ δὲ Ἀθηναῖοι μὲν τὸ παράπαν ἀπολιπόντες τοὺς Ἴωνας ἐπικαλευμένου σφέας πολλὰ δι' ἀγγέλων Ἀριστα γόρεω οὐκ ἔφασαν τιμωρήσειν σφίσι· Ἴωνες δὲ τῆς Ἀθηναίων συμμαχίης στερηθέντες (οὕτω γάρ σφι ὑπῆρχε πεποιημένα ἐς Δαρεῖον) οὐδὲν δὴ ἔσσον τὸν πρὸς βασιλέα πόλεμον ἐσκευάζοντο. (2) Πλώσαντες δὲ ἐς τὸν Ἑλλήσποντον Βυζάντιόν τε καὶ τὰς ἄλλας πόλις ἁπάσας τὰς ταύτῃ ὑπ' ἑωυτοῖσι ἐποιήσαντο, ἐκπλώσαντές τε ἔξω τὸν Ἑλλήσποντον Καρίης τὴν πολλὴν προσεκτήσαντο σφίσι σύμμαχον εἶναι· καὶ γὰρ τὴν Καῦνον πρότερον οὐ βουλομένην συμμαχέειν, ὡς ἐνέπρησαν τὰς Σάρδις, τότε σφι καὶ αὕτη προσεγένετο.

CIV. Κύπριοι δὲ ἐθελονταί σφι πάντες προσεγένοντο πλὴν Ἀμαθουσίων· ἀπέστησαν γὰρ καὶ οὗτοι ὧδε ἀπὸ Μήδων. Ἦν Ὀνήσιλος Γόργου μὲν τοῦ Σαλαμινίων βασιλέος ἀδελφεὸς νεώτερος, Χέρσιος δὲ τοῦ Σιρώμου τοῦ Εὐέλθοντος παῖς. (2) Οὗτος ὤνηρ πολλάκις μὲν καὶ πρότερον τὸν Γόργον παρηγορέετο ἀπίστασθαι ἀπὸ βασιλέος· τότε δ', ὡς καὶ τοὺς Ἴωνας ἐπύθετο ἀπεστάναι, πάγχυ ἐπικείμενος ἐνῆγε. Ὡς δὲ οὐκ ἔπειθε τὸν Γόργον, ἐνθαῦτά μιν φυλάξας ἐξελθόντα τὸ ἄστυ τὸ Σαλαμινίων ὁ Ὀνήσιλος ἅμα τοῖσι ἑωυτοῦ στασιώτῃσι ἀπεκλῄϊσε τῶν πυλέων. (3) Γόργος μὲν δὴ στερηθεὶς τῆς πόλιος ἔφευγε ἐς Μήδους, Ὀνήσιλος δὲ ἦρχε Σαλαμῖνος καὶ ἀνέπειθε πάντας Κυπρίους συναπίστασθαι. Τοὺς μὲν δὴ ἄλλους ἀνέπεισε, Ἀμαθουσίους δὲ οὐ βουλομένους οἱ πείθεσθαι ἐπολιόρκεε προσκατήμενος.

CV. Ὀνήσιλος μέν νυν ἐπολιόρκεε Ἀμαθοῦντα· βα-

deferens, per medium forum labitur, et deinde Hermo fluvio miscetur, qui in mare influit. Ad hunc igitur Pactolum et in forum congregati Lydi atque Persæ defendere sese coacti sunt. (3) At Iones, ubi viderunt alios ex hostibus fortiter pugnantes, alios vero magno numero ingruentes, trepidi cedentes ad Tmolum, qui vocatur, montem se receperunt : atque inde sub noctem versus naves suas abierunt.

CII. Ita incendio consumptæ sunt Sardes, in eisque indigenæ deæ Cybebes templum : quam causam postea prætexentes Persæ templa vicissim in Græcia cremarunt. Tunc vero Persæ qui intra Halyn fluvium pagos tenebant, certiores facti quid ageretur, junctis viribus auxilio Lydis venerunt. (2) Qui quum Ionas non amplius Sardibus essent nacti, e vestigio subsecuti, Ephesi illos deprehenderunt. Et Iones quidem in aciem adversus eos progressi sunt, sed prælio commisso ingenti clade sunt adfecti : (3) magnumque eorum numerum Persæ interfecerunt, quum alios spectatos viros, tum Eualcidem, Eretriensium ducem, virum qui in ludorum solennibus coronas reportaverat, multumque a Simonide Ceo erat laudatus. Qui vero ex pugna evaserunt per civitates sunt dissipati.

CIII. Tali igitur modo tunc pugnatum est. Posthaec vero Athenienses prorsus deseruerunt Ionas; et sæpe multumque ab Aristagora per nuncios solicitati, constanter negarunt se auxilio illis futuros. Sed Iones, Atheniensium auxilio privati, nihilo minus ad bellum adversus Darium, quod post ea quæ adversus regem patraverant evitari non posse intelligebant, sese comparabant. (2) In Hellespontum navibus profecti, Byzantium et alias omnes eo loci civitates suum sub obsequium redegerunt. Dein extra Hellespontum evecti, majorem Cariæ partem societati suæ adjecerunt : nam et Caunus, quæ prius, quando Sardes cremarunt, societatem illorum recusaverat, nunc eis ipsa quoque accessit.

CIV. Cyprii vero universi, Amathusiis exceptis, ultro se illis adjunxerunt. Nam et hi a Medis desciverant tali occasione. Onesilus erat, Gorgi Salaminiorum regis frater natu minor, Chersidis filius, Siromi nepos, pronepos Euelthontis. (2) Hic vir, postquam sæpius antea Gorgum, ut a rege deficeret, esset hortatus; tunc, ubi Ionas etiam cognovit descivisse, vehementius illum instigare conatus est. Cui quum morem non gereret Gorgus, tempus observans Onesilus, quo extra urbem Salaminiorum ille erat egressus, una cum sectatoribus suis fratrem portis exclusit. (3) Itaque Gorgus, urbe spoliatus, ad Medos profugit. Onesilus vero Salaminis tenuit imperium; omnibusque Cypriis, ut secum desciscerent, persuasit. Cæteris quidem persuasit cunctis; Amathusios vero, morem ei gerere nolentes, obsidione cinxit.

CV. Dum Amathunta Onesilus obsidet, interim Dario

σιλεῖ δὲ Δαρείῳ ὡς ἐξηγγέλθη Σάρδις ἁλούσας ἐμπεπρῆσθαι ὑπό τε Ἀθηναίων καὶ Ἰώνων, τὸν δὲ ἡγεμόνα γενέσθαι τῆς συλλογῆς, ὥστε ταῦτα συνυφανθῆναι, τὸν Μιλήσιον Ἀρισταγόρεα, πρῶτα μὲν λέγεται αὐτὸν, ὡς ἐπύθετο ταῦτα, Ἰώνων οὐδένα λόγον ποιησάμενον, εὖ εἰδότα ὡς οὗτοί γε οὐ καταπροΐξονται ἀποστάντες, εἴρεσθαι οἵτινες εἶεν οἱ Ἀθηναῖοι, (2) μετὰ δὲ πυθόμενον αἰτῆσαι τὸ τόξον, λαβόντα δὲ καὶ ἐπιθέντα ὀϊστὸν ἄνω ἐς τὸν οὐρανὸν ἀπεῖναι, καί μιν ἐς τὸν ἥλιον βαλόντα εἶπαι, « ὦ Ζεῦ, ἐκγενέσθαι μοι Ἀθηναίους τίσασθαι, » εἶπαντα δὲ ταῦτα προστάξαι ἑνὶ τῶν θεραπόντων δείπνου προκειμένου αὐτῷ ἐς τρὶς ἑκάστοτε εἶπαι, « δέσποτα, μέμνεο τῶν Ἀθηναίων. »

CVI. Προστάξας δὲ ταῦτα εἶπε, καλέσας ἐς ὄψιν Ἱστιαῖον τὸν Μιλήσιον, τὸν ὁ Δαρεῖος κατεῖχε χρόνον ἤδη πολλὸν, « πυνθάνομαι, Ἱστιαῖε, ἐπίτροπον τὸν σὸν, τῷ σὺ Μίλητον ἐπέτρεψας, νεώτερα ἐς ἐμὲ πεποιηκέναι πρήγματα· ἄνδρας γάρ μοι ἐκ τῆς ἑτέρης ἠπείρου ἐπαγαγὼν, καὶ Ἴωνας σὺν αὐτοῖσι τοὺς δώσοντας ἐμοὶ δίκην τῶν ἐποίησαν, τούτους ἀναγνώσας ἅμα ἐκείνοισι ἔπεσθαι Σαρδίων με ἀπεστέρηκε. (2) Νῦν ὦν κῶς τοι φαίνεται ταῦτα ἔχειν καλῶς; κῶς δ' ἄνευ τῶν σῶν βουλευμάτων τοιοῦτό τι ἐπρήχθη; ὅρα μὴ ἐξ ὑστέρης σεωυτὸν ἐν αἰτίῃ σχῇς. » Εἶπε πρὸς ταῦτα ὁ Ἱστιαῖος, « βασιλεῦ, κοῖον ἐφθέγξαο ἔπος, ἐμὲ βουλεῦσαι πρῆγμα ἐκ τοῦ σοί τι ἢ μέγα ἢ σμικρὸν ἔμελλε λυπηρὸν ἀνασχήσειν; (3) τί δ' ἂν ἐπιδιζήμενος ποιέοιμι ταῦτα, τεῦ δὲ ἐνδεὴς ἐών; τῷ πάρα μὲν πάντα ὅσα περ σοὶ, πάντων δὲ πρὸς σέο βουλευμάτων ἐπακούειν ἀξιεῦμαι. Ἀλλ' εἴπερ τι τοιοῦτον οἷον σὺ εἴρηκας πρήσσει ὁ ἐμὸς ἐπίτροπος, ἴσθι αὐτὸν ἐπ' ἑωυτοῦ βαλόμενον πεπρηχέναι. (4) Ἀρχὴν δὲ ἐγωγε οὐδὲ ἐνδέκομαι τὸν λόγον, ὅκως τι Μιλήσιοι καὶ ὁ ἐμὸς ἐπίτροπος νεώτερον πρήσσουσι περὶ πρήγματα τὰ σά. Εἰ δ' ἄρα τι τοιοῦτο ποιεῦσι καὶ σὺ τὸ ἐὸν ἀκήκοας, ὦ βασιλεῦ, μάθε οἷον πρῆγμα ἐργάσαο ἐμὲ ἀπὸ θαλάσσης ἀνάσπαστον ποιήσας. (5) Ἴωνες γὰρ οἱκασι ἐμεῦ ἐξ ὀφθαλμῶν σφι γενομένου ποιῆσαι τῶν πάλαι ἵμερον εἶχον· ἐμέο δ' ἂν ἐόντος ἐν Ἰωνίῃ οὐδεμία πόλις ὑπεκίνησε. Νῦν ὦν ὡς τάχος με ἄπες πορευθῆναι ἐς Ἰωνίην, ἵνα τοι ἐκεῖνά τε πάντα καταρτίσω ἐς τὠυτὸ, καὶ τὸν Μιλήτου ἐπίτροπον τοῦτον τὸν ταῦτα μηχανησάμενον ἐγχειρίθετον παραδῶ. (6) Ταῦτα δὲ κατὰ νόον τὸν σὸν ποιήσας, θεοὺς ἐπόμνυμι τοὺς βασιληίους μὴ μὲν πρότερον ἐκδύσασθαι τὸν ἔχων χιθῶνα καταβήσομαι ἐς Ἰωνίην, πρὶν ἄν τοι Σαρδὼ νῆσον τὴν μεγίστην δασμοφόρον ποιήσω. »

CVII. Ἱστιαῖος μὲν λέγων ταῦτα διέβαλλε, Δαρεῖος δὲ ἐπείθετο καί μιν ἀπίει, ἐντειλάμενος, ἐπεὰν τὰ ὑπέσχετο οἱ ἐπιτελέα ποιήσῃ, παραγίνεσθαί οἱ ὀπίσω ἐς τὰ Σοῦσα.

CVIII. Ἐν ᾧ δὲ ἡ ἀγγελίη τε περὶ τῶν Σαρδίων παρὰ βασιλέα ἀνῄει καὶ Δαρεῖος τὰ περὶ τὸ τόξον ποιήσας Ἱστιαίῳ ἐς λόγους ἦλθε καὶ Ἱστιαῖος μεμετιμένος ὑπὸ Δαρείου ἐκομίζετο ἐπὶ θάλασσαν, ἐν τούτῳ παντὶ

regi nunciatur, Sardes captas esse incensasque ab Atheniensibus et Ionibus, illiusque tumultus auctorem, cujus consilio hæc suscepta sint, Aristagoram esse Milesium. Quo accepto nuncio, dicitur rex, nulla ratione habita Ionum, quippe quos bene noverat non impune laturos quod defecissent, quæsisse quinam essent Athenienses; (2) deinde, postquam audivit, poposcisse arcum, et sagittam arcui impositam emisisse in cœlum, utque illa in aerem evolavit, exclamasse, « Proh Juppiter, contingat mihi pœnas sumere ab Atheniensibus! » hisque dictis, mandasse uni e ministris, ut, quoties cœna ipsi adponeretur, ter ipsi diceret, « Domine, memento Atheniensium! »

CVI. Hoc dato mandato, vocato in conspectum suum Histiæo Milesio, quem jam multo abhinc tempore apud se Darius retinuerat : « Histiæe, inquit, tuum procuratorem, cujus fidei Miletum commisisti, audio res novas adversus me esse molitum. Homines enim ex altera continente adversus me duxit, et Ionas cum illis, factorum pœnas mihi daturos : his persuasit ut illos sequerentur, et Sardes mihi eripuit. (2) Nunc igitur, quo pacto tibi hoc bene habere videtur? quove pacto tale quidpiam absque tuo consilio factum est? Vide ne deinde tu ipse hac culpa tenearis. » Ad hæc Histiæus respondit : « Quale verbum, rex, pronunciasti? mene agitare consilium, ex quo tibi ulla molestia, sive magna, sive exigua, exsistat? (3) Quid quærens equidem, tale quidpiam facerem? cujus rei indigeo? cui eadem i quæ tibi, præsto sunt; quicum tu omnia tua communicare consilia dignaris. Immo, si quid tale, quale tu ais, meus agitat procurator, scito id eum suo fecisse arbitratu. (4) At mihi statim ne persuaderi quidem potest, Milesios et meum procuratorem novas res adversus te moliri. Sin utique tale quid agunt, tibique si vera relata sunt, vide, rex, quid sit quod tu feceris, dum me a mari abstraxisti. (5) Videntur enim Iones, ex quo ego ex illorum conspectu remotus sum, agitare id cujus olim desiderium habuerunt. Sin ego in Ionia adessem, nulla civitas se vel pauxillum motura erat. Nunc igitur quamprimum dimitte me, ut in Ioniam profisciscar, tibique omnia ibi in integrum restituam, et procuratorem hunc Mileti, qui hæc machinatus est, vinctum tradam. (5) Hæc quum ex animi tui sententia perfecero, deos juro regios, non prius tunicam exuturum qua indutus Ioniam intravero, quam tibi Sardiniam, maximam insulam, tributariam reddidero. »

CVII. His Histiæi verbis deceptus Darius morem ei gessit, dimisitque eum adjecto mandato, ut, postquam quæ pollicitus esset effecta dedisset, ad se Susa rediret.

CVIII. Per idem tempus, quo nuncius de incensis Sardibus ad regem missus est, et Darius sagitta in cœlum emissa cum Histiæo sermonem contulit, Histiæusque a rege dimissus ad mare est profectus; per totum hoc tempus

τῷ χρόνῳ ἐγίνετο τάδε. (2) Πολιορκέοντι τῷ Σαλαμινίῳ Ὀνησίλῳ Ἀμαθουσίους ἐξαγγέλλεται νηυσὶ στρατιὴν πολλὴν ἄγοντα Περσικὴν Ἀρτύβιον ἄνδρα Πέρσην προσδόκιμον ἐς τὴν Κύπρον εἶναι. Πυθόμενος δὲ ταῦτα ὁ Ὀνήσιλος κήρυκας διέπεμπε ἐς τὴν Ἰωνίην, ἐπικαλεύμενός σφεας. (3) Ἴωνες δὲ οὐκ ἐς μακρὴν βουλευσάμενοι ἦκον πολλῷ στόλῳ. Ἴωνές τε δὴ παρῆσαν ἐς τὴν Κύπρον, καὶ οἱ Πέρσαι νηυσὶ διαβάντες ἐκ τῆς Κιλικίης ἤισαν ἐπὶ τὴν Σαλαμῖνα πεζῇ· τῇσι δὲ νηυσὶ οἱ Φοίνικες περιέπλωον τὴν ἄκρην αἳ καλεῦνται Κληῖδες τῆς Κύπρου.

CIX. Τούτου δὲ τοιούτου γινομένου ἔλεξαν οἱ τύραννοι τῆς Κύπρου, συγκαλέσαντες τῶν Ἰώνων τοὺς στρατηγούς, « ἄνδρες Ἴωνες, αἵρεσιν ὑμῖν δίδομεν ἡμεῖς οἱ Κύπριοι ὁκοτέροισι βούλεσθε προσφέρεσθαι, ἢ Πέρσῃσι ἢ Φοίνιξι. (2) Εἰ μὲν γὰρ πεζῇ βούλεσθε ταχθέντες Περσέων διαπειρᾶσθαι, ὥρη ἂν εἴη ὑμῖν ἐκβάντας ἐκ τῶν νεῶν τάσσεσθαι πεζῇ, ἡμέας δὲ ἐς τὰς νέας ἐμβαίνειν τὰς ὑμετέρας Φοίνιξι ἀνταγωνιευμένους· εἰ δὲ Φοινίκων μᾶλλον βούλεσθε διαπειρᾶσθαι, ποιέειν χρεών ἐστι ὑμέας, ὁκότερα ἂν δὴ τούτων ἕλησθε, ὅκως τὸ κατ' ὑμέας ἔσται ἥ τε Ἰωνίη καὶ ἡ Κύπρος ἐλευθέρη. » (2) Εἶπαν Ἴωνες πρὸς ταῦτα, « ἡμέας ἀπέπεμψε τὸ κοινὸν τῶν Ἰώνων φυλάξοντας τὴν θάλασσαν, ἀλλ' οὐχ ἵνα Κυπρίοισι τὰς νέας παραδόντες αὐτοὶ Πέρσῃσι πεζῇ προσφερώμεθα. (4) Ἡμεῖς μέν νυν ἐπ' οἷ ἐτάχθημεν, ταύτῃ πειρησόμεθα εἶναι χρηστοί· ὑμέας δὲ χρεών ἐστι ἀναμνησθέντας οἷα ἐπάσχετε δουλεύοντες πρὸς τῶν Μήδων, γίνεσθαι ἄνδρας ἀγαθούς. » Ἴωνες μὲν τούτοισι ἀμείψαντο.

CX. Μετὰ δὲ ἥκόντων ἐς τὸ πεδίον τὸ Σαλαμινίων τῶν Περσέων διέτασσον οἱ βασιλέες τῶν Κυπρίων, τοὺς μὲν ἄλλους Κυπρίους κατὰ τοὺς ἄλλους στρατιώτας ἀντιτάσσοντες, Σαλαμινίων δὲ καὶ Σολίων ἀπολέξαντες τὸ ἄριστον ἀντέτασσον Πέρσῃσι. Ἀρτυβίῳ δὲ τῷ στρατηγῷ τῶν Περσέων ἐθελοντὴς ἀντετάσσετο Ὀνήσιλος.

CXI. Ἤλαυνε δὲ ἵππον ὁ Ἀρτύβιος δεδιδαγμένον πρὸς ὁπλίτην ἵστασθαι ὀρθόν. Πυθόμενος ὦν ταῦτα ὁ Ὀνήσιλος, ἦν γάρ οἱ ὑπασπιστὴς γένος μὲν Κάρ, τὰ δὲ πολέμια κάρτα δόκιμος καὶ ἄλλως λήματος πλέος, εἶπε πρὸς τοῦτον, « πυνθάνομαι τὸν Ἀρτυβίου ἵππον ἱστάμενον ὀρθὸν καὶ ποσὶ καὶ στόματι κατεργάζεσθαι πρὸς τὸν ἂν προσενεχθῇ. (2) Σὺ ὦν βουλευσάμενος αὐτίκα εἰπὲ ὁκότερον βούλεαι φυλάξας πλῆξαι, εἴτε τὸν ἵππον εἴτε αὐτὸν Ἀρτύβιον. » Εἶπε πρὸς ταῦτα ὁ ὀπέων αὐτοῦ, « ὦ βασιλεῦ, ἑτοῖμος μὲν ἐγώ εἰμι ποιέειν καὶ ἀμφότερα καὶ τὸ ἕτερον αὐτῶν, καὶ πάντως τὸ ἂν ἐπιτάσσῃς σύ· ὡς μέντοι ἔμοιγε δοκέει εἶναι τοῖσι σοῖσι πρήγμασι προσφερέστερον, φράσω. (3) Βασιλέα μὲν καὶ στρατηγὸν χρεὼν εἶναί φημι βασιλεΐ τε καὶ στρατηγῷ προσφέρεσθαι· ἢν τε γὰρ κατέλῃς ἄνδρα στρατηγόν, μέγα τοι γίνεται, καὶ δεύτερα, ἢν σὲ ἐκεῖνος, τὸ μὴ γένοιτο, ὑπ' ἀξιόχρεω καὶ ἀποθανέειν ἡμίσεα συμ-

hæcce gesta sunt. (2) Onesilo Salaminio Amathusios obsidenti nunciatur, Artybium Persam cum classe et ingenti Persarum exercitu adfuturum esse in Cyprum. Quo cognito Onesilus præcones dimisit per Ioniam, auxilio Ionas advocans : (3) nec diu re deliberata, adfuerunt Iones cum magna classe. Eodemque tempore quo Iones in Cyprum advenere, Persæ etiam quum navibus e Cilicia trajecissent, pedestri itinere Salaminem contenderunt : navibus autem Phœnices circumnavigarunt promontorium illud, quæ Claves Cypri vocantur.

CIX. Quæ quum ita essent, Cyprii tyranni convocatis Ionum ducibus dixere : « Vobis, Iones, nos Cyprii damus optionem cum utris velitis confligere, cum Persis, an cum Phœnicibus. (2) Quod si pedestri pugna cum Persis vultis congredi, nulla interposita mora oportet vos, navibus egressos, pedestrem instruere aciem ; nos vero, conscensis navibus vestris, Phœnicibus nos opponere. Sin cum Phœnicibus tentare fortunam mavultis ; utrumlibet horum elegeritis, operam dare necesse est, ut, quoad est situm in vobis, liberæ sint et Ionia et Cyprus. » (3) Ad hæc Iones responderunt : « Nos commune Ionum misit, ut mare custodiremus ; non ut naves nostras tradentes Cypriis, ipsi cum Persis pedestri acie confligamus. (4) Nos igitur, qua parte locati sumus, in ea utilem præstare operam conabimur : vos autem, memores qualia Persis servientes passi ab illis sitis, fortes viros esse oportet. » Hoc illis responsum Iones dederunt.

CX. Post hæc, quum Persæ in Salaminiorum advenissent campum, aciem instruxerunt reges Cypriorum ; ita quidem, ut cæteros Cyprios cæteris hostium militibus opponerent, Persis autem fortissimos e Salaminiis et Soliis selectos. Contra Artybium vero, ducem Persarum, volens lubens stetit Onesilus.

CXI. Vehebatur Artybius equo, qui erectus stare adversus armatum militem erat edoctus. Qua re cognita Onesilus, quum esset ei armiger genere Car, arte bellica probatus, et animi plenus, dixit huic : « Artybii equum audio erectum stare, et pedibus atque ore pugnare contra adversarium. (2) Tu igitur ocyus delibera tecum, mihique ede, utrum observare ferireque velis, equum, an ipsum Artybium. » Ad hæc famulus respondit : « Paratus equidem sum, rex, et utrumque facere, et alterutrum, et omnino quidquid tu jusseris : dicam tamen id quod tuis rebus conducibilius esse mihi videtur. (3) Regem ducemque aio oportere cum rege duceque congredi : nam, sive tu virum ducem interfeceris, magnum hoc tibi erit : sive, quod dii prohibeant, te ille, ab digno etiam occidi, dimidiata calamitas est. (4) Nos vero

φορή· (4) ἡμέας δὲ τοὺς ὑπηρέτας ἑτέροισί τε ὑπηρέτῃσι προσφέρεσθαι καὶ πρὸς ἵππον, τοῦ σὺ τὰς μηχανὰς μηδὲν φοβηθῇς· ἐγὼ γάρ τοι ὑποδέκομαι μή μιν ἀνδρὸς ἔτι γε μηδενὸς στήσεσθαι ἐναντίον. »

CXII. Ταῦτα εἶπε, καὶ μεταυτίκα συνέμισγε τὰ στρατόπεδα πεζῇ καὶ νηυσί. Νηυσὶ μέν νυν Ἴωνες ἄκροι γενόμενοι ταύτην τὴν ἡμέρην ὑπερεβάλοντο τοὺς Φοίνικας, καὶ τούτων Σάμιοι ἠρίστευσαν· πεζῇ δὲ, ὡς συνῆλθον τὰ στρατόπεδα, συμπεσόντα ἐμάχοντο, κατὰ δὲ τοὺς στρατηγοὺς ἀμφοτέρους τάδε ἐγίνετο· (2) ὡς προσεφέρετο πρὸς τὸν Ὀνήσιλον ὁ Ἀρτύβιος ἐπὶ τοῦ ἵππου κατήμενος, ὁ Ὀνήσιλος κατὰ συνεθήκατο τῷ ὑπασπιστῇ παίει προσφερόμενον αὐτὸν τὸν Ἀρτύβιον· ἐπιβαλόντος δὲ τοῦ ἵππου τοὺς πόδας ἐπὶ τὴν Ὀνησίλεω ἀσπίδα, ἐνθαῦτα ὁ ὀπέων δρεπάνῳ πλήξας ἀπαρίσσει τοῦ ἵππου τοὺς πόδας. Ἀρτύβιος μὲν δὴ ὁ στρατηγὸς τῶν Περσέων ὁμοῦ τῷ ἵππῳ πίπτει αὐτοῦ ταύτῃ.

CXIII. Μαχομένων δὲ καὶ τῶν ἄλλων Στησήνωρ τύραννος ἐὼν Κουρίου προδιδοῖ ἔχων δύναμιν ἀνδρῶν περὶ ἑωυτὸν οὐ σμικρήν· οἱ δὲ Κουριέες οὗτοι λέγονται εἶναι Ἀργείων ἄποικοι. Προδόντων δὲ τῶν Κουριέων αὐτίκα καὶ τὰ Σαλαμινίων πολεμιστήρια ἅρματα τὠυτὸ τοῖσι Κουριεῦσι ἐποίευν. (2) Γινομένων δὲ τούτων κατυπέρτεροι ἔσαν οἱ Πέρσαι τῶν Κυπρίων. Τετραμμένου δὲ τοῦ στρατοπέδου ἄλλοι τε ἔπεσον πολλοὶ καὶ δὴ καὶ Ὀνήσιλός τε ὁ Χέρσιος, ὅσπερ τὴν Κυπρίων ἀπόστασιν ἐπῆρξε, καὶ ὁ Σολίων βασιλεὺς Ἀριστόκυπρος ὁ Φιλοκύπρου, Φιλοκύπρου δὲ τούτου τὸν Σόλων ὁ Ἀθηναῖος ἀπικόμενος ἐς Κύπρον ἐν ἔπεσι αἰνέσε τυράννων μάλιστα.

CXIV. Ὀνησίλου μέν νυν Ἀμαθούσιοι, ὅτι σφέας ἐπολιόρκησε, ἀποταμόντες τὴν κεφαλὴν ἐκόμισαν ἐς Ἀμαθοῦντα καί μιν ἀνεκρέμασαν ὑπὲρ τῶν πυλέων. Κρεμαμένης δὲ τῆς κεφαλῆς καὶ ἐούσης ἤδη κοίλης, ἐσμὸς μελισσέων ἐσδὺς ἐς αὐτὴν κηρίων μιν ἐνέπλησε. (2) Τούτου δὲ γενομένου τοιούτου (ἐχρέοντο γὰρ περὶ αὐτῆς οἱ Ἀμαθούσιοι) ἐμαντεύθη σφι τὴν μὲν κεφαλὴν κατελόντας θάψαι, Ὀνησίλῳ δὲ θύειν ὡς ἥρωϊ ἀνὰ πᾶν ἔτος, καί σφι ποιεῦσι ταῦτα ἄμεινον συνοίσεσθαι. Ἀμαθούσιοι μέν νυν ἐποίευν ταῦτα καὶ τὸ μέχρι ἐμεῦ.

CXV. Ἴωνες δὲ οἱ ἐν Κύπρῳ ναυμαχήσαντες ἐπείτε ἔμαθον τὰ πρήγματα τὰ Ὀνησίλου διεφθαρμένα καὶ τὰς πόλις τῶν Κυπρίων πολιορκευμένας τὰς ἄλλας πλὴν Σαλαμῖνος, ταύτην δὲ Γόργῳ τῷ προτέρῳ βασιλέϊ τοὺς Σαλαμινίους παραδόντας, αὐτίκα μαθόντες οἱ Ἴωνες ταῦτα ἀπέπλωον ἐς τὴν Ἰωνίην. (2) Τῶν δὲ ἐν Κύπρῳ πολίων ἀντέσχε χρόνον ἐπὶ πλεῖστον πολιορκευμένη Σόλοι, τὴν πέριξ ὑπορύσσοντες τὸ τεῖχος πέμπτῳ μηνὶ εἷλον οἱ Πέρσαι.

CXVI. Κύπριοι μὲν δὴ ἐνιαυτὸν ἐλεύθεροι γενόμενοι αὖτις ἐκ νέης κατεδεδούλωντο· Δαυρίσης δὲ ἔχων Δαρείου θυγατέρα καὶ Ὑμέης τε καὶ Ὀτάνης καὶ ἄλλοι

famulos aio oportere cum famulis congredi, et cum equo; cujus tu artes noli timere: ego enim tibi recipio, adversus nullum porro hominem illum se erecturum. »

CXII. Hæc postquam ille dixit, mox deinde commissa pugna est, et terra, et mari. Et navibus quidem Iones, acriter illo die pugnantes, superaverunt Phœnices: et inter Ionas Samiorum præ cæteris virtus eminuit. Pedestres vero ubi congressæ sunt copiæ, magno impetu invicem irruentes pugnarunt. Circa imperatores autem utrimque hæc gesta sunt: (2) ubi Artybius, equo quem dixi vectus, adversus Onesilum impetum fecit, Onesilus, quemadmodum ei cum armigero convenerat, ferit ipsum irruentem Artybium: quumque equus scuto Onesili pedes injiceret, famulus falce feriens pedes præcidit equi. Ita Artybius dux Persarum, una cum equo, ibidem cecidit.

CXIII. Dum vero cæteri etiam acie pugnant, deserit Cyprios Stesenor, Curii tyrannus, cum non exigua militum manu, quos secum habebat: dicuntur autem Curienses hi Argivorum esse coloni. Postquam Curienses deseruere socios, *protinus Salaminiorum quoque currus bellici idem* fecerunt. (2) Quo facto, superiores Persæ fuerunt Cypriis. Quorum exercitu in fugam verso, ceciderunt et alii multi, et Onesilus Chersidis filius, qui Cypriis auctor fuerat defectionis, et Solensium rex Aristocyprus, Philocypri filius; *Philocypri illius, quem Solon Atheniensis postquam Cyprum venit*, præ omnibus tyrannis carmine celebravit.

CXIV. Onesili caput Amathusii, quod ipsos ille obsederat, abscissum Amathunta deportarunt, et super oppidi portam suspenderunt. Postquam suspensum ita caput sensim excavatum est, apium examen in illud sese insinuans, favis replevit. (2) *Quod quum tale accidisset*, oraculum consulentibus Amathusiis, quid capite facerent, datur responsum, auferrent caput humarentque; Onesilo vero, ut heroi, annua sacra facerent · id si fecissent, melius cum ipsis actum iri. Idque fecerunt Amathusii et faciunt ad *meam usque ætatem*.

CXV. Iones qui ad Cyprum prælium fecerant navale, ut intellexere perditas res esse Onesili, et Cypriorum oppida omnia obsideri, excepta Salamine, quam priori regi Gorgo *reddiderant Salaminii; his rebus Iones cognitis, nulla* interposita mora in Ioniam renavigarunt. (2) Præter cæteras Cypri civitates diutissime obsidionem sustinuere Soli; sed et hanc, suffosso circumcirca muro, quinto mense Persæ ceperunt.

CXVI. Ita igitur Cyprii, postquam unum annum liberi fuerant, denuo in servitutem sunt redacti. Interim Daurises, gener Darii, et Hymeas, et Otanes, aliique duces Per-

Πέρσαι στρατηγοὶ, ἔχοντες καὶ οὗτοι Δαρείου θυγατέρας, ἐπιδιώξαντες τοὺς ἐς Σάρδις στρατευσαμένους Ἰώνων καὶ ἐσαράξαντές σφεας ἐς τὰς νέας, τῇ μάχῃ ὡς ἐπεκράτησαν, τὸ ἐνθεῦτεν ἐπιδιελόμενοι τὰς πόλις ἐπόρθεον.

CXVII. Δαυρίσης μὲν τραπόμενος πρὸς τὰς ἐν Ἑλλησπόντῳ πόλις εἶλε μὲν Δάρδανον, εἶλε δὲ Ἄβυδόν τε καὶ Περκώτην καὶ Λάμψακον καὶ Παισόν. (2) Ταύτας μὲν ἐπ' ἡμέρης ἑκάστης εἵρεε, ἀπὸ δὲ Παισοῦ ἐλαύνοντί οἱ ἐπὶ Πάριον πόλιν ἦλθε ἀγγελίη τοὺς Κᾶρας τωὐτὸ Ἴωσι φρονήσαντας ἀπεστάναι ἀπὸ Περσέων. Ἀποστρέψας ὦν ἐκ τοῦ Ἑλλησπόντου ἤλαυνε τὸν στρατὸν ἐπὶ τὴν Καρίην.

CXVIII. Καί κως ταῦτα τοῖσι Καρσὶ ἐξηγγέλθη πρότερον ἢ τὸν Δαυρίσην ἀπικέσθαι. Πυθόμενοι δὲ οἱ Κᾶρες συνελέγοντο ἐπὶ Λευκάς τε στήλας καλευμένας καὶ ποταμὸν Μαρσύην, ὃς ῥέων ἐκ τῆς Ἰδριάδος χώρης ἐς τὸν Μαίανδρον ἐκδιδοῖ. (2) Συλλεχθέντων δὲ τῶν Καρῶν ἐνθαῦτα ἐγίνοντο βουλαὶ ἄλλαι τε πολλαὶ καὶ ἀρίστη γε δοκέουσα εἶναι ἐμοὶ Πιξωδάρου τοῦ Μαυσώλου ἀνδρὸς Κυϊνδέος, ὃς τοῦ Κιλίκων βασιλέος Συεννέσιος εἶχε θυγατέρα. (3) Τούτου τοῦ ἀνδρὸς ἡ γνώμη ἔφερε διαβάντας τὸν Μαίανδρον τοὺς Κᾶρας, καὶ κατὰ νώτου ἔχοντας τὸν ποταμὸν, οὕτω συμβάλλειν, ἵνα μὴ ἔχοντες ὀπίσω φεύγειν οἱ Κᾶρες αὐτοῦ τε μένειν ἀναγκαζόμενοι γενοίατο ἔτι ἀμείνονες τῆς φύσιος. (4) Αὕτη μέν νυν οὐκ ἐνίκα ἡ γνώμη, ἀλλὰ τοῖσι Πέρσῃσι κατὰ νώτου γίνεσθαι τὸν Μαίανδρον μᾶλλον ἢ σφίσι, δηλαδὴ ἢν φυγὴ τῶν Περσέων γένηται καὶ ἐσσωθέωσι τῇ συμβολῇ, ὡς οὐκ ἀπονοστήσουσι ἐς τὸν ποταμὸν ἐσπίπτοντες.

CXIX. Μετὰ δὲ παρεόντων καὶ διαβάντων τὸν Μαίανδρον τῶν Περσέων, ἐνθαῦτα ἐπὶ τῷ Μαρσύῃ ποταμῷ συνέβαλόν τε τοῖσι Πέρσῃσι οἱ Κᾶρες καὶ μάχην ἐμαχέσαντο ἰσχυρὴν καὶ ἐπὶ χρόνον πολλὸν, τέλος δὲ ἐσσώθησαν διὰ πλῆθος. (2) Περσέων μὲν δὴ ἔπεσον ἄνδρες ἐς δισχιλίους, Καρῶν δὲ ἐς μυρίους. Ἐνθεῦτεν δὲ οἱ διαφυγόντες αὐτῶν κατειλήθησαν ἐς Λάβρανδα, ἐς Διὸς στρατίου ἱρὸν, μέγα τε καὶ ἅγιον ἄλσος πλατανίστων· μοῦνοι δὲ τῶν ἡμεῖς ἴδμεν Κᾶρές εἰσι οἳ Διὶ στρατίῳ θυσίας ἀνάγουσι. (3) Κατειληθέντες δὲ ὧν οὗτοι ἐνθαῦτα ἐβουλεύοντο περὶ σωτηρίης, ὁκότερα ἢ παραδόντες σφέας αὐτοὺς Πέρσῃσι ἢ ἐκλιπόντες τὸ παράπαν τὴν Ἀσίην ἄμεινον πρήξουσι.

CXX. Βουλευομένοισι δέ σφι ταῦτα παραγίνονται βωθέοντες Μιλήσιοί τε καὶ οἱ τούτων σύμμαχοι. Ἐνθαῦτα δὲ τὰ μὲν πρότερον οἱ Κᾶρες ἐβουλεύοντο μετῆκαν, οἱ δὲ αὖτις πολεμέειν ἐξ ἀρχῆς ἀρτέοντο. (2) Καὶ ἐπιοῦσί τε τοῖσι Πέρσῃσι συμβάλλουσι, καὶ μαχεσάμενοι ἐπὶ πλεῦν ἢ πρότερον ἐσσώθησαν· πεσόντων δὲ τῶν πάντων πολλῶν Μιλήσιοι μάλιστα ἐπλήγησαν.

CXXI. Μετὰ δὲ τοῦτο τὸ τρῶμα ἀνέλαβόν τε καὶ ἀνεμαχέσαντο οἱ Κᾶρες· πυθόμενοι γὰρ ὡς στρατεύεσθαι ὡρμέαται οἱ Πέρσαι ἐπὶ τὰς πόλις σφέων, ἐλόχησαν, qui et ipsi filias Darii in matrimonio habebant, postquam Ionas, expeditionis adversus Sardes socios, erant persecuti, eosdemque prælio victos in naves compulerant, deinde divisis inter se vicibus civitates diripiebant.

CXVII. Et Daurises quidem, contra civitates ad Hellespontum conversus, Dardanum cepit, et Abydum, et Percoten, et Lampsacum, et Pæsum: (2) quarum singulas singulis cepit diebus. A Pæso vero adversus Parium urbem ducenti adfertur nuncius, Cares communicato cum Ionibus consilio defecisse a Persis: itaque ab Hellesponto remotum adversus Cariam duxit exercitum.

CXVIII. Ea res forte renunciata Caribus erat priusquam Daurises advenisset. Cujus cognito consilio, Cares ad Albas Columnas, quæ vocantur, amnemque Marsyam congregabantur, qui ex Idriade regione fluens, Mæandro miscetur. (2) Eo postquam convenere Cares, quum aliæ multæ dictæ sunt sententiæ, tum illa, optima quæ mihi videtur, Pixodari, Mausoli filii, civitate Cyindensis, qui Syennesis filiam, Cilicum regis, in matrimonio habebat. (3) Hujus viri sententia hæc erat, Mæandrum transmittere debere Cares, atque ita prælium committere ut fluvium a tergo haberent; ne scilicet retro fugere possent Cares, sed ibi manere coacti, fortiores sese quam pro sua natura præstarent. (4) At hæc non vicit sententia: sed Persis maluerunt a tergo esse Mæandrum, quam sibi; scilicet, ut illi, si prælio superati in fugam verterentur, receptum non haberent, sed in fluvium inciderent.

CXIX. Deinde, ubi adfuerunt Persæ, Mæandrumque trajecerunt, ibi tunc ad Marsyam fluvium cum illis congressi sunt Cares: et acri commisso prælio, postquam diu fortiter pugnarunt, ad extremum hostium multitudine sunt superati. (2) Persarum ad bis mille ceciderunt, Carum vero ad decies mille. Qui ex illorum numero cladem effugerunt, hi ad Labranda in amplum sanctumque platanetum Jovi Stratio (*quasi dicas* Militari) sacratum sunt compulsi. Soli autem hominum, quos novimus, Cares sunt, qui Jovi Stratio sacra faciant. (3) Ibi igitur conglobati, de salute deliberarunt, utrum Persis sese dedere, an Asiam prorsus relinquere satius sibi esset.

CXX. Dum hæc deliberant, auxilio eis adveniunt Milesii eorumque socii. Tum vero, missa priori deliberatione, Cares ad redintegrandum denuo bellum sese compararunt. (2) Atque invadentibus Persis in aciem occurrunt: sed, prælio commisso, majorem etiam quam antea cladem acceperunt. Cecidere plurimi ex omnibus; sed Milesiorum præ ceteris maxima strages facta est.

CXXI. Postea vero vulnus hoc repararunt sanaveruntque Cares. Postquam enim cognoverunt progredi Persas, oppida sua invasuros, in via ad Pedasum collocarunt insi-

σαν τὴν ἐν Πηδάσῳ ὁδὸν, ἐς τὴν ἐμπεσόντες οἱ Πέρσαι νυκτὸς διεφθάρησαν καὶ αὐτοὶ καὶ οἱ στρατηγοὶ αὐτῶν, Δαυρίσης καὶ Ἀμόργης καὶ Σισιμάκης· σὺν δέ σφι ἀπέθανε καὶ Μύρσος ὁ Γύγεω. (2) Τοῦ δὲ λόχου τούτου ἦγεμὼν ἦν Ἡρακλείδης Ἰβανώλιος ἀνὴρ Μυλασεύς. Οὗτοι μέν νυν τῶν Περσέων οὕτω διεφθάρησαν.

CXXII. Ὑμέης δὲ καὶ αὐτὸς ἐὼν τῶν ἐπιδιωξάντων τοὺς ἐς Σάρδις στρατευσαμένους Ἰώνων, τραπόμενος ἐς τὴν Προποντίδα εἷλε Κίον τὴν Μυσίην. Ταύτην δὲ ἑξελών, ὡς ἐπύθετο τὸν Ἑλλήσποντον ἐκλελοιπέναι Δαυρίσην καὶ στρατεύεσθαι ἐπὶ Καρίης, καταλιπὼν τὴν Προποντίδα ἐπὶ τὸν Ἑλλήσποντον ἦγε τὸν στρατὸν, (2) καὶ εἷλε μὲν Αἰολέας πάντας, ὅσοι τὴν Ἰλιάδα νέμονται, εἷλε δὲ Γέργιθας τοὺς ὑπολειφθέντας τῶν ἀρχαίων Τευκρῶν· αὐτός τε Ὑμέης αἰρέων ταῦτα τὰ ἔθνεα νούσῳ τελευτᾷ ἐν τῇ Τρῳάδι.

CXXIII. Οὗτος μὲν δὴ οὕτω ἐτελεύτησε. Ἀρταφέρνης δὲ ὁ Σαρδίων ὕπαρχος καὶ Ὀτάνης ὁ τρίτος στρατηγὸς ἐτάχθησαν ἐπὶ τὴν Ἰωνίην καὶ τὴν προσεχέα Αἰολίδα στρατεύεσθαι. Ἰωνίης μέν νυν Κλαζομενὰς αἱρέουσι, Αἰολέων δὲ Κύμην.

CXXIV. Ἁλισκομένων δὲ τῶν πολίων, ἦν γὰρ, ὡς διέδεξε, Ἀρισταγόρης ὁ Μιλήσιος ψυχὴν οὐκ ἄκρος, ὃς ταράξας τὴν Ἰωνίην καὶ ἐγκερασάμενος πρήγματα μεγάλα δρησμὸν ἐβούλευε ὁρέων ταῦτα· πρὸς δέ οἱ καὶ ἀδύνατα ἐφάνη βασιλέα Δαρεῖον ὑπερβαλέσθαι. (2) Πρὸς ταῦτα δὴ ὧν συγκαλέσας τοὺς συστασιώτας ἐβουλεύετο, λέγων ὡς ἄμεινόν σφι εἴη κρησφύγετόν τι ὑπάρχον εἶναι, ἢν ἄρα ἐξωθέωνται ἐκ τῆς Μιλήτου, εἴτε δὴ ὧν ἐς Σαρδὼ ἐκ τοῦ τόπου τούτου ἄγοι ἐς ἀποικίην, εἴτε ἐς Μύρκινον τὴν Ἠδωνῶν, τὴν Ἱστιαῖος ἐτείχεε παρὰ Δαρείου δωρεὴν λαβών. Ταῦτα ἐπειρώτα ὁ Ἀρισταγόρης.

CXXV. Ἑκαταίου μέν νυν τοῦ Ἡγησάνδρου, ἀνδρὸς λογοποιοῦ, τούτων μὲν ἐς οὐδετέρην στέλλειν ἔφερε ἡ γνώμη, ἐν Λέρῳ δὲ τῇ νήσῳ τεῖχος οἰκοδομησάμενον ἡσυχίην ἄγειν, ἢν ἐκπέσῃ ἐκ τῆς Μιλήτου· ἔπειτεν δὲ ἐκ ταύτης ὁρμεώμενον κατελεύσεσθαι ἐς τὴν Μίλητον. Ταῦτα μὲν δὴ Ἑκαταῖος συνεβούλευε.

CXXVI. Αὐτῷ δὲ Ἀρισταγόρῃ ἡ πλείστη γνώμη ἦν ἐς τὴν Μύρκινον ἀπάγειν. Τὴν μὲν δὴ Μίλητον ἐπιτράπει Πυθαγόρῃ ἀνδρὶ τῶν ἀστῶν δοκίμῳ, αὐτὸς δὲ παραλαβὼν πάντα τὸν βουλόμενον ἔπλωε ἐς τὴν Θρηΐκην, καὶ ἔσχε τὴν χώρην ἐπ' ἣν ἐστάλη. (2) Ἐκ δὲ ταύτης ὁρμεώμενος ἀπόλλυται ὑπὸ Θρηίκων, αὐτός τε ὁ Ἀρισταγόρης καὶ ὁ στρατὸς αὐτοῦ, πόλιν περικατήμενος καὶ βουλομένων τῶν Θρηίκων ὑποσπόνδων ἐξιέναι.

dias; in quas noctu incidentes Persæ interfecti sunt et ipsi et eorum duces, Daurises, et Amorges, et Sisimaces: cum iisdemque periit etiam Myrsus, Gygis filius. (2) Insidiarum illarum dux fuerat Heraclides, Ibanolidis filius, Mylasensis. Ita igitur Persæ illi perierunt.

CXXII. Hymeas vero, alter ex his qui Ionas eos persecuti sunt qui contra Sardes militaverant, ad Propontidem conversus, Cion Mysiam cepit. Qua expugnata, ubi cognovit Daurisen relicto Hellesponto versus Cariam arma promovere, ipse Propontide relicta in Hellespontum duxit exercitum: (2) et Æolenses subegit omnes, quotquot Iliadem habitant terram, et Gergithas subegit, priscorum Teucrorum reliquias. At ipse Hymeas, dum hos populos subigit, morbo correptus moritur in Troade.

CXXIII. Et hic quidem illi finis fuit: Artapherni vero, Sardium præfecto, et Otani, tertio duci Persarum, mandatum erat bellum Ioniæ et finitimæ Æolidi a continente inferendum. Atque hi Clazomenas Ioniæ ceperunt, et Cymen Æolidis.

CXXIV. Ita dum capiuntur oppida, Aristagoras Milesius hæc videns, homo parum acri, ut factis ipse ostendit, ingenio, qui Ioniam concitaverat magnasque miscuerat turbas, fugam agitabat, satis ille intelligens superari Darium regem prorsus non posse. (2) Hoc consilio, convocatis suarum partium hominibus, deliberationem proposuit, dicens, commodum ipsis fore, certum habere refugium, si Mileto pellerentur, sive in Sardiniam ipsos ex hoc ducat in coloniam, sive in Myrcinum Edonorum, Histiæo a Dario dono datam, et in oppidum ibi ab Histiæo munitum. Hæc igitur, nimirum utrum vellent, ex ipsis quærebat Aristagoras.

CXXV. Jam Hecatæus quidem, Hegesandri filius, historiarum scriptor, in neutrum horum locorum abeundum censuit; sed in Lero insula debere castellum munire Aristagoram, ibique, si Mileto excideret, quietum se tenere, donec impetu inde facto Miletum repetere posset. Hoc Hecatæi fuit consilium.

CXXVI. Ipse vero Aristagoras eo maxime inclinabat, ut Myrcinum abiret. Itaque Mileto Pythagoræ fidei commissa, probati inter cives viri, ipse, secum sumpto quicumque voluisset, in Thraciam navigavit, regionemque quam petierat tenuit. (2) Inde vero progressus, interfectus est a Thracibus et ipse et exercitus ejus, quum oppidum aliquod obsideret, rejectis conditionibus, quibus Thraces excedere oppido voluerant.

ΗΡΟΔΟΤΟΥ

ΙΣΤΟΡΙΩΝ ΕΚΤΗ.

(ΕΡΑΤΩ.)

I. Ἀρισταγόρης μέν νυν Ἰωνίην ἀποστήσας οὕτω τελευτᾷ, Ἱστιαῖος δὲ ὁ Μιλήτου τύραννος μεμετιμένος ὑπὸ Δαρείου παρῆν ἐς Σάρδις. Ἀπιγμένον δὲ αὐτὸν ἐκ τῶν Σούσων εἴρετο Ἀρταφέρνης ὁ Σαρδίων ὕπαρχος κατὰ κοῖόν τι δοκέοι Ἴωνας ἀπεστάναι. (2) Ὁ δὲ οὔτε εἰδέναι ἔφη, ἐθώμαζέ τε τὸ γεγονὸς ὡς οὐδὲν δῆθεν τῶν παρεόντων πρηγμάτων ἐπιστάμενος. Ὁ δὲ Ἀρταφέρνης ὁρέων αὐτὸν τεχνάζοντα εἶπε, εἰδὼς τὴν ἀτρέκειαν τῆς ἀποστάσιος, « οὕτω τοι, Ἱστιαῖε, ἔχει κατὰ ταῦτα τὰ πρήγματα· τοῦτο τὸ ὑπόδημα ἔρραψας μὲν σὺ, ὑπεδήσατο δὲ Ἀρισταγόρης. »

II. Ἀρταφέρνης μὲν ταῦτα ἐς τὴν ἀπόστασιν ἔχοντα εἶπε, Ἱστιαῖος δὲ δείσας ὡς συνιέντα Ἀρταφέρνεα ὑπὸ τὴν πρώτην ἐπελθοῦσαν νύκτα ἀπέδρη ἐπὶ θάλασσαν, βασιλέα Δαρεῖον ἐξηπατηκώς· ὃς Σαρδὼ νῆσον τὴν μεγίστην ὑποδεξάμενος κατεργάσεσθαι, ὑπέδυνε τῶν Ἰώνων τὴν ἡγεμονίην τοῦ πρὸς Δαρεῖον πολέμου. (2) Διαβὰς δὲ ἐς Χίον ἐδέθη ὑπὸ Χίων, καταγνωσθεὶς πρὸς αὐτῶν νεώτερα πρήσσειν πρήγματα ἐς ἑωυτοὺς ἐκ Δαρείου. Μαθόντες μέντοι οἱ Χῖοι τὸν πάντα λόγον, ὡς πολέμιος εἴη βασιλέϊ, ἔλυσαν αὐτόν.

III. Ἐνθαῦτα δὴ εἰρωτεώμενος ὑπὸ τῶν Ἰώνων ὁ Ἱστιαῖος κατ' ὅτι προθύμως οὕτω ἐπέστειλε τῷ Ἀρισταγόρῃ ἀπίστασθαι ἀπὸ βασιλέος καὶ κακὸν τοσοῦτον εἴη Ἴωνας ἐξεργασμένος, τὴν μὲν γενομένην αὐτοῖσι αἰτίην οὐ μάλα ἐξέφαινε, (2) ὁ δὲ ἔλεγέ σφι ὡς βασιλεὺς Δαρεῖος ἐβουλεύσατο Φοίνικας μὲν ἐξαναστήσας ἐν τῇ Ἰωνίῃ κατοικίσαι, Ἴωνας δὲ ἐν τῇ Φοινίκῃ, καὶ τούτων εἵνεκεν ἐπιστείλειε. Οὐδέν τι πάντως ταῦτα βασιλέος βουλευσαμένου ἐδειμάτου τοὺς Ἴωνας.

IV. Μετὰ δὲ ὁ Ἱστιαῖος δι' ἀγγέλου ποιεύμενος Ἑρμίππου ἀνδρὸς Ἀταρνείτεω τοῖσι ἐν Σάρδισι ἐοῦσι Περσέων ἔπεμπε βιβλία ὡς προλελεσχηνευμένων αὐτῷ ἀποστάσιος πέρι. Ὁ δὲ Ἑρμιππος, πρὸς τοὺς μὲν ἀπεπέμφθη, οὐ διδοῖ, φέρων δὲ ἐνεχείρισε τὰ βιβλία Ἀρταφέρνεϊ. (2) Ὁ δὲ μαθὼν ἅπαν τὸ γινόμενον, ἐκέλευε τὸν Ἑρμιππον τὰ μὲν παρὰ τοῦ Ἱστιαίου δοῦναι φέροντα τοῖσί περ ἔφερε, τὰ δὲ ἀμοιβαῖα τὰ παρὰ τῶν Περσέων ἀντιπεμπόμενα Ἱστιαίῳ ἑωυτῷ δοῦναι. Τούτων δὲ γενομένων φανερῶν ἀπέκτεινε ἐνθαῦτα πολλοὺς Περσέων ὁ Ἀρταφέρνης.

V. Περὶ Σάρδις μὲν δὴ ἐγένετο ταραχὴ, Ἱστιαῖον δὲ ταύτης ἀποσφαλέντα τῆς ἐλπίδος Χῖοι κατῆγον ἐς Μίλητον, αὐτοῦ Ἱστιαίου δεηθέντος. Οἱ δὲ Μιλήσιοι ἄσμενοι ἀπαλλαχθέντες καὶ Ἀρισταγόρεω, οὐδαμῶς

HERODOTI

HISTORIARUM LIBER SEXTUS.

(ERATO.) (439, 440.)

I. Aristagoras igitur, quo auctore Ionia defecerat, hoc modo vitam finivit. Histiæus vero, Mileti tyrannus, a Dario dimissus, Sardes erat profectus: quo ubi Susis pervenit, interrogavit eum Artaphernes, Sardium præfectus, qua re inductos putaret Ionas a rege defecisse. (2) Id quum ille se ignorare diceret, mirareturque factum, quasi nihil de rebus præsentibus compertum haberet, artificiis utentem videns Artaphernes ait: « Ita tibi, Histiæe, hæc res habet: calceum hunc tu suisti, et induit eum Aristagoras. »

II. Hoc quum Artaphernes, ad defectionem quod attinet, dixisset; metuens eum Histiæus, utpote intelligentem quid rei esset, protinus prima nocte ad mare profugit: qui, quum Dario pollicitus esset Sardiniam maximam insulam imperio se illius esse subjecturum, decepto rege, clam auctor Ionibus fuerat belli adversus illum suscipiendi. (2) Sed Chium transgressus, in vincula a Chiis conjectus est, suspectum eum habentibus quasi res novas adversus ipsos Darii nomine molientem. Mox tamen, cognita rei veritate, hostem esse regi, vinculis eum Chii solverunt.

III. Ibi vero interrogatus Histiæus a Ionibus, cur ita studiose Aristagoræ, ut a rege deficeret, mandasset, et in tantas calamitates Ionas conjecisset, veram illis caussam nequaquam exprompsit; (2) sed, regem Darium, ait, constituisse Phœnices sedibus suis excitos in Ioniam transferre, Ionas autem in Phœnicen: ea caussa se istud mandasse. Ita Ionas terruit, quum nihil umquam tale rex animo agitasset.

IV. Post hæc internuncio Hermippo usus Histiæus, homine Atarnita, ad Persas nonnullos, qui Sardibus erant, epistolas misit, ut qui secum antea de defectione sermones miscuissent. At Hermippus eis, ad quos missus erat, non reddidit epistolas, sed Artapherni tradidit. (2) Ille vero, re omni cognita, jussit Hermippum eis epistolas reddere ad quos datæ erant ab Histiæo; sibi vero tradere illas, quas Persæ vicissim ad Histiæum perferendas ipsi dedissent. Quo facto postquam illi comperti fuerunt, de multis Persarum supplicium sumpsit Artaphernes.

V. Atque ita tumultus Sardibus exstitit. Illa autem spe frustratum Histiæum Chii, rogante ipso, Miletum deduxere. At Milesiis, lubenter Aristagora etiam liberatis, neutiquam

πρόθυμοι ἔσαν ἄλλον τύραννον δέκεσθαι ἐς τὴν χώρην οἵά τε ἐλευθερίης γευσάμενοι. (2) Καὶ δὴ, νυκτὸς γὰρ ἐούσης βίῃ ἐπειρᾶτο κατιὼν ὁ Ἱστιαῖος ἐς τὴν Μίλητον, τιτρώσκεται τὸν μηρὸν ὑπό τευ τῶν Μιλησίων. Ὁ μὲν δὴ ὡς ἀπωστὸς τῆς ἑωυτοῦ γίνεται, ἀπικνέεται ὀπίσω ἐς τὴν Χίον· ἐνθεῦτεν δὲ, οὐ γὰρ ἔπειθε τοὺς Χίους ὥστε ἑωυτῷ δοῦναί νέας, διέβη ἐς Μυτιλήνην καὶ ἔπεισε Λεσβίους δοῦναί οἱ νέας. (3) Οἱ δὲ πληρώσαντες ὀκτὼ τριήρεας ἔπλωον ἅμα Ἱστιαίῳ ἐς Βυζάντιον, ἐνθαῦτα δὲ ἱζόμενοι τὰς ἐκ τοῦ Πόντου ἐκπλωούσας τῶν νεῶν ἐλάμβανον, πλὴν ἢ ὅσοι αὐτῶν Ἱστιαίῳ ἔφασαν ἑτοῖμοι εἶναι πείθεσθαι.

VI. Ἱστιαῖος μέν νυν καὶ Μυτιληναῖοι ἐποίευν ταῦτα, ἐπὶ δὲ Μίλητον αὐτὴν ναυτικὸς πολλὸς καὶ πεζὸς ἦν στρατὸς προσδόκιμος· συστραφέντες γὰρ οἱ στρατηγοὶ τῶν Περσέων καὶ ἓν ποιήσαντες στρατόπεδον ἤλαυνον ἐπὶ τὴν Μίλητον, τἆλλα πολίσματα περὶ ἐλάσσονος ποιησάμενοι. (2) Τοῦ δὲ ναυτικοῦ Φοίνικες μὲν ἔσαν προθυμότατοι, συνεστρατεύοντο δὲ καὶ Κύπριοι νεωστὶ κατεστραμμένοι καὶ Κίλικές τε καὶ Αἰγύπτιοι.

VII. Οἱ μὲν δὴ ἐπὶ τὴν Μίλητον καὶ τὴν ἄλλην Ἰωνίην ἐστράτευον, Ἴωνες δὲ πυνθανόμενοι ταῦτα ἔπεμπον προβούλους σφέων αὐτῶν ἐς Πανιώνιον. (2) Ἀπικομένοισι δὲ τούτοισι ἐς τοῦτον τὸν χῶρον καὶ βουλευομένοισι ἔδοξε πεζὸν μὲν στρατὸν μὴ συλλέγειν ἀντίξοον Πέρσῃσι, ἀλλὰ τὰ τείχεα ῥύεσθαι αὐτοὺς Μιλησίους, τὸ δὲ ναυτικὸν πληροῦν ὑπολειπομένους μηδεμίαν τῶν νεῶν, πληρώσαντας δὲ συλλέγεσθαι τὴν ταχίστην ἐς Λάδην, προναυμαχήσοντας Μιλήτου. Ἡ δὲ Λάδη ἐστὶ νῆσος σμικρὴ ἐπὶ τῇ πόλι τῇ Μιλησίων κειμένη.

VIII. Μετὰ δὲ ταῦτα πεπληρωμένῃσι τῇσι νηυσὶ παρῆσαν οἱ Ἴωνες, σὺν δέ σφι καὶ Αἰολέων οἱ Λέσβον νέμονται. Ἐτάσσοντο δὲ ὧδε. (2) Τὸ μὲν πρὸς τὴν ἠῶ εἶχον κέρας αὐτοὶ Μιλήσιοι, νέας παρεχόμενοι ὀγδώκοντα· εἶχοντο δὲ τούτων Πριηνέες δυώδεκα νηυσὶ καὶ Μυούσιοι τρισὶ νηυσὶ, Μυουσίων δὲ Τήϊοι εἶχοντο ἑπτακαίδεκα νηυσὶ, Τηΐων δὲ εἶχοντο Χῖοι ἑκατὸν νηυσί. (3) Πρὸς δὲ τούτοισι Ἐρυθραῖοί τε ἐτάσσοντο καὶ Φωκαέες, Ἐρυθραῖοι μὲν ὀκτὼ νέας παρεχόμενοι, Φωκαέες δὲ τρεῖς· Φωκαέων δὲ εἶχοντο Λέσβιοι νηυσὶ ἑβδομήκοντα· τελευταῖοι δὲ ἐτάσσοντο ἔχοντες τὸ πρὸς ἑσπέρην κέρας Σάμιοι ἑξήκοντα νηυσί. Πασέων δὲ τούτων ὁ σύμπας ἀριθμὸς ἐγένετο τρεῖς καὶ πεντήκοντα καὶ τριηκόσιαι τριήρεες.

IX. Αὗται μὲν Ἰώνων ἔσαν· τῶν δὲ βαρβάρων τὸ πλῆθος τῶν νεῶν ἔσαν ἑξακόσιαι. Ὡς δὲ καὶ αὗται ἀπίκατο πρὸς τὴν Μιλησίην καὶ ὁ πεζὸς σφι ἅπας παρῆν, ἐνθαῦτα οἱ Περσέων στρατηγοὶ πυθόμενοι τὸ πλῆθος τῶν Ἰάδων νεῶν καταρρώδησαν μὴ οὐ δυνατοὶ γένωνται ὑπερβαλέσθαι, καὶ οὕτω οὔτε τὴν Μίλητον οἷοί τε ἔωσι ἑξελέειν μὴ οὐκ ἐόντες ναυκράτορες, πρός τε Δαρείου κινδυνεύσωσι κακόν τι λαβέειν. (2) Ταῦτα

volupe erat alium tyrannum in terram suam recipere, quippe qui libertatem gustassent. (2) Itaque, quum noctu per vim intrare Miletum conatus esset Histiæus, repulsus est, atque etiam ab aliquo ex Milesiis in femore vulneratus. Rejectus igitur a patria Chium rediit: inde vero, quum Chiis ut sibi naves darent persuadere non potuisset, Mytilenen trajecit; et Lesbiis, ut naves sibi darent, persuasit. (3) Hi igitur, instructis octo triremibus, cum Histiæo Byzantium navigarunt: ibique in insidiis stantes, naves ex Ponto navigantes vi ceperunt, exceptis eorum navigiis qui se paratos esse Histiæo parere profiterentur.

VI. Dum hæc Histiæus et Mytilenæi agebant, interim ad ipsam Miletum ingens et navalis et pedestris exspectabatur exercitus. Nam Persarum duces, junctis viribus et in unum exercitum collatis, adversus Miletum, insuper habitis minoribus oppidis, proficiscebantur: (2) et navalium copiarum promptissimi erant Phœnices: una autem militabant et Cyprii, nuper subacti, et Cilices, atque Ægyptii.

VII. Quos ubi Iones intellexerunt adversus Miletum reliquamque Ioniam proficisci, miserunt de suis ad Panionium, qui de rebus ad se pertinentibus deliberarent. (2) Quibus prædicto loco congregatis, habito consilio, placuit, ut pedestris exercitus, qui opponeretur Persis, nullus cogeretur, sed muros defenderent ipsi per se Milesii; classis autem, nulla excepta navi, rebus omnibus instrueretur, atque ita instructa quamprimum ad Laden occurreret, et pro Mileto pugna navali decerneret. Est autem Lade parva insula, urbi Milesiorum obversa.

VIII. Post hæc, ubi instructis navibus adfuere Iones, cum eisque Æolenses Lesbum incolentes, aciem in hunc modum ordinarunt. (2) Cornu ad orientem spectans ipsi tenebant Milesii, naves præbentes octoginta: his contigui erant Prienenses cum duodecim navibus, et Myusii navibus tribus: Myusiis proximi stabant Teii, septemdecim navibus: Teiis proximi Chii, navibus centum. (3) Juxta hos locati Erythræi et Phocæenses, quorum illi octo contulerant naves, hi vero tres. Phocæensibus contigui erant Lesbii, navibus septuaginta. Postremi locati Samii, cornu tenentes occidenti obversum, navibus sexaginta. Universus harum omnium numerus fuit, triremes trecentæ quinquaginta tres.

IX. Et hæ quidem Ionum erant. At barbari quas habebant naves, multitudine erant sexcentæ. Quæ ubi et ipsæ ad Milesiorum fines pervenere, simulque pedestres universæ aderant copiæ, ibi tum duces Persarum, cognita Ionicarum navium multitudine, veriti sunt ne superare has non possent, adeoque nec Miletum possent capere, mari non potentes, atque ita periculum incurrerent pœnas dandi Dario.

ἐπιλεγόμενοι, συλλέξαντες τῶν Ἰώνων τοὺς τυράννους, οἳ ὑπ' Ἀριστα-γόρεω μὲν τοῦ Μιλησίου καταλυθέντες τῶν ἀρχέων ἔφευγον ἐς Μήδους, ἐτύγχανον δὲ τότε συστρατευόμενοι ἐπὶ τὴν Μίλητον, τούτων τῶν ἀνδρῶν τοὺς παρεόντας συγκαλέσαντες ἔλεγόν σφι τάδε, « ἄνδρες Ἴωνες, νῦν τις ὑμέων εὖ ποιήσας φανήτω τὸν βασιλέος οἶκον· τοὺς γὰρ ἑωυτοῦ ἕκαστος ὑμέων πολίτας πειράσθω ἀποσχίζων ἀπὸ τοῦ λοιποῦ συμμαχικοῦ. (3) Προϊσχόμενοι δὲ ἐπαγγείλασθε τάδε, ὡς πείσονταί τε ἄχαρι οὐδὲν διὰ τὴν ἀπόστασιν, οὐδέ σφι οὔτε τὰ ἱρὰ οὔτε τὰ ἴδια ἐμπεπρήσεται, οὐδὲ βιαιότερον ἔξουσι οὐδὲν ἢ πρότερον εἶχον. (4) Εἰ δὲ ταῦτα μὲν οὐ ποιήσουσι, οἱ δὲ πάντως διὰ μάχης ἐλεύσονται, τάδε σφι λέγετε ἐπηρεάζοντες τά περ σφέας κατέξει, ὡς ἐσσωθέντες τῇ μάχῃ ἐξανδραποδιεῦνται, καὶ ὡς σφεων τοὺς παῖδας ἐκτομίας ποιήσομεν, τὰς δὲ παρθένους ἀνασπάστους ἐς Βάκτρα, καὶ ὡς τὴν χώρην ἄλλοισι παραδώσομεν. »

X. Οἱ μὲν δὴ ἔλεγον ταῦτα, τῶν δὲ Ἰώνων οἱ τύραννοι διέπεμπον νυκτὸς ἕκαστος ἐς τοὺς ἑωυτοῦ ἐξαγγελλόμενος. (2) Οἱ δὲ Ἴωνες, ἐς τοὺς καὶ ἀπίκοντο αὗται αἱ ἀγγελίαι, ἀγνωμοσύνῃ τε διεχρέοντο καὶ οὐ προσίεντο τὴν προδοσίην, ἑωυτοῖσί τε ἕκαστοι ἐδόκεον μούνοισι ταῦτα τοὺς Πέρσας ἐξαγγέλλεσθαι. Ταῦτα μέν νυν ἰθέως ἀπικομένων ἐς τὴν Μίλητον τῶν Περσέων ἐγίνετο.

XI. Μετὰ δὲ τῶν Ἰώνων συλλεχθέντων ἐς τὴν Λάδην ἐγίνοντο ἀγοραὶ, καὶ δή κου σφι καὶ ἄλλοι ἠγορώωντο, ἐν δὲ δὴ καὶ ὁ Φωκαεὺς στρατηγὸς Διονύσιος λέγων τάδε, « ἐπὶ ξυροῦ γὰρ ἀκμῆς ἕχεται ἡμῖν τὰ πρήγματα, ἄνδρες Ἴωνες, ἢ εἶναι ἐλευθέροισι ἢ δούλοισι, καὶ τούτοισι ὡς δρηπέτῃσι· (2) νῦν ὦν ὑμεῖς, ἢν μὲν βούλησθε ταλαιπωρίας ἐνδέκεσθαι, τὸ παραχρῆμα μὲν πόνος ὑμῖν ἔσται, οἷοί τε δὲ ἔσεσθε ὑπερβαλόμενοι τοὺς ἐναντίους εἶναι ἐλεύθεροι· εἰ δὲ μαλακίῃ τε καὶ ἀταξίῃ διαχρήσεσθε, οὐδεμίαν ὑμέων ἔχω ἐλπίδα μὴ οὐ δώσειν ὑμέας δίκην βασιλεῖ τῆς ἀποστάσιος. (3) Ἀλλ' ἐμοί τε πείθεσθε καὶ ἐμοὶ ὑμέας αὐτοὺς ἐπιτρέψατε· καὶ ὑμῖν ἐγὼ, θεῶν τὰ ἴσα νεμόντων, ὑποδέκομαι ἢ οὐ συμμίξειν τοὺς πολεμίους ἢ συμμίσγοντας πολλὸν ἐλασσώσεσθαι. »

XII. Ταῦτα ἀκούσαντες οἱ Ἴωνες ἐπιτράπουσι σφέας αὐτοὺς τῷ Διονυσίῳ. Ὁ δὲ ἀνάγων ἑκάστοτε ἐπὶ κέρας τὰς νέας, ὅκως τοῖσι ἐρέτῃσι χρήσαιτο διέκπλοον ποιεύμενος τῇσι νηυσὶ δι' ἀλληλέων καὶ τοὺς ἐπιβάτας ὁπλίσειε, τὸ λοιπὸν τῆς ἡμέρης τὰς νέας ἔχεσκε ἐπ' ἀγκυρέων, παρεῖχέ τε τοῖσι Ἴωσι πόνον δι' ἡμέρης. (2) Μέχρι μέν νυν ἡμερέων ἑπτὰ ἐπείθοντό τε καὶ ἐποίευν τὸ κελευόμενον· τῇ δὲ ἐπὶ ταύτῃσι οἱ Ἴωνες, οἷα ἀπαθέες ἐόντες πόνων τοιούτων τετρυμένοι τε ταλαιπωρίῃσί τε καὶ ἡλίῳ, ἔλεξαν πρὸς ἑωυτοὺς τάδε, « τίνα δαιμόνων παραβάντες τάδε ἀναπίμπλαμεν; (3) Οἵτινες παραφρονήσαντες καὶ ἐκπλώσαντες ἐκ τοῦ νόου ἀνδρὶ Φωκαεῖ ἀλαζόνι, παρεχομένῳ νέας τρεῖς, ἐπιτρέψαντες ἡμέας αὐτοὺς ἔχομεν· ὁ δὲ παραλαβὼν

(2) Hæc secum reputantes, convocarunt Ionum tyrannos, qui ab Aristagora Milesio imperiis dejecti ad Medos profugerant, jamque cum illis adversus Miletum militabant. Ex horum igitur numero convocatos, quotquot præsentes erant, in hunc modum sunt adlocuti: « Nunc, viri Iones, quisque vestrûm palam faciat, de regis domo se bene velle mereri. Unusquisque nempe vestrûm det operam, ut populares suos a reliquorum abstrahat societate. (3) Proponite igitur illis, enunciateque, nihil triste illos ob defectionem passuros, nec ædes eorum vel sacras vel privatas iri incensum, nec duriore conditione, quam ante, futuros. (4) Sin a societate non recesserint, sed utique pugnæ periculo rem commiserint, hæc minitantes illis prædicite, quæ ipsis sint eventura: nos prælio victos in servitutem rapturos, pueros eorum castraturos, virgines Bactra abducturos, et terram aliis esse tradituros. »

X. Quæ quum illi dixissent, Ionum tyranni noctu ad populares suos unusquisque dimisit qui hæc eis renunciarent. (2) At Iones, ad quos hi nuncii pervenere, tenaciter in proposito suo perstiterunt, nec admiserunt proditionem: et quique sibi solis hæc a Persis edici existimabant. Et hæc quidem protinus, ex quo ad Miletum Persæ pervenerant, peracta sunt.

XI. Deinde vero, ubi in Lade insula Iones convenere, conciones sunt habitæ; et quum alii apud eos verba fecere, tum Phocæensium dux Dionysius sic est locutus: « Nunc, quum in novaculæ acie sint res nostræ, ut vel liberi simus, vel servi, et ii quidem velut fugitivi; (2) si quidem volueritis, viri Iones, labores suscipere, erit id quidem in præsentia vobis molestum, sed poteritis superatis hostibus esse liberi; sin disciplina militari insuper habita, mollitiei vos dedideritis; nullam equidem spem habeo, pœnam defectionis regi dandam effugere vos posse. (3) Sed me audite, mihique vos permittite; et vobis ego, si modo dii æqua dederint, recipio, aut pugnæ aleam non subituros esse hostes, aut, si nos adgressuri sunt, magnam cladem accepturos. »

XII. His auditis, Dionysio se permiserunt Iones. Tum ille quotidie, navibus longo ordine eductis, postquam remiges in discurrendo singulis navibus per binas alias exercuisset, et classiarios jussisset armatos in ponte stare, reliquam diei partem in ancoris naves tenebat; atque ita toto die laborem Ionibus exhibebat. (2) Et illi quidem ad septimum usque diem ei parebant, mandataque exsequebantur; insequente vero die, quum impatientes essent talium laborum, molestiis et solis ardore vexati, hosce inter se sermones miscere: « Quo tandem numine læso hos exhaurimus labores? (3) qui desipientes et de statu mentis dejecti, homini Phocæensi, vano jactatori, qui tres naves in commune contulit, nos totos permisimus. Et ille nos,

ἡμέας λυμαίνεται λύμῃσι ἀνηκέστοισι, καὶ δὴ πολλοὶ μὲν ἡμέων ἐς νούσους πεπτώκασι, πολλοὶ δὲ ἐπίδοξοι τώυτὸ τοῦτο πείσεσθαι. (4) Πρό τε τούτων τῶν κακῶν ἡμῖν γε κρέσσον καὶ ὁτιῶν ἄλλο παθέειν ἐστὶ, καὶ τὴν μέλλουσαν δουληίην ὑπομεῖναι, ἥτις ἔσται, μᾶλλον ἢ τῇ παρεούσῃ συνέχεσθαι. Φέρετε, τοῦ λοιποῦ μὴ πειθώμεθα αὐτοῦ. » (5) Ταῦτα ἔλεξαν, καὶ μετὰ ταῦτα αὐτίκα πείθεσθαι οὐδεὶς ἤθελε, ἀλλ' οἷα στρατιὴ, σκηνάς τε πηξάμενοι ἐν τῇ νήσῳ ἐσκιητροφέοντο, καὶ ἐσβαίνειν οὐκ ἐθέλεσκον ἐς τὰς νέας οὐδ' ἀναπειρᾶσθαι.

XIII. Μαθόντες δὲ ταῦτα γινόμενα ἐκ τῶν Ἰώνων οἱ στρατηγοὶ τῶν Σαμίων, ἐνθαῦτα δὴ παρ' Αἰάκεος τοῦ Συλοσῶντος ἐκείνους τοὺς πρότερον ἔπεμπε λόγους ὁ Αἰάκης κελευόντων τῶν Περσέων, δεόμενός σφεων ἐκλιπεῖν τὴν Ἰώνων συμμαχίην· (2) οἱ Σάμιοι ὦν ὁρέοντες ἅμα μὲν ἐοῦσαν ἀταξίην πολλὴν ἐκ τῶν Ἰώνων ἐδέκοντο τοὺς λόγους, ἅμα δὲ κατεφαίνετό σφι εἶναι ἀδύνατα τὰ βασιλέος πρήγματα ὑπερβαλέσθαι, εὖ τε ἐπιστάμενοι ὡς εἰ καὶ τὸ παρεὸν ναυτικὸν ὑπερβαλοίατο τοῦ Δαρείου, ἄλλο σφι παρέσται πενταπλήσιον. (3) Προφάσιος ὦν ἐπιλαβόμενοι, ἐπείτε τάχιστα εἶδον τοὺς Ἴωνας ἀρνευμένους εἶναι χρηστοὺς, ἐν κέρδεϊ ἐποιεῦντο περιποιῆσαι τά τε ἱρὰ τὰ σφέτερα καὶ τὰ ἴδια. (4) Ὁ δὲ Αἰάκης, παρ' ὅτευ τοὺς λόγους ἐδέκοντο, παῖς μὲν ἦν Συλοσῶντος τοῦ Αἰάκεος, τύραννος δὲ ἐὼν Σάμου ὑπὸ τοῦ Μιλησίου Ἀρισταγόρεω ἀπεστέρητο τὴν ἀρχὴν κατά περ οἱ ἄλλοι τῆς Ἰωνίης τύραννοι.

XIV. Τότε ὦν ἐπεὶ ἐπέπλωον οἱ Φοίνικες, οἱ Ἴωνες ἀντανῆγον καὶ αὐτοὶ τὰς νέας ἐπὶ κέρας. Ὡς δὲ καὶ ἀγχοῦ ἐγίνοντο καὶ συνέμισγον ἀλλήλοισι, τὸ ἐνθεῦτεν οὐκ ἔχω ἀτρεκέως συγγράψαι οἵτινες τῶν Ἰώνων ἐγένοντο ἄνδρες κακοὶ ἢ ἀγαθοὶ ἐν τῇ ναυμαχίῃ ταύτῃ· ἀλλήλους γὰρ καταιτιέονται. (2) Λέγονται δὲ Σάμιοι ἐνθαῦτα, κατὰ τὰ συγκείμενα πρὸς τὸν Αἰάκεα, ἀειράμενοι τὰ ἱστία ἀποπλῶσαι ἐκ τῆς τάξιος ἐς τὴν Σάμον, πλὴν ἕνδεκα νεῶν. (3) Τούτων δὲ οἱ τριήραρχοι παρέμενον καὶ ἐναυμάχεον ἀνηκουστήσαντες τοῖσι στρατηγοῖσι· καί σφι τὸ κοινὸν τὸ Σαμίων ἔδωκε διὰ τοῦτο τὸ πρῆγμα ἐν στήλῃ ἀναγραφῆναι πατρόθεν ὡς ἀνδράσι ἀγαθοῖσι γενομένοισι, καὶ ἔστι αὕτη ἡ στήλη ἐν τῇ ἀγορῇ. (4) Ἰδόμενοι δὲ καὶ Λέσβιοι τοὺς προσεχέας φεύγοντας τώυτὸ ἐποίευν τοῖσι Σαμίοισι· ὡς δὲ καὶ οἱ πλεῦνες τῶν Ἰώνων ἐποίευν τὰ αὐτὰ ταῦτα.

XV. Τῶν δὲ παραμεινάντων ἐν τῇ ναυμαχίῃ περιέφθησαν τρηχύτατα Χῖοι ὡς ἀποδεικνύμενοί τε ἔργα λαμπρὰ καὶ οὐκ ἐθελοκακέοντες. Παρείχοντο μὲν γὰρ, ὥσπερ καὶ πρότερον εἰρέθη, νέας ἑκατὸν, καὶ ἐπ' ἑκάστης αὐτέων ἄνδρας τεσσεράκοντα τῶν ἀστῶν λογάδας ἐπιβατεύοντας· (2) ὁρέοντες δὲ τοὺς πολλοὺς τῶν συμμάχων προδιδόντας οὐκ ἐδικαίευν γενέσθαι τοῖσι κακοῖσι αὐτῶν ὁμοῖοι, ἀλλὰ μετ' ὀλίγων συμμάχων μεμουνωμένοι διεκπλώοντες ἐναυμάχεον, ἐς ὃ τῶν

sibi traditos, miseriis intolerabilibus vexat; ita ut nostrûm multi in morbos inciderint, et multis item aliis eadem sors imminere videatur! (4) Quanto nobis præstat, quidvis aliud, quam hæc mala, pati, et futuram servitutem potius tolerare, qualiscumque illa fuerit, quam hanc præsentem, qua constricti sumus! Agite, ne porro huic homini pareamus! « (5) Hæc dixerant, et extemplo nemo amplius mandata facere voluit; sed, tamquam pedestris exercitus, tentoriis in insula fixis degebant in umbra, naves conscendere exercerique nolentes.

XIII. Quæ ubi a Ionibus fieri viderunt Samiorum duces; tum vero, quos sermones jubentibus Persis ad eos deferendos prius curaverat Æaces, Sylosontis filius, deserere eos jubens Ionum societatem, (2) hos tunc sermones animis admittebant Samii, spretam ab Ionibus militarem omnem videntes disciplinam, simulque intelligentes superari non posse regis potentiam; satis quippe gnari, etiamsi præsentes navales copias superarent Darii, alias quintuplices contra se adfuturas. (3) Adripientes igitur occasionem, simulatque Ionas viderunt negantes in officio se futuros, lucro sibi duxerunt servare res suas et sacras et privatas. (4) Erat autem Æaces ille, cui morem Samii gesserunt, filius Sylosontis, Æacis nepos: qui, quum tyrannus fuisset Sami, ab Aristagora Milesio exutus fuerat imperio, quemadmodum reliqui Ioniæ tyranni.

XIV. Tunc igitur, ubi Phœnices cum classe contra progressi sunt, Iones etiam naves suas longo ordine eduxerunt. Ut vero prope invicem fuerunt, commiseruntque prælium, exinde quinam ex Ionibus aut ignavi in hac navali pugna aut fortes viri fuerint, adcurate scribere non possum: nam alii alios invicem culpant. (2) Dicuntur autem tunc Samii, ut convenerat cum Æace, sublatis velis, deserta acie, Samum navigasse, undecim navibus exceptis. (3) Harum enim præfecti manserunt, pugnaveruntque spreto ducum suorum imperio: hisque commune Samiorum, ob hoc factum, eum honorem habuit, ut nomina ipsorum cum paternis nominibus columnæ inscriberentur, ut qui probi fortesque viri fuissent; et est hæc columna in foro. (4) Lesbii vero, proximos profugere videntes, idem fecerunt quod Samii; eorumque exemplum major pars Ionum secuta est.

XV. Ex his vero qui in prælio substiterunt, pessime accepti sunt Chii, præclaris quidem factis nobilitati, et neutiquam, ut alii, de industria cessantes. Contulerant enim, quemadmodum ante etiam dictum est, naves centum, et in earum unaquaque erant quadraginta selecti ex civibus propugnatores. (2) Qui ubi plerosque socios prodere rem communem viderunt, noluerunt pravorum esse similes; sed cum paucis e sociis soli relicti, pugnarunt discurrentes per hostium naves, easque perrumpentes; donec,

πολεμίων ἑλόντες νέας συχνὰς ἀπέβαλον τῶν σφετέρων νεῶν τὰς πλεῦνας. Χῖοι μὲν δὴ τῇσι λοιπῇσι τῶν νεῶν ἀποφεύγουσι ἐς τὴν ἑωυτῶν.

XVI. Ὅσοισι δὲ τῶν Χίων ἀδύνατοι ἦσαν αἱ νέες ὑπὸ τρωμάτων, οὗτοι δὲ ὡς ἐδιώκοντο καταφυγγάνουσι πρὸς τὴν Μυκάλην. Νέας μὲν δὴ αὐτοῦ ταύτῃ ἐποκείλαντες κατέλιπον, οἱ δὲ πεζῇ ἐκομίζοντο διὰ τῆς ἠπείρου. (2) Ἐπεὶ δὲ ἐσέβαλον ἐς τὴν Ἐφεσίην κομιζόμενοι οἱ Χῖοι, νυκτός τε ἀπικέατο ἐς αὐτὴν καὶ ἐόντων τῇσι γυναιξὶ αὐτόθι θεσμοφορίων. Ἐνθαῦτα δὴ οἱ Ἐφέσιοι, οὔτε προακηκοότες ὡς εἶχε περὶ τῶν Χίων, ἰδόντες τε στρατὸν ἐς τὴν χώρην ἐσβεβληκότα, πάγχυ σφέας καταδόξαντες εἶναι κλῶπας καὶ ἰέναι ἐπὶ τὰς γυναῖκας, ἐξεβώθεον πανδημεὶ καὶ ἔκτεινον τοὺς Χίους. Οὗτοι μέν νυν τοιαύτῃσι περιέπιπτον τύχῃσι.

XVII. Διονύσιος δὲ ὁ Φωκαεὺς ἐπείτε ἔμαθε τῶν Ἰώνων τὰ πρήγματα διεφθαρμένα, νέας ἑλὼν τρεῖς τῶν πολεμίων ἀπέπλωε ἐς μὲν Φώκαιαν οὐκέτι, εὖ εἰδὼς ὡς ἀνδραποδιέεται σὺν τῇ ἄλλῃ Ἰωνίῃ· ὁ δὲ ἰθέος ὡς εἶχε ἔπλωε ἐς Φοινίκην, γαυλοὺς δὲ ἐνθαῦτα καταδύσας καὶ χρήματα λαβὼν πολλὰ ἔπλωε ἐς Σικελίην, ὁρμεώμενος δὲ ἐνθεῦτεν λῃΐστης κατεστήκεε Ἑλλήνων μὲν οὐδενὸς, Καρχηδονίων δὲ καὶ Τυρσηνῶν.

XVIII. Οἱ δὲ Πέρσαι ἐπείτε τῇ ναυμαχίῃ ἐνίκων τοὺς Ἴωνας, τὴν Μίλητον πολιορκέοντες ἐκ γῆς καὶ θαλάσσης καὶ ὑπορύσσοντες τὰ τείχεα καὶ παντοίας μηχανὰς προσφέροντες αἱρέουσι κατ' ἄκρης ἕκτῳ ἔτεϊ ἀπὸ τῆς ἀποστάσιος τῆς Ἀρισταγόρεω· καὶ ἠνδραποδίσαντο τὴν πόλιν, ὥστε συμπεσέειν τὸ πάθος τῷ χρηστηρίῳ τῷ ἐς Μίλητον γενομένῳ.

XIX. Χρεωμένοισι γὰρ Ἀργείοισι ἐν Δελφοῖσι περὶ σωτηρίης τῆς πόλιος τῆς σφετέρης ἐχρήσθη ἐπίκοινον χρηστήριον, τὸ μὲν ἐς αὐτοὺς Ἀργείους φέρον, τὴν δὲ παρενθήκην ἔχρησε ἐς Μιλησίους. (2) Τὸ μέν νυν ἐς τοὺς Ἀργείους ἔχον, ἐπεὰν κατὰ τοῦτο γένωμαι τοῦ λόγου, τότε μνησθήσομαι· τὰ δὲ τοῖσι Μιλησίοισι οὐ παρεοῦσι ἔχρησε, ἔχει ὧδε,

> Καὶ τότε δή, Μίλητε κακῶν ἐπιμήχανε ἔργων,
> πολλοῖσιν δεῖπνόν τε καὶ ἁγλαὰ δῶρα γενήσῃ,
> σαὶ δ' ἄλοχοι πολλοῖσι πόδας νίψουσι κομῆται,
> νηοῦ δ' ἡμετέρου Διδύμοις ἄλλοισι μελήσει.

(3) Τότε δὴ ταῦτα τοὺς Μιλησίους κατελάμβανε, ὅτε γε ἀνδρες μὲν οἱ πλεῦνες ἐκτείνοντο ὑπὸ τῶν Περσέων ἐόντων κομητέων, γυναῖκες δὲ καὶ τέκνα ἐν ἀνδραπόδων λόγῳ ἐγίνοντο, ἱρὸν δὲ τὸ ἐν Διδύμοισι, ὁ νηός τε καὶ τὸ χρηστήριον, συληθέντα ἐνεπίμπρατο. Τῶν δ' ἐν τῷ ἱρῷ τούτῳ χρημάτων πολλάκις μνήμην ἐτέρωθι τοῦ λόγου ἐποιησάμην.

XX. Ἐνθεῦτεν οἱ ζωγρηθέντες τῶν Μιλησίων ἤγοντο ἐς Σοῦσα. Βασιλεὺς δέ σφεας Δαρεῖος κακὸν οὐδὲν ἄλλο ποιήσας κατοίκισε ἐπὶ τῇ Ἐρυθρῇ καλευμένῃ θαλάσσῃ, ἐν Ἄμπῃ πόλι, παρ' ἣν Τίγρης ποταμὸς παραρρέων ἐς θάλασσαν ἐξίει. (2) Τῆς δὲ Μιλη-

postquam plures naves ceperant, ipsi suarum majorem partem amiserunt. Chii igitur cum reliquis e suis navibus domum profugerunt.

XVI. Quibus vero ex Chiorum numero invalidæ naves erant ob accepta vulnera, hi, quum hostis eos persequeretur, ad Mycalen profugerunt; et relictis ibi navibus in brevia ejectis, pedibus per continentem redire instituerunt. (2) Ut vero Ephesiorum fines ingressi sunt redeuntes Chii, noctuque ad eum locum pervenerunt ubi tunc mulieres Thesmophoria celebrabant; ibi tunc Ephesii, quum quo pacto res Chiorum se haberent ante non audivissent, viderentque militum multitudinem fines suos invadentem, prorsus persuasi fures hos esse, qui mulieribus suis insidiarentur, universi ad vim arcendam procurrerunt, et Chios interfecerunt. Ac Chii quidem tali utrimque fortuna usi sunt.

XVII. Dionysius vero Phocæensis, perditas res esse intelligens Ionum, captis tribus hostium navibus, abiit non jam Phocæam navigans, satis gnarus eam cum reliqua Ionia in servitutem iri redactum; sed e vestigio recta in Phœnicen contendit. Ibi quum onerarias multas naves demersisset, multaque pecunia et aliis rebus pretiosis esset potitus, in Siciliam inde vela fecit: ex qua coortus, prædatoriam exercuit; Græcanicæ quidem nulli navi insidiatus, sed Carthaginiensibus ac Tyrrhenis.

XVIII. Persæ, victis pugna navali Ionibus, terra marique Miletum oppugnarunt, et, suffossis muris, admotisque cujusque generis machinis, penitus vi ceperunt, sexto a defectione Aristagoræ anno; captamque in servitutem redegerunt. Ita ea ipsa calamitate defuncta Miletus est, quæ in illam ab oraculo prædicta erat.

XIX. Nam quum Argivi Delphis oraculum de suæ urbis salute consuluissent, editum est promiscuum effatum, unum quidem ad Argivos spectans, sed huic immixtum aliud ad Milesios pertinens. (2) Et illud quidem, quod Argivos spectabat, deinde referam, quum ad illum narrationis locum pervenero; quæ vero Milesiis, tunc non præsentibus, prædixit deus, ita habent:

> Tunc quoque, commentrix operum Milete malorum,
> permultis cœna et præstantia munera fies,
> crinitisque pedes tua pluribus abluet uxor;
> templi aliis nostri in Didymis sua cura manebit.

(3) Tunc igitur hæc Milesiis acciderunt, quando virorum major pars interfecta est a Persis longos capillos alentibus, et mulieres et liberi mancipiorum loco sunt habiti, et templum Didymis, ædes et oraculum, exspoliatum deflagravit. Cæterum pecuniæ rerumque pretiosarum, quæ in hoc templo depositæ erant, sæpe alibi in hac narratione feci mentionem.

XX. Inde, quotquot Milesii viri capti erant, Susa sunt ducti: quibus rex Darius, nullo alio malo adfectis, sedes adsignavit ad Rubrum quod vocatur mare, in Ampe oppido, juxta quam præterfluens Tigris fluvius in mare evolvitur. (2) Agri vero Milesii eam partem, quæ prope ur-

σίης χώρης αὐτοὶ μὲν οἱ Πέρσαι εἶχον τὰ περὶ τὴν πόλιν καὶ τὸ πεδίον, τὰ δὲ ὑπεράκρια ἔδοσαν Καρσὶ Πηδασεῦσι ἐκτῆσθαι.

XXI. Παθοῦσι δὲ ταῦτα Μιλησίοισι πρὸς Περσέων οὐκ ἀπέδοσαν τὴν ὁμοίην Συβαρῖται, οἳ Λάον τε καὶ Σκίδρον οἰκεον τῆς πόλιος ἀπεστερημένοι· Συβάριος γὰρ ἁλούσης ὑπὸ Κροτωνιητέων Μιλήσιοι πάντες ἡδηδὸν ἀπεκείραντο τὰς κεφαλὰς καὶ πένθος μέγα προσεθήκαντο· πόλιες γὰρ αὗται μάλιστα δὴ τῶν ἡμεῖς ἴδμεν ἀλλήλῃσι ἐξεινώθησαν. (2) Οὐδὲν ὁμοίως καὶ Ἀθηναῖοι· Ἀθηναῖοι μὲν γὰρ δῆλον ἐποίησαν ὑπεραχθεσθέντες τῇ Μιλήτου ἁλώσι τῇ τε ἄλλῃ πολλαχῇ, καὶ δὴ καὶ ποιήσαντι Φρυνίχῳ δρᾶμα Μιλήτου ἅλωσιν καὶ διδάξαντι ἐς δάκρυά τε ἔπεσε τὸ θέητρον, καὶ ἐζημίωσάν μιν ὡς ἀναμνήσαντα οἰκήια κακὰ χιλίῃσι δραχμῇσι, καὶ ἐπέταξαν μηκέτι μηδένα χρᾶσθαι τούτῳ τῷ δράματι.

XXII. Μίλητος μέν νυν Μιλησίων ἠρήμωτο, Σαμίων δὲ τοῖσί τι ἔχουσι τὸ μὲν ἐς τοὺς Μήδους ἐκ τῶν στρατηγῶν τῶν σφετέρων ποιηθὲν οὐδαμῶς ἤρεσκε, ἐδόκεε δὲ μετὰ τὴν ναυμαχίην αὐτίκα βουλευομένοισι, πρὶν ἢ σφι ἐς τὴν χώρην ἀπικέσθαι τὸν τύραννον Αἰάκεα, ἐς ἀποικίην ἐκπλώειν μηδὲ μένοντας Μήδοισί τε καὶ Αἰάκεῖ δουλεύειν. (2) Ζαγκλαῖοι γὰρ οἱ ἀπὸ Σικελίης τὸν αὐτὸν χρόνον τοῦτον πέμποντες ἐς τὴν Ἰωνίην ἀγγέλους ἐπεκαλεῦντο τοὺς Ἴωνας ἐς Καλὴν ἀκτὴν, βουλόμενοι αὐτόθι πόλιν κτίσαι Ἰώνων· ἡ δὲ Καλὴ αὕτη ἀκτὴ καλευμένη ἐστὶ μὲν Σικελῶν, πρὸς δὲ Τυρσηνίην τετραμμένη τῆς Σικελίης. (3) Τούτων ὧν ἐπικαλευμένων οἱ Σάμιοι μοῦνοι Ἰώνων ἐστάλησαν, σὺν δέ σφι Μιλησίων οἱ ἐκπεφευγότες.

XXIII. Ἐν ᾧ τοιόνδε δή τι συνήνεικε γενέσθαι. Σάμιοί τε γὰρ κομιζόμενοι ἐς Σικελίην ἐγίνοντο ἐν Λοκροῖσι τοῖσι Ἐπιζεφυρίοισι, καὶ Ζαγκλαῖοι αὐτοί τε καὶ ὁ βασιλεὺς αὐτῶν, τῷ οὔνομα ἦν Σκύθης, περιεκατέατο πόλιν τῶν Σικελῶν ἐξελέειν βουλόμενοι. (2) Μαθὼν δὲ ταῦτα ὁ Ῥηγίου τύραννος Ἀναξίλεως, ὥστε ἐὼν διάφορος τοῖσι Ζαγκλαίοισι, συμμίξας τοῖσι Σαμίοισι ἀναπείθει ὡς χρεὼν εἴη Καλὴν μὲν ἀκτὴν, ἐπ' ἣν ἔπλωον, ἐᾶν χαίρειν, τὴν δὲ Ζάγκλην σχεῖν ἐοῦσαν ἐρῆμον ἀνδρῶν. (3) Πειθομένων δὲ τῶν Σαμίων καὶ σχόντων τὴν Ζάγκλην, ἐνθαῦτα οἱ Ζαγκλαῖοι, ὡς ἐπύθοντο ἐχομένην τὴν πόλιν ἑωυτῶν, ἐβώθεον αὐτῇ καὶ ἐπεκαλεῦντο Ἱπποκράτεα τὸν Γέλης τύραννον· ἦν γὰρ δή σφι οὗτος σύμμαχος. (4) Ἐπείτε δὲ αὐτοῖσι καὶ ὁ Ἱπποκράτης σὺν τῇ στρατιῇ ἦκε βωθέων, Σκύθην μὲν τὸν μούναρχον τῶν Ζαγκλαίων ἀποβαλόντα τὴν πόλιν ὁ Ἱπποκράτης πεδήσας, καὶ τὸν ἀδελφεὸν αὐτοῦ Πυθογένεα, ἐς Ἴνυκον πόλιν ἀπέπεμψε, τοὺς δὲ λοιποὺς Ζαγκλαίους κοινολογησάμενος τοῖσι Σαμίοισι καὶ ὅρκους δοὺς καὶ δεξάμενος προέδωκε. (5) Μισθὸς δέ οἱ ἦν εἰρημένος ὅδε ὑπὸ τῶν Σαμίων, πάντων τῶν ἐπίπλων καὶ ἀνδραπόδων τὰ ἡμίσεα λαβέειν τῶν ἐν τῇ πόλι, τὰ δ' ἐπὶ τῶν ἀγρῶν

bem et in planitie sita est, Persæ tenuerunt ipsi; colles et montana Caribus Pedasensibus possidenda dedere.

XXI. Milesiis, hac calamitate adflictis a Persis, parem gratiam non retulerunt Sybaritæ, qui patria urbe exuti Laum et Scidrum incolebant. Nam Sybari a Crotoniatis capta Milesii universi, nulla excepta ætate, capita raserant, et ingentem præ se tulerant luctum : hæ enim civitates maxime omnium, quas novimus, hospitii inter se jura coluerant. (2) Diverso modo fecere Athenienses. Hi enim et aliis multis modis testatum fecerunt, quam acerbum ex Mileti expugnatione luctum perceperint; et, quum Phrynichus drama scripsisset docuissetque, Mileti expugnationem, in lacrimas eruperunt spectatores omnes, et mille drachmis multatus est poeta, quod domesticarum calamitatum memoriam refrixisset; legeque cautum est, ne quis amplius hoc dramate uteretur.

XXII. Ita Miletus viduata est Milesiis. Samiorum vero his, qui aliquid in bonis habebant, minime placuit id quod ab ipsorum ducibus in gratiam Medorum erat factum. Itaque statim a navali pugna deliberantes decreverunt, prius quam in ipsorum terram advenisset Æaces tyrannus, navibus in coloniam emigrare, nec manere dum Medis et Æaci servire cogerentur. (2) Etenim per idem tempus Zanclæi ex Sicilia nuncios miserant in Ioniam, qui Ionas ad Calactam invitarent, ubi Ionicam condi urbem Zanclæi cupiebant. Est autem hæc Cale Acte (*Pulcrum littus*) quæ vocatur, Siciliæ tractus, Tyrrheniæ obversus. (3) His igitur invitantibus, soli ex Ionibus Samii in coloniam abierunt, cum eisque Milesii, qui patriæ calamitatem effugerant.

XXII. Interim res accidit hujusmodi. Samii, dum Siciliam petunt, in Locris erant Epizephyriis, et Zanclæi cum rege ipsorum, cui nomen erat Scythes, urbem aliquam Siciliæ obsidebant, quam expugnare cupidi erant. (2) Ea re cognita, Anaxilaus Rhegii tyrannus, infensus tunc Zanclæis, cum Samiis egit, monens eos omittendam esse, quam peterent, Calactam, occupandamque Zanclam, viris tum vacuam. (3) Et Samii, dicto audientes, Zanclam tenuere. Zanclæi, ut occupatam suam urbem audivere, ad opem ferendam adcurrunt, advocato etiam Hippocrate, Gelæ tyranno, cui cum illis societas erat. (4) At Hippocrates, postquam cum exercitu tamquam opem illis laturus advenit, ipse Scytham Zanclæorum monarcham, qui urbem amiserat, fratremque ejus Pythogenem, compedibus vinctos in oppidum Inycum misit; reliquos autem Zanclæos, fœdere cum Samiis inito, et fide data acceptaque, prodidit. (5) Merces ei a Samiis hæc erat stipulata, ut omnium quæ moveri possent mancipiorumque, quæ in urbe essent, dimidiam partem Hippocrates acciperet; quæ vero in agris essent,

πάντα Ἱπποκράτεα λαγχάνειν. (6) Τοὺς μὲν δὴ πλεῦνας τῶν Ζαγκλαίων αὐτὸς ἐν ἀνδραπόδων λόγῳ εἶχε δήσας, τοὺς δὲ κορυφαίους αὐτῶν τριηκοσίους ἔδωκε τοῖσι Σαμίοισι κατασφάξαι· οὐ μέντοι οἵ γε Σάμιοι ἐποίησαν ταῦτα.

XXIV. Σκύθης δὲ ὁ τῶν Ζαγκλαίων μούναρχος ἐκ τῆς Ἰνύκου ἐκδιδρήσκει ἐς Ἱμέρην, ἐκ δὲ ταύτης παρῆν ἐς τὴν Ἀσίην καὶ ἀνέβη παρὰ βασιλέα Δαρεῖον. (2) Καί μιν ἐνόμισε Δαρεῖος πάντων ἀνδρῶν δικαιότατον εἶναι, ὅσοι ἐκ τῆς Ἑλλάδος παρ' ἑωυτὸν ἀνέβησαν· καὶ γὰρ παραιτησάμενος βασιλέα ἐς Σικελίην ἀπίκετο καὶ αὖτις ἐκ τῆς Σικελίης ὀπίσω παρὰ βασιλέα, ἐς ὃ γήραϊ μέγα ὄλβιος ἐὼν ἐτελεύτησε ἐν Πέρσῃσι. Σάμιοι δὲ ἀπαλλαχθέντες Μήδων ἀπονητὶ πόλιν καλλίστην Ζάγκλην περιεβεβλήατο.

XXV. Μετὰ δὲ τὴν ναυμαχίην τὴν ὑπὲρ Μιλήτου γενομένην Φοίνικες κελευσάντων Περσέων κατῆγον ἐς Σάμον Αἰάκεα τὸν Συλοσῶντος ὡς πολλοῦ τε ἄξιον γενόμενον σφίσι καὶ μεγάλα κατεργασάμενον· (2) καὶ Σαμίοισι μούνοισι τῶν ἀποστάντων ἀπὸ Δαρείου διὰ τὴν ἔκλειψιν τῶν νεῶν τὴν ἐν τῇ ναυμαχίῃ οὔτε ἡ πόλις οὔτε τὰ ἱρὰ ἐνεπρήσθη. Μιλήτου δὲ ἁλούσης αὐτίκα Καρίην ἔσχον οἱ Πέρσαι, τὰς μὲν ἐθελοντὴν τῶν πολίων ὑποχυψάσας, τὰς δὲ ἀνάγκῃ προσηγάγοντο.

XXVI. Ταῦτα μὲν δὴ οὕτω ἐγίνετο, Ἱστιαίῳ δὲ τῷ Μιλησίῳ ἐόντι περὶ Βυζάντιον καὶ συλλαμβάνοντι τὰς Ἰώνων ὁλκάδας ἐκπλωούσας ἐκ τοῦ Πόντου ἐξαγγέλλεται τὰ περὶ Μίλητον γενόμενα. (2) Τὰ μὲν δὴ περὶ Ἑλλήσποντον ἔχοντα πρήγματα ἐπιτράπει Βισάλτῃ Ἀπολλοφάνεος παιδὶ Ἀβυδηνῷ, αὐτὸς δὲ ἔχων Λεσβίους ἐς Χίον ἔπλωε, καὶ Χίων φρουρῇ οὐ προσιεμένῃ μιν συνέβαλε ἐν Κοίλοισι καλευμένοισι τῆς Χίης χώρης. (3) Τούτων τε δὴ ἐφόνευσε συχνούς, καὶ τῶν λοιπῶν Χίων, οἷα δὴ κεκακωμένων ἐκ τῆς ναυμαχίης, ὁ Ἱστιαῖος ἔχων τοὺς Λεσβίους ἐπεκράτησε, ἐκ Πολίχνης τῆς Χίων ὁρμεώμενος.

XXVII. Φιλέει δέ κως προσημαίνειν, εὖτ' ἂν μέλλῃ μεγάλα κακὰ ἢ πόλι ἢ ἔθνεϊ ἔσεσθαι· καὶ γὰρ Χίοισι πρὸ τούτων σημήϊα μεγάλα ἐγένετο. Τοῦτο μέν σφι πέμψασι ἐς Δελφοὺς χορὸν νεηνιέων ἑκατὸν δύο μοῦνοι τούτων ἀπενόστησαν, τοὺς δὲ ὀκτώ τε καὶ ἐνενήκοντα αὐτῶν λοιμὸς ὑπολαβὼν ἀπήνεικε· (2) τοῦτο δὲ ἐν τῇ πόλι τὸν αὐτὸν τοῦτον χρόνον, ὀλίγῳ πρὸ τῆς ναυμαχίης, παισὶ γράμματα διδασκομένοισι ἐνέπεσε ἡ στέγη, ὥστε ἀπ' ἑκατὸν καὶ εἴκοσι παίδων εἷς μοῦνος ἀπέφυγε. (3) Ταῦτα μέν σφι σημήϊα ὁ θεὸς προέδεξε, μετὰ δὲ ταῦτα ἡ ναυμαχίη ὑπολαβοῦσα ἐς γόνυ τὴν πόλιν ἔβαλε, ἐπὶ δὲ τῇ ναυμαχίῃ ἐπεγένετο Ἱστιαῖος Λεσβίους ἄγων· κεκακωμένων δὲ τῶν Χίων, καταστροφὴν εὐπετέως αὐτῶν ἐποιήσατο.

XXVIII. Ἐνθεῦτεν δὲ ὁ Ἱστιαῖος ἐστρατεύετο ἐπὶ Θάσον, ἄγων Ἰώνων καὶ Αἰολέων συχνούς. Περικατημένῳ δέ οἱ Θάσον ἦλθε ἀγγελίη ὡς οἱ Φοίνικες ἀναπλώουσι ἐκ τῆς Μιλήτου ἐπὶ τὴν ἄλλην Ἰωνίην. (2)

ea cuncta sortiretur. (6) Igitur Zanclæorum plerosque ipse mancipiorum loco in vinculis habuit, eminentiores autem illorum trecentos Samiis tradidit interficiendos: at ab hac quidem culpa Samii abstinuere.

XXIV. Scythes vero, Zanclæorum monarcha, ex Inyco Himeram profugit; indeque in Asiam profectus, ad regem Darium adscendit. (2) Et hunc Darius justissimum judicavit virorum omnium, qui ex Græcia ad ipsum adscenderant: nam venia a rege impetrata in Siciliam redierat, rursusque ex Sicilia ad regem erat reversus. Denique senex et beatus apud Persas e vita discessit. Ita igitur Samii, procul a Medis profecti, nullo labore pulcerrima urbe Zancla sunt potiti.

XXV. Post peractam pro Mileto navalem pugnam, Phœnices ex Persarum mandato Æacem, Sylosontis filium, Samum reduxerunt, utpote qui utilissimam illis egregiamque operam præstitisset. (2) Et solis, ex omnibus qui a Dario defecerant, Samiis neque urbs neque templa incensa sunt, propterea quod naves eorum in pugna navali socios deseruerant. Capta vero Mileto, protinus Caria in potestatem venit Persarum, aliis oppidis ultro sese dedentibus, aliis vi ad obsequium redactis.

XXVI. Atque ita hæ res gestæ sunt. Histiæo autem Milesio circa Byzantium versanti et Ionum onerarias naves e Ponto venientes intercipienti, adfertur nuncius de rebus ad Miletum gestis. (2) Itaque, rebus ad Hellespontum Bisaltæ Abydeno permissis, Apollophanis filio, ipse secum sumptis Lesbiis Chium navigavit. Ubi quum non reciperet eum Chiorum præsidium, acie cum his congressus est in Cœlis (*id est* Cavis) quæ vocantur Chiæ terræ; (3) et eorum multos interfecit: mox reliquos etiam Chios, quippe navali pugna misere adflictos, sub potestatem suam Histiæus, Lesbiis adjutus, redegit, ex Polichna Chiorum oppido impetu facto.

XXVII. Solet autem deus ante significare, quando magna mala civitati aut populo cuipiam imminent; atque etiam Chiis ante has calamitates ingentia signa acciderant. Primum enim, quum centum juvenum chorum Delphos misissent, non nisi duo ex his redierant, cæteris octo et nonaginta peste absumptis: (2) tum per idem tempus, haud multo ante navalem pugnam, super puerorum capitibus literas discentium tectum corruerat, ut de centum et viginti pueris unus solus evaserit. (3) His signis a deo ante ostensis, deinde secuta pugna navalis in genu projecit civitatem; post pugnam vero navalem supervenit Histiæus cum Lesbiis, et Chios jam ante adtritos facile prorsus depressit

XXVIII. Inde Thaso arma Histiæus intulit, magnam Ionum et Æolensium manum secum ducens. Dum vero Thasum circumsidet, adfertur ei nuncius, Phœnices Mileto profectos reliquam Ioniam navibus petere. (2) Quo

Πυθόμενος δὲ ταῦτα Θάσον μὲν ἀπόρθητον λείπει, αὐτὸς δὲ ἐς τὴν Λέσβον ἠπείγετο ἄγων πᾶσαν τὴν στρατιήν. Ἐκ Λέσβου δὲ λιμαινούσης οἱ τῆς στρατιῆς πέρην διαβαίνει, ἐκ τοῦ Ἀταρνέος ὡς ἀμήσων τὸν σῖτον, τόν τε ἐνθεῦτεν καὶ τὸν ἐκ Καΐκου πεδίου, τὸν τῶν Μυσῶν. (3) Ἐν δὲ τούτοισι τοῖσι χωρίοισι ἐτύγχανε ἐὼν Ἅρπαγος ἀνὴρ Πέρσης, στρατηγὸς στρατιῆς οὐκ ὀλίγης, ὃς οἱ ἀποβάντι συμβαλὼν αὐτόν τε Ἱστιαῖον ζωγρίῃ ἕλαβε καὶ τὸν στρατὸν αὐτοῦ τὸν πλέω διέφθειρε.

XXIX. Ἐζωγρήθη δὲ ὁ Ἱστιαῖος ὧδε. Ὡς ἐμάχοντο οἱ Ἕλληνες τοῖσι Πέρσῃσι ἐν τῇ Μαλήνῃ τῆς Ἀταρνείτιδος χώρης, οἱ μὲν συνέστασαν χρόνον ἐπὶ πολλόν, ἡ δὲ ἵππος ὕστερον ὁρμηθεῖσα ἐπιπίπτει τοῖσι Ἕλλησι. Τό τε δὴ ἔργον τῆς ἵππου τοῦτο ἐγένετο, (2) καὶ τετραμμένων τῶν Ἑλλήνων ὁ Ἱστιαῖος ἐλπίζων οὐκ ἀπολέεσθαι ὑπὸ βασιλέος διὰ τὴν παρεοῦσαν ἁμαρτάδα φιλοψυχίην τοιήνδε τινὰ ἀναιρέεται· ὡς φεύγων τε κατελαμβάνετο ὑπ' ἀνδρὸς Πέρσεω καὶ ὡς καταιρεόμενος ὑπ' αὐτοῦ ἔμελλε συγκεντηθήσεσθαι, Περσίδα γλῶσσαν μετεὶς καταμηνύει ἑωυτὸν ὡς εἴη Ἱστιαῖος ὁ Μιλήσιος.

XXX. Εἰ μέν νυν, ὡς ἐζωγρήθη, ἀνάχθη ἀγόμενος παρὰ βασιλέα Δαρεῖον, ὁ δ' οὔτ' ἂν ἔπαθε κακὸν οὐδὲν δοκέειν ἐμοί, ἀπῆκέ τ' ἂν αὐτῷ τὴν αἰτίην· νῦν δέ μιν αὐτῶν τε τούτων εἵνεκεν, καὶ ἵνα μὴ διαφυγὼν αὖτις μέγας παρὰ βασιλέϊ γένηται, Ἀρταφέρνης τε ὁ Σαρδίων ὕπαρχος καὶ ὁ λαβὼν Ἅρπαγος, ὡς ἀπίκετο ἀγόμενος ἐς Σάρδις, τὸ μὲν αὐτοῦ σῶμα αὐτοῦ ταύτῃ ἀνεσταύρωσαν, τὴν δὲ κεφαλὴν ταριχεύσαντες ἀνήνεικαν παρὰ βασιλέα Δαρεῖον ἐς Σοῦσα. (2) Δαρεῖος δὲ πυθόμενος ταῦτα καὶ ἐπαιτιησάμενος τοὺς ταῦτα ποιήσαντας ὅτι μιν οὐ ζώοντα ἀνήγαγον ἐς ὄψιν τὴν ἑωυτοῦ, τὴν κεφαλὴν τὴν Ἱστιαίου λούσαντάς τε καὶ περιστείλαντας εὖ ἐνετείλατο θάψαι ὡς ἀνδρὸς μεγάλως ἑωυτῷ τε καὶ Πέρσῃσι εὐεργέτεω. Τὰ μέν περὶ Ἱστιαῖον οὕτω ἔσχε.

XXXI. Ὁ δὲ ναυτικὸς στρατὸς ὁ Περσέων χειμερίσας περὶ Μίλητον, τῷ δευτέρῳ ἔτεϊ ὡς ἀνέπλωσε, αἱρέει εὐπετέως τὰς νήσους τὰς πρὸς τῇ ἠπείρῳ κειμένας, Χίον καὶ Λέσβον καὶ Τένεδον. (2) Ὅκως δὲ λάβοι τινὰ τῶν νήσων, ὡς ἑκάστην αἱρέοντες οἱ βάρβαροι ἐσαγήνευον τοὺς ἀνθρώπους. Σαγηνεύουσι δὲ τόνδε τὸν τρόπον· ἀνὴρ ἀνδρὸς ἁψάμενος τῆς χειρὸς ἐκ θαλάσσης τῆς βορηΐης ἐπὶ τὴν νοτίην διήκουσι, καὶ ἔπειτεν διὰ πάσης τῆς νήσου διέρχονται ἐκθηρεύοντες τοὺς ἀνθρώπους. (3) Αἴρεον δὲ καὶ τὰς ἐν τῇ ἠπείρῳ πόλιας τὰς Ἰάδας κατὰ τὰ αὐτά, πλὴν οὐκ ἐσαγήνευον τοὺς ἀνθρώπους· οὐ γὰρ οἷά τ' ἦν.

XXXII. Ἐνθαῦτα Περσέων οἱ στρατηγοὶ οὐκ ἐψεύσαντο τὰς ἀπειλὰς τὰς ἐπηπείλησαν τοῖσι Ἴωσι στρατοπεδευομένοισι ἐναντία σφίσι. (2) Ὡς γὰρ δὴ ἐπεκράτησαν τῶν πολίων, παῖδάς τε τοὺς εὐειδεστάτους ἐκλεγόμενοι ἐξέταμνον καὶ ἐποίευν ἀντὶ τοῦ εἶναι

cognito, Thasum inexpugnatam relinquens, Lesbum contendit, universis copiis secum ductis. Lesbo vero, quum fame laboraret exercitus, in continentem trajecit, frumentum demetere et ex Atarneo cogitans, et ex Caico campo Mysorum ditionis. (3) At fuit forte in ea regione Harpagus Persa, haud exigui dux exercitus: qui, cum illo in terram egresso commissa pugna, et ipsum Histiæum vivum cepit, et majorem copiarum illius partem interfecit.

XXIX. Captus est autem Histiæus hoc modo. Commisso Græcos inter et Persas prælio in Malena agri Atarnensis, per satis longum tempus æquo marte pugnatum est; ad extremum vero immissus est Græcis equitatus, qui pugnam hanc confecit: (2) et in fugam versis Græcis, Histiæus, sperans se ob admissam culpam non supplicio adfectum iri a rege, talem quemdam vitæ amorem concepit: quum fugientem adsecutus esset homo Persa, qui jam in eo erat ut deprehensum confoderet, Persico ille sermone hominem adloquens, esse se Histiæum Milesium indicavit.

XXX. Qui si in vita fuisset servatus, et ad Darium regem adductus, puto equidem nihil mali fuisse eum passurum, remissurumque ei culpam fuisse regem. Nunc hanc ipsam ob caussam, ne salvus evaderet iterumque magnus fieret apud regem, Artaphernes Sardium præfectus, et qui illum captivum fecerat Harpagus, ut Sardes adductus est Histiæus, corpus illius suspenderunt e cruce, caput autem, sale conditum, Susa ad Darium regem miserunt. (2) Quibus rebus cognitis Darius, vituperatis his qui hoc fecerant, quod non vivum illum in suum conspectum adduxissent, caput Histiæi lotum et bene curatum jussit sepeliri, ut viri de se et de Persis præclare meriti. Hoc igitur fato functus Histiæus est.

XXXI. Jam navalis Persarum exercitus, postquam circa Miletum hiemaverat, sequenti anno inde profectus, insulas facile cepit haud procul a continente sitas, Chium et Lesbum et Tenedum. (2) Quarum insularum ut quaque potiti erant barbari, incolas omnes indagine cinctos capiebant. Indagine autem cingunt hoc modo: vir virum manu prehendens, a mari septentrionali ad australe pertinentes, totam pervadunt insulam, atque ita homines venantur. (3) Pariter vero etiam Ionicas in continente ceperunt civitates, nisi quod ibi homines non indagine cinctos venati sunt; neque enim fieri id poterat.

XXXII. Tunc vero Persarum duces vera præstiterunt ea, quæ minati Ionibus erant, quum illi ex adverso castra haberent. (2) Postquam enim urbibus potiti sunt, selectos puerorum formosissimos castrabant, ex viris eunuchos facientes; et virgines forma præcellentes abducebant

ἐνόρχιας εὐνούχους, καὶ παρθένους τὰς καλλιστευούσας ἀνασπάστους παρὰ βασιλέα· ταῦτά τε δὴ ἐποίευν, καὶ τὰς πόλιας ἐνεπίμπρασαν αὐτοῖσι ἱροῖσι. (3) Οὕτω δὴ τὸ τρίτον Ἴωνες κατεδουλώθησαν, πρῶτον μὲν ὑπὸ Λυδῶν, δὶς δὲ ἐπεξῆς τότε ὑπὸ Περσέων.

XXXIII. Ἀπὸ δὲ Ἰωνίης ἀπαλλασόμενος ὁ ναυτικὸς στρατὸς τὰ ἐπ' ἀριστερὰ ἐσπλώοντι τοῦ Ἑλλησπόντου αἴρεε πάντα· τὰ γὰρ ἐπὶ δεξιὰ αὐτοῖσι Πέρσῃσι ὑποχείρια ἦν γεγονότα κατ' ἤπειρον. (2) Εἰσὶ δὲ ἐν τῇ Εὐρώπῃ αἵδε τοῦ Ἑλλησπόντου, Χερσόνησός τε, ἐν τῇ πόλιες συχναὶ ἔνεισι, καὶ Πέρινθος καὶ τὰ τείχεα τὰ ἐπὶ Θρηϊκης καὶ Σηλυβρίη τε καὶ Βυζάντιον. (3) Βυζάντιοι μέν νυν καὶ οἱ πέρηθε Καλχηδόνιοι οὐδ' ὑπέμειναν ἐκπλώοντας τοὺς Φοίνικας, ἀλλ' οἴχοντο ἀπολιπόντες τὴν σφετέρην ἔσω ἐς τὸν Εὔξεινον πόντον, καὶ ἐνθαῦτα πόλιν Μεσαμβρίην οἴκισαν· οἱ δὲ Φοίνικες κατακαύσαντες ταύτας τὰς χώρας τὰς καταλεχθείσας τράπονται ἐπί τε Προκόννησον καὶ Ἀρτάκην, πυρὶ δὲ καὶ ταύτας νείμαντες ἔπλωον αὖτις ἐς τὴν Χερσόνησον, ἐξαιρήσοντες τὰς ἐπιλοίπους τῶν πολίων, ὅσας πρότερον προσσχόντες οὐ κατέσυραν. (4) Ἐπὶ δὲ Κύζικον οὐδὲ ἔπλωσαν ἀρχήν· αὐτοὶ γὰρ Κυζικηνοὶ ἔτεϊ πρότερον τοῦ Φοινίκων ἔσπλου ἐγεγόνεσαν ὑπὸ βασιλέϊ, Οἰβάρεϊ τῷ Μεγαβάζου ὁμολογήσαντες, τῷ ἐν Δασκυλείῳ ὑπάρχῳ. Τῆς δὲ Χερσονήσου, πλὴν Καρδίης πόλιος, τὰς ἄλλας πάσας ἐχειρώσαντο οἱ Φοίνικες.

XXXIV. Ἐτυράννευε δὲ αὐτέων μέχρι τότε Μιλτιάδης ὁ Κίμωνος τοῦ Στησαγόρεω, κτησαμένου τὴν ἀρχὴν ταύτην πρότερον Μιλτιάδεω τοῦ Κυψέλου τρόπῳ τοιῷδε. Εἶχον Δόλογκοι Θρῄϊκες τὴν Χερσόνησον ταύτην. (2) Οὗτοι ὦν οἱ Δόλογκοι πιεσθέντες πολέμῳ ὑπ' Ἀψινθίων ἐς Δελφοὺς ἔπεμψαν τοὺς βασιλέας περὶ τοῦ πολέμου χρησομένους. Ἡ δὲ Πυθίη σφι ἀνεῖλε οἰκιστὴν ἑπάγεσθαι ἐπὶ τὴν χώρην τοῦτον ὃς ἂν σφέας ἀπιόντας ἐκ τοῦ ἱροῦ πρῶτος ἐπὶ ξείνια καλέσῃ. (3) Ἰόντες δὲ οἱ Δόλογκοι τὴν ἱρὴν ὁδὸν διὰ Φωκέων τε καὶ Βοιωτῶν ἤϊσαν· καί σφεας ὡς οὐδεὶς ἐκάλεε, ἐκτράπονται ἐπ' Ἀθηνέων.

XXXV. Ἐν δὲ τῇσι Ἀθήνῃσι τηνικαῦτα εἶχε μὲν τὸ πᾶν κράτος Πεισίστρατος, ἀτὰρ ἐδυνάστευε καὶ Μιλτιάδης ὁ Κυψέλου ἐὼν οἰκίης τεθριππotρόφου, τὰ μὲν ἀνέκαθεν ἀπ' Αἰακοῦ τε καὶ Αἰγίνης γεγονὼς, τὰ δὲ νεώτερα Ἀθηναῖος, Φιλαίου τοῦ Αἴαντος παιδὸς γενομένου πρώτου τῆς οἰκίης ταύτης Ἀθηναίου. (2) Οὗτος ὁ Μιλτιάδης κατήμενος ἐν τοῖσι προθύροισι τοῖσι ἑωυτοῦ, ὁρέων τοὺς Δολόγκους παριόντας ἐσθῆτα οὐκ ἐγχωρίην ἔχοντας καὶ αἰχμὰς προσεβώσατο καί σφι προσελθοῦσι ἐπηγγείλατο καταγωγὴν καὶ ξείνια. (3) Οἱ δὲ δεξάμενοι καὶ ξεινισθέντες ὑπ' αὐτοῦ ἐξέφαινον πᾶν οἱ τὸ μαντήϊον, ἐκφήναντες δὲ ἐδέοντο αὐτοῦ τῷ θεῷ μιν πείθεσθαι. Μιλτιάδεα δὲ ἀκούσαντα παραυτίκα ἔπεισε ὁ λόγος οἷα ἀχθόμενόν τε τῇ Πεισιστράτου ἀρχῇ καὶ βουλόμενον ἐκποδὼν εἶναι. (4) Αὐτίκα δὲ

ad regem : et hæc igitur faciebant et urbes cum ipsis templis incendio cremabant. (3) Atque sic tertio in servitutem Iones redacti sunt : primum a Lydis, et bis deinceps tunc a Persis.

XXXIII. Post hæc, relicta Ionia, navalis exercitus omnia Hellesponti loca, quæ ad sinistram sunt intranti, subegit : nam, quæ a dextra sunt, ea Persæ jam ipsi per se, terra adgressi, suam in potestatem redegerant. (2) Sunt autem ad Hellespontum in Europa loca hæc : Chersonesus, in qua complura insunt oppida, tum Perinthus, et castella Thracia, et Selybria, et Byzantium. (3) Jam Byzantii quidem, et his ex adverso oppositi Calchedonii, ne exspectarunt quidem Phœniciæ classis adventum ; sed, relictis suis sedibus, introrsus in Pontum Euxinum se receperunt, ibique urbem condiderunt Mesembriam. Phœnices vero, incensis his quæ nominavi locis, contra Proconnesum et Artacam se converterunt : quibus et ipsis igni datis, iterum in Chersonesum navigarunt, reliquas urbes expugnaturi, quas superiori adpulsu non everterant. (4) Adversus Cyzicum vero cursum omnino non direxerunt : nam Cyziceni ipsi jam ante Phœnicum adventum in obsequio erant regis Persarum, deditionem cum Œbare pacti, Megabazi filio, Dascylei præfecto. Chersonesi vero, una Cardia excepta, reliquis omnibus urbibus potiti sunt Phœnices.

XXXIV. Tyrannus tunc Chersonesi Miltiades erat, Cimonis filius, Stesagoræ nepos : quod regnum primus olim susceperat Miltiades, Cypseli filius, hoc modo. Tenebant hanc Chersonesum Dolonci Thraces. (2) Hi, bello pressi ab Apsinthiis, reges suos miserant Delphos, qui de hoc bello oraculum consulerent ; quibus Pythia respondit, coloniæ conditorem in hanc regionem secum adducerent eum, qui ipsos, postquam templo egressi essent, primus ad hospitium vocasset. (3) Rediere Dolonci sacra via, per Phocences et Bœotos : ubi quum nemo eos vocasset, Athenas deflectunt.

XXXV. Erat tunc Athenis summa potestas penes Pisistratum : cæterum dominabatur etiam Miltiades Cypseli filius, e familia quadrigas alente ; originem quidem generis ab Æaco ex Ægina repetens, sed recentiori memoria civis Atheniensis ; Philæus enim, Ajacis filius, primus ex hac familia in civium Atheniensium numerum erat receptus. (2) Hic Miltiades, in vestibulo ædium suarum sedens, quum prætereuntes conspiceret Doloncos, vestem gestantes extraneam et lanceas, inclamavit illos ; accedentibusque deversorium et hospitalia officia obtulit. (3) Tum illi, accepta conditione, hospitio ab eo recepti, totum hospiti effatum oraculi aperuerunt, rogaruntque eumdem ut deo obsequeretur. Quorum audito sermone, protinus persuasus Miltiades est, quippe ægre ferens Pisistrati imperium, et procul ipse abesse cupiens. (4) Itaque extemplo Del-

ἐσταλη ἐς Δελφοὺς, ἐπειρησόμενος τὸ χρηστήριον εἰ ποιέῃ τά περ αὐτοῦ οἱ Δολογκοι προσεδέοντο.

XXXVI. Κελευούσης δὲ καὶ τῆς Πυθίης, οὕτω δὴ Μιλτιάδης ὁ Κυψέλου, Ὀλύμπια ἀναραιρηκὼς πρότερον τούτων τεθρίππῳ, τότε παραλαβὼν Ἀθηναίων πάντα τὸν βουλόμενον μετέχειν τοῦ στόλου ἔπλωε ἅμα τοῖσι Δολόγκοισι, καὶ ἔσχε τὴν χώρην· καί μιν οἱ ἐπαγαγόμενοι τύραννον κατεστήσαντο. (2) Ὁ δὲ πρῶτον μὲν ἀπετείχισε τὸν ἰσθμὸν τῆς Χερσονήσου ἐκ Καρδίης πόλιος ἐς Πακτύην, ἵνα μὴ ἔχοιέν σφεας οἱ Ἀψίνθιοι δηλέεσθαι ἐσβάλλοντες ἐς τὴν χώρην. Εἰσὶ δὲ οὗτοι στάδιοι ἓξ τε καὶ τριήκοντα τοῦ ἰσθμοῦ· ἀπὸ δὲ τοῦ ἰσθμοῦ τούτου ἡ Χερσόνησος ἔσω πᾶσά ἐστι σταδίων εἴκοσι καὶ τετρακοσίων τὸ μῆκος.

XXXVII. Ἀποτειχίσας ὧν τὸν αὐχένα τῆς Χερσονήσου ὁ Μιλτιάδης, καὶ τοὺς Ἀψινθίους τρόπῳ τοιούτῳ ὠσάμενος, τῶν λοιπῶν πρώτοισι ἐπολέμησε Λαμψακηνοῖσι· καί μιν οἱ Λαμψακηνοὶ λοχήσαντες αἱρέουσι ζωγρίῃ. (2) Ἦν δὲ ὁ Μιλτιάδης Κροίσῳ τῷ Λυδῷ ἐν γνώμῃ γεγονώς· πυθόμενος ὧν ὁ Κροῖσος ταῦτα, πέμπων προηγόρευε τοῖσι Λαμψακηνοῖσι μετιέναι Μιλτιάδεα· εἰ δὲ μή, σφέας πίτυος τρόπον ἠπείλεε ἐκτρίψειν. (3) Πλανεωμένων δὲ τῶν Λαμψακηνῶν ἐν τοῖσι λόγοισι τί ἐθέλει τὸ ἔπος εἶναι τό σφι ἠπείλησεν ὁ Κροῖσος, πίτυος τρόπον ἐκτρίψειν, μόγις κοτὲ μαθὼν τῶν τις πρεσβυτέρων εἶπε τὸ ἐὸν, ὅτι πίτυς μούνη δενδρέων πάντων ἐκκοπεῖσα βλαστὸν οὐδένα μετίει, ἀλλὰ πανώλεθρος ἐξαπόλλυται. Δείσαντες ὧν οἱ Λαμψακηνοὶ Κροῖσον, λύσαντες μετῆκαν Μιλτιάδεα.

XXXVIII. Οὗτος μὲν δὴ διὰ Κροῖσον ἐκφεύγει, μετὰ δὲ τελευτᾷ ἄπαις, τὴν ἀρχήν τε καὶ τὰ χρήματα παραδοὺς Στησαγόρῃ τῷ Κίμωνος ἀδελφεοῦ παιδὶ ὁμομητρίου. Καί οἱ τελευτήσαντι Χερσονησῖται θύουσι ὡς νόμος οἰκιστῇ, καὶ ἀγῶνα ἱππικόν τε καὶ γυμνικὸν ἐπιστᾶσι, ἐν τῷ Λαμψακηνῶν οὐδενὶ ἐγγίνεται ἀγωνίζεσθαι. (2) Πολέμου δὲ ἐόντος πρὸς Λαμψακηνοὺς καὶ Στησαγόρεα κατέλαβε ἀποθανέειν ἄπαιδα, πληγέντα τὴν κεφαλὴν πελέκεϊ ἐν τῷ πρυτανηίῳ πρὸς ἀνδρὸς αὐτομόλου μὲν τῷ λόγῳ, πολεμίου δὲ καὶ ὑποθερμοτέρου τῷ ἔργῳ.

XXXIX. Τελευτήσαντος δὲ καὶ Στησαγόρεω τρόπῳ τοιῷδε, ἐνθαῦτα Μιλτιάδεα τὸν Κίμωνος, Στησαγόρεω δὲ τοῦ τελευτήσαντος ἀδελφεὸν, καταλαμψόμενον τὰ πρήγματα ἐπὶ Χερσονήσου ἀποστέλλουσι τριήρεϊ οἱ Πεισιστρατίδαι, οἳ μιν καὶ ἐν Ἀθήνῃσι ἐποίευν εὖ ὡς οὐ συνειδότες ὄῆθεν τοῦ πατρὸς Κίμωνος αὐτοῦ τὸν θάνατον, τὸν ἐγὼ ἐν ἄλλῳ λόγῳ σημανέω ὡς ἐγένετο. (2) Μιλτιάδης δὲ ἀπικόμενος ἐς τὴν Χερσόνησον εἶχε κατ' οἴκους, τὸν ἀδελφὸν Στησαγόρεα δηλαδὴ ἐπιτιμέων. Οἱ δὲ Χερσονησῖται πυνθανόμενοι ταῦτα συνελέχθησαν ἀπὸ πασέων τῶν πολίων οἱ δυναστεύοντες πάντοθεν, κοινῷ δὲ στόλῳ ἀπικόμενοι ὡς συλλυπηθησόμενοι ἐδέθησαν ὑπ' αὐτοῦ. (3) Μιλτιάδης τε δὴ ἴσχει τὴν Χερσόνησον, πεντακοσίους βόσκων ἐπικούρους, καὶ

phos profectus, consuluit oraculum, an faceret quod eum Dolonci rogassent.

XXXVI. Quod ubi etiam Pythia facere jussit, ita Miltiades Cypseli filius, qui ante id tempus quadrigæ curriculo victoriam Olympiæ reportaverat, tunc, adsumptis quicumque ex Atheniensibus profectionis esse socii voluerant, una cum Doloncis navigavit: et, postquam terram illam tenuit, ab his ipsis qui eum adduxerant tyrannus est constitutus. (2) Is igitur primo isthmum Chersonesi muro intercepit, ex Cardia urbe usque Pactyam; ne possent Apsinthii incursionibus vastare regionem. Est autem latitudo isthmi illius stadia sex et triginta; longitudo vero Chersonesi ab hoc isthmo introrsum est quadringentorum et viginti stadiorum.

XXXVII. Faucibus Chersonesi muro interceptis, eaque ratione expulsis Apsinthiis, primis cæterorum Lampsacenis arma Miltiades intulit: quo bello a Lampsacenis, structis insidiis, vivus captus est. (2) Erat autem Miltiades Crœso Lydo familiaris. Itaque re cognita, Crœsus præcone misso edixit Lampsacenis, salvum dimitterent Miltiadem: id ni fecissent, minatus est, pinus arboris in modum se illos excisurum. (3) Incertis Lampsacenis, disceptantibusque inter se quid sibi vellet hoc verbum, quod ipsis minatus Crœsus esset, pinus in modum se illos excisurum, postremo tandem seniorum quispiam verum docuit, scilicet pinum solam ex cunctis arboribus, postquam excisa sit, nullum amplius germen edere, sed funditus perire. Igitur Crœsum metuentes Lampsaceni Miltiadem solutis vinculis liberum dimiserunt.

XXXVIII. Hic igitur, postquam opera Crœsi salvus evasit, deinde sine liberis obiit, regno et rebus suis omnibus Stesagoræ relictis, Cimonis filio, fratris sui eadem matre nati. Et ei vita functo sacra faciunt Chersonitæ, uti mos est condilori facere; et equestre gymnicumque in illius honorem certamen celebrant, in quo nulli Lampsacenorum certare fas est. (2) Dum vero bellum geritur cum Lampsacenis, accidit ut Stesagoras quoque sine liberis vita discederet, securi caput percussus in prytaneo ab homine, qui in speciem transfuga, revera autem hostis erat isque ferventior.

XXXIX. Ita mortuo etiam Stesagora, deinde Miltiadem, Cimonis filium, mortui Stesagoræ fratrem, ad suscipiendum imperium cum triremi in Chersonesum miserunt Pisistratidæ; qui Athenis etiam eumdem beneficiis promeruerant, quasi non conscii fuissent cædis patris illius Cimonis; quæ quo pacto patrata fuerit, in alia narrationis parte exponam. (2) Miltiades postquam in Chersonesum pervenit, domi se tenuit, tamquam mortui fratris Stesagoræ memoriam honorans. Quod ubi rescivere Chersonesitæ, congressi principes ex omnibus undique civitatibus, quum communi consilio simul omnes ad eum condolendi caussa convenissent, in vincula ab illo conjecti sunt. (3) Atque ita Miltiades Chersonesum tenuit, quingentos alens satellites

γαμέει Ὀλόρου τοῦ Θρηίκων βασιλέος θυγατέρα Ἡγησιπύλην.

XL. Οὗτος δὲ ὁ Κίμωνος Μιλτιάδης νεωστὶ μὲν ἐληλύθεε ἐς τὴν Χερσόνησον, κατελάμβανε δέ μιν ἐλθόντα ἄλλα τῶν κατεχόντων πρηγμάτων χαλεπώτερα. Τρίτῳ μὲν γὰρ ἔτεϊ τούτων Σκύθας ἐκφεύγει· Σκύθαι γὰρ οἱ νομάδες ἐρεθισθέντες ὑπὸ βασιλέος Δαρείου συνεστράφησαν καὶ ἦλασαν μέχρι τῆς Χερσονήσου ταύτης. (2) Τούτους ἐπιόντας οὐκ ὑπομείνας ὁ Μιλτιάδης ἔφευγε ἀπὸ Χερσονήσου, ἐς ὃ οἵ τε Σκύθαι ἀπαλλάχθησαν καί μιν οἱ Δόλογκοι κατήγαγον ὀπίσω. Ταῦτα μὲν δὴ τρίτῳ ἔτεϊ πρότερον ἐγεγόνεε τῶν τότε μιν κατεχόντων.

XLI. Τότε δὲ πυνθανόμενος εἶναι τοὺς Φοίνικας ἐν Τενέδῳ, πληρώσας τριήρεας πέντε χρημάτων τῶν παρεόντων ἀπέπλωε ἐς τὰς Ἀθήνας. Καὶ ὥσπερ ὡρμήθη ἐκ Καρδίης πόλιος, ἔπλωε διὰ τοῦ Μέλανος κόλπου παραμείβετό τε τὴν Χερσόνησον, καὶ οἱ Φοίνικες οἱ περιπίπτουσι τῇσι νηυσί. (2) Αὐτὸς μὲν δὴ Μιλτιάδης σὺν τῇσι τέσσερσι τῶν νεῶν καταφεύγει ἐς Ἴμβρον, τὴν δὲ οἱ πέμπτην τῶν νεῶν κατεῖλον διώκοντες οἱ Φοίνικες. (3) Τῇς δὲ νεὸς ταύτης ἔτυχε τῶν Μιλτιάδεω παίδων ὁ πρεσβύτατος ἄρχων Μητίοχος, οὐκ ἐκ τῆς Ὀλόρου τοῦ Θρηίκος ἐὼν θυγατρὸς, ἀλλ' ἐξ ἄλλης· καὶ τοῦτον ἅμα τῇ νηὶ εἷλον οἱ Φοίνικες, καί μιν πυθόμενοι ὡς εἴη Μιλτιάδεω παῖς ἀνήγαγον παρὰ βασιλέα, δοκέοντες χάριτα μεγάλην καταθήσεσθαι, ὅτι δὴ Μιλτιάδης γνώμην ἀπεδέξατο ἐν τοῖσι Ἴωσι πείθεσθαι κελεύων τοῖσι Σκύθῃσι, ὅτε οἱ Σκύθαι προσεδέοντο λύσαντας τὴν σχεδίην ἀποπλώειν ἐς τὴν ἑωυτῶν. (4) Δαρεῖος δὲ, ὡς οἱ Φοίνικες Μητίοχον τὸν Μιλτιάδεω ἀνήγαγον, ἐποίησε κακὸν μὲν οὐδὲν Μητίοχον, ἀγαθὰ δὲ συχνά· καὶ γὰρ οἶκον καὶ κτῆσιν ἔδωκε καὶ Περσίδα γυναῖκα, ἐκ τῆς οἱ τέκνα ἐγένετο τὰ ἐς Πέρσας κεκοσμέαται.

XLII. Μιλτιάδης δὲ ἐξ Ἴμβρου ἀπικνέεται ἐς τὰς Ἀθήνας. Καὶ κατὰ τὸ ἔτος τοῦτο ἐκ τῶν Περσέων οὐδὲν ἔτι πλέον ἐγένετο τούτων ἐς νεῖκος φέρον Ἴωσι, ἀλλὰ τάδε μὲν χρήσιμα κάρτα τοῖσι Ἴωσι ἐγένετο τούτου τοῦ ἔτεος. (2) Ἀρταφέρνης ὁ Σαρδίων ὕπαρχος μεταπεμψάμενος ἀγγέλους ἐκ τῶν πολίων συνθήκας σφίσι αὐτοῖσι τοὺς Ἴωνας ἠνάγκασε ποιέεσθαι, ἵνα δωσίδικοι εἶεν καὶ μὴ ἀλλήλους φέροιέν τε καὶ ἄγοιεν. (3) Ταῦτά τε ἠνάγκασε ποιέειν, καὶ τὰς χώρας σφέων μετρήσας κατὰ παρασάγγας, τοὺς καλεῦσι οἱ Πέρσαι τὰ τριήκοντα στάδια, κατὰ δὴ τούτους μετρήσας φόρους ἔταξε ἑκάστοισι, οἳ κατὰ χώρην διατελέουσι ἔχοντες ἐκ τούτου τοῦ χρόνου αἰεὶ ἔτι καὶ ἐς ἐμὲ ὡς ἐτάχθησαν ἐξ Ἀρταφέρνεος· ἐτάχθησαν δὲ σχεδὸν κατὰ τὰ αὐτὰ τὰ καὶ πρότερον εἶχον.

XLIII. Καί σφι ταῦτα μὲν εἰρηναῖα ἦν. Ἅμα δὲ τῷ ἔαρι, τῶν ἄλλων καταλελυμένων στρατηγῶν ἐκ βασιλέος, Μαρδόνιος ὁ Γωβρύεω κατέβαινε ἐπὶ θάλασσαν, στρατὸν πολλὸν μὲν κάρτα πεζὸν ἅμα ἀγόμενος, et uxorem duxit filiam Olori Thracum regis Hegesipylam.

XL. Hic igitur Cimonis filius Miltiades recentiori memoria in Chersonesum venerat: cui, ex quo advenit, alia acciderunt præsentibus graviora. Tertio enim ab his rebus superiori anno Scythas fugiens in exsilium abiit. Nempe Scythæ Nomades, a Dario rege irritati, junctis viribus usque in hanc Chersonesum invaserunt: (2) quorum adventum exspectare non ausus Miltiades e Chersoneso profugit; donec, regressis Scythis, Dolonci eum reduxerunt. Hæc igitur tertio anno ante ea quæ nunc ei acciderunt, acta sunt.

XLI. Nunc vero, ubi Phœnices in Tenedo esse cognovit, quinque triremibus ex his, quæ ad manus erant, pecunia et aliis rebus pretiosis impletis Athenas navigavit. Dum vero, ex Cardia urbe profectus, per Melanem sinum navigans, prætervehitur Chersonesum, occurrunt navibus ejus Phœnices. (2) Et ipse quidem Miltiades cum quattuor navibus Imbrum effugit; quintam vero persequentes Phœnices ceperunt, (3) cui navi præfectus tum erat Miltiadis filius natu maximus Metiochus, non ex Olori Thracis filia natus, sed ex alia uxore: atque hunc simul cum navi ceperunt Phœnices. Qui, ut resciverunt Miltiadis esse filium, ad regem eum abduxerunt, ingentem existimantes gratiam se inituros propter sententiam quam in Ionum concilio dixerat Miltiades, quum illos hortaretur obtemperare Scythis rogantibus, ut pontem solverent Iones domumque navigarent. (4) At Darius, postquam ad eum Phœnices Metiochum Miltiadis filium adduxerunt, nihil Metiocho mali fecit, sed multa in eum beneficia contulit: nam et domum et possessiones ei dedit, et Persicam uxorem, ex qua ei nati sunt filii, qui Persarum ordini sunt adscripti.

XLII. Miltiades vero ex Imbro Athenas pervenit. Atque eo anno nihil amplius hostile adversus Ionas a Persis susceptum est; immo vero hæc valde utilia Ionibus hoc anno contigere. (2) Artaphernes, Sardium præfectus, arcessitis legatis ex civitatibus, coegit Ionas, ut pactiones mutuas facerent de litibus ex juris formula dirimendis, nec porro vi et armis inter se agerent. (3) Et hoc eos facere coegit, et terras eorumdem dimensus per parasangas (sic Persæ mensuram vocant triginta stadiorum), tributa quibusque imposuit, quæ ab illo inde tempore constanter ad meam usque ætatem eadem manent, sicut ab Artapherne constituta sunt: constituta autem ab illo sunt fere eadem conditione atque prius fuerant.

XLIII. Et hæc quidem pacata illis contigerunt. Primo autem vere, reliquis imperatoribus domum dimissis a rege, Mardonius Gobryæ filius ad mare descendit, ingentem et pedestrem exercitum ducens, et navalem. Ætate juve-

πολλὸν δὲ ναυτικὸν, ἡλικίην τε νέος ἐὼν καὶ νεωστὶ γεγαμηκὼς βασιλέος Δαρείου θυγατέρα Ἀρτοζώστρην. (2) Ἄγων δὲ τὸν στρατὸν τοῦτον ὁ Μαρδόνιος ἐπείτε ἐγένετο ἐν τῇ Κιλικίῃ, αὐτὸς μὲν ἐπιβὰς ἐπὶ νεὸς ἐκομίζετο ἅμα τῇσι ἄλλῃσι νηυσὶ, στρατιὴν δὲ τὴν πεζὴν ἄλλοι ἡγεμόνες ἦγον ἐπὶ τὸν Ἑλλήσποντον. (3) Ὡς δὲ παραπλώων τὴν Ἀσίην ἀπίκετο ὁ Μαρδόνιος ἐς τὴν Ἰωνίην, ἐνθαῦτα μέγιστον θῶμα ἐρέω τοῖσι μὴ ἀποδεκομένοισι Ἑλλήνων Περσέων τοῖσι ἑπτὰ Ὀτάνεα γνώμην ἀποδέξασθαι ὡς χρεὼν εἴη δημοκρατέεσθαι Πέρσας· τοὺς γὰρ τυράννους τῶν Ἰώνων καταπαύσας πάντας ὁ Μαρδόνιος δημοκρατίας κατίστα ἐς τὰς πόλιας. (4) Ταῦτα δὲ ποιήσας ἠπείγετο ἐς τὸν Ἑλλήσποντον. Ὡς δὲ συνελέχθη μὲν χρῆμα πολλὸν νεῶν, συνελέχθη δὲ καὶ πεζὸς στρατὸς πολλὸς, διαβάντες τῇσι νηυσὶ τὸν Ἑλλήσποντον ἐπορεύοντο διὰ τῆς Εὐρώπης, ἐπορεύοντο δὲ ἐπί τε Ἐρέτριαν καὶ Ἀθήνας.

XLIV. Αὗται μὲν ὦν σφι πρόσχημα ἔσαν τοῦ στόλου· ἀτὰρ ἐν νόῳ ἔχοντες ὅσας ἂν πλείστας δύναιντο καταστρέφεσθαι τῶν Ἑλληνίδων πολίων, τοῦτο μεν δὴ τῇσι νηυσὶ Θασίους οὐδὲ χεῖρας ἀνταειραμένους κατεστρέψαντο, τοῦτο δὲ τῷ πεζῷ Μακεδόνας πρὸς τυῖσι ὑπάρχουσι δούλους προσεκτήσαντο· τὰ γὰρ ἐντὸς Μακεδόνων ἔθνεα πάντα σφι ἤδη ἦν ὑποχείρια γεγονότα. (2) Ἐκ μὲν δὴ Θάσου διαβαλόντες πέρην ὑπὸ τὴν ἤπειρον ἐκομίζοντο μέχρι Ἀκάνθου, ἐκ δὲ Ἀκάνθου ὁρμεώμενοι τὸν Ἄθων περιέβαλλον. Ἐπιπεσὼν δέ σφι περιπλώουσι βορέης ἄνεμος μέγας τε καὶ ἄπορος κάρτα τρηχέως περιέσπε πλήθεϊ πολλὰς τῶν νεῶν ἐκβάλλων πρὸς τὸν Ἄθων. (3) Λέγεται γὰρ κατὰ τριηκοσίας μὲν τῶν νεῶν τὰς διαφθαρείσας εἶναι, ὑπὲρ δὲ δύο μυριάδας ἀνθρώπων· ὥστε γὰρ θηριωδεστάτης ἐούσης τῆς θαλάσσης ταύτης τῆς περὶ τὸν Ἄθων, οἱ μὲν ὑπὸ τῶν θηρίων διεφθείροντο ἁρπαζόμενοι, οἱ δὲ πρὸς τὰς πέτρας ἀρασσόμενοι· οἱ δὲ αὐτῶν νέειν οὐκ ἠπιστέατο καὶ κατὰ τοῦτο διεφθείροντο, οἱ δὲ βίγεϊ. Ὁ μὲν δὴ ναυτικὸς στρατὸς οὕτω ἔπρησσε.

XLV. Μαρδονίῳ δὲ καὶ τῷ πεζῷ στρατοπεδευομένῳ ἐν Μακεδονίῃ νυκτὸς Βρύγοι Θρῃϊκες ἐπεχείρησαν· καί σφεων πολλοὺς φονεύουσι οἱ Βρύγοι, Μαρδόνιον δὲ αὐτὸν τρωματίζουσι. Οὐ μέντοι οὐδὲ αὐτοὶ δουλοσύνην διέφυγον πρὸς Περσέων· οὐ γὰρ δὴ πρότερον ἀπανέστη ἐκ τῶν χωρέων τούτων Μαρδόνιος πρὶν ἢ σφεας ὑποχειρίους ἐποιήσατο. (2) Τούτους μέντοι καταστρεψάμενος ἀπῆγε τὴν στρατιὴν ὀπίσω ἅτε τῷ πεζῷ τε προσπταίσας πρὸς τοὺς Βρύγους καὶ τῷ ναυτικῷ μεγάλως περὶ τὸν Ἄθων. Οὗτος μέν νυν ὁ στόλος αἰσχρῶς ἀγωνισάμενος ἀπαλλάχθη ἐς τὴν Ἀσίην.

XLVI. Δευτέρῳ δὲ ἔτεϊ τούτων ὁ Δαρεῖος πρῶτα μὲν Θασίους διαβληθέντας ὑπὸ τῶν ἀστυγειτόνων ὡς ἀπόστασιν μηχανοίατο, πέμψας ἄγγελον ἐκέλευε σφεας τὸ τεῖχος περιαιρέειν καὶ τὰς νέας ἐς Ἄβδηρα κομίζειν. (2) Οἱ γὰρ δὴ Θάσιοι, οἷα ὑπ' Ἰστιαίου τε τοῦ Μιλησίου πολιορκηθέντες καὶ προσόδων ἐουσέων μεγάλων, nis is erat, et nuper regis Darii filiam Artozostram duxerat uxorem. (2) Huic igitur exercitui præfectus Mardonius, postquam in Ciliciam pervenit, navem ipse conscendit, et cum reliquis navibus est profectus; pedestrem vero exercitum alii duces ad Hellespontum duxerunt. (3) Quum vero Asiam præternavigans Mardonius ad Ioniam pervenisset, rem hic ego dicam maxime miram eis Græcis, qui sibi persuaderi non patiuntur, Otanen unum e septem illis Persis pro sententia dixisse, populare imperium apud Persas debere institui. Namque Mardonius, abrogato tyrannorum omnium inter Ionas imperio, popularem statum in civitatibus instituit. (4) Eo facto in Hellespontum properavit. Ut vero coacta est magna vis navium, et collectus ingens pedestris exercitus, navibus superato Hellesponto, per Europam iter fecerunt: proficiscebantur autem adversus Eretriam et Athenas.

XLIV. Nempe, contra has dirigi expeditionem, verbis præ se ferebant. Cæterum, quum constitutum apud se haberent quam plurimas possent ex Græcis civitatibus subigere, primum Thasios classe adgressi, qui ne manus quidem contra illos sustulerant, sibi subjecerunt; tum pedestri exercitu Macedonas, post illos qui jam Persis serviebant, sub jugum miserunt: nam qui cis Macedoniam habitant populi, jam cuncti illis subjecti erant. (2) Dein navibus a Thaso continentem versus transvecti, secundum oram perrexerunt navigare usque Acanthum: tum Acantho profecti, Athon montem circumvehi instituerunt. Sed dum circumvehuntur, ingruens ventus boreas ingens, et contra quem eluctari nulla arte poterant, maximum navium numerum ad montem impulsas misere adflixit. (3) Aiunt enim ad trecentas ex navibus periisse, et hominum amplius viginti millia. Etenim quum belluis frequens admodum sit hoc circa Athon mare, alii a belluis rapti periere; alii vero ad petras adlisi; alii, quum natare non didicissent, hoc ipso periere; alii gelu. Hæc clades classem adflixit.

XLV. Mardonium vero et pedestrem exercitum, quum in Macedonia castra haberet, noctu adgressi Brygi Thraces, magnum militum numerum occiderunt, ipsumque vulnerarunt Mardonium. At ne hi quidem servitutem a Persis imminentem effugere: etenim non prius ex his regionibus discessit Mardonius, quam in potestatem illos redegisset. (2) Verumtamen, subactis his, retro duxit exercitum, quippe et terra clade a Brygis accepta, et mari maximam calamitatem ad Athon passus. Ita hæ copiæ, turpiter res gestas, in Asiam redierunt.

XLVI. Altero vero ab his rebus anno primum Thasios, a vicinis insimulatos quasi defectionem molirentur, misso nuncio jussit Darius diruere murum, et naves suas Abdera devehere. (2) Thasii enim, ex quo ab Histiæo Milesio uerant obsessi, quum magni illis essent reditus publici,

ἐχρέοντο τοῖσι χρήμασι νέας τε ναυπηγεύμενοι μακρὰς καὶ τεῖχος ἰσχυρότερον περιβαλλόμενοι. Ἡ δὲ πρόσοδός σφι ἐγίνετο ἔκ τε τῆς ἠπείρου καὶ ἀπὸ τῶν μετάλλων. (3) Ἐκ μέν γε τῶν ἐκ Σκαπτῆς Ὕλης τῶν χρυσέων μετάλλων τὸ ἐπίπαν ὀγδώκοντα τάλαντα προσήϊε, ἐκ δὲ τῶν ἐν αὐτῇ Θάσῳ ἐλάσσω μὲν τούτων, συχνὰ δὲ οὕτω ὥστε τὸ ἐπίπαν Θασίοισι ἐοῦσι καρπῶν ἀτελέσι προσήϊε ἀπό τε τῆς ἠπείρου καὶ τῶν μετάλλων ἔτεος ἑκάστου διηκόσια τάλαντα, ὅτε δὲ τὸ πλεῖστον προσῆλθε, τριηκόσια.

XLVII. Εἶδον δὲ καὶ αὐτὸς τὰ μέταλλα ταῦτα, καὶ μακρῷ ἦν αὐτῶν θωμασιώτατα τὰ οἱ Φοίνικες ἀνεῦρον οἱ μετὰ Θάσου κτίσαντες τὴν νῆσον ταύτην, ἥτις νῦν ἐπὶ τοῦ Θάσου τούτου τοῦ Φοίνικος τὸ οὔνομα ἔσχε. (2) Τὰ δὲ μέταλλα τὰ Φοινικικὰ ταῦτα ἐστὶ τῆς Θάσου μεταξὺ Αἰνύρων τε χώρου καλευμένου καὶ Κοινύρων, ἀντίον δὲ Σαμοθρηίκης, οὖρος μέγα ἀνεστραιμμένον ἐν τῇ ζητήσι.

XLVIII. Τοῦτο μέν νύν ἐστι τοιοῦτο· οἱ δὲ Θάσιοι τῷ βασιλεῖ κελεύσαντι καὶ τὸ τεῖχος τὸ σφέτερον κατεῖλον καὶ τὰς νέας τὰς πάσας ἐκόμισαν ἐς Ἄβδηρα. (2) Μετὰ δὲ τοῦτο ἀπεπειρᾶτο ὁ Δαρεῖος τῶν Ἑλλήνων ὅ τι ἐν νόῳ ἔχοιεν, κότερα πολεμέειν ἑωυτῷ ἢ παραδιδόναι σφέας αὐτούς. Διέπεμπε ὦν κήρυκας ἄλλους ἄλλη τάξας ἀνὰ τὴν Ἑλλάδα, κελεύων αἰτέειν βασιλεῖ γῆν τε καὶ ὕδωρ. (3) Τούτους μὲν δὴ ἐς τὴν Ἑλλάδα ἔπεμπε, ἄλλους δὲ κήρυκας διέπεμπε ἐς τὰς ἑωυτοῦ δασμοφόρους πολιας τὰς παραθαλασσίους, κελεύων νέας τε μακρὰς καὶ ἱππαγωγὰ πλοῖα ποιέεσθαι.

XLIX. Οὗτοί τε δὴ παρεσκευάζοντο ταῦτα, καὶ τοῖσι ἥκουσι ἐς τὴν Ἑλλάδα κήρυξι πολλοὶ μὲν ἠπειρωτέων ἔδοσαν τὰ προΐσχετο αἰτέων ὁ Πέρσης, πάντες δὲ νησιῶται ἐς τοὺς ἀπικοίατο αἰτήσοντες. Οἵ τε δὴ ἄλλοι νησιῶται διδοῦσι γῆν τε καὶ ὕδωρ Δαρείῳ καὶ δὴ καὶ Αἰγινῆται. (2) Ποιήσασι δέ σφι ταῦτα ἰθέως Ἀθηναῖοι ἐπεκέατο, δοκέοντες ἐπὶ σφίσι ἔχοντας τοὺς Αἰγινήτας δεδωκέναι, ὡς ἅμα τῷ Πέρσῃ ἐπὶ σφέας στρατεύωνται. Καὶ ἄσμενοι προφάσιος ἐπελάβοντο, φοιτεόντές τε ἐς τὴν Σπάρτην κατηγόρεον τῶν Αἰγινητέων τὰ πεποιήκοιεν προδόντες τὴν Ἑλλάδα.

L. Πρὸς ταύτην δὲ τὴν κατηγορίην Κλεομένης ὁ Ἀναξανδρίδεω βασιλεὺς ἐὼν Σπαρτιητέων διέβη ἐς Αἴγιναν, βουλόμενος συλλαβέειν Αἰγινητέων τοὺς αἰτιωτάτους. Ὡς δὲ ἐπειρᾶτο συλλαμβάνων, ἄλλοι τε δὴ αὐτῷ ἐγίνοντο ἀντίξοοι τῶν Αἰγινητέων, ἐν δὲ δὴ καὶ Κρῖος ὁ Πολυκρίτου μάλιστα, ὃς οὐκ ἔφη αὐτὸν οὐδένα ἄξειν χαίροντα Αἰγινητέων· (2) ἄνευ γάρ μιν Σπαρτιητέων τοῦ κοινοῦ ποιέειν ταῦτα, ὑπ' Ἀθηναίων ἀναγνωσθέντα χρήμασι· ἅμα γὰρ ἄν μιν τῷ ἑτέρῳ βασιλεῖ ἐλθόντα συλλαμβάνειν. Ἔλεγε δὲ ταῦτα ἐξ ἐπιστολῆς τῆς Δημαρήτου. (3) Κλεομένης δὲ ἀπελαυνόμενος ἐκ τῆς Αἰγίνης εἴρετο τὸν Κρῖον ὅ τι οἱ εἴη τὸ οὔνομα· ὁ δέ οἱ τὸ ἐὸν ἔφρασε. Ὁ δὲ Κλεομένης πρὸς

pecuniis suis utebantur ad construendas naves longas, et ad validiorem murum urbi suæ circumducendum. Erant autem illis reditus et ex continente et ex metallis. (3) Certe ex his quæ in Scapte-Hyle metalla sunt, quæ sunt auri fodinæ, omnino octoginta redibant talenta; ex his vero quæ in ipsa Thaso, aliquanto quidem minus, sed tamen tantum, ut, quum Thasii essent vectigalium immunes fructuum nomine pendendorum, ex continente et ex metallis redirent iis omnino quotannis ducenta talenta, et, quando plurimum redibat, trecenta.

XLVII. Vidi etiam ipse hæc metalla: quorum maxime admiranda mihi visa sunt ea, quæ a Phœnicibus fuerant inventa, qui cum Thaso insulam hanc condiderunt, quæ nunc ab hoc Thaso Phœnice nomen traxit. (2) Sunt autem Phœnicia hæc metalla inter duo Thasi loca, quorum alteri Ænyra nomen est, alteri Cœnyra, adversus Samothraciam: ingens mons est, quærendis metalli venis susque deque versus.

XLVIII. Et hæc quidem hujusmodi sunt. Cæterum Thasii, regis imperio parentes, et murum suum diruerunt, et naves cunctas devexerunt Abdera. (2) Post hæc tentare Græcorum animos Darius instituit, cogniturus utrum secum bellum gesturi, an se ipsi traditurі essent. Igitur præcones per Græciam, alios alio, dimisit, qui regis nomine terram et aquam a Græciæ populis poscerent. (3) Dum vero hos in Græciam mittit, simul alios præcones per maritimas civitates sibi tributarias dimisit, qui eas juberent naves longas aliasque transvehendis equis comparare.

XLIX. Hæ igitur comparabant imperatas naves: qui vero in Græciam venerunt legati, his multi quidem in continente populi ea, quæ ipsis rex proposuerat postulaveratque, dedere; insulani vero omnes, ad quoscumque legati cum eisdem postulatis pervenerunt. Igitur quum cæteri insulani terram et aquam Dario dederunt, tum vero etiam Æginetæ. (2) Qui quum hoc fecissent, protinus eis imminebant Athenienses, rati adversus se tendere illud Æginetarum factum, ut simul cum rege Persarum bellum sibi inferrent. Itaque cupide arripientes hanc occasionem, Spartam misere legatos, qui accusarent Æginetas hujus facti caussa, quod ad proditionem pertineret Græciæ.

L. Qua audita accusatione, Cleomenes Anaxandridæ filius, rex Spartanorum, Æginam trajecit, comprehensurus hos ex Æginetis qui ejus rei maxime fuissent auctores. Ut vero comprehendere eos est adgressus, quum alii Æginetarum ei restiterunt, tum in his maxime Crius, Polycriti filius; qui, non impune, ait, illum quemquam ex Æginetis esse abducturum: (2) non enim publico Spartanorum consilio eum hoc facere, sed pecunia corruptum ab Atheniensibus; alioqui simul cum altero rege venturum fuisse ad hos comprehendendos. Dixit autem hæc ex Demarati mandato. (3) Cleomenes igitur, Ægina abire coactus, ex Crio quæsivit, quodnam ei nomen esset. Qui quum verum respondisset, dixit ei Cleomenes: « Nunc igitur, Aries

αὐτὸν ἔφη, « ἤδη νῦν καταχαλκοῦ, ὦ κριέ, τὰ κέρεα, ὡς συνοισόμενος μεγάλῳ κακῷ. »

LI. Ἐν δὲ τῇ Σπάρτῃ τοῦτον τὸν χρόνον ὑπομένων Δημάρητος ὁ Ἀρίστωνος διέβαλλε τὸν Κλεομένεα, ἐὼν βασιλεὺς καὶ οὗτος Σπαρτιητέων, οἰκίης δὲ τῆς ὑποδεεστέρης, κατ' ἄλλο μὲν οὐδὲν ὑποδεεστέρης (ἀπὸ γὰρ τοῦ αὐτοῦ γεγόνασι), κατὰ πρεσβυγένειαν δέ κως τετίμηται μᾶλλον ἡ Εὐρυσθένεες.

LII. Λακεδαιμόνιοι γὰρ ὁμολογέοντες οὐδενὶ ποιητῇ λέγουσι αὐτὸν Ἀριστόδημον τὸν Ἀριστομάχου τοῦ Κλεοδαίου τοῦ Ὕλλου βασιλεύοντα ἀγαγεῖν σφέας ἐς ταύτην τὴν χώρην τὴν νῦν ἐκτέαται, ἀλλ' οὐ τοὺς Ἀριστοδήμου παῖδας. (2) Μετὰ δὲ χρόνον οὐ πολλὸν Ἀριστοδήμῳ τεκέειν τὴν γυναῖκα, τῇ οὔνομα εἶναι Ἀργείην· θυγατέρα δὲ αὐτὴν λέγουσι εἶναι Αὐτεσίωνος τοῦ Τισαμενοῦ τοῦ Θερσάνδρου τοῦ Πολυνείκεος· ταύτην δὲ τεκέειν δίδυμα, ἐπιδόντα δὲ τὸν Ἀριστόδημον τὰ τέκνα νούσῳ τελευτᾶν. (3) Λακεδαιμονίους δὲ τοὺς τότε ἐόντας βουλεῦσαι κατὰ νόμον βασιλέα τῶν παίδων τὸν πρεσβύτερον ποιήσασθαι. Οὐκ ὦν δή σφεας ἔχειν ὁκότερον ἕλωνται, ὥστε καὶ ὁμοίων καὶ ἴσων ἐόντων· οὐ δυναμένους δὲ γνῶναι, ἢ καὶ πρὸ τούτου, ἐπειρωτᾶν τὴν τεκοῦσαν. (4) Τὴν δὲ οὐδὲ αὐτὴν φάναι διαγινώσκειν, εἰδυῖαν μὲν καὶ τὸ κάρτα λέγειν ταῦτα, βουλομένην δὲ εἴ κως ἀμφότεροι γενοίατο βασιλέες. Τοὺς ὦν δὴ Λακεδαιμονίους ἀπορέειν, ἀπορέοντας δὲ πέμπειν ἐς Δελφοὺς ἐπειρησομένους ὅ τι χρήσωνται τῷ πρήγματι. (5) Τὴν δὲ Πυθίην κελεύειν σφέας ἀμφότερα τὰ παιδία ἡγήσασθαι βασιλέας, τιμᾶν δὲ μᾶλλον τὸν γεραίτερον. Τὴν μὲν δὴ Πυθίην ταῦτά σφι ἀνελέειν, τοῖσι δὲ Λακεδαιμονίοισι ἀπορέουσι οὐδὲν ἔσσον ὅκως ἐξεύρωσι αὐτῶν τὸν πρεσβύτερον, ὑποθέσθαι ἄνδρα Μεσσήνιον τῷ οὔνομα εἶναι Πανίτην· ὑποθέσθαι δὲ τοῦτον τὸν Πανίτην τάδε τοῖσι Λακεδαιμονίοισι, φυλάξαι τὴν γειναμένην ὁκότερον τῶν παιδίων πρότερον λούει καὶ σιτίζει· καὶ ἢν μὲν κατὰ ταὐτὰ φαίνηται αἰεὶ ποιεῦσα, τοὺς δὲ πᾶν ἔξειν ὅσον τι καὶ δίζηνται καὶ ἐθέλουσι ἐξευρέειν, ἢν δὲ πλανᾶται καὶ ἐκείνη ἐναλλὰξ ποιεῦσα, δῆλά σφι ἔσεσθαι ὡς οὐδὲ ἐκείνη πλέον οὐδὲν οἶδε, ἐπ' ἄλλην τέ σφεας τράπεσθαι ὁδόν. (6) Ἐνθαῦτα δὴ τοὺς Σπαρτιήτας κατὰ τὰς τοῦ Μεσσηνίου ὑπροθήκας φυλάξαντας τὴν μητέρα τῶν Ἀριστοδήμου παίδων λαβέειν κατὰ ταὐτὰ τιμέουσαν τὸν πρότερον καὶ σίτοισι καὶ λουτροῖσι, οὐκ εἰδυῖαν τῶν εἵνεκεν ἐφυλάσσετο. (7) Λαβόντας δὲ τὸ παιδίον τὸ τιμεώμενον πρὸς τῆς γειναμένης ὡς ἐὸν πρότερον τρέφειν ἐν τῷ δημοσίῳ· καί οἱ οὔνομα τεθῆναι Εὐρυσθένεα, τῷ δὲ νεωτέρῳ Προκλέα. Τούτους ἀνδρωθέντας αὐτούς τε ἀδελφεοὺς ἐόντας λέγουσι διαφόρους εἶναι τὸν πάντα χρόνον τῆς ζόης ἀλλήλοισι, καὶ τοὺς ἀπὸ τούτων γενομένους ὡσαύτως διατελέειν.

LIII. Ταῦτα μὲν Λακεδαιμόνιοι λέγουσι μοῦνοι Ἑλλήνων, τάδε δὲ κατὰ ταὐτὰ λεγόμενα ὑπ' Ἑλλήνων ἐγὼ γράφω· τούτους γὰρ δὴ τοὺς Δωριέων βασιλέας

(*id significat Græcum nomen Krios*), cornua tua aremuni, quippe magnum in malum incursurus. »

LI. Cleomenem vero per id tempus Spartæ calumniabatur Demaratus, Aristonis filius, qui domi manserat, rex et ipse Spartanorum, sed ex familia inferiore; non quidem ob aliam caussam inferiore (nam ab eodem progenitore oriundi erant), nisi quod propter primogenituram magis in honore erat Eurysthenis prosapia.

LII. Etenim Lacedæmonii, contra quam a poetis omnibus memoratur, aiunt, non Aristodemi filios, sed ipsum Aristodemum, Aristomachi filium, Cleodæi nepotem, Hylli pronepotem, quum rex esset Lacedæmoniorum, duxisse illos in hanc regionem quam nunc ipsi obtinent. (2) Haud multo vero interjecto tempore uxorem Aristodemi, cui nomen fuisse Argiam; fuisse autem eamdem aiunt filiam Autesionis, neptin Tisameni, proneptin Thersandri, abneptin Polynicis; hanc, inquam, peperisse gemellos: et Aristodemum, postquam vidisset pueros, morbo decessisse. (3) Lacedæmonios autem, qui tunc fuissent, decrevisse regem ex legis præscripto nominandum ex pueris eum qui major esset natu. Quum vero nescirent, utrum ex illis eligerent, ut qui similes inter se et æquales essent; quumque nec nunc, nec ante cognovissent uter prior esset, interrogasse matrem. (4) At illam dixisse, ne se quidem ipsam internoscere: et scientem quidem egregie quæ res sit hoc dixisse, sed cupientem, ut uterque, si fieri forte posset, rex nominetur. Lacedæmonios itaque, incerti quum essent, Delphos misisse, quid facto opus esset consulentes: (5) Pythiamque eos jussisse, ut puerum utrumque regem haberent, sed magis honorarent natu majorem. Quo accepto responso, quum nihilo minus incerti fuissent Lacedæmonii, quo pacto reperirent, uter eorum major natu esset, consilium eis dedisse hominem Messenium, cui nomen fuisse Panitæ. Suasisse igitur Lacedæmoniis hunc Paniten, ut observarent matrem, viderentque utrum puerorum lavaret priorem, priorique cibum præberet. Quodsi illa deprehenderetur in hoc constanter eumdem servare tenorem, habituros illos totam rem quam quærant et reperire cupiant: sin fluctuet illa, et modo hunc, modo illum priorem curet, satis illos intelligere posse, ne ipsam quidem matrem exploratam rem habere; et tunc quidem aliam ineundam fore rationem. (6) Jam illos, juxta Messenii monitum observantes matrem filiorum Aristodemi, ignorantem ipsam cujus rei caussa observaretur, deprehendisse constanter eam et in cibo præbendo et in lavando præferentem puerorum priorem. (7) Sumpsisse igitur Lacedæmonios hunc a matre alteri prælatum, ut natu majorem, eumque in domo publica aluisse; nomenque ei impositum fuisse Eurysthenis, minori vero Proclis. Et hos ipsos fratres, postquam adolevissent, per omne vitæ tempus discordes inter se fuisse aiunt, et pari modo constanter animatos esse illorum posteros.

LIII. Hæc quidem soli ex Græcis Lacedæmonii narrant. Jam vero, quæ communi consensu a Græcis memorantur, hæc dicam: scilicet Doriensium hos reges usque ad Per-

μέχρι μὲν Περσέος τοῦ Δανάης, τοῦ θεοῦ ἀπεόντος, καταλεγομένους ὀρθῶς ὑπ' Ἑλλήνων καὶ ἀποδεικνυμένους ὡς εἰσὶ Ἕλληνες· ἤδη γὰρ τηνικαῦτα ἐς Ἕλληνας οὗτοι ἐτέλεον. (2) Ἔλεξα δὲ μέχρι Περσέος τοῦδε εἵνεκεν, ἀλλ' οὐκ ἀνέκαθεν ἔτι ἔλαβον, ὅτι οὐκ ἔπεστι ἐπωνυμίη Περσεῖ οὐδεμία πατρὸς θνητοῦ, ὥσπερ Ἡρακλεῖ Ἀμφιτρύων. Ἤδη ὦν ὀρθῷ λόγῳ χρεωμένῳ μέχρι τοῦ Περσέος ὀρθῶς εἴρηταί μοι· (3) ἀπὸ δὲ Δανάης τῆς Ἀκρισίου καταλέγοντι τοὺς ἄνω αἰεὶ πατέρας αὐτῶν φαινοίατο ἂν ἐόντες οἱ τῶν Δωριέων ἡγεμόνες Αἰγύπτιοι ἰθαγενέες. Ταῦτα μέν νυν κατὰ Ἕλληνες λέγουσι γεγενεηλόγηται.

LIV. Ὡς δὲ ὁ Περσέων λόγος λέγεται, αὐτὸς ὁ Περσεὺς ἐὼν Ἀσσύριος ἐγένετο Ἕλλην, ἀλλ' οὐκ οἱ Περσέος πρόγονοι· τοὺς δὲ Ἀκρισίου γε πατέρας ὁμολογέοντας κατ' οἰκηιότητα Περσεῖ οὐδὲν, τούτους δὲ εἶναι, κατά περ Ἕλληνες λέγουσι, Αἰγυπτίους.

LV. Καὶ ταῦτα μέν νυν περὶ τούτων εἰρήσθω· ὅ τι δὲ ἐόντες Αἰγύπτιοι, καὶ ὅ τι ἀποδεξάμενοι ἔλαβον τὰς Δωριέων βασιληίας, ἄλλοισι γὰρ περὶ αὐτῶν εἴρηται, ἐάσομεν αὐτά· τὰ δὲ ἄλλοι οὐ κατελάβοντο, τούτων μνήμην ποιήσομαι.

LVI. Γέρεά τε δὴ τάδε τοῖσι βασιλεῦσι Σπαρτιῆται δεδώκασι, ἱρωσύνας δύο, Διός τε Λακεδαίμονος καὶ Διὸς οὐρανίου, καὶ πόλεμόν γε ἐκφέρειν ἐπ' ἣν ἂν βούλωνται χώρην, τούτου δὲ μηδένα εἶναι Σπαρτιητέων διακωλυτὴν, εἰ δὲ μὴ, αὐτὸν ἐν τῷ ἄγεϊ ἐνέχεσθαι· στρατευομένων δὲ πρώτους ἴέναι τοὺς βασιλέας, ὑστάτους δὲ ἀπιέναι· (2) ἑκατὸν δὲ ἀνδρας λογάδας ἐπὶ στρατιῆς φυλάσσειν αὐτούς· προβάτοισι δὲ χρᾶσθαι ἐν τῇσι ἐξοδίῃσι ὁκόσοισι ἂν ἐθέλωσι, τῶν δὲ θυομένων ἁπάντων τὰ δέρματά τε καὶ τὰ νῶτα λαμβάνειν σφέας. Ταῦτα μὲν τὰ ἐμπολέμια.

LVII. Τὰ δὲ ἄλλα τὰ εἰρηναῖα κατὰ τάδε σφι δέδοται. Ἢν θυσίην τις δημοτελέα ποιέηται, πρώτους ἐπὶ τὸ δεῖπνον ἵζειν τοὺς βασιλέας καὶ ἀπὸ τούτων πρῶτον ἄρχεσθαι, διπλήσια νέμοντας ἑκατέρῳ τὰ πάντα ἢ τοῖσι ἄλλοισι δαιτυμόσι· καὶ σπονδαρχίας εἶναι τούτων, καὶ τῶν τυθέντων τὰ δέρματα. (2) Νεομηνίας δὲ ἀνὰ πάσας καὶ ἑβδόμας ἰσταμένου τοῦ μηνὸς δίδοσθαι ἐκ τοῦ δημοσίου ἱρήϊον τέλειον ἑκατέρῳ ἐς Ἀπόλλωνος καὶ μέδιμνον ἀλφίτων καὶ οἶνου τετάρτην Λακωνικὴν, καὶ ἐν τοῖσι ἀγῶσι πᾶσι προεδρίας ἐξαιρέτους. (3) Καὶ προξείνους ἀποδεικνύναι τούτοισι προσκέεσθαι τοὺς ἂν ἐθέλωσι τῶν ἀστῶν, καὶ Πυθίους αἱρέεσθαι δύο ἑκάτερον· οἱ δὲ Πύθιοί εἰσι θεοπρόποι ἐς Δελφοὺς, σιτεόμενοι μετὰ τῶν βασιλέων τὰ δημόσια. (4) Μὴ ἐλθοῦσι δὲ τοῖσι βασιλεῦσι ἐπὶ τὸ δεῖπνον ἀποπέμπεσθαί σφι ἐς τὰ οἰκία ἀλφίτων τε δύο χοίνικας ἑκατέρῳ καὶ οἴνου κοτύλην, παρεοῦσι δὲ διπλήσια πάντα δίδοσθαι· τωὐτὸ δὲ τοῦτο καὶ πρὸς ἰδιωτέων κληθέντας ἐπὶ δεῖπνον τιμᾶσθαι. (5) Τὰς δὲ μαντηίας τὰς γινομένας τούτους φυλάσσειν, συνειδέναι δὲ καὶ τοὺς Πυθίους. Δικάζειν δὲ μούνους τοὺς βασιλέας τοσάδε μοῦνα, πατρούχου τε

seum, Danaæ filium, prætermisso dei nomine, recte recenseri a Græcis, et esse illos Hellenas (*sive* Græcos) probari : jam tunc enim Hellenibus hi accensebantur. (2) Dixi autem usque ad Perseum, neque altius repetii eorum genus, hac caussa, quoniam Persei pater mortalis nullus nominatur, quemadmodum Herculis Amphitryo. Itaque recte et idonea de caussa dixi, usque ad Perseum. (3) Sin a Danae, Acrisii filia, per patres adscendendo repetere genus velimus, reperiemus Doriensium duces origine Ægyptios fuisse. Hæc igitur, ex Græcorum ratione, illorum genealogia est.

LIV. Ut vero Persarum fert traditio, ipse Perseus, Assyrius quum esset, Græcus est factus, non vero Persei majores : Acrisii vero progenitores generis propinquitate ad Perseum nihil pertinere, sed esse, quemadmodum Græci dicunt, Ægyptios.

LV. Et hæc quidem de his dicta sufficiant. Cur vero, et quibus rebus gestis, Ægyptii quum essent, Doriensium reges evaserint, omitto memorare, quum ab aliis hæc exposita sint. Quæ vero alii non occuparunt, eorum mentionem faciam.

LVI. Jam honores et privilegia, regibus Spartanis tributa, hæc sunt : sacerdotia duo, Jovis Lacedæmonii, et Jovis Cœlestis : tum belli inferendi potestas in quamcumque velint terram; cui potestati intercedere nemo Spartanus potest, quin piaculari se crimine obliget. Quum in bellum proficiscuntur, primi incedunt reges, postremi redeunt : (2) et centum delecti viri in exercitu eos custodiunt. Victimis utuntur in expeditionibus, quotcumque volunt; et omnium immolatarum pecudum et pelles et terga ipsi accipiunt. Hæc sunt quæ ad bellum pertinent.

LVII. In pace hi eisdem honores et præmia sunt concessa. Si quis publicum facit sacrificium, primi in cœna sedent reges, et ab his fit distribuendorum ciborum initium, ita quidem ut utrique regi de rebus omnibus duplex portio tribuatur, quam cæteris convivis : libamina etiam hi auspicantur, iidemque mactatarum pecudum pelles accipiunt. (2) Ad hæc, singulis noviluniis, et septimo cujusque mensis die, utrique regum ex publico datur perfecta victima in Apollinis templo mactanda, et farinæ medimnus, et vini quartarius Laconicus. In omnibus ludis publicis sedes primarias et præcipuas habent. (3) Proxenos civitatibus iidem nominant e civibus quoscumque voluerint; et uterque duos nominat Pythios : sunt autem Pythii, cives qui Delphos mittuntur ad consulendum oraculum, hique publice cum regibus aluntur. (4) Quando ad cœnam non veniunt reges, utrique domum mittuntur duo chœnices farinæ, et vini cotyla : præsentibus vero tribuitur de omnibus rebus duplex portio; idemque illis honos habetur, quoties a privato homine ad cœnam vocantur. (5) Edita vaticinia hi custodiunt, sed ita ut eorumdem conscii sint Pythii. Judicant soli reges de hisce solum rebus : de vir-

παρθένου πέρι, ἐς τὸν ἱκνέεται ἔχειν, ἢν μή περ ὁ πατὴρ αὐτὴν ἐγγυήσῃ, καὶ ὁδῶν δημοσιέων πέρι. (6) Καὶ ἤν τις θετὸν παῖδα ποιέεσθαι ἐθέλῃ, βασιλέων ἐναντίον ποιέεσθαι. Καὶ παρίζειν βουλεύουσι τοῖσι γέρουσι, ἑοῦσι δυῶν δέουσι τριήκοντα· ἢν δὲ μὴ ἔλθωσι, τοὺς μάλιστά σφι τῶν γερόντων προσήκοντας ἔχειν τὰ τῶν βασιλέων γέρεα, δύο ψήφους τιθεμένους, τρίτην δὲ τὴν ἑωυτῶν.

LVIII. Ταῦτα μὲν ζώουσι τοῖσι βασιλεῦσι δέδοται ἐκ τοῦ κοινοῦ τῶν Σπαρτιητέων, ἀποθανοῦσι δὲ τάδε. Ἱππέες περιαγγέλλουσι τὸ γεγονὸς κατὰ πᾶσαν τὴν Λακωνικήν, κατὰ δὲ τὴν πόλιν γυναῖκες περιοῦσαι λέβητα κροτέουσι. Ἐπεὰν ὦν τοῦτο γένηται τοιοῦτο, ἀνάγκη ἐξ οἰκίης ἑκάστης ἐλευθέρους δύο καταμιαίνεσθαι, ἄνδρα τε καὶ γυναῖκα· μὴ ποιήσασι δὲ τοῦτο ζημίαι μεγάλαι ἐπικέαται. (2) Νόμος δὲ τοῖσι Λακεδαιμονίοισι κατὰ τῶν βασιλέων τοὺς θανάτους ἐστὶ οὗτος καὶ τοῖσι βαρβάροισι τοῖσι ἐν τῇ Ἀσίῃ· τῶν γὰρ ὧν βαρβάρων οἱ πλεῦνες τὠυτῷ νόμῳ χρέονται κατὰ τοὺς θανάτους τῶν βασιλέων. Ἐπεὰν γὰρ ἀποθάνῃ βασιλεὺς Λακεδαιμονίων, ἐκ πάσης δεῖ Λακεδαίμονος, χωρὶς Σπαρτιητέων, ἀριθμῷ τῶν περιοίκων ἀναγκαστοὺς ἐς τὸ κῆδος ἰέναι. (3) Τούτων ὦν καὶ τῶν εἱλωτέων καὶ αὐτῶν Σπαρτιητέων ἐπεὰν συλλεχθέωσι ἐς τὠυτὸ πολλαὶ χιλιάδες, σύμμιγα τῇσι γυναιξὶ κόπτονταί τε προθύμως καὶ οἰμωγῇ διαχρέονται ἀπλέτῳ, φάμενοι τὸν ὕστατον αἰεὶ ἀπογενόμενον τῶν βασιλέων, τοῦτον δὴ γενέσθαι ἄριστον. (4) Ὅς δ' ἂν ἐν πολέμῳ τῶν βασιλέων ἀποθάνῃ, τούτῳ δὲ εἴδωλον σκευάσαντες ἐν κλίνῃ εὖ ἐστρωμένῃ ἐκφέρουσι. Ἐπεὰν δὲ θάψωσι, ἀγορὴ δέκα ἡμερέων οὐκ ἵσταταί σφι οὐδ' ἀρχαιρεσίη σινίζει, ἀλλὰ πενθέουσι ταύτας τὰς ἡμέρας.

LIX. Συμφέρονται δὲ ἄλλο τόδε τοῖσι Πέρσῃσι. Ἐπεὰν ἀποθανόντος τοῦ βασιλέος ἄλλος ἐνίστηται βασιλεύς, οὗτος ὁ ἐσιὼν ἐλευθεροῖ ὅστις τι Σπαρτιητέων τῷ βασιλεῖ ἢ τῷ δημοσίῳ ὤφειλε· ἐν δ' αὖ Πέρσῃσι ὁ κατιστάμενος βασιλεὺς τὸν προοφειλόμενον φόρον μετίει τῇσι πόλισι πάσῃσι.

LX. Συμφέρονται δὲ καὶ τάδε Αἰγυπτίοισι Λακεδαιμόνιοι· οἱ κήρυκες αὐτῶν καὶ αὐληταὶ καὶ μάγειροι ἐκδέκονται τὰς πατρωΐας τέχνας, καὶ αὐλητής τε αὐλητέω γίνεται καὶ μάγειρος μαγείρου καὶ κῆρυξ κήρυκος· οὐ κατὰ λαμπροφωνίην ἐπιτιθέμενοι ἄλλοι σφέας παρακληίουσι, ἀλλὰ κατὰ τὰ πάτρια ἐπιτελέουσι. Ταῦτα μὲν δὴ οὕτω γίνεται.

LXI. Τότε δὲ τὸν Κλεομένεα ἐόντα ἐν τῇ Αἰγίνῃ καὶ κοινὰ τῇ Ἑλλάδι ἀγαθὰ προσεργαζόμενον ὁ Δημάρητος διέβαλε, οὐκ Αἰγινητέων οὕτω κηδόμενος ὡς φθόνῳ καὶ ἄγῃ χρεώμενος. (2) Κλεομένης δὲ νοστήσας ἀπ' Αἰγίνης ἐβούλευε τὸν Δημάρητον παῦσαι τῆς βασιληίης, διὰ πρῆγμα τοιόνδε ἐπίβασιν ἐς αὐτὸν ποιεύμενος. (3) Ἀρίστωνι βασιλεύοντι ἐν Σπάρτῃ καί γήμαντι γυναῖκας δύο παῖδες οὐκ ἐγίνοντο. Καὶ οὐ γὰρ συνεγινώσκετο αὐτὸς τούτου εἶναι αἴτιος, γαμέει τρίτην γυναῖκα. (4) Ὧδε δὲ

gine paternorum omnium bonorum hærede, cui illa nubere debeat, nisi jam a patre fuerit desponsata; et de viis publicis. (6) Tum, si quis adoptare voluerit filium, is coram regibus id facere tenetur. Adsident reges deliberantibus senatoribus, qui sunt numero duodetriginta: quodsi in senatum non veniunt, hi ex senatoribus qui proxime illos cognatione attingunt, regum habent honores, et duo suffragia conferunt, prætereaque tertium, suum ipsorum.

LVIII. Ista igitur viventibus regibus Spartanis publice tribuuntur: mortuis vero, hæcce. Nunciant equites obitum regis per universam Laconicam; in urbe vero circumeuntes mulieres lebetem pulsant. Quo facto, necesse est ut ex quaque domo duo liberi homines, mas et femina, luctu squaleant; id ni faciunt, gravem mulctam incurrunt. (2) Est autem mos Lacedæmoniorum in regum obitu idem qui barbarorum in Asia: plerique enim barbari in obitu regum suorum eodem utuntur instituto. Mortuo enim rege Lacedæmoniorum, non Spartani solum, sed et ex tota Laconica circum habitantium certus quidam numerus ad prosequendum funus convenire tenetur. (3) Hi igitur, et Helotæ, et Spartani ipsi, postquam multa millia numero in unum convenere, promiscue cum mulieribus frontes gnaviter plangunt, immensaque edunt lamenta, postremum semper ex regibus, eum qui diem obiit, optimum fuisse dicentes. (4) Quodsi in bello mortuus rex est, ejus simulacrum effingunt, et pulcre strato lectulo impositum efferunt. Sepulto rege, per decem dies nec populi concio instituitur, nec magistratuum consessus, sed per hos dies continuos lugent.

LIX. Etiam in hoc Lacedæmoniis convenit cum Persis, quod defuncti regis successor in regni sui auspiciis ære alieno liberat quemlibet Spartanum, qui vel regi vel publico aliquid debuit. Similiter enim apud Persas recens constitutus rex civitatibus omnibus tributum, quod nondum persolverunt, remittit.

LX. Cum Ægyptiis vero hoc commune Lacedæmonii habent, quod apud illos præcones et tibicines et coqui in patrias artes succedunt; et tibicen filius est tibicinis, coquus coqui, præco præconis: neque præconis filium alius, ob vocis claritatem munus hoc ambiens, excludit; sed quilibet negotium suum patrio more exsequitur. Atque hæc quidem ita se habent.

LXI. Cleomenem igitur, Æginæ tunc versantem, et communi Græciæ bono navantem operam, quum accusasset Demaratus, non Æginetis ille studens, sed invidia et odio ductus; (2) tum vero Cleomenes, ex Ægina reversus, regiam dignitatem abrogandi Demarato consilium cepit; cujus exsequendi consilii hæc res ei ansam occasionemque præbuit. (3) Aristoni, Spartæ regi, quum duas deinceps uxores duxisset, liberi ex his nulli prognati erant. Cujus rei non suam esse culpam existimans, tertiam duxit uxorem. (4) Duxit autem hoc modo: erat illi amicus civis

γαμέει· ἦν οἱ φίλος τῶν Σπαρτιητέων ἀνήρ, τῷ προσεκέετο τῶν ἀστῶν μάλιστα ὁ Ἀρίστων. Τούτῳ τῷ ἀνδρὶ ἐτύγχανε ἐοῦσα γυνὴ καλλίστη μακρῷ τῶν ἐν Σπάρτῃ γυναικῶν, καὶ ταῦτα μέντοι καλλίστη ἐξ αἰσχίστης γενομένη. (5) Ἐοῦσαν γάρ μιν τὸ εἶδος φλαύρην ἡ τροφὸς αὐτῆς, οἷα ἀνθρώπων τε ὀλβίων θυγατέρα καὶ δυσειδέα ἐοῦσαν, πρὸς δὲ καὶ ὁρέουσα τοὺς γονέας συμφορὴν τὸ εἶδος αὐτῆς ποιευμένους, ταῦτα ἕκαστα μαθοῦσα ἐπιφράζεται τοιάδε· (6) ἐφόρεε αὐτὴν ἀνὰ πᾶσαν ἡμέρην ἐς τὸ τῆς Ἑλένης ἱρόν· τὸ δ' ἐστὶ ἐν τῇ Θεράπνῃ καλευμένῃ, ὕπερθε τοῦ Φοιβηΐου ἱροῦ· ὅκως δὲ ἐνείκειε ἡ τροφὸς, πρός τε τώγαλμα ἵστα καὶ ἐλίσσετο τὴν θεὸν ἀπαλλάξαι τῆς δυσμορίης τὸ παιδίον. (7) Καὶ δή κοτε ἀπιούσῃ ἐκ τοῦ ἱροῦ τῇ τροφῷ γυναῖκα λέγεται ἐπιφανῆναι, ἐπιφανεῖσαν δὲ ἐπείρεσθαί μιν ὅ τι φέρει ἐν τῇ ἀγκάλῃ, καὶ τὴν φράσαι ὡς παιδίον φορέει, τὴν δὲ κελεῦσαί οἱ δέξαι, τὴν δὲ οὐ φάναι· ἀπειρῆσθαι γάρ οἱ ἐκ τῶν γειναμένων μηδενὶ ἐπιδεικνύναι· τὴν δὲ πάντως ἑωυτῇ κελεύειν ἐπιδέξαι. (8) Ὁρέουσαν δὲ τὴν γυναῖκα περὶ πολλοῦ ποιευμένην ἰδέσθαι, οὕτω δὴ τὴν τροφὸν δέξαι τὸ παιδίον· τὴν δὲ καταψῶσαν τοῦ παιδίου τὴν κεφαλὴν εἶπαι ὡς καλλιστεύσει πασέων τῶν ἐν Σπάρτῃ γυναικῶν. (9) Ἀπὸ μὲν δὴ ταύτης τῆς ἡμέρης μεταπεσέειν τὸ εἶδος. Γαμέει δὲ δή μιν ἐς γάμου ὥρην ἀπικομένην Ἄγητος ὁ Ἀλκείδεω, οὗτος δὴ ὁ τοῦ Ἀρίστωνος φίλος.

Spartanus, quo civium omnium familiarissime Ariston utebatur. Hic vir uxorem habuit longe formosissimam omnium quæ Spartæ erant mulierum : et ea quidem formosissima ex deformissima evaserat. (5) Etenim quum turpis fuisset adspectu, nutrix illius, puellam ita deformem videns esse hominum opulentorum filiam, vidensque parentes illius in magna calamitate ponere turpem filiolæ formam, hæc animadvertens nutrix, tale inivit consilium : (6) quotidie gestabat eam in Helenæ templum, quod est in loco qui Therapna vocatur, supra Phœbeum templum. Quoties autem puellam eo gestasset, statuebat illam ante deæ simulacrum, supplexque rogabat deam, ut deformitate liberare puellam vellet. (7) Jam die quodam, quum templo egredereturnutrix, adparuisse ei dicitur mulier, quærens ex ea quid esset quod in ulna gestaret. Cui quum illa respondisset, puellam se gestare, rogasse mulierem, ut sibi monstraret puellam. Neganti nutrici, dicentique vetitum sibi a parentibus esse ne cuiquam eam monstraret, etiam atque etiam hanc institisse, ut sibi ostenderet. (8) Tum nutricem, ut vidit plurimum interesse mulieris videre puellam, ita denique illi ostendisse; et hanc, facto puellæ capite, dixisse, formæ præstantia superaturam eam Spartanas omnes mulieres. (9) Atque inde ab illo ipso die mutatam esse ejus formam. Hanc igitur, ubi nubilis facta est, in matrimonium duxit Agetus, Alcidæ filius, hic ipse quem dixi Aristonis amicus.

LXII. Τὸν δὲ Ἀρίστωνα ἔκνιζε ἄρα τῆς γυναικὸς ταύτης ὁ ἔρως· μηχανᾶται δὴ τοιάδε. Αὐτός τε τῷ ἑταίρῳ, τοῦ ἦν ἡ γυνὴ αὕτη, ὑποδέκεται δωτίνην δώσειν τῶν ἑωυτοῦ πάντων ἓν, τὸ ἂν αὐτὸς ἐκεῖνος ἕληται, καὶ τὸν ἑταῖρον ἑωυτῷ ἐκέλευε ὡσαύτως τὴν ὁμοίην δι-δόναι. Ὁ δὲ οὐδὲν φοβηθεὶς ἀμφὶ τῇ γυναικὶ, ὁρέων ἐοῦσαν καὶ Ἀρίστωνι γυναῖκα, καταινέει ταῦτα· ἐπὶ τούτοισι δὲ ὅρκους ἐπήλασαν. (2) Μετὰ δὲ αὐτός τε ὁ Ἀρίστων ἔδωκε τοῦτο, ὅ τι δὴ ἦν, τὸ εἵλετο τῶν κειμηλίων τῶν Ἀρίστωνος ὁ Ἄγητος, καὶ αὐτὸς τὴν ὁμοίην ζητέων φέρεσθαι παρ' ἐκείνου, ἐνθαῦτα δὴ τοῦ ἑταίρου τὴν γυναῖκα ἐπειρᾶτο ἀπάγεσθαι. (3) Ὁ δὲ πλὴν τούτου μούνου τἆλλα ἔφη καταινέσαι· ἀναγκαζόμενος μέντοι τῷ τε ὅρκῳ καὶ τῆς ἀπάτης τῇ παραγωγῇ ἀπίει ἀπάγεσθαι.

LXII. Cujus mulieris amore urens Ariston talem iniit rationem. Amico, cujus hæc uxor erat, recipit ipse, dono se daturum quamcumque rerum suarum omnium ille selegisset, jubetque amicum, ut parem sibi referat gratiam. Et ille, nihil de uxore sua veritus, quum videret esse etiam Aristoni uxorem, in conditionem consensit; atque in hoc ipsum mutuis se juramentis ambo obligarunt. (2) Deinde Ariston dedit illi pretiosissimum nescio quod cimeliorum suorum, quod selegerat Agetus : et ipsè, par ab illo sibi referri postulans, ibi tunc uxorem amici conatus est secum abducere. (3) At ille, in omnia alia, hoc uno excepto, se consensisse, ait : verumtamen quum juramento esset obstrictus, doloque circumventus, abduci eam passus est.

LXIII. Οὕτω μὲν δὴ τὴν τρίτην ἐσηγάγετο γυναῖκα ὁ Ἀρίστων, τὴν δευτέρην ἀποπεμψάμενος. Ἐν δέ οἱ χρόνῳ ἐλάσσονι καὶ οὐ πληρώσασα τοὺς δέκα μῆνας ἡ γυνὴ αὕτη τίκτει τοῦτον δὴ τὸν Δημάρητον. (2) Καί τίς οἱ τῶν οἰκετέων ἐν θώκῳ κατημένῳ μετὰ τῶν ἐφόρων ἐξαγγέλλει ὡς οἱ παῖς γέγονε. Ὁ δὲ ἐπιστάμενός τε τὸν χρόνον τῷ ἠγάγετο τὴν γυναῖκα, καὶ ἐπὶ δακτύλων συμβαλλόμενος τοὺς μῆνας, εἶπε ἀπομόσας « οὐκ ἂν ἐμὸς εἴη. » (3) Τοῦτο ἤκουσαν μὲν οἱ ἔφοροι, πρῆγμα μέντοι οὐδὲν ἐποιήσαντο τὸ παραυτίκα. Ὁ δὲ παῖς αὔξετο, καὶ τῷ Ἀρίστωνι τὸ εἰρημένον μετέμελε· παῖδα γὰρ τὸν Δημάρητον ἐς τὰ μάλιστά οἱ ἐνόμισε εἶναι. (4) Δημάρητον δὲ αὐτῷ οὔνομα ἔθετο διὰ τόδε· πρότερον

LXIII. Ita igitur tertiam uxorem, repudiata secunda, Ariston duxit. Eique hæc eadem mulier intra tempus justo brevius, decimo nondum expleto mense, peperit hunc, de quo hic agitur, Demaratum : (2) et Aristoni tunc in consessu ephororum sedenti unus e famulis nunciavit, natum ei esse filium. At ille, memor temporis quo duxerat uxorem, et digitis numerum iniens mensium, interposito jurejurando ait, « Hic meus esse non potest. » (3) Idque audiverant ephori : nec tamen statim curæ admodum illis fuerat id verbum. Postquam vero adolevit puer, dicti penituit Aristonem; etenim quam maxime suum esse filium Demaratum existimabat : (4) et nomen Demaratum (*id est*, Votis populi expetitum) hac caussa ei imposuit, quod antea

τούτων πανδημεὶ Σπαρτιῆται Ἀρίστωνι, ὡς ἀνδρὶ εὐδοκιμέοντι διὰ πάντων δὴ τῶν βασιλέων τῶν ἐν τῇ Σπάρτῃ γενομένων, ἀρὴν ἐποιήσαντο παῖδα γενέσθαι. Διὰ τοῦτο μέν οἱ τὸ οὔνομα Δημάρητος ἐτέθη.

LXIV. Χρόνου δὲ προϊόντος, Ἀρίστων μὲν ἀπέθανε, Δημάρητος δὲ ἔσχε τὴν βασιληΐην. Ἔδεε δὲ, ὡς οἶκε, ἀνάπυστα γενόμενα ταῦτα καταπαῦσαι Δημάρητον τῆς βασιληΐης, δι' ἃ Κλεομένεϊ διεβλήθη μεγάλως πρότερόν τε ὁ Δημάρητος ἀπαγαγὼν τὴν στρατιὴν ἐξ Ἐλευσῖνος, καὶ δὴ καὶ τότε ἐπ' Αἰγινητέων τοὺς μηδίσαντας διαβάντος Κλεομένεος.

LXV. Ὁρμηθεὶς ὦν ἀποτίνυσθαι ὁ Κλεομένης συντίθεται Λευτυχίδῃ τῷ Μενάρεος τοῦ Ἄγιος, ἐόντι οἰκίης τῆς αὐτῆς Δημαρήτῳ, ἐπ' ᾧ τε, ἢν αὐτὸν καταστήσῃ βασιλέα ἀντὶ Δημαρήτου, ἕψεταί οἱ ἐπ' Αἰγινήτας. (2) Ὁ δὲ Λευτυχίδης ἦν ἐχθρὸς τῷ Δημαρήτῳ μάλιστα γεγονὼς διὰ πρῆγμα τοιόνδε· ἁρμοσαμένου Λευτυχίδεω Πέρκαλον τὴν Χίλωνος τοῦ Δημαρμένου θυγατέρα, ὁ Δημάρητος ἐπιβουλεύσας ἀποστερέει Λευτυχίδεα τοῦ γάμου, φθάσας αὐτὸς τὴν Πέρκαλον ἁρπάσας καὶ σχὼν γυναῖκα. (3) Κατὰ τοῦτο μὲν τῷ Λευτυχίδῃ ἡ ἔχθρη ἡ ἐς τὸν Δημάρητον ἐγεγόνεε, τότε δὲ ἐκ τῆς Κλεομένεος προθυμίης ὁ Λευτυχίδης κατόμνυται Δημαρήτου, φὰς αὐτὸν οὐκ ἰκνευμένως βασιλεύειν Σπαρτιητέων οὐκ ἐόντα παῖδα Ἀρίστωνος. (4) Μετὰ δὲ τὴν κατωμοσίην ἐδίωκε ἀνασώζων ἐκεῖνο τὸ ἔπος, τὸ εἶπε Ἀρίστων τότε ὅτε οἱ ἐξήγγειλε ὁ οἰκέτης παῖδα γεγονέναι, ὁ δὲ συμβαλλόμενος τοὺς μῆνας ἀπώμοσε, φὰς οὐκ ἑωυτοῦ μιν εἶναι. (5) Τούτου δὴ ἐπιβατεύων τοῦ ῥήματος ὁ Λευτυχίδης ἀπέφαινε τὸν Δημάρητον οὔτε ἐξ Ἀρίστωνος γεγονότα οὔτε ἰκνευμένως βασιλεύοντα Σπάρτης, τοὺς ἐφόρους μάρτυρας παρεχόμενος ἐκείνους οἳ τότε ἔτυχον πάρεδροί τε ἐόντες καὶ ἀκούσαντες ταῦτα Ἀρίστωνος.

LXVI. Τέλος δὲ ἐόντων περὶ αὐτῶν νεικέων, ἔδοξε Σπαρτιήτῃσι ἐπείρεσθαι τὸ χρηστήριον τὸ ἐν Δελφοῖσι εἰ Ἀρίστωνος εἴη παῖς ὁ Δημάρητος. (2) Ἀνωΐστου δὲ γενομένου ἐκ προνοίης τῆς Κλεομένεος ἐς τὴν Πυθίην, ἐνθαῦτα προσποιέεται Κλεομένης Κόβωνα τὸν Ἀριστοφάντου, ἄνδρα ἐν Δελφοῖσι δυναστεύοντα μέγιστον, ὁ δὲ Κόβων Περίαλλαν τὴν πρόμαντιν ἀναπείθει, τὰ Κλεομένης ἐβούλετο λέγεσθαι, λέγειν. (3) Οὕτω δὴ ἡ Πυθίη ἐπειρωτεόντων τῶν θεοπρόπων ἔκρινε μὴ Ἀρίστωνος εἶναι Δημάρητον παῖδα. Ὑστέρῳ μέντοι χρόνῳ ἀνάπυστα ἐγένετο ταῦτα, καὶ Κόβων τε ἔφυγε ἐκ Δελφῶν καὶ Περίαλλα ἡ πρόμαντις ἐπαύθη τῆς τιμῆς.

LXVII. Κατὰ μὲν δὴ τὴν Δημαρήτου κατάπαυσιν τῆς βασιληΐης οὕτω ἐγένετο, ἔφευγε δὲ Δημάρητος ἐκ Σπάρτης ἐς Μήδους ἐκ τοιοῦδε ὀνείδεος. Μετὰ τῆς βασιληΐης τὴν κατάπαυσιν ὁ Δημάρητος ἦρχε αἱρεθεὶς ἀρχήν. (2) Ἔσαν μὲν δὴ γυμνοπαιδίαι, θηευμένου δὲ τοῦ Δημαρήτου ὁ Λευτυχίδης γεγονὼς ἤδη αὐτὸς βασιλεὺς ἀντ' ἐκείνου, πέμψας τὸν θεράποντα, ἐπὶ γέλωτί

Spartani publice susceptis pro Aristone votis, ut viro omnium ante id tempus regum Spartanorum probatissimo, deos erant precati, ut filius ei nasceretur. Ob hoc igitur nomen ei est impositum Demaratus.

LXIV. Succedente tempore e vita discessit Ariston, et Demaratus regnum suscepit. Fuisse autem videtur in fatis, ut ista res, quum comperta fuisset, regno exueret Demaratum, eo quod magnum in odium incurrerat Cleomenis, primum, exercitu Eleusi abducto, deinde (ut dixi) tunc, quum Cleomenes in Æginam trajecerat adversus hos qui cum Medis sentiebant.

LXV. Itaque ulcisci eum cupiens Cleomenes paciscitur cum Leotychide, Menaris filio, Agidis nepoti, ex eadem domo, qua erat Demaratus, oriundo, in hanc conditionem, ut ille, sua opera rex creatus in locum Demarati, ipsum sequeretur adversus Æginetas. (2) Fuerat autem Leotychides inimicissimus Demarato, ejusmodi de caussa; quod, quum Percalum, Chilonis filiam, neptin Demarmeni, sibi desponsasset, Demaratus per insidias nuptiis illis frustratus erat Leotychidem, præreptamque illi Percalum ipse duxerat uxorem. (3) Hæc quum fuisset inimicitiarum Leotychidis adversus Demaratum origo, tunc a Cleomene sollicitatus Leotychides jurat contra Demaratum, dicens, non legitime illum regem esse Spartanorum, nec enim filium esse Aristonis. (4) Deinde, post interpositum hoc juramentum, judicio eum est persecutus, in memoriam revocans verbum istud, quod Aristoni tunc exciderat, quum ei famulus recens natum renunciasset filium; ubi numero inito mensium jurans dixerat, non esse illum filium suum. (5) Huic verbo insistens Leotychides declaravit Demaratum nec Aristone genitum, nec legitime regnantem Spartæ, testes advocans eosdem ephoros, qui tum cum illo sederant in consilio, et verbum istud ex ore Aristonis audierant.

LXVI. Postremo, quum ea de re exstitissent rixæ, placuit Spartanis ex Delphico oraculo quærere, an Aristonis filius esset Demaratus. (2) Quod quum de industria ita decernendum curasset Cleomenes, ut de ea re ad Pythiam referretur; tum vero idem Cleomenes Cobonem sibi conciliavit, Aristophanti filium, virum maxima apud Delphenses auctoritate; qui Periallæ prophetissæ persuasit, ut ea diceret, quæ Cleomenes dici volebat. (3) Ita igitur interrogantibus his, qui ad consulendum oraculum missi erant, respondit Pythia, non esse Aristonis filium Demaratum. Attamen postero tempore comperta ea fraus est, et Cobon Delphis profugit, prophetissæ vero Periallæ abrogatum est munus.

LXVII. Hoc igitur modo abrogata Demarato regia dignitas est. Deinde vero, relicta Sparta, ad Medos profugit Demaratus, ob contumeliam hujusmodi. Postquam regno fuit exutus, ad gerendum magistratum erat electus. (2) Quumque esset solenne ludicrum, quod Gymnopædias vocant, Leotychides, rex jam creatus in Demarati locum, risus et contumeliæ caussa misso famulo ad Demaratum, qui et

τε καὶ λάσθη εἰρώτα τὸν Δημάρητον ὁκοῖόν τι εἴη τὸ ἄρχειν μετὰ τὸ βασιλεύειν. (3) Ὁ δὲ ἀλγήσας τῷ ἐπειρωτήματι εἶπε φὰς αὐτὸς μὲν ἀμφοτέρων ἤδη πεπειρῆσθαι, ἐκεῖνον δὲ οὔ, τὴν μέντοι ἐπειρώτησιν ταύτην ἄρξειν Λακεδαιμονίοισι ἢ μυρίης κακότητος ἢ μυρίης εὐδαιμονίης. (4) Ταῦτα δὲ εἴπας καὶ κατακαλυψάμενος ἤϊε ἐκ τοῦ θεήτρου ἐς τὰ ἑωυτοῦ οἰκία, αὐτίκα δὲ παρασκευασάμενος ἔθυε τῷ Διὶ βοῦν, θύσας δὲ τὴν μητέρα ἐκάλεσε.

LXVIII. Ἀπικομένη δὲ τῇ μητρὶ ἐσθεὶς ἐς τὰς χεῖρας οἱ τῶν σπλάγχνων κατιχέτευε, λέγων τοιάδε, « ὦ μῆτερ, θεῶν σε τῶν τε ἄλλων καταπτόμενος ἱκετεύω καὶ τοῦ ἑρκείου Διὸς τοῦδε, φράσαι μοι τὴν ἀληθειαν, τίς μεύ ἐστι πατὴρ ὀρθῷ λόγῳ. (2) Λευτυχίδης μὲν γὰρ ἔφη ἐν τοῖσι νείκεσι λέγων κυέουσάν σε ἐκ τοῦ προτέρου ἀνδρὸς οὕτω ἐλθεῖν παρ' Ἀρίστωνα· οἱ δὲ καὶ τὸν ματαιότερον λόγον λέγοντες φασί σε ἐλθεῖν παρὰ τῶν οἰκετέων τὸν ὀνοφορβὸν, καὶ ἐμὲ εἶναι ἐκείνου παῖδα. (3) Ἐγὼ ὦν σε μετέρχομαι τῶν θεῶν εἶπαι τὠληθές· οὔτε γὰρ, εἴ περ πεποίηκάς τι τῶν λεγομένων, μούνη δὴ πεποίηκας, μετὰ πολλέων δέ· ὅ τε λόγος πολλὸς ἐν Σπάρτῃ ὡς Ἀρίστωνι σπέρμα παιδοποιὸν οὐκ ἐνῆν· τεκέειν γὰρ ἄν οἱ καὶ τὰς προτέρας γυναῖκας. » Ὁ μὲν δὴ τοιαῦτα ἔλεγε.

LXIX. Ἡ δὲ ἀμείβετο τοισίδε, « ὦ παῖ, ἐπείτε μελιτῇαι μετέρχεαι εἶπαι τὴν ἀλήθειαν, πᾶν ἐς σὲ κατειρήσεται τὠληθές. Ὡς με ἠγάγετο Ἀρίστων ἐς ἑωυτοῦ, νυκτὶ τρίτῃ ἀπὸ τῆς πρώτης ἦλθέ μοι φάσμα εἰδόμενον Ἀρίστωνι, συνευνηθὲν δὲ τοὺς στεφάνους τοὺς εἶχε ἐμοὶ περιετίθει. (2) Καὶ τὸ μὲν οἰχώκεε, ἦκε δὲ μετὰ ταῦτα Ἀρίστων. Ὡς δέ με εἶδε ἔχουσαν στεφάνους, εἰρώτα τίς εἴη ὅ μοι δούς· ἐγὼ δὲ ἐφάμην ἐκεῖνον· ὁ δὲ οὐκ ὑπεδέκετο. Ἐγὼ δὲ κατωμνύμην, φαμένη αὐτὸν οὐ καλῶς ποιέειν ἀπαρνεύμενον· ὀλίγῳ γάρ τι πρότερον ἐλθόντα καὶ συνευνηθέντα δοῦναί μοι τοὺς στεφάνους. (3) Ὁρέων δέ με κατομνυμένην ὁ Ἀρίστων ἔμαθε ὡς θεῖον εἴη τὸ πρῆγμα. Καὶ τοῦτο μὲν οἱ στέφανοι ἐφάνησαν ἐόντες ἐκ τοῦ ἡρωΐου τοῦ παρὰ τῇσι θύρῃσι τῇσι αὐλείῃσι ἱδρυμένου, τὸ καλεῦσι Ἀστραβάκου· τοῦτο δὲ οἱ μάντιες τὸν αὐτὸν τοῦτον ἥρωα ἀναίρεον εἶναι. (4) Οὕτω δὴ, ὦ παῖ, ἔχεις πᾶν, ὅσον τι καὶ βούλεαι πυθέσθαι. Ἦ γὰρ ἐκ τοῦ ἥρωος τούτου γέγονας, καί τοι πατήρ ἐστι Ἀστράβακος ὁ ἥρως, ἢ Ἀρίστων· ἐν γάρ σε τῇ νυκτὶ ταύτῃ ἀναιρέομαι. (5) Τῇ δέ σευ μάλιστα κατάπτονται οἱ ἐχθροὶ, λέγοντες ὡς αὐτὸς ὁ Ἀρίστων, ὅτε αὐτῷ σὺ ἠγγέλθης γεγεννημένος, πολλῶν ἀκουόντων οὐ φήσειέ σε ἑωυτοῦ εἶναι (τὸν χρόνον γὰρ, τοὺς δέκα μῆνας, οὐδέκω ἐχήκειν), ἀϊδρηίῃ τῶν τοιούτων ἐκεῖνος τοῦτο ἀπέρριψε τὸ ἔπος. (6) Τίκτουσι γὰρ γυναῖκες καὶ ἐννεάμηνα καὶ ἑπτάμηνα, καὶ οὐ πᾶσαι δέκα μῆνας ἐκτελέσασαι· ἐγὼ δὲ σὲ, ὦ παῖ, ἑπτάμηνον ἔτεκον. Ἔγνω δὲ καὶ αὐτὸς ὁ Ἀρίστων οὐ μετὰ πολλὸν χρόνον ὡς ἀγνοίη τὸ ἔπος ἐκβάλοι τοῦτο. (7) Λόγους δὲ ἄλλους περὶ γενέσιος τῆς σεωυτοῦ μὴ

ipse spectator aderat, quæsivit ex eo, qualenam illi videretur, hunc gerere magistratum post regiam dignitatem? (3) Cui illi, indignatus interrogatione, respondit, se quidem utrumque esse expertum, nec vero illum : cæterum interrogationem hanc Lacedæmoniis aut infinitæ calamitatis, aut infinitæ felicitatis fore initium. (4) His dictis, velata facie theatro egressus, domum suam abiit : ibique protinus, præparatis rebus necessariis, Jovi bovem immolavit, et eo mactato vocavit matrem.

LXVIII. Quæ postquam advenit, data in manus illius extorum parte victimæ, supplex eam Demaratus adlocutus est his verbis : « Mater, et alios omnes deos testatus, et hunc Herceum (*id est*, domus nostræ præsidem) Jovem, oro te atque obsecro, ut verum mihi dicas, quis ex rei veritate pater sit meus. (2) Leotychides enim in litis contentione dixit, gravidam te ex priori viro congressam esse cum Aristone : qui vero contumeliosiorem rumorem sequuntur, aiunt cum servo asinario te esse congressam, et illius me esse filium. (3) Quare te ego per deos obsecro, verum mihi dicas. Nam et, si quid tale, quale dicunt, fecisti, non sola tu fecisti, sed multis cum aliis mulieribus : et pervulgata quoque Spartæ fama est, prolificum semen non fuisse Aristoni; alioqui priores etiam uxores ejus parituras fuisse. » Talia igitur ille dixit.

LXIX. Cui mater his verbis respondit : « Fili, quoniam me supplex oras ut verum dicam, omnem tibi rem ex vero aperiam. Postquam me Ariston domum suam duxit, tertia nocte a prima venit ad me simulacrum simile Aristoni : quod quum mecum concubuisset, coronas mihi, quas habebat, imposuit. (2) Illud postquam abiit, venit deinde Ariston; qui me videns coronis ornatam, interrogavit quis illas mihi dedisset : et ego dixi, ipsum. Quod ubi abnuit ille, jurata equidem respondi, non recte eum facere qui rem perneget; paullo enim ante venisse ipsum, mecumque concubuisse, ac deinde has mihi coronas dedisse. (3) Tum me videns Ariston jurejurando rem confirmare, intellexit divinitus hæc accidisse. Nam et coronas illas adparebat esse ex herois ædicula quæ est ad januam aulæ nostræ; Astrabaci ædem vocant : et, esse hunc ipsum heroem, pronunciarunt vates. (4) Ita igitur, fili, rem totam habes, quam scire cupis. Nam, aut ex hoc heroe genitus es, et pater tuus Astrabacus heros est, aut Ariston : ea ipsa enim nocte te concepi. (5) Cæterum, quo argumento te maxime adgrediuntur inimici, dicentes, ipsum Aristonem, quum ei te natum esse nunciaretur, audientibus multis negasse suum te esse filium, quoniam justum tempus decem mensium nondum esset completum; id verbum illi inscitia talium rerum exciderat. (6) Pariunt enim mulieres etiam novem mensium fœtus, atque etiam septem mensium, neque cunctæ decimum complent mensem : et ego te, fili, septimo mense peperi. Agnovitque etiam paullo post ipse Ariston, per inscitiam sibi verbum illud excidisse. (7) Alios autem de nativitate tua rumores procul habe : nam veris

δέκεο· τὰ γὰρ ἀληθέστατα πάντα ἀκήκοας. Ἐκ δὲ ὀνοφορβῶν αὐτῷ τε Λευτυχίδῃ καὶ τοῖσι ταῦτα λέγουσι τίκτοιεν αἱ γυναῖκες παῖδας. » Ἡ μὲν δὴ ταῦτα ἔλεγε.

LXX. Ὁ δὲ πυθόμενός τε τὰ ἐβούλετο καὶ ἐπόδια λαβὼν ἐπορεύετο ἐς Ἦλιν, τῷ λόγῳ φὰς ὡς ἐς Δελφοὺς χρησόμενος τῷ χρηστηρίῳ πορεύεται. Λακεδαιμόνιοι δὲ ὑποτοπηθέντες Δημάρητον ὁρησμῷ ἐπιχειρέειν ἐδίωκον. (2) Καί κως ἔφθη ἐς Ζάκυνθον διαβὰς ὁ Δημάρητος ἐκ τῆς Ἦλιδος· ἐπιδιαβάντες δὲ οἱ Λακεδαιμόνιοι αὐτοῦ τε ἅπτοντο καὶ τοὺς θεράποντας αὐτὸν ἀπαιρέοντο. Μετὰ δέ, οὐ γὰρ ἐξεδίδοσαν αὐτὸν οἱ Ζακύνθιοι, ἐνθεῦτεν διαβαίνει ἐς τὴν Ἀσίην παρὰ βασιλέα Δαρεῖον. Ὁ δὲ ὑπεδέξατό τε αὐτὸν μεγαλωστὶ καὶ γῆν τε καὶ πόλις ἔδωκε. (3) Οὕτω ἀπίκετο ἐς τὴν Ἀσίην Δημάρητος καὶ τοιαύτῃ χρησάμενος τύχῃ, ἄλλα τε Λακεδαιμονίοισι συχνὰ ἔργοισί τε καὶ γνώμῃσι ἀπολαμπρυνθείς, ἐν δὲ δὴ καὶ Ὀλυμπιάδα σφι ἀνελόμενος τεθρίππῳ προσέβαλε, μοῦνος τοῦτο πάντων δὴ τῶν γενομένων βασιλέων ἐν Σπάρτῃ ποιήσας.

LXXI. Λευτυχίδης δὲ ὁ Μενάρεος Δημαρήτου καταπαυθέντος διεδέξατο τὴν βασιληΐην, καί οἱ γίνεται παῖς Ζευξίδημος, τὸν δὴ Κυνίσκον μετεξέτεροι Σπαρτιητέων ἐκάλευν. Οὗτος ὁ Ζευξίδημος οὐκ ἐβασίλευσε Σπάρτης· πρὸ Λευτυχίδεω γὰρ τελευτᾷ, λιπὼν παῖδα Ἀρχίδημον. (2) Λευτυχίδης δὲ στερηθεὶς Ζευξιδήμου γαμέει δευτέρην γυναῖκα Εὐρυδάμην, ἐοῦσαν Μενίου μὲν ἀδελφεήν, Διακτορίδεω δὲ θυγατέρα, ἐκ τῆς οἱ ἔρσεν μὲν γίνεται οὐδέν, θυγάτηρ δὲ Λαμπιτώ, τὴν Ἀρχίδημος ὁ Ζευξιδήμου γαμέει δόντος αὐτῷ Λευτυχίδεω.

LXXII. Οὐ μὲν οὐδὲ Λευτυχίδης κατεγήρα ἐν Σπάρτῃ, ἀλλὰ τίσιν τοιήνδε τινὰ Δημαρήτῳ ἐξέτισε. Ἐστρατήγησε Λακεδαιμονίοισι ἐς Θεσσαλίην, παρεὸν δέ οἱ ὁποχείρια πάντα ποιήσασθαι ἐδωροδόκησε ἀργύριον πολλόν. (2) Ἐπ' αὐτοφώρῳ δὲ ἁλοὺς αὐτοῦ ἐν τῷ στρατοπέδῳ, ἐπικατήμενος χειρὶ πλέῃ ἀργυρίου, ἔφυγε ἐκ Σπάρτης ὑπὸ δικαστήριον ὑπαχθείς, καὶ τὰ οἰκία οἱ κατεσκάφη· ἔφυγε δὲ ἐς Τεγέην, καὶ ἐτελεύτησε ἐν ταύτῃ. Ταῦτα μὲν δὴ ἐγένετο χρόνῳ ὕστερον.

LXXIII. Τότε δὲ ὡς τῷ Κλεομένεϊ εὐωδώθη τὸ ἐς τὸν Δημάρητον πρῆγμα, αὐτίκα παραλαβὼν Λευτυχίδεα ἦϊε ἐπὶ τοὺς Αἰγινήτας, δεινόν τινά σφι ἔγκοτον διὰ τὸν προπηλακισμὸν ἔχων. (2) Οὕτω δὴ οὔτε οἱ Αἰγινῆται, ἀμφοτέρων τῶν βασιλέων ἡκόντων ἐπ' αὐτούς, ἐδικαίευν ἔτι ἀντιβαίνειν, ἐκεῖνοί τε ἐπιλεξάμενοι ἄνδρας δέκα Αἰγινητέων τοὺς πλείστου ἀξίους καὶ πλούτῳ καὶ γένεϊ ἤγον, καὶ ἄλλους καὶ δὴ καὶ Κρίόν τε τὸν Πολυκρίτου καὶ Κάσαμβον τὸν Ἀριστοκράτεος, οἳ περ ἔσχον μέγιστον κράτος· ἀγαγόντες δὲ σφέας ἐς γῆν τὴν Ἀττικὴν παραθήκην παρατίθενται ἐς τοὺς ἐχθίστους Αἰγινήτῃσι Ἀθηναίους.

LXXIV. Μετὰ δὲ ταῦτα Κλεομένεα ἐπαΐστον γενόμενον κακοτεχνήσαντα ἐς Δημάρητον δεῖμα ἔλαβε Σπαρτιητέων, καὶ ὑπεξέσχε ἐς Θεσσαλίην. Ἐνθεῦτεν

sima omnia audivisti. Ex asinariis vero Leotychidi ipsi et aliis, qui hoc narrant, liberos pariant uxores. » Hæc mater locuta est.

LXX. Demaratus vero, postquam quæ voluerat cognovit, sumpto viatico, Elidem profectus est; speciem præ se ferens tamquam Delphos petens, ubi consuleret oraculum. Lacedæmonii vero, suspicati fugam capessere Demaratum, persecuti sunt eum. (2) Sed, priusquam hi Elidem pervenerunt, Zacynthum ille trajecerat. Quo quum etiam Lacedæmonii trajecissent, et ipsi Demarato injecerunt manus, et famulos ei abstraxerunt. At ille, quum non dedidissent eum Zacynthii, in Asiam deinde ad regem Darium transgressus est: et rex eum munifice excepit, et terra et oppidis donavit. (3) Ista igitur ratione, et tali fortuna usus, in Asiam pervenit Demaratus, postquam et aliis multis factis pariter atque consiliis inter Lacedæmonios claruerat, et Olympica victoria, quam quadrigarum curriculo reportavit, civitatem ornaverat, unus ex omnibus Spartæ regibus cui id contigerit.

LXXI. Leotychides vero, Menaris filius, in regnum Demarato ea dignitate ejecto successit. Cujus filius erat Zeuxidemus, quem Spartanorum nonnulli Cyniscum nominabant. Hic regnum Spartæ non est adeptus: obierat enim ante Leotychidem, relicto filio Archidamo. (2) Mortuo autem Zeuxidemo, alteram uxorem duxit Leotychides Eurydamen, Menii sororem, Diactoridæ filiam: ex qua quidem nulla ei mascula proles nata est, sed filia, nomine Lampito; quam duxit Archidamus, Zeuxidemi filius, a Leotychide sibi elocatam.

LXXII. Nec vero Spartæ senectutem traduxit Leotychides, sed talem quamdam pœnam dedit Demarato. Quum dux esset copiarum Laconicarum in Thessalia, potuissetque omnia armis subigere, ingentibus pecuniis corrumpi se passus est. (2) Cujus criminis compertus, quum in ipsis castris insidens manicæ pecunia plenæ esset deprehensus, in judicium delatus exsilio multatus est, et ædes ejus in urbe dirutæ: itaque Tegeæ exsulavit, ibique vitam finivit. Sed hæc quidem postero tempore acta sunt.

LXXIII. Tunc vero, postquam Cleomeni ex sententia successerat res in Demaratum suscepta, protinus ille, adsumpto Leotychide, adversus Æginetas ire contendit, propter illatam sibi contumeliam vehementer illis iratus. (2) Jam igitur Æginetæ, quum ambo simul reges adversus illos venissent, non amplius repugnandum sibi esse existimarunt: et illi selectos ex Æginetis decem viros, divitiis et genere præ cæteris eminentes, abduxerunt, in his Crium Polycriti filium, et Casambum Aristocratis, qui plurimum potestate valebant. Hos igitur, in Atticam terram abductos, veluti depositum tradiderunt Atheniensibus, acerrimis hostibus Æginetarum.

LXXIV. Sed post hæc Cleomenes, quum compertæ interim fuissent malæ artes, quibus adversus Demaratum usus erat, metu Spartanorum in Thessaliam secessit. Inde

δὲ ἀπικόμενος ἐς τὴν Ἀρκαδίην νεώτερα ἐπρησσε πρήγματα, συνιστὰς τοὺς Ἀρκάδας ἐπὶ τῇ Σπάρτῃ, ἄλλους τε ὅρκους προσάγων σφι ἢ μὲν ἔψεσθαί σφεας αὐτῷ τῇ ἂν ἐξηγέηται, καὶ δὴ καὶ ἐς Νώνακριν πόλιν πρόθυμος ἦν τῶν Ἀρκάδων τοὺς προεστεῶτας ἀγινέων ἐξορκοῦν τὸ Στυγὸς ὕδωρ. (2) Ἔν δὲ ταύτῃ τῇ πόλι λέγεται εἶναι ὑπ' Ἀρκάδων τὸ Στυγὸς ὕδωρ, καὶ δὴ καὶ ἔστι τοιόνδε τι· ὕδωρ ὀλίγον φαινόμενον ἐκ πέτρης στάζει ἐς ἄγκος, τὸ δὲ ἄγκος αἱμασιῇς τις περιθέει κύκλος. Ἡ δὲ Νώνακρις, ἐν τῇ ἡ πηγὴ αὕτη τυγχάνει ἐοῦσα, πόλις ἐστὶ τῆς Ἀρκαδίης πρὸς Φενεῷ.

LXXV. Μαθόντες δὲ Λακεδαιμόνιοι Κλεομένεα ταῦτα πρήσσοντα, κατῆγον αὐτὸν δείσαντες ἐπὶ τοῖσι αὐτοῖσι ἐς Σπάρτην τοῖσι καὶ πρότερον ἦρχε. (2) Καταλθόντα δὲ αὐτὸν αὐτίκα ὑπέλαβε μανίη νοῦσος, ἐόντα καὶ πρότερον ὑπομαργότερον· ὅκως γάρ τεῳ ἐντύχοι Σπαρτιητέων, ἐνέχραυε ἐς τὸ πρόσωπον τὸ σκῆπτρον. (3) Ποιεῦντα δὲ αὐτὸν ταῦτα καὶ παραφρονήσαντα ἔδησαν οἱ προσήκοντες ἐν ξύλῳ· ὁ δὲ δεθεὶς τὸν φύλακον μουνωθέντα ἰδὼν τῶν ἄλλων αἴτεε μάχαιραν· οὐ βουλομένου δὲ τὰ πρῶτα τοῦ φυλάκου διδόναι ἠπείλεε τά μιν λυθεὶς ποιήσει, ἐς δ δείσας τὰς ἀπειλὰς ὁ φύλακος (ἦν γὰρ τῶν τις εἱλωτέων) διδοῖ οἱ μάχαιραν. (4) Κλεομένης δὲ παραλαβὼν τὸν σίδηρον ἤρχετο ἐκ τῶν κνημέων ἑωυτὸν λωβώμενος· ἐπιτάμνων γὰρ κατὰ μῆκος τὰς σάρκας προέβαινε ἐκ τῶν κνημέων ἐς τοὺς μηροὺς, ἐκ δὲ τῶν μηρῶν ἐς τε τὰ ἰσχία καὶ τὰς λαπάρας, ἐς δ ἐς τὴν γαστέρα ἀπίκετο, καὶ ταύτην καταχορδεύων ἀπέθανε τρόπῳ τοιούτῳ, (5) ὡς μὲν οἱ πολλοὶ λέγουσι Ἑλλήνων, ὅτι τὴν Πυθίην ἀνέγνωσε τὰ περὶ Δημάρητον γενόμενα λέγειν, ὡς δὲ Ἀθηναῖοι λέγουσι, διότι ἐς Ἐλευσῖνα ἐσβαλὼν ἔκειρε τὸ τέμενος τῶν θεῶν, ὡς δὲ Ἀργεῖοι, ὅτι ἐξ ἱροῦ αὐτῶν τοῦ Ἄργου Ἀργείων τοὺς καταφυγόντας ἐκ τῆς μάχης καταγινέων κατέκοπτε καὶ αὐτὸ τὸ ἄλσος ἐν ἀλογίῃ ἔχων ἐνέπρησε.

LXXVI. Κλεομένεϊ γὰρ μαντευομένῳ ἐν Δελφοῖσι ἐχρήσθη Ἄργος αἱρήσειν. Ἐπείτε δὲ Σπαρτιήτας ἄγων ἀπίκετο ἐπὶ ποταμὸν Ἐρασῖνον, ὃς λέγεται ῥέειν ἐκ τῆς Στυμφηλίδος λίμνης (τὴν γὰρ δὴ λίμνην ταύτην ἐς χάσμα ἀφανὲς ἐκδιδοῦσαν ἀναφαίνεσθαι ἐν Ἄργεϊ, τὸ ἐνθεῦτεν δὲ τὸ ὕδωρ ἤδη τοῦτο ὑπ' Ἀργείων Ἐρασῖνον καλέεσθαι), ἀπικόμενος δ' ὧν ὁ Κλεομένης ἐπὶ τὸν ποταμὸν τοῦτον ἐσφαγιάζετο αὐτῷ· (2) καὶ οὐ γὰρ οὐδαμῶς ἐκαλλίρεε διαβαίνειν μιν, ἄγασθαι μὲν ἔφη τοῦ Ἐρασίνου οὐ προδιδόντος τοὺς πολιήτας, Ἀργείους μέντοι οὐδ' ὡς χαιρήσειν. (3) Μετὰ δὲ ταῦτα ἐξαναχωρήσας τὴν στρατιὴν κατήγαγε ἐς Θυρέην, σφαγιασάμενος δὲ τῇ θαλάσσῃ ταῦρον πλοίοισί σφεας ἤγαγε ἐς τε τὴν Τιρυνθίην χώρην καὶ Ναυπλίην.

LXXVII. Ἀργεῖοι δ' ἐβώθεον πυνθανόμενοι ταῦτα ἐπὶ θάλασσαν· ὡς δὲ ἀγχοῦ μὲν ἐγίνοντο τῆς Τίρυνθος, χώρῳ δὲ ἐν τούτῳ τῷ κέεται Σήπεια οὔνομα, μεταίχμιον οὐ μέγα ἀπολιπόντες ἵζοντο ἀντίοι τοῖσι Λακεδαιμονίοισι. (2) Ἐνθαῦτα δὴ οἱ Ἀργεῖοι τὴν μὲν ἐκ τοῦ φανεροῦ

vero in Arcadiam reversus, novas res moliens, Arcadas adversus Spartanos sollicitavit, quum aliis juramentis illos adstringens, ut se, quocumque duceret, sequerentur; tum etiam in animo habens proceres Arcadum, in Nonacrin oppidum ductos, jurejurando per Stygis aquam adigere. (2) Nam in hoc ipso oppido perhibent Arcades esse Stygis aquam. Est autem illa hujusmodi: exigua adparet aqua, ex petra stillans in locum concavum, quem maceria undique cingit. Nonacris autem, in qua hic fons conspicitur, Arcadiæ oppidum est prope Pheneum.

LXXV. Lacedæmonii vero, ubi cognoverunt quid moliretur Cleomenes, veriti rei exitum, Spartam eum revocarunt, et in pristinam restituerunt dignitatem. (2) At post reditum brevi interjecto tempore, quum jam antea haud sana admodum mente fuisset, furor morbus eum invasit; nam quoties Spartanus quispiam obviam ei veniret, huic sceptrum in faciem infligebat. (3) Quæ quum ille faceret, et alienata esset mente, vinxerunt illum propinqui, et ligno illigaverunt. At ille, ita vinctus, ubi vidit unum custodem, digressis aliis, solum relictum, cultrum sibi dari postulavit: quem quum ei statim dare nollet custos, minatus est homini quæ deinde illi facturus esset, quando foret solutus; donec territus ille minis (erat enim unus ex Helotis) cultrum ei porrexit. (4) Tum vero, sumpto ferro, Cleomenes, initio a cruribus facto, misere se ipse laceravit: carnem enim secundum longitudinem incidens, a cruribus ad femora perrexit, et a femoribus ad ilia et lumbos: postremo, ubi ad ventrem pervenit, hunc etiam minutatim dissecuit, donec animam efflavit. (5) Atque tali modo ille mortuus est, ut quidem plerique ex Græcis dicunt, quoniam Pythiæ persuaserat ista dicere quæ ad Demaratum spectabant; ut vero aiunt Athenienses, quoniam, quo tempore Eleusinem invasit, lucum excidit deabus sacrum; ut vero Argivi, quoniam Argivos, qui e pugna in lucum Argo sacrum confugerant, inde abductos trucidavit, ipsumque lucum spreta religione incendit.

LXXVI. Scilicet Cleomeni, Delphicum oraculum consulenti, redditum erat responsum, capturum illum Argos. Postquam vero cum Spartanorum exercitu ad fluvium pervenit Erasinum, quem aiunt ex Stymphalio lacu effluere: dicunt enim, hunc lacum, postquam in cæcam voraginem se infudit, rursus adparere in Argolide, et exinde Erasinum hanc aquam ab Argivis nominari: ad hunc igitur fluvium postquam Cleomenes pervenit, hostias flumini immolavit: (2) quumque minime bene ei cessurum transitum portenderent exta, laudare se, ait, Erasinum, quod cives non proderet suos; sed ne sic quidem salvos evasuros Argivos. (3) Post hæc retrogressus, Thyream duxit exercitum; et, tauro mari immolato, navibus eumdem duxit in Tirynthium et Nauplium agrum.

LXXVII. Ea re cognita, ad mare properant Argivi, opem suis laturi. Ut vero prope Tirynthem fuerunt, eo in loco cui nomen est Sepea, castra castris Lacedæmoniorum, haud magno spatio in medio relicto, opposuerunt. (2) Ibi nimirum pugnam ex aperto non verebantur Argivi,

μάχην οὐκ ἐφοβέοντο, ἀλλὰ μὴ δόλῳ αἱρεθέωσι· καὶ γὰρ δή σφι ἐς τοῦτο τὸ πρῆγμα εἶχε τὸ χρηστήριον τὸ ἐπίκοινα ἔχρησε ἡ Πυθίη τούτοισί τε καὶ Μιλησίοισι, λέγον ὧδε·

Ἀλλ' ὅταν ἡ θήλεια τὸν ἄρσενα νικήσασα
ἐξελάσῃ καὶ κῦδος ἐν Ἀργείοισιν ἄρηται,
πολλὰς Ἀργείων ἀμφιδρυφέας τότε θήσει.
Ὥς ποτέ τις ἐρέει καὶ ἐπεσσομένων ἀνθρώπων
« δεινὸς ὄφις τριέλικτος ἀπώλετο δουρὶ δαμασθείς. »

Ταῦτα δὴ πάντα συνελθόντα τοῖσι Ἀργείοισι φόβον παρεῖχε. (3) Καὶ δή σφι πρὸς ταῦτα ἔδοξε τῷ κήρυκι τῶν πολεμίων χρᾶσθαι, δόξαν δέ σφι ἐποίευν τοιόνδε· ὅκως ὁ Σπαρτιήτης κῆρυξ προσημαίνοι τι Λακεδαιμονίοισι, ἐποίευν καὶ οἱ Ἀργεῖοι τὠυτὸ τοῦτο.

LXXVIII. Μαθὼν δὲ ὁ Κλεομένης ποιεῦντας τοὺς Ἀργείους ὁκοῖόν τι ὁ σφέτερος κῆρυξ σημήνειε, παραγγέλλει σφι, ὅταν σημήνῃ ὁ κῆρυξ ποιέεσθαι ἄριστον, τότε ἀναλαβόντας τὰ ὅπλα χωρέειν ἐς τοὺς Ἀργείους. (2) Ταῦτα καὶ ἐγένετο ἐπιτελέα ἐκ τῶν Λακεδαιμονίων· ἄριστον γὰρ ποιευμένοισι τοῖσι Ἀργείοισι ἐκ τοῦ κηρύγματος ἐπεκέατο, καὶ πολλοὺς μὲν ἐφόνευσαν αὐτῶν, πολλῷ δ' ἔτι πλεῦνας ἐς τὸ ἄλσος τοῦ Ἄργου καταφυγόντας περιιζόμενοι ἐφύλασσον.

LXXIX. Ἐνθεῦτεν δὲ ὁ Κλεομένης ἐποίεε τοιόνδε· ἔχων αὐτομόλους ἄνδρας καὶ πυνθανόμενος τούτων ἐξεκάλεε, πέμπων κήρυκα, οὐνομαστὶ λέγων τῶν Ἀργείων τοὺς ἐν τῷ ἱρῷ ἀπεργμένους, ἐξεκάλεε δὲ φὰς αὐτῶν ἔχειν τὰ ἄποινα· ἄποινα δέ ἐστι Πελοποννησίοισι δύο μνέαι τεταγμέναι κατ' ἄνδρα αἰχμάλωτον ἐκτίνειν. (2) Κατὰ πεντήκοντα δὴ ὧν τῶν Ἀργείων ὡς ἑκάστους ἐκκαλεύμενος ὁ Κλεομένης ἔκτεινε. Ταῦτα δέ κως γινόμενα ἐλελήθεε τοὺς λοιποὺς τοὺς ἐν τῷ τεμένεϊ· ἅτε γὰρ πυκνοῦ ἐόντος τοῦ ἄλσεος, οὐκ ὥρεον οἱ ἐντὸς τοὺς ἐκτὸς ὅ τι ἔπρησσον, πρίν γε δὴ αὐτῶν τις ἀναβὰς ἐπὶ δένδρος κατεῖδε τὸ ποιεύμενον. Οὐκ ὧν δὴ ἔτι καλεύμενοι ἐξῄεσαν.

LXXX. Ἐνθαῦτα δὴ ὁ Κλεομένης ἐκέλευε πάντα τινὰ τῶν εἰλωτέων περινέειν ὕλῃ τὸ ἄλσος, τῶν δὲ πειθομένων ἐνέπρησε τὸ ἄλσος. Καιομένου δὲ ἤδη ἐπείρετο τῶν τινὰ αὐτομόλων τίνος εἴη θεῶν τὸ ἄλσος· ὁ δὲ ἔφη Ἄργου εἶναι. (2) Ὁ δὲ ὡς ἤκουσε, ἀναστενάξας μέγα εἶπε, « ὦ Ἄπολλον χρηστήριε, ἦ μεγάλως με ἠπάτηκας φάμενος Ἄργος αἱρήσειν· συμβάλλομαι δ' ἐξῆκειν μοι τὸ χρηστήριον. »

LXXXI. Μετὰ δὲ ταῦτα ὁ Κλεομένης τὴν μὲν πλέω στρατιὴν ἀπῆκε ἀπιέναι ἐς Σπάρτην, χιλίους δὲ αὐτὸς λαβὼν τοὺς ἀριστέας ἦϊε ἐς τὸ Ἡραῖον θύσων. Βουλόμενον δὲ αὐτὸν θύειν ἐπὶ τοῦ βωμοῦ ὁ ἱρεὺς ἀπηγόρευε, φὰς οὐκ ὅσιον εἶναι ξείνῳ αὐτόθι θύειν. (2) Ὁ δὲ Κλεομένης τὸν ἱρέα ἐκέλευε τοὺς εἵλωτας ἀπὸ τοῦ βωμοῦ ἀπαγαγόντας μαστιγῶσαι, καὶ αὐτὸς ἔθυσε· ποιήσας δὲ ταῦτα ἀπῄϊε ἐς τὴν Σπάρτην.

LXXXII. Νοστήσαντα δέ μιν ὑπῆγον οἱ ἐχθροὶ ὑπὸ τοὺς ἐφόρους, φάμενοί μιν δωροδοκήσαντα οὐκ ἐλέειν

sed ne dolo caperentur. Etenim ad hanc rem spectabat oraculum illud, quod promiscue et his et Milesiis Pythia ediderat his verbis :

Verum, quando marem prævertet femina victrix,
inter et Argivos referet prælustris honorem ;
tunc Argivarum reddet plerasque gementes,
ut venturorum aiat quis quandoque virorum :
« telo sævus obit sinuoso corpore serpens. »

Quæ quum tunc omnia concurrissent, metum Argivis incusserunt. (3) Proinde consilium ceperunt utendi hostium præcone : idque ita exsecuti sunt, ut, quoties Spartanus præco signum aliquod dedisset Lacedæmonüs, Argivi etiam id ipsum facerent.

LXXVIII. Quos ubi Cleomenes cognovit idem exsequi, quodcumque ipsius præco significasset; imperat suis, ut, quando prandii signum edidisset præco, tunc arma caperent, et Argivos adorirentur. (2) Et exsecuti sunt hoc Lacedæmonii. Nam, dum Argivi ex præconis imperio prandium capiebant, subito illos adorti, multos eorum interfecerunt, multo plures vero, qui in Argi lucum confugerant, circùm sedentes ibi custodiverunt.

LXXIX. Deinde hoc fecit Cleomenes : quum ex hominibus quibusdam, qui ad ipsum transfugerant, cognosset, quinam essent ex Argivis qui in sacro luco essent inclusi, misso præcone nominatim evocavit singulos; dicens, se pretium redemptionis illorum accepisse. Statutum autem apud Peloponnesios est pretium redemptionis, duo minæ pro singulis captivis pendendæ. (2) Igitur quinquaginta fere ex Argivis, ut quemque evocaverat, interfecit Cleomenes; et reliquos, qui in luco erant, latebat factum : quum enim densus esset lucus, qui intus erant, non videbant quid facerent hi qui extra essent. Postremo vero unus illorum conscensa arbore vidit quid gereretur : atque exinde non amplius egrediebantur vocati.

LXXX. Tum vero Cleomenes Helotas omnes jussit materiam circa lucum congerere : et, postquam hi imperata fecerunt, lucum incendit. Jamque ardebat lucus, quum ille ex transfugarum quopiam quæsivit, cui deo sacer lucus esset. Qui respondit, Argi lucum esse. (2) Hoc audito Cleomenes, ingentem edens gemitum, ait : « O fatidice Apollo, sane magnopere me decepisti, quum Argos me capturum diceres. Suspicor enim, exisse mihi id vaticinium. »

LXXXI. Post hæc, majore exercitus parte Spartam dimissa, ipse cum mille fortissimis ad Junonis templum se contulit, sacra facturus. Quum autem in eo esset ut super ara sacrificaret, vetuit eum sacerdos, nefas esse dicens peregrino sacra ibi facere. (2) At Cleomenes, jussis Helotis abductum ab ara sacerdotem flagris cædere, ipse sacra fecit; eoque facto Spartam abiit.

LXXXII. Quo ubi rediit, inimici eum apud ephoros reum egerunt; dicentes, pecunia corruptum Argos non

τὸ Ἄργος, παρεὸν εὐπετέως μιν ἑλέειν. (2) Ὁ δέ σφι ἔλεξε, οὔτε εἰ ψευδόμενος οὔτε εἰ ἀληθέα λέγων, ἔχω σαφηνέως εἰπαι, ἔλεξε δ' ὧν φάμενος, ἐπείτε δὴ τὸ τοῦ Ἄργου ἱρὸν εἶλε, δοκέειν οἱ ἐξεληλυθέναι τὸν χρησμὸν τοῦ θεοῦ· πρὸς ὧν ταῦτα οὐ δικαιοῦν πειρᾶν τῆς πόλιος, πρίν γε δὴ ἱροῖσι χρήσηται καὶ μάθῃ εἴτε οἱ ὁ θεὸς παραδιδοῖ εἴτε οἱ ἐμποδὼν ἕστηκε· (3) καλλιρευμένῳ δὲ ἐν τῷ Ἡραίῳ ἐκ τοῦ ἀγάλματος τῶν στηθέων φλόγα πυρὸς ἐκλάμψαι, μαθέειν δὲ αὐτὸς οὕτω τὴν ἀτρέκειαν, ὅτι οὐκ αἱρέει τὸ Ἄργος· εἰ μὲν γὰρ ἐκ τῆς κεφαλῆς τοῦ ἀγάλματος ἐξέλαμψε, αἱρέειν ἂν κατ' ἄκρης τὴν πόλιν, ἐκ τῶν στηθέων δὲ λάμψαντος πᾶν οἱ πεποιῆσθαι ὅσον ὁ θεὸς ἐβούλετο γενέσθαι. (4) Ταῦτα δὲ λέγων πιστά τε καὶ οἰκότα ἐδόκεε Σπαρτιήτῃσι λέγειν, καὶ ἀπέφυγε πολλὸν τοὺς διώκοντας.

LXXXIII. Ἄργος δὲ ἀνδρῶν ἐχηρώθη οὕτω ὥστε οἱ δοῦλοι αὐτῶν ἔσχον πάντα τὰ πρήγματα ἄρχοντές τε καὶ διέποντες, ἐς ὃ ἐπήβησαν οἱ τῶν ἀπολομένων παῖδες. Ἐπειτέν σφεας οὗτοι ἀνακτεώμενοι ὀπίσω ἐς ἑωυτοὺς τὸ Ἄργος ἐξέβαλον· ἐξωθεύμενοι δὲ οἱ δοῦλοι μάχῃ ἔσχον Τίρυνθα. (2) Τέως μὲν δή σφι ἦν ἀρθμια ἐς ἀλλήλους, ἐπειτεν δὲ ἐς τοὺς δούλους ἦλθε ἀνὴρ μάντις Κλέανδρος, γένος ἐὼν Φιγαλεὺς ἀπ' Ἀρκαδίης· οὗτος τοὺς δούλους ἀνέγνωσε ἐπιθέσθαι τοῖσι δεσπότῃσι. Ἐκ τούτου δὲ πόλεμός σφι ἦν ἐπὶ χρόνον συχνόν, ἐς ὃ δὴ μόγις οἱ Ἀργεῖοι ἐπεκράτησαν.

LXXXIV. Ἀργεῖοι μέν νυν διὰ ταῦτα Κλεομένεά φασι μανέντα ἀπολέσθαι κακῶς· αὐτοὶ δὲ Σπαρτιῆταί φασι ἐκ δαιμονίου μὲν οὐδενὸς μανῆναι Κλεομένεα, Σκύθῃσι δὲ ὁμιλήσαντά μιν ἀκρητοπότην γενέσθαι καὶ ἐκ τούτου μανῆναι. (2) Σκύθας γὰρ τοὺς νομάδας, ἐπείτε σφι Δαρεῖον ἐσβαλέειν ἐς τὴν χώρην, μετὰ ταῦτα μεμονέναι μιν τίσασθαι, πέμψαντας δὲ ἐς Σπάρτην συμμαχίην τε ποιέεσθαι, καὶ συντίθεσθαι ὡς χρεὼν εἴη αὐτοὺς μὲν τοὺς Σκύθας παρὰ Φᾶσιν ποταμὸν πειρᾶν ἐς τὴν Μηδικὴν ἐσβαλέειν, σφέας δὲ τοὺς Σπαρτιήτας κελεύειν ἐξ Ἐφέσου ὁρμεωμένους ἀναβαίνειν καὶ ἔπειτεν ἐς τὠυτὸ ἀπαντᾶν. (3) Κλεομένεα δὲ λέγουσι ἡκόντων τῶν Σκυθέων ἐπὶ ταῦτα ὁμιλέειν σφι μεζόνως, ὁμιλέοντα δὲ μᾶλλον τοῦ ἰκνευμένου μαθέειν τὴν ἀκρητοποσίην παρ' αὐτῶν· ἐκ τούτου δὲ μανῆναί μιν νομίζουσι Σπαρτιῆται. (4) Ἔκ τε τοῦ, ὡς αὐτοὶ λέγουσι, ἐπεὰν ζωρότερον βούλωνται πιέειν, « ἐπισκύθισον » λέγουσι. Οὕτω δὴ Σπαρτιῆται τὰ περὶ Κλεομένεα λέγουσι· ἐμοὶ δὲ δοκέει τίσιν ταύτην ὁ Κλεομένης Δημαρήτῳ ἐκτῖσαι.

LXXXV. Τελευτήσαντος δὲ Κλεομένεος, ὡς ἐπύθοντο Αἰγινῆται, ἔπεμπον ἐς Σπάρτην ἀγγέλους καταβωσομένους Λευτυχίδεω περὶ τῶν ἐν Ἀθήνῃσι ὁμήρων ἐχομένων. Λακεδαιμόνιοι δὲ δικαστήριον συναγαγόντες ἔγνωσαν περιυβρίσθαι Αἰγινήτας ὑπὸ Λευτυχίδεω, καί μιν κατέκριναν ἔκδοτον ἄγεσθαι ἐς Αἴγιναν ἀντὶ τῶν ἐν Ἀθήνῃσι ἐχομένων ἀνδρῶν. (2) Μελλόντων δὲ ἄγειν τῶν Αἰγινητέων τὸν Λευτυχίδεα, εἶπέ σφι

cepisse, quum capere facile potuisset. (2) At ille respondit; verumne dicens, an mentiens, definire nequeo; respondit certe, postquam lucum Argo sacrum cepisset, visum sibi esse exisse effatum dei : quare non tentandam sibi existimasse urbem, quin prius sacris factis cognovisset, utrum traditurus sibi eam deus esset, an impedimento futurus. (3) Litanti autem sibi in Junonis templo, ex simulacri pectore effulsisse ignis flammam : unde liquido se intellexisse, non capturum se esse Argos : nam, si ex capite simulacri effulsisset flamma, capturum se urbem cum arce fuisse; quum vero e pectore effulserit, perfecta a se esse omnia quæ fieri deus voluit. (4) Hæc dicens, credibilia et consentanea dicere visus est Spartanis, et longe majore parte suffragiorum est absolutus.

LXXXIII. Urbs vero Argos ita viris viduata est, ut res illorum omnes penes servos essent, omnia gubernantes administrantesque, donec eorum filii, qui perierant, ad virilem pervenerunt ætatem. Tunc hi, Argos sibi rursus vindicantes, illos ejecerunt : et servi, urbe pulsi, prælio facto Tirynthem tenuere. (2) Deinde aliquamdiu pacatæ inter utrosque res fuere : sed postea venit ad servos vir fatidicus, nomine Cleander, genere Phigalensis Arcas; qui illis, ut denuo arma inferrent dominis, persuasit. Inde bellum illis exortum est, quod diu duravit, donec tandem ægre servos debellarunt Argivi.

LXXXIV. Argivi igitur ista de caussa aiunt in furorem actum Cleomenem misere periisse. At ipsi Spartani contendunt, non a deo quopiam in furorem actum fuisse Cleomenem, sed ex consuetudine cum Scythis contraxisse merum bibendi morem, eaque de caussa in furorem incidisse. (2) Scythas enim Nomades, postquam terram ipsorum Darius bello invasisset, consilium deinde cepisse pœnas ab illo repetendi : itaque missis legatis societatem voluisse cum Spartanis contrahere, hac conditione, ut ipsi Scythæ juxta Phasin fluvium conarentur in Medicam terram irrumpere; Spartani vero, Epheso profecti, in superiorem Asiam contenderent, ac deinde utrique eodem in loco convenirent. (3) Cleomenem igitur, aiunt, quum Scythæ hanc ob caussam Spartam venissent, familiarius, quam par erat, cum illis conversantem, merum bibere ab eisdem didicisse; atque inde eum in furorem incidisse existimant Spartani. (4) Et ab illo tempore, aiunt, si quis meracius bibere cupit, dicere hunc famulo, « Scythico more infunde! » Hæc apud Spartanos de Cleomene fama est. Mihi vero Cleomenes videtur hanc pœnam Demarato dedisse.

LXXXV. Cognita Cleomenis morte, Æginetæ Spartam legatos miserunt, qui Leotychidem propter obsides Athenis retentos accusarent. Et Lacedæmonii, constituto judicio, pronunciarunt injuriose cum Æginetis Leotychidem egisse; eumque condemnarunt, ut illis dederetur, Æginam abducendus loco virorum Athenis detentorum. (2) Quum vero in eo essent Æginetæ ut abducerent Leotychidem, dixit

Θερσίδης ὁ Λεωπρέπεος, ἐὼν ἐν τῇ Σπάρτῃ δόκιμος ἀνήρ, « τί βούλεσθε ποιέειν, ἄνδρες Αἰγινῆται; τὸν βασιλέα τῶν Σπαρτιητέων ἔκδοτον γενόμενον ὑπὸ τῶν πολιητέων ἄγειν; εἰ νῦν ὀργῇ χρεώμενοι ἔγνωσαν οὕτω Σπαρτιῆται, ὄκως ἐξ ὑστέρης μή τι ὑμῖν, ἢν ταῦτα πρήσσητε, πανώλεθρον κακὸν ἐς τὴν χώρην ἐσβάλωσι. » (3) Ταῦτα ἀκούσαντες οἱ Αἰγινῆται ἔσχοντο τῆς ἀγωγῆς, ὁμολογίῃ δὲ ἐχρήσαντο τοιῇδε, ἐπισπόμενον Λευτυχίδεα ἐς Ἀθήνας ἀποδοῦναι Αἰγινήτῃσι τοὺς ἄνδρας.

LXXXVI. Ὡς δὲ ἀπικόμενος Λευτυχίδης ἐς τὰς Ἀθήνας ἀπαίτεε τὴν παρακαταθήκην, οἱ Ἀθηναῖοι προφάσιας εἶλκον οὐ βουλόμενοι ἀποδοῦναι, φάντες δύο σφέας ἐόντας βασιλέας παραθέσθαι καὶ οὐ δικαιοῦν τῷ ἑτέρῳ ἄνευ τοῦ ἑτέρου ἀποδιδόναι. (2) Οὐ φαμένων δὲ ἀποδώσειν τῶν Ἀθηναίων ἔλεξέ σφι Λευτυχίδης τάδε, « ὦ Ἀθηναῖοι, ποιέετε μὲν ὁκότερα βούλεσθε αὐτοί· καὶ γὰρ ἀποδιδόντες ποιέετε ὅσια, καὶ μὴ ἀποδιδόντες τὰ ἐναντία τούτων· ὁκοῖον μέντοι τι ἐν τῇ Σπάρτῃ συνηνείχθη γενέσθαι περὶ παρακαταθήκης, βούλομαι ὑμῖν εἶπαι. (3) Λέγομεν ἡμεῖς οἱ Σπαρτιῆται γενέσθαι ἐν τῇ Λακεδαίμονι κατὰ τρίτην γενεὴν τὴν ἀπ' ἐμέο Γλαῦκον Ἐπικύδεος παῖδα. Τοῦτον τὸν ἄνδρα φαμὲν τά τε ἄλλα πάντα περιήκειν τὰ πρῶτα, καὶ δὴ καὶ ἀκούειν ἄριστα δικαιοσύνης πέρι πάντων ὅσοι τὴν Λακεδαίμονα τοῦτον τὸν χρόνον οἴκεον. (4) Συνενειχθῆναι δέ οἱ ἐν χρόνῳ ἱκνευμένῳ τάδε λέγομεν, ἄνδρα Μιλήσιον ἀπικόμενον ἐς Σπάρτην βούλεσθαί οἱ ἐλθεῖν ἐς λόγους, προϊσχόμενον τοιάδε, 'Εἰμὶ μὲν Μιλήσιος, ἥκω δὲ τῆς σῆς, Γλαῦκε, δικαιοσύνης βουλόμενος ἀπολαῦσαι. (5) Ὡς γὰρ δὴ ἀνὰ πᾶσαν μὲν τὴν ἄλλην Ἑλλάδα, ἐν δὲ καὶ περὶ Ἰωνίην τῆς σῆς δικαιοσύνης ἦν λόγος πολλὸς, ἐμεωυτῷ λόγους ἐδίδουν καὶ ὅτι ἐπικίνδυνός ἐστι αἰεί κοτε ἡ Ἰωνίη, ἡ δὲ Πελοπόννησος ἀσφαλέως ἱδρυμένη, καὶ διότι χρήματα οὐδαμὰ τοὺς αὐτοὺς ἔστι ὁρᾶν ἔχοντας. (6) Ταῦτά τε ὧν ἐπιλεγομένῳ καὶ βουλευομένῳ ἔδοξέ μοι τὰ ἡμίσεα πάσης τῆς οὐσίης ἐξαργυρώσαντα θέσθαι παρὰ σὲ, εὖ ἐξεπισταμένῳ ὡς μοι κείμενα ἔσται παρὰ σοὶ σόα. Σὺ δή μοι καὶ τὰ χρήματα δέξαι καὶ τάδε τὰ σύμβολα σῶζε λαβών· ὃς δ' ἂν ἔχων ταῦτα ἀπαιτέῃ, τούτῳ ἀποδοῦναι.' (II.) Ὁ μὲν δὴ ἀπὸ Μιλήτου ἥκων ξεῖνος τοσαῦτα ἔλεξε, Γλαῦκος δὲ ἐδέξατο τὴν παρακαταθήκην ἐπὶ τῷ εἰρημένῳ λόγῳ. (7) Χρόνου δὲ πολλοῦ διελθόντος ἦλθον ἐς τὴν Σπάρτην τούτου τοῦ παραθεμένου τὰ χρήματα οἱ παῖδες, ἐλθόντες δὲ ἐς λόγους τῷ Γλαύκῳ καὶ ἀποδεικνύντες τὰ σύμβολα ἀπαίτεον τὰ χρήματα. Ὁ δὲ ὠωθέετο ἀντυποκρινόμενος τοιάδε, 'οὔτε μέμνημαι τὸ πρῆγμα, οὔτε με περιφέρει οὐδὲν εἰδέναι τούτων τῶν ὑμεῖς λέγετε, βούλομαί τε ἀναμνησθεὶς ποιέειν πᾶν τὸ δίκαιον· καὶ γὰρ εἰ ἔλαβον, ὀρθῶς ἀποδοῦναι, καὶ εἴ γε ἀρχὴν μὴ ἔλαβον, νόμοισι τοῖσι Ἑλλήνων χρήσομαι ἐς ὑμέας. (8) Ταῦτα ὦν ὑμῖν ἀναβάλλομαι κυρώσειν ἐς τέταρτον μῆνα ἀπὸ τοῦδε.' (III.)

eis Theasides, Laoprepis filius, vir Spartæ spectatus: « Quid facturi estis, viri Æginetæ? regem Spartanorum, vobis a civibus suis traditum, vultis abducere? Quodsi nunc iracunde cum illo agere decreverunt Spartani, videte ne iidem posthac, si hoc feceritis, exitiosum malum vestram in terram inferant. » (3) His auditis, abducere illum omiserunt Æginetæ, pactique cum eo sunt in hanc conditionem, ut una cum ipsis Athenas se conferret Leotychides, et Æginetis viros illos restitueret.

LXXXVI. Athenas postquam Leotychides pervenit, repetiitque depositum; tum vero tergiversari Athenienses, reddere nolentes; dicereque, a duobus regibus viros illos apud se depositos fuisse, nec sibi æquum videri, alteri eos reddere absque altero. (2) Ita quum se reddituros illos negarent Athenienses, hæc apud eos verba Leotychides fecit: « Facite, Athenienses, utrum volueritis ipsi: nam, si reddideritis, pie sancteque feceritis; si non reddideritis, contra. Verumtamen commemorare vobis volo, quale quid circa depositum acciderit Spartæ. (3) Dicimus nos Spartani, fuisse Lacedæmone, tertia ante me generatione, Glaucum Epicydis filium. Huic viro dicimus et omnia alia contigisse præcipua, et singulari justitiæ fama eumdem fuisse celebratum præ omnibus qui per id tempus Lacedæmonem habitabant. (4) Huic suo tempore hæc dicimus accidisse: virum Milesium venisse Spartam, illum convenire cupientem, et hæcce ei exponentem: Sum ego, inquit, civis Milesius, ad teque veni, Glauce, tua frui justitia cupiens. (5) Quandoquidem enim, ut per reliquam Græciam universam, ita et per Ioniam, eximia est fama tuæ justitiæ; reputavi mecum, in periculo semper versari Ioniam, Peloponnesum contra in tuto locatam, et numquam apud nos pecunias diu in ejusdem hominis possessione permanere. (6) Hæc apud me reputanti deliberantique visum est mihi, bonorum meorum dimidium, in pecuniam redactum, apud te deponere, bene gnaro apud te mihi salvum illud collocatum iri. Accipe igitur has pecunias meas, et has accipe servaque tesseras; quas qui secum ferens repetet pecunias, ei illas reddes. (II.) Hæc quum hospes dixisset Milesius, accepit Glaucus depositum prædicta conditione. (7) Multo vero interjecto tempore Spartam venere filii hujus hominis, qui illas deposuerat pecunias; qui quum convenissent Glaucum, exhibitis tesseris pecunias ab illo repetierunt. At ille recusans, hæc respondit: Non memini equidem hanc rem quam narratis, nec animum meum subit ulla ejus cogitatio. Volo autem, si quidem in memoriam revocavero, facere quod justum est: nam, si accepi, recte vobis restituam; si omnino non accepi, ex Græcorum legibus vobiscum agam. (8) Igitur in quartum ab hoc mensem vos rejicio, quo tempore hæc effecta vo-

Οἱ μὲν δὴ Μιλήσιοι συμφορὴν ποιεύμενοι ἀπαλλάσσοντο ὡς ἀπεστερημένοι τῶν χρημάτων, Γλαῦκος δὲ ἐπορεύετο ἐς Δελφοὺς χρησόμενος τῷ χρηστηρίῳ. (9) Ἐπειρωτέοντα δὲ αὐτὸν τὸ χρηστήριον εἰ ὅρκῳ τὰ χρήματα λήισηται, ἡ Πυθίη μετέρχεται τοισίδε τοῖσι ἔπεσι·

Γλαῦκ' Ἐπικυδείδη, τὸ μὲν αὐτίκα κέρδιον οὕτως,
ὅρκῳ νικῆσαι καὶ χρήματα λήϊσασθαι.
Ὄμνυ, ἐπεὶ θάνατός γε καὶ εὔορκον μένει ἄνδρα.
Ἀλλ' Ὅρκου παῖς ἐστιν ἀνώνυμος, οὐδ' ἐπι χεῖρες
οὐδὲ πόδες· κραιπνὸς δὲ μετέρχεται, εἰσόκε πᾶσαν
συμμάρψας ὀλέσῃ γενεὴν καὶ οἶκον ἅπαντα.
Ἀνδρὸς δ' εὐόρκου γενεὴ μετόπισθεν ἀμείνων.

Ταῦτα ἀκούσας ὁ Γλαῦκος συγγνώμην τὸν θεὸν παραιτέετο αὐτῷ σχεῖν τῶν ῥηθέντων. (10) Ἡ δὲ Πυθίη ἔφη τὸ πειρηθῆναι τοῦ θεοῦ καὶ τὸ ποιῆσαι ἴσον δύνασθαι. (IV.) Γλαῦκος μὲν δὴ μεταπεμψάμενος τοὺς Μιλησίους ξείνους ἀποδιδοῖ σφι τὰ χρήματα· τοῦ δὲ εἵνεκεν ὁ λόγος ὅδε, ὦ Ἀθηναῖοι, ὡρμήθη λέγεσθαι ἐς ὑμέας, εἰρήσεται. (11) Γλαύκου νῦν οὔτε τι ἀπόγονόν ἐστι οὐδὲν οὔτ' ἰστίη οὐδεμία νομιζομένη εἶναι Γλαύκου, ἐκτέτριπταί τε πρόρριζος ἐκ Σπάρτης. Οὕτω ἀγαθὸν μηδὲ διανοέεσθαι περὶ παρακαταθήκης ἄλλο γε ἢ ἀπαιτεόντων ἀποδιδόναι. » Λευτυχίδης μὲν εἶπας ταῦτα, ὡς οἱ οὐδὲ οὕτω ἐσήκουον οἱ Ἀθηναῖοι, ἀπαλλάσσετο.

LXXXVII. Οἱ δὲ Αἰγινῆται, πρὶν τῶν πρότερον ἀδικημάτων δοῦναι δίκας, τῶν ἐς Ἀθηναίους ὕβρισαν Θηβαίοισι χαριζόμενοι, ἐποίησαν τοιόνδε. (2) Μεμφόμενοι τοῖσι Ἀθηναίοισι καὶ ἀξιοῦντες ἀδικέεσθαι, ὡς τιμωρησόμενοι τοὺς Ἀθηναίους παρεσκευάζοντο. Καὶ ἦν γὰρ δὴ τοῖσι Ἀθηναίοισι πεντηρὶς ἐπὶ Σουνίῳ, λοχήσαντες ὦν τὴν θεωρίδα νέα εἷλον πλήρεα ἀνδρῶν τῶν πρώτων Ἀθηναίων, λαβόντες δὲ τοὺς ἄνδρας ἔδησαν.

LXXXVIII. Ἀθηναῖοι δὲ παθόντες ταῦτα πρὸς Αἰγινητέων οὐκέτι ἀνεβάλλοντο μὴ οὐ τὸ πᾶν μηχανήσασθαι ἐπ' Αἰγινήτῃσι. Καὶ ἦν γὰρ Νικόδρομος Κνοίθου καλεύμενος ἐν τῇ Αἰγίνῃ, ἀνὴρ δόκιμος, οὗτος μεμφόμενος μὲν τοῖσι Αἰγινήτῃσι προτέρην ἐωυτοῦ ἐξέλασιν ἐκ τῆς νήσου, μαθὼν δὲ τότε τοὺς Ἀθηναίους ἀναρτημένους ἔρδειν Αἰγινήτας κακῶς, συντίθεται Ἀθηναίοισι προδοσίην Αἰγίνης, φράσας ἐν τῇ ἡμέρῃ ἐπιχειρήσει, καὶ ἐκείνους ἐς τὴν ἧκειν δεήσει βωθέοντας. Μετὰ ταῦτα καταλαμβάνει μὲν κατὰ συνθήκατο ὁ Νικόδρομος Ἀθηναίοισι τὴν παλαιὴν καλευμένην πολιν.

LXXXIX. Ἀθηναῖοι δὲ οὐ παραγίνονται ἐς δέον· οὐ γὰρ ἔτυχον ἐοῦσαι νέες σφι ἀξιόμαχοι τῇσι Αἰγινητέων συμβαλέειν· ἐν ᾧ ὦν Κορινθίων ἐδέοντο χρῆσαί σφι νέας, ἐν τούτῳ διεφθάρη τὰ πρήγματα. (2) Οἱ δὲ Κορίνθιοι, ἔσαν γάρ σφι τοῦτον τὸν χρόνον φίλοι ἐς τὰ μάλιστα, Ἀθηναίοισι διδοῦσι δεομένοισι εἴκοσι νέας, διδοῦσι δὲ πενταδράχμους ἀποδόμενοι· δωτίνην γὰρ ἐν τῷ νόμῳ οὐκ ἐξῆν δοῦναι. (3) Ταύτας τε δὴ λαβόντες

bis dabo. (III.) Lamentantes discedunt Milesii, tamquam defraudati pecuniis. Glaucus vero, Delphos profectus, consulit oraculum, (9) quæritque ex illo, an interposito jurejurando pecuniam prædaretur. Quem his verbis Pythia adgreditur :

Glauce Epicydide! sane expedit ad breve tempus
jurando vicisse, intervertisseque nummos.
Jura : jurandi memorem quoque mors quia tollit.
At juramento quædam est sine nomine proles,
trunca manus, et trunca pedes; tamen impete magno
advenit, atque omnem vastat stirpemque domumque.
Sancti vero hominis florebit sera propago.

His auditis, deum oravit Glaucus, ut veniam sibi eorum quæ dixisset daret. (10) At Pythia respondit, perinde esse, tentare deum, atque rem ipsam peragere. (IV.) Tunc igitur Glaucus quidem hospites arcessivit Milesios, et pecunias illis reddidit. Cujus vero rei caussa hunc ad vos, Athenienses, sermonem facere adgressus sim, dicam. (11) Glauci hujus nulla hodie propago superest, nec domus ulla quæ Glauci fuisse existimetur : a stirpe enim excisus e Sparta est. Adeo expedit, de deposito nihil aliud ne cogitare quidem, nisi ut repetentibus reddas. ». His dictis Leotychides, quum ne sic quidem morem ei gererent Athenienses, discessit.

LXXXVII. Æginetæ, priusquam superiorum injuriarum, quas Thebanorum in gratiam intulerant Atheniensibus, pœnas darent, hoc etiam admiserant (2) Succensentes Atheniensibus, a quibus injuria se adfectos arbitrabantur, ad ulciscendos eos se compararunt : et quum Athenienses sacra quinquennalia ad Sunium celebrarent, navi qua theori vehebantur insidiati sunt, et repletam viris primariis Atheniensium ceperunt, captosque in vincula conjecerunt.

LXXXVIII. Hæc ab Æginetis passi Athenienses non ultra differendum putarunt, quin adversos illos, quidquid possent, machinarentur. Erat tunc in Ægina vir spectatus, Nicodromus nomine, Cnœthi filius, infensus Æginetis quod ab illis olim insula pulsus fuisset : hic ubi intellexit Athenienses ad male faciendum Æginetis sese accingere, proditionem Æginæ cum illis paciscitur, certum diem constituens, quo et ipse rem adgressurus sit, et illos oporteat præsidio sibi adesse. His ita constitutis, Nicodromus, ut ei cum Atheniensibus convenerat, veterem quam vocant urbem occupat.

LXXXIX. Sed Athenienses ad constitutum diem non adfuerunt. Etenim navium numerus tunc maxime non ad manus illis fuerat idoneus ad pugnam cum Æginetis ineundam : et, dum a Corinthiis naves sibi commodandas petunt, interim perdita res est. (2) Corinthii, quum per id tempus quammaxime amici essent Atheniensium, rogantibus illis triginta dedere naves, dederunt autem quinis drachmis eas commodantes; nam gratis dare per legem non erat licitum.

οἱ Ἀθηναῖοι καὶ τὰς σφετέρας, πληρώσαντες ἑβδομήκοντα νέας τὰς ἁπάσας, ἔπλωον ἐπὶ τὴν Αἴγιναν καὶ ὑστέρησαν ἡμέρῃ μιῇ τῆς συγκειμένης.

XC. Νικόδρομος δὲ, ὡς οἱ Ἀθηναῖοι ἐς τὸν καιρὸν οὐ παρεγίνοντο, ἐς πλοῖον ἐσβὰς ἐκδιδρήσκει ἐκ τῆς Αἰγίνης· σὺν δέ οἱ καὶ ἄλλοι ἐκ τῶν Αἰγινητέων ἕσποντο, τοῖσι Ἀθηναῖοι Σούνιον οἰκῆσαι ἔδοσαν. Ἐνθεῦτεν δὲ οὗτοι ὁρμεώμενοι ἔφερόν τε καὶ ἦγον τοὺς ἐν τῇ νήσῳ Αἰγινήτας. Ταῦτα μὲν δὴ ὕστερον ἐγίνετο.

XCI. Αἰγινητέων δὲ οἱ παχέες ἐπαναστάντος τοῦ δήμου σφι ἅμα Νικοδρόμῳ ἐπεκράτησαν, καὶ ἐπειτέν σφεας χειρωσάμενοι ἐξῆγον ἀπολέοντες. Ἀπὸ τούτου δὲ καὶ ἄγος σφι ἐγένετο, τὸ ἐκθύσασθαι οὐκ οἷοί τε ἐγίνοντο ἐπιμηχανεώμενοι, ἀλλ' ἔφθησαν ἐκπεσόντες πρότερον ἐκ τῆς νήσου ἢ σφι ἵλεων γενέσθαι τὴν θεόν. (2) Ἑπτακοσίους γὰρ δὴ τοῦ δήμου ζωγρήσαντες ἐξῆγον ὡς ἀπολέοντες, εἷς δέ τις τούτων ἐκφυγὼν τὰ δεσμὰ καταφεύγει πρὸς πρόθυρα Δήμητρος θεσμοφόρου, ἐπιλαβόμενος δὲ τῶν ἐπισπαστήρων εἶχετο, οἱ δὲ ἐπείτε μιν ἀποσπάσαι οὐκ οἷοί τε ἀπέλκοντες ἐγίνοντο, ἀποκόψαντες αὐτοῦ τὰς χεῖρας ἦγον οὕτω, χεῖρες δὲ ἐκεῖναι ἐμπεφυκυῖαι ἔσαν τοῖσι ἐπισπαστῆρσι.

XCII. Ταῦτα μέν νυν σφέας αὐτοὺς οἱ Αἰγινῆται ἐργάσαντο, Ἀθηναίοισι δὲ ἥκουσι ἐναυμάχησαν νηυσὶ ἑβδομήκοντα, ἐσσωθέντες δὲ τῇ ναυμαχίῃ ἐπεκαλεῦντο τοὺς αὐτοὺς καὶ πρότερον, Ἀργείους. Καὶ δή σφι οὗτοι μὲν οὐκέτι βωθέουσι, μεμφόμενοι ὅτι Αἰγιναῖαι νέες ἀνάγκῃ λαμφθεῖσαι ὑπὸ Κλεομένεος ἔσχον τε ἐς τὴν Ἀργολίδα χώρην καὶ συναπέβησαν Λακεδαιμονίοισι. (2) Συναπέβησαν δὲ καὶ ἀπὸ Σικυωνίων νεῶν ἄνδρες τῇ αὐτῇ ταύτῃ ἐσβολῇ. Καί σφι ὑπ' Ἀργείων ἐπεβλήθη ζημίη, χίλια τάλαντα ἐκτῖσαι, πεντακόσια ἑκατέρους. (3) Σικυώνιοι μέν νυν συγγνόντες ἀδικῆσαι, ὡμολόγησαν ἑκατὸν τάλαντα ἐκτίσαντες ἀζήμιοι εἶναι, Αἰγινῆται δὲ οὔτε συνεγινώσκοντο ἔσαν τε αὐθαδέστεροι. Διὰ δὴ ταῦτα δεομένοισι ἀπὸ μὲν τοῦ δημοσίου οὐδεὶς Ἀργείων ἔτι ἐβώθεε, ἐθελονταὶ δὲ ἐς χιλίους· ἦγε δὲ αὐτοὺς στρατηγὸς Εὐρυβάτης, πεντάεθλον ἐπασκήσας. (4) Τούτων οἱ πλεῦνες οὐκ ἀπενόστησαν ὀπίσω, ἀλλ' ἐτελεύτησαν ὑπ' Ἀθηναίων ἐν Αἰγίνῃ· αὐτὸς δὲ ὁ στρατηγὸς Εὐρυβάτης μουνομαχίην ἐπασκέων τρεῖς μὲν ἄνδρας τρόπῳ τοιούτῳ κτείνει, ὑπὸ δὲ τοῦ τετάρτου Σωφάνεος τοῦ Δεκελέος ἀποθνήσκει.

XCIII. Αἰγινῆται δὲ ἐοῦσι ἀτάκτοισι Ἀθηναίοισι συμβαλόντες τῇσι νηυσὶ ἐνίκησαν, καί σφεων νέας τέσσερας αὐτοῖσι ἀνδράσι εἷλον. Ἀθηναίοισι μὲν δὴ πόλεμος συνῆπτο πρὸς Αἰγινήτας.

XCIV. Ὁ δὲ Πέρσης τὸ ἑωυτοῦ ἐποίεε ὥστε ἀναμιμνήσκοντός τε αἰεὶ τοῦ θεράποντος μεμνῆσθαί μιν τῶν Ἀθηναίων, καὶ Πεισιστρατιδέων προσκατημένων καὶ διαβαλλόντων Ἀθηναίους, ἅμα δὲ βουλόμενος ὁ Δαρεῖος ταύτῃ ἐχόμενος τῆς προφάσιος καταστρέφεσθαι τῆς Ἑλλάδος τοὺς μὴ δόντας αὐτῷ γῆν τε καὶ ὕδωρ. (2) Μαρδόνιον μὲν δὴ φλαύρως πρήξαντα τῷ στόλῳ παρα-

(3) His igitur acceptis navibus, adjectisque suis, septuaginta omnino navibus instructis, adversus Æginam navigarunt: sed postridie ejus diei, qui constitutus erat, advenerunt.

XC. Nicodromus, ut ad diem non adfuerunt Athenienses, conscensa navi ex Ægina profugit, eumque alii etiam ex Æginetis sunt secuti; quibus Athenienses Sunium habitandum dedere: unde illi impetum facientes, res Æginetarum, qui in insula erant, agebant ferebantque. Sed hoc quidem postero tempore factum.

XCI. Tunc vero, qui opibus inter Æginetas valebant, superata plebe quæ cum Nicodromo insurrexerat, hos qui in ipsorum venerant potestatem, ad sumendum de eis supplicium eduxerunt. Quo tempore etiam piaculum admisere, quod nulla ratione nullisque sacrificiis potuerunt expiare, sed prius insula exciderunt, quam propitia illis reddita dea est. (2) Nam, quum captos septingentos ex plebe ad supplicium educerent, unus eorum, e vinculis elapsus, ad vestibulum confugit Cereris Legiferæ, et prehensos annulos, quibus attrahitur porta, firmiter tenuit. Tum vero illi, quum abstrahere hominem non valerent, manus ei præciderunt, atque ita eduxerunt: et manus illæ annulis firmiter inhærebant.

XCII. Hæc in se invicem Æginetæ patrabant. Superati vero pugna navali ab Atheniensibus, qui cum septuaginta advenerant navibus, auxilium petierunt ab eisdem quos olim invocaverant, Argivis. At hi quidem jam auxilio non venerunt, quippe offensi eo quod naves Æginenses, vi quidem coactæ a Cleomene, ad Argolidem adpulerant terram, et Æginetæ una cum Lacedæmoniis exscensionem fecerant. (2) In eadem autem incursione simul etiam Sicyonii suis e navibus exscenderant. Quare ambobus Argivi multam irrogarunt, mille talenta, utrique populo quingenta. (3) Et Sicyonii quidem, agnoscentes injuste se fecisse, pacti sunt cum Argivis, ut, solutis centum talentis, reliqua summa ipsis remitteretur: Æginetæ vero culpam non agnoscentes, pertinaciter detrectaverunt mulctam. Quam ob causam nunc illis, auxilia rogantibus, publico nomine nulla ab Argivis missa sunt, sed voluntarii eis suppetias venere mille admodum; quibus dux præfuit vir strenuus, nomine Eurybates, qui quinquertium exercuerat. (4) Eorum autem plerique non redierunt, sed ab Atheniensibus in Ægina sunt interfecti: in his dux Eurybates, postquam singulari certamine tres occidisset adversarios, ipse a quarto, Sophane Deceliensi, interfectus est.

XCIII. Æginetæ vero, suis navibus Athenienses incompositos adorti, superarunt illos, et quattuor naves eorum cum ipsis viris ceperunt. Ita factum est ut bellum gereretur Athenienses inter et Æginetas.

XCIV. Interim Persa suum persecutus est institutum. Nam et famulus eum semper admonebat, ut reminisceretur Atheniensium, et Pisistratidæ instabant et calumniabantur Athenienses: simul vero ipse Darius cupiebat, arrepta hac occasione, illos e Græcis subigere, qui terram et aquam ipsi non dedissent. (2) Itaque, Mardonio ab imperio remoto, qui cum classe male rem gesserat, alios nominavit im-

λύει τῆς στρατηγίης, ἄλλους δὲ στρατηγοὺς ἀποδέξας ἀπέστελλε ἐπί τε Ἐρέτριαν καὶ Ἀθήνας, Δᾶτίν τε ἐόντα Μῆδον γένος καὶ Ἀρταφέρνεα τὸν Ἀρταφέρνεος παῖδα, ἀδελφιδέον ἑωυτοῦ· ἐντειλάμενος δὲ ἀπέπεμπε ἐξανδραποδίσαντας Ἀθήνας καὶ Ἐρέτριαν ἀγαγεῖν ἑωυτῷ ἐς ὄψιν τὰ ἀνδράποδα.

XCV. Ὡς δὲ οἱ στρατηγοὶ οὗτοι οἱ ἀποδεχθέντες πορευόμενοι παρὰ βασιλέος ἀπίκοντο τῆς Κιλικίης ἐς τὸ Ἀλήϊον πεδίον, ἅμα ἀγόμενοι πεζὸν στρατὸν πολλόν τε καὶ εὖ ἐσκευασμένον, ἐνθαῦτα στρατοπεδευομένοισι ἐπῆλθε μὲν ὁ ναυτικὸς πᾶς στρατὸς ὁ ἐπιταχθεὶς ἑκάστοισι, παρεγένοντο δὲ καὶ αἱ ἱππαγωγοὶ νέες, τὰς τῷ προτέρῳ ἔτεϊ προεῖπε τοῖσι ἑωυτοῦ διασμοφόροισι Δαρεῖος ἑτοιμάζειν. (2) Ἐσβαλόμενοι δὲ τοὺς ἵππους ἐς ταύτας, καὶ τὸν πεζὸν στρατὸν ἐσβιβάσαντες ἐς τὰς νέας, ἔπλωον ἑξακοσίῃσι τριήρεσι ἐς τὴν Ἰωνίην. Ἐνθεῦτεν δὲ οὐ παρὰ τὴν ἤπειρον εἶχον τὰς νέας ἰθὺ τοῦ τε Ἑλλησπόντου καὶ τῆς Θρηίκης, ἀλλ' ἐκ Σάμου ὁρμεώμενοι παρά τε Ἰκάριον καὶ διὰ νήσων τὸν πλόον ἐποιεῦντο, (3) ὡς μὲν ἐμοὶ δοκέειν, δείσαντες μάλιστα τὸν περίπλοον τοῦ Ἄθω, ὅτι τῷ προτέρῳ ἔτεϊ ποιεύμενοι ταύτῃ τὴν κομιδὴν μεγάλως προσέπταισαν· πρὸς δὲ καὶ ἡ Νάξος σφέας ἠνάγκαζε, πρότερον οὐκ ἁλοῦσα.

XCVI. Ἐπεὶ δὲ ἐκ τοῦ Ἰκαρίου πελάγεος προσφερόμενοι προσέμιξαν τῇ Νάξῳ (ἐπὶ ταύτην γὰρ δὴ πρώτην ἐπεῖχον στρατεύεσθαι οἱ Πέρσαι), μεμνημένοι τῶν πρότερον οἱ Νάξιοι πρὸς τὰ οὔρεα οἴχοντο φεύγοντες οὐδὲ ὑπέμειναν. (2) Οἱ δὲ Πέρσαι ἀνδραποδισάμενοι τοὺς κατέλαβον αὐτῶν, ἐνέπρησαν καὶ τὰ ἱρὰ καὶ τὴν πόλιν. Ταῦτα δὲ ποιήσαντες ἐπὶ τὰς ἄλλας νήσους ἀνήγοντο.

XCVII. Ἐν ᾧ δὲ οὗτοι ταῦτα ἐποίευν, οἱ Δήλιοι ἐκλιπόντες καὶ αὐτοὶ τὴν Δῆλον οἴχοντο φεύγοντες ἐς Τῆνον. Τῆς δὲ στρατιῆς καταπλωούσης ὁ Δᾶτις προπλώσας οὐκ ἔα τὰς νέας πρὸς τὴν νῆσον προσορμίζεσθαι, ἀλλὰ πέρην ἐν τῇ Ῥηνέῃ· (2) αὐτὸς δὲ πυθόμενος ἵνα ἔσαν οἱ Δήλιοι, πέμπων κήρυκα ἠγόρευέ σφι τάδε, « ἄνδρες ἱροί, τί φεύγοντες οἴχεσθε, οὐκ ἐπιτήδεα καταγνόντες κατ' ἐμεῦ; ἐγὼ γὰρ καὶ αὐτὸς ἐπὶ τοσοῦτό γε φρονέω καί μοι ἐκ βασιλέος ὧδε ἐπέσταλται, ἐν τῇ χώρῃ οἱ δύο θεοὶ ἐγένοντο, ταύτην μηδὲν σίνεσθαι, μήτε αὐτὴν τὴν χώρην μήτε τοὺς οἰκήτορας αὐτῆς. (3) Νῦν ὦν καὶ ἅπιτε ἐπὶ τὰ ὑμέτερα αὐτῶν καὶ τὴν νῆσον νέμεσθε. » Ταῦτα μὲν ἐπεκηρυκεύσατο τοῖσι Δηλίοισι, μετὰ δὲ λιβανωτοῦ τριηκόσια τάλαντα κατανήσας ἐπὶ τοῦ βωμοῦ ἐθυμίησε.

XCVIII. Δᾶτις μὲν δὴ ταῦτα ποιήσας ἔπλωε ἅμα τῷ στρατῷ ἐπὶ τὴν Ἐρέτριαν πρῶτα, ἅμα ἀγόμενος καὶ Ἴωνας καὶ Αἰολέας. μετὰ δὲ τοῦτον ἐνθεῦτεν ἐξαναχθέντα Δῆλος ἐκινήθη, ὡς ἔλεγον Δήλιοι, καὶ πρῶτα καὶ ὕστατα μέχρι ἐμεῦ σεισθεῖσα· (2) Καὶ τοῦτο μέν κου τέρας ἀνθρώποισι τῶν μελλόντων ἔσεσθαι κακῶν ἔφηνε ὁ θεός. Ἐπὶ γὰρ Δαρείου τοῦ Ὑστάσπεος καὶ Ξέρξεω τοῦ Δαρείου καὶ Ἀρτοξέρξεω τοῦ Ξέρξεω, τριῶν

peratores, qui adversus Eretriam et Athenas proficiscerentur, Datin, Medum genere, et Artaphernem, Artaphernis fratris sui filium: quos misit dato mandato, ut Athenas Eretriamque sibi subjicerent, et capta inde mancipia in suum adducerent conspectum.

XCV. Hi nominati imperatores, quum a rege digressi in Aleium pervenissent campum Ciliciæ, exercitum pedestrem secum ducentes numerosum et bene instructum; ibi quum castra posuissent, accesserunt eis universæ copiæ navales, ut cuique populo imperatæ erant: accesseruntque etiam naves equis transvehendis, quas superiori anno Darius suis tributariis edixerat parandas. (2) Equis in hippagines impositis, et omni pedestri exercitu naves conscendere jusso, sexcentis triremibus in Ioniam navigarunt. Inde vero non littus legentes recta versus Hellespontum et Thraciam direxerunt classem; sed Samo profecti, per Icarium mare et secundum insulas cursum tenuere; (3) metuentes maxime, ut mihi videtur, montis Atho circuitum, in quo circumnavigando superiori anno ingentem passi erant calamitatem: insuper vero etiam, ut hac irent, Naxus insula eos cogebat, quæ superiori tempore non erat subacta.

XCVI. Ubi per mare Icarium transvecti contra Naxum venere (hanc enim primam omnium adoriri in animo habebant Persæ), memores eorum quæ prius acciderant, Naxii non sustinentes hostem, procul abeuntes in montes confugerunt. (2) Persæ vero, in servitutem redactis quotquot illorum comprehendissent, et templa et urbem incenderunt. Quo facto, adversus reliquas insulas navigare pergebant.

XCVII. Qui dum id faciunt, Delii etiam, relicta insula, profugiunt Tenum. Datis autem, ubi in viciniam Deli cum exercitu pervenit, ipse navi sua prægressus, non passus est classem ad insulam adpellere, sed ad Rheneam ex adverso sitam: (2) et postquam cognovit quo se Delii recepissent, misso caduceatore, hæc eis edixit: « Quid fuga abitis, viri sancti, male de me, nec pro meo merito, judicantes? Ego enim et ipse in tantum certe sapio, et a rege hoc mihi mandatum est, ut, qua in terra hi duo dii nati sunt, eam nec ipsam lædam, nec ejus incolas. (3) Quare redite vestras ad sedes, et insulam habitate! » Hæc postquam per caduceatorem edixit, trecenta thuris talenta super aram congesta adolevit.

XCVIII. His rebus gestis, Datis cum exercitu primum adversus Eretriam navigavit, simul et Ionas et Æolenses secum ducens. Post illius autem ex hac regione digressum commota tremuit Delus; quod nec ante id tempus, ut aiunt Delii, nec post, ad meam usque ætatem, factum est. (2) Et hoc quidem prodigium edidit deus, quo imminentia hominibus mala significaret. Nam regnante Dario Hystaspis filio, et Xerxe Darii, et Artaxerxe Xerxis, per tres

τούτων ἐπεξῆς γενεέων, ἐγένετο πλέω κακὰ τῇ Ἑλλάδι ἢ ἐπὶ εἴκοσι ἄλλας γενεὰς τὰς πρὸ Δαρείου γενομένας, τὰ μὲν ἀπὸ τῶν Περσέων αὐτῇ γενόμενα, τὰ δὲ ἀπ' αὐτῶν τῶν κορυφαίων περὶ τῆς ἀρχῆς πολεμεόντων. (3) Οὕτω οὐδὲν ἦν ἀεικὲς κινηθῆναι Δῆλον τὸ πρὶν ἐοῦσαν ἀκίνητον· καὶ ἐν χρησμῷ ἦν γεγραμμένον περὶ αὐτῆς ὧδε,

Κινήσω καὶ Δῆλον ἀκίνητόν περ ἐοῦσαν.

Δύναται δὲ κατὰ Ἑλλάδα γλῶσσαν ταῦτα τὰ οὐνόματα, Δαρεῖος ἐρξίης, Ξέρξης ἀρηΐος, Ἀρτοξέρξης μέγας ἀρηΐος. Τούτους μὲν δὴ τοὺς βασιλέας ὧδε ἂν ὀρθῶς κατὰ γλῶσσαν τὴν σφετέρην Ἕλληνες καλέοιεν.

XCIX. Οἱ δὲ βάρβαροι ὡς ἀπῆραν ἐκ τῆς Δήλου, προσῖσχον πρὸς τὰς νήσους, ἐνθεῦτεν δὲ στρατιήν τε παρελάμβανον καὶ δμήρους τῶν νησιωτέων παῖδας ἐλάμβανον. (2) Ὡς δὲ περιπλώοντες τὰς νήσους προσέσχον καὶ ἐς Κάρυστον (οὐ γὰρ δή σφι οἱ Καρύστιοι οὔτε δμήρους ἐδίδοσαν οὔτε ἔφασαν ἐπὶ πόλις ἀστυγείτονας στρατεύεσθαι, λέγοντες Ἐρέτριάν τε καὶ Ἀθήνας), ἐνθαῦτα τούτους ἐπολιόρκεόν τε καὶ τὴν γῆν σφέων ἔκειρον, ἐς ὃ καὶ οἱ Καρύστιοι παρέστησαν ἐς τῶν Περσέων τὴν γνώμην.

C. Ἐρετριέες δὲ πυνθανόμενοι τὴν στρατιὴν τὴν Περσικὴν ἐπὶ σφέας ἐπιπλώουσαν Ἀθηναίων ἐδεήθησαν σφίσι βοηθοὺς γενέσθαι. Ἀθηναῖοι δὲ οὐκ ἀπείπαντο τὴν ἐπικουρίην, ἀλλὰ τοὺς τετρακισχιλίους κληρουχέοντας τῶν ἱπποβοτέων Χαλκιδέων τὴν χώρην, τούτους σφι διδοῦσι τιμωρούς. (2) Τῶν δὲ Ἐρετριέων ἦν ἄρα οὐδὲν ὑγιὲς βούλευμα, οἳ μετεπέμποντο μὲν Ἀθηναίους, ἐφρόνεον δὲ διφασίας ἰδέας· οἱ μὲν γὰρ αὐτῶν ἐβουλεύοντο ἐκλιπεῖν τὴν πόλιν ἐς τὰ ἄκρα τῆς Εὐβοίης, ἄλλοι δὲ αὐτῶν ἴδια κέρδεα προσδεκόμενοι παρὰ τοῦ Πέρσεω οἴσεσθαι προδοσίην ἐσκευάζοντο. (3) Μαθὼν δὲ τούτων ἑκάτερα ὡς εἶχε Αἰσχίνης ὁ Νόθωνος, ἐὼν τῶν Ἐρετριέων τὰ πρῶτα, φράζει τοῖσι ἥκουσι τῶν Ἀθηναίων πάντα τὰ παρεόντα σφι πρήγματα, προσεδέετό τε ἀπαλλάσσεσθαί σφεας ἐς τὴν σφετέρην, ἵνα μὴ προσαπόλωνται. Οἱ δὲ Ἀθηναῖοι ταῦτα Αἰσχίνῃ συμβουλεύσαντι πείθονται. Καὶ οὗτοι μὲν διαβάντες ἐς Ὠρωπὸν ἔσωζον σφέας αὐτούς.

CI. Οἱ δὲ Πέρσαι πλώοντες κατέσχον τὰς νέας τῆς Ἐρετρικῆς χώρης κατὰ Ταμύνας καὶ Χοιρέας καὶ Αἰγίλια, κατασχόντες δὲ ταῦτα τὰ χωρία αὐτίκα ἵππους τε ἐξεβάλλοντο καὶ παρεσκευάζοντο ὡς προσοισόμενοι τοῖσι ἐχθροῖσι. (2) Οἱ δὲ Ἐρετριέες ἐπεξελθεῖν μὲν καὶ μαχέσασθαι οὐκ ἐποιεῦντο βουλήν, εἴ κως δὲ διαφυλάξαιεν τὰ τείχεα, τούτου σφι ἔμελε πέρι, ἐπείτε ἐνίκα μὴ ἐκλιπεῖν τὴν πόλιν. (3) Προσβολῆς δὲ γινομένης καρτερῆς πρὸς τὸ τεῖχος ἔπιπτον ἐπὶ ἑξ ἡμέρας πολλοὶ μὲν ἀμφοτέρων· τῇ δὲ ἑβδόμῃ Εὔφορβός τε ὁ Ἀλκιμάχου καὶ Φίλαγρος ὁ Κυνέου, ἄνδρες τῶν ἀστῶν δόκιμοι, προδιδοῦσι τοῖσι Πέρσῃσι. (4) Οἱ δὲ ἐσελθόντες ἐς τὴν πόλιν τοῦτο μὲν τὰ ἱρὰ συλήσαντες ἐνέ-

has continuas generationes plura mala adflixerunt Græciam, quam per viginti alias generationes quæ ante Darium exstiterunt; alia quidem, a Persis illi illata; alia vero, ab ipsorum Græcorum coryphæis de principatu inter se bellum gerentibus. (3) Itaque non præter caussam commota est Delus, quum ad illum diem immota fuisset. Et in vaticinio de illa ita scriptum est:

Et Delum, quamvis sit adhuc immota, movebo.

Valent autem secundum Græcum sermonem nomina ista hocce: Darius, coercitor; Xerxes, bellator: Artaxerxes, magnus bellator. Hos igitur reges Græci sua lingua recte ita, ut dixi, nominaverint.

XCIX. Barbari, Delo profecti, navibus ad insulas adpellebant, et exercitum inde adsumebant, et insulanorum filios secum obsides abducebant. (2) Postquam vero, præternavigatis insulis, Carysto quoque appulerunt; quum nec obsides dedissent Carystii, et contra vicinas urbes (Eretriam et Athenas dicebant) se militaturos negassent: ibi tunc hos oppugnarunt, agrumque illorum evastarunt, donec etiam Carystii in deditionem venere Persarum.

C. Eretrienses autem, ubi cognoverunt sese peti a Persarum classe, Athenienses rogarunt ut auxilia sibi mitterent. Nec negarunt Athenienses opem, sed quater mille colonos illos, qui in opulentorum Chalcidensium prædia successerant, opem eis ferre jusserunt. (2) At in Eretriensibus sanum nullum erat consilium; qui Athenienses quidem auxilio vocaverant, ipsi vero in duas divisi erant sententias: nam aliis animus erat, relicta urbe in superiora Eubœæ loca se recipere; alii vero, privatum quæstum a Persis reportare sperantes, proditionem parabant. (3) Quorum utrorumque consilia cognita habens Æschines, Nothonis filius, primarius vir Eretriensium, advenientibus Atheniensibus præsentem rerum statum aperuit; eosque ut retrograderentur rogavit, ne simul cum Eretriensibus perirent. Et Athenienses, Æschinis sequentes consilium, Oropum transvecti, periculum evaserunt.

CI. Persæ, navibus ad Tamynas et Chœreas et Ægilia ditionis Eretriensium adpulsis, locis hisce potiti, protinus equis e navibus expositis, ad adgrediendum hostem sese compararunt. (2) Eretrienses vero de egrediendo et committenda pugna non cogitabant; sed muros, si possent, defendere, hoc unum illis curæ erat, quandoquidem vicerat sententia non relinquendam esse urbem. (3) Quum autem acriter oppugnaretur murus, intra sex dies multi ab utraque parte perierunt: septimo vero die Euphorbus Alcimachi filius et Philagrus Cyneæ, spectati inter cives viri, Persis Eretriam prodiderunt. (4) Et hi, urbem ingressi, templa spoliarunt

πρησαν, ἀποτινύμενοι τῶν ἐν Σάρδισι κατακαυθέντων ἱρῶν, τοῦτο δὲ τοὺς ἀνθρώπους ἠνδραποδίσαντο κατὰ τὰς Δαρείου ἐντολάς.

CII. Χειρωσάμενοι δὲ τὴν Ἐρέτριαν, καὶ ἐπισχόντες ὀλίγας ἡμέρας, ἔπλωον ἐς τὴν Ἀττικὴν κατέργοντές τε πολλὸν καὶ δοκέοντες ταὐτὰ τοὺς Ἀθηναίους ποιήσειν τὰ καὶ τοὺς Ἐρετριέας ἐποίησαν. (2) Καὶ ἦν γὰρ ὁ Μαραθὼν ἐπιτηδεώτατον χωρίον τῆς Ἀττικῆς ἐνιππεῦσαι καὶ ἀγχοτάτω τῆς Ἐρετρίης, ἐς τοῦτο σφι κατηγέετο Ἱππίης ὁ Πεισιστράτου.

CIII. Ἀθηναῖοι δὲ ὡς ἐπύθοντο ταῦτα, ἐβώθεον καὶ αὐτοὶ ἐς τὸν Μαραθῶνα. Ἦγον δὲ σφέας στρατηγοὶ δέκα, τῶν ὁ δέκατος ἦν Μιλτιάδης, τοῦ τὸν πατέρα Κίμωνα τὸν Στησαγόρεω κατέλαβε φυγέειν ἐξ Ἀθηνέων Πεισίστρατον τὸν Ἱπποκράτεος. (2) Καὶ αὐτῷ φεύγοντι Ὀλυμπιάδα ἀνελέσθαι τεθρίππῳ συνέβη, καὶ ταύτην μὲν τὴν νίκην ἀνελόμενόν μιν τὠυτὸ ἐξενείκασθαι τῷ ὁμομητρίῳ ἀδελφεῷ Μιλτιάδῃ. Μετὰ δὲ τῇ ὑστέρῃ Ὀλυμπιάδι τῇσι αὐτῇσι ἵπποισι νικῶν παραδοῖ Πεισιστράτῳ ἀνακηρυχθῆναι, καὶ τὴν νίκην παρεὶς τούτῳ κατῆλθε ἐπὶ τὰ ἑωυτοῦ ὑπάσπονδος. (3) Καί μιν ἀνελόμενον τῇσι αὐτῇσι ἵπποισι ἄλλην Ὀλυμπιάδα κατέλαβε ἀποθανέειν ὑπὸ τῶν Πεισιστράτου παίδων, οὐκέτι περιεόντος αὐτοῦ Πεισιστράτου· κτείνουσι δὲ οὗτοί μιν κατὰ τὸ πρυτανήϊον νυκτὸς ὑπείσαντες ἄνδρας. (4) Τέθαπται δὲ Κίμων πρὸ τοῦ ἄστεος, πέρην τῆς διὰ Κοίλης καλευμένης ὁδοῦ· καταντίον δ' αὐτοῦ αἱ ἵπποι τεθάφαται αὗται αἱ τρεῖς Ὀλυμπιάδας ἀνελόμεναι. Ἐποίησαν δὲ καὶ ἄλλαι ἵπποι ἤδη τὠυτὸ τοῦτο Εὐαγόρεω Λάκωνος, πλέω δὲ τούτων οὐδαμαί. (5) Ὁ μὲν δὴ πρεσβύτερος τῶν παίδων τῷ Κίμωνι Στησαγόρης ἦν τηνικαῦτα παρὰ τῷ πάτρῳ Μιλτιάδῃ τρεφόμενος ἐν τῇ Χερσονήσῳ, ὁ δὲ νεώτερος παρ' αὐτῷ Κίμωνι ἐν Ἀθήνῃσι, τὸ οὔνομα ἔχων ἀπὸ τοῦ οἰκιστέω τῆς Χερσονήσου Μιλτιάδεω Μιλτιάδης.

CIV. Οὗτος δὴ ὢν τότε ὁ Μιλτιάδης ἥκων ἐκ τῆς Χερσονήστου καὶ ἐκπεφευγὼς διπλόον θάνατον ἐστρατήγεε Ἀθηναίων. Ἅμα μὲν γὰρ οἱ Φοίνικες αὐτὸν οἱ ἐπιδιώξαντες μέχρι Ἴμβρου περὶ πολλοῦ ἐποιεῦντο λαβέειν τε καὶ ἀναγαγεῖν παρὰ βασιλέα· (2) ἅμα δὲ ἐκφυγόντα τε τούτους καὶ ἀπικόμενον ἐς τὴν ἑωυτοῦ δοκέοντά τε εἶναι ἐν σωτηρίῃ ἤδη, τὸ ἐνθεῦτέν μιν οἱ ἐχθροὶ ὑποδεξάμενοι καὶ ὑπὸ δικαστήριον αὐτὸν ἀγαγόντες ἐδίωξαν τυραννίδος τῆς ἐν Χερσονήσῳ. Ἀποφυγὼν δὲ καὶ τούτους στρατηγὸς οὕτω Ἀθηναίων ἀπεδέχθη, αἱρεθεὶς ὑπὸ τοῦ δήμου.

CV. Καὶ πρῶτα μὲν ἐόντες ἔτι ἐν τῷ ἄστεϊ οἱ στρατηγοὶ ἀποπέμπουσι ἐς Σπάρτην κήρυκα Φειδιππίδην Ἀθηναῖον μὲν ἄνδρα, ἄλλως δὲ ἡμεροδρόμον τε καὶ τοῦτο μελετέοντα· τῷ δὴ, ὡς αὐτός τε ἔλεγε Φειδιππίδης καὶ Ἀθηναίοισι ἀπήγγελλε, περὶ τὸ Παρθένιον οὖρος τὸ ὑπὲρ Τεγέης ὁ Πὰν περιπίπτει. (2) Βώσαντα δὲ τὸ οὔνομα τοῦ Φειδιππίδεω τὸν Πᾶνα Ἀθηναίοισι κελεῦσαι ἀπαγγεῖλαι, διότι ἑωυτοῦ οὐδεμίαν ἐπιμέλειαν

incenderuntque, pœnam hanc repetentes ob templa Sardibus cremata; homines autem, ut jusserat Darius, in servitutem abstraxerunt.

CII. Subacta Eretria, Persæ, paucorum dierum interposita mora, in Atticam navigarunt, magnas in angustias adducentes Athenienses, cogitantesque eodem modo cum illis agere atque cum Eretriensibus egissent. (2) Quumque Marathon esset totius Atticæ maxime opportunus equitibus locus, et proximus ab Eretria, in hunc campum illos deduxit Hippias, Pisistrati filius.

CIII. Qua re cognita, Athenienses etiam ipsi Marathona obviam hostibus egressi sunt. Duxerunt autem illos decem imperatores; quorum decimus Miltiades erat, is cujus patri Cimoni, Stesagoræ filio, acciderat, ut a Pisistrato, Hippocratis filio, Athenis in exsilium pelleretur. (2) Eidemque contigerat, ut exsul victoriam Olympiæ reportaret quadrigarum curriculo; quem eumdem honorem jam ante eum frater ipsius uterinus Miltiades erat consecutus. Deinde vero, sequenti Olympiade, quum eisdem equabus idem Cimon vicisset, Pisistrato concessit, ut is victor renunciaretur; et ob victoriam huic concessam, ex pactione cum illo inita, in patriam est restitutus. (3) Postremo idem, quum eisdem equabus aliam rursus victoriam reportasset Olympicam, obiit interfectus a filiis Pisistrati, ipso Pisistrato non amplius in vivis agente: interfecerunt illum enim hi prope prytaneum, noctu hominibus quibusdam ad hoc subornatis. (4) Sepultus est autem Cimon ante urbem, ultra viam quæ Per Cavum vocatur, et ex adverso sepultæ sunt equæ illæ ejusdem, quæ tres Olympicas retulerunt victorias. Præstiterunt quidem idem hoc aliæ etiam equæ, Euagoræ Lacedæmonis; sed, præter has, nullæ. (5) Filiorum igitur Cimonis natu major, Stesagoras, per id tempus apud patruum Miltiadem in Chersoneso educabatur; natu minor autem apud Cimonem Athenis erat, cui nomen fuit Miltiades, de patrui Miltiadis nomine, conditoris Chersonesi.

CIV. Hic igitur tunc Miltiades, quum nuper e Chersoneso advenisset, duplicemque effugisset mortem, imperator fuit Atheniensium. Simul enim et Phœnices, usque ad Imbrum illum persecuti, studiose operam dederant, ut caperent eum et ad regem abducerent: (2) et, postquam hos effugit, domumque rediit, et jam securum se esse posse existimavit, protinus eumdem exceperant adversarii, et in judicium vocatum, reum egerant tyrannidis in Chersoneso exercitæ. Ab hoc *quoque* liberatus periculo, ita demum imperator creatus est Atheniensium, populi suffragiis electus.

CV. Ac primum quidem, quum adhuc in urbe essent imperatores, Spartam miserunt præconem Phidippidem, civem quidem Atheniensem, cæterum hemerodromum (*cursorem ingens uno die spatium emetientem*), et hoc negotium exercentem. Cui, ut quidem ipse deinde narravit Phidippides, Atheniensibusque renunciavit, circa Parthenium montem, qui supra Tegeam est, deus Pan obviam est factus; (2) compellatoque nominatim Phidippide, jussit eum renunciare Atheniensibus, nullam illos

ποιεῦνται ἐόντος εὔνου Ἀθηναίοισι καὶ πολλαχῇ γενομένου ἤδη σφι χρησίμου, τὰ δ' ἔτι καὶ ἐσομένου. (3) Καὶ ταῦτα μὲν Ἀθηναῖοι, καταστάντων σφίσι εὖ ἤδη τῶν πρηγμάτων, πιστεύσαντες εἶναι ἀληθέα ἱδρύσαντο ὑπὸ τῇ ἀκροπόλι Πανὸς ἱρὸν, καὶ αὐτὸν ἀπὸ ταύτης τῆς ἀγγελίης θυσίῃσι ἐπετέῃσι καὶ λαμπάδι ἱλάσκονται.

CVI. Τότε δὲ πεμφθεὶς ὑπὸ τῶν στρατηγῶν ὁ Φειδιππίδης οὗτος, ὅτε πέρ οἱ ἔφη καὶ τὸν Πᾶνα φανῆναι, δευτεραῖος ἐκ τοῦ Ἀθηναίων ἄστεος ἦν ἐν Σπάρτῃ, ἀπικόμενος δὲ ἐπὶ τοὺς ἄρχοντας ἔλεγε, (2) « Ὦ Λακεδαιμόνιοι, Ἀθηναῖοι ὑμέων δέονται σφίσι βωθῆσαι καὶ μὴ περιιδεῖν πολιν ἀρχαιοτάτην ἐν τοῖσι Ἕλλησι δουλοσύνῃ περιπεσοῦσαν πρὸς ἀνδρῶν βαρβάρων· καὶ γὰρ νῦν Ἐρέτριά τε ἠνδραπόδισται καὶ πόλι λογίμῳ ἡ Ἑλλὰς γέγονε ἀσθενεστέρη. » (3) Ὁ μὲν δή σφι τὰ ἐντεταλμένα ἀπήγγειλε, τοῖσι δὲ ἔαδε μὲν βωθέειν Ἀθηναίοισι, ἀδύνατα δέ σφι ἦν τὸ παραυτίκα ποιέειν ταῦτα, οὐ βουλομένοισι λύειν τὸν νόμον· ἦν γὰρ ἱσταμένου τοῦ μηνὸς εἰνάτη, εἰνάτῃ δὲ οὐκ ἐξελεύσεσθαι ἔφασαν μὴ οὐ πλήρεος ἐόντος τοῦ κύκλου. Οὗτοι μέν νυν τὴν πανσέληνον ἔμενον.

CVII. Τοῖσι δὲ βαρβάροισι κατηγέετο Ἱππίης ὁ Πεισιστράτου ἐς τὸν Μαραθῶνα, τῆς παροιχομένης νυκτὸς ὄψιν ἰδὼν ἐν τῷ ὕπνῳ τοιήνδε· ἐδόκεε ὁ Ἱππίης τῇ μητρὶ τῇ ἑωυτοῦ συνευνηθῆναι· συνεβάλετο ὧν ἐκ τοῦ ὀνείρου κατελθὼν ἐς τὰς Ἀθήνας καὶ ἀνασωσάμενος τὴν ἀρχὴν τελευτήσειν ἐν τῇ ἑωυτοῦ γηραιός. (2) Ἐκ μὲν δὴ τῆς ὄψιος συνεβάλετο ταῦτα, τότε δὲ κατηγεόμενος τοῦτο μὲν τὰ ἀνδράποδα τὰ ἐξ Ἐρετρίης ἀπέβησε ἐς τὴν νῆσον τὴν Στυρέων, καλευμένην δὲ Αἰγίλειαν, τοῦτο δὲ καταγομένας ἐς τὸν Μαραθῶνα τὰς νέας ὥρμιζε οὗτος, ἐκβάντας τε ἐς γῆν τοὺς βαρβάρους διέτασσε. (3) Καί οἱ ταῦτα διέποντι ἐπῆλθε πταρέειν τε καὶ βῆξαι μεζόνως ἢ ὡς ἐώθεε· οἷα δέ οἱ πρεσβυτέρῳ ἐόντι, τῶν ὀδόντων οἱ πλεῦνες ἐσείοντο. (4) Τούτων ὧν ἕνα τῶν ὀδόντων ἐκβάλλει ὑπὸ βίης βήξας· ἐκπεσόντος δὲ ἐς τὴν ψάμμον αὐτοῦ ἐποιέετο πολλὴν σπουδὴν ἐξευρέειν. Ὡς δὲ οὐκ ἐφαίνετό οἱ ὁ ὀδὼν, ἀναστενάξας εἶπε πρὸς τοὺς παραστάτας, « ἡ γῆ ἥδε οὐκ ἡμετέρη ἐστὶ, οὐδέ μιν δυνησόμεθα ὑποχειρίην ποιήσασθαι· ὀκόσον δέ τι μοι μέρος μετῆν, ὁ ὀδὼν μετέχει. » Ἱππίης μὲν δὴ ταύτῃ τὴν ὄψιν συνεβάλετο ἐξεληλυθέναι.

CVIII. Ἀθηναίοισι δὲ τεταγμένοισι ἐν τεμένεϊ Ἡρακλέος ἐπῆλθον βωθέοντες Πλαταιέες πανδημεί· καὶ γὰρ καὶ ἐδεδώκεσαν σφέας αὐτοὺς τοῖσι Ἀθηναίοισι οἱ Πλαταιέες, καὶ πόνους ὑπὲρ αὐτῶν οἱ Ἀθηναῖοι συχνοὺς ἤδη ἀναραιρέατο. (2) Ἔδοσαν δὲ ὧδε· πιεζόμενοι ὑπὸ Θηβαίων οἱ Πλαταιέες ἐδίδοσαν πρῶτα παρατυχοῦσι Κλεομένεϊ τε τῷ Ἀναξανδρίδεω καὶ Λακεδαιμονίοισι σφέας αὐτούς· οἱ δὲ οὐ δεκόμενοι ἔλεγόν σφι τάδε, « ἡμεῖς μὲν ἑκαστέρω τε οἰκέομεν, καὶ ὑμῖν τοιήδε τις γένοιτ' ἂν ἐπικουρίη ψυχρή· φθαίητε γὰρ ἂν πολλάκις ἐξανδραποδισθέντες ἤ τινα πυθέσθαι ἡμέων. (3) sui curam gerere, quum tamen bene cupiat Athenienſibus, ac jam sæpe de illis bene meritus fuerit, et posthac etiam bene sit meriturus. (3) Hæc Athenienses vere ita accidisse persuasi, deinde, quum jam res eorum recte fuissent compositæ, templum Pani infra arcem statuerunt, eumque inde ab illo nuncio annuis sacrificiis et lampade (*cursu faces accensas gestantium*) placant.

CVI. Tunc vero missus ab imperatoribus Phidippides hic, quo tempore is Panem sibi adparuisse narravit, postridie ejus diei quo Athenis erat profectus, Spartam pervenit; ubi adiens magistratus, hæc apud eos verba fecit: (2) Lacedæmonii, petunt a vobis Athenienses, ut auxilio illis veniatis; neque patiamini ut antiquissima inter Græcos civitas in servitutem abripiatur a barbaris. Nam et Eretria nunc sub jugum est missa, et insigni civitate imminuta est Græcia. (3) Hæc ubi illis ex mandato dixit, placuit quidem Spartanis auxilia mittere Atheniensibus; sed id confestim facere non potuerunt, quum nollent contra legem agere. Erat enim nonus dies mensis: nono autem die, quando non plena esset luna, se non egressuros, aiebant. Plenilunium igitur hi exspectabant.

CVII. Hippias autem, Pisistrati filius, barbaris viam in campum Marathona præivit. Cui superiori nocte per somnum tale visum erat oblatum: visus sibi erat sua cum matre concumbere. quo ex insomnio collegerat, Athenas se esse rediturum, et in patria recepto regno senem vita excessurum. (2) In hunc modum Hippias somnium suum erat interpretatus. Tunc vero, ducis officio fungens, partim Eretriensia mancipia in Styreorum insula, cui Ægilea nomen, deposuit; partim naves, quæ ad Marathona adpulerant, in statione locavit, et barbaros in terram egressos ordinavit. (3) Quæ dum administrat, accidit ei ut vehementius, quam solitus erat, et sternutaret et tussiret. Quumque eidem, quippe ætate jam provectiori, plures labarent dentes, (4) horum dentium unum, dum tussit, propter violentiam ejecit. Qui quum in arenam cecidisset, magnum adhibuit studium ut eum reperiret: postquam vero nusquam deus comparuit, edito gemitu ait adstantibus: « Terra hæc non est nostra, neque eam poterimus in nostram redigere potestatem: nam, quidquid ejus ad me pertinebat, id dens meus obtinet. » Nempe in hoc Hippias exiisse visionem suam existimavit.

CVIII. Atheniensibus, quum in campo Herculi sacro locum cepissent, præsidio advenere Platæenses frequenti manu ex universo populo collecta. Tradiderant enim sese Atheniensibus Platæenses, et frequentes pro illis Atheniensibus jam ante labores sustinuerant. (2) Tradiderant se autem hoc modo: bello a Thebanis pressi Platæenses primum Cleomeni, Anaxandridæ filio, et Lacedæmoniis se tradiderant, qui forte in illis locis aderant; at illi, non recipientes eos, dixere: « Nos nimis procul a vobis habitamus, et frigidum vobis tale auxilium foret: plus semel enim fieri posset, ut in servitutem prius abstraheremini, quam nostrum quisquam fando audiret. (3) Quare suademus vobis, ut Athe-

Συμβουλεύομεν δὲ ὑμῖν δοῦναι ὑμέας αὐτοὺς Ἀθηναίοισι, πλησιοχώροισί τε ἀνδράσι καὶ τιμωρέειν ἐοῦσι οὐ κακοῖσι. » Ταῦτα συνεβούλευον οἱ Λακεδαιμόνιοι οὐ κατ' εὔνοιαν οὕτω τῶν Πλαταιέων ὡς βουλόμενοι τοὺς Ἀθηναίους ἔχειν πόνους συνεστεῶτας Βοιωτοῖσι. (4) Λακεδαιμόνιοι μέν νυν Πλαταιεῦσι ταῦτα συνεβούλευον, οἱ δὲ οὐκ ἠπίστησαν, ἀλλ' Ἀθηναίων ἱρὰ ποιεύντων τοῖσι δώδεκα θεοῖσι ἱκέται ἱζόμενοι ἐπὶ τὸν βωμὸν ἐδίδοσαν σφέας αὐτούς. (5) Θηβαῖοι δὲ πυθόμενοι ταῦτα ἐστρατεύοντο ἐπὶ τοὺς Πλαταιέας, Ἀθηναῖοι δέ σφι ἐβώθεον. Μελλόντων δὲ συνάπτειν μάχην Κορίνθιοι οὐ περιεῖδον, παρατυχόντες δὲ καὶ καταλλάξαντες ἐπιτρεψάντων ἀμφοτέρων οὔρισαν τὴν χώρην ἐπὶ τοῖσδε, ἢν Θηβαίους Βοιωτῶν τοὺς μὴ βουλομένους ἐς Βοιωτοὺς τελέειν. (6) Κορίνθιοι μὲν δὴ ταῦτα γνόντες ἀπαλλάσσοντο, Ἀθηναίοισι δὲ ἀπιοῦσι ἐπεθήκαντο Βοιωτοὶ, ἐπιθέμενοι δὲ ἐσσώθησαν τῇ μάχῃ. Ὑπερβάντες δὲ οἱ Ἀθηναῖοι τοὺς οἱ Κορίνθιοι ἔθηκαν Πλαταιεῦσι εἶναι οὔρους, τούτους ὑπερβάντες τὸν Ἀσωπὸν αὐτὸν ἐποιήσαντο οὖρον Θηβαίοισι πρὸς Πλαταιέας εἶναι καὶ Ὑσιάς. (7) Ἔδοσαν μὲν δὴ οἱ Πλαταιέες σφέας αὐτοὺς Ἀθηναίοισι τρόπῳ τῷ εἰρημένῳ, ἦκον δὲ τότε ἐς Μαραθῶνα βωθέοντες.

CIX. Τοῖσι δὲ Ἀθηναίων στρατηγοῖσι ἐγίνοντο δίχα αἱ γνῶμαι, τῶν μὲν οὐκ ἐώντων συμβαλέειν (ὀλίγους γὰρ εἶναι στρατιῇ τῇ Μήδων συμβαλέειν), τῶν δὲ καὶ Μιλτιάδεω κελευόντων. (2) Ὡς δὲ δίχα τε ἐγίνοντο καὶ ἐνίκα ἡ χείρων τῶν γνωμέων, ἐνθαῦτα, ἦν γὰρ ἑνδέκατος ψηφιδοφόρος ὁ τῷ κυάμῳ λαχὼν Ἀθηναίων πολεμαρχέειν· τὸ παλαιὸν γὰρ Ἀθηναῖοι ὁμόψηφον τὸν πολέμαρχον ἐποιεῦντο τοῖσι στρατηγοῖσι, ἦν τε τότε πολέμαρχος Καλλίμαχος Ἀφιδναῖος· (3) πρὸς τοῦτον ἐλθὼν Μιλτιάδης ἔλεγε τάδε, « ἐν σοὶ νῦν, Καλλίμαχε, ἐστὶ ἢ καταδουλῶσαι Ἀθήνας, ἢ ἐλευθέρας ποιήσαντα μνημόσυνα λιπέσθαι ἐς τὸν ἅπαντα ἀνθρώπων βίον οἷα οὐδὲ Ἁρμόδιός τε καὶ Ἀριστογείτων λείπουσι. (4) Νῦν γὰρ δὴ, ἐξ οὗ ἐγένοντο Ἀθηναῖοι, ἐς κίνδυνον ἥκουσι μέγιστον, καὶ ἦν μέν γε ὑποκύψωσι τοῖσι Μήδοισι, δέδοκται τὰ πείσονται παραδεδομένοι Ἱππίῃ· ἢν δὲ περιγένηται αὕτη ἡ πόλις, οἵη τέ ἐστι πρώτη τῶν Ἑλληνίδων πολίων γενέσθαι. (5) Κῶς οὖν ὀλ ταῦτα οἷά τέ ἐστι γενέσθαι, καὶ κῶς ἐς σέ τι τούτων ἀνήκει τῶν πρηγμάτων τὸ κῦρος ἔχειν, νῦν ἔρχομαι φράσων. Ἡμέων τῶν στρατηγῶν ἐόντων δέκα δίχα γίνονται αἱ γνῶμαι, τῶν μὲν κελευόντων, τῶν δὲ οὔ, συμβαλέειν. (6) Ἦν μέν νυν μὴ συμβάλωμεν, ἔλπομαί τινα στάσιν μεγάλην ἐμπεσοῦσαν διασείσειν τὰ Ἀθηναίων φρονήματα ὥστε μηδίσαι· ἦν δὲ συμβάλωμεν πρίν τι καὶ σαθρὸν Ἀθηναίων μετεξετέροισι ἐγγενέσθαι, θεῶν τὰ ἴσα νεμόντων οἷοί τέ εἰμεν περιγενέσθαι τῇ συμβολῇ. (7) Ταῦτα ὦν πάντα ἐς σὲ νῦν τείνει καὶ ἐκ σέο ἄρτηται· ἢν γὰρ σὺ γνώμῃ τῇ ἐμῇ προσθῇ, ἔστι τοι πατρίς τε ἐλευθέρη καὶ πόλις πρώτη τῶν ἐν τῇ Ἑλλάδι· ἢν δὲ τὴν τῶν ἀποσπευδόντων τὴν συμβολὴν ἕλῃ, ὑπάρξει τοι τῶν ἐγὼ κατέλεξα ἀγαθῶν τὰ ἐναντία. »

niensibus vos tradatis, qui et finitimi vobis sunt, et ad tutandum non invalidi. » Hæc Platæensibus suaserunt Lacedæmonii, non tam quod illis bene vellent, quam quod cuperent laboribus fatigari Athenienses, bellis cum Bœotis gerendis. (4) Consilium autem Lacedæmoniorum sequentes Platæenses, quo tempore duodecim diis sacra faciebant Athenienses, supplices ad aram consederunt, seque illis tradiderunt. (5) Quo cognito, Thebani arma intulerunt Platæensibus; et Athenienses auxilio illis venere. Sed quum in eo essent ut consererent pugnam, id fieri non passi sunt Corinthii: hi enim, quum forte adessent, arbitrio eorum rem permittentibus utrisque, pacem conciliarunt, fines regionis ita constituentes, ut Thebani eos ex Bœotis, qui Bœotorum communi nollent attribui, nihil impedirent. (6) Hoc constituto, Corinthii abierunt. Athenienses vero, domum redeuntes, ex improviso adgressi sunt Bœoti: sed commissa pugna superati sunt. Quo facto Athenienses, fines Platæensibus a Corinthiis constitutos transgredientes, ipsum Asopum et Hysias fines inter Thebanos et Platæenses statuerunt. (7) Platæenses igitur, postquam prædicto modo Atheniensibus sese tradidissent, nunc eis ad Marathonem auxilio venerunt.

CIX. Imperatorum autem Atheniensium bifariam divisæ erant sententiæ; nolentibus aliis, ut prælio confligeretur; nimis enim exiguum esse ipsorum numerum, quam ut cum Medorum exercitu congrederentur; aliis vero, et in his Miltiade, confligendum censentibus. (2) Ita quum dissentirent, quumque in eo esset ut pejor vinceret sententia; tunc undecimus supererat qui suffragium ferret, is qui faba polemarchus electus erat Atheniensium: antiquitus enim polemarcho æquale cum imperatoribus jus suffragii ferendi tribuerant Athenienses. Erat autem tunc polemarchus Callimachus Aphidnæus; (3) quem conveniens Miltiades his verbis est adlocutus: « In te nunc situm est, Callimache, utrum in servitutem redigere velis Athenas, an, liberata patria, memoriam tui in omne ævum relinquere, qualem ne Harmodius quidem et Aristogiton reliquerunt. (4) Numquam enim, ex quo exstiterunt Athenienses, in tantum adducti sunt periculum, in quanto nunc versantur. In quo si Medis succumbunt, decretum est quid eis sit patiendum, Hippiæ deditis; sin superior discesserit hæc civitas, probabile est primam eam futuram esse Græcarum civitatum. (5) Quo pacto igitur fieri hoc possit, et quo pacto a te pendeat harum rerum summa, nunc tibi dicam. Sententiæ imperatorum, qui decem sumus numero, in duas divisæ sunt partes; aliis confligendum censentibus, aliis non confligendum. (6) Jam, si prælium non commiserimus, persuasum fere habeo magna exstitura dissidia, quæ animos disturbent Atheniensium, eosque ad Medorum trahant partes. Sin prælium commiserimus priusquam putre consilium animos subeat nonnullorum Atheniensium, probabile fit mihi, ut, diis æqua tribuentibus, superiores discedamus. (7) Hæc igitur omnia ad te nunc spectant et ex te pendent. Etenim si tu meæ accesseris sententiæ, habebis liberam patriam et civitatem primam universæ Græciæ; sin his suffragatus fueris, qui dissuadent prælium, erit tibi contrarium eorum, quæ memoravi, commodorum. »

CX. Ταῦτα λέγων ὁ Μιλτιάδης προσκτᾶται τὸν Καλλίμαχον. Προσγενομένης δὲ τοῦ πολεμάρχου τῆς γνώμης ἐκεκύρωτο συμβάλλειν. Μετὰ δὲ οἱ στρατηγοὶ τῶν ἡ γνώμη ἔφερε συμβάλλειν, ὡς ἑκάστου αὐτῶν ἐγίνετο πρυτανηίη τῆς ἡμέρης, Μιλτιάδῃ παρεδίδοσαν· ὁ δὲ δεκόμενος οὔτι κω συμβολὴν ἐποιέετο, πρίν γε δὴ αὐτοῦ πρυτανηίη ἐγένετο.

CXI. Ὡς δὲ ἐς ἐκεῖνον περιῆλθε, ἐνθαῦτα δὴ ἐτάσσοντο ὧδε Ἀθηναῖοι ὡς συμβαλέοντες. Τοῦ μὲν δεξιοῦ κέρεος ἡγέετο ὁ πολέμαρχος Καλλίμαχος· ὁ γὰρ νόμος τότε εἶχε οὕτω τοῖσι Ἀθηναίοισι, τὸν πολέμαρχον ἔχειν κέρας τὸ δεξιόν. Ἡγεομένου δὲ τούτου ἐξεδέκοντο ὡς ἠριθμέοντο αἱ φυλαί, ἐχόμεναι ἀλλήλων. (2) Τελευταῖοι δὲ ἐτάσσοντο, ἔχοντες τὸ εὐώνυμον κέρας, Πλαταιέες· ἀπὸ ταύτης γάρ σφι τῆς μάχης, θυσίας Ἀθηναίων ἀναγόντων καὶ πανηγύριας τὰς ἐν τῇσι πεντετηρίσι γινομένας, κατεύχεται ὁ κῆρυξ ὁ Ἀθηναῖος ἅμα τε Ἀθηναίοισι λέγων γίνεσθαι τὰ ἀγαθὰ καὶ Πλαταιεῦσι. (3) Τότε δὲ τασσομένων τῶν Ἀθηναίων ἐν τῷ Μαραθῶνι ἐγίνετο τοιόνδε τι· τὸ στρατόπεδον ἐξισούμενον τῷ Μηδικῷ στρατοπέδῳ, τὸ μὲν αὐτοῦ μέσον ἐγίνετο ἐπὶ τάξιας ὀλίγας, καὶ ταύτῃ ἦν ἀσθενέστατον τὸ στρατόπεδον, τὸ δὲ κέρας ἑκάτερον ἔρρωτο πλήθεϊ.

CXII. Ὡς δέ σφι διετέτακτο καὶ τὰ σφάγια ἐγίνετο καλά, ἐνθαῦτα ὡς ἀπείθησαν οἱ Ἀθηναῖοι, δρόμῳ ἔιεντο ἐς τοὺς βαρβάρους. Ἦσαν δὲ στάδιοι οὐκ ἐλάσσονες τὸ μεταίχμιον αὐτῶν ἢ ὀκτώ. (2) Οἱ δὲ Πέρσαι ὁρέοντες δρόμῳ ἐπιόντας παρεσκευάζοντο ὡς δεξόμενοι, μανίην τε τοῖσι Ἀθηναίοισι ἐπέφερον καὶ πάγχυ ὀλεθρίην, ὁρέοντες αὐτοὺς ὀλίγους, καὶ τούτους δρόμῳ ἐπειγομένους οὔτε ἵππου ὑπαρχούσης σφι οὔτε τοξευμάτων. Ταῦτα μέν νυν οἱ βάρβαροι κατείκαζον, Ἀθηναῖοι δὲ ἐπείτε ἀθρόοι προσέμιξαν τοῖσι βαρβάροισι, ἐμάχοντο ἀξίως λόγου. (3) Πρῶτοι μὲν γὰρ Ἑλλήνων πάντων τῶν ἡμεῖς ἴδμεν δρόμῳ ἐς πολεμίους ἐχρήσαντο, πρῶτοι δὲ ἀνέσχοντο ἐσθῆτά τε Μηδικὴν ὁρέοντες καὶ τοὺς ἄνδρας ταύτην ἐσθημένους· τέως δὲ ἦν τοῖσι Ἕλλησι καὶ τὸ οὔνομα τὸ Μήδων φόβος ἀκοῦσαι.

CXIII. Μαχομένων δὲ ἐν τῷ Μαραθῶνι χρόνος ἐγίνετο πολλός. Καὶ τὸ μὲν μέσον τοῦ στρατοπέδου ἐνίκων οἱ βάρβαροι, τῇ Πέρσαι τε αὐτοὶ καὶ Σάκαι ἐτετάχατο· κατὰ τοῦτο μὲν δὴ ἐνίκων οἱ βάρβαροι, καὶ ῥήξαντες ἐδίωκον ἐς τὴν μεσόγαιαν, τὸ δὲ κέρας ἑκάτερον ἐνίκων Ἀθηναῖοί τε καὶ Πλαταιέες. (2) Νικῶντες δὲ τὸ μὲν τετραμμένον τῶν βαρβάρων φεύγειν ἐων, τοῖσι δὲ τὸ μέσον ῥήξασι αὐτῶν συναγαγόντες τὰ κέρεα ἀμφότερα ἐμάχοντο, καὶ ἐνίκων Ἀθηναῖοι. Φεύγουσι δὲ τοῖσι Πέρσῃσι εἵποντο κόπτοντες, ἐς ὃ ἐπὶ τὴν θάλασσαν ἀπικόμενοι πῦρ τε αἴτεον καὶ ἐπελαμβάνοντο τῶν νεῶν.

CXIV. Καὶ τοῦτο μὲν ἐν τούτῳ τῷ πόνῳ ὁ πολέμαρχος Καλλίμαχος διαφθείρεται, ἀνὴρ γενόμενος ἀγαθός, ἀπὸ δ' ἔθανε τῶν στρατηγῶν Στησίλεως ὁ Θρασύλεω· τοῦτο δὲ Κυνέγειρος ὁ Εὐφορίωνος ἐνθαῦτα

CX. His dictis Miltiades in suam sententiam Callimachum traxit: et accedente polemarchi suffragio decretum est, ut prælio confligeretur. Post hæc, qui ex imperatoribus confligendum censuerant, hi, ut cujusque dies aderat, quo penes eum summa esset imperii, ita vicem suam Miltiadi tradiderunt. At ille quamvis acciperet, non tamen prius commisit prælium quam legitimus ipsius dies adesset.

CXI. Quo die igitur Miltiadis vices erant administrandæ imperii summæ, in aciem educti sunt Athenienses, tali modo instructi. Dextro cornu præerat polemarchus Callimachus: obtinebat tunc enim lex apud Athenienses, ut polemarchus dextrum cornu teneret. Ab hoc igitur principio deinde collocatæ erant continuo tenore singulæ tribus Atheniensium, pro cujusque numero: (2) postremi vero, in lævo cornu, Platæenses stabant. Inde enim ab hac pugna usu receptum est, ut, quando solennia sacra peragunt Athenienses, quæ quinto quoque anno celebrantur, præco Atheniensis solennes preces ita præeat, ut fausta omnia precetur Atheniensibus simul et Platæensibus. (3) Tunc vero, quum acies Atheniensium ad Marathonem sic esset instructa ut frons fronti exercitus Medici exæquaretur, accidit, ut in medio ordines haud sane frequentes starent, et ea parte debilior esset acies; sed ut utrumque cornu densioribus ordinibus esset firmatum.

CXII. Acie ita ordinata, quum cæsæ hostiæ prospera omnia nunciassent, ibi tunc Athenienses, ut signum datum est pugnæ, cursu in hostes contenderunt. Erat autem inter duas acies interjectum intervallum haud minus quam octo stadiorum. (2) Tum vero Persæ, ubi cursu adversus se irruentes hostes viderunt, ad excipiendos illos se comparārunt; furere dicentes Athenienses, et in propriam ruere perniciem; qui ita cursu contenderent, quum numero essent pauci, neque vel equitatum vel sagittarios haberent. De his igitur ita judicabant Persæ. At Athenienses, postquam confertis ordinibus ad manus venissent hostium, pugnam ediderunt memoratu dignam. (3) Quippe primi omnium Græcorum, quos novimus, cursu in hostes impetum fecerunt: et primi sustinuerunt, Medicam vestem et ea indutos adspicere viros; quum ante illum diem vel nomen Medorum Græcis, ubi audirent, terrorem incussisset.

CXIII. Satis autem longi temporis hæc ad Marathonem pugna fuit. Et in medio quidem aciei vicerunt barbari, ubi Persæ ipsi et Sacæ locati erant; qui hac parte victores, perrupta acie, versus mediterranea persecuti sunt fugientes. At in utroque cornu penes Athenienses et Platæenses victoria stetit. (2) Et hi quidem, postquam vicerunt, omissis hisce ex barbaris quos in fugam verterant, utrumque cornu contrahentes, illos sunt adgressi qui mediam perruperant aciem: et de his quoque victoriam Athenienses reportarunt. Tunc vero in fugam effusos Persas cædentes persecuti sunt; donec ad mare delati, ignem poposcerunt, ipsasque naves sunt adorti.

CXIV. In hoc discrimine et alii multi perierunt nobiles Athenienses; et Callimachus polemarchus, postquam fortiter pugnarat, interfectus est; unus item ex imperatoribus,

ἐπιλαβόμενος τῶν ἀφλάστων νεὸς, τὴν χεῖρα ἀποκοπεὶς πελέκεϊ πίπτει, τοῦτο δὲ ἄλλοι Ἀθηναίων πολλοί τε καὶ οὐνομαστοί.

CXV. Ἑπτὰ μὲν δὴ τῶν νεῶν ἐπεκράτησαν τρόπῳ τοιούτῳ Ἀθηναῖοι· τῇσι δὲ λοιπῇσι οἱ βάρβαροι ἐξαναχρουσάμενοι, καὶ ἀναλαβόντες ἐκ τῆς νήσου ἐν τῇ ἔλιπον τὰ ἐξ Ἐρετρίης ἀνδράποδα, περιέπλωον Σούνιον, βουλόμενοι φθῆναι τοὺς Ἀθηναίους ἀπικόμενοι ἐς τὸ ἄστυ. (2) Αἰτίη δὲ ἔσχε ἐν Ἀθηναίοισι ἐξ Ἀλκμεωνιδέων μηχανῆς αὐτοὺς ταῦτα ἐπινωθῆναι· τούτους γὰρ συνθεμένους τοῖσι Πέρσῃσι ἀναδέξαι ἀσπίδα ἐοῦσι ἤδη ἐν τῇσι νηυσί.

CXVI. Οὗτοι μὲν δὴ περιέπλωον Σούνιον, Ἀθηναῖοι δὲ, ὡς ποδῶν εἶχον, τάχιστα ἐβώθεον ἐς τὸ ἄστυ, καὶ ἐφθησάν τε ἀπικόμενοι πρὶν ἢ τοὺς βαρβάρους ἥκειν, καὶ ἐστρατοπεδεύσαντο ἀπιγμένοι ἐξ Ἡρακλείου τοῦ ἐν Μαραθῶνι ἐν ἄλλῳ Ἡρακλείῳ τῷ ἐν Κυνοσάργεϊ. (2) Οἱ δὲ βάρβαροι τῇσι νηυσὶ ὑπεραιωρηθέντες Φαλήρου (τοῦτο γὰρ ἦν ἐπίνειον τότε τῶν Ἀθηναίων), ὑπὲρ τούτου ἀνακωχεύσαντες τὰς νέας ἀπέπλωον ὀπίσω ἐς τὴν Ἀσίην.

CXVII. Ἐν ταύτῃ τῇ ἐν Μαραθῶνι μάχῃ ἀπέθανον τῶν βαρβάρων κατ' ἑξακισχιλίους καὶ τετρακοσίους ἄνδρας, Ἀθηναίων δὲ ἑκατὸν ἐνενήκοντα καὶ δύο. (2) Ἔπεσον μὲν ἀμφοτέρων τοσοῦτοι, συνήνεικε δὲ αὐτόθι θῶμα γενέσθαι τοιόνδε· Ἀθηναῖον ἄνδρα Ἐπίζηλον τὸν Κουφαγόρεω ἐν τῇ συστάσι μαχόμενόν τε καὶ ἄνδρα γινόμενον ἀγαθὸν τῶν ὁμιμάτων στερηθῆναι οὔτε πληγέντα οὐδὲν τοῦ σώματος οὔτε βληθέντα, καὶ τὸ λοιπὸν τῆς ζόης διατελέειν ἀπὸ τούτου τοῦ χρόνου ἐόντα τυφλόν. (3) Λέγειν δὲ αὐτὸν ἤκουσα περὶ τοῦ πάθεος τοιόνδε τινὰ λόγον· ἄνδρα οἱ δοκέειν ὁπλίτην ἀντιστῆναι μέγαν, τοῦ τὸ γένειον τὴν ἀσπίδα πᾶσαν σκιάζειν· τὸ δὲ φάσμα τοῦτο ἑωυτὸν μὲν παρεξελθεῖν, τὸν δὲ ἑωυτοῦ παραστάτην ἀποκτεῖναι. Ταῦτα μὲν δὴ Ἐπίζηλον ἐπυθόμην λέγειν.

CXVIII. Δᾶτις δὲ πορευόμενος ἅμα τῷ στρατῷ ἐς τὴν Ἀσίην, ἐπείτε ἐγένετο ἐν Μυκόνῳ, εἶδε ὄψιν ἐν τῷ ὕπνῳ. Καὶ ἥτις μὲν ἦν ἡ ὄψις, οὐ λέγεται· ὁ δὲ, ὡς ἡμέρη τάχιστα ἐπέλαμψε, ζήτησιν ἐποιέετο τῶν νεῶν, εὑρὼν δὲ ἐν Φοινίσσῃ νηὶ ἄγαλμα Ἀπόλλωνος κεχρυσωμένον ἐπυνθάνετο ὁκόθεν σεσυλημένον εἴη, πυθόμενος δὲ ἐξ οὗ ἦν ἱροῦ, ἔπλωε τῇ ἑωυτοῦ νηὶ ἐς Δῆλον· (2) καὶ ἀπίκατο γὰρ τηνικαῦτα οἱ Δήλιοι ὀπίσω ἐς τὴν νῆσον, κατατίθεταί τε ἐς τὸ ἱρὸν τὸ ἄγαλμα, καὶ ἐντέλλεται τοῖσι Δηλίοισι ἀπαγαγεῖν τὸ ἄγαλμα ἐς Δήλιον τὸ Θηβαίων· τὸ δ' ἐστὶ ἐπὶ θαλάσσῃ Χαλκίδος καταντίον. (3) Δᾶτις μὲν δὴ ταῦτα ἐντειλάμενος ἀπέπλωσε, τὸν δὲ ἀνδριάντα τοῦτον Δήλιοι οὐκ ἀπήγαγον, ἀλλά μιν δι' ἐτέων εἴκοσι Θηβαῖοι αὐτοὶ ἐκ θεοπροπίου ἐκομίσαντο ἐπὶ Δήλιον.

CXIX. Τοὺς δὲ τῶν Ἐρετριέων ἠνδραποδισμένους Δᾶτίς τε καὶ Ἀρταφέρνης, ὡς προσέσχον ἐς τὴν Ἀσίην πλώοντες, ἀνήγαγον ἐς Σοῦσα. (2) Βασιλεὺς δὲ Δα-

Stesilaus Thrasylai filius. Ibidemque Cynegirus, Euphorionis filius, quum aplustria navis barbarorum manu tenuisset, securi amputata manu cecidit.

CXV. Cæterum septem navibus ista ratione potiti sunt Athenienses. Reliquis autem navibus barbari, valde pulsatis remis in altum revecti, adsumptis ex insula mancipiis Eretriensibus, in qua relicta erant; Sunium circumnavigarunt, ad urbem prius pervenire studentes quam rediissent Athenienses. (2) Et pervulgata est apud Athenienses fama, cepisse illos hoc consilium ex Alcmeonidarum artificio; hos enim ex composito clypeum Persis, quum jam in navibus essent, sustulisse.

CXVI. At, dum Sunium Persæ circumnavigant, Athenienses, quantum pedibus valuere, in urbem retro currentes, prius adfuere quam Persæ venirent: et, quemadmodum ad Marathonem in agro Herculi sacro castra habuerant, sic et nunc in alio Heracleo, quod in Cynosarge est, locum castris ceperunt. (2) Barbari vero, postquam naves ante Phalerum, qui portus tunc erat Atheniensium, in alto aliquamdiu tenuissent, retro in Asiam navigarunt.

CXVII. Ex Persis ceciderunt in hac Marathonia pugna circiter sex millia et quadringenti; Atheniensium vero centum nonaginta duo. (2) Hic fuit occisorum utrimque numerus. Acciderat autem ibi res mira hujusmodi: Epizelus, civis Atheniensis, Cuphagoræ filius, stans in acie, fortiterque pugnans, oculorum usu privatus est, nulla corporis parte nec cominus percussus, nec eminus ictus: et ab hoc tempore per reliquam vitam cæcus permansit. (3) Memorant autem, ipsum de hac calamitate hæc narrasse: visum esse ei virum armatum magnum contra ipsum stare, cujus barbam totum texisse clypeum; illud autem spectrum præteriisse ipsum, et virum sibi proximum stantem interfecisse. Hæc Epizelum solitum esse narrare audivi.

CXVIII. Datis, cum exercitu in Asiam profectus, postquam Myconum pervenit, per somnum vidit visionem; quæ quidem qualis fuerit non memoratur: sed ille, simul atque illuxit, perquisitionem instituit navium. Et quum in Phœnicia navi simulacrum invenisset Apollinis inauratum, percontatus est unde raptum esset: utque audivit quonam ex templo esset, ipse sua navi Delum est profectus, (2) et ibi (jam enim in insulam reversi erant Delii) simulacrum in templo deposuit, Deliisque imperavit ut in Delium Thebanorum, quod est ad mare adversus Chalcidem, illud transportarent. (3) Datis quidem, dato hoc mandato, retro navigavit: at statuam Delii non transmiserunt; sed post viginti demum annos ipsi Thebani, oraculi jussu, Delium illam deportarunt.

CXIX. Eretrienses vero in servitutem abreptos Datis et Artaphernes, postquam in Asiam adpulerant, Susa abduxerunt. (2) Rex autem Darius, quum Eretriensibus, pri-

ρεῖος, πρὶν μὲν αἰχμαλώτους γενέσθαι τοὺς Ἐρετριέας, ἐνεῖχέ σφι δεινὸν κόλον οἷα ἀρξάντων ἀδικίης προτέρων τῶν Ἐρετριέων· ἐπείτε δὲ εἶδέ σφεας ἀπαχθέντας παρ' ἑωυτὸν καὶ ὑποχειρίους ἑωυτῷ ἐόντας, ἐποίησε κακὸν ὅ ἄλλο οὐδέν, ἀλλά σφεας τῆς Κισσίης χώρης κατοίκισε ἐν σταθμῷ ἑωυτοῦ τῷ οὔνομά ἐστι Ἀρδέρικκα, ἀπὸ μὲν Σούσων δέκα καὶ διηκοσίους σταδίους ἀπέχοντι, τεσσεράκοντα δὲ ἀπὸ τοῦ φρέατος τὸ παρέχεται τριφασίας ἰδέας· καὶ γὰρ ἄσφαλτον καὶ ἅλας καὶ ἔλαιον 10 ἀρύσσονται ἐξ αὐτοῦ τρόπῳ τοιῷδε· (3) ἀντλέεται μὲν κηλωνηίῳ, ἀντὶ δὲ γαυλοῦ ἥμισυ ἀσκοῦ οἱ προσδέδεται· ὑποτύψας δὲ τούτῳ ἀντλέει καὶ ἐπειτεν ἐγχέει ἐς δεξαμενήν· ἐκ δὲ ταύτης ἐς ἄλλο διαχεόμενον τράπεται τριφασίας ὁδούς. (4) Καὶ ἡ μὲν ἄσφαλτος καὶ 11 οἱ ἅλες πήγνυνται παραυτίκα, τὸ δὲ ἔλαιον συνάγουσι ἐν ἀγγηίοις, τὸ οἱ Πέρσαι καλεῦσι ῥαδινάκην· ἔστι δὲ μέλαν καὶ ὀδμὴν παρεχόμενον βαρέαν. Ἐνθαῦτα τοὺς Ἐρετριέας κατοίκισε βασιλεὺς Δαρεῖος, οἳ καὶ μέχρι ἐμέο εἶχον τὴν χώρην ταύτην, φυλάσσοντες τὴν 2 ἀρχαίην γλῶσσαν. Τὰ μὲν δὴ περὶ Ἐρετριέας ἔσχε οὕτω.

CXX. Λακεδαιμονίων δὲ ἦλθον ἐς τὰς Ἀθήνας δισχίλιοι μετὰ τὴν πανσέληνον, ἔχοντες σπουδὴν πολλὴν καταλαβέειν, οὕτω ὥστε τριταῖοι ἐκ Σπάρτης ἐγένοντο 2b ἐν τῇ Ἀττικῇ. Ὑστεροι δὲ ἀπικόμενοι τῆς συμβολῆς ἱμείροντο ὅμως θηήσασθαι τοὺς Μήδους· ἐλθόντες δὲ ἐς τὸν Μαραθῶνα ἐθηήσαντο. Μετὰ δὲ αἰνέοντες Ἀθηναίους καὶ τὸ ἔργον αὐτῶν ἀπαλλάσσοντο ὀπίσω.

CXXI. Θῶμα δέ μοι, καὶ οὐκ ἐνδέκομαι τὸν λό- 30 γον, Ἀλκμεωνίδας ἄν κοτε ἀναδέξαι Πέρσῃσι ἐκ συνθήματος ἀσπίδα, βουλομένους ὑπὸ βαρβάροισί τε εἶναι Ἀθηναίους καὶ ὑπ' Ἱππίῃ· οἵτινες μᾶλλον ἢ ὁμοίως Καλλίῃ τῷ Φαινίππου, Ἱππονίκου δὲ πατρὶ, φαίνονται μισοτύραννοι ἐόντες. (2) Καλλίης τε γὰρ μοῦνος Ἀθη- 2b ναίων ἁπάντων ἐτόλμα, ὅκως Πεισίστρατος ἐκπέσοι ἐκ τῶν Ἀθηνέων, τὰ χρήματα αὐτοῦ κηρυσσόμενα ὑπὸ τοῦ δημοσίου ὠνέεσθαι, καὶ τἄλλα τὰ ἔχθιστα ἐς αὐτὸν πάντα ἐμηχανᾶτο.

CXXII. [Καλλίεω δὲ τούτου ἄξιον πολλαχοῦ μνήμην 40 ἐστὶ πάντα τινὰ ἔχειν. Τοῦτο μὲν γὰρ τὰ προλελεγμένα, ὡς ἀνὴρ ἄκρος ἐλευθερῶν τὴν πατρίδα· τοῦτο δὲ τὰ ἐν Ὀλυμπίῃ ἐποίησε, ἵππῳ νικήσας, τεθρίππῳ δὲ δεύτερος γενόμενος, Πύθια δὲ πρότερον ἀνελόμενος, ἐφανερώθη ἐς τοὺς Ἕλληνας πάντας μεγίστῃσι 46 δαπάνῃσι· τοῦτο δὲ κατὰ τὰς ἑωυτοῦ θυγατέρας ἑούσας τρεῖς οἷός τις ἀνὴρ ἐγένετο. Ἐπειδὴ γὰρ ἐγένοντο γάμου ὡραῖαι, ἔδωκέ σφι δωρεὴν μεγαλοπρεπεστάτην ἐκείνῃσί τε ἐχαρίσατο· ἐκ γὰρ πάντων τῶν Ἀθηναίων τὸν ἑκάστη ἐθέλοι ἄνδρα ἑωυτῇ ἐκλέξα- 50 σθαι, ἔδωκε τούτῳ τῷ ἀνδρί.]

CXXIII. Καὶ οἱ Ἀλκμεωνίδαι ὁμοίως ἢ οὐδὲν ἔσσον τούτου ἔσαν μισοτύραννοι. Θῶμα ὦν μοι, καὶ οὐ προσίεμαι τὴν διαβολὴν, τούτους γε ἀναδέξαι ἀσπίδα, οἵτινες ἔφευγόν τε τὸν πάντα χρόνον τοὺς τυράννους,

usquam capti essent, vehementer fuisset iratus, quippe qui primi auctores fuerant injuriarum; nunc eosdem, ubi ad se abductos et sua in potestate vidit, nullo alio malo adfecit, sed sedes illis in terra Cissia adsignavit, in una suarum mansionum quæ Ardericca vocatur. Abest illa decem et ducenta stadia a Susis, quadraginta vero stadia a puteo, qui tres diversas rerum exhibet species. Nam et asphaltus et sal et oleum ex illo hauritur, hoc modo: (3) hauriunt ope tollenonis, cui pro situla adligatus est dimidiatus uter: hunc succutiens haurit homo id quod intus est, idque in cisternam infundit; ex qua rursus in aliud receptaculum derivatur hæc materia; atque ita triplicem in formam convertitur. (4) Et asphaltus quidem et sal protinus concrescunt; oleum vero, quod rhadinacen Persæ vocant, in vasa colligunt: est autem illud nigrum, et gravem spirans odorem. Illum igitur locum Eretriensibus habitandum rex tribuit: habitantque eamdem regionem ad meam usque ætatem, pristinam linguam servantes. Hæc sunt igitur quæ ad Eretrienses spectant.

CXX. Lacedæmoniorum vero duo millia Athenas venerunt post plenilunium: et hi quidem, rem adhuc integram deprehensuri, tanta usi sunt celeritate, ut tertio die, quam Sparta discesserant, in Attica fuerint. Sed, quum peracto jam prælio advenissent, cupidi tamen erant Medos videndi. Itaque, Marathonem profecti, spectarunt: deinde, collaudatis Atheniensibus et re ab his præclare gesta, domum redierunt.

CXXI. Quod vero de Alcmeonidis narrant, id miror equidem; nec mihi persuaderi patior, umquam illos Persis ex composito clypeum sublaturos fuisse, quasi voluissent ut sub barbaris et sub Hippia essent Athenienses. Quippe satis constat, fuisse illos magis aut certe pariter inimicos tyrannorum atque Callias fuerat, Phænippi filius, Hipponici pater. (2) Callias enim, quoties Pisistratus Athenis pulsus est, unus omnium Atheniensium ausus erat bona ejus per publicum præconem venumdata emere, omniaque alia in illum inimicissima machinatus erat.

CXXII. [Dignus est autem hic Callias, cujus crebro a quibuslibet bonorifica mentio fiat; quum ob hoc ipsum, quod dixi, tamquam vir acerrime libertati studens patriæ; tum ob id quod Olympiæ fecit, ubi equorum cursu victor, quadrigarum autem curriculo secundas ferens, reportata etiam prius Pythica victoria, conspicuus fuit apud omnes Græcos per sumptus maximos; denique ob singularem indulgentiam qua adversus tres filias suas usus est: quibus, postquam nubiles fuerunt, non modo dotem dedit magnificentissimam; sed et hoc eisdem gratificatus est, ut unicuique ex illis potestatem daret, maritum sibi, quem ipsa vellet, ex omnibus Atheniensibus seligendi.]

CXXIII. Atque eodem modo, certe haud minus, tyrannos oderunt Alcmeonidæ. Quare miror, nec admitto calumniam, hos tales viros clypeum sustulisse; qui constanter fugerant tyrannos, et quorum consilio et opera tyran

ἐκ μηχανῆς τε τῆς τούτων ἐξέλιπον οἱ Πεισιστρατίδαι τὴν τυραννίδα. (2) Καὶ οὕτω τὰς Ἀθήνας οὗτοι ἔσαν οἱ ἐλευθερώσαντες πολλῷ μᾶλλον ἤπερ Ἁρμόδιός τε καὶ Ἀριστογείτων, ὡς ἐγὼ κρίνω· οἱ μὲν γὰρ ἐξεγερίωσαν τοὺς λοιποὺς Πεισιστρατιδέων Ἵππαρχον ἀποκτείναντες, οὐδέ τι μᾶλλον ἔπαυσαν τοὺς λοιποὺς τυραννεύοντας, Ἀλκμεωνίδαι δὲ ἐμφανέως ἠλευθέρωσαν, εἰ δὴ οὗτοί γε ἀληθέως ἔσαν οἱ τὴν Πυθίην ἀναπείσαντες προσημαίνειν Λακεδαιμονίοισι ἐλευθεροῦν τὰς Ἀθήνας, ὡς μοι πρότερον δεδήλωται.

CXXIV. Ἀλλὰ γὰρ ἴσως τι ἐπιμεμφόμενοι Ἀθηναίων τῷ δήμῳ προεδίδοσαν τὴν πατρίδα. Οὐ μὲν ὧν ἔσαν σφέων ἄλλοι δοκιμώτεροι ἔν γε Ἀθηναίοισι ἄνδρες, οὐδ' οἱ μᾶλλον ἐτετιμέατο. (2) Οὕτω οὐδὲ λόγος αἱρέει ἀναδεχθῆναι ἔκ γε ἂν τούτων ἀσπίδα ἐπὶ τοιούτῳ λόγῳ. Ἀνεδέχθη μὲν γὰρ ἀσπὶς, καὶ τοῦτο οὐκ ἔστι ἄλλως εἶπαι· ἐγένετο γάρ· ὃς μέντοι ἦν ὁ ἀναδέξας, οὐκ ἔχω προσωτέρω εἶπαι τούτων.

CXXV. Οἱ δὲ Ἀλκμεωνίδαι ἔσαν μὲν καὶ τὰ ἀνέκαθεν λαμπροὶ ἐν τῇσι Ἀθήνῃσι, ἀπὸ δὲ Ἀλκμέωνος καὶ αὖτις Μεγακλέος ἐγένοντο καὶ κάρτα λαμπροί. Τοῦτο μὲν γὰρ Ἀλκμέων ὁ Μεγακλέος τοῖσι ἐκ Σαρδίων Λυδοῖσι παρὰ Κροίσου ἀπικνεομένοισι ἐπὶ τὸ χρηστήριον τὸ ἐν Δελφοῖσι συμπρήκτωρ τε ἐγίνετο καὶ συνελάμβανε προθύμως, καί μιν Κροῖσος πυθόμενος τῶν Λυδῶν τῶν ἐς τὰ χρηστήρια φοιτεόντων ἑωυτὸν εὖ ποιέειν μεταπέμπεται ἐς Σάρδις, ἀπικόμενον δὲ δωρέεται χρυσῷ τὸν ἂν δύνηται τῷ ἑωυτοῦ σώματι ἐξενείκασθαι ἐσάπαξ. (2) Ὁ δὲ Ἀλκμέων πρὸς τὴν δωρεὴν ἐοῦσαν τοιαύτην τοιάδε ἐπιτηδεύσας προσέφερε. Ἐνδὺς κιθῶνα μέγαν καὶ κόλπον βαθὺν καταλιπόμενος τοῦ κιθῶνος, κοθόρνους τοὺς εὑρισκε εὐρυτάτους ἐόντας ὑποδησάμενος ἦϊε ἐς τὸν θησαυρὸν ἐς τόν οἱ κατηγέοντο. (3) Ἐσπεσὼν δὲ ἐς σωρὸν ψήγματος πρῶτα μὲν παρέσαξε παρὰ τὰς κνήμας τοῦ χρυσοῦ ὅσον ἐχώρεον οἱ κόθορνοι, μετὰ δὲ τὸν κόλπον πάντα πλησάμενος χρυσοῦ καὶ ἐς τὰς τρίχας τῆς κεφαλῆς διαπάσας τοῦ ψήγματος, καὶ ἄλλο λαβὼν ἐς τὸ στόμα, ἐξῆϊε ἐκ τοῦ θησαυροῦ ἕλκων μὲν μόγις τοὺς κοθόρνους, παντὶ δέ τεῳ οἰκὼς μᾶλλον ἢ ἀνθρώπῳ· τοῦ τό τε στόμα ἐβέβυστο καὶ πάντα ἐξώγκωτο. (4) Ἰδόντα δὲ τὸν Κροῖσον γέλως ἐσῆλθε, καί οἱ πάντα τε ἐκεῖνα διδοῖ καὶ πρὸς ἕτερα δωρέεται οὐκ ἐλάσσω ἐκείνων. Οὕτω μὲν ἐπλούτησε ἡ οἰκίη αὕτη μεγάλως, καὶ ὁ Ἀλκμέων οὗτος οὕτω τεθριπποτροφήσας Ὀλυμπιάδα ἀναιρέεται.

CXXVI. Μετὰ δὲ, γενεῇ δευτέρῃ ὕστερον, Κλεισθένης μιν ὁ Σικυῶνος τύραννος ἐξήειρε, ὥστε πολλῷ οὐνομαστοτέρην γενέσθαι ἐν τοῖσι Ἕλλησι ἢ πρότερον ἦν. (2) Κλεισθένεϊ γὰρ τῷ Ἀριστωνύμου τοῦ Μύρωνος τοῦ Ἀνδρέεω γίνεται θυγάτηρ τῇ οὔνομα ἦν Ἀγαρίστη. Ταύτην ἠθέλησε, Ἑλλήνων πάντων ἐξευρὼν τὸν ἄριστον, τούτῳ γυναῖκα προσθεῖναι. (3) Ὀλυμπίων ὧν ἐόντων καὶ νικῶν ἐν αὐτοῖσι τεθρίππῳ ὁ Κλεισθένης

nide exuti erant Pisistratidæ. (2) Fuereque adeo hi, me judice, multo magis liberatores Athenarum, quam Harmodius et Aristogiton: illi enim occiso Hipparcho exacerbarunt reliquos ex Pisistratidis, neque finem fecerunt illorum tyrannidi; Alcmeonidæ vero manifesto liberarunt Athenas, si quidem vere hi fuerunt qui Pythiæ persuasere, ut Lacedæmonios juberet liberare Athenas, quemadmodum a me supra expositum est.

CXXIV. At fortasse, quod succenserent quadam de caussa populo Atheniensium, eo prodiderint patriam? Atqui nulli erant viri Athenis magis spectati, magisque honorati, quam hi ipsi. (2) Itaque nulla ratione probabile est, sublatum esse ab his quidem viris clypeum tali de caussa. Cæterum sublatus utique clypeus est: id quidem negari non potest; factum est enim: quis vero sit qui illum sustulerit, non valeo ulterius, quam dixi, declarare.

CXXV. Fuit autem Athenis jam antiquitus illustris Alcmeonidarum familia: nam inde ab Alcmeone ipso, et dein a Megacle, exstitere in hac domo nobilissimi viri. Statim, Alcmeon, Megaclis filius, adjutor fuerat Lydorum qui a Crœso Sardibus ad consulendum oraculum Delphicum missi sunt, studioseque illis operam navaverat suam. Cujus in se merita postquam Crœsus ex Lydis Delphos missis cognoverat, Sardes eum ad se invitavit; et, postquam advenit, tanto auri pondere eumdem donavit, quantum suo corpore asportare semel posset. (2) Tunc Alcmeon ad accipiendum hoc tale donum in hunc modum comparatus accessit. Grandi inductus tunica, in qua amplus erat sinus relictus, et cothurnis quos repererat amplissimis calceatus, in thesaurum intravit, in quem ducebatur. (3) Ibi quum in acervum ramentorum auri incidisset, primum circa crura, quantum auri capiebant cothurni, infersit, deinde repleto totu sinu, et coma ramentis conspersa, denique aliis in os sumptis, thesauro egressus est, ægre trahens cothurnos, et cuivis alii quam homini similior; cujus et obturatum os, et omnia turgida erant. (4) Quem ita conspiciens Crœsus, risum non tenuit; donavit autem non his modo, sed alia etiam adjecit, his non inferiora. Ita magnis divitiis aucta hæc domus est: idemque Alcmeon, equos alens quadrigis jungendos, Olympicam retulit victoriam.

CXXVI. Deinde vero, proxime sequente ætate, eamdem familiam Clisthenes, Sicyonis tyrannus, ita extulit, ut multo etiam splendidior inter Græcos evaderet, quam antea fuerat. (2) Clisthenes ille, Aristonymi filius, Myronis nepos, Andreæ pronepos, quum esset ei filia, nomine Agariste, in matrimonium hanc dare decreverat juveni quem reperisset Græcorum omnium præstantissimum. (3) Quumque essent ludi Olympici, in quibus curriculo qua-

κήρυγμα ἐποιήσατο, ὅστις Ἑλλήνων ἑωυτὸν ἀξιοῖ Κλεισθένεος γαμβρὸν γενέσθαι, ἥκειν ἐς ἑξηκοστὴν ἡμέρην ἢ καὶ πρότερον ἐς Σικυῶνα ὡς κυρώσοντος Κλεισθένεος τὸν γάμον ἐν ἐνιαυτῷ, ἀπὸ τῆς ἑξηκοστῆς ἀρξαμένου ἡμέρης. (4) Ἐνθαῦτα Ἑλλήνων ὅσοι σφίσι τε αὐτοῖσι ἦσαν καὶ πάτρῃ ἐξωγκωμένοι, ἐφοίτεον μνηστῆρες· τοῖσι Κλεισθένης καὶ δρόμον καὶ παλαίστρην ποιησάμενος ἐπ' αὐτῷ τούτῳ εἶχε.

CXXVII. Ἀπὸ μὲν δὴ Ἰταλίης ἦλθε Σμινδυρίδης ὁ Ἱπποκράτεος Συβαρίτης, ὃς ἐπὶ πλεῖστον δὴ χλιδῆς εἷς ἀνὴρ ἀπίκετο (ἡ δὲ Σύβαρις ἤκμαζε τοῦτον τὸν χρόνον μάλιστα), καὶ Σιρίτης Δάμασος Ἀμύριος τοῦ σοφοῦ λεγομένου παῖς. (2) Οὗτοι μὲν ἀπ' Ἰταλίης ἦλθον, ἐκ δὲ τοῦ κόλπου τοῦ Ἰονίου Ἀμφίμνηστος Ἐπιστρόφου Ἐπιδάμνιος· οὗτος δὲ ἐκ τοῦ Ἰονίου κόλπου. (3) Αἰτωλὸς δὲ ἦλθε Τιτόρμου τοῦ ὑπερφύντος τε Ἕλληνας ἰσχύϊ καὶ φυγόντος ἀνθρώπους ἐς τὰς ἐσχατιὰς τῆς Αἰτωλίδος χώρης, τούτου τοῦ Τιτόρμου ἀδελφεὸς Μάλης. (4) Ἀπὸ δὲ Πελοποννήσου Φείδωνος τοῦ Ἀργείων τυράννου παῖς Λεωκήδης, Φείδωνος δὲ τοῦ τὰ μέτρα ποιήσαντος Πελοποννησίοισι καὶ ὑβρίσαντος μέγιστα δὴ Ἑλλήνων ἁπάντων, ὃς ἐξαναστήσας τοὺς Ἠλείων ἀγωνοθέτας αὐτὸς τὸν ἐν Ὀλυμπίῃ ἀγῶνα ἔθηκε· (5) τούτου τε δὴ παῖς, καὶ Ἀμίαντος Λυκούργου Ἀρκὰς ἐκ Τραπεζοῦντος, καὶ Ἄζὴν ἐκ Παίου πόλιος Λαφάνης Εὐφορίωνος τοῦ δεξαμένου τε, ὡς λόγος ἐν Ἀρκαδίῃ λέγεται, τοὺς Διοσκούρους οἰκίοισι καὶ ἀπὸ τούτου ξεινοδοκέοντος πάντας ἀνθρώπους, καὶ Ἠλεῖος Ὀνομαστὸς Ἀγαίου. (6) Οὗτοι μὲν δὴ ἐξ αὐτῆς Πελοποννήσου ἦλθον, ἐκ δὲ Ἀθηνέων ἀπίκοντο Μεγακλέης τε ὁ Ἀλκμέωνος τούτου τοῦ παρὰ Κροῖσον ἀπικομένου, καὶ ἄλλος Ἱπποκλείδης Τισάνδρου, πλούτῳ καὶ εἴδεϊ προφέρων Ἀθηναίων. (7) Ἀπὸ δὲ Ἐρετρίης ἀνθεύσης τοῦτον τὸν χρόνον Λυσανίης· οὗτος δὲ ἀπ' Εὐβοίης μοῦνος. Ἐκ δὲ Θεσσαλίης ἦλθε τῶν Σκοπαδέων Διακτορίδης Κραννώνιος, ἐκ δὲ Μολοσσῶν Ἄλκων. Τοσοῦτοι μὲν ἐγένοντο οἱ μνηστῆρες.

CXXVIII. Ἀπικομένων δὲ τούτων ἐς τὴν προειρημένην ἡμέρην, ὁ Κλεισθένης πρῶτα μὲν τὰς πάτρας τε αὐτῶν ἀνεπύθετο καὶ γένος ἑκάστου, μετὰ δὲ κατέχων ἐνιαυτὸν διεπειρᾶτο αὐτῶν τῆς τε ἀνδραγαθίης καὶ τῆς ὀργῆς καὶ παιδεύσιός τε καὶ τρόπου, καὶ ἑνὶ ἑκάστῳ ἰὼν ἐς συνουσίην καὶ συνάπασι· (2) καὶ ἐς γυμνασιά τε ἐξαγινέων ὅσοι ἦσαν αὐτῶν νεώτεροι, καὶ τό γε μέγιστον, ἐν τῇ συνεστοῖ διεπειρᾶτο· ὅσον γὰρ κατεῖχε χρόνον αὐτούς, τοῦτον πάντα ἐποίεε καὶ ἅμα ἐξεινίζε μεγαλοπρεπέως. (3) Καὶ δή κου μάλιστα τῶν μνηστήρων ἠρέσκοντό οἱ οἱ ἀπ' Ἀθηνέων ἀπιγμένοι, καὶ τούτων μᾶλλον Ἱπποκλείδης ὁ Τισάνδρου καὶ κατ' ἀνδραγαθίην ἐκρίνετο, καὶ ὅτι τὰ ἀνέκαθεν τοῖσι ἐν Κορίνθῳ Κυψελίδῃσι ἦν προσήκων.

CXXIX. Ὡς δὲ ἡ κυρίη ἐγένετο τῶν ἡμερέων τῆς τε κατακλίσιος τοῦ γάμου καὶ ἐκφάνσιος αὐτοῦ Κλεισθένης, ἐπείτε ἐκρίνετο ὁ Ἀθηναῖος ἐπιφανέστατος τῶν μνηστήρων εἶναι καὶ ἀνὴρ ἀγαθός, ἐκάλεσε τὸν Ἀθηναῖον Μεγακλέα τὸν Ἀλκμέωνος καὶ ἐπηγγείλατο τὴν θυγατέρα Ἀγαρίστην κατὰ νόμον τὸν Ἀθηναίων ἐκδώσειν. (2) Ὁ δὲ ἐπαινέσας τε καὶ δεξάμενος ἐμνήστευσε. Ἐποιήσατο δὲ ὁ Κλεισθένης καὶ ἄλλο τοιόνδε· ἐκ τῆς Ἑλλάδος ἁπάσης ἐμνήστευε τοὺς ἑωυτοῦ ἐπιδημήσαντας, ἐκ δὲ τῆς ἑωυτοῦ ἐπιδημίης ἐμνήστευε τοὺς ἐκ τῆς Ἑλλάδος ἁπάσης ἐπιδημήσαντας. (3) Καὶ τούτους πάντας ἐπὶ τὸν γάμον ἐπεξήιε ἐπὶ ἐνιαυτόν, ἐς τὸν ἐμετρέετο τὰ πρὸς τὸν γάμον καὶ τὰ πρὸς τὴν παιδείην τὴν τῶν μνηστήρων. (4) Ἐπὶ δὲ τὸν γυμνικὸν ἀγῶνα ἐλθὼν ὁ Κλεισθένης ἐνίκα καὶ ἔθυσε βοῦς ἑκατόν, καὶ ἐστιήσας τοὺς μνηστῆρας καὶ τὸν Ἀδείμαντον τὸν Ἀριφρονέος, τὸν ἐμνήστευσε μοῦνον τῶν ἐπιδημησάντων ἐκ τῆς Ἰωνίης θαλάσσης, ἐπηγγείλατο καὶ τὴν θυγατέρα Ἀγαρίστην κατὰ νόμον τὸν Ἀθηναίων ἐκδώσειν. (5) Ὁ δὲ ἐπαινέσας τε καὶ δεξάμενος ἐμνήστευσε. Ἐπεὶ δὲ ἐπῆλθε ὁ χρόνος τὸν ἐμετρέετο πρὸς τὸν γάμον καὶ τὴν παιδείην τὴν τῶν μνηστήρων, ἐνθαῦτα ἐποιήσατο ἀνδρῶν μνηστήρων ἀπόδεξιν ἐν τῷ ἐπεξήιε ἐπὶ ἐνιαυτόν, ἐπιμετρεόμενος καὶ ἐπιμανθάνων τοὺς μὲν ἐκ τῶν ἀγρῶν καλέσας, τοὺς δὲ καὶ ἐκ τῶν πόλεων τῶν σφετέρων ἐπιμανθάνων, καὶ τοὺς μὲν ἐν γυμνικοῖσι ἀγῶσι πειρώμενος, τοὺς δὲ ἐν τῇ συνεστοῖ. (6) Ἐπὶ δὲ τὸν μουσικὸν ἀγῶνα ἐλθὼν ὁ Κλεισθένης καὶ ἐνθαῦτα ἐνίκα καὶ ἔθυσε βοῦς ἑκατόν, καὶ ἐστιήσας τοὺς μνηστῆρας καὶ τὸν δῆμον τὸν Σικυωνίων ἐποίησε καὶ ἐν τούτῳ τῷ χρόνῳ ἐλθεῖν τοὺς μνηστῆρας καὶ ἐπιδέξασθαι ἑωυτοῦ τε καὶ τῶν ἑωυτοῦ πάντων. (7) Ἐπὶ δὲ τὸν ἀγῶνα τὸν ἱππικὸν ἐλθὼν ὁ Κλεισθένης καὶ ἐνθαῦτα ἐνίκα καὶ ἔθυσε βοῦς ἑκατόν, καὶ ἐστιήσας τοὺς μνηστῆρας καὶ τὸν δῆμον τὸν Σικυωνίων ἐποίησε καὶ ἐν τούτῳ τῷ χρόνῳ ἐλθεῖν τοὺς μνηστῆρας καὶ ἐπιδέξασθαι ἑωυτοῦ τε καὶ τῶν ἑωυτοῦ πάντων. (8) Ἐπὶ δὲ τὸν ἀγῶνα τὸν ἱππικὸν ἐλθὼν ὁ Κλεισθένης καὶ ἐνθαῦτα ἐνίκα καὶ ἔθυσε βοῦς ἑκατόν, καὶ ἐστιήσας τοὺς μνηστῆρας καὶ τὸν δῆμον τὸν Σικυωνίων ἐποίησε καὶ ἐν τούτῳ τῷ χρόνῳ ἐλθεῖν τοὺς μνηστῆρας καὶ ἐπιδέξασθαι ἑωυτοῦ τε καὶ τῶν ἑωυτοῦ πάντων.

drigarum vicit Clisthenes, nunciari per præconem jussit, ut quisquis Græcorum dignum sese judicaret qui gener fieret Clisthenis, is ad sexagesimum diem, aut etiam ante id tempus, Sicyone adesset : exacto enim anno, inde ab illo sexagesimo die, ratas filiæ nuptias habiturum Clisthenem. (4) Tunc igitur convenere proci, quotquot e Græcis et sua ipsorum et patriæ præstantia superbiebant : hisque Clisthenes et curriculum et palæstram, quibus inter se certarent, parata habebat.

CXXVII. Ex Italia advenit Smindyrides, Hippocratis filius, Sybarita, homo unus omnium luxuriosissimus : (florebat autem tunc maxime Sybaris :) item Damasus Sirites, Amyridis illius filius, qui Sapiens nominabatur. (2) Hi ex Italia advenerunt. Ex sinu vero Ionio Amphimnestus, Epistrophi filius, Epidamnius. Hic igitur ex sinu Ionio. (3) Sed ex Ætolia advenit Males, frater Titormi illius, qui, quum corporis robore Græcos omnes superaret, hominum fugiens commercium in extrema Ætolicæ terræ se recepit. (4) Ex Peloponneso Leocedes, Phidonis filius, Argivorum tyranni, Phidonis illius, qui mensuras Peloponnesiis constituit, et longe Græcorum omnium insolentissimus, sedibus suis pepulit agonothetas Eleorum, ipseque arbitri munus in Olympico certamine sibi adrogavit. (5) Præter hujus igitur filium, adfuerunt item ex Peloponneso Amiantus, Lycurgi filius, Arcas ex Trapezunte, Laphanes ex Pæo, Azaniæ (*in Arcadia*) oppido, filius Euphorionis illius, qui, ut in Arcadia fama est, Dioscuros hospitio exceperat, et ab illo tempore cunctis peregre venientibus hospitium præbuit : denique Eleus Onomastus, Agæi filius. (6) Isti igitur ex Peloponneso adfuere. Athenis vero venere, Megacles, Alcmeonis hujus filius, qui apud Crœsum fuerat, et alius, Hippoclides, Tisandri filius, divitiis et corporis forma excellens inter Athenienses. (7) Ex Eretria, quæ per id tempus florebat, Lysanias; hic unus ex Eubœa. E Thessalia adfuit Diactorides Crannonius, de Scopadarum familia; e Molossis vero, Alcon. Tot numero proci fuere.

CXXVIII. Qui postquam ad prædictum diem Sicyone convenerant, Clisthenes primum patrias eorum sciscitatus est, et genus cujusque : deinde, per anni spatium eos retinens, pertentavit eorumdem fortitudinem, et animi indolem, et culturam ingenii, et mores; modo cum singulis congrediens, modo cum universis; (2) et, qui ex illis juniores erant, hos in gymnasia ducens : maxime vero inter epulas eos pertentabat. Per totum enim tempus, quo illos apud se detinuit, ista omnia faciebat, simulque magnificis epulis eos excipiebat. (3) Placuere ei autem fere præ cæteris hi qui Athenis advenerant; et ex his magis ei probabatur Hippoclides, Tisandri filius, quum ob fortitudinem, tum quod generis propinquitate Cypselidas Corinthios attingebat.

CXXIX. Ubi statutus adfuit dies, quo celebrarentur nuptiæ, declararetque Clisthenes quem præ cæteris probaret;

σθένεος τὸν κρίνοι ἐκ πάντων, θύσας βοῦς ἑκατὸν ὁ Κλεισθένης εὐώχεε αὐτούς τε τοὺς μνηστῆρας καὶ τοὺς Σικυωνίους πάντας. (2) Ὡς δὲ ἀπὸ δείπνου ἐγένοντο, οἱ μνηστῆρες ἔριν εἶχον ἀμφί τε μουσικῇ καὶ τῷ λεγομένῳ ἐς τὸ μέσον. Προϊούσης δὲ τῆς πόσιος κατέχων πολλὸν τοὺς ἄλλους ὁ Ἱπποκλείδης ἐκέλευσε τὸν αὐλητὴν αὐλῆσαί οἱ ἐμμέλειαν, πειθομένου δὲ τοῦ αὐλητέω ὠρχήσατο. (3) Καί κως ἑωυτῷ μὲν ἀρεστῶς ὠρχέετο, ὁ δὲ Κλεισθένης ὁρέων ὅλον τὸ πρῆγμα ὑπώπτευε. Μετὰ δὲ ἐπισχὼν ὁ Ἱπποκλείδης χρόνον ἐκέλευσέ οἱ τινα τράπεζαν ἐσενεῖκαι, ἐσελθούσης δὲ τῆς τραπέζης πρῶτα μὲν ἐπ' αὐτῆς ὠρχήσατο Λακωνικὰ σχημάτια, μετὰ δὲ ἄλλα Ἀττικά, τὸ τρίτον δὲ τὴν κεφαλὴν ἐρείσας ἐπὶ τὴν τράπεζαν τοῖσι σκέλεσι ἐχειρονόμησε. (4) Κλεισθένης δὲ τὰ μὲν πρῶτα καὶ τὰ δεύτερα ὀρχεομένου, ἀποστυγέων γαμβρόν οἱ ἔτι γενέσθαι Ἱπποκλείδεα διὰ τήν τε ὄρχησιν καὶ τὴν ἀναίδειαν, κατεῖχε ἑωυτόν, οὐ βουλόμενος ἐκραγῆναι ἐς αὐτόν· ὡς δὲ εἶδε τοῖσι σκέλεσι χειρονομήσαντα, οὐκέτι κατέχειν δυνάμενος εἶπε, « ὦ παῖ Τισάνδρου, ἀπορχήσαό γε μὴν τὸν γάμον. » (5) Ὁ δὲ Ἱπποκλείδης ὑπολαβὼν εἶπε, « οὐ φροντὶς Ἱπποκλείδῃ. » Ἀπὸ τούτου μὲν τοῦτο οὐνομάζεται.

CXXX. Κλεισθένης δὲ σιγὴν ποιησάμενος ἔλεξε ἐς μέσον τάδε, « ἄνδρες παιδὸς τῆς ἐμῆς μνηστῆρες, ἐγὼ καὶ πάντας ὑμέας ἐπαινέω, καὶ πᾶσιν ὑμῖν, εἰ οἷόν τε εἴη, χαριζοίμην ἄν, μήτ' ἕνα ὑμέων ἐξαίρετον ἀποκρίνων μήτε τοὺς λοιποὺς ἀποδοκιμάζων. (2) Ἀλλ' οὐ γὰρ οἷά τέ ἐστι μιῆς πέρι παρθένου βουλεύοντα πᾶσι κατὰ νόον ποιέειν, τοῖσι μὲν ὑμέων ἀπελαυνομένοισι τοῦδε τοῦ γάμου τάλαντον ἀργυρίου ἑκάστῳ δωρεὴν δίδωμι τῆς ἀξιώσιος εἵνεκεν τῆς ἐξ ἐμεῦ γῆμαι καὶ τῆς ἐξ οἴκου ἀποδημίης, τῷ δὲ Ἀλκμέωνος Μεγακλεῖ ἐγγυῶ παῖδα τὴν ἐμὴν Ἀγαρίστην νόμοισι τοῖσι Ἀθηναίων. » Φαμένου δὲ ἐγγυᾶσθαι Μεγακλέος ἐκεκύρωτο ὁ γάμος Κλεισθένεϊ.

CXXXI. Ἀμφὶ μὲν κρίσιος τῶν μνηστήρων τοσαῦτα ἐγένετο, καὶ οὕτω Ἀλκμεωνίδαι ἐδώσθησαν ἀνὰ τὴν Ἑλλάδα. Τούτων δὲ συνοικησάντων γίνεται Κλεισθένης τε ὁ τὰς φυλὰς καὶ τὴν δημοκρατίην Ἀθηναίοισι καταστήσας, ἔχων τὸ οὔνομα ἀπὸ τοῦ μητροπάτορος τοῦ Σικυωνίου· (2) οὗτός τε δὴ γίνεται Μεγακλέϊ καὶ Ἱπποκράτης, ἐκ δὲ Ἱπποκράτεος Μεγακλέης τε ἄλλος καὶ Ἀγαρίστη ἄλλη, ἀπὸ τῆς Κλεισθένεος Ἀγαρίστης ἔχουσα τὸ οὔνομα, ἣ συνοικήσασά τε Ξανθίππῳ τῷ Ἀρίφρονος καὶ ἔγκυος ἐοῦσα εἶδε ὄψιν ἐν τῷ ὕπνῳ· ἐδόκεε δὲ λέοντα τεκέειν· καὶ μετ' ὀλίγας ἡμέρας τίκτει Περικλέα Ξανθίππῳ.

CXXXII. Μετὰ δὲ τὸ ἐν Μαραθῶνι τρῶμα γενόμενον Μιλτιάδης, καὶ πρότερον εὐδοκιμέων παρ' Ἀθηναίοισι, τότε μᾶλλον αὔξετο. Αἰτήσας δὲ νέας ἑβδομήκοντα καὶ στρατιήν τε καὶ χρήματα Ἀθηναίους, οὐ φράσας σφι ἐπ' ἣν ἐπιστρατεύεται χώρην, ἀλλὰ φὰς αὐτοὺς καταπλουτιέειν ἤν οἱ ἕπωνται· ἐπὶ γὰρ χώρην

tum ille, mactatis centum bobus, et ipsos procos et cunctos Sicyonios lautis excepit epulis. (2) Peracta cœna, proci et canendo et sermonibus in medio propositis inter se contendebant. Procedente vero compotatione, Hippoclides, destinens maxime cæteros, tibicinem jussit cantum canere ad saltationem adcommodatum; eoque obsequente saltare instituit. (3) Et saltabat quidem placens sibi: sed spectanti Clistheni tota res displicebat. Deinde, brevi interposita mora, mensam sibi inferri Hippoclides jussit: quæ ubi illata est, conscensa mensa primum Laconicos saltavit modulos; deinde alios Atticos; postremo, caput in mensam innixus, cruribus gesticulabatur. (4) Et Clisthenes, quum ad primam et secundam saltationem, abominatus quidem generum sibi adsciscere Hippoclidem ob saltationem et protervam intemperantiam, tamen continuisset sese nec erumpere in eum voluisset; nunc, ubi cruribus gesticulantem vidit, se ultra continere non sustinens, ait: « O fili Tisandri, saltando nuptias tu quidem perdidisti. » (5) At ille respondens, « Nil curat, inquit, Hippoclides. » Et hinc ortum cepit hoc proverbium.

CXXX. Tum vero Clisthenes, imperato silentio, hæc in medio omnium verba fecit: « Viri, filiæ proci meæ, ego cunctos vos laudo; et omnibus, si fieri posset, gratificarem; neque e vobis unum præ cæteris seligerem, neque posthaberem reliquos. (2) At, quoniam fieri non potest, ut, quum de una virgine deliberem, omnium votis simul satisfaciam; eis e vestro numero, qui his nuptiis excidunt, talentum argenti dono do unicuique, quod et diguati estis filiam meam in matrimonium petere, et domibus vestris peregre abfuistis: Megacli vero, Alcmeonis filio, meam filiam Agaristen despondeo ex Atheniensium legibus. » Quumque Megacles dixisset, accipere se conditionem, ratum matrimonium Clisthenes habuit.

CXXXI. Ita, quod ad judicium procorum spectat, gesta res est; atque ita factum est, ut Alcmeonidæ per universam Græciam celebrarentur. Ex isto autem matrimonio natus Megacli est Clisthenes ille, qui decem tribus et democratiam Atheniensibus constituit; cui nomen impositum erat de avi materni nomine Sicyonii: (2) præterque hunc ex eodem matrimonio procreatus est Hippocrates. Hippocrati vero natus est alius Megacles et alia Agariste, quæ a Clisthenis Agariste nomen invenit. Hæc est Agariste, quæ, postquam Xanthippo nupsit, Ariphronis filio, et gravida facta est, per somnum sibi visa erat leonem peperisse, ac paucis interjectis diebus Periclem Xanthippo peperit.

CXXXII. Post cladem Persis ad Marathonem illatam Miltiades, quum jam ante magna in existimatione fuisset apud Athenienses, majore etiam fuit auctoritate. Itaque, quum petiisset ab illis septuaginta naves et exercitum atque pecuniam, celans quidem terram contra quam ducturus esset, sed, ditaturum se eos, dicens, si ipsum sequerentur;

τοιαύτην δή τινα ἄξειν ὄθεν χρυσὸν εὐπετέως ἄφθονον οἴσονται· λέγων τοιαῦτα αἴτεε τὰς νέας. Ἀθηναῖοι δὲ τούτοισι ἐπαρθέντες παρέδοσαν.

CXXXIII. Παραλαβὼν δὲ ὁ Μιλτιάδης τὴν στρατιὴν ἔπλωε ἐπὶ Πάρον, πρόφασιν ἔχων ὡς οἱ Πάριοι ὑπῆρξαν πρότεροι στρατευόμενοι τριήρεϊ ἐς Μαραθῶνα ἅμα τῷ Πέρσῃ. (2) Τοῦτο μὲν δὴ πρόσχημα λόγου ἦν, ἀτάρ τινα καὶ ἔγκοτον εἶχε τοῖσι Παρίοισι διὰ Λυσαγόρεα τὸν Τισίεω, ἐόντα γένος Πάριον, διαβαλόντα μιν πρὸς Ὑδάρνεα τὸν Πέρσην. Ἀπικόμενος δὲ ἐς τὴν ἔπλωε ὁ Μιλτιάδης τῇ στρατιῇ ἐπολιόρκεε Παρίους κατειλημένους ἐντὸς τείχεος, καὶ ἐσπέμπων κήρυκα αἴτεε ἑκατὸν τάλαντα, φὰς, ἢν μή οἱ δῶσι, οὐκ ἀπαναστήσειν τὴν στρατιὴν πρὶν ἢ ἑξέλῃ σφέας. (3) Οἱ δὲ Πάριοι ὅκως μέν τι δώσουσι Μιλτιάδῃ ἀργυρίου οὐδὲ διενοεῦντο, οἱ δὲ ὅκως διαφυλάξουσι τὴν πόλιν, τοῦτο ἐμηχανέοντο, ἄλλα τε ἐπιφραζόμενοι, καὶ τῇ μάλιστα ἔσκε ἑκάστοτε ἐπίμαχον τοῦ τείχεος, τοῦτο ἅμα νυκτὶ ἐξήρετο διπλήσιον τοῦ ἀρχαίου.

CXXXIV. Ἐς μὲν δὴ τοσοῦτο τοῦ λόγου οἱ πάντες Ἕλληνες λέγουσι, τὸ ἐνθεῦτεν δὲ αὐτοὶ Πάριοι γενέσθαι ὧδε λέγουσι· Μιλτιάδῃ ἀπορέοντι ἐλθεῖν ἐς λόγους αἰχμάλωτον γυναῖκα, ἐοῦσαν μὲν Παρίην γένος, οὔνομα δέ οἱ εἶναι Τιμοῦν, εἶναι δὲ ὑποζάκορον τῶν χθονίων θεῶν. (2) Ταύτην ἐλθοῦσαν ἐς ὄψιν Μιλτιάδεω συμβουλεῦσαί οἱ, εἰ περὶ πολλοῦ ποιέεται Πάρον ἑλέειν, τὰ ἂν αὐτὴ ὑποθῆται, ταῦτα ποιέειν. Μετὰ δὲ τὴν μὲν ὑποθέσθαι, τὸν δὲ ἀπικόμενον ἐπὶ τὸν κολωνὸν τὸν πρὸ τῆς πόλιος ἐόντα τὸ ἕρκος θεσμοφόρου Δήμητρος ὑπερθορέειν, οὐ δυνάμενον τὰς θύρας ἀνοῖξαι, ὑπερθορόντα δὲ ἰέναι ἐπὶ τὸ μέγαρον ὁτιδὴ ποιήσοντα ἐντὸς, εἴτε κινήσοντά τι τῶν ἀκινήτων εἴτε ὁτιδήποτε πρήξοντα· (3) πρὸς τῇσι θύρῃσί τε γενέσθαι, καὶ πρόκατε φρίκης αὐτὸν ὑπελθούσης ὀπίσω τὴν αὐτὴν ὁδὸν ἴεσθαι, καταθρώσκοντα δὲ τὴν αἰμασιὴν τὸν μηρὸν σπασθῆναι· οἱ δὲ αὐτὸν τὸ γόνυ προσπταῖσαι λέγουσι.

CXXXV. Μιλτιάδης μέν νυν φλαύρως ἔχων ἀπέπλωε ὀπίσω, οὔτε χρήματα Ἀθηναίοισι ἄγων οὔτε Πάρον προσκτησάμενος, ἀλλὰ πολιορκήσας τε ἓξ καὶ εἴκοσι ἡμέρας καὶ δηϊώσας τὴν νῆσον. (2) Πάριοι δὲ πυθόμενοι ὡς ἡ ὑποζάκορος τῶν θεῶν Τιμὼ Μιλτιάδῃ κατηγήσατο, βουλόμενοί μιν ἀντὶ τούτων τιμωρήσασθαι θεοπρόπους πέμπουσι ἐς Δελφοὺς, ὡς σφέας ἡσυχίη τῆς πολιορκίης ἔσχε. (3) Ἔπεμπον δὲ ἐπειρησομένους εἰ καταχρήσωνται τὴν ὑποζάκορον τῶν θεῶν ὡς ἐξηγησαμένην τοῖσι ἐχθροῖσι τῆς πατρίδος ἅλωσιν καὶ τὰ ἐς ἕρσενα γόνον ἄρρητα ἱρὰ ἐκφήνασαν Μιλτιάδῃ. (4) Ἡ δὲ Πυθίη οὐκ ἔα, φᾶσα οὐ Τιμοῦν εἶναι τὴν αἰτίην τούτων, ἀλλὰ δεῖν γὰρ Μιλτιάδεα τελευτᾶν μὴ εὖ, φανῆναί οἱ τῶν κακῶν κατηγεμόνα. Παρίοισι μὲν δὴ ταῦτα ἡ Πυθίη ἔχρησε.

CXXXVI. Ἀθηναῖοι δὲ ἐκ Πάρου Μιλτιάδεα ἀποναστήσαντα ἔσχον ἐν στόμασι, οἵ τε ἄλλοι καὶ μάλιστα Ξάνθιππος ὁ Ἀρίφρονος, ὃς θανάτου ὑπαγαγὼν ὑπὸ

in ejusmodi enim terram se eos ducturum, unde affatim auri deportaturi essent; hæc quum ille dicens naves petiisset, Athenienses spe erecti instructas ei naves dederunt.

CXXXIII. Et Miltiades, accepto exercitu, Parum navigavit, caussam prætexens quod Parii Persam ad Marathonem navi triremi essent secuti, adeoque priores arma intulissent Athieniensibus. (2) Hoc quidem colore utebatur orationis: cæterum infensus etiam Pariis erat propter Lysagoram Tisiæ filium, genere Parium, qui eum apud Hydarnen Persam accusaverat. Postquam ad insulam, quam petierat, cum exercitu pervenit Miltiades, oppugnavit Parios, intra murum compulsos: missoque in urbem præcone centum postulavit talenta, dicens, nisi ea sibi darent, non se abducturum exercitum, quin vi cepisset urbem. (3) At Parii, de danda Miltiadi pecunia minime cogitantes, omnibus modis operam dabant ut urbem defenderent: quem in finem quum alia excogitabant, tum, ut quæque pars muri expugnatu facilior videbatur, ita eam ingruente nocte duplo altiorem, quam prius erat, excitabant.

CXXXIV. Hactenus quidem Græci omnes in commemoranda hac re consentiunt; deinde vero sic peractam rem esse Parii narrant: Miltiadi, de incepti exitu dubitanti, in colloquium venisse mulierem captivam, genere Pariam, cui Timo nomen fuisse: fuisse vero ministram templi Inferarum Dearum. (2) Hanc, postquam in conspectum venisset Miltiadis, consilium ei dedisse, ut, si utique magni faceret capere Parum, exsequeretur quæ ipsa illi esset indicatura. Deinde, auditis mulieris hujus præceptis, Miltiadem in tumulum, qui ante urbem est, se contulisse, et maceriem transiliisse templo Cereris Legiferæ circumductam, quum fores aperire non potuisset: tum, transcensa hac macerie, ad ipsam ædem deæ accessisse, nescio quid intus facturum, sive quod movere aliquid voluisset quod movere nefas esset, sive aliud quidpiam facturum, quidquid tandem id fuerit. (3) Quum vero jam ad fores esset, subito horrore correptum, per eamdem viam, qua venisset, rediisse; et desilientem de macerie luxasse femur, sive, ut alii aiunt, genu impegisse.

CXXXV. Itaque male se habens Miltiades retro navigavit, neque opes adferens Athieniensibus, nec subacta Paro; sed nulla alia re gesta, nisi quod per sex et viginti dies urbem oppugnasset, insulamque devastasset. (2) Parii, obsidione liberati, intelligentes Dearum ministram Timo Miltiadi quid faciendum esset indicasse, quum pœnam ab illa hujus rei caussa sumere vellent, legatos miserunt Delphos, (3) qui oraculum consulerent, an ultimo supplicio adficerent Dearum ministram, quæ hostibus viam capiendæ patriæ indicasset, et sacra, quæ ad virilem sexum efferri nefas esset, Miltiadi aperuisset. (4) At negavit Pythia, dicens, non Timo ipsam hujus rei esse caussam; sed, quum in fatis esset ut vitam male finiret Miltiades, hanc ei a diis missam esse ducem malorum. Hæc quidem Pythia Pariis respondit.

CXXXVI. Miltiadem autem, Paro reversum, quum alii omnes Athenienses in ore habebant, tum præ cæteris Xanthippus, Ariphronis filius; qui eum capitis reum egit apud

τὸν δῆμον Μιλτιάδεα ἐδίωκε τῆς Ἀθηναίων ἀπάτης εἵνεκεν. (2) Μιλτιάδης δὲ αὐτὸς μὲν παρεὼν οὐκ ἀπελογέετο (ἦν γὰρ ἀδύνατος ὥστε σηπομένου τοῦ μηροῦ), προκειμένου δὲ αὐτοῦ ἐν κλίνῃ ὑπεραπελογέοντο οἱ φίλοι, τῆς μάχης τε τῆς ἐν Μαραθῶνι πολλὰ ἐπιμεμνημένοι, καὶ τὴν Λήμνου αἵρεσιν, ὡς ἑλὼν Λῆμνόν τε καὶ τισάμενος τοὺς Πελασγοὺς παρέδωκε Ἀθηναίοισι. (3) Προσγενομένου δὲ τοῦ δήμου αὐτῷ κατὰ τὴν ἀπόλυσιν τοῦ θανάτου, ζημιώσαντος δὲ κατὰ τὴν ἀδικίην πεντήκοντα τάλαντοισι, Μιλτιάδης μὲν μετὰ ταῦτα σφακελίσαντός τε τοῦ μηροῦ καὶ σαπέντος τελευτᾷ, τὰ δὲ πεντήκοντα τάλαντα ἐξέτισε ὁ παῖς αὐτοῦ Κίμων.

CXXXVII. Λῆμνον δὲ Μιλτιάδης ὁ Κίμωνος ὧδε ἔσχε. Πελασγοὶ ἐπείτε ἐκ τῆς Ἀττικῆς ὑπ' Ἀθηναίων ἐξεβλήθησαν, εἴτε ὧν δὴ δικαίως εἴτε ἀδίκως· τοῦτο γὰρ οὐκ ἔχω φράσαι, πλὴν τὰ λεγόμενα, ὅτι Ἑκαταῖος μὲν ὁ Ἡγησάνδρου ἔφησε ἐν τοῖσι λόγοισι λέγων ἀδίκως· (2) ἐπείτε γὰρ ἰδέειν τοὺς Ἀθηναίους τὴν χώρην τὴν σφισι ὑπὸ τὸν Ὑμησσὸν ἐοῦσαν ἔδοσαν οἰκῆσαι μισθὸν τοῦ τείχεος τοῦ περὶ τὴν ἀκρόπολίν κοτε ἑλομένου, ταύτην ὡς ἰδέειν τοὺς Ἀθηναίους ἐξεργασμένην εὖ, τὴν πρότερον εἶναι κακήν τε καὶ τοῦ μηδενὸς ἀξίην, λαβέειν φθόνον τε καὶ ἵμερον τῆς γῆς, καὶ οὕτω ἐξελαύνειν αὐτοὺς οὐδεμίαν ἄλλην πρόφασιν προϊσχομένους τοὺς Ἀθηναίους. (3) Ὡς δὲ αὐτοὶ Ἀθηναῖοι λέγουσι, δικαίως ἐξελάσαι· κατοικημένους γὰρ τοὺς Πελασγοὺς ὑπὸ τῷ Ὑμησσῷ, ἐνθεῦτεν ὁρμεωμένους ἀδικέειν τάδε· (4) φοιτᾶν γὰρ αἰεὶ τὰς σφετέρας θυγατέρας ἐπ' ὕδωρ ἐπὶ τὴν Ἐννεάκρουνον (οὐ γὰρ εἶναι τοῦτον τὸν χρόνον σφίσι κω οὐδὲ τοῖσι ἄλλοισι Ἕλλησι οἰκέτας), ὅκως δὲ ἔλθοιεν αὗται, τοὺς Πελασγοὺς ὑπ' ὕβριός τε καὶ ὀλιγωρίης βιᾶσθαι σφέας· (5) καὶ ταῦτα μέντοι σφίσι οὐκ ἀποχρᾶν ποιέειν, ἀλλὰ τέλος καὶ ἐπιβουλεύοντας ἐπιχειρήσειν ἐπ' αὐτοφώρῳ φανῆναι. Ἑωυτοὺς δὲ γενέσθαι τοσούτῳ ἐκείνων ἄνδρας ἀμείνονας, ὅσῳ παρεὸν αὐτοῖσι ἀποκτεῖναι τοὺς Πελασγούς, ἐπεί σφεας ἔλαβον ἐπιβουλεύοντας, οὐκ ἐθελῆσαι, ἀλλά σφι προεῖπαι ἐκ τῆς γῆς ἐξιέναι. Τοὺς δὲ οὕτω δὴ ἐκχωρήσαντας ἄλλα τε σχεῖν χωρία καὶ δὴ καὶ Λῆμνον. Ἐκεῖνα μὲν δὴ Ἑκαταῖος ἔλεξε, ταῦτα δὲ Ἀθηναῖοι λέγουσι.

CXXXVIII. Οἱ δὲ Πελασγοὶ οὗτοι Λῆμνον τότε νεμόμενοι καὶ βουλόμενοι τοὺς Ἀθηναίους τιμωρήσασθαι, εὖ τε ἐξεπιστάμενοι τὰς Ἀθηναίων ὀρτάς, πεντηκοντέρους κτησάμενοι ἐλόχησαν Ἀρτέμιδι ἐν Βραυρῶνι ἀγούσας ὀρτὴν τὰς τῶν Ἀθηναίων γυναῖκας, ἐνθεῦτεν δὲ ἁρπάσαντες τούτων πολλὰς οἴχοντο ἀποπλώοντες, καί σφεας ἐς Λῆμνον ἀγαγόντες παλλακὰς εἶχον. (2) Ὡς δὲ τέκνων αὗται αἱ γυναῖκες ὑπεπλήσθησαν, γλῶσσάν τε τὴν Ἀττικὴν καὶ τρόπους τοὺς Ἀθηναίων ἐδίδασκον τοὺς παῖδας. Οἱ δὲ οὔτε συμμίσγεσθαι τοῖσι ἐκ τῶν Πελασγίδων γυναικῶν παισὶ ἤθελον, εἴ τε τύπτοιτό τις αὐτῶν ὑπ' ἐκείνων τινός, populum, ut qui Athenienses dolo malo circumvenisset. (2) Quam ad accusationem Miltiades ipse, præsens licet, non respondit: nec enim poterat, femore jam in putredinem abeunte. Sed, dum ille lectulo impositus in medio jacebat, caussam pro eo dixere amici, pugnæ Marathoniæ multam mentionem facientes, et Lemni ab illo captæ, pœnæque de Pelasgis sumptæ, et insulæ Atheniensibus traditæ. (3) Favente autem illi populo hactenus, ut capitis crimine eum absolveret, sed tamen propter damnum civitati illatum quinquaginta multaret talentis, Miltiades quidem haud multo post, carie exeso putrefactoque femore, vitam finivit; quinquaginta autem illa talenta filius ejus Cimon persolvit.

CXXXVII. Lemno autem Miltiades, Cimonis filius, hoc modo potitus erat. Postquam Pelasgi ex Attica ab Atheniensibus erant ejecti, sive jure, sive injuria; — nam de hoc quidem nihil aliud dicere possum, nisi quæ ab aliis memorantur: scilicet, quod Hecatæus Hegesandri filius, hac de re in Historiis suis loquens, dicat, injuria id esse factum: (2) postquam enim Athenienses regionem illam, quam sub Hymetto sitam Pelasgis, pro mercede muri olim arci Athenarum circumducti, dederant habitandam, hanc regionem, ait, postquam bene cultam vidissent Athenienses, quum antea misera fuisset et nullius pretii, invidia fuisse captos et desiderio hujus terræ; atque ita Athenienses, nullam aliam juris speciem præ se ferentes, illos ejecisse. (3) Ipsi autem Athenienses contendunt, jure a se ejectos Pelasgos esse: postquam enim adsignatæ illis sub Hymetto sedes fuissent: inde eosdem facto impetu injuriam ipsis hanc solitos esse inferre: (4) quum filiæ Atheniensium aquæ hauriendæ caussa ad fontem, cui Enneacrunos nomen, egredi consuessent; quandoquidem per id tempus nec Atheniensibus nec aliis Græcis servi fuissent; Pelasgos, quoties Atticæ puellæ ad fontem venissent, per contumeliam contemptumque vim eis intulisse; (5) et ne hoc quidem habuisse satis, sed postremo etiam ipso facto deprehensos fuisse de invadendis Athenis consilia agitantes. Sese autem tanto meliores homines, quam illos, fuisse; quod, quum interficere Pelasgos fas sibi fuisset, quippe quos insidiantes sibi deprehendissent, noluissent id facere; tantum edixissent eis, ut terra egrederentur. Atque illos, Attica ita egressos, quum alia loca, tum vero et Lemnum occupasse. Ista igitur Hecatæus scripsit, hæc vero Athenienses memorant.

CXXXVIII. Hi igitur Pelasgi, quum Lemnum incolerent, cupientes ulcisci Athenienses, et bene cognita habentes festa Atheniensium, comparatis quinquaginta remorum navibus, insidias struxere mulieribus Atticis, Braurone festum Dianæ celebrantibus: earumque complures, vi raptas, Lemnum duxere, et pellicum loco habuere. (2) Quæ postquam liberos pepererunt, Atticum sermonem moresque Atticos docuere pueros. Hi vero deinde nec consuescere cum pueris ex Pelasgicis mulieribus natis voluerunt, et, quoties eorum aliquis ab istis pulsabatur, omnes huic suppetias veniebant, et sibi mutuo

ἐβώθεόν τε πάντες καὶ ἐτιμώρεον ἀλλήλοισι· καὶ δὴ καὶ ἄρχειν τε τῶν παίδων οἱ παῖδες ἐδικαίευν καὶ πολλὸν ἐπεκράτεον. (3) Μαθόντες δὲ ταῦτα οἱ Πελασγοὶ ἑωυτοῖσι λόγους ἐδίδοσαν· καὶ σφίσι βουλευομένοισι δεινόν τι ἐσέδυνε, εἰ δὴ διαγινώσκοιεν σφίσι τε βωθέειν οἱ παῖδες πρὸς τῶν κουριδίων γυναικῶν τοὺς παῖδας καὶ τούτων αὐτίκα ἄρχειν πειρώατο, τί δὴ ἀνδρωθέντες δῆθεν ποιήσουσι. (4) Ἐνθαῦτα ἔδοξέ σφι κτείνειν τοὺς παῖδας τοὺς ἐκ τῶν Ἀττικέων γυναικῶν. Ποιεῦσι δὴ ταῦτα, προσαπολλῦσι δέ σφεων καὶ τὰς μητέρας. Ἀπὸ τούτου δὲ τοῦ ἔργου καὶ τοῦ προτέρου τούτων, τὸ ἐργάσαντο αἱ γυναῖκες τοὺς ἅμα Θόαντι ἄνδρας σφετέρους ἀποκτείνασαι, νενόμισται ἀνὰ τὴν Ἑλλάδα τὰ σχέτλια ἔργα πάντα Λήμνια καλέεσθαι.

CXXXIX. Ἀποκτείνασι δὲ τοῖσι Πελασγοῖσι τοὺς σφετέρους παῖδάς τε καὶ γυναῖκας οὔτε γῆ καρπὸν ἔφερε οὔτε γυναῖκές τε καὶ ποῖμναι ὁμοίως ἔτικτον καὶ πρὸ τοῦ. (2) Πιεζόμενοι δὲ λιμῷ τε καὶ ἀπαιδίῃ ἐς Δελφοὺς ἔπεμπον, λύσιν τινὰ αἰτησόμενοι τῶν παρεόντων κακῶν. Ἡ δὲ Πυθίη σφέας ἐκέλευε Ἀθηναίοισι δίκας ἰδιδόναι ταύτας τὰς ἂν αὐτοὶ Ἀθηναῖοι δικάσωσι. (3) Ἦλθόν τε δὴ ἐς τὰς Ἀθήνας οἱ Πελασγοὶ, καὶ δίκας ἐπηγγέλλοντο βουλόμενοι διδόναι παντὸς τοῦ ἀδικήματος. (4) Ἀθηναῖοι δὲ ἐν τῷ πρυτανηίῳ κλίνην στρώσαντες ὡς εἶχον κάλλιστα, καὶ τράπεζαν ἐπιπλέην ἀγαθῶν πάντων παραθέντες, ἐκέλευον τοὺς Πελασγοὺς τὴν χώρην σφίσι παραδιδόναι οὕτω ἔχουσαν. (5) Οἱ δὲ Πελασγοὶ ὑπολαβόντες εἶπαν, « ἐπεὰν βορέη ἀνέμῳ αὐτημερὸν νηῦς ἐξανύσῃ ἐκ τῆς ὑμετέρης ἐς τὴν ἡμετέρην, τότε παραδώσομεν. » Τοῦτο εἶπαν ἐπιστάμενοι τοῦτο εἶναι ἀδύνατον γενέσθαι· ἡ γὰρ Ἀττικὴ πρὸς νότον κέεται πολλὸν τῆς Λήμνου.

CXL. Τότε μὲν τοσαῦτα· ἔτεσι δὲ κάρτα πολλοῖσι ὕστερον τούτων, ὡς ἡ Χερσόνησος ἡ ἐν Ἑλλησπόντῳ ἐγένετο ὑπ' Ἀθηναίοισι, Μιλτιάδης ὁ Κίμωνος ἐτησιέων ἀνέμων κατεστηκότων νηῒ κατανύσας ἐξ Ἐλαιοῦντος τοῦ ἐν Χερσονήσῳ ἐς Λῆμνον προηγόρευε ἐξιέναι ἐκ τῆς νήσου τοῖσι Πελασγοῖσι, ἀναμιμνήσκων σφέας τὸ χρηστήριον, τὸ οὐδαμὰ ἤλπισαν σφίσι οἱ Πελασγοὶ ἐπιτελέεσθαι. (2) Ἡφαιστιέες μέν νυν ἐπείθοντο, Μυριναῖοι δὲ οὐ συγγινωσκόμενοι εἶναι τὴν Χερσόνησον Ἀττικὴν ἐπολιορκέοντο, ἐς ὃ καὶ αὐτοὶ παρέστησαν. Οὕτω δὴ τὴν Λῆμνον ἔσχον Ἀθηναῖοί τε καὶ Μιλτιάδης.

ferebant opem: atque etiam dominari in illos hi pueri in animum induxerant, multoque alteris prævalebant. (3) Quod ubi Pelasgi intellexere, non negligendam eam rem putarunt; deliberantesque incessit metus, quidnam facturi hi pueri essent quando adulti forent, qui jam nunc constitutum habeant sibi invicem præsto esse contra legitimarum uxorum pueros, atque his velint dominari. (4) Itaque interficere decreverunt pueros ex Atticis mulieribus natos: idque etiam fecere, simulque cum his matres eorumdem occiderunt. Atque ab hoc facinore, et ab eo quod olim mulieres Lemniæ patraverant, Thoantis tempore maritos suos occidentes, usu receptum per universam Græciam est, ut nefaria facinora Lemnia adpellentur.

CXXXIX. Postquam pueros uxoresque Pelasgi interfecerant, nec terra illis fructum edebat, neque uxores et greges pepererunt ut antea. (2) Itaque et fame pressi et orbitate, Delphos miserunt, levamen aliquod precantes malorum quæ ipsos premebant. Tum Pythia jussit eos satisfactionem dare Atheniensibus quamcumque illi postulassent: (3) et Athenas Pelasgi venere, nunciantes se satisfacturos esse pro omni injuria. (4) Athenienses vero, strato lecto in prytaneo, quam pulcerrime potuerant, et adposita mensa bonis rebus omnibus repleta, Pelasgos jusserunt terram suam ipsis tradere ita comparatam. (5) Quibus Pelasgi responderunt: « Tunc vobis eam trademus, quum vento borea navis e vestra terra eodem die in nostram pervenerit. » Hoc dixere, putantes nulla ratione fieri id posse. Attica enim terra procul a Lemno meridiem versus sita est.

CXL. Et tunc quidem hæc hactenus acta erant. Bene multis vero post annis, quum Chersonesus ad Hellespontum in dilione esset Atheniensium, Miltiades Cimonis filius flantibus etesiis ventis navi ex Elæunte Chersonesi Lemnum profectus, Pelasgis edixit, ut insula excederent; in memoriam eis revocans oraculum, quod numquam impletum iri sibi persuaserant. (2) Et Hephæstienses quidem paruerunt imperio: Myrinæi vero, Chersonesum negantes esse Atticam, oppugnabantur, donec et ipsi in deditionem venerunt. Atque ita Lemnum tenuere Athenienses et Miltiades.

ΗΡΟΔΟΤΟΥ

ΙΣΤΟΡΙΩΝ ΕΒΔΟΜΗ.

(ΠΟΛΥΜΝΙΑ.)

I. Ἐπεὶ δὲ ἡ ἀγγελίη ἀπίκετο περὶ τῆς μάχης τῆς ἐν Μαραθῶνι γενομένης παρὰ βασιλέα Δαρεῖον τὸν Ὑστάσπεος καὶ πρὶν μεγάλως κεχαραγμένον τοῖσι Ἀθηναίοισι διὰ τὴν ἐς Σάρδις ἐσβολήν, καὶ δὴ καὶ τότε πολλῷ τε δεινότερα ἐποίεε καὶ μᾶλλον ὥρμητο στρατεύεσθαι ἐπὶ τὴν Ἑλλάδα. (2) Καὶ αὐτίκα μὲν ἐπηγγέλλετο πέμπων ἀγγέλους κατὰ πόλις ἑτοιμάζειν στρατιήν, πολλῷ πλέω ἐπιτάσσων ἑκάστοισι ἢ πρότερον παρεῖχον, καὶ νέας τε καὶ ἵππους καὶ σῖτον. (3) Τούτων δὲ περιαγγελλομένων ἡ Ἀσίη ἐδονέετο ἐπὶ τρία ἔτεα, καταλεγομένων τε τῶν ἀρίστων ὡς ἐπὶ τὴν Ἑλλάδα στρατευσομένων καὶ παρασκευαζομένων. (4) Τετάρτῳ δὲ ἔτεῖ Αἰγύπτιοι ὑπὸ Καμβύσεω δουλωθέντες ἀπέστησαν ἀπὸ Περσέων. Ἐνθαῦτα δὴ καὶ μᾶλλον ὥρμητο καὶ ἐπ' ἀμφοτέρους στρατεύεσθαι.

II. Στελλομένου δὲ Δαρείου ἐπ' Αἴγυπτον καὶ Ἀθήνας, τῶν παίδων αὐτοῦ στάσις ἐγένετο μεγάλη περὶ τῆς ἡγεμονίης, ὡς δεῖ μιν ἀποδέξαντα βασιλέα κατὰ τὸν Περσέων νόμον οὕτω στρατεύεσθαι. (2) Ἦσαν γὰρ Δαρείῳ καὶ πρότερον ἢ βασιλεῦσαι γεγονότες τρεῖς παῖδες ἐκ τῆς προτέρης γυναικὸς, Γωβρύεω θυγατρὸς, καὶ βασιλεύσαντι ἐξ Ἀτόσσης τῆς Κύρου ἕτεροι τέσσερες. Τῶν μὲν δὴ προτέρων ἐπρέσβευε Ἀρτοβαζάνης, τῶν δὲ ἐπιγενομένων Ξέρξης. (3) Ἐόντες δὲ μητρὸς οὐ τῆς αὐτῆς ἐστασίαζον, ὁ μὲν Ἀρτοβαζάνης κατ' ὅ τι πρεσβύτατός τε εἴη παντὸς τοῦ γόνου καὶ ὅτι νομιζόμενα εἴη πρὸς πάντων ἀνθρώπων τὸν πρεσβύτατον τὴν ἀρχὴν ἔχειν, Ξέρξης δὲ ὡς Ἀτόσσης τε παῖς εἴη τῆς Κύρου θυγατρὸς καὶ ὅτι Κῦρος εἴη ὁ κτησάμενος τοῖσι Πέρσῃσι τὴν ἐλευθερίην.

III. Δαρείου δὲ οὐκ ἀποδεικνυμένου κω γνώμην, ἐτύγχανε κατὰ τὠυτὸ τούτοισι καὶ Δημάρητος ὁ Ἀρίστωνος ἀναβεβηκὼς ἐς Σοῦσα, ἐστερημένος τε τῆς ἐν Σπάρτῃ βασιληίης καὶ φυγὴν ἐπιβαλὼν ἑωυτῷ ἐκ Λακεδαίμονος. (2) Οὗτος ὡνὴρ πυθόμενος τῶν Δαρείου παίδων τὴν διαφορὴν, ἐλθὼν, ὡς ἡ φάτις μιν ἔχει, Ξέρξῃ συνεβούλευε λέγειν πρὸς τοῖσι ἔλεγε ἕπεσι, ὡς αὐτὸς μὲν γένοιτο Δαρείῳ ἤδη βασιλεύοντι καὶ ἐχοντι τὸ Περσέων κράτος, Ἀρτοβαζάνης δὲ ἔτι ἰδιώτῃ ἐόντι Δαρείῳ· οὐκ ὦν οὔτ' οἰκὸς εἴη οὔτε δίκαιον ἄλλον τινὰ τὸ γέρας ἔχειν πρὸ ἑωυτοῦ, ἐπεί γε καὶ ἐν Σπάρτῃ ἔφη ὁ Δημάρητος ὑποτιθέμενος οὕτω νομίζεσθαι, ἢν οἱ μὲν προγεγονότες ἔωσι πρὶν ἢ τὸν πατέρα σφέων βασιλεῦσαι, ὁ δὲ βασιλεύοντι ὀψίγονος ἐπιγένηται, τοῦ ἐπιγενομένου τὴν ἔκδεξιν τῆς βασιληίης γίνεσθαι. (3)

HERODOTI

HISTORIARUM LIBER SEPTIMUS.

(POLYMNIA.) (505,506.)

I. Postquam pugnæ nuncius ad Marathonem pugnatæ ad Darium Hystaspis est perlatus, quum jam antea Atheniensibus propter incursionem adversus Sardes vehementer iratus rex fuisset, nunc id, quod acciderat, multo etiam gravius tulit, multoque magis ad bellum Græciæ inferendum incensus est. (2) Ac statim quidem, missis per singulas civitates legatis, edixit ut exercitum compararent, (multo majorem numerum cuique civitati, atque antea contulerant, imperans,) et naves et equos et frumentum et minora navigia. (3) Quibus circummissis nunciis, commota per tres annos Asia est; dum, ut ad bellum adversus Græciam gerendum, conscribuntur fortissimi quique, e ad id bellum se comparant. (4) Quarto vero anno Ægyptii, a Cambyse subacti, defecerunt a Persis: quo facto etiam magis ad arma utrisque inferenda concitatus est.

II. Dum vero ad expeditionem adversus Ægyptum et Athenas se Darius comparabat, ortum est inter filios ipsius ingens de principatu contentio. Etenim ex lege Persarum debet rex, priusquam in bellum proficiscatur, successorem nominare regni. (2) Erant autem Dario, priusquam ad regnum promoveretur, tres filii nati ex priore uxore, Gobryæ filia; et, ex quo rex factus est, alii quattuor ex Atossa, Cyri filia. Priorum natu maximus erat Artabazanes; posteriorum Xerxes. (3) Hi igitur, non eadem matre nati, de principatu inter se contendebant: Artabazanes dictitans, se maximum natu esse omnium; et apud omnes populos receptum esse, ut filius natu maximus in regnum succedat patri: Xerxes vero, esse se filium Atossæ, Cyri filiæ: Cyrum autem adquisivisse Persis libertatem.

III. Sententiam suam Darius nondum aperuerat, quum forte per idem tempus Susa advenit Demaratus, Aristonis filius, qui postquam regno Spartanorum privatus est, voluntarium sibi ipse exsilium imposuerat. (2) Hic vir, cognito filiorum Darii dissidio, conveniens (ut quidem fama de eo fert) Xerxem, suasit ei, ut cæteris, quæ ille pro sua causa dicebat, hæc adderet: natum se esse Dario jam regnanti et Persarum tenenti imperium; Artabazanem vero, privato etiam tum patri: itaque nec conveniens nec justum esse, ut alius præ ipso istam accipiat dignitatem. Nam et Spartæ (et hoc illi Demaratus suggessit) hanc legem obtinere, si alii nati sint priusquam rex fuisset pater, alius autem post hos quidem, sed regnante patre, natus sit, ut hic post natus in regnum succedat. (3) Quo Demarati monitu

Χρησαμένου δὲ Ξέρξεω τῇ Δημαρήτου ὑποθήκῃ, γνοὺς ὁ Δαρεῖος ὡς λέγοι δίκαια βασιλέα μιν ἀπέδεξε. Δοκέειν δ' ἐμοὶ, καὶ ἄνευ ταύτης τῆς ὑποθήκης ἐβασίλευσεν ἂν Ξέρξης· ἡ γὰρ Ἄτοσσα εἶχε τὸ πᾶν κράτος.

IV. Ἀποδέξας δὲ βασιλέα Πέρσῃσι Δαρεῖος Ξέρξεα ὥρμητο στρατεύεσθαι. Ἀλλὰ γὰρ μετὰ ταῦτά τε καὶ Αἰγύπτου ἀπόστασιν τῷ ὑστέρῳ ἔτεϊ παρασκευαζόμενον συνήνεικε αὐτὸν Δαρεῖον, βασιλεύσαντα τὰ πάντα ἔτεα ἓξ τε καὶ τριήκοντα, ἀποθανέειν, οὐδέ οἱ ἐξεγένετο οὔτε τοὺς ἀπεστεῶτας Αἰγυπτίους οὔτε Ἀθηναίους τιμωρήσασθαι. Ἀποθανόντος δὲ Δαρείου ἡ βασιληίη ἀνεχώρησε ἐς τὸν παῖδα τὸν ἐκείνου Ξέρξεα.

V. Ὁ τοίνυν Ξέρξης ἐπὶ μὲν τὴν Ἑλλάδα οὐδαμῶς πρόθυμος ἦν κατ' ἀρχὰς στρατεύεσθαι, ἐπὶ δὲ Αἴγυπτον ἐποιέετο τὴν στρατιῆς ἄγερσιν. (2) Παρεὼν δὲ καὶ δυνάμενος παρ' αὐτῷ μέγιστον Περσέων Μαρδόνιος ὁ Γωβρύεω, ὃς ἦν Ξέρξῃ μὲν ἀνεψιὸς, Δαρείου δὲ ἀδελφεῆς παῖς, τοιούτου λόγου εἴχετο, λέγων, « δέσποτα, οὐκ οἰκός ἐστι Ἀθηναίους ἐργασαμένους πολλὰ ἤδη κακὰ Πέρσας μὴ οὐ δοῦναι δίκας τῶν ἐποίησαν. (3) Ἀλλὰ τὸ μὲν νῦν ταῦτα πρήσσοις τά περ ἐν χερσὶ ἔχεις· ἡμερώσας δὲ Αἴγυπτον τὴν ἐξυβρίσασαν στρατηλάτεε ἐπὶ τὰς Ἀθήνας, ἵνα λόγος τέ σε ἔχῃ πρὸς ἀνθρώπων ἀγαθὸς καί τις ὕστερον φυλάσσηται ἐπὶ γῆν τὴν σὴν στρατεύεσθαι. » (4) Οὗτος μέν οἱ ὁ λόγος ἦν τιμωρὸς, τούτου δὲ τοῦ λόγου παρενθήκην ποιεέσκετο τήνδε, ὡς ἡ Εὐρώπη περικαλλὴς χώρη, καὶ δένδρεα παντοῖα φέρει τὰ ἥμερα, ἀρετήν τε ἄκρη, βασιλεΐ τε μούνῳ θνητῶν ἀξίη ἐκτῆσθαι.

VI. Ταῦτα δὲ ἔλεγε οἷα νεωτέρων ἔργων ἐπιθυμητὴς ἐὼν καὶ θέλων αὐτὸς τῆς Ἑλλάδος ὕπαρχος εἶναι. Χρόνῳ δὲ κατεργάσατό τε καὶ ἀνέπεισε Ξέρξεα ὥστε ποιέειν ταῦτα· συνέλαβε γὰρ καὶ ἄλλα οἱ σύμμαχα γενόμενα ἐς τὸ πείθεσθαι Ξέρξεα. (2) Τοῦτο μὲν ἀπὸ τῆς Θεσσαλίης παρὰ τῶν Ἀλευαδέων ἀπιγμένοι ἄγγελοι ἐπεκαλέοντο βασιλέα πᾶσαν προθυμίην παρεχόμενοι ἐπὶ τὴν Ἑλλάδα (οἱ δὲ Ἀλευάδαι οὗτοι ἦσαν Θεσσαλίης βασιλέες), τοῦτο δὲ Πεισιστρατιδέων οἱ ἀναβεβηκότες ἐς Σοῦσα, τῶν τε αὐτῶν λόγων ἐχόμενοι τῶν καὶ οἱ Ἀλευάδαι, καὶ δή τι πρὸς τούτοισι ἔτι πλέον προσωρέγοντό οἱ, ἔχοντες Ὀνομάκριτον ἄνδρα Ἀθηναῖον χρησμολόγον τε καὶ διαθέτην χρησμῶν τῶν Μουσαίου. (3) Ἀναβεβήκεσαν γὰρ τὴν ἔχθρην προκαταλυσάμενοι· ἐξηλάθη γὰρ ὑπ' Ἱππάρχου τοῦ Πεισιστράτου ὁ Ὀνομάκριτος ἐξ Ἀθηνέων, ἐπ' αὐτοφώρῳ ἁλοὺς ὑπὸ Λάσου τοῦ Ἑρμιονέος ἐς τὰ Μουσαίου χρησμὸν ὡς αἱ ἐπὶ Λήμνου ἐπικείμεναι νῆσοι ἀφανιζοίατο κατὰ τῆς θαλάσσης. (4) Διὸ ἐξήλασέ μιν ὁ Ἵππαρχος, πρότερον χρεώμενος τὰ μάλιστα. Τότε δὲ συναναβὰς ὅκως ἀπίκοιτο ἐς ὄψιν τὴν βασιλέος, λεγόντων τῶν Πεισιστρατιδέων περὶ αὐτοῦ σεμνοὺς λόγους, κατέλεγε τῶν χρησμῶν· εἰ μέν τι ἐνέοι σφάλμα φέρον τῷ βαρβάρῳ, τῶν μὲν ἔλεγε οὐδὲν, ὁ δὲ τὰ εὐτυχέστατα

quum Xerxes uteretur, agnoscens Darius æqua illum dicere, regem illum nominavit. Videtur autem mihi Xerxes etiam absque hoc monito regnum fuisse adepturus; nam omnia apud Darium poterat Atossa.

IV. Darius, postquam regem Persarum nominaverat Xerxem, jam in eo erat ut belli faceret initium. At enim, proximo ab his rebus et ab Ægypti defectione anno accidit, ut idem Darius in medio belli adparatu e vita discederet, postquam annos omnino regnasset sex et triginta: neque ei contigit aut de rebellantibus Ægyptiis aut de Atheniensibus sumere pœnam. Mortuo igitur Dario, regnum rediit ad Xerxem, Darii filium.

V. Xerxes ad bellum quidem Græciæ inferendum initio neutiquam inclinabat; sed contra Ægyptum copias contraxit. (2) Quem conveniens Mardonius Gobryæ filius, consobrinus Xerxis, Darii ex sorore nepos, qui apud ipsum plurimum omnium Persarum valebat auctoritate, talem exorsus est sermonem: « Domine, æquum non est, ut Athenienses, qui multis jam malis Persas adfecerunt, non dent pœnas factorum. (3) At nunc quidem tu peragas hæc, quæ in manibus habes: domita vero Ægypti insolentia, adversus Athenas duc exercitum; quo et bonam famam adquiras apud homines, et posthac caveat quisque tuæ terræ arma inferre. » (4) Et hæc quidem oratio ad exigendam pœnam pertinebat; sed medio sermoni alium interserebat hujusmodi: Europam terram esse pulcerrimam, arborum omnis generis frugiferarum feracem, summæ bonitatis, et dignam quæ præ mortalibus omnibus a solo Rege possideatur.

VI. Hæc ille dicebat, quod novarum rerum cupidus esset, et Græciæ vellet ipse esse præfectus. Procedente vero tempore id quod voluerat confecit, et Xerxi, ut rem adgrederetur, persuasit: accesserant enim alia quoque adjumenta, quæ ad permovendum Xerxem valebant. (2) Partim enim e Thessalia advenerant ab Aleuadis legati, invitantes regem ut adversus Græciam duceret, et promptissimam ei operam pollicentes. Erant autem hi Aleuadæ, Thessaliæ reges. Partim vero Pisistratidæ, Susa profecti, non modo eisdem utebantur sermonibus quibus Aleuadæ, sed præterea aliquanto magis instabant regi eo, quod Onomacritum secum haberent Atheniensem, fatidicum virum, qui etiam Musæi vaticinia digessit. (3) Adscenderant hi autem, in gratiam cum illo reversi: nam Athenis pulsus Onomacritus fuerat ab Hipparcho, Pisistrati filio, eo quod deprehensus a Laso Hermioniensi erat, quum Musæi vaticiniis hoc insereret, exstinctum iri insulas Lemnum versus sitas, mari hauriendas. (4) Hanc ob caussam in exsilium eum miserat Hipparchus, quum eodem antea familiarissime usus fuisset. Nunc ille simul Susa profectus, quoties in regis venit conspectum, multa de eo honorifice prædicantibus Pisistratidis, recitabat regi partem vaticiniorum; ita quidem, ut si quod inesset quod cladem prædiceret barbaro, illud silentio præteriret; ea vero sola

ἐκλεγόμενος ἔλεγε τόν τε Ἑλλήσποντον ὡς ζευχθῆναι χρεὼν εἴη ὑπ' ἀνδρὸς Πέρσεω, τήν τε ἔλασιν ἐξηγεόμενος. (5) Οὗτός τε δὴ χρησμῳδέων προσεφέρετο, καὶ οἵ τε Πεισιστρατίδαι καὶ οἱ Ἀλευάδαι γνώμας ἀποδεικνύμενοι.

VII. Ὡς δὲ ἀνεγνώσθη Ξέρξης στρατεύεσθαι ἐπὶ τὴν Ἑλλάδα, ἐνθαῦτα δευτέρῳ μὲν ἔτεϊ μετὰ τὸν θάνατον τὸν Δαρείου πρῶτα στρατηίην ποιέεται ἐπὶ τοὺς ἀπεστεῶτας. (2) Τούτους μέν νυν καταστρεψάμενος, καὶ Αἴγυπτον πᾶσαν πολλὸν δουλοτέρην ποιήσας ἢ ἐπὶ Δαρείου ἦν, ἐπιτράπει Ἀχαιμένεϊ ἀδελφεῷ μὲν ἑωυτοῦ, Δαρείου δὲ παιδί. Ἀχαιμένεα μέν νυν ἐπιτροπεύοντα Αἰγύπτου χρόνῳ μετέπειτεν ἐφόνευσε Ἰνάρως ὁ Ψαμμιτίχου ἀνὴρ Λίβυς.

VIII. Ξέρξης δὲ μέτ' Αἰγύπτου ἅλωσιν ὡς ἔμελλε ἐς χεῖρας ἄξεσθαι τὸ στράτευμα τὸ ἐπὶ τὰς Ἀθήνας, σύλλογον ἐπίκλητον Περσέων τῶν ἀρίστων ἐποιέετο, ἵνα γνώμας τε πύθηται σφέων καὶ αὐτὸς ἐν πᾶσι εἴπῃ τὰ ἐθέλει. (1) Ὡς δὲ συνελέχθησαν, ἔλεξε Ξέρξης τάδε, « ἄνδρες Πέρσαι, οὔτ' αὐτὸς κατηγήσομαι νόμον τόνδε ἐν ὑμῖν τιθείς, παραδεξάμενός τε αὐτῷ χρήσομαι. (2) Ὡς γὰρ ἐγὼ πυνθάνομαι τῶν πρεσβυτέρων, οὐδαμά κω ἠτρεμήσαμεν, ἐπείτε παρελάβομεν τὴν ἡγεμονίην τήνδε παρὰ Μήδων, Κύρου κατελόντος Ἀστυάγεα· ἀλλὰ θεός τε οὕτω ἄγει, καὶ αὐτοῖσι ἡμῖν πολλὰ ἐπέπουσι συμφέρεται ἐπὶ τὸ ἄμεινον. (3) Τὰ μέν νυν Κῦρός τε καὶ Καμβύσης πατήρ τε ὁ ἐμὸς Δαρεῖος κατεργάσαντο καὶ προσεκτήσαντο ἔθνεα, ἐπισταμένοισι εὖ οὐκ ἄν τις λέγοι. (4) Ἐγὼ δὲ ἐπείτε παρέλαβον τὸν θρόνον, τοῦτο ἐφρόντιζον ὅκως μὴ λείψομαι τῶν πρότερον γενομένων ἐν τιμῇ τῇδε μηδὲ ἐλάσσω προσκτήσομαι δύναμιν Πέρσῃσι· φροντίζων δὲ εὑρίσκω ἅμα μὲν κῦδος ἡμῖν προσγινόμενον χώρην τε τῆς νῦν ἐκτήμεθα οὐκ ἐλάσσονα οὐδὲ φλαυροτέρην, παμφορωτέρην δέ, ἅμα δὲ τιμωρίην τε καὶ τίσιν γινομένην. (5) Διὸ ὑμέας νῦν ἐγὼ συνέλεξα, ἵνα τὸ νοέω πρήσσειν ὑπερθέωμαι ὑμῖν. (II.) Μέλλω ζεύξας τὸν Ἑλλήσποντον ἐλᾶν στρατὸν διὰ τῆς Εὐρώπης ἐπὶ τὴν Ἑλλάδα, ἵνα Ἀθηναίους τιμωρήσωμαι, ὅσα δὴ πεποιήκασι Πέρσας τε καὶ πατέρα τὸν ἐμόν. (6) Ὡρᾶτε μέν νυν καὶ Δαρεῖον ἰθύοντα στρατεύεσθαι ἐπὶ τοὺς ἄνδρας τούτους. Ἀλλ' ὁ μὲν τετελεύτηκε, καὶ οὐκ ἐξεγένετό οἱ τιμωρήσασθαι· ἐγὼ δὲ ὑπέρ τε ἐκείνου καὶ τῶν ἄλλων Περσέων οὐ πρότερον παύσομαι πρὶν ἢ ἑλών τε καὶ πυρώσω τὰς Ἀθήνας, οἵ γε ἐμὲ καὶ πατέρα τὸν ἐμὸν ὑπῆρξαν ἄδικα ποιεῦντες. (7) Πρῶτα μέν ἐς Σάρδις ἐλθόντες ἅμα Ἀρισταγόρῃ τῷ Μιλησίῳ, δούλῳ δὲ ἡμετέρῳ, ἀπικόμενοι ἐνέπρησαν τά τε ἄλσεα καὶ τὰ ἱρά· δεύτερα δὲ ἡμέας οἷα ἔρξαν ἐς τὴν σφετέρην ἀποβάντας, ὅτε Δᾶτίς τε καὶ Ἀρταφέρνης ἐστρατήγεον, τὰ ἐπίστασθέ κου πάντες. (III.) Τούτων μέντοι εἵνεκεν ἀνάρτημαι ἐπ' αὐτοὺς στρατεύεσθαι, ἀγαθὰ δὲ ἐν αὐτοῖσι τοσάδε ἀνευρίσκω λογιζόμενος· εἰ τούτους τε καὶ τοὺς τούτοισι πλησιοχώρους καταστρεψόμεθα, οἳ Πέλοπος τοῦ Φρυ-

seligeret, quæ res faustissimas nunciarent; in his illa maxime enarrans, de Hellesponto per virum Persam jungendo, et de expeditione in Græciam suscipienda. (5) Sic igitur ille vaticiniis agebat cum rege; Pisistratidæ vero et Aleuadæ sententias suas exponendo.

VII. Postquam persuasus est Xerxes arma Græciæ inferre, tum vero, altero ab obitu Darii anno, primum adversus rebelles duxit exercitum. (2) Quibus domitis, Ægyptum, graviorem in servitutem redactam, quam in qua sub Dario fuerat, Achæmeni tradidit administrandam, fratri suo, Darii filio. Eumdem vero Achæmenem, Ægypti præfectum, interjecto tempore interfecit Inaros, vir Afer, Psammitichi filius.

VIII. Pacata Ægypto, Xerxes, quum in eo esset ut exercitum moderaretur adversus Athenas ducendum, conventum convocavit primariorum Persarum, sententias illorum sciscitaturus, et in medio omnium ipse, quæ vellet, expositurus. (I.) Qui ut convenere, hæc apud eos verba rex fecit: « Viri Persæ, non ego primus hunc apud vos morem introduco, sed utar a majoribus accepto. (2) Ut enim a majoribus natu audio, nunquam adhuc otiosi sedimus, ex quo hoc imperium a Medis in nos translatum est, postquam Astyagem Cyrus devicit; sed deus ita nos ducit, et nobis, ductum ejus sequentibus, multa prospere cedunt. (3) Jam Cyri quidem et Cambysis et patris mei Darii res gestas, et quos illi populos Persis adquisiverint, quid opus est ut apud bene gnaros commemorem? (4) Ego vero, ex quo hanc sedem accepi, in hoc meam curam intendo, ne his, qui ante me in hac dignitate fuere, sim inferior, neque minorem Persis potentiam adquiram. Atque hoc ipsum dum curo, reperio viam et gloria nos augendi, et terra non minore nec deteriore quam hæc, quam possidemus, imo feraciore, simul vero etiam ultionem et pœnas sumendi de his qui eas commeruerunt. (5) Itaque vos hodie convocavi, ut, quæ agere constitui, vobiscum communicem. (II.) Ponte juncturus sum Hellespontum, et exercitum per Europam ducturus in Græciam, quo ab Atheniensibus pœnas repetam malorum omnium, quibus Persas et patrem meum adfecerunt. (6) Vidistis jam Darium quoque expeditionem parare adversus hos homines. At ille e vita excessit, neque ei contigit capere pœnas: ego vero, illius caussa reliquorumque Persarum, non prius sum quieturus, quam Athenas subactas igne cremavero; hos homines, qui priores me patremque meum injuriis lacessiverunt; (7) primum quidem, incursione Sardes facta cum Aristagora Milesio, servo nostro, et sacris lucis templisque crematis: deinde vero, qualia sunt, quibus nos acceperunt, quum Dati et Artapherne ducibus terram illorum sumus ingressi! quæ satis nostis omnes. (III.) Igitur his quidem de caussis bellum illis inferre constitui. Simul vero, rem recte mecum reputans, maxima in hoc ipso commoda reperio hæc: si et hosce et eorum vicinos, qui Pelopis Phrygis terram incolunt, subegerimus; terram

γὸς νέμονται χώρην, γῆν τὴν Περσίδα ἀποδέξομεν τῷ Διὸς αἰθέρι ὁμουρέουσαν. (8) Οὐ γὰρ δὴ χώρην γε οὐδεμίαν κατόψεται ὁ ἥλιος ὁμουρέουσαν τῇ ἡμετέρῃ, ἀλλὰ σφέας πάσας ἐγὼ ἅμα ὑμῖν μίαν χώρην θήσω, διὰ πάσης διεξελθὼν τῆς Εὐρώπης. (9) Πυνθάνομαι γὰρ ὧδε ἔχειν, οὔτε τινὰ πόλιν ἀνδρῶν οὐδεμίαν οὔτε οὐδὲν ἀνθρώπων ὑπολείπεσθαι, τὸ ἡμῖν οἷόν τε ἔσται ἐλθεῖν ἐς μάχην, τούτων τῶν κατέλεξα ὑπεξαραιρημένων. Οὕτω οἵ τε ἡμῖν αἴτιοι ἔξουσι δούλιον ζυγὸν οἵ τε ἀναίτιοι. (IV.) Ὑμεῖς δ' ἄν μοι τάδε ποιεῦντες χαρίζοισθε· (10) ἐπεὰν ὑμῖν σημήνω τὸν χρόνον ἐς τὸν ἥκειν δεῖ, προθύμως πάντα τινὰ ὑμέων χρήσει παρεῖναι· ὃς ἂν δὲ ἔχων ἥκῃ παρεσκευασμένον στρατὸν κάλλιστα, δώσω οἱ δῶρα τὰ τιμιώτατα νομίζεται εἶναι ἐν ἡμετέρου. (11) Ποιητέα μέν νυν ταῦτά ἐστι οὕτω· ἵνα δὲ μὴ ἰδιοβουλέειν ὑμῖν δοκέω, τίθημι τὸ πρῆγμα ἐς μέσον, γνώμην κελεύων ὑμέων τὸν βουλόμενον ἀποφαίνεσθαι. » Ταῦτα εἶπας ἐπαύετο.

IX. Μετ' αὐτὸν δὲ Μαρδόνιος ἔλεγε, « ὦ δέσποτα, οὐ μόνον εἷς τῶν γενομένων Περσέων ἄριστος, ἀλλὰ καὶ τῶν ἐσομένων, ὃς τά τε ἄλλα λέγων ἐπίκεο ἄριστα καὶ ἀληθέστατα, καὶ Ἴωνας τοὺς ἐν τῇ Εὐρώπῃ κατοικημένους οὐκ ἐάσεις καταγελάσαι ἡμῖν ἐόντας ἀναξίους. (2) Καὶ γὰρ δεινὸν ἂν εἴη πρῆγμα, εἰ Σάκας μὲν καὶ Ἰνδοὺς καὶ Αἰθιοπάς τε καὶ Ἀσσυρίους, ἄλλα τε ἔθνεα πολλὰ καὶ μεγάλα ἀδικήσαντα Πέρσας οὐδέν, ἀλλὰ δύναμιν προσκτᾶσθαι βουλόμενοι, καταστρεψάμενοι δούλους ἔχομεν, Ἕλληνας δὲ ὑπάρξαντας ἀδικίης οὐ τιμωρησόμεθα, (3) τί δείσαντες; κοίην πλήθεος συστροφήν; κοίην δὲ χρημάτων δύναμιν; (I.) τῶν ἐπιστάμεθα μὲν τὴν μάχην, ἐπιστάμεθα δὲ τὴν δύναμιν ἐοῦσαν ἀσθενέα· ἔχομεν δὲ αὐτῶν παῖδας καταστρεψάμενοι, τούτους οἳ ἐν τῇ ἡμετέρῃ κατοικημένοι Ἴωνές τε καὶ Αἰολέες καὶ Δωριέες καλεῦνται. (4) Ἐπειρήθην δὲ καὶ αὐτὸς ἤδη ἐπελαύνων ἐπὶ τοὺς ἄνδρας τούτους ὑπὸ πατρὸς τοῦ σοῦ κελευσθείς, καί μοι μέχρι Μακεδονίης ἐλάσαντι καὶ ὀλίγον ἀπολιπόντι ἐς αὐτὰς Ἀθήνας ἀπικέσθαι οὐδεὶς ἠντιώθη ἐς μάχην. (II.) Καίτοι γε ἐώθασι Ἕλληνες, ὡς πυνθάνομαι, ἀβουλότατα πολέμους ἵστασθαι ὑπό τε ἀγνωμοσύνης καὶ σκαιότητος. (5) Ἐπεὰν γὰρ ἀλλήλοισι πόλεμον προείπωσι, ἐξευρόντες τὸ κάλλιστον χωρίον καὶ λειότατον, ἐς τοῦτο κατιόντες μάχονται, ὥστε σὺν κακῷ μεγάλῳ οἱ νικῶντες ἀπαλλάσσονται· περὶ δὲ τῶν ἐσσωμένων οὐδὲ λέγω ἀρχήν, ἐξώλεες γὰρ δὴ γίνονται. (6) Τοὺς χρῆν, ἐόντας ὁμογλώσσους, κήρυξί τε διαχρεωμένους καὶ ἀγγέλοισι καταλαμβάνειν τὰς διαφορὰς καὶ παντὶ μᾶλλον ἢ μάχῃσι· εἰ δὲ πάντως ἔδεε πολεμέειν πρὸς ἀλλήλους, ἐξευρίσκειν χρῆν τῇ ἑκάτεροι εἶσι δυσχειρωτότατοι, καὶ ταύτῃ πειρᾶν. (7) Τρόπῳ τοίνυν οὐ χρηστῷ Ἕλληνες διαχρεώμενοι, ἐμέο ἐλάσαντος μέχρι Μακεδονίης οὐκ ἦλθον ἐς τούτου λόγον ὥστε μάχεσθαι. (III.) Σοὶ δὲ δὴ μέλλει τις, ὦ βασιλεῦ, ἀντιώσεσθαι πόλεμον προσφέρων, ἄγοντι καὶ πλῆθος τὸ ἐκ τῆς Ἀσίης καὶ νέας τὰς ἁπά-

Persicam ætheri Jovis faciemus conterminam: (8) neque enim ullam terram sol adspiciet, quæ nostræ sit finitima; sed ego vobiscum, universa peragrata Europa, ex omnibus terris unam faciam. (9) Quippe ita se rem habere audio, nullam inter homines civitatem, nullum populum inter mortales reliquum esse, qui adversus nos in aciem progredi valeat, quando hos quos dixi subegerimus. Ita et his, qui male de nobis meruerunt, et insontibus pariter, servile jugum impositum fuerit. (IV.) Vos vero, hoc si feceritis, gratum mihi feceritis: (10) quum tempus vobis indicavero, quo convenire oporteat, prompte unumquemque vestrûm adesse oportebit: quisquis vero cum exercitu advenerit optime instructo, eum ego muneribus donabo, quæ apud nos honorificentissima habentur. (11) Hæc igitur ita facienda sunt. Ne vero vobis videar meum unius sequi velle consilium, in medium vobis hanc rem propono; jubeoque ut, quisquis vestrûm voluerit, suam promat sententiam. His dictis Xerxes finem fecit loquendi.

IX. Post illum Mardonius talem sermonem est exorsus: « Domine, tu Persarum omnium præstantissimus, non solum eorum qui fuerunt, sed futurorum etiam omnium es: qui quum cetera præclare verissimeque exposueris, tum Ionas Europam habitantes non passurus sis irridere nobis, homines ea re indignos. (2) Etenim mira atque misera res esset, si Sacas et Indos et Æthiopas et Assyrios, et alios multos magnosque populos, non quod injuriam Persis intulissent, sed quod nos nostram augere voluimus potentiam, subegerimus servosque habeamus; Græcos, autem, qui injuriis nos lacessiverunt, impune abire pateremur: (3) quid tandem metuentes? quemnam multitudinis concursum? quam pecuniarum vim? (I.) Novimus sane illorum pugnæ genus; novimus etiam quam imbecilles eorum sint vires: filiosque eorum subactos habemus, hos qui in nostra terra sedes habent, et Iones et Æolenses et Dorienses nominantur. (4) Atque etiam ipse ego periculum horum hominum feci, adversus illos a patre tuo in expeditionem missus: ubi, quum usque in Macedoniam duxissem exercitum, et propemodum ad ipsas pervenissem Athenas, nemo mihi in aciem occurrit. (II.) Quamquam cæteroquin quidem consuerunt, ut audio, Græci inconsultissime bella sua administrare, stolida pervicacia et sinistra mente. (5) Postquam enim sibi invicem bellum indixerunt, pulcerrimam et apertissimam quærunt planitiem, in quam descendant manus conserturi: quo fit ut etiam victores magno cum detrimento discedant; de victis autem ne verbum quidem dico, nam internecione delentur. (6) Quos oportebat, quum sint homines eadem lingua utentes, per præcones et nuncios, et alia quavis ratione potius, quam prælio, lites suas componere: sin omnino prælio sibi decernendum putant, oportebat locum pugnæ capere, in quo utrique superatu essent difficillimi, et ibi belli fortunam tentare. (7) Quamvis igitur tam perniciosa ratione belli gerendi utantur Græci, tamen, quum ego usque in Macedoniam duxissem exercitum, ideo non magis induxerunt in animum ut in aciem contra me descenderent. (III) At tibin', o rex, ausurus est quisquam in aciem occurrere, multitudinem naves-

σας; (8) Ὡς μὲν ἐγὼ δοκέω, οὐκ ἐς τοῦτο θράσεος ἀνήκει τὰ Ἑλλήνων πρήγματα· εἰ δὲ ἄρα ἐγώ τε ψευσθείην γνώμῃ καὶ ἐκεῖνοι ἐπαρθέντες ἀβουλίῃ ἔλθοιεν ἡμῖν ἐς μάχην, μάθοιεν ἂν ὡς εἰμεν ἀνθρώπων ἄριστοι τὰ πολέμια. (9) Ἔστω δ' ὦν μηδὲν ἀπείρητον· αὐτόματον γὰρ οὐδὲν, ἀλλ' ἀπὸ πείρης πάντα ἀνθρώποισι φιλέει γίνεσθαι. » Μαρδόνιος μὲν τοσαῦτα ἐπιλεήνας τὴν Ξέρξεω γνώμην ἐπέπαυτο.

X. Σιωπώντων δὲ τῶν ἄλλων Περσέων καὶ οὐ τολμώντων γνώμην ἀποδείκνυσθαι ἀντίην τῇ προκειμένῃ, Ἀρτάβανος ὁ Ὑστάσπεος πάτρως ἐὼν Ξέρξῃ, τῷ δὴ καὶ πίσυνος ἐὼν ἔλεγε τάδε, (I.) « ὦ βασιλεῦ, μὴ λεχθεισέων μὲν γνωμέων ἀντίων ἀλλήλῃσι οὐκ ἔστι τὴν ἀμείνω αἱρεόμενον ἑλέσθαι, ἀλλὰ δεῖ τῇ εἰρημένῃ χρῆσθαι, λεχθεισέων δὲ ἔστι, ὥσπερ τὸν χρυσὸν τὸν ἀκήρατον αὐτὸν μὲν ἐπ' ἑωυτοῦ οὐ διαγινώσκομεν, ἐπεὰν δὲ παρατρίψωμεν ἄλλῳ χρυσῷ, διαγινώσκομεν τὸν ἀμείνω. (2) Ἐγὼ δὲ καὶ πατρὶ τῷ σῷ, ἀδελφεῷ δὲ ἐμῷ, Δαρείῳ ἠγόρευον μὴ στρατεύεσθαι ἐπὶ Σκύθας, ἄνδρας οὐδαμόθι γῆς ἄστυ νέμοντας· ὁ δὲ ἐλπίζων Σκύθας τοὺς νομάδας καταστρέψεσθαι ἐμοί τε οὐκ ἐπείθετο, στρατευσαμενός τε πολλοὺς καὶ ἀγαθοὺς τῆς στρατιῆς ἀποβαλὼν ἀπῆλθε. (3) Σὺ δὲ, ὦ βασιλεῦ, μέλλεις ἐπ' ἄνδρας στρατεύεσθαι πολλὸν ἔτι ἀμείνονας ἢ Σκύθας, οἳ κατὰ θάλασσάν τε ἄριστοι καὶ κατὰ γῆν λέγονται εἶναι. Τὸ δὲ αὐτοῖσι ἔνεστι δεινὸν, ἐμέ σοι δίκαιόν ἐστι φράζειν. (II.) Ζεύξας φῂς τὸν Ἑλλήσποντον ἐλᾶν στρατὸν διὰ τῆς Εὐρώπης ἐς τὴν Ἑλλάδα. (4) Καὶ δὴ συνήνεικε ἦτοι κατὰ γῆν ἢ κατὰ θάλασσαν ἐσωσθῆναι, ἢ καὶ κατ' ἀμφότερα· οἱ γὰρ ἄνδρες λέγονται εἶναι ἄλκιμοι, πάρεστι δὲ καὶ σταθμώσασθαι, εἰ στρατιήν γε τοσαύτην σὺν Δάτι καὶ Ἀρταφέρνεϊ ἐλθοῦσαν ἐς τὴν Ἀττικὴν χώρην μοῦνοι Ἀθηναῖοι διέφθειραν. (5) Οὐκ ὦν ἀμφοτέρῃ σφι ἐχώρησε· ἀλλ' ἦν τῇσι νησὶ ἐμβάλωσι καὶ νικήσαντες ναυμαχίῃ πλώωσι ἐς τὸν Ἑλλήσποντον καὶ ἔπειτεν λύσωσι τὴν γέφυραν, τοῦτο δὴ, βασιλεῦ, γίνεται δεινόν. (III.) Ἐγὼ δὲ οὐδεμιῇ σοφίῃ οἰκηΐῃ αὐτὸς ταῦτα συμβάλλομαι, ἀλλ' οἷόν κοτε ἡμέας ὀλίγου ἐδέησε καταλαβέειν πάθος, ὅτε πατὴρ ὁ σὸς ζεύξας Βόσπορον τὸν Θρηΐκιον, γεφυρώσας δὲ ποταμὸν Ἴστρον διέβη ἐπὶ Σκύθας. (6) Τότε παντοῖοι ἐγένοντο Σκύθαι δεόμενοι Ἰώνων λῦσαι τὸν πόρον, τοῖσι ἐπιτέτραπτο ἡ φυλακὴ τῶν γεφυρέων τοῦ Ἴστρου· καὶ τότε γε Ἰστιαῖος ὁ Μιλήτου τύραννος εἰ ἐπέσπετο τῶν ἄλλων τυράννων τῇ γνώμῃ μηδὲ ἠντιώθη, διέργαστο ἂν τὰ Περσέων πρήγματα. (7) Καίτοι καὶ λόγῳ ἀκοῦσαι δεινὸν, ἐπ' ἀνδρί γε ἑνὶ πάντα τὰ βασιλέος πρήγματα γεγενῆσθαι. (IV.) Σὺ ὦν μὴ βούλευ ἐς κίνδυνον μηδένα τοιοῦτον ἀπικέσθαι μηδεμιῆς ἀνάγκης ἐούσης, ἀλλ' ἐμοὶ πείθευ. (8) Νῦν μὲν τὸν σύλλογον τόνδε διάλυσον· αὖτις δὲ, ὅταν τοι δοκέῃ, προσκεψάμενος ἐπὶ σεωυτοῦ προαγόρευε τά τοι δοκέει εἶναι ἄριστα. (9) Τὸ γὰρ εὖ βουλεύεσθαι κέρδος μέγιστον εὑρίσκω ἐόν· εἰ γὰρ καὶ ἐναντιωθῆναί τι θέλει, βεβούque cunctas ex universa Asia coactas ducenti? (8) Equidem ita sentio, eo audaciæ non progressuram esse rem Græcorum : sin me fefellerit mea opinio, si illi vecordia elati in aciem adversus nos sint descensuri, didicerint esse nos viros bello fortissimos. (9) Quare intentatum nihil relinquamus : nam sua sponte nihil fit, sed omnia hominibus conando contingunt. » In hunc modum postquam Xerxis sententiam Mardonius mollivit, dicendi finem fecit.

X. Silentium tenentibus cæteris Persis, nec audentibus sententiam promere contrariam ei quæ proposita erat, Artabanus Hystaspis filius, patruus Xerxis, eoque fidentior, hæc fecit verba : (I.) « Rex, nisi sententiæ dictæ sunt invicem oppositæ, fieri non potest ut eligatur optima; sed oportet ea, quæ sit prolata, uti : verum illud, contrariæ si dictæ fuerint, tunc demum fieri potest; quemadmodum sincerum aurum non per se ipsum dignoscimus, sed, dum illud (*Lydio lapidi*) juxta aliud aurum atterimus, ita id quod melius est discernimus. (2) Ego vero etiam patri tuo Dario, meo fratri, suaseram ne bellum Scythis inferret, hominibus nusquam incolentibus : at ille, sperans se nomades istos Scythas subacturum, mihi non paruit; sed, expeditione suscepta, amissis exercitus sui multis fortibus viris rediit. (3) Tu vero, rex, bellum illaturus es viris multo quum Scythæ præstantioribus, qui et terra et mari fortissimi esse dicuntur. Quo in consilio quodnam insit periculum, æquum est ut ego tibi exponam. (II.) Juncto, ais, Hellesponto, ducturum te esse per Europam exercitum in Græciam. (4) Atqui acciderit etiam, ut vel terra vel mari vincamur, aut etiam utrimque. Dicuntur enim fortes hi esse viri : ac potest id etiam hinc æstimari, quod tantas copias, quantæ cum Dati et Artapherne Atticam invaserunt, soli Athenienses perdiderunt. (5) Quodsi non utrimque res illis successerit; at hoc sane, rex, verendum est, ne conscensis navibus, pugna navali superiores, navigent in Hellespontum et pontem illum dissolvant. (III.) Ego vero non mea quadam propria prudentia hæc ita conjicio : sed qualis tandem fuit illa calamitas, quæ parum abfuit ut nos adfligeret, quum pater tuus, juncto Bosporo Thracico, et ponte super Istrum posito, Scytharum in terram transiit! (6) Omnibus modis tunc Scythæ Ionas illos, quibus commissa erat custodia pontium Istro impositorum, sollicitarunt, ut pontem rescinderent. Ubi si Histiæus, Mileti tyrannus, reliquorum tyrannorum secutus esset sententiam, neque se illi opposuisset, omnino perditæ erant res Persarum. (7) Terribile vero est vel fando audire, in uniu hominis potestate sitam fuisse universam regis et Persarum salutem. (IV.) Tu igitur noli in tantum te periculum, nulla urgente necessitate, conjicere : sed me audi. (8) Nunc quidem hoc dimitte concilium : et, re diligenter tecum deliberata, deinde rursus, si tibi videtur, propone quæ optima tibi videbuntur. (9) Etenim recte consultare reperio maximum esse lucrum. Nam etiam si contra id

λευται μὲν οὐδὲν ἧσσον εὖ, ἥσσωται δὲ ὑπὸ τῆς τύχης τὸ βούλευμα· ὁ δὲ βουλευσάμενος αἰσχρῶς, εἰ οἱ ἡ τύχη ἐπίσποιτο, εὕρημα εὕρηκε, ἧσσον τε οὐδέν οἱ κακῶς βεβούλευται. (V.) Ὁρᾷς τὰ ὑπερέχοντα ζῷα ὡς κεραυνοῖ ὁ θεὸς οὐδὲ ἐᾷ φαντάζεσθαι, τὰ δὲ σμικρὰ οὐδέν μιν κνίζει· ὁρᾷς δὲ ὡς ἐς οἰκήματα τὰ μέγιστα αἰεὶ καὶ δένδρεα τὰ τοιαῦτ' ἀποσκήπτει τὰ βέλεα· φιλέει γὰρ ὁ θεὸς τὰ ὑπερέχοντα πάντα κολούειν. (10) Οὕτω δὴ καὶ στρατὸς πολλὸς ὑπ' ὀλίγου διαφθείρεται κατὰ τοιόνδε· ἐπεάν σφι ὁ θεὸς φθονήσας φόβον ἐμβάλῃ ἢ βροντὴν, δι' ὧν ἐφθάρησαν ἀναξίως ἑωυτῶν. (11) Οὐ γὰρ ἐᾷ φρονέειν μέγα ὁ θεὸς ἄλλον ἢ ἑωυτόν. (VI.) Ἐπειχθῆναι μέν νυν πᾶν πρῆγμα τίκτει σφάλματα, ἐκ τῶν ζημίαι μεγάλαι φιλέουσι γίνεσθαι· ἐν δὲ τῷ ἐπισχεῖν ἔνεστι ἀγαθὰ, εἰ μὴ παραυτίκα δοκέοντα εἶναι, ἀλλ' ἀνὰ χρόνον ἐξεύροι τις ἄν. (VII.) Σοὶ μὲν δὴ ταῦτα, ὦ βασιλεῦ, συμβουλεύω· σὺ δέ, ὦ παῖ Γωβρύεω Μαρδόνιε, παῦσαι λέγων λόγους ματαίους περὶ Ἑλλήνων οὐκ ἐόντων ἀξίων φλαύρως ἀκούειν. (12) Ἕλληνας γὰρ διαβάλλων ἐπαίρεις αὐτὸν βασιλέα στρατεύεσθαι· αὐτοῦ δὲ τούτου εἵνεκεν δοκέεις μοι πᾶσαν προθυμίην ἐκτείνειν. Μή νυν οὕτω γένηται. Διαβολὴ γάρ ἐστι δεινότατον· ἐν τῇ δύο μέν εἰσι οἱ ἀδικέοντες, εἷς δὲ ὁ ἀδικεόμενος. (13) Ὁ μὲν γὰρ διαβάλλων ἀδικέει οὐ παρεόντος κατηγορέων, ὁ δὲ ἀδικέει ἀναπειθόμενος πρὶν ἢ ἀτρεκέως ἐκμάθῃ· ὁ δὲ δὴ ἀπεὼν τοῦ λόγου τάδε ἐν αὐτοῖσι ἀδικέεται, διαβληθείς τε ὑπὸ τοῦ ἑτέρου καὶ νομισθεὶς πρὸς τοῦ ἑτέρου κακὸς εἶναι. (VIII.) Ἀλλ' εἰ δὴ δεῖ γε πάντως ἐπὶ τοὺς ἄνδρας τούτους στρατεύεσθαι, φέρε, βασιλεὺς μὲν αὐτὸς ἐν ἥθεσι τοῖσι Περσέων μενέτω, ἡμέων δὲ ἀμφοτέρων παραβαλλομένων τὰ τέκνα, στρατηλάτεε αὐτὸς σὺ ἐπιλεξάμενός τε ἄνδρας τοὺς ἐθέλεις καὶ λαβὼν στρατιὴν ὁκόσην τινὰ βούλεαι. (14) Καὶ ἢν μὲν τῇ σὺ λέγεις ἀναβαίνῃ βασιλεῖ τὰ πρήγματα, κτεινέσθων οἱ ἐμοὶ παῖδες, πρὸς δὲ αὐτοῖσι καὶ ἐγώ· ἢν δὲ τῇ ἐγὼ προλέγω, οἱ σοὶ ταῦτα πασχόντων, σὺν δέ σφι καὶ σὺ, ἢν ἀπονοστήσῃς. (15) Εἰ δὲ ταῦτα μὲν ὑποδύνειν οὐκ ἐθελήσεις, σὺ δὲ πάντως στράτευμα ἀνάξεις ἐπὶ τὴν Ἑλλάδα, ἀκούσεσθαί τινά φημι τῶν αὐτοῦ τῇδε ὑπολειπομένων Μαρδόνιον, μέγα τι κακὸν ἐξεργασμένον Πέρσας, ὑπὸ κυνῶν τε καὶ ὀρνίθων διαφορεύμενον ἤ κου ἐν γῇ τῇ Ἀθηναίων ἢ σέ γε ἐν τῇ Λακεδαιμονίων, εἰ μὴ ἄρα καὶ πρότερον κατ' ὁδὸν, γνόντα ἐπ' οἵους ἄνδρας ἀναγινώσκεις στρατεύεσθαι βασιλέα. »

XI. Ἀρτάβανος μὲν ταῦτα ἔλεξε· Ξέρξης δὲ θυμωθεὶς ἀμείβεται τοισίδε, « Ἀρτάβανε, πατρὸς εἷς τοῦ ἐμοῦ ἀδελφεός· τοῦτό σε ῥύσεται μηδένα ἄξιον μισθὸν λαβέειν ἐπέων ματαίων. (2) Καί τοι ταύτην τὴν ἀτιμίην προστίθημι ἐόντι κακῷ τε καὶ ἀθύμῳ, μήτε συστρατεύεσθαι ἐμοιγε ἐπὶ τὴν Ἑλλάδα αὐτοῦ τε μένειν ἅμα τῇσι γυναιξί· ἐγὼ δὲ καὶ ἄνευ σέο, ὅσα περ εἶπα, ἐπιτελέα ποιήσω. (3) Μὴ γὰρ εἴην ἐκ Δαρείου τοῦ Ὑστάσπεος τοῦ Ἀρσάμεος τοῦ Ἀριαράμνεω τοῦ Τεί-

quod volueris acciderit aliquid, nihilo minus recte consulta-veris, fortuna vero superaverit consilium : qui vero turpe consilium cepit, is, si fortuna ei adfuerit, lucrum quidem invenerit, nihilo vero minus malum ceperit consilium. (V.) Vides quo pacto eminentia præ cæteris animalia fulmine percutiat deus, nec sinat ea se ostentare; minutis autem non invidet. Vides etiam ut in maxima semper ædificia et in altissimas arbores tela sua conjicit. Amat enim deus, eminentia omnia truncare. (10) Itaque etiam ingens exercitus eadem ratione perditur ab exiguo : quando deus illis metum aut fulmen incutit, indigno modo pereunt : (11) nec enim sinit deus magnum sapere, præter se, alium quemquam. (VI.) Porro, deproperare rem quamcumque parit errores, e quibus ingentia solent damna existere : in cunctando autem insunt bona, quæ si non protinus adparent, certe suo tempore aliquis reperiet. (VII.) Hæc igitur, rex, tibi suadeo. Tu vero, Gobryæ filli Mardonie, desine injuriosa verba jactare in Græcos, qui non merentur male audire. (12) Nam Græcos calumniando ipsum regem excitas ad bellum suscipiendum : quem in finem tu mihi etiam videris studium omne intendere. At ne ita fiat! Calumnia enim gravissimum malum est : in quo duo sunt qui injuriam inferunt, unus vero qui patitur injuriam. (13) Injuriam enim infert calumniator, dum accusat absentem : infert vero et ille injuriam, qui sibi persuaderi patitur priusquam rem adcurate compertam habeat. Qui vero abest quum malitiose accusatur, is duplici adficitur injuria; primum hoc ipso, quod injuste accusatur ab altero, deinde quod ab altero pravus esse existimatur. (VIII.) Sed, si omnino oportet bellum huic populo inferre, age, rex ipse in sedibus maneat Persarum; sed, in medio depositis nostrûm utriusque liberis, tu solus suscipe expeditionem, sumptis tecum quoscumque duces selegeris, et exercitu quantumcumque volueris. (14) Tum, si res ita, ut tu ais, regi successerit, interficiantur mei liberi, et ego cum illis! sin, ut ego prædico; tuis liberis idem hoc fiat, et tibi ipsi, si quidem redieris! (15) Quodsi hanc inire conditionem recusas, et nihilo minus exercitum duxeris adversus Græciam, audituros esse autumo homines qui hic relicti erunt, Mardonium, ingentis calamitatis auctorem Persis, alicubi in terra Atheniensium aut Lacedæmoniorum, nisi forte prius etiam in itinere, a canibus volucribusque fuisse laceratum, postquam cognovit quinam sint illi viri, contra quos tu regi persuades ut expeditionem suscipiat.

XI. Hæc postquam Artabanus dixit, ira accensus Xerxes his verbis respondit : « Artabane, tu es patris mei frater : hoc te tnebitur, ne meritam injuriosis verbis mercedem accipias. (2) Verumtamen hanc tibi, quum sis ignavus et imbellis, ignominiam infligo, ut meæ in Græciam expeditionis non futurus sis comes, sed hic cum mulieribus maneas. Ego vero absque te, quæcumque dixi, effecta dabo. (3) Ne enim sim Dario, Hystaspi, Arsame, Ariaramne,

σπεος τοῦ Κύρου τοῦ Καμβύσεω τοῦ Τεΐσπεος τοῦ Ἀχαιμένεος γεγονὼς, μὴ τιμωρησάμενος Ἀθηναίους, εὖ ἐπιστάμενος ὅτι εἰ ἡμεῖς ἡσυχίην ἄξομεν, ἀλλ' οὐκ ἐκεῖνοι, ἀλλὰ καὶ μάλα στρατεύσονται ἐπὶ τὴν ἡμετέρην, εἰ χρὴ σταθμώσασθαι τοῖσι ὑπαργμένοισι ἐξ ἐκείνων, οἳ Σάρδις τε ἐνέπρησαν καὶ ἥλασαν ἐς τὴν Ἀσίην. (4) Οὐκ ὦν ἐξαναχωρέειν οὐδετέροισι δυνατῶς ἔχει, ἀλλὰ ποιέειν ἢ παθέειν προκέεται ἀγών, ἵνα ἢ τάδε πάντα ὑπ' Ἕλλησι ἢ ἐκεῖνα πάντα ὑπὸ Πέρσῃσι γένηται· τὸ γὰρ μέσον οὐδὲν τῆς ἔχθρης ἐστί. (5) Καλὸν ὦν προπεπονθότας ἡμέας τιμωρέειν ἤδη γίνεται, ἵνα καὶ τὸ δεινὸν τὸ πείσομαι τοῦτο μάθω, ἐλάσας ἐπ' ἄνδρας τούτους, τούς γε καὶ Πέλοψ ὁ Φρὺξ, ἐὼν πατέρων τῶν ἐμῶν δοῦλος, κατεστρέψατο οὕτω ὡς καὶ ἐς τόδε αὐτοί τε ὠνθρωποι καὶ ἡ γῆ αὐτῶν ἐπώνυμοι τοῦ καταστρεψαμένου καλεῦνται. »

XII. Ταῦτα μὲν ἐπὶ τοσοῦτο ἐλέγετο· μετὰ δὲ εὐφρόνη τε ἐγίνετο καὶ Ξέρξεα ἔκνιζε ἡ Ἀρταβάνου γνώμη· νυκτὶ δὲ βουλὴν διδοὺς πάγχυ εὕρισκέ οἱ οὐ πρῆγμα εἶναι στρατεύεσθαι ἐπὶ τὴν Ἑλλάδα. Δεδογμένων δέ οἱ αὖτις τούτων κατύπνωσε, καὶ δή κου ἐν τῇ νυκτὶ εἶδε ὄψιν τοιήνδε, ὡς λέγεται ὑπὸ Περσέων. (2) Ἐδόκεε ὁ Ξέρξης ἄνδρα οἱ ἐπιστάντα μέγαν τε καὶ εὐειδέα εἶπαι, « μετὰ δὴ βουλεύεαι, ὦ Πέρσα, στράτευμα μὴ ἄγειν ἐπὶ τὴν Ἑλλάδα, προείπας ἀλίζειν Πέρσῃσι στρατόν; Οὔτε ὦν μεταβουλευόμενος ποιέεις εὖ, οὔτε ὁ συγγνωσόμενός τοι πάρα· ἀλλ' ὥσπερ τῆς ἡμέρης ἐβουλεύσαο ποιέειν, ταύτην ἴθι τῶν ὁδῶν. » Τὸν μὲν ταῦτα εἰπαντα ἐδόκεε ὁ Ξέρξης ἀποπτάσθαι.

XIII. Ἡμέρης δὲ ἐπιλαμψάσης ὀνείρου μὲν τούτου λόγον οὐδένα ἐποιέετο, ὁ δὲ Περσέων συναλίσας τοὺς καὶ πρότερον συνέλεξε, ἔλεγέ σφι τάδε, « ἄνδρες Πέρσαι, συγγνώμην μοι ἔχετε ὅτι ἀγχίστροφα βουλεύομαι· φρενῶν τε γὰρ ἐς τὰ ἐμεωυτοῦ πρῶτα οὔκω ἀνήκω, καὶ οἱ παρηγορεύμενοι ἐκεῖνα ποιέειν οὐδένα χρόνον μευ ἀπέχονται. (2) Ἀκούσαντι μὲν δή μοι τῆς Ἀρταβάνου γνώμης παραυτίκα μὲν ἡ νεότης ἐπέζεσε, ὥστε ἀεικέστερα ἀπορρῦψαι ἔπεα ἐς ἄνδρα πρεσβύτερον ἢ χρεών· νῦν μέντοι συγγνοὺς χρήσομαι τῇ ἐκείνου γνώμῃ. (3) Ὡς ὦν μεταδεδογμένον μοι μὴ στρατεύεσθαι ἐπὶ τὴν Ἑλλάδα, ἡσυχοι ἔστε. » Πέρσαι μὲν ὡς ἤκουσαν ταῦτα, κεχαρηκότες προσεκύνεον.

XIV. Νυκτὸς δὲ γενομένης αὖτις τὠυτὸ ὄνειρον ἔλεγε τῷ Ξέρξῃ κατυπνωμένῳ ἐπιστὰν, « ὦ παῖ Δαρείου, καὶ δὴ φαίνεαι ἐν Πέρσῃσί τε ἀπειπάμενος τὴν στρατηλασίην καὶ τὰ ἐμὰ ἔπεα ἐν οὐδενὶ ποιεύμενος λόγῳ ὡς παρ' οὐδενὸς ἀκούσας. (2) Εὖ νυν τόδ' ἴσθι ἦνπερ μὴ αὐτίκα στρατηλατέῃς, τάδε τοι ἐξ αὐτῶν ἀνασχήσει· ὡς καὶ μέγας καὶ πολλὸς ἐγένεο ἐν ὀλίγῳ χρόνῳ, οὕτω καὶ ταπεινὸς ὀπίσω κατὰ τάχος ἔσεαι. »

XV. Ξέρξης μὲν περιδεὴς γενόμενος τῇ ὄψι ἀνά τε ἔδραμε ἐκ τῆς κοίτης καὶ πέμπει ἄγγελον ἐπὶ Ἀρτάβανον καλεῦντα. Ἀπικομένῳ δέ οἱ ἔλεγε Ξέρξης τάδε, « Ἀρτάβανε, ἐγὼ τὸ παραυτίκα μὲν οὐκ ἐφρόTelspe, Cyro, Cambyse, Telspo, Achæmene prognatus, nisi pœnas ab Atheniensibus sumpsero! bene gnarus, si nos quieverimus, illos non quieturos, sed nostram utique terram bello esse invasuros, si judicandum est ex his, quæ ab illis cœpta sunt fieri, qui exercitu in Asiam trajecto Sardes incenderunt. (4) Quare neutris retrogredi licet; sed propositum est agendi aut patiendi discrimen, ut aut hæc omnia sub Græcorum cadant potestatem, aut ista omnia sub Persarum: nullum enim inter has inimicitias medium relinquitur. (5) Recte igitur factum fuerit, si jam nunc ultum eamus injurias quas priores passi sumus, ut ego periculum hoc experiar quod mihi imminet, adversus hos homines ducenti, quos quidem Pelops Phryx, servus patrum nostrorum, ita subegit, ut ad hunc usque diem et homines ipsi et eorum terra ab eodem, qui eos subegit, nomen invenerint. »

XII. Hi hucusque sermones sunt habiti. Deinde adpetente nocte momordit Xerxem Artabani sententia. Noctu vero secum ipse deliberans reperit, prorsus sibi necesse non esse adversus Græciam expeditionem suscipere: et postquam ita mutavit sententiam, somno sopitus est. At eadem nocte talem, ut quidem Persæ narrant, visionem habuit. (2) Videbatur Xerxi, adstare ipsi virum magnum et formosum, his verbis ipsum adloquentem: Mutas tu igitur, Persa, tuum consilium, nec ducturus es exercitum in Græciam, postquam edixisti Persis ut copias contrahant? Atqui nec recte facis, quod mutas sententiam; nec, qui tibi adsentiatur, quisquam est. Immo vero, quemadmodum hodie constitutum habebas facere, eadem perge via. » His ille dictis avolare visus est Xerxi.

XIII. Ut dies illuxit, rex, nulla hujus insomnii ratione habita, eosdem Persas, quos collexerat antea, convocavit, et in hunc modum eos est adlocutus: « Viri Persæ, date mihi veniam, contrarium superiori consilium capienti. Nam et ego ad id prudentiæ culmen, quo tendo, nondum perveni; et, qui ad istud faciendum me excitant, nullo tempore a me discedunt. (2) Atqui postquam Artabani audivi sententiam, statim quidem in me ebullivit juventus, ut insolentiora verba in virum natu grandiorem conjicerem, quod non oportebat: verumtamen nunc, agnito meo errore, utar illius sententia. (3) Scitote igitur abjecisse me belli Græciæ inferendi consilium, et quietem agite. » His auditis, Persæ læti regem adorarunt.

XIV. Insequente vero nocte idem insomnium dormienti Xerxi iterum adstans dixit: Tu ergo, Darii fili, palam coram Persis abjecisti belli consilium, nulla meorum verborum ratione habita, quasi a nemine audivisses! (2) Probe nunc scito, nisi protinus expeditionem hanc susceperis, hoc tibi inde eventurum: quemadmodum magnus amplusque evasisti brevi tempore, ita humilis rursus celeriter evades. »

XV. Territus hoc viso Xerxes e lecto prosiliit, nunciumque ad Artabanum misit, qui illum advocaret. Qui ubi adfuit, hæc ei Xerxes dixit: Artabane, ego statim quidem pa-

νεον εἶπας ἐς σὲ μάταια ἔπεα χρηστῆς εἵνεκεν συμβουλίης· μετὰ μέντοι οὐ πολλὸν χρόνον μετέγνων, ἔγνων δὲ ταῦτά μοι ποιητέα ἐόντα τὰ σὺ ὑπεθήκαο. (2) Οὐκ ὦν δυνατός τοί εἰμι ταῦτα ποιέειν βουλόμενος· τετραμμένῳ γὰρ δὴ καὶ μετεγνωκότι ἐπιφοιτέων ὄνειρον φαντάζεταί μοι οὐδαμῶς συνεπαινέον ποιέειν με ταῦτα· νῦν δὲ καὶ διαπειλῆσαν οἴχεται. (3) Εἰ ὦν θεός ἐστι ὁ ἐπιπέμπων καί οἱ πάντως ἐν ἡδονῇ ἐστὶ γενέσθαι στρατηλασίην ἐπὶ τὴν Ἑλλάδα, ἐπιπτήσεται καὶ σοὶ τὠυτὸ τοῦτο ὄνειρον, ὁμοίως ὡς καὶ ἐμοὶ ἐντελλόμενον. (4) Εὑρίσκω δὲ ὧδ' ἂν γινόμενα ταῦτα, εἰ λάβοις τὴν ἐμὴν σκευὴν πᾶσαν, καὶ ἐνδὺς μετὰ τοῦτο ἵζοιο ἐς τὸν ἐμὸν θρόνον, καὶ ἔπειτεν ἐν κοίτῃ τῇ ἐμῇ κατυπνώσειας.»

XVI. Ξέρξης μὲν ταῦτά οἱ ἔλεγε· Ἀρτάβανος δὲ οὐ τῷ πρώτῳ οἱ κελεύματι πειθόμενος, οἷα οὐκ ἀξιεύμενος ἐς τὸν βασιλήϊον θρόνον ἵζεσθαι, τέλος, ὡς ἠναγκάζετο, εἶπας τάδε ἐποίεε τὸ κελευόμενον· (1.) «Ἴσον ἐκεῖνο, ὦ βασιλεῦ, παρ' ἐμοὶ κέκριται, φρονέειν τε εὖ καὶ τῷ λέγοντι χρηστὰ ἐθέλειν πείθεσθαι· τὰ σὲ καὶ ἀμφότερα περιήκοντα ἀνθρώπων κακῶν ὁμιλίαι σφάλλουσι, κατά περ τὴν πάντων χρησιμωτάτην ἀνθρώποισι θάλασσαν πνεύματά φασι ἀνέμων ἐμπίπτοντα οὐ περιορᾶν φύσι τῇ ἑωυτῆς χρῆσθαι. (2) Ἐμὲ δὲ ἀκούσαντα πρὸς σεῦ κακῶς οὐ τοσοῦτο ἔδακε λύπη, ὅσον γνωμέων δύο προκειμένων Πέρσῃσι, τῆς μὲν ὕβριν αὐξανούσης, τῆς δὲ καταπαυούσης καὶ λεγούσης ὡς κακὸν εἴη διδάσκειν τὴν ψυχὴν πλέον τι δίζησθαι αἰεὶ ἔχειν τοῦ παρεόντος, τοιούτων προκειμένων τῶν γνωμέων ὅτι τὴν σφαλερωτέρην σεωυτῷ τε καὶ Πέρσῃσι ἀναιρέεο. (II.) Νῦν ὦν, ἐπειδὴ τέτραψαι ἐπὶ τὴν ἀμείνω, φῄς τοι μετιέντι τὸν ἐπ' Ἕλληνας στόλον ἐπιφοιτᾶν ὄνειρον θεοῦ τινὸς πομπῇ, οὐκ ἐῶντά σε καταλύειν τὸν στόλον. (3) Ἀλλ' οὐδὲ ταῦτά ἐστι, ὦ παῖ, θεῖα. Ἐνύπνια γὰρ τὰ ἐς ἀνθρώπους πεπλανημένα τοιαῦτά ἐστι οἷά σε ἐγὼ διδάξω, ἔτεσι σεῦ πολλοῖσι πρεσβύτερος ἐών. (4) Πεπλανῆσθαι αὗται μάλιστα εἰώθασι αἱ ὄψιες τῶν ὀνειράτων, τά τις ἡμέρης φροντίζει· ἡμεῖς δὲ τὰς πρὸ τοῦ ἡμέρας ταύτην τὴν στρατηλασίην καὶ τὸ κάρτα εἴχομεν μετὰ χεῖρας. (III.) Εἰ δὲ ἄρα μή ἐστι τοῦτο τοιοῦτο οἷον ἐγὼ διαιρέω, ἀλλά τι τοῦ θεοῦ μετέχον, σὺ πᾶν αὐτὸ συλλαβὼν εἴρηκας· φανήτω γὰρ δὴ καὶ ἐμοί, ὡς καὶ σοί, διακελευόμενον. (5) Φανῆναι δὲ οὐδὲν μᾶλλόν μοι ὀφείλει ἔχοντι τὴν σὴν ἐσθῆτα ἢ οὐ καὶ τὴν ἐμήν, οὐδέ τι μᾶλλον ἐν κοίτῃ τῇ σῇ ἀναπαυομένῳ ἢ οὐ καὶ ἐν τῇ ἐμῇ, εἴ πέρ γε καὶ ἄλλοις ἐθέλει φανῆναι. (6) Οὐ γὰρ δὴ ἐς τοσοῦτό γε εὐηθείης ἀνήκει τοῦτο, ὅ τι δή κοτέ ἐστι, τὸ ἐπιφαινόμενόν τοι ἐν τῷ ὕπνῳ, ὥστε δόξει ἐμὲ ὀρέων σὲ εἶναι, τῇ σῇ ἐσθῆτι τε κμαιρόμενον. (7) Εἰ δὲ ἐμὲ μὲν ἐν οὐδενὶ λόγῳ ποιήσεται οὐδὲ ἀξιώσει ἐπιφανῆναι, οὔτε ἢν τὴν ἐμὴν ἐσθῆτα ἔχω οὔτε ἢν τὴν σήν, σὲ δὲ ἐπιφοιτήσει, τοῦτο ἤδη μαθητέον ἐστί· εἰ γὰρ δὴ ἐπιφοιτήσειέ γε συνεχέως, φαίην ἂν καὶ αὐτὸς θεῖον εἶναι. (8) Εἰ δέ τοι οὕτω δε-

rum prudenter me gesseram, contumeliosa in te verba conjiciens boni consilii caussa: brevi post vero mutavi sententiam, agnovique faciendum mihi id quod tu suasisti. (2) Verumtamen hoc ipsum facere, quamvis velim, non possum: nam, postquam mutato consilio tuam probavi sententiam, iterato adparet mihi nocturnum visum, nequaquam probans ut hoc faciam; et nunc etiam minas intentans abiit. (3) Si igitur deus est qui illud mihi mittit, et si prorsus ei cordi est ut suscipiatur hæc in Græciam expeditio, idem hoc insomnium tibi etiam advolabit, eademque quæ mihi præcipiet. (4) Reperio autem sic hoc futurum, si tu universum meum cultum sumpseris, eoque indutus in throno meo resederis, ac deinde meo in lecto cubueris.

XVI. Hæc postquam Xerxes locutus est, primum quidem dicto ejus non paruit Artabanus, quippe sibi non convenire judicans in throno residere regis: postremo vero, ut coactus est, imperata fecit, postquam hæc regi responderat: (I.) «Pari loco, rex, sunt meo judicio hæc duo, recte sapere, et bonum danti consilium obsequi velle: quorum quum utrumque tibi insit, pravorum hominum colloquia in errorem te inducunt; quemadmodum mare, rem omnium utilissimam hominibus, aiunt ab irruentibus ventorum flatibus prohiberi ne naturam exserat suam. (2) Ego vero, quando malis me verbis accepisti, non tam hoc ipsum ægre tuli, quam istud, quod, quum duæ propositæ essent Persis sententiæ, altera injuriosam augens insolentiam, altera eamdem reprimens, dicensque perniciosam rem esse, adsuefacere animum ad plura semper, quam quæ habeas, concupiscenda; quod, inquam, ex duabus hisce propositis sententiis eam suscepisti, quæ et tibi et Persis periculosior est. (II.) Nunc igitur, postquam ad meliorem te convertisti, et abjecisti expeditionis adversus Græcos consilium, ais tibi adparere insomnium divinitus missum, quod te vetet omittere hanc expeditionem. (3) At ne est quidem, mi fili, res hæc divina. Insomnia enim, quæ inter homines vagantur illisque accidunt, talia sunt, qualia ego te docebo, qui multis annis, quam tu, natu sum major. (4) Qualia quis interdiu curat ac meditatur, talia eum maxime circumvolitare solent visa per somnum: nos autem his proximis diebus occupatum quam maxime animum hac expeditione habuimus. (III.) Sin hoc non tale est quale ego judico, sed divinum quidquam si huic viso inest, tu recte rem omnem verbo complexus dixisti: adpareat enim illud et mihi, mihique idem atque tibi præcipiat! (5) Debet autem mihi nihilo magis adparere tua veste induto, quam mea; nec magis tuo in lecto cubanti, quam in meo; si modo omnino adpariturum est etiam aliis. (6) Nec enim profecto adeo stultum erit hoc, quidquid est, quod tibi per somnum adparuit, ut, me si viderit, te esse opinetur, ex veste tua judicium faciens. (7) Sin me autem nullo loco habuerit, neque adparere voluerit mihi, sive tua indutus sim veste, sive mea, verum tibi sit nihilominus adpariturum; hoc jam nunc explorandum est: nam si constanter adparuerit, dixerim et ego, rem esse divinam. (8) Ce-

δόκηται γίνεσθαι καὶ οὐκ οἷά τε αὐτὸ παρατρέψαι, ἀλλ' ἢ δεῖ ἐμὲ ἐν κοίτῃ τῇ σῇ κατυπνῶσαι, φέρε, τούτων ἐξ ἐμεῦ ἐπιτελευμένων φανήτω καὶ ἐμοί. Μέχρι δὲ τούτου τῇ παρεούσῃ γνώμῃ χρήσομαι. »

XVII. Τοσαῦτα εἶπας Ἀρτάβανος, ἐλπίζων Ξέρξεα ἀποδέξειν λέγοντα οὐδέν, ἐποίεε τὸ κελευόμενον. Ἐνδὺς δὲ τὴν Ξέρξεω ἐσθῆτα καὶ ἑζόμενος ἐς τὸν βασιλήϊον θρόνον ὡς μετὰ ταῦτα κοῖτον ἐποιέετο, ἦλθέ οἱ κατυπνωμένῳ τὠυτὸ ὄνειρον τὸ καὶ παρὰ Ξέρξεα ἐφοίτα, (2) ὑπερστὰν δὲ τοῦ Ἀρταβάνου εἶπε τάδε, « σὺ δὴ ἐκεῖνος εἷς ὁ ἀποσπεύδων Ξέρξεα στρατεύεσθαι ἐπὶ τὴν Ἑλλάδα ὡς δὴ κηδόμενος αὐτοῦ; ἀλλ' οὔτε ἐς τὸ μετέπειτεν οὔτε ἐς τὸ παραυτίκα νῦν καταπροΐξεαι ἀποτράπων τὸ χρεὼν γενέσθαι. Ξέρξεα δὲ τὰ δεῖ ἀνηκουστέοντα παθέειν, αὐτῷ ἐκείνῳ δεδήλωται. »

XVIII. Ταῦτά τε δὴ ἐδόκεε Ἀρτάβανος τὸ ὄνειρον ἀπειλέειν, καὶ θερμοῖσι σιδηρίοισι ἐκκαίειν αὐτοῦ μέλλειν τοὺς ὀφθαλμούς. (2) Καὶ ὃς ἀμβώσας μέγα ἀναθρώσκει, καὶ παριζόμενος Ξέρξῃ, ὡς τὴν ὄψιν οἱ τοῦ ἐνυπνίου διεξῆλθε ἀπηγεόμενος, δεύτερά οἱ λέγει τάδε, « ἐγὼ μέν, ὦ βασιλεῦ, οἷα ἄνθρωπος ἰδὼν ἤδη πολλά τε καὶ μεγάλα πεσόντα πρήγματα ὑπ' ἐσσόνων, οὐκ ἐων σε τὰ πάντα τῇ ἡλικίῃ εἴκειν, ἐπιστάμενος ὡς κακὸν εἴη τὸ πολλῶν ἐπιθυμέειν, μεμνημένος μὲν τὸν ἐπὶ Μασσαγέτας Κύρου στόλον ὡς ἐπρηξε, μεμνημένος δὲ καὶ τὸν ἐπ' Αἰθίοπας τὸν Καμβύσεω, συστρατευόμενος δὲ καὶ Δαρείῳ ἐπὶ Σκύθας. (3) Ἐπιστάμενος ὦν ταῦτα γνώμην εἶχον ἀτρεμίζοντά σε μακαριστὸν εἶναι πρὸς πάντων ἀνθρώπων. Ἐπεὶ δὲ δαιμονίη τις γίνεται ὁρμὴ, καὶ Ἕλληνας, ὡς οἶκε, φθορή τις καταλαμβάνει θεήλατος, ἐγὼ μὲν καὶ αὐτὸς τράπομαι καὶ τὴν γνώμην μετατίθεμαι, (4) σὺ δὲ σήμηνον μὲν Πέρσῃσι τὰ ἐκ τοῦ θεοῦ πεμπόμενα, χρῆσθαι δὲ κέλευε τοῖσι ἐκ σεῦ πρώτοισι προειρημένοισι ἐς τὴν παρασκευὴν, ποίεε δὲ οὕτω ὅκως τοῦ θεοῦ παραδιδόντος τῶν σῶν ἐνδεήσει μηδέν. » (5) Τούτων δὲ λεχθέντων, ἐνθαῦτα ἐπαρθέντες τῇ ὄψι, ὡς ἡμέρη ἐγένετο τάχιστα, Ξέρξης τε ὑπερετίθετο ταῦτα Πέρσῃσι, καὶ Ἀρτάβανος, ὃς πρότερον ἀποσπεύδων μοῦνος ἐφαίνετο, τότε ἐπισπεύδων φανερὸς ἦν.

XIX. Ὡρμημένῳ δὲ Ξέρξῃ στρατηλατέειν μετὰ ταῦτα τρίτη ὄψις ἐν τῷ ὕπνῳ ἐγένετο, τὴν οἱ μάγοι ἐκρίναν ἀκούσαντες φέρειν τε ἐπὶ πᾶσαν γῆν δουλεύσειν τέ οἱ πάντας ἀνθρώπους. (2) Ἡ δὲ ὄψις ἦν ἥδε· ἐδόκεε ὁ Ξέρξης ἑστεφανῶσθαι ἐλαίης θαλλῷ, ἀπὸ δὲ τῆς ἐλαίης τοὺς κλάδους γῆν πᾶσαν ἐπισχεῖν, μετὰ δὲ ἀφανισθῆναι περὶ τῇ κεφαλῇ κείμενον τὸν στέφανον. (3) Κρινάντων δὲ ταύτῃ τῶν μάγων, Περσέων τε τῶν συλλεχθέντων αὐτίκα πᾶς ἀνὴρ ἐς τὴν ἀρχὴν τὴν ἑωυτοῦ ἀπελάσας εἶχε προθυμίην πᾶσαν ἐν τοῖσι εἰρημένοισι, θέλων αὐτὸς ἕκαστος τὰ προκείμενα δῶρα λαβέειν, καὶ Ξέρξης τοῦ στρατοῦ οὕτω ἐπάγερσιν ποιέεται, χῶρον πάντα ἐρευνέων τῆς ἠπείρου.

XX. Ἀπὸ γὰρ Αἰγύπτου ἁλώσιος ἐπὶ μὲν τέσσερα

terum si tibi, ut ita faciam, stat decretum, neque ego te ut illud revoces commovere possum, verum si omnino me oportet tuo in lecto somnum capere : age, hoc ubi fecero, adpareat mihi quoque visum! Donec vero hoc contigerit, equidem in mea persistam sententia. »

XVII. His dictis, Artabanus, sperans se probaturum, nullius momenti esse quæ Xerxes dixerat, morem illi gessit. Postquam vero vestem Xerxis indutus in solio regis consedit, ac deinde cubitum ivit, venit ad eum, ut somno sopitus est, idem insomnium quod Xerxi adparuerat; (2) et capiti ejus adstans, hæc dixit : Tu igitur is es, qui Xerxem, veluti curam ejus gerens, hortaris, ne bellum inferat Græciæ? At nec posthac, neque nunc, impune feres, qui infecta reddere ea, quæ fieri oportet, conaris. Xerxem autem quæ pœna maneat, dicto non audientem, ipsi declaratum est. »

XVIII. His verbis visum est Artabano insomnium illud minas ipsi intentare, simulque candentibus ferris velle ipsi exurere oculos. (2) Itaque alta exclamans voce, de lecto prosiliit; adsidensque Xerxi, postquam insomnii visum ei exposuit, hæc deinde verba adjecit : « Equidem, rex, utpote qui multas atque magnas res eversas vidi ab infirmioribus, retinere te volueram, ne omnibus in rebus juvenili indulgeres ætati. Itaque gnarus quam perniciosum sit nimia concupiscere, et memor Cyri in Massagetas expeditio quem exitum habuerit, memorque expeditionis Cambysis adversus Æthiopas, denique socius quum fuerim expeditionis Darii adversus Scythas; (3) hæc omnia cognita habens, in hac fui sententia, beatum te prædicatum ab omnibus hominibus iri, si nihil moveres. At, quoniam divinitus immissus est hic impetus, et Græcis, ut videtur, ipso deo volente imminet exitium, ego etiam ipse muto sententiam, et in tuam transeo. (4) Tu igitur Persis significa quæ tibi divinitus missa sunt; imperaque illis, ut ea exsequantur, quæ tu ad parandum hoc bellum spectantia prius edixeras. Denique ita fac, ut, quoniam hæc tibi Deus peragenda commisit, nihil, quod a te proficisci queat, desideretur. » (5) His dictis, simul atque dies illuxit, viso nocturno commoti, Xerxes cum Persis hæc communicavit, et Artabanus, qui prius solus palam rem dissuaserat, nunc aperte eamdem urgebat.

XIX. Postquam ita constitutum erat Xerxi, ut susciperet expeditionem, tertia ei visio per somnum oblata est; quam Magi, ad se relatam, interpretati sunt ad universam spectare terram, significareque homines omnes servos illius futuros. (2) Fuit ea visio hujusmodi : visus est sibi Xerxes coronari oleæ fronde, ramosque oleæ ejus universam occupare terram, deinde vero evanescere coronam capiti impositam. (3) Hoc visum quum ita, ut dixi, interpretarentur Magi; protinus Persarum, qui ad concilium convenerant, unusquisque suam in præfecturam profectus, studium omne, ut jussa exsequerentur, adhibuere, cupiens quisque proposita dona præ cæteris obtinere : atque ita Xerxes copias contraxit, ut nullus esset continentis locus, qui non perquireretur.

XX. Etenim, ex quo recepta erat Ægyptus, quatuor so-

ἔτεα πλήρεα παραρτέετο στρατιήν τε καὶ τὰ πρόσφορα τῇ στρατιῇ, πέμπτῳ δὲ ἔτεῖ ἀνομένῳ ἐστρατηλάτεε χειρὶ μεγάλῃ πλήθεος. (2) Στόλων γὰρ τῶν ἡμεῖς ἴδμεν πολλῷ δὴ μέγιστος οὗτος ἐγένετο, ὥστε μήτε τὸν Δαρείου τὸν ἐπὶ Σκύθας παρὰ τοῦτον μηδὲν φαίνεσθαι, μήτε τὸν Σκυθικὸν, ὅτε Σκύθαι Κιμμερίους διώκοντες ἐς τὴν Μηδικὴν χώρην ἐμβαλόντες, σχεδὸν πάντα τὰ ἄνω τῆς Ἀσίης καταστρεψάμενοι ἐνέμοντο, τῶν εἵνεκεν ὕστερον Δαρεῖος ἐτιμωρέετο, μήτε κατὰ τὰ λεγόμενα τὸν Ἀτρειδέων ἐς Ἴλιον, μήτε τὸν Μυσῶν τε καὶ Τευκρῶν, τὸν πρὸ τῶν Τρωϊκῶν γενόμενον, οἳ διαβάντες ἐς τὴν Εὐρώπην κατὰ Βόσπορον τούς τε Θρῄϊκας κατεστρέψαντο πάντας καὶ ἐπὶ τὸν Ἰόνιον πόντον κατέβησαν, μέχρι τε Πηνειοῦ ποταμοῦ τὸ πρὸς μεσαμβρίης ἤλασαν.

XXI. Αὗται αἱ πᾶσαι οὐδ' ἕτεραι πρὸς ταύτῃσι γενόμεναι στρατηλασίαι μιῆς τῆσδε οὐκ ἄξιαι. Τί γὰρ οὐκ ἤγαγε ἐκ τῆς Ἀσίης ἔθνος ἐπὶ τὴν Ἑλλάδα Ξέρξης; κοῖον δὲ πινόμενόν μιν ὕδωρ οὐκ ἐπέλιπε, πλὴν τῶν μεγάλων ποταμῶν; (2) Οἱ μὲν γὰρ νέας παρείχοντο, οἱ δὲ ἐς πεζὸν ἐτετάχατο, τοῖσι δὲ ἵππος προσετέτακτο, τοῖσι δὲ ἱππαγωγὰ πλοῖα, ἅμα στρατευομένοισι, τοῖσι δὲ ἐς τὰς γεφύρας μακρὰς νέας παρέχειν, τοῖσι δὲ σῖτά τε καὶ νέας. (3) Καὶ τοῦτο μὲν, ὡς προσπταισάντων τῶν πρώτων περιπλωόντων περὶ τὸν Ἄθων, προητοιμάζετο ἐκ τριῶν ἐτέων κου μάλιστα ἐς τὸν Ἄθων. Ἐν γὰρ Ἐλαιοῦντι τῆς Χερσονήσου ὥρμεον τριήρεες, ἐνθεῦτεν δὲ ὁρμεώμενοι ὤρυσσον ὑπὸ μαστίγων παντοδαποὶ τῆς στρατιῆς, διάδοχοι δ' ἐφοίτεον· ὤρυσσον δὲ καὶ οἱ περὶ τὸν Ἄθων κατοικημένοι. Βουβάρης δὲ ὁ Μεγαβάζου καὶ Ἀρταχαίης ὁ Ἀρταίου ἄνδρες Πέρσαι ἐπεστάτεον τοῦ ἔργου.

XXII. Ὁ γὰρ Ἄθως ἐστὶ οὖρος μέγα τε καὶ οὐνομαστὸν, ἐς θάλασσαν κατῆκον, οἰκημένον ὑπ' ἀνθρώπων. Τῇ δὲ τελευτᾷ ἐς τὴν ἤπειρον τὸ οὖρος, χερσονησοειδές τέ ἐστι καὶ ἰσθμὸς ὡς δώδεκα σταδίων· πεδίον δὲ τοῦτο καὶ κολωνοὶ οὐ μεγάλοι ἐκ θαλάσσης τῆς Ἀκανθίων ἐπὶ θάλασσαν τὴν ἀντίον Τορώνης. (2) Ἐν δὲ τῷ ἰσθμῷ τούτῳ, ἐς τὸν τελευτᾷ ὁ Ἄθως, Σάνη πόλις Ἑλλὰς οἰκηται. Αἱ δὲ ἐντὸς Σάνης, ἔσω δὲ τοῦ Ἄθω οἰκημέναι, τὰς τότε ὁ Πέρσης νησιώτιδας ἀντὶ ἠπειρωτίδων ὥρμητο ποιέειν, εἰσὶ αἵδε, Δῖον, Ὀλόφυξος, Ἀκρόθωον, Θύσσος, Κλεωναί. Πόλιες μὲν αὗται αἳ τὸν Ἄθων νέμονται, ὤρυσσον δὲ ὧδε.

XXIII. Δασάμενοι τὸν χῶρον οἱ βάρβαροι κατὰ ἔθνεα, κατὰ Σάνην πόλιν σχοινοτενέες ποιησάμενοι, ἐπειδὴ ἐγένετο βαθέα ἡ δῶρυξ, οἱ μὲν κατώτατα ἑστεῶτες ὤρυσσον, ἕτεροι δὲ παρεδίδοσαν τὸν αἰεὶ ἐξορυσσόμενον χοῦν ἄλλοισι κατύπερθε ἑστεῶσι ἐπὶ βάθρων, οἱ δ' αὖ ἐκδεκόμενοι ἑτέροισι, ἕως ἀπίκοντο ἐς τοὺς ἀνωτάτω· οὗτοι δὲ ἐξεφόρεόν τε καὶ ἐξέβαλλον. (2) Ταῖσι μέν νυν ἄλλοισι πλὴν Φοινίκων καταρρηγνύμενοι οἱ κρημνοὶ τοῦ ὀρύγματος πόνον διπλήσιον παρεῖχον· ἅτε γὰρ τοῦ τε ἄνω στόματος καὶ τοῦ κάτω τὰ αὐτὰ

lidi anni in comparando exercitu et rebus exercitui necessariis insumpti sunt; volvente vero quinto anno expeditionem Xerxes suscepit ingenti copiarum multitudine. (2) Fuit enim hæc omnium, quas novimus, expeditionum longe maxima; adeo ut ad eam nihil fuerit aut illa quam adversus Scythas Darius, aut quam ipsi olim Scythæ susceperant, quum Cimmerios persecuti, incursione in Medicam terram facta, universam propemodum superiorem Asiam a se subactam tenuerunt, quam ob caussam deinde Darius ultionem ab eis capere voluit: aut illa quam Atridæ adversus Ilium dicuntur suscepisse. aut quam ante Trojana tempora Mysi atque Teucri fecerant, qui per Bosporum in Europam transgressi, Thraces omnes subegerunt, et usque ad Ionium mare descenderunt, porro usque ad Peneum fluvium meridiem versus penetrarunt.

XXI. Omnes hæ expeditiones, et si quæ sunt præter has aliæ similes, non sunt dignæ quæ cum hac una conferantur. Quis enim est Asiæ populus, quem non adversus Græciam Xerxes eduxerit? quæ aqua, quæ non defecerit, ab exercitu ejus epota, exceptis majoribus fluviis? (2) Alii quippe populi naves præbuere, alii in peditatum erant distributi, aliis imperatus erat equitatus, aliis navigia transvehendis equis, simulque homines militaturi; alii naves longas pontibus faciendis præbere tenebantur, alii commeatum simul et naves. (3) Ac primum quidem, quoniam, qui priores circa Athon sunt circumvecti, calamitatem acceperant, jam inde a tribus fere annis ea maxime præparaverat quæ ad Athon spectabant. Nam ad Elæuntem, Chersonesi oppidum, in ancoris stabant triremes; unde proficiscebantur homines de exercitu ex omnibus nationibus, qui sub flagellis terram perfoderent, quorum in locum alii subinde succedebant; fodiebant autem etiam hi qui circa Athon incolebant: operique præfecti erant Bubares, Megabazi filius, et Artachæes Artæi, uterque natione Persa.

XXII. Est enim Athos mons ingens ac nobilis, in mare excurrens, et ab hominibus habitatus. Ubi mons in continentem desinit, peninsulæ speciem refert, estque isthmus duodecim fere stadiorum: est autem campestris hic locus, tumulos habens non magnos, a mari Acanthiorum ad illud mare quod contra Toronen est. (2) In eodem hoc isthmo, in quem desinit Athos, oppidum est Sane, a Græcis habitatum: quæ vero intra Sanen in ipso Atho incoluntur oppida, quæ tunc Persa ex continentis oppidis insulana facere adgressus est, hæc sunt: Dium, Olophyxus, Acrothoon, Thyssus, Cleonæ: hæc sunt oppida, quibus Athos frequentatur. Fodiebant autem hoc modo.

XXIII. Totum tractum, linea recta juxta Sanen urbem ducta, secundum nationes distribuerant barbari. Tum, ubi jam profunda fuit fossa, alii in imo stantes fodiebant, alii vero effossam terram continuo aliis tradebant, qui superne scalis insistebant; et hi rursus aliis; donec ad summos pervenissent, qui eam egerebant ejiciebantque. (2) Jam cæteris quidem, præterquam Phœnicibus, rupta fossæ præcipitia duplum laborem exhibuere: nam quum summa fossæ

μέτρα ποιευμένων, ἐμελλέ σφι τοιοῦτο ἀποβήσεσθαι. Οἱ δὲ Φοίνικες σοφίην ἔν τε τοῖσι ἄλλοισι ἔργοισι ἀποδείκνυνται καὶ δὴ καὶ ἐν ἐκείνῳ. (3) Ἀπολαχόντες γὰρ μόριον ὅσον αὐτοῖσι ἐπέβαλλε, ὤρυσσον τὸ μὲν ἄνω στόμα τῆς διώρυχος ποιεῦντες διπλήσιον ἢ ὅσον ἔδεε αὐτὴν τὴν διώρυχα γενέσθαι, προβαίνοντος δὲ τοῦ ἔργου συνῆγον αἰεί· κάτω τε δὴ ἐγίνετο καὶ ἐξισοῦτο τοῖσι ἄλλοισι τὸ ἔργον. (4) Ἐνθαῦτα δὴ λειμών ἐστι, ἵνα σφι ἀγορή τε ἐγίνετο καὶ πρητήριον· σῖτος δέ σφισι πολλὸς ἐφοίτα ἐκ τῆς Ἀσίης ἀλληλεσμένος.

XXIV. Ὡς μὲν ἐμὲ συμβαλλόμενον εὑρίσκειν, μεγαλοφροσύνης εἵνεκεν αὐτὸ Ξέρξης ὀρύσσειν ἐκέλευε, ἐθέλων τε δύναμιν ἀποδείκνυσθαι καὶ μνημόσυνα λιπέσθαι· παρεὸν γὰρ μηδένα πόνον λαβόντας τὸν ἰσθμὸν τὰς νέας διειρύσαι, ὀρύσσειν ἐκέλευε διώρυχα τῇ θαλάσσῃ εὖρος ὡς δύο τριήρεας πλώειν ὁμοῦ ἐλαστρευμένας. Τοῖσι δὲ αὐτοῖσι τούτοισι τοῖσί περ καὶ τὸ ὄρυγμα, προσετέτακτο καὶ τὸν Στρυμόνα ποταμὸν ζεύξαντας γεφυρῶσαι.

XXV. Ταῦτα μέν νυν οὕτω ἐποίεε, παρεσκευάζετο δὲ καὶ ὅπλα ἐς τὰς γεφύρας βύβλινά τε καὶ λευκολίνου, ἐπιτάξας Φοινιξί τε καὶ Αἰγυπτίοισι, καὶ σιτία τῇ στρατιῇ καταβάλλειν, ἵνα μὴ λιμήνειε ἡ στρατιὴ μηδὲ τὰ ὑποζύγια ἑλαυνόμενα ἐπὶ τὴν Ἑλλάδα. (2) Ἀναπυθόμενος δὲ τοὺς χώρους, καταβάλλειν ἐκέλευε ἵνα ἐπιτηδεώτατον εἴη, ἄλλον ἄλλῃ ἀγινέοντας ὁλκάσι τε καὶ πορθμηΐοισι ἐκ τῆς Ἀσίης πανταχόθεν. (3) Τὸν δὲ ὧν πλεῖστον ἐς Λευκὴν ἀκτὴν καλευμένην τῆς Θρηΐκης ἀγίνεον, οἱ δὲ ἐς Τυρόδιζαν τὴν Περινθίων, οἱ δὲ ἐς Δορίσκον, οἱ δὲ ἐς Ἠιόνα τὴν ἐπὶ Στρυμόνι, οἱ δὲ ἐς Μακεδονίην διατεταγμένοι.

XXVI. Ἐν ᾧ δὲ οὗτοι τὸν προκείμενον πόνον ἐργάζοντο, ἐν τούτῳ ὁ πεζὸς ἅπας συλλελεγμένος ἅμα Ξέρξῃ ἐπορεύετο ἐς Σάρδις, ἐκ Κριτάλλων ὁρμηθεὶς τῶν ἐν Καππαδοκίῃ· ἐνθαῦτα γὰρ εἴρητο συλλέγεσθαι πάντα τὸν κατ' ἤπειρον μέλλοντα ἅμα αὐτῷ Ξέρξῃ πορεύεσθαι στρατόν. (2) Ὅς μέν νυν τῶν ὑπάρχων στρατὸν κάλλιστα ἐσταλμένον ἀγαγὼν τὰ προκείμενα παρὰ βασιλέος ἔλαβε δῶρα, οὐκ ἔχω φράσαι· οὐδὲ γὰρ ἀρχὴν ἐς κρίσιν τούτου πέρι ἐλθόντας οἶδα. (3) Οἱ δὲ ἐπείτε διαβάντες τὸν Ἅλυν ποταμὸν ὡμίλησαν τῇ Φρυγίῃ, δι' αὐτῆς πορευόμενοι παρεγένοντο ἐς Κελαινάς, ἵνα πηγαὶ ἀναδιδοῦσι Μαιάνδρου ποταμοῦ καὶ ἑτέρου οὐκ ἐλάσσονος ἢ Μαιάνδρου, τῷ οὔνομα τυγχάνει ἐὸν Καταρράκτης, ὃς ἐξ αὐτῆς τῆς ἀγορῆς τῆς Κελαινέων ἀνατέλλων ἐς τὸν Μαίανδρον ἐκδιδοῖ· ἐν τῇ καὶ ὁ τοῦ Σιληνοῦ Μαρσύεω ἀσκὸς ἐν τῇ πόλι ἀνακρέμαται, τὸν ὑπὸ Φρυγῶν λόγος ἔχει ὑπ' Ἀπόλλωνος ἐκδαρέντα ἀνακρεμασθῆναι.

XXVII. Ἐν ταύτῃ τῇ πόλι ὑποκατήμενος Πύθιος ὁ Ἄτυος ἀνὴρ Λυδὸς ἐξείνισε τὴν βασιλέος στρατιὴν πᾶσαν ξεινίοισι μεγίστοισι καὶ αὐτὸν Ξέρξεα, χρήματά τε ἐπηγγέλλετο βουλόμενος ἐς τὸν πόλεμον παρέχειν. (2) Ἐπαγγελλομένου δὲ χρήματα Πυθίου, εἴρετο Ξέρ-

labia pari amplitudine atque inferiora facerent, non potuit hoc non eis accidere. At Phœnices, ut in aliis operibus ingenium ostendunt, sic et in isto. (3) Nam portionem eam, quæ ipsis sorte obvenerat, ita fodiebant, ut superius os fossæ duplo majus facerent, quam fossam ipsam esse oportebat: progrediente vero opere, constanter arctiorem illam faciebant, ut, quum in fundo essent, parem cum aliis latitudinem fossa haberet. (4) Erat autem ibi pratum, ubi forum habebant rerum venalium: frumentique moliti copia ex Asia eis advehebatur.

XXIV. Jam, ut ego quidem hanc rem considerans reperio, magnificentiæ caussa fodi hanc fossam Xerxes jussit, cupiens et potentiam suam ostentare, et monumentum relinquere sui. Nam, quum nullo labore per isthmum transduci naves potuissent, fossam quam mare perflueret fodi jussit ea latitudine, ut duæ simul triremes, remis suis agitatæ, transire per illam possent. Eisdem illis, quibus ducenda fossa fuerat mandata, imperatum erat etiam ut Strymonem fluvium ponte jungerent.

XXV. Hæc dum ita facienda curat, simul etiam pararí armamenta jungendis in *Hellesponto* pontibus jussit, partim ex papyro, partim ex lino albo; quam curam Phœnicibus et Ægyptiis mandavit. Deinde ne fame laboraret aut exercitus aut jumenta in Græciam ducenda, deponi commeatus jussit; (2) et commoda sciscitatus loca, ut quemque locum maxime idoneum reperit, ibi jussit deponi, dato mandato ut undique ex Asia onerariis navibus et portoriis alii alio deveherent. (3) Igitur plurimam quidem partem in Candidum Littus, quod vocatur (Leuce Acte), devexerunt; alii vero Tyrodizam Perinthiorum, alii Doriscum, alii Elonem, quæ super Strymonem est, alii in Macedoniam convehere commeatus jussi.

XXVI. Hi dum opus imperatum exsequuntur, interim coactus universus pedestris exercitus una cum Xerxe iter Sardes versus ingressus est, Critallis profectus, Cappadociæ oppido: eo enim edictum erat ut convenirent copiæ omnes, quæ per continentem cum ipso Xerxe erant ituræ. (2) Jam, quis fuerit præfectorum qui optime instructum adduxerit exercitum, adeoque munera acceperit a rege proposita, edere non possum: nam ne liquet quidem mihi, an omnino in judicium ea res venerit. (3) Exercitus vero, postquam trajecto Haly fluvio Phrygiam intravit, per eam iter faciens Celænas pervenit; ubi fontes oriuntur Mæandri, et alius fluvii non minoris Mæandro, cui nomen est Catarrhactes, qui ex ipso foro Celænarum exortus, in Mæandrum influit: quo in foro ejusdem urbis uter suspensus est Sileni Marsyæ, quem Phryges narrant ab Apolline excoriatum suspensumque fuisse.

XXVII. In hac urbe exspectans Xerxem consederat Pythius, Atyis filius, Lydus, ipsumque Xerxem et universum ejus exercitum magnificis epulis excepit, pecuniasque pollicitus est quas in bellum esset collaturus. (2) Qui ubi pecunias obtulit, quæsivit Xerxes ex præsentibus Persis,

ξης Περσέων τοὺς παρεόντας τίς τε ἐὼν ἀνδρῶν Πύθιος καὶ κόσα χρήματα κεκτημένος ἐπαγγέλλοιτο ταῦτα. (3) Οἱ δὲ εἶπαν, « ὦ βασιλεῦ, οὗτός ἐστι ὃς τοι τὸν πατέρα Δαρεῖον ἐδωρήσατο τῇ πλατανίστῳ τῇ χρυσέῃ καὶ τῇ ἀμπέλῳ· ὃς καὶ νῦν ἐστὶ πρῶτος ἀνθρώπων πλούτῳ τῶν ἡμεῖς ἴδμεν, μετὰ σέ. »

XXVIII. Θωμάσας δὲ τῶν ἐπέων τὸ τελευταῖον Ξέρξης αὐτὸς δεύτερα εἴρετο Πύθιον ὁκόσα οἱ εἴη χρήματα. Ὁ δὲ εἶπε, « ὦ βασιλεῦ, οὔτε σε ἀποκρύψω οὔτε σκήψομαι τὸ μὴ εἰδέναι τὴν ἐμεωυτοῦ οὐσίην, ἀλλ' ἐπιστάμενός τοι ἀτρεκέως καταλέξω. (2) Ἐπείτε γὰρ τάχιστά σε ἐπυθόμην ἐπὶ θάλασσαν καταβαίνοντα τὴν Ἑλληνίδα, βουλομενός τοι δοῦναι ἐς τὸν πόλεμον χρήματα ἐξέμαθον, καὶ εὗρον λογιζόμενος ἀργυρίου μὲν δύο χιλιάδας ἑούσας μοι ταλάντων, χρυσίου δὲ τετρακοσίας μυριάδας στατήρων Δαρεικῶν, ἐπιδεούσας ἑπτὰ χιλιάδων. (3) Καὶ τούτοισί σε ἐγὼ δωρέομαι· αὐτῷ δ' ἐμοὶ ἀπ' ἀνδραπόδων τε καὶ γεωπεδίων ἀρκέων ἐστὶ βίος. » Ὁ μὲν ταῦτα ἔλεγε.

XXIX. Ξέρξης δὲ ἡσθεὶς τοῖσι εἰρημένοισι εἶπε, « ξεῖνε Λυδέ, ἐγὼ ἐπείτε ἐξῆλθον τὴν Περσίδα χώρην, οὐδενὶ ἀνδρὶ συνέμιξα ἐς τόδε ὅστις ἠθέλησε ξεινια προθεῖναι στρατῷ τῷ ἐμῷ, οὐδὲ ὅστις ἐς ὄψιν τὴν ἐμὴν καταστὰς αὐτεπάγγελτος ἐς τὸν πόλεμον ἐμοὶ ἠθέλησε συμβαλέσθαι χρήματα, ἔξω σεῦ. (2) Σὺ δὲ καὶ ἐξείνισας μεγάλως στρατὸν τὸν ἐμὸν καὶ χρήματα μεγάλα ἐπαγγέλλεαι. Σοὶ ὦν ἐγὼ ἀντ' αὐτῶν γέρεα τοιάδε δίδωμι· ξεῖνόν τέ σε ποιεῦμαι ἐμὸν, καὶ τὰς τετρακοσίας μυριάδας τοι τῶν στατήρων ἀποπλήσω παρ' ἐμεωυτοῦ δοὺς τὰς ἑπτὰ χιλιάδας, ἵνα μή τοι ἐπιδεέες ἔωσι αἱ τετρακόσιαι μυριάδες ἑπτὰ χιλιάδων, ἀλλ' ᾖ τοι ἀπαρτιλογίη ὑπ' ἐμέο πεπληρωμένη. (3) Κέκτησό τε αὐτὸς τά περ αὐτὸς ἐκτήσαο, ἐπίστασό τε εἶναι αἰεὶ τοιοῦτος· οὐ γάρ τοι ταῦτα ποιεῦντι οὔτε ἐς τὸ παρεὸν οὔτε ἐς χρόνον μεταμελήσει. »

XXX. Ταῦτα δὲ εἶπας καὶ ἐπιτελέα ποιήσας ἐπορεύετο αἰεὶ τὸ πρόσω. Ἄναυα δὲ καλευμένην Φρυγῶν πόλιν παραμειβόμενος, καὶ λίμνην ἐκ τῆς ἅλες γίνονται, ἀπίκετο ἐς Κολοσσὰς πόλιν μεγάλην Φρυγίης, ἐν τῇ Λύκος ποταμὸς ἐς χάσμα γῆς ἐσβάλλων ἀφανίζεται· ἔπειτεν διὰ σταδίων ὡς πέντε μάλιστά κῃ ἀναφαινόμενος ἐκδιδοῖ καὶ οὗτος ἐς τὸν Μαίανδρον. (2) Ἐκ δὲ Κολοσσέων ὁρμεώμενος ὁ στρατὸς ἐπὶ τοὺς οὔρους τῶν Φρυγῶν καὶ Λυδῶν ἀπίκετο ἐς Κύδραρα πόλιν, ἔνθα στήλη καταπεπηγυῖα, σταθεῖσα δὲ ὑπὸ Κροίσου, καταμηνύει διὰ γραμμάτων τοὺς οὔρους.

XXXI. Ὡς δὲ ἐκ τῆς Φρυγίης ἐσέβαλε ἐς τὴν Λυδίην, σχιζομένης τῆς ὁδοῦ καὶ τῆς μὲν ἐς ἀριστερὴν ἐπὶ Καρίης φερούσης, τῆς δὲ ἐς δεξιὴν ἐς Σάρδις, τῇ καὶ πορευομένῳ διαβῆναι τὸν Μαίανδρον ποταμὸν πᾶσα ἀνάγκη γίνεται καὶ ἰέναι παρὰ Καλλάτηβον πόλιν, ἐν τῇ ἄνδρες δημιοεργοὶ μέλι ἐκ μυρίκης τε καὶ πυροῦ ποιεῦσι, ταύτην ἰὼν ὁ Ξέρξης τὴν ὁδὸν εὗρε πλατάνιστον, τὴν κάλλεος εἵνεκεν δωρησάμενος κόσμῳ χρυσέῳ

quisnam hominum esset Pythius, et quantas possideret divitias, qui ista offerret. (3) Cui illi responderunt: « Idem hic est, rex, qui patri tuo Dario auream platanum aureamque vitem dono dedit: estque post te nunc hominum, quos novimus, omnium princeps divitiis. »

XXVIII. Miratus Xerxes posterius hoc verbum, ipse deinde Pythium interrogavit, quantas possideret pecunias. Et ille, « rex, inquit, non te celabo, neque excusatione utar, nescire me meas facultates; sed bene cognitas habens, adcurate tibi dicam. (2) Nam simul atque certior sum factus ad mare Græcum te descendere, cupiens tibi ad bellum conferre pecunias, inquisivi; rationeque inita, reperi, esse mihi argenti talenta bis mille, auri vero quadringentas myriadas staterum Daricorum, minus septem millibus. (3) Atque has ego pecunias tibi do muneri: est enim mihi ex mancipiis atque agris victus sufficiens. » Hæc ille dixit.

XXIX. Hisque àb illo dictis Xerxes delectatus, respondit: « Hospes Lyde, ex quo ego Persica egressus sum terra, nullum adhuc, præter te, hominem reperi, qui vellet hospitalia officia exercitui meo exhibere; nec qui meum in conspectum veniens, sua sponte pecunias mihi ad bellum conferendas offerret. (2) Tu vero et magnifice exercitum meum excepisti, et pecunias ingentes polliceris. Tibi ergo vicissim ego dona hæcce tribuo: in meorum hospitum numero te repono, et quadringentas staterum myriades de meo tibi complebo, septem millia dono dans, ne tibi ad complendas quadringentas myriadas septem millia desint, sed solida atque integra ista tibi summa a me conficiatur. (3) Perge vero tu possidere quæ adquisivisti, ac scito semper talem te virum præstare: quod ubi feceris, neque nunc, nec in posterum te pœnitebit. »

XXX. His dictis, Xerxes, præstito promisso, ulterius progredi perrexit. Postquam Anaua, quod vocatur, Phrygiæ oppidum, præteriit, et lacum ex quo sal conficitur, Colossas pervenit, magnam Phrygiæ urbem; in qua Lycus amnis in terræ voraginem incidens evanescit, ac deinde, postquam ex quinque ferme stadiorum intervallo iterum comparuit, in Mæandrum et ipse influit. (2) Colossis profectus exercitus, ad confinia Phrygiæ Lydiæque pervenit, ad Cydrara oppidum, ubi cippus in terram defixus, qui a Crœso positus est, inscriptis literis hos limites indicat.

XXXI. Ut ex Phrygia Lydiam intravit, ubi diverticulum est viarum, quarum altera, ad sinistram, versus Cariam fert, altera ad dextram Sardes; quam qui sequitur, eum omnino oportet Mæandrum fluvium trajicere, et Callatebum præterire oppidum, in quo pistores dulciarii ex myrica (*tamarice*) et tritico mel conficiunt: hac via iter faciens Xerxes platanum reperit, quam ob specici præstantiam aureo donavit ornatu, curamque ejus viro ex im-

καὶ μελεδωνῷ ἀθανάτῳ ἀνδρὶ ἐπιτρέψας δευτέρῃ ἡμέρῃ ἀπίκετο ἐς τῶν Λυδῶν τὸ ἄστυ.

XXXII. Ἀπικόμενος δὲ ἐς Σάρδις πρῶτα μὲν ἀπέπεμπε κήρυκας ἐς τὴν Ἑλλάδα αἰτήσοντας γῆν τε καὶ ὕδωρ καὶ προερέοντας δεῖπνα βασιλεῖ παρασκευάζειν· πλὴν οὔτε ἐς Ἀθήνας οὔτε ἐς Λακεδαίμονα ἀπέπεμπε ἐπὶ γῆς αἴτησιν, τῇ δὲ ἄλλῃ πάντῃ. (2) Τῶνδε δὲ εἵνεκεν τὸ δεύτερον ἀπέπεμπε ἐπὶ γῆν τε καὶ ὕδωρ· ὅσοι πρότερον οὐκ ἔδοσαν Δαρείῳ πέμψαντι, τούτους πάγχυ ἐδόκεε τότε δείσαντας δώσειν· βουλόμενος ὧν αὐτὸ τοῦτο ἐκμαθέειν ἀκριβῶς ἔπεμπε.

XXXIII. Μετὰ δὲ ταῦτα παρεσκευάζετο ὡς ἐλῶν ἐς Ἄβυδον. Οἱ δὲ ἐν τούτῳ τὸν Ἑλλήσποντον ἐζεύγνυσαν ἐκ τῆς Ἀσίης ἐς τὴν Εὐρώπην. (2) Ἔστι δὲ τῆς Χερσονήσου τῆς ἐν Ἑλλησπόντῳ, Σηστοῦ τε πόλιος μεταξὺ καὶ Μαδύτου, ἀκτὴ τρηχέα ἐς θάλασσαν κατήκουσα Ἀβύδῳ καταντίον· ἔνθα μετὰ ταῦτα, χρόνῳ ὕστερον οὐ πολλῷ, ἐπὶ Ξανθίππου τοῦ Ἀρίφρονος στρατηγοῦ Ἀθηναίων, Ἀρταύκτην ἄνδρα Πέρσην λαβόντες Σηστοῦ ὕπαρχον ζώοντα πρὸς σανίδα διεπασσάλευσαν, ὃς καὶ ἐς τοῦ Πρωτεσίλεω τὸ ἱρὸν τὸ ἐς Ἐλαιοῦντα ἀγινεόμενος γυναῖκας ἀθέμιτα ἔργα ἔρδεσκε.

XXXIV. Ἐς ταύτην ὦν τὴν ἀκτὴν ἐξ Ἀβύδου ὁρμεώμενοι ἐγεφύρουν τοῖσι προσεκέετο, τὴν μὲν λευκολίνου Φοίνικες, τὴν δ' ἑτέρην τὴν βυβλίνην Αἰγύπτιοι. (2) Ἔστι δὲ ἑπτὰ στάδιοι ἐξ Ἀβύδου ἐς τὴν ἀπαντίον. Καὶ δὴ ἐζευγμένου τοῦ πόρου ἐπιγενόμενος χειμὼν μέγας συνέκοψέ τε ἐκεῖνα πάντα καὶ διέλυσε.

XXXV. Ὡς δ' ἐπύθετο Ξέρξης, δεινὰ ποιεύμενος τὸν Ἑλλήσποντον ἐκέλευσε τριηκοσίας ἐπικέσθαι μάστιγι πληγὰς καὶ κατεῖναι ἐς τὸ πέλαγος πεδέων ζεῦγος. Ἤδη δὲ ἤκουσα ὡς καὶ στιγέας ἅμα τούτοισι ἀπέπεμψε στίξοντας τὸν Ἑλλήσποντον. (2) Ἐνετέλλετο δὴ ὧν ῥαπίζοντας λέγειν βάρβαρά τε καὶ ἀτάσθαλα, « Ὦ πικρὸν ὕδωρ, δεσπότης τοι δίκην ἐπιτιθεῖ τήνδε, ὅτι μιν ἠδίκησας οὐδὲν πρὸς ἐκείνου ἄδικον παθόν. (3) Καὶ βασιλεὺς μὲν Ξέρξης διαβήσεταί σε, ἢν τε σύ γε βούλῃ ἢν τε μή· σοὶ δὲ κατὰ δίκην ἅρα οὐδεὶς ἀνθρώπων θύει ὡς ἐόντι θολερῷ τε καὶ ἁλμυρῷ ποταμῷ. » Τήν τε δὴ θάλασσαν ἐνετέλλετο τούτοισι ζημιοῦν, καὶ τῶν ἐπεστεώτων τῇ ζεύξι τοῦ Ἑλλησπόντου ἀποταμέειν τὰς κεφαλάς.

XXXVI. Καὶ οἱ μὲν ταῦτα ἐποίεον, τοῖσι προσεκέετο αὕτη ἡ ἄχαρις τιμή, τὰς δὲ ἄλλοι ἀρχιτέκτονες ἐζεύγνυσαν. Ἐζεύγνυσαν δὲ ὧδε· (2) πεντηκοντέρους καὶ τριήρεας συνθέντες, ὑπὸ μὲν τὴν πρὸς τοῦ Εὐξείνου πόντου ἑξήκοντά τε καὶ τριηκοσίας, ὑπὸ δὲ τὴν ἑτέρην τεσσερασκαίδεκα καὶ τριηκοσίας, τοῦ μὲν Πόντου ἐπικαρσίας, τοῦ δὲ Ἑλλησπόντου κατὰ ῥόον, ἵνα ἀνακωχεύῃ τὸν τόνον τῶν ὅπλων, συνθέντες δὲ ἀγκύρας κατῆκαν περιμήκεας, τὰς μὲν πρὸς τοῦ Πόντου τῆς ἑτέρης τῶν ἀνέμων εἵνεκεν τῶν ἔσωθεν

mortalibus (*cohorte Persarum*) lecto mandavit : postero die in primariam Lydorum urbem pervenit.

XXXII. Sardes postquam Xerxes pervenit, præcones primum dimisit per Græciam, qui terram et aquam postularent, edicerentque ut cœnas pararent regi. Athenis atque Lacedæmone exceptis, in omnes alias Græciæ partes ad terram aquamque postulandam misit : (2) quod quidem hac de caussa iterum fecit, quoniam, qui prius postulanti Dario non dederant, eos nunc, metu adactos, utique daturos existimabat : hoc vero ipsum certo cogniturus, iterum misit.

XXXIII. Deinde ad reliquum iter se comparavit, Abydum ducturus. Interim, quibus negotium datum erat ut Hellespontum ponte jungerent ex Asia in Europam pertinente, perfecerant opus. (2) Est autem Chersonesi ad Hellespontum ora in mare excurrens aspera inter Sestum urbem et Madytum, Abydo obversa : ubi deinde, haud ita multo post, Xanthippo Ariphronis filio prætore Atheniensium, captum Artaycten Persam, Sesti præfectum, vivum paxillis tabulæ adfixum suspenderunt : qui, præter alia, in templum etiam Protesilai, quod prope Elæuntem est, ductis mulieribus nefanda perpetrare consueverat.

XXXIV. Hanc igitur in oram ex Abydo tendentes, quibus imperatum id opus erat, duo pontes struxerunt, alterum Phœnices, rudentibus ex lino albo confectis; alterum Ægyptii, ex papyro. (2) Sunt autem septem stadia ex Abydo ad oram oppositam. At juncto ponte jam incidit ingens tempestas, quæ rescidit illa omnia atque dissolvit.

XXXV. Quod ubi Xerxes rescivit, gravissime ferens, trecenta verbera flagellis infligi jussit Hellesponto, et compedum par in pelagus injici : quin et memoratum audivi, simul eum misisse etiam homines, qui stigmata inurerent Hellesponto. (2) Imperavit certe, ut flagellis cædentes barbara hæc et insana pronunciarent verba : « O amara aqua, dominus tibi hanc pœnam infligit, quod illum injuria adfecisti, nihil mali ab ipso passa. (3) Et trajiciet te rex, sive volueris, sive nolueris. Merito autem nemo hominum tibi sacra facit, quippe turbido salsoque flumini. » Simul vero et mari has pœnas jussit infligi, simulque capita amputari eorum, qui jungendo Hellesponto fuerant præfecti.

XXXVI. Et hæc quidem jussa exsecuti sunt quorum triste hoc fuit munus. Pontes autem deinde junxerunt alii architecti, et hoc quidem modo junxerunt : (2) colligatas actuarias quinquaginta remorum naves et triremes statuerunt, sub eo ponte qui Pontum Euxinum spectabat, numero trecentas et sexaginta, sub altero vero quattuordecim et trecentas; respectu Ponti quidem obliqua linea stantes, recta vero secundum Hellesponti cursum, ut ipse cursu intentionem sustineret rudentium. Ex navibus ita junctis prælongas demiserunt ancoras; in eo quidem ponte, qui Pontum spectabat, ventorum caussa ex interiore mari

ἐκπνεόντων, τῆς δὲ ἑτέρης τῆς πρὸς ἑσπέρης τε καὶ τοῦ Αἰγαίου εὔρου τε καὶ νότου εἵνεκεν. (3) Διέκπλοον δὲ ὑπόφαυσιν κατέλιπον τῶν πεντηκοντέρων καὶ τριηρέων τριχοῦ, ἵνα καὶ ἐς τὸν Πόντον ἔχῃ ὁ βουλόμενος πλώειν πλοίοισι λεπτοῖσι καὶ ἐκ τοῦ Πόντου ἔξω. (4) Ταῦτα δὲ ποιήσαντες κατέτεινον ἐκ γῆς στρεβλοῦντες ὄνοισι ξυλίνοισι τὰ ὅπλα, οὐκέτι χωρὶς ἑκάτερα τάξαντες, ἀλλὰ δύο μὲν λευκολίνου δασάμενοι ἐς ἑκατέρην, τέσσερα δὲ τῶν βυβλίνων. Παχύτης μὲν ἦν ἡ αὐτὴ καὶ καλλονή, κατὰ λόγον δὲ ἦν ἐμβριθέστερα τὰ λίνεα, τοῦ τάλαντον ὁ πῆχυς εἶλκε. (5) Ἐπειδὴ δὲ ἐγεφυρώθη ὁ πόρος, κορμοὺς ξύλων καταπρίσαντες καὶ ποιήσαντες ἴσους τῆς σχεδίης τῷ εὑρεῖ κόσμῳ ἐπετίθεσαν κατύπερθε τῶν ὅπλων τοῦ τόνου, θέντες δὲ ἐπεξῆς ἐνθαῦτα αὖτις ἐπεζεύγνυον. (6) Ποιήσαντες δὲ ταῦτα ὕλην ἐπεφόρησαν, κόσμῳ δὲ θέντες καὶ τὴν ὕλην γῆν ἐπεφόρησαν, κατανάξαντες δὲ καὶ τὴν γῆν φραγμὸν παρείρυσαν ἔνθεν καὶ ἔνθεν, ἵνα μὴ φοβέηται τὰ ὑποζύγια τὴν θάλασσαν ὑπερορέοντα καὶ οἱ ἵπποι.

XXXVII. Ὡς δὲ τά τε τῶν γεφυρέων κατεσκεύαστο καὶ τὰ περὶ τὸν Ἄθων, οἵ τε χυτοὶ περὶ τὰ στόματα τῆς διώρυχος, οἱ τῆς ῥηχίης εἵνεκεν ἐποιήθησαν, ἵνα μὴ πίμπληται τὰ στόματα τοῦ ὀρύγματος, καὶ αὐτὴ ἡ διῶρυξ παντελέως πεποιημένη ἠγγέλλετο, ἐνθαῦτα χειμερίσας, ἅμα τῷ ἔαρι παρεσκευασμένος ὁ στρατὸς ἐκ τῶν Σαρδίων ὡρμᾶτο ἐλῶν ἐς Ἄβυδον. (2) Ὡρμημένῳ δέ οἱ ὁ ἥλιος ἐκλιπὼν τὴν ἐκ τοῦ οὐρανοῦ ἕδρην ἀφανὴς ἦν οὔτ' ἐπινεφέλων ἐόντων αἰθρίης τε τὰ μάλιστα, ἀντ' ἡμέρης τε νὺξ ἐγένετο. Ἰδόντι δὲ καὶ μαθόντι τοῦτο τῷ Ξέρξῃ ἐπιμελὲς ἐγένετο, καὶ εἴρετο τοὺς μάγους τὸ ἐθέλοι προφαίνειν τὸ φάσμα. (3) Οἱ δὲ ἔφραζον ὡς Ἕλλησι προδεικνύει ὁ θεὸς ἔκλειψιν τῶν πολίων, λέγοντες ἥλιον εἶναι Ἑλλήνων πρόδεκτορα, σελήνην δὲ σφέων. Πυθόμενος δὲ ταῦτα ὁ Ξέρξης περιχαρὴς ἐὼν ἐποιέετο τὴν ἔλασιν.

XXXVIII. Ὡς δ' ἐξήλαυνε τὴν στρατιήν, Πύθιος ὁ Λυδὸς καταρρωδήσας τὸ ἐκ τοῦ οὐρανοῦ φάσμα ἐπαρθείς τε τοῖσι ὠρήμασι, ἐλθὼν παρὰ Ξέρξεα ἔλεγε τάδε, « ὦ δέσποτα, χρήσας ἄν τευ βουλοίμην τυχεῖν, τὸ σοὶ μὲν ἐλαφρὸν τυγχάνει ἐὸν ὑπουργῆσαι, ἐμοὶ δὲ μέγα γενόμενον. » (2) Ξέρξης δὲ πᾶν μᾶλλον δοκέων μιν χρήσειν ἢ τὸ ἐδεήθη, ἔφη τε ὑπουργήσειν καὶ δὴ ἀγορεύειν ἐκέλευε ὅτευ δέοιτο. Ὁ δὲ ἐπείτε ταῦτα ἤκουσε, ἔλεγε θαρσήσας τάδε, « Ὦ δέσποτα, τυγχάνουσί μοι παῖδες ἐόντες πέντε, καί σφεας καταλαμβάνει πάντας ἅμα σοὶ στρατεύεσθαι ἐπὶ τὴν Ἑλλάδα. (3) Σὺ δέ, ὦ βασιλεῦ, ἐμὲ ἐς τόδε ἡλικίης ἥκοντα οἰκτείρας τῶν μοι παίδων ἕνα παράλυσον τῆς στρατηίης τὸν πρεσβύτατον, ἵνα αὐτοῦ τε ἐμεῦ καὶ τῶν χρημάτων ᾖ μελεδωνός. Τοὺς δὲ τέσσερας ἄγε ἅμα σεωυτῷ, καὶ πρήξας τὰ νοέεις νοστήσειας ὀπίσω. »

XXXIX. Κάρτα τε ἐθυμώθη ὁ Ξέρξης, καὶ ἀμείβεται τοισίδε, « ὦ κακὲ ἄνθρωπε, σὺ ἐτόλμησας ἐμεῦ

flantium; in altero vero, qui ad vesperam versus Ægæum mare erat, Euri atque Noti caussa. (3) Inter actuarias naves autem atque triremes tribus in locis fenestram transitumque reliquerunt; ut in Pontum, qui vellet, minoribus navigiis intrare posset, et ex Ponto in mare exterius navigare. (4) His factis, intenderunt rudentes, ligneis suculis ex continente eos torquentes: nec jam seorsum duo adhibuerunt rudentum genera, sed utrique ponti binos ex lino albo, quaternos vero ex papyro rudentes tribuerunt. Crassities quidem et species utriusque generis eadem erat; sed pro ratione multo firmiores erant linei rudentes, quorum cubitus talentum pendebat. (5) Freto hac ratione juncto, sectos arborum stipites, æquali latitudine cum ponte, super intentos rudentes ordine disposuerunt: atque ita continua serie dispositos denuo arcte inter se constrinxerunt. (6) His deinde tignis ingesserunt sarmenta, et sarmentis ordine dispositis terram superne ingessere: denique, probe constipata terra, utrumque pontium latus septo munierunt, ne jumenta et equi conspecto desuper mari consternarentur.

XXXVII. Postquam et quæ ad pontes spectabant, et quæ ad Athon, parata fuerunt, renunciatumque est et ipsam fossam penitus perfectam esse, et aggeres juxta ostia fossæ ducendos, ne maris æstus ostia illa compleret; tum vero, exacta hieme, primo vere instructus exercitus Sardibus instituit Abydum proficisci. (2) Jamque in eo erat ut iter ingrederetur, quum sol sua in cœlo sede relicta evanuit, nullis nubibus obducto cœlo, sed quam maxime sereno; et medio die nox exstitit. Quod ubi vidit animadvertitque Xerxes, curæ ei hæc res fuit; quæsivitque ex Magis quid significaret id prodigium. (3) Responderunt Magi, Græcis significare deum exstinctionem urbium: dicentes, solem Græcis futura significare, Persis autem lunam. Quibus auditis lætus admodum Xerxes educere copias cœpit.

XXXVIII. Jamque educebat, quum Pythius Lydus, metuens editum de cœlo prodigium, et donis suis confisus, Xerxem adiens, hæc dixit: precibus meis abs te, Domine, mihi velim contingere; quod tibi leve est præstare, mihi vero permagnum fuerit? » (2) Et Xerxes, quidquid potius, quam quod ille in animo habuit, petiturum eum ratus, præstiturum se ei, dixit; libereque, quæ cuperet, promere jussit. Quibus auditis ille confidens, « Domine, ait, sunt mihi quinque filii, quibus omnibus sors obtigit ut tecum in bellum adversus Græciam proficiscantur. (3) At tu, rex, mei tam longe ætate provecti miserere, unique meorum filiorum, natu maximo, remitte militiam; ut et mei et bonorum meorum curam gerat. Reliquos vero quattuor duc tecum: et confectis rebus quas destinasti, domum redeas! »

XXXIX. Cui vehementer iratus Xerxes his verbis respondit: « O homo nequam, quum ego ipse in bellum adver-

στρατευομένου αὐτοῦ ἐπὶ τὴν Ἑλλάδα, καὶ ἄγοντος παῖδας ἐμοὺς καὶ ἀδελφεοὺς καὶ οἰκητοὺς καὶ φίλους, μνήσασθαι περὶ σέο παιδὸς, ἐὼν ἐμὸς δοῦλος, τὸν χρῆν πανοικίῃ αὐτῇ γυναικὶ συνέπεσθαι; (2) Εὖ νῦν τόδ' ἐξεπίσταο, ὡς ἐν τοῖσι ὠσὶ τῶν ἀνθρώπων οἰκέει ὁ θυμὸς, ὃς χρηστὰ μὲν ἀκούσας τέρψιος ἐμπιπλέει τὸ σῶμα, ὑπεναντία δὲ τούτοισι ἀκούσας ἀνοιδέει. (3) Ὅτε μέν νυν χρηστὰ ποιήσας ἕτερα τοιαῦτα ἐπηγγέλλεο, εὐεργεσίῃσι βασιλέα οὐ καυχήσεαι ὑπερβαλέσθαι· ἐπείτε δὲ ἐς τὸ ἀναιδέστερον ἐτράπευ, τὴν μὲν ἀξίην οὐ λάμψεαι, ἐλάσσω δὲ τῆς ἀξίης. Σὲ μὲν γὰρ καὶ τοὺς τέσσερας τῶν παίδων ῥύεται τὰ ξείνια· τοῦ δὲ ἑνὸς, τοῦ περιέχεαι μάλιστα, τὴν ψυχὴν ζημιώσεαι. » (4) Ὡς δὲ ταῦτα ὑπεκρίνατο, αὐτίκα ἐκέλευε τοῖσι προσετέτακτο ταῦτα πρήσσειν, τῶν Πυθίου παίδων ἐξευρόντας τὸν πρεσβύτατον μέσον διαταμέειν, διαταμόντας δὲ τὰ ἡμίτομα διαθεῖναι τὸ μὲν ἐπὶ δεξιὰ τῆς ὁδοῦ, τὸ δ' ἐπ' ἀριστερὰ, καὶ ταύτῃ διεξιέναι τὸν στρατόν.

XL. Ποιησάντων δὲ τούτων τοῦτο, μετὰ ταῦτα διεξήϊε ὁ στρατός. Ἡγέοντο δὲ πρῶτοι μὲν οἱ σκευοφόροι τε καὶ τὰ ὑποζύγια, μετὰ δὲ τούτους στρατὸς παντοίων ἐθνέων ἀναμίξ, οὐ διακεκριμένοι· τῇ δὲ ὑπερημίσεες ἔσαν, ἐνθαῦτα διαλέλειπτο, καὶ οὐ συνέμισγον οὗτοι βασιλεῖ. (2) Προηγεῦντο μὲν δὴ ἱππόται χίλιοι, ἐκ Περσέων πάντων ἀπολελεγμένοι· μετὰ δὲ αἰχμοφόροι χίλιοι, καὶ οὗτοι ἐκ πάντων ἀπολελεγμένοι, τὰς λόγχας κάτω ἐς τὴν γῆν τρέψαντες· μετὰ δὲ ἱροὶ Νισαῖοι καλεύμενοι ἵπποι δέκα, κεκοσμημένοι ὡς κάλλιστα. (3) Νισαῖοι δὲ καλεῦνται ἵπποι ἐπὶ τοῦδε· ἔστι πεδίον μέγα τῆς Μηδικῆς τῷ οὔνομά ἐστι Νίσαιον· τοὺς ὦν δὴ ἵππους τοὺς μεγάλους φέρει τὸ πεδίον τοῦτο. (4) Ὄπισθε δὲ τούτων τῶν δέκα ἵππων ἅρμα Διὸς ἱρὸν ἐπετέτακτο, τὸ ἵπποι μὲν εἶλκον λευκοὶ ὀκτὼ, ὄπισθε δὲ τῶν ἵππων εἵπετο πεζῇ ἡνίοχος ἐχόμενος τῶν χαλινῶν· οὐδεὶς γὰρ δὴ ἐπὶ τοῦτον τὸν θρόνον ἀνθρώπων ἀναβαίνει. (5) Τούτου δὲ ὄπισθε αὐτὸς Ξέρξης ἐπ' ἅρματος ἵππων Νισαίων· παραβεβήκεε δέ οἱ ἡνίοχος τῷ οὔνομα ἦν Πατιράμφης, Ὀτάνεω παῖς ἀνδρὸς Πέρσεω.

XLI. Ἐξήλασε μὲν οὕτω ἐκ Σαρδίων Ξέρξης, μετεκβαίνεσκε δέ, ὅκως μιν λόγος αἱρέοι, ἐκ τοῦ ἅρματος ἐς ἁρμάμαξαν. Αὐτοῦ δὲ ὄπισθε αἰχμοφόροι Περσέων οἱ ἄριστοί τε καὶ γενναιότατοι, χίλιοι, κατὰ νόμον τὰς λόγχας ἔχοντες, μετὰ δὲ ἵππος ἄλλη χιλίη ἐκ Περσέων ἀπολελεγμένη, μετὰ δὲ τὴν ἵππον ἐκ τῶν λοιπῶν Περσέων ἀπολελεγμένοι μύριοι. (2) Οὗτος πεζὸς ἦν· καὶ τούτων χίλιοι μὲν ἐπὶ τοῖσι δούρασι ἀντὶ τῶν σαυρωτήρων ῥοιὰς εἶχον χρυσέας καὶ πέριξ συνεχλήϊον τοὺς ἄλλους, οἱ δὲ εἰναχισχίλιοι ἐντὸς τούτων ἐόντες ἀργυρέας ῥοιὰς εἶχον. (3) Εἶχον δὲ χρυσέας ῥοιὰς καὶ οἱ ἐς τὴν γῆν τράποντες τὰς λόγχας, καὶ μῆλα οἱ ἄγχιστα ἑπόμενοι Ξέρξῃ. Τοῖσι δὲ μυρίοισι ἐπετέτακτο ἵππος Περσέων μυρίη. Μετὰ δὲ τὴν ἵππον διελέλειπτο καὶ

sus Græciam proficiscar, et filios meos et fratres et cognatos et amicos eodem ducam, tu tui filii ausus es facere mentionem, qui meus es servus, quem tota cum domo ipsaque uxore me sequi oportebat! (2) Probe nunc hoc scito, in auribus hominum habitare animum; qui si bona audit, voluptate implet corpus; si contraria his, indignatur. (3) Igitur quum bene fecisti et alia talia promisisti, non gloriaberis te regem beneficiis superasse: nunc vero, ubi ad impudentiam te convertisti, non tu quidem pro merito, sed minora quam pro merito accipies. Te enim et quattuor ex tuis filiis servant hospitalia munera: unius vero, qui tibi præ cæteris cordi est, vita mulctaberis. » (4) Hoc dato responso, protinus his, quorum negotium erat talia exsequi, imperavit, ut perquisitum maximum natu Pythii filium discinderent medium, discissique corporis dimidium ad dextram viæ, dimidium ad sinistram disponerent; utque illac transiret exercitus.

XL. His ita perfectis, translit deinde agmen. Et præcedebant quidem jumenta cum impedimentis; sequebanturque copiæ ex omnis generis nationibus contractæ, promiscue incedentes, non discretæ; quo autem loco dimidia pars copiarum jam superata erat, ibi relictum erat intervallum: nec enim hi cum rege miscebantur. (2) Regem vero præcedebant mille equites ex cunctis Persis selecti: dein mille hastati, ipsi quoque ex omnibus selecti, deorsum in terram versis lanceis incedentes: post hos sacri Nisæi (qui vocantur) equi decem, quam pulcerrime ornati. (3) Nisæi autem vocantur hi equi ab amplo Mediæ campo, cui nomen est Nisæus, in quo grandes illi equi gignuntur. (4) Post hos decem equos locus assignatus erat currui Jovis sacro, quem octo trahebant candidi equi; et pone pedibus incedebat auriga, frena tenens: hanc enim sedem nemo mortalium conscendit. (5) Post hunc ipse Xerxes vehebatur curru equis Nisæis juncto: et a latere incedebat auriga, cui nomen erat Patiramphes', Otanis filius, viri Persæ.

XLI. Hoc modo Sardibus egressus est Xerxes: de curru autem descendens, quoties commodum ei videretur, in carpentum transibat. Post illum erant hastati mille, nobilissimi fortissimique Persarum, erectas lanceas tenentes: deinde alii mille equites ex Persis selecti: et post equites, peditum decem millia e reliquis Persis selectorum; (2) quorum peditum mille in hastis, pro imis cuspidibus, aurea habebant mala punica, et reliquos circumcirca includebant; novies mille vero, qui intra hos erant, argentea mala punica habebant. (3) Aurea vero mala punica habebant etiam illi, qui lanceas in terram conversas tenebant; et poma aurea hi, qui Xerxem proxime sequebantur. Post decies mille pedites locati erant equitum Persarum decem millia. Tum post equitatum hunc intervallum erat duorum utique sta-

δύο σταδίους, καὶ ἔπειτεν ὁ λοιπὸς ὅμιλος ἦϊε ἀναμίξ.

XLII. Ἐποιέετο δὲ τὴν ὁδὸν ἐκ τῆς Αυδίης ὁ στρατὸς ἐπί τε ποταμὸν Κάϊκον καὶ γῆν τὴν Μυσίην, ἀπὸ δὲ Καΐκου ὁρμεώμενος, Κάνης οὖρος ἔχων ἐν ἀριστερῇ, διὰ τοῦ Ἀταρνέος ἐς Καρίνην πόλιν. (2) Ἀπὸ δὲ ταύτης διὰ Θήβης πεδίου ἐπορεύετο, Ἀτραμύττειόν τε πόλιν καὶ Ἄντανδρον τὴν Πελασγίδα παραμειβόμενος. Τὴν Ἴδην δὲ λαβὼν ἐς ἀριστερὴν χέρα ἦϊε ἐς τὴν Ἰλιάδα γῆν. (3) Καὶ πρῶτα μέν οἱ ὑπὸ τῇ Ἴδῃ νύκτα ἀναμείναντι βρονταί τε καὶ πρηστῆρες ἐπεσπίπτουσι, καί τινα αὐτοῦ ταύτῃ συχνὸν ὅμιλον διέφθειραν.

XLIII. Ἀπικομένου δὲ τοῦ στρατοῦ ἐπὶ τὸν Σκάμανδρον, ὃς πρῶτος ποταμῶν, ἐπείτε ἐκ Σαρδίων ὁρμηθέντες ἐπεχείρησαν τῇ ὁδῷ, ἐπέλιπε τὸ ῥέεθρον οὐδ' ἀπέχρησε τῇ στρατιῇ τε καὶ τοῖσι κτήνεσι πινόμενος, ἐπὶ τοῦτον δὴ τὸν ποταμὸν ὡς ἀπίκετο Ξέρξης, ἐς τὸ Πριάμου Πέργαμον ἀνέβη ἵμερον ἔχων θηήσασθαι. (2) Θηησάμενος δὲ καὶ πυθόμενος ἐκείνων ἕκαστα τῇ Ἀθηναίῃ τῇ Ἰλιάδι ἔθυσε βοῦς χιλίας, χοὰς δὲ οἱ μάγοι τοῖσι ἥρωσι ἐχέαντο. Ταῦτα δὲ ποιησαμένοισι νυκτὸς φόβος ἐς τὸ στρατόπεδον ἐνέπεσε. (3) Ἅμα ἡμέρῃ δὲ ἐπορεύετο ἐνθεῦτεν, ἐν ἀριστερῇ μὲν ἀπέργων Ῥοίτειον πόλιν καὶ Ὀφρύνειον καὶ Δάρδανον, ἦπερ δὴ Ἀβύδῳ ὅμουρός ἐστι, ἐν δεξιῇ δὲ Γέργιθας Τευκρούς.

XLIV. Ἐπεὶ δ' ἐγένετο ἐν Ἀβύδῳ, ἠθέλησε Ξέρξης ἰδέσθαι πάντα τὸν στρατόν. Καὶ προεπεποίητο γὰρ ἐπὶ κολωνοῦ ἐπίτηδες αὐτοῦ ταύτῃ προεξέδρη λίθου λευκοῦ (ἐποίησαν δὲ Ἀβυδηνοὶ ἐντειλαμένου πρότερον βασιλέος), (2) ἐνθαῦτα ὡς ἵζετο, κατορέων ἐπὶ τῆς ἠιόνος ἐθηεῖτο καὶ τὸν πεζὸν καὶ τὰς νέας, θηεύμενος δὲ ἱμέρθη τῶν νεῶν ἅμιλλαν γινομένην ἰδέσθαι. Ἐπεὶ δ' ἐγένετό τε καὶ ἐνίκων Φοίνικες Σιδώνιοι, ἥσθη τε τῇ ἁμίλλῃ καὶ τῇ στρατιῇ.

XLV. Ὡς δὲ ὥρα πάντα μὲν τὸν Ἑλλήσποντον ὑπὸ τῶν νεῶν ἀποκεκρυμμένον, πάσας δὲ τὰς ἀκτὰς καὶ τὰ Ἀβυδηνῶν πεδία ἐπίπλεα ἀνθρώπων, ἐνθαῦτα Ξέρξης ἑωυτὸν ἐμακάρισε, μετὰ δὲ τοῦτο ἐδάκρυσε.

XLVI. Μαθὼν δέ μιν Ἀρτάβανος ὁ πάτρως, ὃς τὸ πρῶτον γνώμην ἀπεδέξατο ἐλευθέρως οὐ συμβουλεύων Ξέρξῃ στρατεύεσθαι ἐπὶ τὴν Ἑλλάδα, οὗτος ὡνὴρ φρασθεὶς Ξέρξεα δακρύσαντα εἶρετο τάδε, « Ὦ βασιλεῦ, ὡς πολλὸν ἀλλήλων κεχωρισμένα ἐργάσαο νῦν τε καὶ ὀλίγῳ πρότερον· μακαρίσας γὰρ σεωυτὸν δακρύεις. » (2) Ὁ δὲ εἶπε, « ἐσῆλθε γάρ με λογισάμενον κατοικτεῖραι ὡς βραχὺς εἴη ὁ πᾶς ἀνθρώπινος βίος, εἰ τούτων γε ἐόντων τοσούτων οὐδεὶς ἐς ἑκατοστὸν ἔτος περιέσται. » (3) Ὁ δὲ ἀμείβετο λέγων, « ἕτερα τούτου παρὰ τὴν ζόην πεπόνθαμεν οἰκτρότερα. Ἐν γὰρ οὕτω βραχεῖ βίῳ οὐδεὶς οὕτω ἄνθρωπος ἐὼν εὐδαίμων πέφυκε, οὔτε τούτων οὔτε τῶν ἄλλων, τῷ οὐ παραστήσεται πολλάκις καὶ οὐκὶ ἅπαξ τεθνάναι βούλεσθαι μᾶλλον ἢ ζώειν. (4) Αἵ τε γὰρ συμφοραὶ προσπίπτουσαι καὶ αἱ νοῦσοι συνταράσσουσαι καὶ βραχὺν ἐόντα μακρὸν δοκέειν εἶναι ποιεῦσι τὸν βίον. Οὕτω ὁ μὲν θάνατος μοχθηρῆς ἐούdiorum; ac deinde reliquæ copiæ promiscue incedebant.

XLII. Iter autem ex Lydia dirigebat agmen ad Caicum fluvium in terram Mysiam : tum a Caico profectum, Canæ montem a sinistra habens, per Atarneum ad Carinam urbem. (2) Ab hac dein per Thebæ campum iter fecit, Atramytteum urbem et Antandrum Pelasgicam prætergrediens. Tum Idam a læva manu habens, Iliacam terram intravit. (3) Ibi primum ei, sub Ida noctem agenti, ingruentia tonitrua atque fulmina haud exiguum hominum numerum occiderunt.

XLIII. Postquam ad Scamandrum pervenit agmen, quem fluviorum primum, ex quo Sardibus profecti iter ingressi sunt, aqua destituit, nec ad bibendum exercitui jumentisque suffecit; ad hunc igitur fluvium postquam Xerxes pervenit, in Priami Pergamum adscendit, spectandi loci cupidus : (2) quem ubi contemplatus est, et singula percontatus, Minervæ Iliacæ mille mactavit boves, et heroibus Magi inferias obtulerunt. Quibus peractis, noctu terror castra invasit. (3) Prima dein luce inde profecti, a sinistra reliquerunt Rhœteum urbem et Ophryneum et Dardanum, quæ est Abydo contermina; a dextra vero Gergithas Teucros.

XLIV. Abydum postquam pervenerunt, voluit ibi Xerxes universum oculis lustrare exercitum. Et de industria ibi in tumulo præparata ei erat sedes sublimis ex candido marmore; quam Abydeni jussu regis prius exstruxerant. (2) Ibi igitur sedens, et deorsum secundum oram prospiciens, contemplatus est et pedestrem exercitum et naves : quas dum contemplatur, incessit eum cupido certamen navale spectandi. Quod ubi ei editum est spectaculum, in quo vicere Phœnices Sidonii, lætatus est et certamine et exercitu.

XLV. Conspiciens autem universum Hellespontum navibus suis coopertum, et oram omnem et campos Abydenorum hominibus repletos, beatum se Xerxes prædicavit : haud multo post vero lacrimas fudit.

XLVI. Quod ubi animadvertit Artabanus, avunculus ejus, qui prius libere dixerat sententiam, hortatusque eum erat ne expeditionem in Græciam susciperet; hic vir, lacrimantem intelligens Xerxem, his verbis eum est adlocutus : « Quam longe inter se diversa, Rex, fecisti nunc et paulo ante! modo beatum te prædicasti; nunc lacrimas fundis. » (2) Cui ille : « Subiit namque me humanam sortem miserari, reputantem quam brevis sit universa hominis vita; quandoquidem horum, tot numero hominum, nullus in centesimum annum superfuturus est. » (3) Reponens Artabanus ait : « Alia hoc etiam miserabiliora nobis in vitæ cursu accidunt. Etenim nemo hominum, nec ex horum numero, nec ex reliquorum, ita felix natus est, cui in tam brevi vita non usu venturum sit idemtidem, nedum semel, ut mori malit quam vivere. (4) Incidentes enim calamitates, et morbi nos perturbantes, faciunt ut vita, quantumvis brevis sit, prælonga nobis videatur. Itaque mors, quando molesta est vita, opta-

σης τῆς ζόης καταφυγὴ αἰρετωτάτη τῷ ἀνθρώπῳ γέγονε· ὁ δὲ θεὸς γλυκὺν γεύσας τὸν αἰῶνα φθονερὸς ἐν αὐτῷ εὑρίσκεται ἐών. »

XLVII. Ξέρξης δὲ ἀμείβετο λέγων, « Ἀρτάβανε, βιοτῆς μέν νυν ἀνθρωπηίης πέρι, ἐούσης τοιαύτης οἵην περ σὺ διαιρέεαι εἶναι, παυσώμεθα, μηδὲ κακῶν μεμνώμεθα χρηστὰ ἔχοντες πρήγματα ἐν χερσί· φράσον δέ μοι τόδε· (2) εἴ τοι ἡ ὄψις τοῦ ἐνυπνίου μὴ ἐναργὴς οὕτω ἐφάνη, εἶχες ἂν τὴν ἀρχαίην γνώμην, οὐκ ἐῶν με στρατεύεσθαι ἐπὶ τὴν Ἑλλάδα, ἢ μετέστης ἄν; Φέρε μοι τοῦτο ἀτρεκέως εἰπέ. » (3) Ὁ δὲ ἀμείβετο λέγων, « ὦ βασιλεῦ, ὄψις μὲν ἡ ἐπιφανεῖσα τοῦ ὀνείρου, ὡς βουλόμεθα ἀμφότεροι, τελευτήσειε· ἐγὼ δ' ἔτι καὶ ἐς τόδε δείματός εἰμι ὑπόπλεος οὐδ' ἐντὸς ἐμεωυτοῦ, ἄλλα τε πολλὰ ἐπιλεγόμενος, καὶ δὴ καὶ ὁρέων τοι δύο τὰ μέγιστα πάντων ἐόντα πολεμιώτατα. »

XLVIII. Ξέρξης δὲ πρὸς ταῦτα ἀμείβετο τοισίδε, « δαιμόνιε ἀνδρῶν, κοῖα ταῦτα λέγεις μοι εἶναι δύο πολεμιώτατα; κότερά τοι ὁ πεζὸς μεμπτὸς κατὰ τὸ πλῆθός ἐστι, καὶ τὸ Ἑλληνικὸν στράτευμα φαίνεται πολλαπλήσιον ἔσεσθαι τοῦ ἡμετέρου, ἢ τὸ ναυτικὸν τὸ ἡμέτερον λείψεσθαι τοῦ ἐκείνων, ἢ καὶ συναμφότερα ταῦτα; (2) εἰ γάρ τοι ταύτῃ ἐνδεέστερα φαίνεται εἶναι τὰ ἡμέτερα πρήγματα, στρατοῦ ἂν ἄλλου τις τὴν τα-χίστην ἄγερσιν ποιέοιτο. »

XLIX. Ὁ δ' ἀμείβετο λέγων, « ὦ βασιλεῦ, οὔτε στρατὸν τοῦτον, ὅστις γε σύνεσιν ἔχοι, μέμφοιτ' ἄν, οὔτε τῶν νεῶν τὸ πλῆθος· (I.) ἢν τε πλεῦνας συλλέξῃς, τὰ δύο τοι τὰ λέγω πολλῷ ἔτι πολεμιώτερα γίνεται. Τὰ δὲ δύο ταῦτα ἐστι γῆ τε καὶ θαλάσσα. Οὔτε γὰρ τῆς θαλάσσης ἐστὶ λιμὴν τοσοῦτος οὐδαμόθι, ὡς ἐγὼ εἰκάζω, ὅστις ἐγειρομένου χειμῶνος δεξάμενός σευ τοῦτο τὸ ναυτικὸν φερέγγυος ἔσται διασῶσαι τὰς νέας. (2) Καίτοι οὐκὶ ἕνα κη αὐτὸν δεῖ εἶναι τὸν λιμένα, ἀλλὰ παρὰ πᾶσαν τὴν ἤπειρον παρ' ἣν δὴ κομιέαι. Οὐκ ὦν δὴ ἐόντων τοι λιμένων ὑποδεξίμων, μάθε ὅτι αἱ συμφοραὶ τῶν ἀνθρώπων ἄρχουσι καὶ οὐκὶ ὥνθρωποι τῶν συμφορέων. (II.) Καὶ δὴ τῶν δύο τοι τοῦ ἑτέρου εἰρημένου τὸ ἕτερον ἔρχομαι ἐρέων. (3) Γῆ δὲ πολεμίη τῇδέ τοι κατίσταται· εἰ ἐθέλει τοι μηδὲν ἀντίξοον καταστῆναι, τοσούτῳ τοι γίνεται πολεμιωτέρη ὅσῳ ἂν προβαίνῃς ἑκαστέρω, τὸ πρόσω αἰεὶ κλεπτόμενος· εὐπρηξίης γὰρ οὐκ ἔστι ἀνθρώποισι οὐδεμία πληθώρη. (4) Καὶ δή τοι, ὡς οὐδενὸς ἐναντιευμένου, λέγω τὴν χώρην πλεῦνα ἐν πλεῦνι χρόνῳ γινομένην λιμὸν τέξεσθαι. Ἀνὴρ δὲ οὕτω ἂν εἴη ἄριστος, εἰ βουλευόμενος μὲν ἀρρωδέοι, πᾶν ἐπιλεγόμενος πείσεσθαι χρῆμα, ἐν δὲ τῷ ἔργῳ θρασὺς εἴη. »

L. Ἀμείβεται Ξέρξης τοισίδε, « Ἀρτάβανε, οἰκότως μὲν σύ γε τούτων ἕκαστα διαιρέεαι· ἀτὰρ μήτε πάντα φοβέεο μήτε πᾶν ὁμοίως ἐπιλέγεο. (I.) Εἰ γὰρ δὴ βούλοιο ἐπὶ τῷ αἰεὶ ἐπεσφερομένῳ πρήγματι τὸ πᾶν ὁμοίως ἐπιλέγεσθαι, ποιήσειας ἂν οὐδαμὰ οὐδέν· κρέσσον δὲ πάντα θαρσέοντα ἥμισυ τῶν δεινῶν πάσχειν μᾶλλον ἢ

tissimum refugium sit homini : deus vero, postquam dulcem nobis gustandam dedit vitam, dum illa fruimur, invidus esse reperitur. »

XLVII. Respondit Xerxes : « Artabane, est vitæ humanæ conditio talis, qualem tu significas : sed omittamus nunc de hac re disserere, neque malorum meminerimus, quum lætas res præ manibus habeamus! Dic mihi vero hoc : (2) nisi nocturna illa visio tibi ita manifesta adparuisset, pristinamne teneres sententiam, hortarerisque me, ne Græciæ inferam bellum, an deseruisses istam sententiam? Agedum, aperte hoc mihi dicito. » (3) Et ille : « Rex, inquit, visio illa, quæ nobis per insomnium adparuit, eum habeat exitum, quem uterque nostrûm cupimus! Ego vero usque adhuc timoris plenus sum, nec satis mei compos, quum alia multa reputans, tum duas res omnium maximas videns tibi maxime contrarias. »

XLVIII. Ad ea Xerxes his verbis utitur : « O vir mirifice, quænam hæc duo ais mihi maxime contraria? Utrum pedestrium copiarum non satis tibi placet numerus, existimasque Græcum exercitum nostro longe fore copiosiorem? an navales nostras copias copiis illorum fore inferiores? an utrumque horum? (2) nam, si hac parte parum sufficientes judicas nostros adparatus, celerrime aliæ contrahi copiæ poterunt. »

XLIX. Respondit Artabanus : « Rex, neque in exercitus hujus numero, neque in navium copia, quisquam sanæ mentis homo aliquid desideraverit. (I.) Quin etiam, si plures contraxeris copias, multo magis tibi duo illa, quæ dico, contraria erunt. Sunt autem hæc duo, terra et mare. Nec enim in mari usquam, ut ego conjicio, tam spatiosus portus est, qui, coorta tempestate, capere tuam classem et tutas præstare naves valeat. (2) Atqui non modo unum talem oportet esse portum; sed in quaque continente, quam classis tua prætervehetur, esse talem oportet. Igitur quum idoneos non habeas portus, memento homines in potestate esse casuum fortunæ, non casus fortunæ in potestate hominum. (II.) Jam postquam unum ex duobus illis exposui tibi, nunc alterum dicam (3) Terra nempe tibi hoc modo contraria est, ut, si nihil fuerit quod tibi obstet, tanto magis illa futura sit contraria tibi, quando longius progredieris, imprudens ulterius semper abreptus; nam felicitatis nulla hominibus satietas est. (4) Igitur, hoc posito nihil tibi obstare, terram dico, procedente tempore quasi processuram et ipsam ulterius semper progredienti, famem tibi esse adlaturam. At vir ita demum optime rebus suis consuluerit, si in deliberando quidem, quidlibet sibi accidere posse reputans, extimescat, in re autem agenda fortis atque audax fuerit. »

L. Respondit Xerxes his verbis : « Artabane, recte tu quidem hæc singula disputas : at neque omnia extimesce, neque omnia pariter animo volve. (I.) Nam si in quaque re proposita omnia pariter animo volvere, quæ incidere possunt, volueris, nihil umquam efficies : melius est autem, cuncta fidenter adgrediendo, dimidium pati incommodorum,

πᾶν χρῆμα προδειμαίνοντα μηδαμὰ μηδὲν παθέειν. (2) Εἰ δὲ ἐρίζων πρὸς πᾶν τὸ λεγόμενον μὴ τὸ βέβαιον ἀποδέξεις, σφάλλεσθαι ὀφείλεις ἐν αὐτοῖσι ὁμοίως καὶ ὁ ὑπεναντία τούτοισι λέξας. Τοῦτο μέν νυν ἐπ' ἴσης ἔχει· εἰδέναι δὲ ἄνθρωπον ἐόντα κῶς χρὴ τὸ βέβαιον; δοκέω μὲν οὐδαμῶς. (3) Τοῖσι τοίνυν βουλομένοισι ποιέειν ὡς τὸ ἐπίπαν φιλέει γίνεσθαι τὰ κέρδεα, τοῖσι δὲ ἐπιλεγομένοισί τε πάντα καὶ ὀκνεῦσι οὐ μάλα ἐθέλει. (II.) Ὁρᾷς τὰ Περσέων πρήγματα ἐς ὃ δυνάμιος προκεχώρηκε. (4) Εἰ τοίνυν ἐκεῖνοι οἱ πρὸ ἐμεῦ γενόμενοι βασιλέες γνώμῃσι ἐχρέοντο ὁμοίῃσι καὶ σὺ, ἢ μὴ χρεώμενοι γνώμῃσι τοιαύτῃσι ἄλλους συμβούλους εἶχον τοιούτους, οὐκ ἄν κοτε εἶδες αὐτὰ ἐς τοῦτο προελθόντα· νῦν δὲ κινδύνους ἀναρριπτέοντες ἐς τοῦτό σφεα προηγάγοντο. (5) Μεγάλα γὰρ πρήγματα μεγάλοισι κινδύνοισι ἐθέλει καταιρέεσθαι. Ἡμεῖς τοίνυν ὁμοιεύμενοι ἐκείνοισι ὥρην τε τοῦ ἔτεος καλλίστην πορευόμεθα, καὶ καταστρεψάμενοι πᾶσαν τὴν Εὐρώπην νοστήσομεν ὀπίσω, οὔτε λιμῷ ἐντυχόντες οὐδαμόθι οὔτε ἄλλο ἄχαρι οὐδὲν παθόντες. (6) Τοῦτο μὲν γὰρ αὐτοὶ πολλὴν φορβὴν φερόμενοι πορευόμεθα, τοῦτο δὲ, τῶν ἄν κου ἐπιβέωμεν γῆν καὶ ἔθνος, τούτων τὸν σῖτον ἕξομεν· ἐπ' ἀροτῆρας δὲ καὶ οὐ νομάδας στρατευόμεθα ἄνδρας. »

LI. Λέγει Ἀρτάβανος μετὰ ταῦτα, « ὦ βασιλεῦ, ἐπείτε ἀρρωδέειν οὐδὲν ἐᾷς πρῆγμα, σὺ δέ μευ συμβουλίην ἔνδεξαι· ἀναγκαίως γὰρ ἔχει περὶ πολλῶν πρηγμάτων πλεῦνα λόγον ἐκτεῖναι. (2) Κῦρος ὁ Καμβύσεω Ἰωνίην πᾶσαν πλὴν Ἀθηνέων κατεστρέψατο δασμοφόρον εἶναι Πέρσῃσι. Τούτους ὦν τοὺς ἄνδρας συμβουλεύω τοι μηδεμιῇ μηχανῇ ἄγειν ἐπὶ τοὺς πατέρας· καὶ γὰρ ἄνευ τούτων οἷοί τέ εἰμεν τῶν ἐχθρῶν κατυπέρτεροι γίνεσθαι. (3) Ἢ γάρ σφεας, ἢν ἕπωνται, δεῖ ἀδικωτάτους γίνεσθαι καταδουλουμένους τὴν μητρόπολιν, ἢ δικαιοτάτους συνελευθεροῦντας. Ἀδικώτατοι μέν νυν γινόμενοι οὐδὲν κέρδος μέγα ἡμῖν προσβάλλουσι, δικαιότατοι δὲ γινόμενοι οἷοί τε δηλήσασθαι μεγάλως τὴν σὴν στρατιὴν γίνονται. (4) Ἐς θυμὸν ὦν βαλεῦ καὶ τὸ παλαιὸν ἔπος, ὡς εὖ εἴρηται, τὸ μὴ ἅμα ἀρχῇ πᾶν τέλος καταφαίνεσθαι. »

LII. Ἀμείβεται πρὸς ταῦτα Ξέρξης, « Ἀρτάβανε, τῶν ἀπεφήναο γνωμέων, σφάλλεαι κατὰ ταύτην δὴ μάλιστα, ὃς Ἴωνας φοβέεαι μὴ μεταβάλωσι, τῶν ἔχομεν γνῶμα μέγιστον, τῶν σύ τε μάρτυς γίνεαι καὶ οἱ συστρατευσάμενοι Δαρείῳ ἄλλοι ἐπὶ Σκύθας, ὅτι ἐπὶ τούτοισι ἡ πᾶσα Περσικὴ στρατιὴ ἐγένετο διαφθεῖραι καὶ περιποιῆσαι· οἱ δὲ δικαιοσύνην καὶ πιστότητα ἐνέδωκαν, ἄχαρι δὲ οὐδέν. (2) Πάρεξ δὲ τούτου, ἐν τῇ ἡμετέρῃ καταλιπόντας τέκνα τε καὶ γυναῖκας καὶ χρήματα οὐδ' ἐπιλέγεσθαι χρὴ νεώτερόν τι ποιήσειν. Οὕτω μηδὲ τοῦτο φοβέο, ἀλλὰ θυμὸν ἔχων ἀγαθὸν σῶζε οἶκόν τε τὸν ἐμὸν καὶ τυραννίδα τὴν ἐμήν· σοὶ γὰρ ἐγὼ μούνῳ ἐκ πάντων σκῆπτρα τὰ ἐμὰ ἐπιτράπω. »

LIII. Ταῦτα εἶπας καὶ Ἀρτάβανον ἀποστείλας ἐς Σοῦσα δεύτερα μετεπέμψατο Ξέρξης Περσέων τοὺς

quam omnia prius timentem, nihil umquam pati. (2) Porro, si adversus omnia quæ dicuntur contendens, nihil tamen certi ipse promis, labi in his pariter debes atque is qui contraria dixit. Hoc quidem igitur perinde est. Certam autem veri cognitionem quomodo habere possit homo natus? equidem puto, nullo modo. (3) Itaque, qui agere volunt, hos plerumque sequi amat successus : qui vero omnia reputantes cunctantur, nihil proficiunt. (II.) Vides res Persarum quousque potentiæ creverint. (4) Quodsi igitur reges illi, qui ante me fuerunt, in ea fuissent sententia qua tu es, aut si, quum aliter quidem ipsi sensissent, consiliarios habuissent homines tui similes, nequaquam videres res eorum in hoc fastigium evectas : nunc illi, periculorum aleam subeundo, huc eas evexere. (5) Magnæ enim res ejusmodi sunt ut non nisi magnis periculis possint confici. Nos igitur, illorum facta æmulantes, optimo anni tempore iter sumus ingressi : et subacta universa Europa domum revertemur, nec famem usquam passi, nec aliud quidquam triste experti. (6) Nam et commeatu affatim instructi iter facimus, et quamcumque in terram, quemcumque ad populum perveniemus, hujus re frumentaria utemur : nec enim nomadibus hominibus, sed aratoribus, facimus bellum. »

LI. Post hæc Artabanus dixit : « Rex, quoniam nullam rem nos sinis extimescere, tu tamen meum admitte consilium : nam, ubi de multis rebus agitur, necesse est etiam plura facere verba. (2) Cyrus, Cambysis filius, Ioniam omnem, exceptis Athenis, subegit, tributariamque Persis fecit. Hos igitur viros, tibi suadeo, nullo pacto adversus parentes ipsorum ducas : nam et absque his licuerit nobis superare hostes. (3) Oportet enim hos, si nos sequantur, aut injustissimos esse, metropolin suam in servitutem redigentes; aut justissimos, libertatem illius adjuvantes. Atqui si injustissimi sunt, non magnum nobis lucrum adferent : si justissimi, maxima calamitate adficere tuum poterunt exercitum. (4) Denique reputa tecum, recte dici vetus illud verbum, Non simul cum principio exitum etiam omnem patere. »

LII. Ad hæc Xerxes respondit : « Artabane, omnium quas dixisti sententiarum hæc te maxime fallit, quod putas verendum esse ne Iones a nobis deficiant : quorum maximum habemus documentum, quibus tu ipse testis es, et quicumque alii cum Dario adversus Scythas militarunt, fuisse in illorum potestate aut perdere universum Persicum exercitum, aut servare; eosdem vero justitiam et fidem præstitisse, nihilque ingrati commisisse. (2) Præterea, quum nostra in terra reliquerint liberos suos et uxores et facultates, ne cogitari quidem debet, res novas eos molituros. Itaque ne hoc quidem reformida; sed bonum habens animum serva meam domum meumque imperium : nam tibi uni ex omnibus sceptra mea committo. »

LIII. His dictis, Artabanum Xerxes Susa misit, deinde Persarum nobilissimos ad se convocavit. Qui ubi conve-

δοκιμωτάτους· ἐπεὶ δέ οἱ παρῆσαν, ἔλεγέ σφι τάδε, « ὦ Πέρσαι, τῶνδ' ἐγὼ ὑμέων χρηίζων συνέλεξα, ἄνδρας τε γίνεσθαι ἀγαθοὺς καὶ μὴ καταισχύνειν τὰ πρόσθε ἐργασμένα Πέρσῃσι, ἐόντα μεγάλα τε καὶ πολλοῦ ἄξια, ἀλλ' εἷς τε ἕκαστος καὶ οἱ σύμπαντες προθυμίην ἔχωμεν· ξυνὸν γὰρ τοῦτο πᾶσι ἀγαθὸν σπεύδεται. (2) Τῶνδε δὲ εἵνεκεν προαγορεύω ἀντέχεσθαι τοῦ πολέμου ἐντεταμένως· ὡς γὰρ ἐγὼ πυνθάνομαι, ἐπ' ἀνδρας στρατευόμεθα ἀγαθοὺς, τῶν ἢν κρατήσωμεν, οὐ μή τις ἡμῖν ἄλλος στρατὸς ἀντιστῇ κοτὲ ἀνθρώπων. Νῦν δὲ διαβαίνωμεν ἐπευξάμενοι τοῖσι θεοῖσι οἳ Περσίδα γῆν λελόγχασι. »

LIV. Ταύτην μὲν τὴν ἡμέρην παρεσκευάζοντο ἐς τὴν διάβασιν· τῇ δὲ ὑστεραίῃ ἀνέμενον τὸν ἥλιον ἐθέλοντες ἰδέσθαι ἀνίσχοντα, θυμιήματά τε παντοῖα ἐπὶ τῶν γεφυρέων καταγίζοντες καὶ μυρσίνῃσι στορνύντες τὴν ὁδόν. (2) Ὡς δ' ἐπανέτελλε ὁ ἥλιος, σπένδων ἐκ χρυσέης φιάλης Ξέρξης ἐς τὴν θάλασσαν εὔχετο πρὸς τὸν ἥλιον μηδεμίαν οἱ συντυχίην τοιαύτην γενέσθαι, ἥ μιν παύσει καταστρέψασθαι τὴν Εὐρώπην πρότερον ἢ ἐπὶ τέρμασι τοῖσι ἐκείνης γένηται. (3) Εὐξάμενος δὲ ἐσέβαλε τὴν φιάλην ἐς τὸν Ἑλλήσποντον καὶ χρύσεον κρητῆρα καὶ Περσικὸν ξίφος, τὸν ἀκινάκεα καλεῦσι. Ταῦτα οὐκ ἔχω ἀτρεκέως διακρῖναι οὔτε εἰ τῷ ἡλίῳ ἀνατιθεὶς κατῆκε ἐς τὸ πέλαγος, οὔτε εἰ μετεμέλησέ οἱ τὸν Ἑλλήσποντον μαστιγώσαντι καὶ ἀντὶ τούτων τὴν θάλασσαν ἐδωρέετο.

LV. Ὡς δὲ ταῦτά οἱ ἐπεποίητο, διέβαινον κατὰ μὲν τὴν ἑτέρην τῶν γεφυρέων τὴν πρὸς τοῦ Πόντου ὁ πεζός τε καὶ ἡ ἵππος ἄπασα, κατὰ δὲ τὴν πρὸς τὸ Αἰγαῖον τὰ ὑποζύγια καὶ ἡ θεραπηίη. (2) Ἡγέοντο δὲ πρῶτα μὲν οἱ μύριοι Πέρσαι, ἐστεφανωμένοι πάντες, μετὰ δὲ τούτους ὁ σύμμικτος στρατὸς παντοίων ἐθνέων. Ταύτην μὲν τὴν ἡμέρην οὗτοι, τῇ δὲ ὑστεραίῃ πρῶτοι μὲν οἵ τε ἱππόται καὶ οἱ τὰς λόγχας κάτω τράποντες· ἐστεφάνωντο δὲ καὶ οὗτοι· (3) μετὰ δὲ οἵ τε ἵπποι οἱ ἱροὶ καὶ τὸ ἅρμα τὸ ἱρὸν, ἐπὶ δὲ αὐτός τε Ξέρξης καὶ οἱ αἰχμοφόροι καὶ οἱ ἱππόται οἱ χίλιοι, ἐπὶ δὲ τούτοισι ὁ ἄλλος στρατός. Καὶ αἱ νέες ἅμα ἀνήγοντο ἐς τὴν ἀπεναντίον. Ἤδη δὲ ἤκουσα καὶ ὕστατον διαβῆναι βασιλέα πάντων.

LVI. Ξέρξης δὲ ἐπείτε διέβη ἐς τὴν Εὐρώπην, ἐθηεῖτο τὸν στρατὸν ὑπὸ μαστίγων διαβαίνοντα. Διέβη δὲ ὁ στρατὸς αὐτοῦ ἐν ἑπτὰ ἡμέρῃσι καὶ ἐν ἑπτὰ εὐφρόνῃσι, ἐλινύσας οὐδένα χρόνον. (2) Ἐνθαῦτα λέγεται Ξέρξεω ἤδη διαβεβηκότος τὸν Ἑλλήσποντον ἄνδρα εἶπαι Ἑλλησπόντιον, « ὦ Ζεῦ, τί δὴ ἀνδρὶ εἰδόμενος Πέρσῃ καὶ οὔνομα ἀντὶ Διὸς Ξέρξεα θέμενος ἀνάστατον τὴν Ἑλλάδα ἐθέλεις ποιῆσαι, ἄγων πάντας ἀνθρώπους; καὶ γὰρ ἄνευ τούτων ἐξῆν τοι ποιέειν ταῦτα. »

LVII. Ὡς δὲ διέβησαν πάντες, ἐς ὁδὸν ὡρμημένοισι τέρας σφι ἐφάνη μέγα, τὸ Ξέρξης ἐν οὐδενὶ λόγῳ ἐποιήσατο καίπερ εὐσύμβλητον ἐόν· ἵππος γὰρ ἔτεκε λαγόν. (2) Εὐσύμβλητον ὦν τῇδε τοῦτο ἐγένετο, ὅτι ἔμελλε μὲν

nere, hæc ad eos rex verba fecit : « Persæ, convocavi vos ego, hoc a vobis contendens, ut fortes viros vos præstetis, neque res antehac a Persis gestas, magnas illas et summi æstimandas, dedecoretis : sed, et unusquisque pro se, et simul universi, prompti alacresque simus! commune enim hoc omnibus bonum quærimus. (2) Hac vero de caussa vos hortor, ut omni contentione in hoc bellum incumbatis, quoniam, ut audio, cum fortibus viris pugnandum nobis erit; quos si vicerimus, nullus porro alius hominum exercitus nobis resistet. Nunc vero trajiciamus, deos precati Persicæ terræ præsides. »

LIV. Et illo quidem die parabant transitum : postridie vero solem exspectabant, cupientes orientem videre, et odorum omne genus in pontibus adolentes, et myrtis viam sternentes. (2) Oriente sole, ex aurea phiala libamina Xerxes fudit in mare, et ad Solem conversus precatus est, ut nullus sibi accideret casus ejusmodi, qui cogeret ipsum a subigenda Europa prius desistere, quam ad extremos illius terminos pervenisset. (3) Peractis precibus, phialam in Hellespontum projecit, simulque aureum craterem, et Persicum gladium, quem acinacen vocant. Illud autem certo definire non possum, utrum in Solis honorem ista in mare projecerit, an Mari munera ista obtulerit, pœnitentia adductus quod Hellespontum flagellis cædi jussisset.

LV. His rebus peractis, Hellespontum copiæ trajecerunt : et per alterum quidem e pontibus, qui Pontum Euxinum spectabat, pedestris transibat exercitus et equitatus omnis; per alterum vero, Ægæo mari obversum, jumenta cum impedimentis, et famulorum turba. (2) Agmen ducebant decies mille Persæ quos dixi, coronati omnes : quos sequebatur mixtus, quem item dixi, ex variis populis exercitus. Hi primo die. Postridie, primum equites, et illi qui lanceas ad terram conversas gestabant; etiam hi coronati : (3) deinde equi sacri, et sacer currus : tum ipse Xerxes cum hastatis et cum mille, quos dixi, equitibus; hos sequebatur reliquus exercitus : simulque naves etiam in oppositum littus solvebant. Memoratum vero etiam audivi, postremum omnium regem transiisse.

LVI. Postquam in Europam Xerxes trajecerat, spectavit exercitum sub flagellis transeuntem. Transivit autem exercitus continuis septem diebus septemque noctibus, nulla interposita mora. (2) Ibi tunc, quum jam transiisset Hellespontum Xerxes, narrant virum Hellespontium dixisse : « O Jupiter, cur formam adsumens viri Persæ, et nomen Xerxis loco Jovis adsciscens, evertere vis Græciam, homines omnes adversus eam ducens? Atqui absque his facere hoc poteras. »

LVII. Transgressis omnibus, et iter ulterius ingredientibus, ingens oblatum est prodigium, cujus rationem nullam Xerxes habuit, quamvis facilis esset ejus interpretatio : equa enim leporem peperit. (2) Facile autem erat illud in hanc

ἑλᾶν στρατιὴν ἐπὶ τὴν Ἑλλάδα Ξέρξης ἀγαυρότατα καὶ μεγαλοπρεπέστατα, ὀπίσω δὲ περὶ ἑωυτοῦ τρέχων ἤξειν ἐς τὸν αὐτὸν χῶρον. (3) Ἐγένετο δὲ καὶ ἕτερον αὐτῷ τέρας ἐόντι ἐν Σάρδισι· ἡμίονος γὰρ ἔτεκε ἡμίονον διξὰ ἔχουσαν αἰδοῖα, τὰ μὲν ἔρσενος, τὰ δὲ θηλέης· κατύπερθε δὲ ἦν τὰ τοῦ ἔρσενος.

LVIII. Τῶν ἀμφοτέρων λόγον οὐδένα ποιησάμενος τὸ πρόσω ἐπορεύετο, σὺν δέ οἱ ὁ πεζὸς στρατός. Ὁ δὲ ναυτικὸς ἔξω τὸν Ἑλλήσποντον πλώων παρὰ γῆν ἐκομίζετο, τὰ ἔμπαλιν πρήσσων τοῦ πεζοῦ. (2) Ὁ μὲν γὰρ πρὸς ἑσπέρην ἔπλωε, ἐπὶ Σαρπηδονίης ἄκρης ποιεύμενος τὴν ἄπιξιν, ἐς τὴν αὐτῷ προείρητο ἀπικομένῳ περιμένειν· ὁ δὲ κατ' ἠπειρον στρατὸς πρὸς ἠῶ τε καὶ ἡλίου ἀνατολὰς ἐποιέετο τὴν ὁδὸν διὰ τῆς Χερσονήσου, ἐν δεξιῇ μὲν ἔχων τὸν Ἕλλης τάφον τῆς Ἀθάμαντος, ἐν ἀριστερῇ δὲ Καρδίην πόλιν, διὰ μέσης δὲ πορευόμενος πόλιος τῇ οὔνομα τυγχάνει ἐὸν Ἀγορή. (3) Ἐνθεῦτεν δὲ κάμπτων τὸν κόλπον τὸν Μέλανα καλεύμενον, καὶ Μέλανα ποταμὸν, οὐκ ἀντισχόντα τότε τῇ στρατιῇ τὸ ῥέεθρον, ἀλλ' ἐπιλιπόντα, τοῦτον τὸν ποταμὸν διαβὰς, ἐπ' οὗ καὶ ὁ κόλπος οὗτος τὴν ἐπωνυμίην ἔχει, ἦϊε πρὸς ἑσπέρην, Αἶνόν τε πόλιν Αἰολίδα καὶ Στεντορίδα λίμνην παρεξιὼν, ἐς ὃ ἀπίκετο ἐς Δορίσκον.

LIX. Ὁ δὲ Δορίσκος ἐστὶ τῆς Θρηίκης αἰγιαλός τε καὶ πεδίον μέγα, διὰ δὲ αὐτοῦ ῥέει ποταμὸς μέγας Ἕβρος· ἐν τῷ τεῖχός τε ἐδέδμητο βασιλήϊον, τοῦτο τὸ δὴ Δορίσκος κέκληται, καὶ Περσέων φρουρὴ ἐν αὐτῷ κατεστήκεε ὑπὸ Δαρείου ἐξ ἐκείνου τοῦ χρόνου ἐπείτε ἐπὶ Σκύθας ἐστρατεύετο. (2) Ἔδοξε ὦν τῷ Ξέρξῃ ὁ χῶρος εἶναι ἐπιτήδεος ἐνδιατάξαι τε καὶ ἐξαριθμῆσαι τὸν στρατὸν, καὶ ἐποίεε ταῦτα. Τὰς μὲν δὴ νέας τὰς πάσας ἀπικομένας ἐς Δορίσκον οἱ ναύαρχοι κελεύσαντος Ξέρξεω ἐς τὸν αἰγιαλὸν τὸν προσεχέα Δορίσκῳ ἐκόμισαν, ἐν τῷ Σάλη τε Σαμοθρηϊκίη πεπόλισται πόλις καὶ Ζώνη, τελευταία δὲ αὐτοῦ Σέρρειον ἄκρη οὐνομαστή. Ὁ δὲ χῶρος οὗτος τὸ παλαιὸν ἦν Κικόνων. (3) Ἐς τοῦτον τὸν αἰγιαλὸν κατασχόντες τὰς νέας ἀνέψυχον ἀνελκύσαντες. Ὁ δὲ ἐν τῷ Δορίσκῳ τοῦτον τὸν χρόνον τῆς στρατιῆς ἀριθμὸν ἐποιέετο.

LX. Ὅσον μέν νυν ἕκαστοι παρεῖχον πλῆθος ἐς ἀριθμὸν, οὐκ ἔχω εἰπαι τὸ ἀτρεκές· οὐ γὰρ λέγεται πρὸς οὐδαμῶν ἀνθρώπων· σύμπαντος δὲ τοῦ στρατοῦ τοῦ πεζοῦ τὸ πλῆθος ἐφάνη ἑβδομήκοντα καὶ ἑκατὸν μυριάδες. (2) Ἐξηρίθμησαν δὲ τόνδε τὸ τρόπον· συναγαγόντες ἐς ἕνα χῶρον μυριάδα ἀνθρώπων, καὶ συνάξαντες ταύτην ὡς μάλιστα εἶχον, περιέγραψαν ἔξωθεν κύκλον· περιγράψαντες δὲ καὶ ἀπέντες τοὺς μυρίους αἱμασιὴν περιέβαλον κατὰ τὸν κύκλον, ὕψος ἀνήκουσαν ἀνδρὶ ἐς τὸν ὀμφαλόν· (3) ταύτην δὲ ποιήσαντες ἄλλους ἐσεβίβαζον ἐς τὸ περιοικοδομημένον, μέχρι οὗ πάντας τούτῳ τῷ τρόπῳ ἐξηρίθμησαν. Ἀριθμήσαντες δὲ κατὰ ἔθνεα διέτασσον.

LXI. Οἱ δὲ στρατευόμενοι οἵδε ἔσαν· Πέρσαι μὲν

partem interpretari, Xerxem ingenti quidem fastu et magnificentia exercitum suum ducturum esse in Græciam, sed eum propriæ vitæ periculo eundem in locum rediturum. (3) Aliud etiam eidem, quum Sardibus versaretur, prodigium obtigerat : mula enim mulum pepererat duplex genitale habentem, alterum maris, alterum feminæ, et superius quidem fuerat masculinum.

LVIII. Neutrius horum prodigiorum ratione habita, ulterius ire Xerxes perrexit, et cum eo pedestris exercitus. Classis vero, ex Hellesponto enavigans, terram legebat, contrario pedestribus copiis cursu : (2) classis enim ad occidentem navigavit, versus Sarpedonium promontorium dirigens cursum; quo quum pervenisset, jussa erat exspectare : terrestris autem exercitus orientem versus iter faciebat per Chersonesum, a dextra habens Hellæ sepulcrum, Athamantis filiæ, a sinistra Cardiam urbem, et per medium oppidum cui nomen Agora (*id est* Forum), transitum faciens. (3) Hinc circum Melanem sinum qui vocatur flexit; trajectoque Melane fluvio, cujus aqua non suffecit exercitui, sed defecit, hoc trajecto fluvio, a quo Melas ille sinus nomen invenit, ad occidentem direxit iter, Ænum, Æolicam urbem, et Stentoridem lacum præteriens, donec Doriscum pervenit

LIX. Est autem Doriscus ora Thraciæ et ampla planities, quam magnus fluvius perfluit Hebrus. In eadem planitie castellum exstructum erat regium, quod ipsum Doriscus vocatur; in quo Persicum a Dario locatum erat præsidium ab eo inde tempore quo Scythis ille bellum intulit. (2) Hic igitur locus idoneus Xerxi visus est, in quo ordinaret suum exercitum, et numerum illius iniret : idque fecit. Itaque naves cunctas, postquam Doriscum pervenere, præfecti navium jussu Xerxis ad littus Dorisco contiguum adplicuerunt; quo in littore sita est Sale, oppidum Samothracicum, et Zona; in ipsa vero extremitate est Serrheum, celebre promontorium : regio hæc autem olim sedes fuerat Ciconum. (3) Hoc ad littus adpulsas naves in terram subduxerunt, refeceruntque : et per idem tempus Xerxes in Dorisco numerum inivit suarum copiarum.

LX. Quemnam quidem militum numerum populus quisque contulerit, exacte definire non possum; nec enim ab ullo homine hoc memoratur : universi vero exercitus multitudo reperta est fuisse centum et septuaginta myriadum. (2) Numerus autem initus est hoc modo : in unum locum congregarunt decem hominum millia, hisque quam arctissime fieri poterat constipatis circulum extrorsus circumduxerunt : deinde, dimissis his decem millibus, maceriem secundum circulum illum exstruxerunt ea altitudine, ut umbilicum attingeret hominis. (3) Quo facto, alios intra circumductum murum introire jusserunt, donec omnium numerum hoc modo iniissent. Inito numero, per populos exercitum discreverunt.

LXI. Erant autem populi militantes hi : Persæ, hoc

ὧδε ἐσκευασμένοι· περὶ μὲν τῇσι κεφαλῇσι εἶχον τιάρας καλευμένους, πίλους ἀπαγέας, περὶ δὲ τὸ σῶμα χιθῶνας χειριδωτοὺς ποικίλους, λεπίδος σιδηρέης ὄψιν ἰχθυοειδέος, περὶ δὲ τὰ σκέλεα ἀναξυρίδας, ἀντὶ δὲ ἀσπίδων γέρρα· ὑπὸ δὲ φαρετρεῶνες ἐκρέμαντο· αἰχμὰς δὲ βραχέας εἶχον, τόξα δὲ μεγάλα, οἴστοὺς δὲ καλαμίνους, πρὸς δὲ ἐγχειρίδια παρὰ τὸν δεξιὸν μηρὸν παραιωρεύμενα ἐκ τῆς ζώνης. (2) Καὶ ἄρχοντα παρείχοντο Ὀτάνεα τὸν Ἀμήστριος πατέρα τῆς Ξέρξεω γυναικός. Ἐκαλεῦντο δὲ πάλαι ὑπὸ μὲν Ἑλλήνων Κηφῆνες, ὑπὸ μέντοι σφέων αὐτῶν καὶ τῶν περιοίκων Ἀρταῖοι. (3) Ἐπεὶ δὲ Περσεὺς ὁ Δανάης τε καὶ Διὸς ἀπίκετο παρὰ Κηφέα τὸν Βήλου καὶ ἔσχε αὐτοῦ τὴν θυγατέρα Ἀνδρομέδην, γίνεται αὐτῷ παῖς τῷ οὔνομα ἔθετο Πέρσην, τοῦτον δὲ αὐτοῦ καταλείπει· ἐτύγχανε γὰρ ἄπαις ἐὼν ὁ Κηφεὺς ἔρσενος γόνου. Ἐπὶ τούτου δὲ τὴν ἐπωνυμίην ἔσχον.

LXII. Μῆδοι δὲ τὴν αὐτὴν ταύτην ἐσταλμένοι ἐστρατεύοντο· Μηδικὴ γὰρ αὕτη ἡ σκευή ἐστι καὶ οὐ Περσική. (2) Οἱ δὲ Μῆδοι ἄρχοντα μὲν παρείχοντο Τιγράνην ἄνδρα Ἀχαιμενίδην, ἐκαλεῦντο δὲ πάλαι πρὸς πάντων Ἄριοι, ἀπικομένης δὲ Μηδείης τῆς Κολχίδος ἐξ Ἀθηνέων ἐς τοὺς Ἀρίους τούτους, μετέβαλον καὶ οὗτοι τὸ οὔνομα. Αὐτοὶ δὲ περὶ σφέων ὧδε λέγουσι Μῆδοι. (3) Κίσσιοι δὲ στρατευόμενοι τὰ μὲν ἄλλα κατά περ Πέρσαι ἐσκευάδατο, ἀντὶ δὲ τῶν πίλων μιτρηφόροι ἦσαν. Κισσίων δὲ ἦρχε Ἀνάφης ὁ Ὀτάνεω. (4) Ὑρκάνιοι δὲ κατά περ Πέρσαι ἐσεσάχατο, ἡγεμόνα παρεχόμενοι Μεγάπανον τὸν Βαβυλῶνος ὕστερον τούτων ἐπιτροπεύσαντα.

LXIII. Ἀσσύριοι δὲ στρατευόμενοι περὶ μὲν τῇσι κεφαλῇσι εἶχον χάλκεά τε κράνεα καὶ πεπλεγμένα τρόπον τινὰ βάρβαρον οὐκ εὐαπήγητον, ἀσπίδας δὲ καὶ κίχμας καὶ ἐγχειρίδια παραπλήσια τοῖσι Αἰγυπτίοισι εἶχον, πρὸς δὲ ῥόπαλα ξύλων τετυλωμένα σιδήρῳ καὶ λινέους θώρηκας. (2) Οὗτοι δὲ ὑπὸ μὲν Ἑλλήνων ἐκαλεῦντο Σύριοι, ὑπὸ δὲ τῶν βαρβάρων Ἀσσύριοι ἐκλήθησαν. Τούτων δὲ μεταξὺ Χαλδαῖοι. Ἦρχε δὲ σφεων Ὀτάσπης ὁ Ἀρταχαίου.

LXIV. Βάκτριοι δὲ περὶ μὲν τῇσι κεφαλῇσι ἀγχότατα τῶν Μηδικῶν ἔχοντες ἐστρατεύοντο, τόξα δὲ καλάμινα ἐπιχώρια καὶ αἰχμὰς βραχέας. (2) Σάκαι δὲ οἱ Σκύθαι περὶ μὲν τῇσι κεφαλῇσι κυρβασίας ἐς ὀξὺ ἀπηγμένας ὀρθὰς εἶχον πεπηγυίας, ἀναξυρίδας δὲ ἐνδεδύκεσαν, τόξα δὲ ἐπιχώρια καὶ ἐγχειρίδια, πρὸς δὲ καὶ ἀξίνας σαγάρις εἶχον. Τούτους δὲ ἐόντας Σκύθας Ἀμυργίους Σάκας ἐκάλευν· οἱ γὰρ Πέρσαι πάντας τοὺς Σκύθας καλεῦσι Σάκας. (3) Βακτρίων δὲ καὶ Σακέων ἦρχε Ὑστάσπης ὁ Δαρείου τε καὶ Ἀτόσσης τῆς Κύρου.

LXV. Ἰνδοὶ δὲ εἵματα μὲν ἐνδεδυκότες ἀπὸ ξύλων πεποιημένα, τόξα δὲ καλάμινα εἶχον καὶ οἴστοὺς καλαμίνους· ἐπὶ δὲ σίδηρος ἦν. Ἐσταλμένοι μὲν δὴ ἔσαν οὕτω Ἰνδοί, προσετετάχατο δὲ συστρατευόμενοι Φαρναζάθρῃ τῷ Ἀρταβάτεω.

modo instructi : in capite pileos gestabant non compactos, quos tiaras vocant; circa corpus, tunicas manicatas varii coloris, *et loricas* ferreis e squamis in piscium similitudinem; circa crura, braccas; pro clypeis vero, crates vimineas; sub his, suspensas habebant pharetras : hastas autem habebant breves, arcus vero grandes, tela ex arundine, præterea ad dextrum femur e zona suspensos pugiones. (2) Dux eorum Otanes fuit, pater Amestridis, uxoris Xerxis. Hi olim a Græcis Cephenes nominabantur, a se ipsis vero et a finitimis Artæi. (3) Postquam vero Perseus, Danaes et Jovis filius, ad Cepheum venit, Beli filium, illiusque filiam in matrimonio habuit Andromedam, natus ei filius est, quem Persen nominavit, et ibi reliquit, quum masculam prolem Cepheus non haberet : ab illoque dein nomen Persæ invenerunt.

LXII. Medi eodem modo instructi militabant : est enim Medicus hic cultus, non Persicus. (2) Habebant autem Medi ducem Tigranem, ex Achæmenidarum familia. Vocati hi erant olim ab omnibus Arii : ex quo vero Medea Colchica Athenis ad hos Arios venit, hi quoque nomen suum mutarunt : et hoc quidem ipsi Medi de sese memorant. (3) Porro Cissii militantes reliquo quidem cultu eodem, quo Persæ, utebantur : pro pileis vero mitras gestabant. Dux eorum Anaphes fuit, Otanis filius. (4) Hyrcaniorum cultus nihil a Persarum cultu differebat : præfuit autem his Megapanus, qui postero tempore Babyloniæ fuit præfectus.

LXIII. Assyrii militantes in capite gestabant galeas æneas, barbarico quodam modo nec ad describendum facili plexas; scuta autem et hastas et pugiones similes habebant Ægyptiis; præterea vero clavas ligneas ferreis nodis munitas, et linteas loricas. (2) Hi a Græcis Syrii vocabantur, a barbaris vero Assyrii. Mixti eisdem erant Chaldæi. Dux eorum Otaspes fuit, Artachæi filius.

LXIV. Bactrii capitis cultu utentes militabant simili maxime Medico; arcubus vero ex arundine indigena, hastis brevibus. (2) Sacæ autem, Scythica gens, in capite cyrbasias gestabant in acutum desinentes et firmiter erectas; cæterum braccis erant induti : arcus autem habebant indigenas, et pugiones, adhæc securium genus, quæ sagares vocantur. Hos, quum Scythæ essent Amyrgii, Sacas vocabant : Persæ enim Scythas omnes Sacas nominant. (3) Bactriorum autem et Sacarum dux fuit Hystaspes, Darii filius et Atossæ, Cyri filiæ.

LXV. Indi vestibus erant induti ex gossypio paratis. arcus autem habebant ex arundine factos, et tela arundinea ferro præfixa. Hic cultus Indorum erat : quorum agmini collecto dux præfectus erat Pharnazathres, Artabatis filius.

LXVI. Ἄριοι δὲ τοῖσι μὲν ἐσκευασμένοι ἔσαν Μηδικοῖσι, τὰ δὲ ἄλλα κατά περ Βάκτριοι. Ἀρίων δὲ ἦρχε Σισάμνης ὁ Ὑδάρνεος. (2) Πάρθοι δὲ καὶ Χοράσμιοι καὶ Σόγδοι τε καὶ Γανδάριοι καὶ Δαδίκαι τὴν αὐτὴν σκευὴν ἔχοντες τὴν καὶ Βάκτριοι ἐστρατεύοντο. Τούτων δὲ ἦρχον οἵδε, Πάρθων μὲν καὶ Χορασμίων Ἀρτάβαζος ὁ Φαρνάκεω, Σόγδων δὲ Ἀζάνης ὁ Ἀρταίου, Γανδαρίων δὲ καὶ Δαδικέων Ἀρτύφιος ὁ Ἀρταβάνου.

LXVII. Κάσπιοι δὲ σισύρνας τε ἐνδεδυκότες καὶ τόξα ἐπιχώρια καλάμινα ἔχοντες καὶ ἀκινάκας ἐστρατεύοντο. Οὗτοι μὲν οὕτω ἐσκευάδατο, ἡγεμόνα παρεχόμενοι Ἀριόμαρδον τὸν Ἀρτυφίου ἀδελφεόν· (2) Σαράγγαι δὲ εἵματα μὲν βεβαμμένα ἔχοντες ἐνέπρεπον, πέδιλα δὲ ἐς γόνυ ἀνατείνοντα εἶχον, τόξα δὲ καὶ αἰχμὰς Μηδικάς. Σαραγγέων δὲ ἦρχε Φερενδάτης ὁ Μεγαβάζου. (3) Πάκτυες δὲ σισυρνοφόροι τε ἔσαν καὶ τόξα ἐπιχώρια εἶχον καὶ ἐγχειρίδια. Πάκτυες δὲ ἄρχοντα παρείχοντο Ἀρτύντην τὸν Ἰθαμάτρεω.

LXVIII. Οὗτοι δὲ καὶ Μύκοι τε καὶ Παρικάνιοι ἐσκευασμένοι ἔσαν κατά περ Πάκτυες. Τούτων δὲ ἦρχον οἵδε, Οὐτίων μὲν καὶ Μύκων Ἀρσαμένης ὁ Δαρείου, Παρικανίων δὲ Σιρομίτρης ὁ Οἰοβάζου.

LXIX. Ἀράβιοι δὲ ζειρὰς ὑπεζωσμένοι ἔσαν, τόξα δὲ παλίντονα εἶχον πρὸς δεξιά, μακρά. (2) Αἰθίοπες δὲ παρδαλέας τε καὶ λεοντέας ἐναμμένοι, τόξα δὲ εἶχον ἐκ φοίνικος σπάθης πεποιημένα, μακρὰ, τετραπηχέων οὐκ ἐλάσσω, ἐπὶ δὲ καλαμίνους ὀϊστοὺς σμικρούς ἀντὶ δὲ σιδήρου ἐπῆν λίθος ὀξὺς πεποιημένος, τῷ καὶ τὰς σφρηγῖδας γλύφουσι· πρὸς δὲ αἰχμὰς εἶχον, ἐπὶ δὲ κέρας δορκάδος ἐπῆν ὀξὺ πεποιημένον τρόπον λόγχης· εἶχον δὲ καὶ ῥόπαλα τυλωτά. Τοῦ δὲ σώματος τὸ μὲν ἥμισυ ἐξηλείφοντο γύψῳ ἰόντες ἐς μάχην, τὸ δ' ἕτερον ἥμισυ μίλτῳ. (3) Ἀραβίων δὲ καὶ Αἰθιόπων τῶν ὑπὲρ Αἰγύπτου οἰκημένων ἦρχε Ἀρσάμης ὁ Δαρείου καὶ Ἀρτυστώνης τῆς Κύρου θυγατρὸς, τὴν μάλιστα στέρξας τῶν γυναικῶν Δαρεῖος εἰκὼ χρυσέην σφυρήλατον ἐποιήσατο. Τῶν μὲν δὴ ὑπὲρ Αἰγύπτου Αἰθιόπων καὶ Ἀραβίων ἦρχε Ἀρσάμης.

LXX. Οἱ δὲ ἀπ' ἡλίου ἀνατολέων Αἰθίοπες (διξοὶ γὰρ δὴ ἐστρατεύοντο) προσετετάχατο τοῖσι Ἰνδοῖσι, διαλλάσσοντες εἴδος μὲν οὐδὲν τοῖσι ἑτέροισι, φωνὴν δὲ καὶ τρίχωμα μοῦνον· οἱ μὲν γὰρ ἀπ' ἡλίου Αἰθίοπες ἰθύτριχές εἰσι, οἱ δὲ ἐκ τῆς Λιβύης οὐλότατον τρίχωμα ἔχουσι πάντων ἀνθρώπων. (2) Οὗτοι δὲ οἱ ἐκ τῆς Ἀσίης Αἰθίοπες τὰ μὲν πλέω κατά περ Ἰνδοὶ ἐσεσάγατο, προμετωπίδια δὲ ἵππων εἶχον ἐπὶ τῇσι κεφαλῇσι σύν τε τοῖσι ὠσὶ ἐκδεδαρμένα καὶ τῇ λοφιῇ· καὶ ἀντὶ μὲν λόφου ἡ λοφιὴ κατέγρα, τὰ δὲ ὦτα τῶν ἵππων ὀρθὰ πεπηγότα εἶχον· προβλήματα δὲ ἀντ' ἀσπίδων ἐποιεῦντο γεράνων δοράς.

LXXI. Αἶβυες δὲ σκευὴν μὲν σκυτίνην ἧϊσαν ἔχοντες, ἀκοντίοισι δὲ ἐπικαύτοισι χρεώμενοι. Ἄρχοντα δὲ παρείχοντο Μασσάγην τὸν Ὀαρίζου.

LXVI. Arii arcubus quidem instructi erant Medicis; reliqua similia Bactriis habebant. Dux autem Ariorum Sisamnes fuit, Hydarnis filius. (2) Parthi, et Chorasmii, et Sogdi, et Gandarii, et Dadicæ, eodem modo instructi militabant atque Bactrii. Horum hi erant duces: Parthis et Chorasmiis præfuit Artabazus, Pharnacis filius; Sogdis Azanes, Artæi filius; Gandariis et Dadicis Artyphius, filius Artabani.

LXVII. Caspii sisyrnas (*penulas villosas*) induti militabant, et arcus habebant pro populi more ex arundine factos, atque acinacas. Hi quidem ita instructi erant, ducem habentes Ariomardum, Artyphii fratrem. (2) Sed Sarangæ pictis ornati vestibus erant, caligasque habebant genu usque pertinentes, arcus vero et hastas Medicas. Dux eorum Pherendates fuit, Megabazi filius. (3) Pactyes sisyrnis erant induti, arcusque indigenas et pugiones habebant. Præfuit his Artyntes, Ithamatris filius.

LXVIII. Utii et Myci et Paricanii eodem modo, quo Pactyes, erant, instructi. Duces eorum hi erant: Utiorum et Mycorum, Arsamenes, Darii filius; Paricaniorum vero Siromitres filius Œobazi.

LXIX. Arabes, sagis, quas vocant zeiras, induti succinctis, dextro humero arcus prælongos gestabant, qui in utramque intendi partem poterant. (2) Æthiopes, pardorum leonumque pellibus amicti, arcus ex palmæ spatha (*ramis quibus folia insident*) habebant prælongos, quattuor non minus cubitorum; tela vero, his imponenda, brevia, quæ loco ferri lapide acuto erant præfixa, quo etiam sigilla insculpunt. Hastas præterea habebant, cornu dorcadis acuminato præfixas in lanceæ modum: habuere vero etiam clavas nodosas. Corporis dimidium, in pugnam prodeuntes, creta dealbatum habebant, dimidium minio pictum. (3) Arabum et Æthiopum supra Ægyptum incolentium dux fuit Arsames, Darii et Artystonæ filius, Cyri filiæ; quam Darius uxorum maxime amaverat, effigiemque ejus auream faciendam curaverat malleo ductam. Arsames igitur Æthiopibus supra Ægyptum incolentibus et Arabibus præfuit.

LXX. Orientales vero Æthiopes (nam duplex Æthiopum genus militabat) cum Indis erant locati, forma quidem ab alteris non diversi, sed lingua solum et capillis. Orientales enim Æthiopes rectos habent capillos, Libyci vero crispos maxime omnium hominum. (2) Asiatici hi Æthiopes cæteroquin pari fere modo atque Indi erant instructi, caput autem tectum habebant pelle equina de capite equi detracta cum auribus et juba, ita ut ipsa juba pro crista esset, aures autem equi firmiter erectæ starent: pro scutis autem, gruum pellibus corpora tegebant.

LXXI. Afri pellibus induti incedebant, jaculis utentes adustis. Dux eorum Massages fuit, Oarizi filius.

LXXII. Παφλαγόνες δὲ ἐστρατεύοντο ἐπὶ μὲν τῇσι κεφαλῇσι ἔχοντες κράνεα πεπλεγμένα, ἀσπίδας δὲ σμικρὰς, αἰχμὰς δὲ οὐ μεγάλας, πρὸς δὲ ἀκόντια καὶ ἐγχειρίδια, περὶ δὲ τοὺς πόδας πέδιλα ἐπιχώρια ἐς μέσην κνήμην ἀνατείνοντα. (2) Λίγυες δὲ καὶ Ματιηνοὶ καὶ Μαριανδυνοί τε καὶ Σύροι τὴν αὐτὴν ἔχοντες Παφλαγόσι ἐστρατεύοντο· οἱ δὲ Σύροι οὗτοι ὑπὸ Περσέων Καππαδόκαι καλεῦνται. (3) Παφλαγόνων μέν νυν καὶ Ματιηνῶν Δῶτος ὁ Μεγασίδρου ἦρχε, Μαριανδυνῶν δὲ καὶ Λιγύων καὶ Σύρων Γωβρύης ὁ Δαρείου τε καὶ Ἀρτυστώνης.

LXXIII. Φρύγες δὲ ἀγχοτάτω τῆς Παφλαγονικῆς σκευὴν εἶχον, ὀλίγον παραλλάσσοντες. Οἱ δὲ Φρύγες, ὡς Μακεδόνες λέγουσι, ἐκαλεῦντο Βρίγες χρόνον ὅσον Εὐρωπῆῖοι ἐόντες σύνοικοι ἔσαν Μακεδόσι, μεταβάντες δὲ ἐς τὴν Ἀσίην ἅμα τῇ χώρῃ καὶ τὸ οὔνομα μετέβαλον ἐς Φρύγας. (2) Ἀρμένιοι δὲ κατά περ Φρύγες ἐσεσάχατο, ἐόντες Φρυγῶν ἄποικοι. Τούτων συναμφοτέρων ἦρχε Ἀρτόχμης Δαρείου ἐὼν θυγατέρα.

LXXIV. Λυδοὶ δὲ ἀγχοτάτω τῶν Ἑλληνικῶν εἶχον ὅπλα. Οἱ δὲ Λυδοὶ Μῆονες ἐκαλεῦντο τὸ πάλαι, ἐπὶ δὲ Λυδοῦ τοῦ Ἄτυος ἔσχον τὴν ἐπωνυμίην, μεταβαλόντες τὸ οὔνομα. (2) Μυσοὶ δὲ ἐπὶ μὲν τῇσι κεφαλῇσι εἶχον κράνεα ἐπιχώρια, ἀσπίδας δὲ σμικρὰς, ἀκοντίοισι δὲ ἐχρέοντο ἐπικαύτοισι. Οὗτοι δέ εἰσι Λυδῶν ἄποικοι, ἀπ' Οὐλύμπου δὲ οὔρεος καλεῦνται Οὐλυμπιηνοί. Λυδῶν δὲ καὶ Μυσῶν ἦρχε Ἀρταφέρνης ὁ Ἀρταφέρνεος, ὃς ἐς Μαραθῶνα ἐσέβαλε ἅμα Δάτι.

LXXV. Θρῃῖκες δὲ ἐπὶ μὲν τῇσι κεφαλῇσι ἀλωπεκέας ἔχοντες ἐστρατεύοντο, περὶ δὲ τὸ σῶμα χιθῶνας, ἐπὶ δὲ ζειρὰς περιβεβλημένοι ποικίλας, περὶ δὲ τοὺς πόδας τε καὶ τὰς κνήμας πέδιλα νεβρῶν, πρὸς δὲ ἀκόντιά τε καὶ πέλτας καὶ ἐγχειρίδια σμικρά. (2) Οὗτοι δὲ διαβάντες μὲν ἐς τὴν Ἀσίην ἐκλήθησαν Βιθυνοὶ, τὸ δὲ πρότερον ἐκαλεῦντο, ὡς αὐτοὶ λέγουσι, Στρυμόνιοι, οἰκέοντες ἐπὶ Στρυμόνι· ἐξαναστῆναι δέ φασι ἐξ ἠθέων ὑπὸ Τευκρῶν τε καὶ Μυσῶν. Θρηίκων δὲ τῶν ἐν τῇ Ἀσίῃ ἦρχε Βασσάκης ὁ Ἀρταβάνου.

LXXVI. .... ἀσπίδας δὲ ὠμοβοίνας εἶχον σμικρὰς, καὶ προβόλους δύο λυκιοεργέας ἕκαστος εἶχε, ἐπὶ δὲ τῇσι κεφαλῇσι κράνεα χάλκεα· πρὸς δὲ τοῖσι κράνεσι ὦτά τε καὶ κέρεα προσῆν βοὸς χάλκεα, ἐπῆσαν δὲ καὶ λόφοι· τὰς δὲ κνήμας ῥάκεσι φοινικέοισι κατειλίχατο. Ἐν τούτοισι τοῖσι ἀνδράσι Ἀρεός ἐστι χρηστήριον.

LXXVII. Καβηλέες δὲ οἱ Μῆονες, Λασόνιοι δὲ καλεύμενοι, τὴν αὐτὴν Κίλιξι εἶχον σκευήν, τὴν ἐγὼ, ἐπεὰν κατὰ τὴν Κιλίκων τάξιν διεξιὼν γένωμαι, τότε σημανέω. (2) Μιλύαι δὲ αἰχμάς τε βραχέας εἶχον καὶ εἵματα ἐνεπεπορπέατο· εἶχον δὲ αὐτῶν τόξα μετεξέτεροι Αὐκια, περὶ δὲ τῇσι κεφαλῇσι ἐκ διφθερέων πεποιημένας κυνέας. Τούτων πάντων ἦρχε Βάδρης ὁ Ὑστάνεος.

LXXVIII. Μόσχοι δὲ περὶ μὲν τῇσι κεφαλῇσι κυνέας ξυλίνας εἶχον, ἀσπίδας δὲ καὶ αἰχμὰς σμικρὰς·

LXXII. Paphlagones militabant in capite galeas gestantes plexas : scuta eisdem exigua erant, et hastæ non magnæ; adhæc jacula et pugiones; pedibus inductæ caligæ, ad mediam tibiam adscendentes. (2) Ligyes et Matieni et Mariandyni et Syri eodem modo, atque Paphlagones, instructi militabant. Syri autem hi a Persis Cappadoces vocantur. (3) Et dux quidem Paphlagonum et Matienorum fuit Dotus, Megasidri filius; Mariandynorum vero et Ligyum et Syrorum, Gobryas, Darii filius et Artystonæ.

LXXIII. Phryges similiter atque Paphlagones erant armati, exigua differentia. Hic populus, ut Macedones adfirmant, quamdiu in Europa cum Macedonibus habitavit, Briges nominabatur : qui postquam in Asiam transierunt, mutato una cum sede eorum nomine, Phryges sese adpellarunt. (2) Armenii, eodem modo quo Phryges, instructi erant, quum quidem sint Phrygum coloni. Ambobus simul præerat Artochmes, Darii gener.

LXXIV. Lydorum armatura simillima Græcanicæ erat. Hi Lydi, quum olim Mæones fuissent nominati, deinde a Lydo, Atyis filio, nomen invenerunt et prius mutarunt. (2) Mysi in capite galeas gestabant sui generis, clypeis utentes brevibus, jaculis autem adustis. Lydorum hi sunt coloni, et ab Olympo monte Olympieni vocantur. Lydis Mysisque præerat Artaphernes, Artaphernis illius filius, qui cum Dati Marathonem invasit.

LXXV. Thraces militantes caput pelle vulpina tectum habebant, circa corpus tunicam et tunicæ superinductum sagum (*zeiran*) variegatum; circum pedes et crura caligas ex hinnulorum corio; adhæc jacula et peltas et breves pugiones. (2) Hi, postquam in Asiam transierunt, Bithyni nominati sunt; prius vero, ut ipsi aiunt, Strymonii vocabantur, quum ad Strymonem habitarent : sedibus suis autem pulsos fuisse aiunt a Teucris et Mysis. Thracibus his Asiaticis præfuit Bassaces, Artabani filius.

LXXVI. [*Chalybes?*] parmas habebant exiguas ex bovino corio, et bina quisque venabula in Lycia confecta; et capitibus impositas galeas æneas, et super his aures et cornua bovis ex ære, itemque cristas; tibias pannis purpureis habebant involutas. Apud hunc populum est Martis oraculum.

LXXVII. Cabelenses Mæones, qui Lasonii vocantur, eodem quo Cilices cultu erant instructi; quem cultum tunc indicabo, quum in enarrationis hujus ordine ad Cilices pervenero. (2) Milyæ brevia habebant spicula, et vestes fibulis substrictas; nonnulli eorum arcus habebant Lycios; capita autem galeis tecta coriaceis. His omnibus præfuit Badres, Hystanis filius.

LXXVIII. Moschi capitibus impositas habebant galeas ligneas, parmas et hastas breves, sed ferrum hastarum

λόγχαι δὲ ἐπῆσαν μεγάλαι. Τιβαρηνοὶ δὲ καὶ Μάκρωνες καὶ Μοσύνοικοι κατά περ Μόσχοι ἐσκευασμένοι ἐστρατεύοντο. (2) Τούτους δὲ συνέτασσον ἄρχοντες οἵδε, Μόσχους μὲν καὶ Τιβαρηνοὺς Ἀριόμαρδος ὁ Δαρείου τε παῖς καὶ Πάρμυος τῆς Σμέρδιος τοῦ Κύρου, Μάκρωνας δὲ καὶ Μοσυνοίκους Ἀρταύκτης ὁ Χεράσμιος, ὃς Σηστὸν τὴν ἐν Ἑλλησπόντῳ ἐπετρόπευε.

LXXIX. Μῆρες δὲ ἐπὶ μὲν τῇσι κεφαλῇσι κράνεα ἐπιχώρια πλεκτὰ εἶχον, ἀσπίδας δὲ δερματίνας σμικρὰς καὶ ἀκόντια. (2) Κόλχοι δὲ περὶ μὲν τῇσι κεφαλῇσι κράνεα ξύλινα, ἀσπίδας δὲ ὠμοβοΐνας σμικρὰς, αἰχμάς τε βραχέας, πρὸς δὲ καὶ μαχαίρας εἶχον. Μαρῶν δὲ καὶ Κόλχων ἦρχε Φαρανδάτης ὁ Τεάσπιος. (3) Ἀλαρόδιοι δὲ καὶ Σάσπειρες κατά περ Κόλχοι ὡπλισμένοι ἐστρατεύοντο. Τούτων δὲ Μασίστιος ὁ Σιρομίτρεω ἦρχε.

LXXX. Τὰ δὲ νησιωτικὰ ἔθνεα τὰ ἐκ τῆς Ἐρυθρῆς θαλάσσης ἑπόμενα, νήσων δὲ ἐν τῇσι τοὺς ἀνασπάστους καλευμένους κατοικίζει βασιλεὺς, ἀγχοτάτω τῶν Μηδικῶν εἶχον ἐσθῆτά τε καὶ ὅπλα. (2) Τούτων δὲ τῶν νησιωτέων ἦρχε Μαρδόντης ὁ Βαγαίου, ὃς ἐν Μυκάλῃ στρατηγέων δευτέρῳ ἔτεϊ τούτων ἐτελεύτησε ἐν τῇ μάχῃ.

LXXXI. Ταῦτα ἦν τὰ κατ' ἤπειρον στρατευόμενά τε ἔθνεα καὶ τεταγμένα ἐς τὸ πεζόν. Τούτου ὦν τοῦ στρατοῦ ἦρχον οὗτοι οἵ περ εἰρέαται, καὶ οἱ διατάξαντες καὶ ἐξαριθμήσαντες οὗτοι ἦσαν, καὶ χιλιάρχας τε καὶ μυριάρχας ἀποδέξαντες, ἑκατοντάρχας δὲ καὶ δεκάρχας οἱ μυριάρχαι. Τελέων δὲ καὶ ἐθνέων ἦσαν ἄλλοι σημάντορες. Ἦσαν μὲν δὴ οὗτοι οἵ περ εἰρέαται ἄρχοντες.

LXXXII. Ἐστρατήγεον δὲ τούτων τε καὶ τοῦ σύμπαντος στρατοῦ τοῦ πεζοῦ Μαρδόνιός τε ὁ Γωβρύεω καὶ Τριτανταίχμης ὁ Ἀρταβάνου τοῦ γνώμην θεμένου μὴ στρατεύεσθαι ἐπὶ τὴν Ἑλλάδα καὶ Σμερδομένης ὁ Ὀτάνεω, Δαρείου ἀμφότεροι οὗτοι ἀδελφεῶν παῖδες, Ξέρξῃ δὲ ἐγίνοντο ἀνεψιοὶ, καὶ Μασίστης ὁ Δαρείου τε καὶ Ἀτόσσης παῖς καὶ Γέργις ὁ Ἀρίζου καὶ Μεγάβυζος ὁ Ζωπύρου.

LXXXIII. Οὗτοι ἦσαν στρατηγοὶ τοῦ σύμπαντος πεζοῦ χωρὶς τῶν μυρίων· τῶν δὲ μυρίων τούτων Περσέων τῶν ἀπολελεγμένων ἐστρατήγεε μὲν Ὑδάρνης ὁ Ὑδάρνεος, ἐκαλεῦντο δὲ ἀθάνατοι οἱ Πέρσαι οὗτοι ἐπὶ τοῦδε· εἴ τις αὐτῶν ἐξέλιπε τὸν ἀριθμὸν ἢ θανάτῳ βιηθεὶς ἢ νούσῳ, ἄλλος ἀνὴρ ἀραίρητο, καὶ ἐγίνοντο οὐδαμὰ οὔτε πλεῦνες μυρίων οὔτε ἐλάσσονες. (2) Κόσμον δὲ πλεῖστον παρείχοντο διὰ πάντων Πέρσαι, καὶ αὐτοὶ ἄριστοι ἦσαν. Σκευὴν μὲν τοιαύτην εἶχον ἥπερ εἰρηται, χωρὶς δὲ χρυσόν τε πολλὸν καὶ ἄφθονον ἔχοντες ἐνέπρησαν. Ἁρμαμάξας τε ἅμα ἦγοντο, ἐν δὲ παλλακὰς καὶ θεραπηίην πολλήν τε καὶ εὖ ἐσκευασμένην. Σῖτα δέ σφι, χωρὶς τῶν ἄλλων στρατιωτέων, κάμηλοί τε καὶ ὑποζύγια ἦγον.

LXXXIV. Ἱππεύει δὲ ταῦτα τὰ ἔθνεα· πλὴν οὐ

erat prælongum. Tibareni et Macrones et Mosynœci militabant similiter atque Moschi armati. (2) Ordinabant hos autem hi duces : Moschos et Tibarenos Ariomardus, Darii filius et Parmyis, filiæ Smerdis, Cyri neptis : Macronas vero et Mosynœcos Artayctes, filius Cherasmis, qui Sesto ad Hellespontum præfectus erat.

LXXIX. Mares in capitibus galeas gestabant suo more plexas, parmas breves coriaceas habebant, et jacula. (2) Colchi ligneas galeas in capitibus habebant, parvas parmas ex cruda bovis pelle, hastas breves; adhæc etiam gladios. Marum et Colchorum dux fuit Pharandates, Teaspis filius. (3) Alarodii et Saspires similiter Colchis armati militabant : præfuitque his Masistius, Siromitræ filius.

LXXX. Insulani populi, qui castra sequebantur, ex illis Maris Rubri insulis, in quibus rex sedes adsignat his qui Anaspasti (*transportati*) vocantur, veste atque armis utebantur simillimis Medicis. (2) Insulanis his præfuit Mardontes Bagæi filius, qui altero post hæc anno dux apud Mycalen in prælio cecidit.

LXXXI. Hi igitur sunt populi, qui in continente, et quidem pedibus, militabant. Et pedestribus his copiis præfuerunt viri quos dixi : qui et ordinarunt eos et eorum numerum inierunt, et chiliarchas et myriarchas (*millium et decem millium duces*) nominarunt : hecatontarchas vero et decadarchas (*centuriones et decuriones*) nominarunt myriarchæ. Jam singulorum agminum populorumque alii quidem fuerant etiam duces minores; sed hi sub imperio erant eorum quos commemoravi.

LXXXII. His ipsis vero, et universo pedestri exercitui, præfecti erant Mardonius, Gobryæ filius, et Tritantæchmes, Artabani illius, qui pro sententia dixerat non esse bellum inferendum Græciæ, et Smerdomenes, Otanis filius; (duo hi, Darii ex fratribus nepotes, Xerxis erant consobrini;) et Masistes, Darii et Atossæ filius, et Gergis Arizi, et Megabyzus Zopyri.

LXXXIII. Hi universo pedestri exercitui præerant, exceptis decem millibus. His enim selectis decem millibus Persarum Hydarnes præfuit, Hydarnis filius. Vocabantur autem hi Persæ Immortales, hac de caussa : quando ex illorum numero aliquis defecit aut morte aut morbo coactus, alius in ejus locum jam delectus erat vir, ut semper essent decies mille, nec plures nec pauciores. (2) Præcipuo autem inter omnes cultu eminebant Persæ, et fortissimi hi erant. Armatura ea fuit quam dixi; præterea vero auro multo et copioso fulgebant. Pellices etiam secum hi ducebant carpentis vectas, et frequens famulitium pulcre ornatum : eisdemque, seorsum a cæteris militibus, cameli et jumenta commeatus vehebant.

LXXXIV. Equis quidem vehuntur omnes isti populi :

πάντα παρείχετο ἵππον, ἀλλὰ τοσάδε μοῦνα· Πέρσαι μὲν τὴν αὐτὴν ἐσκευασμένοι καὶ ὁ πεζὸς αὐτῶν· πλὴν ἐπὶ τῇσι κεφαλῇσι εἶχον μετεξέτεροι αὐτῶν καὶ χάλκεα καὶ σιδήρεα ἐξεληλαμένα ποιήματα.

LXXXV. Εἰσὶ δέ τινες νομάδες ἄνθρωποι Σαγάρτιοι καλεύμενοι, ἔθνος μὲν Περσικὸν καὶ φωνῇ, σκευὴν δὲ μεταξὺ ἔχουσι πεποιημένην τῆς τε Περσικῆς καὶ τῆς Πακτυϊκῆς· οἳ παρείχοντο μὲν ἵππον ὀκτακισχιλίην, ὅπλα δὲ οὐ νομίζουσι ἔχειν οὔτε χάλκεα οὔτε σιδήρεα ἔξω ἐγχειριδίων, χρέονται δὲ σειρῇσι πεπλεγμένῃσι ἐξ ἱμάντων. (2) Ταύτῃσι πίσυνοι ἔρχονται ἐς πόλεμον· ἡ δὲ μάχη τούτων τῶν ἀνδρῶν ἥδε· ἐπεὰν συμμίσγωσι τοῖσι πολεμίοισι, βάλλουσι τὰς σειρὰς ἐπ' ἄκρῳ βρόχους ἐχούσας· ὅτευ δ' ἂν τύχῃ, ἦν τε ἵππου ἦν τε ἀνθρώπου, ἐπ' ἑωυτὸν ἕλκει· οἱ δὲ ἐν ἕρκεσι ἐμπαλασσόμενοι διαφθείρονται. Τούτων μὲν αὕτη ἡ μάχη, καὶ ἐπετετάχατο ἐς τοὺς Πέρσας.

LXXXVI. Μῆδοι δὲ τήν περ ἐν τῷ πεζῷ εἶχον σκευὴν, καὶ Κίσσιοι ὡσαύτως. (2) Ἰνδοὶ δὲ σκευῇ μὲν ἐσεσάχατο τῇ αὐτῇ καὶ ἐν τῷ πεζῷ, ἤλαυνον δὲ κέλητας καὶ ἅρματα· ὑπὸ δὲ τοῖσι ἅρμασι ὑπῆσαν ἵπποι καὶ ὄνοι ἄγριοι. (3) Βάκτριοι δὲ ἐσκευάδατο ὡσαύτως καὶ ἐν τῷ πεζῷ, καὶ Κάσπιοι ὁμοίως. (4) Λίβυες δὲ καὶ αὐτοὶ κατά περ ἐν τῷ πεζῷ· ἤλαυνον δὲ καὶ οὗτοι πάντες ἅρματα. (5) Ὡς δ' αὖτως Κάσπειροι καὶ Παρικάνιοι ἐσεσάχατο ὁμοίως καὶ ἐν τῷ πεζῷ. Ἀράβιοι δὲ σκευὴν μὲν εἶχον τὴν αὐτὴν καὶ ἐν τῷ πεζῷ, ἤλαυνον δὲ πάντες καμήλους ταχυτῆτα οὐ λειπομένας ἵππων.

LXXXVII. Ταῦτα τὰ ἔθνεα μοῦνα ἵππευε, ἀριθμὸς δὲ τῆς ἵππου ἐγένετο ὀκτὼ μυριάδες, πάρεξ τῶν καμήλων καὶ τῶν ἁρμάτων. Οἱ μέν νυν ἄλλοι ἱππέες ἐτετάχατο κατὰ τέλεα, Ἀράβιοι δὲ ἔσχατοι ἐπετετάχατο· ἅτε γὰρ τῶν ἵππων οὐτι ἀνεχομένων τὰς καμήλους, ὕστεροι ἐτετάχατο, ἵνα μὴ φοβέοιτο τὸ ἱππικόν.

LXXXVIII. Ἵπταρχοι δὲ ἔσαν Ἁρμαμίθρης τε καὶ Τίθαιος Δάτιος παῖδες. Ὁ δὲ τρίτος σφι συνίπταρχος Φαρνούχης κατελέλειπτο ἐν Σάρδισι νοσέων. (2) Ὡς γὰρ ὡρμέοντο ἐκ Σαρδίων, ἐπὶ συμφορὴν ἐνέπεσε ἀνεθέλητον· ἐλαύνοντι γάρ οἱ ὑπὸ τοὺς πόδας τοῦ ἵππου ὑπέδραμε κύων, καὶ ὁ ἵππος οὐ προϊδὼν ἐφοβήθη τε καὶ στὰς ὀρθὸς ἀπεσείσατο τὸν Φαρνούχεα, πεσὼν δὲ αἷμά τε ἤμεε καὶ ἐς φθίσιν περιῆλθε ἡ νοῦσος. (3) Τὸν δὲ ἵππον αὐτίκα κατ' ἀρχὰς ἐποίησαν οἱ οἰκέται ὡς ἐκέλευε· ἐς τὸν χῶρον ἐν τῷ περ κατέβαλε τὸν δεσπότεα ἀπαγαγόντες, ἐν τοῖσι γούνασι ἀπέταμον τὰ σκέλεα. Φαρνούχης μὲν οὕτω παρελύθη τῆς ἡγεμονίης.

LXXXIX. Τῶν δὲ τριηρέων ἀριθμὸς μὲν ἐγένετο ἑπτὰ καὶ διηκόσιαι καὶ χίλιαι, παρείχοντο δὲ αὐτὰς οἵδε, Φοίνικες μὲν σὺν Συρίοισι τοῖσι ἐν τῇ Παλαιστίνῃ τριηκοσίας, ὧδε ἐσκευασμένοι· περὶ μὲν τῇσι κεφαλῇσι κυνέας εἶχον ἀγχοτάτω πεποιημένας τρόπον τὸν Ἑλληνικὸν, ἐνδεδυκότες δὲ θώρηκας λινέους, ἀσπίδας καὶ ἀσπιδίσκας οὐκ ἔχοντες ἀπὸ γαστρὸς, ἀλλὰ ποδήνεκες, ἐκ δὲ τῶν νεῶν ἀκοντίοισι χρέωντο καὶ μαχαίρῃσι πλησίον ἐλθόντες.

at non omnes equitatum contulere, sed hi soli: Persæ, eodem modo armati atque pediles ipsorum, nisi quod horum nonnulli in capitibus partim ænea partim ferrea opera gestabant malleo ducta.

LXXXV. Sunt porro homines nomades Sagartii nominati, populus quidem Persicus, et lingua Persica utens, cultu vero inter Persicum et Pactyicum medio. Hi equitum contulerant octo millia: arma autem illis non sunt in usu, nec ænea, nec ferrea, præterquam pugiones. Utuntur vero funibus e loris plexis: (2) quibus fidentes in bellum proficiscuntur. Est autem pugnæ genus horum hominum hujusmodi: quando cum hostibus congrediuntur, projiciunt funes, quorum in extremitate laquei sunt; quidquid prehendit funis, sive equus sit, sive homo, id ad se trahit eques; et ille laqueo implicatus interficitur. Talis horum pugna est; locati autem erant cum Persis.

LXXXVI. Medi equites eodem modo, quo pedites, instructi erant: itemque Cissii. (2) Indorum item cultus et arma eadem atque peditum; habebant autem et equos sellarios et currus: juncti autem currus erant partim equis, partim asinis silvestribus. (3) Bactriorum quoque cultus equitum idem ac peditum: pariterque Caspiorum. (4) Libyes item, qui cum equis aderant, eodem cultu atque pedites erant instructi; sed hi quidem cuncti currus agebant. (5) Caspirorum etiam et Paricaniorum et Arabum equitum cultus et arma nihil a peditibus differebant: sed Arabes omnes camelis vehebantur, qui celeritate non cedunt equis.

LXXXVII. Hi ergo soli populi equitatum contulerant. Numerus vero equitum octoginta millium fuit, exceptis camelis et curribus. Et reliqui quidem equites turmatim ordinati erant; Arabes vero postremi, erant locati, hac de causa postremi, ne equi consternarentur; camelos enim ægerrime patiuntur equi.

LXXXVIII. Equitatui præfecti erant Harmamithres et Tithæus, Datis filii. Collega horum Pharnuches, tertius præfectus equitum, ob morbum Sardibus erat relictus: (2) quum enim Sardibus egrederetur exercitus, tristis huic casus acciderat. Dum equo vehitur, sub pedes equi intercurrit canis: et equus, qui illum non prospexerat, consternatus rectum sese erigit, et Pharnuchem excutit; qui humum prolapsus sanguinem evomuit, et in phthisin morbus transiit. (3) Equum autem statim initio ea pœna adfecerunt famuli, quam herus jussit: in eum locum deducto, ubi herum excusserat, crura in genibus præciderunt. Ita Pharnuches præfectura equitum excidit.

LXXXIX. Triremes numero fuere mille ducentæ et septem: quas præbuerant hi populi: Phœnices, cum Syris Palæstinæ, trecentas; quorum armatura hujusmodi erat: capita galeis tecta, similibus maxime Græcanicis galeis; circa corpus thoraces lintei; tum clypeos habebant quorum

δας δὲ ἵππους οὐκ ἐχούσας εἶχον καὶ ἀκόντια. (2) Οὗτοι δὲ οἱ Φοίνικες τὸ παλαιὸν οἰκεον, ὡς αὐτοὶ λέγουσι, ἐπὶ τῇ Ἐρυθρῇ θαλάσσῃ, ἐνθεῦτεν δὲ ὑπερβάντες τῆς Συρίης οἰκέουσι τὰ παρὰ θάλασσαν· τῆς δὲ Συρίης τοῦτο τὸ χωρίον καὶ τὸ μέχρι Αἰγύπτου πᾶν Παλαιστίνη καλέεται. (3) Αἰγύπτιοι δὲ νέας παρείχοντο διηκοσίας. Οὗτοι δὲ εἶχον περὶ μὲν τῇσι κεφαλῇσι κράνεα χηλευτὰ, ἀσπίδας δὲ κοίλας, τὰς ἵππους μεγάλας ἐχούσας, καὶ δόρατά τε ναύμαχα καὶ τύκους μεγάλους. Τὸ δὲ πλῆθος αὐτῶν θωρηκοφόροι ἦσαν, μαχαίρας δὲ μεγάλας εἶχον. Οὗτοι μὲν οὕτω ἐστάλατο.

XC. Κύπριοι δὲ παρείχοντο νέας πεντήκοντα καὶ ἑκατὸν, ἐσκευασμένοι ὧδε· τὰς μὲν κεφαλὰς εἱλίχατο μίτρῃσι οἱ βασιλέες αὐτῶν, οἱ δὲ ἄλλοι εἶχον κιθῶνας, τὰ δὲ ἄλλα κατά περ Ἕλληνες. (2) Τούτων δὲ τοσάδε ἔθνεά ἐστι, οἱ μὲν ἀπὸ Σαλαμῖνος καὶ Ἀθηνέων, οἱ δὲ ἀπ' Ἀρκαδίης, οἱ δὲ ἀπὸ Κύθνου, οἱ δὲ ἀπὸ Φοινίκης, οἱ δὲ ἀπ' Αἰθιοπίης, ὡς αὐτοὶ Κύπριοι λέγουσι.

XCI. Κίλικες δὲ ἑκατὸν παρείχοντο νέας. Οὗτοι δ' αὖ περὶ μὲν τῇσι κεφαλῇσι κράνεα ἐπιχώρια, λαισήϊά τε εἶχον ἀντ' ἀσπίδων, ὠμοβοέης πεποιημένα, καὶ κιθῶνας εἰρινέους ἐνδεδυκότες· δύο δὲ ἀκόντια ἕκαστος καὶ ξίφος εἶχον, ἀγχοτάτω τῇσι Αἰγυπτίῃσι μαχαίρῃσι πεποιημένα. Οὗτοι μὲν τὸ παλαιὸν Ὑπαχαιοὶ ἐκαλεῦντο, ἐπὶ δὲ Κίλικος τοῦ Ἀγήνορος ἀνδρὸς Φοίνικος ἔσχον τὴν ἐπωνυμίην. (2) Πάμφυλοι δὲ τριήκοντα παρείχοντο νέας Ἑλληνικοῖσι ὅπλοισι ἐσκευασμένοι· οἱ δὲ Πάμφυλοι οὗτοι εἰσὶ τῶν ἐκ Τροίης ἀποσκεδασθέντων ἅμα Ἀμφιλόχῳ καὶ Κάλχαντι.

XCII. Λύκιοι δὲ παρείχοντο νέας πεντήκοντα θωρηκοφόροι τε ἐόντες καὶ κνημιδοφόροι, εἶχον δὲ τόξα κρανέϊνα καὶ ὀϊστοὺς καλαμίνους ἀπτέρους καὶ ἀκόντια, ἐπὶ δὲ αἰγὸς δέρματα περὶ τοὺς ὤμους αἰωρεύμενα, περὶ δὲ τῇσι κεφαλῇσι πίλους πτεροῖσι περιεστεφανωμένους· ἐγχειρίδια δὲ καὶ δρέπανα εἶχον. (2) Λύκιοι δὲ Τερμίλαι ἐκαλεῦντο ἐκ Κρήτης γεγονότες, ἐπὶ δὲ Λύκου τοῦ Πανδίονος ἀνδρὸς Ἀθηναίου ἔσχον τὴν ἐπωνυμίην.

XCIII. Δωριέες δὲ οἱ ἐκ τῆς Ἀσίης τριήκοντα παρείχοντο νέας, ἔχοντές τε Ἑλληνικὰ ὅπλα καὶ γεγονότες ἀπὸ Πελοποννήσου. (2) Κᾶρες δὲ ἑβδομήκοντα παρείχοντο νέας, τὰ μὲν ἄλλα κατά περ Ἕλληνες ἐσταλμένοι, εἶχον δὲ καὶ δρέπανα καὶ ἐγχειρίδια. Οὗτοι δὲ οἵτινες πρότερον ἐκαλεῦντο, ἐν τοῖσι πρώτοισι τῶν λόγων εἴρηται.

XCIV. Ἴωνες δὲ ἑκατὸν νέας παρείχοντο ἐσκευασμένοι ὡς Ἕλληνες. Ἴωνες δὲ ὅσον μὲν χρόνον ἐν Πελοποννήσῳ οἴκεον τὴν νῦν καλευμένην Ἀχαιΐην, καὶ πρὶν ἢ Δαναόν τε καὶ Ξοῦθον ἀπικέσθαι ἐς Πελοπόννησον, ὡς Ἕλληνες λέγουσι, ἐκαλεῦντο Πελασγοὶ Αἰγιαλέες, ἐπὶ δὲ Ἴωνος τοῦ Ξούθου Ἴωνες.

XCV. Νησιῶται δὲ ἑπταικαίδεκα παρείχοντο νέας ὡπλισμένοι ὡς Ἕλληνες, καὶ τοῦτο Πελασγικὸν ἔθνος, ὕστερον δὲ Ἰωνικὸν ἐκλήθη κατὰ τὸν αὐτὸν λόγον καὶ

oræ ferro non erant munitæ, et jacula. (2) Phœnices hi, ut aiunt ipsi, olim ad mare Rubrum habitaverant: illinc transgressi, nunc Syriæ oram maritimam incolunt. Syriæ autem hic tractus omnis, usque ad Ægyptum, Palæstina vocatur. (3) Ægyptii naves præbuerant ducentas. Hi plexas sive nexiles gestabant galeas, scuta cava, quorum oræ multo ferro erant munitæ, hastas ad navalem pugnam comparatas, et ingentes bipennes. Multitudo eorum thoraces gestabant, magnosque gladios habebant. Talis horum armatura erat.

XC. Cyprii naves præbuerant centum et quinquaginta, hoc modo armati: reges eorum caput mitra obvolutum habebant: reliqui tunicas gestabant: cætera vero ut Græci. (2) Sunt autem Cypriorum plures populi: alii Salamine et Athenis oriundi; alii ex Arcadia; alii ex Cythno; alii e Phœnice; alii ex Æthiopia, ut ipsi Cyprii affirmant.

XCI. Cilices centum contulerant naves. Hi capita galeis tecta habebant vernaculis, pro scutis parmulas gestabant ex crudo bovino corio confectas, tunicas induti laneas: bina quisque jacula habebat, et ensem Ægyptiaco maxime gladio similem. Hi antiquitus Hypachæi nominati erant: dein a Cilice, Agenoris filio, viro Phœnice, nomen invenere. (2) Pamphyli triginta naves præbuerant, Græcanicis armis instructi. Sunt autem hi Pamphyli Trojanorum posteri illorum, qui cum Amphilocho et Calchante disjecti fuere.

XCII. Lycii quinquaginta præbuerant naves, thoracibus et ocreis instructi. Arcus habebant ex corno arbore, sagittas arundineas non alatas, et jacula: ex humeris eorum pelles pendebant caprinæ: capitibus impositi pilei pennis circumcirca coronati: præterea pugionibus et falcibus armati erant. (2) Erant vero Lycii ex Creta oriundi, Termilæ olim nominati, deinde a Lyco, Pandionis filio, viro Atheniensi, invenere nomen.

XCIII. Dorienses Asiatici triginta naves contulerant, Græcanico more armati, ex Peloponneso oriundi. (2) Cares septuaginta naves præbuerant, falcibus et pugionibus armati, cæteroquin vero Græcanico more instructi. His quodnam antiquitus fuerit nomen, in superiori harum Historiarum parte dictum est.

XCIV. Iones centum contulerant naves, eodem modo instructi atque Græci. Iones, quamdiu in Peloponneso eam regionem, quæ nunc Achaia vocatur, incoluerant, priusquam Danaus et Xuthus in Peloponnesum advenissent, ut Græci aiunt, Pelasgi Ægialees (*id est*, littorales) vocabantur: deinde ab Ione, Xuthi filio, nomen invenerunt.

XCV. Insulani septemdecim contulerant naves, eodem modo armati atque Græci. Etiam hic Pelasgicus est populus, qui deinde Ionicus eadem ratione nominatus est atque

οἱ δυωδεκαπόλιες Ἴωνες οἱ ἀπ' Ἀθηνέων. (2) Αἰολέες δὲ ἑξήκοντα νέας παρείχοντο, ἐσκευασμένοι τε ὡς Ἕλληνες καὶ τὸ πάλαι καλεύμενοι Πελασγοί, ὡς Ἑλλήνων λόγος. (3) Ἑλλησπόντιοι δὲ πλὴν Ἀβυδηνῶν (Ἀβυδηνοῖσι γὰρ προσετέτακτο ἐκ βασιλέος κατὰ χώρην μένουσι φύλακας εἶναι τῶν γεφυρέων), οἱ δὲ λοιποὶ οἱ ἐκ τοῦ Πόντου στρατευόμενοι παρείχοντο μὲν ἑκατὸν νέας, ἐσκευασμένοι δὲ ἦσαν ὡς Ἕλληνες· οὗτοι δὲ Ἰώνων καὶ Δωριέων ἄποικοι.

XCVI. Ἐπεβάτευον δὲ ἐπὶ πασέων τῶν νεῶν Πέρσαι καὶ Μῆδοι καὶ Σάκαι. Τούτων δὲ ἄριστα πλωούσας παρείχοντο νέας Φοίνικες, καὶ Φοινίκων Σιδώνιοι. (2) Τούτοισι πᾶσι καὶ τοῖσι ἐς τὸν πεζὸν τεταγμένοισι αὐτῶν ἐπῆσαν ἑκάστοισι ἐπιχώριοι ἡγεμόνες, τῶν ἐγὼ, οὐ γὰρ ἀναγκαίη ἐξέργομαι ἐς ἱστορίης λόγον, οὐ παραμέμνημαι· οὔτε γὰρ ἔθνεος ἑκάστου ἐπάξιοι ἦσαν οἱ ἡγεμόνες, ἔν τ' ἔθνεϊ ἑκάστῳ ὅσαι περ πόλιες τοσοῦτοι καὶ ἡγεμόνες ἦσαν. (3) Εἵποντο δὲ ὡς οὐ στρατηγοί, ἀλλ' ὥσπερ οἱ ἄλλοι στρατευόμενοι δοῦλοι, ἐπεὶ στρατηγοὶ οἱ τὸ πᾶν ἔχοντες κράτος καὶ ἄρχοντες τῶν ἐθνέων ἑκάστων, ὅσοι αὐτῶν ἦσαν Πέρσαι, εἰρέαταί μοι.

XCVII. Τοῦ δὲ ναυτικοῦ ἐστρατήγεον οἵδε, Ἀριαβίγνης τε ὁ Δαρείου καὶ Πρηξάσπης ὁ Ἀσπαθίνεω καὶ Μεγάβαζος ὁ Μεγαβάτεω καὶ Ἀχαιμένης ὁ Δαρείου, τῆς μὲν Ἰάδος τε καὶ Καρικῆς στρατιῆς Ἀριαβίγνης ὁ Δαρείου τε παῖς καὶ τῆς Γωβρύεω θυγατρός· (2) Αἰγυπτίων δὲ ἐστρατήγεε Ἀχαιμένης Ξέρξεω ἐὼν ἀπ' ἀμφοτέρων ἀδελφεὸς, τῆς δὲ ἄλλης στρατιῆς ἐστρατήγεον οἱ δύο. Τριηκόντεροι δὲ καὶ πεντηκόντεροι καὶ κέρκουροι καὶ ἱππαγωγὰ πλοῖα σμικρὰ συνελθόντα ἐς τὸν ἀριθμὸν ἐφάνη τρισχίλια.

XCVIII. Τῶν δὲ ἐπιπλωόντων μετά γε τοὺς στρατηγοὺς οἵδε ἦσαν οἱ οὐνομαστότατοι, Σιδώνιος Τετράμνηστος Ἀνύσου, καὶ Τύριος Μάπην Σιρώμου, καὶ Ἀράδιος Μέρβαλος Ἀγβάλου, καὶ Κίλιξ Συέννεσις Ὠρομέδοντος, καὶ Λύκιος Κυβερνίσκος Σίκα, καὶ Κύπριοι Γόργος τε Χέρσιος καὶ Τιμώναξ ὁ Τιμαγόρεω, καὶ Καρῶν Ἱστιαῖός τε ὁ Τύμνεω καὶ Πίγρης ὁ Σελδώμου καὶ Δαμασίθυμος ὁ Κανδαύλεω.

XCIX. Τῶν μέν νυν ἄλλων οὐ παραμέμνημαι ταξιαρχέων ὡς οὐκ ἀναγκαζόμενος, Ἀρτεμισίης δὲ, τῆς μάλιστα θῶμα ποιεῦμαι ἐπὶ τὴν Ἑλλάδα στρατευσαμένης γυναικὸς, ἥτις ἀποθανόντος τοῦ ἀνδρὸς αὐτή τε ἔχουσα τὴν τυραννίδα καὶ παιδὸς ὑπάρχοντος νεηνίεω ὑπὸ λήματός τε καὶ ἀνδρηίης ἐστρατεύετο, οὐδεμιῆς ἐούσης οἱ ἀναγκαίης. (2) Οὔνομα μὲν δὴ ἦν αὐτῇ Ἀρτεμισίη, θυγάτηρ δὲ ἦν Λυγδάμιος, γένος δὲ ἐξ Ἁλικαρνησσοῦ τὰ πρὸς πατρὸς, τὰ μητρόθεν δὲ Κρῆσσα. Ἡγεμόνευε δὲ Ἁλικαρνησέων τε καὶ Κώων καὶ Νισυρίων τε καὶ Καλυδνίων, πέντε νέας παρεχομένη. (3) Καὶ συναπάσης τῆς στρατιῆς, μετά γε τὰς Σιδωνίων, νέας εὐδοξοτάτας παρείχετο, πάντων δὲ τῶν συμμάχων γνώμας ἀρίστας βασιλεῖ ἀπεδέξατο. (4) Τῶν δὲ κατέ-

illi duodecim civitatum Iones Athenis oriundi. (2) Æolenses sexaginta præbuerant naves, eodem modo atque Græci armati : et hi quoque olim Pelasgi nominati, ut Græci memorant. (3) Hellespontii, exceptis Abydenis : nam Abydenis imperaverat rex ut domi manerent, et pontes custodirent : cæteri igitur ex Ponto expeditionis hujus socii naves contulerant centum, eodem modo instructi ac Græci. Sunt autem hi Ionum et Doriensium coloni.

XCVI. In singulis istarum navium erant propugnatores Persæ et Medi et Sacæ. Quæ ex earumdem navium numero optime vehebantur, has præbuerant Phœnices, et in his præ cæteris Sidonii. (2) Singulorum autem populorum copiis navalibus, perinde atque terrestribus, præerant duces ex popularibus : quorum ego nomina edere, quum nihil necesse sit ad historiæ rationem, supersedeo. Nec enim cuique populo duces erant memoratu digni : et, quot in quoque populo civitates, tot etiam duces erant. (3) Sequebantur hi autem non ut duces vere nominati aut prætores, sed ut reliqui militantes servi. Cæterum imperatores penes quos summa fuit imperii, et singulorum populorum duces, quotquot eorum Persæ fuerunt, a me dicti sunt.

XCVII. Navalibus autem copiis cum imperio præfecti hi erant : Ariabignes, Darii filius, et Praxaspes Aspathinis, et Megabazus Megabatis, et Achæmenes Darii filius. Ionicis quidem et Caricis copiis Ariabignes præfuit, Darii filius ex filia Gobryæ; (2) Ægyptiis autem Achæmenes, frater Xerxis eodem patre eademque matre natus; reliquis nauticis copiis duo reliqui. Actuaria autem navigia partim triginta partim quinquaginta remorum, tum cercuros, et equis tranvehendis naves parvas convenisse constat ad tria millia numero.

XCVIII. Eorum qui in hac classe militarunt, secundum imperatores, illustrissimi erant hi : Tetramnestus, Anysi filius, Sidonius; Mapen, Siromi filius, Tyrius; Merbalus Agbali, Aradius; Syennesis, Oromedontis, Cilix; Cybernisсus, Sicæ filius, Lycius; Gorgus, Chersis filius, et Timonax Timagoræ, uterque Cyprius; tres Cares, Histiæus, Tymnis filius, Pigres Seldomi, et Damasithymus, Candaulis filius.

XCIX. Reliquos ordinum duces silentio prætereo; nec enim necesse est mihi hos commemorare, excepta Artemisia muliere, quam fuisse hujus belli Græciæ illati sociam demiror. Hæc enim, mortuo marito, quum ipsa regnum teneret, filiumque haberet adolescentem, animi impetu roboreque elata, expeditioni huic sociam sese, nulla necessitate adacta, adjunxit. (2) Nomen igitur huic Artemisia fuit, pater Lygdamnis; paternum genus ex Halicarnasso, maternum ex Creta. Imperavit illa Halicarnassensibus, Cois, Nisyriis et Calydniis; præbueratque naves quinque, (3) quæ navium omnium universæ classis, post Sidonias, præstantissimæ erant. Eadem apud regem optimas præ sociis omnibus sententias dixit. (4) Quibus civitatibus imperasse

λεξα πολίων ἡγεμονεύειν αὐτὴν, τὸ ἔθνος ἀποφαίνω πᾶν ἐὸν Δωρικὸν, Ἁλικαρνησέας μὲν Τροιζηνίους, τοὺς δὲ ἄλλους Ἐπιδαυρίους. Ἐς μὲν τοσόνδε ὁ ναυτικὸς στρατὸς εἴρηται.

C. Ξέρξης δὲ, ἐπεὶ ἠριθμήθη τε καὶ διετάχθη ὁ στρατὸς, ἐπεθύμησε αὐτὸς σφέας διεξελάσας θηήσασθαι. Μετὰ δὲ ἐποίεε ταῦτα, καὶ διεξελαύνων ἐπ' ἅρματος παρ' ἔθνος ἓν ἕκαστον ἐπυνθάνετο, καὶ ἀπέγραφον οἱ γραμματισταὶ, ἕως ἐξ ἐσχάτων ἐς ἔσχατα ἀπίκετο καὶ τῆς ἵππου καὶ τοῦ πεζοῦ. (2) Ὡς δὲ ταῦτά οἱ ἐπεποίητο, τῶν νεῶν κατελκυσθεισέων ἐς θάλασσαν, ἐνθαῦτα ὁ Ξέρξης μετεκβὰς ἐκ τοῦ ἅρματος ἐς νέα Σιδωνίην ἵζετο ὑπὸ σκηνῇ χρυσέῃ καὶ παρέπλωε παρὰ τὰς πρῴρας τῶν νεῶν, ἐπειρωτέων τε ἑκάστας δμοίως καὶ τὸν πεζὸν καὶ ἀπογραφόμενος. (3) Τὰς δὲ νέας οἱ ναύαρχοι ἀναγαγόντες ὅσον τε τέσσερα πλέθρα ἀπὸ τοῦ αἰγιαλοῦ ἀνεκώχευον, τὰς πρῴρας ἐς γῆν τρέψαντες πάντες μετωπηδὸν, καὶ ἐξοπλίσαντες τοὺς ἐπιβάτας ὡς ἐς πόλεμον. Ὁ δ' ἐντὸς τῶν πρῳρέων πλώων ἐθηεῖτο καὶ τοῦ αἰγιαλοῦ.

CI. Ὡς δὲ καὶ ταύτας διεξέπλωσε καὶ ἐξέβη ἐκ τῆς νεὸς, μετεπέμψατο Δημάρητον τὸν Ἀρίστωνος συστρατευόμενον αὐτῷ ἐπὶ τὴν Ἑλλάδα, καλέσας δ' αὐτὸν εἴρετο τάδε, « ὦ Δημάρητε, νῦν μοί σε ἡδύ ἐστι ἐπείρεσθαι τὰ ἐθέλω. (2) Σὺ εἷς Ἕλλην τε, καὶ ὡς ἐγὼ πυνθάνομαι σεῦ τε καὶ τῶν ἄλλων Ἑλλήνων τῶν ἐμοὶ ἐς λόγους ἀπικνεομένων, πόλιος οὐτ' ἐλαχίστης οὐτ' ἀσθενεστάτης. (3) Νῦν ὦν μοι τόδε φράσον, εἰ Ἕλληνες ὑπομενέουσι χεῖρας ἐμοὶ ἀνταειρόμενοι. Οὐ γὰρ, ὡς ἐγὼ δοκέω, οὐδ' εἰ πάντες Ἕλληνες καὶ οἱ λοιποὶ οἱ πρὸς ἑσπέρης οἰκέοντες ἄνθρωποι συλλεχθείησαν, οὐκ ἀξιόμαχοί εἰσι ἐμὲ ἐπιόντα ὑπομεῖναι, μή τί γε μὴ ἐόντες ἄρθμιοι. (4) Ἐθέλω μέντοι καὶ τὸ ἀπὸ σεῦ, ὁκοῖόν τι λέγεις περὶ αὐτῶν, πυθέσθαι. » Ὁ μὲν ταῦτα εἰρώτα, ὁ δὲ ὑπολαβὼν ἔφη, « ὦ βασιλεῦ, κότερα ἀληθείῃ χρήσωμαι πρὸς σὲ ἢ ἡδονῇ; » Ὁ δέ μιν ἀληθείῃ χρήσασθαι ἐκέλευε, φὰς οὐδέν οἱ ἀηδέστερον ἔσεσθαι ἢ πρότερον ἦν.

CII. Ὡς δὲ ταῦτα ἤκουσε Δημάρητος, ἔλεγε τάδε, « βασιλεῦ, ἐπειδὴ ἀληθείῃ χρήσασθαι πάντως με κελεύεις ταῦτα λέγοντα τὰ μὴ ψευδόμενός τις ὕστερον ὑπὸ σεῦ ἁλώσεται, τῇ Ἑλλάδι πενίη μὲν αἰεί κοτε σύντροφός ἐστι, ἀρετὴ δὲ ἐπακτός ἐστι, ἀπό τε σοφίης κατεργασμένη καὶ νόμου ἰσχυροῦ· τῇ διαχρεωμένη ἡ Ἑλλὰς τήν τε πενίην ἀπαμύνεται καὶ τὴν δεσποσύνην. (2) Αἰνέω μέν νυν πάντας τοὺς Ἕλληνας τοὺς περὶ ἐκείνους τοὺς Δωρικοὺς χώρους οἰκημένους, ἔρχομαι δὲ λέξων οὐ περὶ πάντων τούσδε τοὺς λόγους, ἀλλὰ περὶ Λακεδαιμονίων μούνων, πρῶτα μὲν ὅτι οὐκ ἔστι ὅκως κοτὲ σοὺς δέξονται λόγους δουλοσύνην φέροντας τῇ Ἑλλάδι, αὖτις δὲ ὡς ἀντιώσονταί τοι ἐς μάχην καὶ ἢν οἱ ἄλλοι Ἕλληνες πάντες τὰ σὰ φρονέωσι. (3) Ἀριθμοῦ δὲ πέρι, μὴ πύθῃ ὅσοι τινὲς ἐόντες ταῦτα ποιέειν οἷοί τέ εἰσι· ἢν τε γὰρ τύχωσι ἐξεστρατευμένοι

eam dixi, has omnes Doricæ gentis esse adfirmo : Halicarnassenses nempe, Trœzenios : reliquos vero, Epidaurios. Hactenus igitur navales recensui copias.

C. Postquam initus est copiarum numerus, et ordine compositus universus exercitus, cupivit Xerxes eum obeundo lustrare : idque fecit. Curru præter unumquemque populum prætervectus, singula percontabatur, et scribæ scripto consignabant; donec ab una extremitate ad alteram et equitum et peditum pervenit. (2) Deinde navibus in mare deductis, relicto curru navem conscendit Sidoniam, in eaque sub tabernaculo aureo residens præter proras navium prætervectus est, sciscitans de singulis, perinde atque in terrestri exercitu fecerat, et omnia scripto consignari jubens. (3) Naves, ex quadringentorum admodum pedum intervallo a littore abductas, in ancoris tenebant præfecti, proris omnibus continua fronte in terram conversis, propugnatoribus in armis stantibus, velut ad pugnam paratis : et rex spectabat, inter proras et littus navigans.

CI. Ita lustrata classe, Xerxes navi egressus Demaratum vocari jussit, Aristonis filium, expeditionis adversus Græciam socium; eumque, ubi adfuit, his verbis compellavit : « Demarate, nunc me juvat, ex te quæ scire cupio quærere. (2) Tu Græcus es, et, ut ego non ex te solum, sed et ex reliquis Græcis, qui mihi in colloquium veniunt, audio, ex ea civitate es, quæ nec minima est nec infirmissima. (3) Nunc ergo hoc dic mihi, an Græci ausuri sint manus contra me tollere. Nam, ut equidem existimo, ne universi quidem Græci et reliqui ad occidentem habitantes homines, si vires suas cuncti conjungerent, pares forent ad resistendum mihi, præsertim quum non sint inter se concordes. (4) At cupio tamen etiam ex te, quid sit quod de hoc dicas, cognoscere. » Cui ita interroganti Demaratus respondit : « Utrum, rex, ex veritate tibi dicam, an ad gratiam? » Et ille jussit eum ex veritate dicere; nihilo enim minus illum ob id sibi acceptum fore, quam antea fuisset.

CII. His auditis, Demaratus hæc dixit : « Rex, quoniam ex rei veritate me loqui plane jubes, eaque dicere quæ non mentitum me esse posthac quisquam deprehendat, hoc dico : in Græcia ab omni quidem ætate paupertas habitavit : accessit vero virtus, sapientiæ et legis validæ filia, qua utens Græcia et paupertatem abigit et dominatum. (2) Et laudo quidem Græcos omnes circa terras illas Doricas habitantes : nec vero de cunctis nunc Græcis verba faciam, sed de solis Lacedæmoniis : quos, primum, dico nequaquam accepturos esse tuas conditiones, servitutem Græciæ proponentes; deinde, obviam illos tibi ituros aio in pugnam, etiamsi alii omnes Græci tecum sentirent. (3) Ad numerum autem quod attinet, noli quærere quot sint numero, qui hoc facturi sint : nam sive mille fuerint qui in

χίλιοι, οὗτοι μαχέσονταί τοι, ἤν τε ἐλάσσονες τούτων, ἤν τε καὶ πλεῦνες. »

CIII. Ταῦτα ἀκούσας Ξέρξης γελάσας ἔφη, « Δημάρητε, οἷον ἐφθέγξαο ἔπος, ἄνδρας χιλίους στρατιῇ τοσῇδε μαχέσασθαι. (2) Ἄγε εἰπέ μοι, σὺ φὴς τούτων τῶν ἀνδρῶν αὐτὸς βασιλεὺς γενέσθαι· σὺ ὦν ἐθελήσεις αὐτίκα μάλα πρὸς ἄνδρας δέκα μάχεσθαι; καίτοι εἰ τὸ πολιτικὸν ὑμῖν πᾶν ἐστὶ τοιοῦτον οἷον σὺ διαιρέεις, σέ γε τὸν ἐκείνων βασιλέα πρέπει πρὸς τὸ διπλήσιον ἀντιτάσσεσθαι κατὰ νόμους τοὺς ὑμετέρους. (3) Εἰ γὰρ ἐκείνων ἕκαστος δέκα ἀνδρῶν τῆς στρατιῆς τῆς ἐμῆς ἀντάξιός ἐστι, σὲ δέ γε δίζημαι εἴκοσι εἶναι ἀντάξιον. Καὶ οὕτω μὲν ὀρθοῖτ' ἂν ὁ λόγος ὁ παρὰ σεῦ εἰρημένος· εἰ δὲ τοιοῦτοί τε ἐόντες καὶ μεγάθεα τοσοῦτοι ὅσοι σύ τε καὶ οἳ παρ' ἐμὲ φοιτέουσι Ἑλλήνων ἐς λόγους αὐχέετε τοσοῦτον, ὅρα μὴ μάτην κόμπος ὁ λόγος οὗτος εἰρημένος εἴη. (4) Ἐπεὶ φέρε ἴδω παντὶ τῷ οἰκότι· κῶς ἂν δυναίατο χίλιοι ἢ καὶ μύριοι ἢ καὶ πενταχισμύριοι, ἐόντες γε ἐλεύθεροι πάντες ὁμοίως καὶ μὴ ὑπ' ἑνὸς ἀρχόμενοι, στρατῷ τοσῷδε ἀντιστῆναι; ἐπεί τοι πλεῦνες περὶ ἕνα ἕκαστον γινόμεθα ἢ χίλιοι, ἐόντων ἐκείνων πέντε χιλιάδων. (5) Ὑπὸ μὲν γὰρ ἑνὸς ἀρχόμενοι κατὰ τρόπον τὸν ἡμέτερον γενοίατ' ἄν, δειμαίνοντες τοῦτον, καὶ παρὰ τὴν ἑωυτῶν φύσιν ἀμείνονες, καὶ ἴοιεν ἀναγκαζόμενοι μάστιγι ἐς πλεῦνας ἐλάσσονες ἐόντες· ἀνειμένοι δὲ ἐς τὸ ἐλεύθερον οὐκ ἂν ποιέοιεν τούτων οὐδέτερα. (6) Δοκέω δὲ ἔγωγε καὶ ἀνισωθέντας πλήθεϊ χαλεπῶς ἂν Ἕλληνας Πέρσῃσι μούνοισι μάχεσθαι. Ἀλλὰ παρ' ἡμῖν τοῦτό ἐστι τὸ σὺ λέγεις, ἔστι γε μέντοι οὐ πολλόν, ἀλλὰ σπάνιον· εἰσὶ γὰρ Περσέων τῶν ἐμῶν αἰχμοφόρων οἳ ἐθελήσουσι Ἑλλήνων ἀνδράσι τρισὶ ὁμοῦ μάχεσθαι· τῶν σὺ εἰὼν ἄπειρος πολλὰ φλυηρέεις. »

CIV. Πρὸς ταῦτα Δημάρητος λέγει, « ὦ βασιλεῦ, ἀρχῆθεν ἠπιστάμην ὅτι ἀληθείῃ χρεώμενος οὐ φίλα τοι ἐρέω· σὺ δὲ ἐπεὶ ἠνάγκασας λέγειν τῶν λόγων τοὺς ἀληθεστάτους, ἔλεγον τὰ κατήκοντα Σπαρτιήτῃσι. (2) Καίτοι ὡς ἐγὼ τυγχάνω τὰ νῦν τάδε ἐστοργὼς ἐκείνους, αὐτὸς μάλιστα ἐξεπίστεαι, οἵ με τιμήν τε καὶ γέρεα ἀπελόμενοι πατρώϊα ἄπολίν τε καὶ φυγάδα πεποιήκασι, πατὴρ δὲ ὁ σὸς ὑποδεξάμενος βίον τέ μοι καὶ οἶκον δέδωκε. Οὐκ ὦν οἰκός ἐστι ἄνδρα τὸν σώφρονα εὔνοιαν φαινομένην διωθέεσθαι, ἀλλὰ στέργειν μάλιστα. (3) Ἐγὼ δὲ οὔτε δέκα ἀνδράσι ὑπίσχομαι οἷός τε εἶναι μάχεσθαι οὔτε δυοῖσι, ἑκών τε εἶναι οὐδ' ἂν μουνομαχέοιμι. Εἰ δὲ ἀναγκαίη εἴη ἢ μέγας τις ὁ ἐποτρύνων ἀγών, μαχοίμην ἂν πάντων ἥδιστα ἑνὶ τούτων τῶν ἀνδρῶν οἳ Ἑλλήνων ἕκαστός φησι τριῶν ἄξιος εἶναι. (4) Ὡς δὲ καὶ Λακεδαιμόνιοι κατὰ μὲν ἕνα μαχεόμενοι οὐδαμῶν εἰσὶ κακίονες ἀνδρῶν, ἀλέες δὲ ἄριστοι ἀνδρῶν ἁπάντων. Ἐλεύθεροι γὰρ ἐόντες οὐ πάντα ἐλεύθεροί εἰσι· ἔπεστι γάρ σφι δεσπότης νόμος, τὸν ὑποδειμαίνουσι πολλῷ ἔτι μᾶλλον ἢ οἱ σοὶ σέ. Ποιεῦσι γῶν τὰ ἂν ἐκεῖνος ἀνώγῃ· ἀνώγει δὲ τωὐτὸ αἰεί, οὐκ

aciem prodeant, hi tecum congredientur, sive his pauciores sive plures. »

CIII. Quibus auditis, ridens Xerxes ait : « Demarate, quodnam emisisti verbum, mille viros cum tam ingenti exercitu congressuros! (2) Dic mihi, age : ais tu, regem te horum hominum fuisse : volesne igitur tu e vestigio contra decem pugnare viros? Atqui, si vestri cives cuncti tales sunt, quales tu declaras, decet te regem eorum, ex vestris institutis, cum duplo numero congredi. (3) Nam si illorum quisque denis viris de meo exercitu par est, a te utique postulo ut viginti viris par sis : atque ita demum recte stabit ratio quam tu dicis. Sin, quum tales sitis talique statura, quali tu et alii Græci qui me convenire consueverunt, tantopere gloriamini, vide ne vana jactatio sit hoc quod dicitis. (4) Age enim, videamus quid probabili ulla ratione fieri possit : quonam tandem pacto mille homines, aut etiam decies, aut denique quinquagies mille, qui cuncti pariter liberi sint, nec unius subjecti imperio : quo pacto, inquam, hi resistere tanto exercitui poterunt? Nam, si sunt illi quinquies mille, nos plures quam milleni sumus qui illorum unumquemque circumstabimus. (5) Quodsi quidem, ut apud nos, sic illi unius subjecti essent imperio, possent illius metu et contra suam naturam fieri meliores, et flagellis coacti pauciores numero adversus plures in prælium ire : sed liberi, et suo arbitrio permissi, neutrum horum facient. (6) Puto vero equidem, æquali etiam numero ægre Græcos solis Persis resistere posse. Sed apud nos hoc reperitur, quod tu ais; quamquam non frequens, sed rarum : sunt enim inter Persas, in satellitum meorum numero, viri qui cum tribus simul Græcis pugnam inire non detrectabunt : quorum tu inexpertus, multa nugaris. »

CIV. Ad hæc Demaratus, « Rex, inquit, ab initio noveram, vera me dicentem non dicturum grata tibi : sed, quoniam me coegisti verissima eloqui, dixi quæ ad Spartanos attinent. (2) Quamquam, quo pacto ego nunc maxime adversus illos adfectus sim, tu optime nosti; quum illi me, honore et muneribus paternis spoliatum, domo atque patria pepulerint : quem tuus pater benigne exceptum, victu ac domicilio donavit. Quare credibile non est, hominem sanæ mentis exploratam respuere benevolentiam, sed eam potius quam maxime complecti. (3) Ego vero neque cum decem simul viris posse me dimicare prædico, nec cum duobus : et, mei si res arbitrii sit, ne cum uno quidem congrediar. Quod si vero necessitas aut magnum aliquod discrimen urgeret, libenter admodum cum uno ex his viris congrederer, quorum unus quisque tribus se parem ait esse Græcis. (4) Ita etiam Lacedæmonii, singuli cum singulis pugnantes, nullis viris sunt inferiores; conferti vero, omnium hominum fortissimi. Licet enim liberi sint, non sunt tamen omni ex parte liberi : præest enim eis domina, Lex; quam illi dominam multo magis timent, quam te dominum tui. Faciunt certe quidem semper id quod lex imperat : imperat autem illa semper idem, vetans ex acie

ἐῶν φεύγειν οὐδὲν πλῆθος ἀνθρώπων ἐκ μάχης, ἀλλὰ ἑνόντας ἐν τῇ τάξι ἐπικρατέειν ἢ ἀπόλλυσθαι. (5) Σοὶ δὲ εἰ φαίνομαι ταῦτα λέγων φλυηρέειν, τἆλλα σιγᾶν ἐθέλω τὸ λοιπόν· νῦν δὲ ἀναγκασθεὶς ἔλεξα. Γένοιτο μέντοι κατὰ νόον τοι, βασιλεῦ. »

CV. Ὁ μὲν δὴ ταῦτα ἀμείψατο, Ξέρξης δὲ ἐς γέλωτά τε ἔτρεψε καὶ οὐκ ἐποιήσατο ὀργὴν οὐδεμίαν, ἀλλ' ἠπίως αὐτὸν ἀπεπέμψατο. (2) Τούτῳ δὲ ἐς λόγους ἐλθὼν Ξέρξης, καὶ ὑπάρχον ἐν τῷ Δορίσκῳ τούτῳ καταστήσας Μασκάμην τὸν Μεγαδόστεω, τὸν δὲ ὑπὸ Δαρείου σταθέντα καταπαύσας, ἐξήλαυνε τὸν στρατὸν διὰ τῆς Θρηίκης ἐπὶ τὴν Ἑλλάδα.

CVI. Κατέλιπε δὲ ἄνδρα τοιόνδε Μασκάμην γενόμενον, τῷ μούνῳ Ξέρξης δῶρα πέμπεσκε ὡς ἀριστεύοντι πάντων ὅσους κατέστησε αὐτὸς ἢ Δαρεῖος ὑπάρχους, πέμπεσκε δὲ ἀνὰ πᾶν ἔτος· ὡς δὲ καὶ Ἀρτοξέρξης ὁ Ξέρξεω τοῖσι Μασκαμείοισι ἐκγόνοισι. (2) Κατέστασαν γὰρ ἔτι πρότερον ταύτης τῆς ἐλάσιος ὕπαρχοι ἐν τῇ Θρηίκῃ καὶ τοῦ Ἑλλησπόντου πανταχῇ. Οὗτοι ὦν πάντες, οἵ τε ἐκ Θρηίκης καὶ τοῦ Ἑλλησπόντου, πλὴν τοῦ ἐν Δορίσκῳ, ὑπ' Ἑλλήνων ὕστερον ταύτης τῆς στρατηλασίης ἐξηρέθησαν· τὸν δὲ ἐν Δορίσκῳ Μασκάμην οὐδαμοί κω ἐδυνάσθησαν ἐξελέειν, πολλῶν πειρησαμένων. Διὰ τοῦτο δέ οἱ τὰ δῶρα πέμπεται παρὰ τοῦ βασιλεύοντος αἰεὶ ἐν Πέρσῃσι.

CVII. Τῶν δὲ ἐξαιρεθέντων ὑπ' Ἑλλήνων οὐδένα βασιλεὺς Ξέρξης ἐνόμισε εἶναι ἄνδρα ἀγαθὸν εἰ μὴ Βόγγην μοῦνον τὸν ἐξ Ἠιόνος. (2) Τοῦτον δὲ αἰνέων οὐκ ἐπαύετο, καὶ τοὺς περιεόντας αὐτοῦ ἐν Πέρσῃσι παῖδας ἐτίμα μαλιστα, ἐπεὶ καὶ ἄξιος αἴνου μεγάλου ἐγένετο Βόγης, ὃς ἐπειδὴ ἐπολιορκέετο ὑπ' Ἀθηναίων καὶ Κίμωνος τοῦ Μιλτιάδεω, παρεὸν αὐτῷ ὑπόσπονδον ἐξελθεῖν καὶ νοστῆσαι ἐς τὴν Ἀσίην, οὐκ ἠθέλησε, μὴ δειλίῃ δόξειε περιεῖναι βασιλέϊ, ἀλλὰ διεκαρτέρεε ἐς τὸ ἔσχατον. (3) Ὡς δ' οὐδὲν ἔτι φορβῆς ἐνῆν ἐν τῷ τείχεϊ, συννήσας πυρὴν μεγάλην ἔσφαξε τὰ τέκνα καὶ τὴν γυναῖκα καὶ τὰς παλλακὰς καὶ τοὺς οἰκέτας καὶ ἔπειτεν ἐσέβαλε ἐς τὸ πῦρ, μετὰ δὲ ταῦτα τὸν χρυσὸν ἅπαντα τὸν ἐκ τοῦ ἄστεος καὶ τὸν ἄργυρον ἔσπειρε ἀπὸ τοῦ τείχεος ἐς τὸν Στρυμόνα, ποιήσας δὲ ταῦτα ἑωυτὸν ἐπέβαλε ἐς τὸ πῦρ. Οὕτω μὲν οὗτος δικαίως αἰνέεται ἔτι καὶ ἐς τόδε ὑπὸ Περσέων.

CVIII. Ξέρξης δὲ ἐκ τοῦ Δορίσκου ἐπορεύετο ἐπὶ τὴν Ἑλλάδα, τοὺς δὲ αἰεὶ γινομένους ἐμποδὼν συστρατεύεσθαι ἠνάγκαζε· ἐδεδούλωτο γὰρ, ὡς καὶ πρότερόν μοι δεδήλωται, ἡ μέχρι Θεσσαλίης πᾶσα, καὶ ἦν ὑπὸ βασιλέα δασμοφόρος, Μεγαβάζου τε καταστρεψαμένου καὶ ὕστερον Μαρδονίου. (2) Παραμείβετο δὲ πορευόμενος ἐκ Δορίσκου πρῶτα μὲν τὰ Σαμοθρηίκια τείχεα, τῶν ἐσχάτη πεπόλισται πρὸς ἑσπέρην πόλις τῇ οὔνομά ἐστι Μεσαμβρίη. Ἔχεται δὲ ταύτης Θασίων πόλις Στρύμη, διὰ δέ σφεων τοῦ μέσου Λίσσος ποταμὸς διαρρέει, ὃς τότε οὐκ ἀντέσχε τὸ ὕδωρ παρέχων τῷ Ξέρξεω στρατῷ, ἀλλ' ἐπέλιπε. Ἡ δὲ χώρη αὕτη

profugere quantacumque sit hostium multitudo, jubens vero in ordine suo stantes aut vincere aut occumbere. (5) At si nugari videor tibi hæc dicendo, desino reliqua persequi: nunc, quæ dixi, coactus dixi. Cédant autem tibi omnia ex tua, rex, sententia! »

CV. Hæc a Demarato dicta in risum vertit Xerxes neque ulla concitatus est ira, sed comiter hominem dimisit: (2) eoque absoluto colloquio, exercitum per Thraciam adversus Græciam eduxit, postquam Dorisco huic, ubi adhuc moratus erat, Mascamen præfecit, Megadostis filium, amoto ab hac dignitate præfecto illo qui a Dario erat constitutus.

CVI. Mascames autem hic, qui ibi relictus est, talem se virum præstitit, ut ei uni deinde Xerxes quotannis munera mittere consueverit, tamquam qui præter omnes, quotquot aut ipse aut Darius præfectos constituerat, fortissime rem gessisset: eodemque honore Artaxerxes etiam, Xerxis filius, posteros Mascamis prosecutus est. (2) Constituti enim jam ante hanc expeditionem erant regii præfecti in Thracia et ubique in Hellesponto. Hi igitur omnes, tam qui in Thracia erant, quam qui in Hellesponto, excepto Dorisci præfecto, post hanc Xerxis expeditionem ejecti sunt a Græcis: Mascamen vero, Dorisci præfectum, nulli umquam, quamquam multi conati sunt, ejicere potuerunt; quam ob caussam constanter ei dona mittuntur a rege Persarum.

CVII. Ex illorum autem numero, qui a Græcis ejecti sunt, nullum rex Xerxes fortem fuisse virum judicavit, præterquam unum Bogen, Eionis præfectum: (2) quem laudare ille non desiit, et filios ejus in Persis relictos præcipuo honore prosequebatur. Etenim insigni etiam laude dignus Boges fuit: qui ab Atheniensibus et Cimone Miltiadis filio oppugnatus, quum potuisset fide data salvus egredi et in Asiam redire, noluit, ne per ignaviam vitæ suæ consuluisse videretur regi, sed ad extremum usque duravit. (3) Postquam autem nihil alimenti in urbe fuit reliquum, ingenti rogo exstructo, liberos et uxorem et pellices et famulos jugulavit, jugulatosque in ignem conjecit: deinde, auro omni et argento, quod in urbe erat, per murum in Strymonem disperso, se ipsum super illorum cadavera in ignem præcipitavit. Itaque merito hic vir ad hunc usque diem a Persis laudatur.

CVIII. Xerxes vero, ex Dorisco in Græciam ducens exercitum, per quoscunque iter faciebat populos, cunctos secum militare coegit. Erat enim, ut jam ante exposui, omnis ille tractus usque ad Thessaliam in Persarum ditione et regi tributaria, a Megabazo primum, ac dein a Mardonio subacta. (2) Iter autem ex Dorisco faciens præteriit primum Samothracica castella, quorum postremum ad occidentem situm est oppidum cui nomen Mesembria; cui proximum est Thasiorum oppidum Stryme. Inter hæc duo oppida medius interfluit Lissus fluvius; qui tunc non suffecit aquæ præbendæ exercitui Xerxis, sed defecit.

πάλαι μὲν ἐκαλέετο Γαλλαϊκὴ, νῦν δὲ Βριαντική· ἔστι μέντοι τῷ δικαιοτάτῳ τῶν λόγων καὶ αὕτη Κικόνων.

CIX. Διαβὰς δὲ τοῦ Λίσσου ποταμοῦ τὸ ῥέεθρον ἀπεξηρασμένον πόλις Ἑλληνίδας τάσδε παραμείβετο, Μαρώνειαν, Δίκαιαν, Ἄβδηρα. Ταύτας τε δὴ παρεξήϊε, καὶ κατὰ ταύτας λίμνας οὐνομαστὰς τάσδε, Μαρωνείης μὲν μεταξὺ καὶ Στρύμης κειμένην Ἰσμαρίδα, κατὰ δὲ Δίκαιαν Βιστονίδα, ἐς τὴν ποταμοὶ δύο ἐσιεῖσι τὸ ὕδωρ, Τραῦός τε καὶ Κόμψατος. (2) Κατὰ δὲ Ἄβδηρα λίμνην μὲν οὐδεμίαν ἐοῦσαν οὐνομαστὴν παραμείψατο Ξέρξης, ποταμὸν δὲ Νέστον ῥέοντα ἐς θάλασσαν. Μετὰ δὲ ταύτας τὰς χώρας ἰὼν τὰς ἠπειρώτιδας πόλις παρήϊε, τῶν ἐν μιῇ λίμνη ἐοῦσα τυγχάνει ὡσεὶ τριήκοντα σταδίων μάλιστά κη τὴν περίοδον, ἰχθυώδης τε καὶ κάρτα ἁλμυρή· ταύτην τὰ ὑποζύγια μοῦνα ἀρδόμενα ἀνεξήρηνε. Τῇ δὲ πόλι ταύτῃ οὔνομά ἐστι Πίστυρος. Ταύτας μὲν δὴ τὰς πόλις τὰς παραθαλασσίας τε καὶ Ἑλληνίδας ἐξ εὐωνύμου χειρὸς ἀπέργων παρεξήϊε.

CX. Ἔθνεα δὲ Θρηίκων δι' ὧν τῆς χώρης ὁδὸν ἐποιέετο τοσάδε, Παῖτοι, Κίκονες, Βίστονες, Σαπαῖοι, Δερσαῖοι, Ἠδωνοὶ, Σάτραι. Τούτων οἱ μὲν παρὰ θάλασσαν κατοικημένοι ἐν τῇσι νηυσὶ εἵποντο· οἱ δὲ αὐτῶν τὴν μεσόγαιαν οἰκέοντες καταλεχθέντες τε ὑπ' ἐμεῦ, πλὴν Σατρέων οἱ ἄλλοι πάντες πεζῇ ἀναγκαζόμενοι εἵποντο.

CXI. Σάτραι δὲ οὐδενός κω ἀνθρώπων ὑπήκοοι ἐγένοντο, ὅσον ἡμεῖς ἴδμεν, ἀλλὰ διατελεῦσι τὸ μέχρι ἐμεῦ αἰεὶ ἐόντες ἐλεύθεροι μοῦνοι Θρηίκων· οἰκέουσί τε γὰρ οὔρεα ὑψηλὰ, ἴδησί τε παντοίῃσι καὶ χιόνι συνηρεφέα, καὶ εἰσὶ τὰ πολέμια ἄκροι, οὗτοι οἱ τοῦ Διονύσου τὸ μαντήϊόν εἰσι ἐκτημένοι. (2) Τὸ δὲ μαντήϊόν τοῦτο ἐστὶ μὲν ἐπὶ τῶν οὐρέων τῶν ὑψηλοτάτων, Βησσοὶ δὲ τῶν Σατρέων εἰσὶ οἱ προφητεύοντες τοῦ ἱροῦ, πρόμαντις δὲ ἡ χρέουσα κατά περ ἐν Δελφοῖσι, καὶ οὐδὲν ποικιλώτερον.

CXII. Παραμειψάμενος δὲ ὁ Ξέρξης τὴν εἰρημένην, δεύτερα τούτων παραμείβετο τείχεα τὰ Πιέρων, τῶν καὶ ἑνὶ Φάγρης ἐστὶ οὔνομα καὶ ἑτέρῳ Πέργαμος. Ταύτῃ μὲν δὴ παρ' αὐτὰ τὰ τείχεα τὴν ὁδὸν ἐποιέετο, ἐκ δεξιῆς χερὸς τὸ Πάγγαιον οὖρος ἀπέργων, ἐὸν μέγα τε καὶ ὑψηλὸν, ἐν τῷ χρύσεά τε καὶ ἀργύρεα ἔνι μέταλλα, τὰ νέμονται Πίερές τε καὶ Ὀδόμαντοι καὶ μάλιστα Σάτραι.

CXIII. Ὑπεροικέοντας δὲ τὸ Πάγγαιον πρὸς βορέεω ἀνέμου Παίονας Δόβηράς τε καὶ Παιόπλας παρεξιὼν ἤϊε πρὸς ἑσπέρην, ἐς ὃ ἀπίκετο ἐπὶ ποταμόν τε Στρυμόνα καὶ πόλιν Ἠϊόνα, τῆς ἔτι ζωὸς ἐὼν ἦρχε Βόγης τοῦ περ ὀλίγῳ πρότερον τούτων λόγον ἐποιεύμην. (2) Ἡ δὲ γῆ αὕτη ἡ περὶ τὸ Πάγγαιον οὖρος καλέεται Φυλλὶς, κατατείνουσα τὰ μὲν πρὸς ἑσπέρην ἐπὶ ποταμὸν Ἀγγίτην ἐκδιδόντα ἐς τὸν Στρυμόνα, τὰ δὲ πρὸς μεσαμβρίην τείνουσα ἐς αὐτὸν τὸν Στρυμόνα, ἐς τὸν οἱ μάγοι ἐκαλλιρέοντο σφάζοντες ἵππους λευκούς.

Vocabatur autem olim hæc regio Gallaica, nunc vero Briantica : at est etiam hæc, verum si quæris, Ciconum.

CIX. Trajecto Lissi fluvii alveo exsiccato, præter Græcas hasce civitates duxit, Maroneam, Dicæam, Abdera. Præter has, inquam, iter fecit, et præter claros lacus circa illas sitos hosce : Ismaridem lacum, qui est inter Maroneam et Strymen; tum, prope Dicæam, Bistonidem lacum, in quem duo fluvii aquam infundunt, Trauus et Compsatus. (2) Circa Abdera præter lacum quidem notabilem nullum Xerxes præteriit; Nestum vero fluvium trajecit, qui ibi in mare influit. Post has regiones ulterius progrediens, præteriit continentis oppida : quorum ad unum est lacus triginta fere stadiorum in circuitu, piscosus, et salsus admodum. Hunc lacum sola jumenta potando arefecerunt : nomen oppido illi est Pistyrus. Omnia vero ista oppida maritima et Græcanica a sinistra relinquens præteriit.

CX. Populi autem Thracici, quorum per fines agmen Xerxes duxit, hi sunt : Pæti, Cicones, Bistones, Sapæi, Dersæi, Edoni, Satræ. Ex his qui ad mare habitant, navibus regem secuti sunt; qui mediterranea incolunt, quos recensui, exceptis Satris, reliqui omnes pedibus sequi coacti sunt.

CXI. Satræ vero nullius umquam hominis imperio, quod equidem noverim, fuerunt subjecti : sed soli ex Thracibus ad meam usque ætatem liberi semper permanserunt. Incolunt enim præaltos montes, nemoribus omnis generis et nive obtectos, suntque bello inprimis strenui. Hi sunt, qui Bacchi oraculum possident. (2) Oraculum hoc in altissimis montibus situm est; et Bessi sunt qui apud Satras in hoc templo oracula interpretantur; oracula autem sacerdos mulier edit, sicuti Delphis, neque illa magis perplexa.

CXII. Regionem quam dixi emensus Xerxes, deinde præter Pierum castella transiit, quorum uni Phagres nomen est, alii Pergamus. Et hac quidem iter juxta ipsa castella fecit, a dextra Pangæum relinquens, vastum montem et præaltum; in quo et auri et argenti insunt metalla, quæ partim a Pieribus, partim ab Odomantis, maxime vero a Satris exercentur.

CXIII. Postquam per populos a septentrione Pangæi habitantes, per Pæones, Doberes et Pæoplas transiit, versus occidentem vertit, donec ad fluvium Strymonem pervenit, et ad Eionem urbem; cui tunc adhuc vivus præfectus erat Boges, cujus paulo ante hæc feci mentionem. (2) Terra hæc circa Pangæum montem Phyllis vocatur; quæ, occidentem versus, ad fluvium Angiten pertinet, qui in Strymonem influit; versus meridiem vero ad ipsum Strymonem, cui sacra fecerunt Magi, mactatis in eum equis albis.

CXIV. Φαρμακεύσαντες δὲ ταῦτα ἐς τὸν ποταμὸν καὶ ἄλλα πολλὰ πρὸς τούτοισι ἐν Ἐννέα ὁδοῖσι τῇσι Ἠδωνῶν ἐπορεύοντο κατὰ τὰς γεφύρας, τὸν Στρυμόνα εὑρόντες ἐζευγμένον. (2) Ἐννέα δὲ ὁδοὺς πυνθανόμενοι τὸν χῶρον τοῦτον καλέεσθαι, τοσούτους ἐν αὐτῷ παῖδάς τε καὶ παρθένους ἀνδρῶν τῶν ἐπιχωρίων ζώοντας κατώρυσσον. (3) Περσικὸν δὲ τὸ ζώοντας κατορύσσειν, ἐπεὶ καὶ Ἀμηστρὶν τὴν Ξέρξεω γυναῖκα πυνθάνομαι γηράσασαν δὶς ἑπτὰ Περσέων παῖδας ἐόντων ἐπιφανέων ἀνδρῶν ὑπὲρ ἑωυτῆς τῷ ὑπὸ γῆν λεγομένῳ εἶναι θεῷ ἀντιχαρίζεσθαι κατορύσσουσαν.

CXV. Ὡς δὲ ἀπὸ τοῦ Στρυμόνος ἐπορεύετο ὁ στρατὸς, ἐνθαῦτα πρὸς ἡλίου δυσμέων ἐστὶ αἰγιαλὸς ἐν τῷ εἰκημένην Ἄργιλον πόλιν Ἑλλάδα παρεξήϊε· αὕτη δὲ καὶ ἡ κατύπερθε ταύτης καλέεται Βισαλτίη. (2) Ἐνθεῦτεν δὲ κόλπον τὸν ἐπὶ Ποσιδηίου ἐξ ἀριστερῆς χερὸς ἔχων ἤϊε διὰ Συλέος πεδίου καλευμένου, Στάγειρον πόλιν Ἑλλάδα παραμειβόμενος, καὶ ἀπίκετο ἐς Ἄκανθον, ἅμα ἀγόμενος τούτων ἕκαστον τῶν ἐθνέων καὶ τῶν περὶ τὸ Πάγγαιον οὖρος οἰκεόντων, ὁμοίως καὶ τῶν πρότερον κατέλεξα, τοὺς μὲν παρὰ θάλασσαν ἔχων οἰκημένους ἐν νηυσὶ στρατευομένους, τοὺς δ' ὑπὲρ θαλάσσης πεζῇ ἑπομένους. (3) Τὴν δὲ ὁδὸν ταύτην, τῇ βασιλεὺς Ξέρξης τὸν στρατὸν ἤλασε, οὔτε συγχέουσι Θρῄϊκες οὔτ' ἐπισπείρουσι, σέβονταί τε μεγάλως τὸ μέχρι ἐμεῦ.

CXVI. Ὡς δὲ ἄρα ἐς τὴν Ἄκανθον ἀπίκετο, ξεινίην τε ὁ Ξέρξης τοῖσι Ἀκανθίοισι προεῖπε καὶ ἐδωρήσατό σφεας ἐσθῆτι Μηδικῇ ἐπαίνεέ τε, ὁρέων αὐτοὺς προθύμους ἐόντας ἐς τὸν πόλεμον, καὶ τὸ ὄρυγμα ἀκούων.

CXVII. Ἐν Ἀκάνθῳ δὲ ἐόντος Ξέρξεω συνήνεικε ὑπὸ νούσου ἀποθανέειν τὸν ἐπεστεῶτα τῆς διώρυχος Ἀρταχαίην, ὀκίμον ἐόντα παρὰ Ξέρξῃ καὶ γένος Ἀχαιμενίδην, μεγάθεί τε μέγιστον ἐόντα Περσέων (ἀπὸ γὰρ πέντε πηχέων βασιληίων ἀπέλειπε τέσσερας δακτύλους) φωνέοντά τε μέγιστον ἀνθρώπων, (2) ὥστε Ξέρξεα συμφορὴν ποιησάμενον μεγάλην ἐξενεῖκαί τε αὐτὸν κάλλιστα καὶ θάψαι· ἐτυμβοχόεε δὲ πᾶσα ἡ στρατιή. Τούτῳ δὲ τῷ Ἀρταχαίῃ θύουσι Ἀκάνθιοι ἐκ θεοπροπίου ὡς ἥρωϊ, ἐπουνομάζοντες τὸ οὔνομα. Βασιλεὺς μὲν δὴ Ξέρξης ἀπολομένου Ἀρταχαίεω ἐποιέετο συμφορήν.

CXVIII. Οἱ δὲ ὑποδεκόμενοι Ἑλλήνων τὴν στρατιὴν καὶ δειπνίζοντες Ξέρξεα ἐς πᾶν κακοῦ ἀπικέατο, οὕτω ὥστε ἀνάστατοι ἐκ τῶν οἰκίων ἐγίνοντο, ὅκου γε Θασίοισι ὑπὲρ τῶν ἐν τῇ ἠπείρῳ πολίων τῶν σφετέρων δεξαμένοισι τὴν Ξέρξεω στρατιὴν καὶ δειπνίσασι Ἀντίπατρος ὁ Ὀργέος ἀραιρημένος, τῶν ἀστῶν ἀνὴρ δόκιμος ὁμοῖα τῷ μάλιστα, ἀπέδεξε ἐς τὸ δεῖπνον τετρακόσια τάλαντα ἀργυρίου τετελεσμένα.

CXIX. Ὡς δὲ παραπλησίως καὶ ἐν τῇσι ἄλλῃσι πόλισι οἱ ἐπεστεῶτες ἀπεδείκνυσαν τὸν λόγον. Τὸ γὰρ δεῖπνον τοιόνδε τι ἐγένετο οἷα ἐκ πολλοῦ χρόνου προειρημένον καὶ περὶ πολλοῦ ποιεύμενον. (2) Τοῦτο

CXIV. Hisce et multis aliis incantamentis in fluvium peractis, in Novem Viis Edonorum per pontes fecerunt iter, quibus junctum Strymonem invenerunt. (2) Quem locum ubi audierunt Novem vias vocari, totidem ibi pueros ac virgines virorum indigenarum vivos defoderunt. (3) Persicus hic mos est, vivos defodere. Nam et Amestrin, Xerxis uxorem, audio, ætate provectam, bis septem Persarum illustrium liberos defodi jussisse, deum qui sub terra esse dicitur ea defossione pro sua salute remuneraturam.

CXV. Ut a Strymone profectus est exercitus, ibi versus occidentem est ora maris, in qua sitam urbem Græcam Argilon præteriit. Regio hæc, et quæ supra est, Bisaltia vocatur. (2) Inde sinum, cui Neptuni templum imminet, a sinistra habens, postquam per Syleum qui vocatur campum transiit, et Stagirum præteriit Græcam urbem, Acanthum pervenit; singulos horum populorum et eorum qui circa Pangæum incolunt, simul secum ducens, pariter atque illos quos supra commemoravi: quorum hi qui ad mare habitant, navibus ei militabant; qui vero supra mare, pedibus sequebantur. (3) Viam autem hanc, qua rex Xerxes exercitum duxit, nec confundunt Thraces, nec conserunt, sed ad meam usque ætatem magnopere venerantur.

CXVI. Acanthum ut Xerxes pervenit, hospitium Acanthiis edixit, et Medica veste eos donavit laudavitque, promptos videns ad bellum, cognitoque eorum circa fossam studio.

CXVII. Dum Acanthi versatur Xerxes, morbo mortuus est Artachæes, qui fossæ fuerat præfectus, probatus regi vir, genere Achæmenides, statura inter Persas cunctos eminens, quippe non nisi quattuor digitis brevior quinque cubitis regiis, idemque omnium hominum vocalissimus. (2) Itaque ingenti luctu adfectus Xerxes magnifice illum extulit humavitque, et universus exercitus tumulo humum adgessit. Huic Artachæi ex oraculi effato sacra faciunt Acanthii, nomen ejus invocantes. Ita rex Xerxes obitum Artachæis luctu prosecutus est.

CXVIII. Græci vero ii, qui exercitum exceperunt, hospitiumque præbuere Xerxi, ad extremam redacti sunt miseriam, adeo ut suis etiam laribus fierent extorres. Quippe Thasiis quidem, quum nomine civitatum suarum, quæ in continente sunt, Xerxis exercitum hospitio et cœna excepissent, Antipater Orgis filius ad id delectus, vir inter cives suos in primis probatus, demonstravit insumpta in cœnam fuisse quadringenta argenti talenta.

CXIX. Similemque aliarum etiam civitatum principes rationem impensarum reddiderunt. Erat enim cœna, utpote multo ante indicta, et magna cura adparata, hujus modi. (2) Simul atque præconum vocem audiverunt per

μὲν, ὡς ἐπύθοντο τάχιστα τῶν κηρύκων τῶν περιαγγελλόντων, δασάμενοι σῖτον ἐν τῇσι πόλισι οἱ ἀστοὶ ἄλευρά τε καὶ ἄλφιτα ἐποίευν πάντες ἐπὶ μῆνας συχνούς· τοῦτο δὲ κτήνεα σιτεύεσκον ἐξευρίσκοντες τιμῆς τὰ κάλλιστα, ἔτρεφόν τε ὄρνιθας χερσαίους καὶ λιμναίους ἔν τε οἰκήμασι καὶ λάκκοισι, ἐς ὑποδοχὰς τοῦ στρατοῦ· τοῦτο δὲ χρύσεά τε καὶ ἀργύρεα ποτήριά τε καὶ κρητῆρας ἐποιεῦντο, καὶ τἆλλα ὅσα ἐπὶ τράπεζαν τίθεται πάντα. (3) Ταῦτα μὲν αὐτῷ τε βασιλεῖ καὶ τοῖσι ὁμοσίτοισι μετ' ἐκείνου ἐπεποίητο, τῇ δὲ ἄλλῃ στρατιῇ τὰ ἐς φορβὴν μοῦνα τασσόμενα. Ὅκως δὲ ἀπίκοιτο ἡ στρατιὴ, σκηνὴ μὲν ἔσκε πεπηγυῖα ἑτοίμη ἐς τὴν αὐτὸς σταθμὸν ποιέσκετο Ξέρξης, ἡ δὲ ἄλλη στρατιὴ ἔσκε ὑπαίθριος. (4) Ὡς δὲ δείπνου γίνοιτο ὥρη, οἱ μὲν δεκόμενοι ἔχεσκον πόνον, οἱ δὲ ὄκως πλησθέντες νύκτα αὐτοῦ ἀγάγοιεν, τῇ ὑστεραίῃ τήν τε σκηνὴν ἀνασπάσαντες καὶ τὰ ἔπιπλα πάντα λαβόντες οὕτω ἀπελαύνεσκον, λείποντες οὐδὲν, ἀλλὰ φερόμενοι.

CXX. Ἔνθα δὴ Μεγακρέοντος ἀνδρὸς Ἀβδηρίτεω ἔπος εὖ εἰρημένον ἐγένετο, ὃς συνεβούλευσε Ἀβδηρίτῃσι πανδημεὶ, αὐτοὺς καὶ γυναῖκας, ἐλθόντας ἐς τὰ σφέτερα ἱρὰ ἵζεσθαι ἱκέτας τῶν θεῶν παραιτεομένους καὶ τὸ λοιπὸν σφι ἀπαμύνειν τῶν ἐπιόντων κακῶν τὰ ἡμίσεα, τῶν τε παροιχομένων ἔχειν σφι μεγάλην χάριν, ὅτι βασιλεὺς Ξέρξης οὐ δὶς ἑκάστης ἡμέρης ἐνόμισε σῖτον αἱρέεσθαι· παρέχειν γὰρ ἂν Ἀβδηρίτῃσι, εἰ καὶ ἄριστον προείρητο ὁμοῖα τῷ δείπνῳ παρασκευάζειν, ἢ μὴ ὑπομένειν Ξέρξεα ἐπιόντα ἢ καταμείναντας κάκιστα πάντων ἀνθρώπων διατριβῆναι. Οἱ μὲν δὴ πιεζόμενοι ὅμως τὸ ἐπιτασσόμενον ἐπετέλεον.

CXXI. Ξέρξης δὲ ἐκ τῆς Ἀκάνθου, ἐντειλάμενος τοῖσι στρατηγοῖσι τὸν ναυτικὸν στρατὸν ὑπομένειν ἐν Θέρμῃ, ἀπῆκε ἀπ' ἑωυτοῦ τὰς νέας πορεύεσθαι, Θέρμῃ δὲ τῇ ἐν τῷ Θερμαίῳ κόλπῳ οἰκημένῃ, ἀπ' ἧς καὶ ὁ κόλπος οὗτος τὴν ἐπωνυμίην ἔχει· ταύτῃ γὰρ ἐπυνθάνετο συντομώτατον εἶναι. (2) Μέχρι μὲν γὰρ Ἀκάνθου ὧδε τεταγμένος ὁ στρατὸς ἐκ Δορίσκου τὴν ὁδὸν ἐποιέετο· τρεῖς μοίρας ὁ Ξέρξης δασάμενος πάντα τὸν πεζὸν, μίαν αὐτέων ἔταξε παρὰ θάλασσαν ἰέναι ὁμοῦ τῷ ναυτικῷ· ταύτης μὲν δὴ ἐστρατήγεον Μαρδόνιός τε καὶ Μασίστης· (3) ἑτέρη δὲ τεταγμένη ἦϊε τοῦ στρατοῦ τριτημορὶς τὴν μεσόγαιαν, τῆς ἐστρατήγεον Τριτανταίχμης τε καὶ Γέργις· ἡ δὲ τρίτη τῶν μοιρέων, μετ' ἧς ἐπορεύετο αὐτὸς ὁ Ξέρξης, ἦϊε μὲν τὸ μέσον αὐτέων, στρατηγοὺς δὲ παρείχετο Σμερδομένεά τε καὶ Μεγάβυζον.

CXXII. Ὁ μέν νυν ναυτικὸς στρατὸς ὡς ἀπείθη ὑπὸ Ξέρξεω καὶ διεξέπλωσε τὴν διώρυχα τὴν ἐν τῷ Ἄθῳ γενομένην, διέχουσαν δὲ ἐς κόλπον ἐν τῷ Ἄσσα τε πόλις καὶ Πίλωρος καὶ Σίγγος καὶ Σάρτη οἰκέαται, ἐνθεῦτεν, ὡς καὶ ἐκ τούτων τῶν πολίων στρατιὴν παρέλαβε, ἔπλωε ἀπιέμενος ἐς τὸν Θερμαῖον κόλπον, (2) κάμπτων δὲ Ἄμπελον τὴν Τορωναίην ἄκρην παραμείβετο Ἑλληνίδας τάσδε πόλις, ἐκ τῶν νέας τε καὶ

civitates adventum exercitus adnunciantium, partiti inter se oppidani frumentum quod in urbe erat, farinam triticeam et hordeaceam multos per menses conficiebant omnes; simulque pecora saginabant, pulcritudine et pretio exquisita, avesque tam terrestres quam palustres et domibus et in variis alebant, quibus exciperent exercitum; denique aurea et argentea pocula crateresque et reliqua omnia quæ mensæ imponuntur, comparabant. (3) Et hæc quidem soli utique regi ejusque convivis comparabantur; reliquo vero exercitui sola cibaria imperata. Quando advenit exercitus, tabernaculum structum paratumque erat, quæ mansio esset ipsi Xerxi: reliquus exercitus sub dio agebat. (4) Ubi cœnæ aderat hora, hi qui hospites recipiebant laboris abunde habebant: illi vero, postquam bene pasti noctem ibi transegerunt, postridie revulso tabernaculo, et ablatis quæcumque moveri poterant, discedebant, nihil relinquentes, sed asportantes omnia.

CXX. Quam in partem commode dictum memoratur Megacreontis, civis Abderitæ, qui suasit Abderitis, ut cives universi, mares atque feminæ, templa adirent sua, supplicesque precarentur a diis, ut posthac dimidium imminentium malorum velint amoliri, et præteritorum canssa gratias eisdem diis agerent, quod rex Xerxes non bis singulis diebus cibum capere consuesset. Quodsi enim imperatum Abderitis fuisset, prandium etiam similiter atque cœnam parare, duorum alterutrum illis fuisse eligendum, aut non manere advenientem Xerxem, aut, si mansissent, omnium hominum pessime attritum iri. Isti igitur, quamquam gravissime adflicti, tamen exsecuti sunt mandatum.

CXXI. Acantho Xerxes classem a se dimisit, iter persequi jussam, mandato dato præfectis, ut navales copiæ ad Thermam sese opperirentur: ad illam dico Thermam, quæ Thermæo sinui imminet, qui ab illa etiam nomen invenit: hac enim maxime compendiariam esse viam cognoverat. (2) Quippe a Dorisco, usque Acanthum, in hunc modum ordinatus exercitus fecerat iter: terrestres omnes copias in tria agmina æquis fere partibus Xerxes partitus erat; quorum unum jussum erat secundum mare simul cum classe iter facere; ei Mardonius et Masistes præerant; (3) alterum ex tribus agmen, ducibus Tritantæchme et Gergi, per mediterranea proficiscebatur; tertia pars, cum qua ipse erat Xerxes, media incedebat inter reliquas via, ducesque habebat Smerdomenem et Megabyzum.

CXXII. Navalis igitur exercitus, postquam a Xerxe dimissus est, et per fossam navigavit, quæ per Athon montem in eum sinum perducta erat, supra quem situm est Assa oppidum, et Pilorus, et Singus, et Sarta; inde, adsumpta ex his quoque oppidis militum manu, in Thermæum sinum navigare perrexit. (2) Deinde Ampelon circumvectus, Toronæum promontorium, præter Græcas hasce civitates

στρατιὴν παρελάμβανε, Τορώνην, Γαληψὸν, Σερμύλην, Μηκύβερναν, Ὄλυνθον. Ἡ μέν νυν χώρη αὕτη Σιθωνίη καλέεται.

CXXIII. Ὁ δὲ ναυτικὸς στρατὸς ὁ Ξέρξεω συντάμνων ἀπ' Ἀμπέλου ἄκρης ἐπὶ Κανάστραιον ἄκρην, τὸ δὴ πάσης τῆς Παλλήνης ἀνέχει μάλιστα, ἐνθεῦτεν νέας τε καὶ στρατιὴν παρελάμβανε ἐκ Ποτιδαίης καὶ Ἀφύτιος καὶ Νέης πόλιος καὶ Αἰγῆς καὶ Θεράμβου καὶ Σκιώνης καὶ Μένδης καὶ Σάνης· αὗται γάρ εἰσι αἱ τὴν νῦν Παλλήνην, πρότερον δὲ Φλέγρην καλευμένην νενόμεναι. (2) Παραπλώων δὲ καὶ ταύτην τὴν χώρην ἔπλωε ἐς τὸ προειρημένον, παραλαμβάνων στρατιὴν καὶ ἐκ τῶν προσεχέων πολίων τῇ Παλλήνῃ, ὁμουρεουσέων δὲ τῷ Θερμαίῳ κόλπῳ, τῇσι οὐνόματά ἐστι τάδε, (3) Λίπαξος, Κώμβρεια, Λίσαι, Γίγωνος, Κάμψα, Σμίλα, Αἴνεια· ἡ δὲ τούτων χώρη Κροσσαίη ἔτι καὶ ἐς τόδε καλέεται. (4) Ἀπὸ δὲ Αἰνείης, ἐς τὴν ἐτελεύτων καταλέγων τὰς πόλις, ἀπὸ ταύτης ἤδη ἐς αὐτόν τε τὸν Θερμαῖον κόλπον ἐγίνετο τῷ ναυτικῷ στρατῷ ὁ πλόος καὶ γῆν τὴν Μυγδονίην, πλώων δὲ ἀπίκετο ἔς τε τὴν προειρημένην Θέρμην καὶ Σινδόν τε πόλιν καὶ Χαλέστρην ἐπὶ τὸν Ἀξιὸν ποταμὸν, ὃς οὐρίζει χώρην τὴν Μυγδονίην τε καὶ Βοττιαιίδα, τῆς ἔχουσι τὸ παρὰ θάλασσαν στεινὸν χωρίον πόλιες Ἴχναι τε καὶ Πέλλα.

CXXIV. Ὁ μὲν δὴ ναυτικὸς στρατὸς αὐτοῦ περὶ Ἀξιὸν ποταμὸν καὶ πόλιν Θέρμην καὶ τὰς μεταξὺ πόλις τούτων περιμένων βασιλέα ἐστρατοπεδεύετο· Ξέρξης δὲ καὶ ὁ πεζὸς στρατὸς ἐπορεύετο ἐκ τῆς Ἀκάνθου τὴν μεσόγαιαν τάμνων τῆς ὁδοῦ, βουλόμενος ἐς τὴν Θέρμην ἀπικέσθαι. (2) Ἐπορεύετο δὲ διὰ τῆς Παιονικῆς καὶ Κρηστωνικῆς ἐπὶ ποταμὸν Ἐχείδωρον, ὃς ἐκ Κρηστωναίων ἀρξάμενος ῥέει διὰ Μυγδονίης χώρης καὶ ἐξίει παρὰ τὸ ἕλος τὸ ἐπ' Ἀξιῷ ποταμῷ.

CXXV. Πορευομένῳ δὲ ταύτῃ λεόντες οἱ ἐπεθήκαντο τῇσι σιτοφόροισι καμήλοισι· καταφοιτέοντες γὰρ οἱ λέοντες τὰς νύκτας καὶ λείποντες τὰ σφέτερα ἤθεα ἄλλου μὲν οὐδενὸς ἅπτοντο οὔτε ὑποζυγίου οὔτε ἀνθρώπου, οἱ δὲ τὰς καμήλους ἐκεράϊζον μούνας. (2) Θωμάζω δὲ τὸ αἴτιον, ὅ τι κοτὲ ἦν, τῶν ἄλλων τὸ ἀναγκάζον ἀπεχομένους τοὺς λέοντας τῇσι καμήλοισι ἐπιτίθεσθαι, τὸ μήτε πρότερον ὠπώπεσαν θηρίον μήτε πεπειρέατο αὐτοῦ.

CXXVI. Εἰσὶ δὲ κατὰ ταῦτα τὰ χωρία καὶ λέοντες πολλοὶ καὶ βόες ἄγριοι, τῶν τὰ κέρεα ὑπερμεγάθεά ἐστι τὰ ἐς Ἕλληνας φοιτέοντα. (2) Οὖρος δὲ τοῖσι λέουσί ἐστι ὅ τε δι' Ἀβδήρων ῥέων ποταμὸς Νέστος καὶ ὁ δι' Ἀκαρνανίης ῥέων Ἀχελῷος· οὔτε γὰρ τὸ πρὸς τὴν ἠῶ τοῦ Νέστου οὐδαμόθι πάσης τῆς ἔμπροσθε Εὐρώπης ἴδοι τις ἂν λέοντα, οὔτε πρὸς ἑσπέρης τοῦ Ἀχελώου ἐν τῇ ἐπιλοίπῳ ἠπείρῳ, ἀλλ' ἐν τῇ μεταξὺ τούτων τῶν ποταμῶν γίνονται.

CXXVII. Ὡς δὲ ἐς τὴν Θέρμην ἀπίκετο ὁ Ξέρξης, ἵδρυσε αὐτοῦ τὴν στρατιήν. Ἐπέσχε δὲ ὁ στρατὸς

navigavit, Toronam, Galepsum, Sermylam, Mecybernam, Olynthum; e quibus item naves et milites adsumpsit. Nomen hujus regionis Sithonia est.

CXXIII. Ab Ampelo dein promontorio idem nauticus Xerxis exercitus rectam viam ad Canastræum promontorium carpens, quod ex universa Pallene maxime prominet, naves inde et milites ex Potidæa et Aphyti et Neapoli et Ægа et Therambo et Sciona et Menda et Sana adsumpsit: hæc enim sunt oppida in Pallene, quæ nunc vocatur, sita; cui regioni olim Phlegra fuerat nomen. (2) Hanc regionem prætervectus, in constitutum locum navigavit, obiter adsumptis etiam copiis ex oppidis Pallenæ finitimis, et Thermæo sinui adjacentibus, quorum hæc sunt nomina: (3) Lipaxus, Combrea, Lisæ, Gigonus, Campsa, Smila, Ænea. Regio, in qua insunt hæc oppida, etiam nunc Crossæa vocatur. (4) Ab Ænea, in qua finem enumerandorum oppidorum feci, jam in ipsum Thermæum sinum, et in terram Mydoniam navigavit classis, pervenitque ad prædictam urbem Thermam, et Sindum et Chalestram oppidum, ad Axium fluvium; qui Mygdoniam a Bottiæide disterminat, cujus in regionis arcto ad mare spatio oppida sunt Ichnæ et Pella.

CXXIV. Classis igitur ibi circa Axium fluxium et Thermam urbem aliaque in medio sita oppida in statione mansit, regem exspectans. Xerxes vero et terrestris exercitus, ex Acantho profectus, per mediterranea carpsit viam, Thermam tendens. (2) Fecit autem iter par Pæonicam terram et per Crestonicam ad fluvium Echedorum, qui e Crestonæis initio sumpto per Mygdoniam fluit, et juxta paludem, quæ est supra Axium fluvium, in sinum illum aquas suas infundit.

CXXV. Hac dum iter fecit Xerxes, in camelos impedimenta portantes impetum fecere leones. Hi enim noctu e consuetis suis sedibus descendentes, nullo alio neque jumento tacto, neque homine, solas corripiebant camelos. (2) Atqui mirari subit, quid caussæ fuerit quod leones compelleret, ut, intactis reliquis omnibus, solis camelis insidiarentur, quum numquam vel vidissent hoc animal, vel periculum ejus fecissent.

CXXVI. Sunt autem in his regionibus frequentes leones, et boves item silvestres, quorum cornua immani sunt magnitudine; quæ in Græciam solent importari. (2) Terminus autem leonibus est Nestus fluvius per Abdera fluens, et Acarnaniam perfluens Achelous. Nam nec orientem versus ulla in parte anterioris Europæ ultra Nestum leonem aliquis videat, nec ab occidente Acheloi in reliqua continente; sed inter duos istos fluvios leones gignuntur.

CXXVII. Thermam ut Xerxes pervenit, substitit ibi cum exercitu. Obtinebant autem castra exercitus ejus totam

αὐτοῦ στρατοπεδευόμενος τὴν παρὰ θάλασσαν χώρην τοσήνδε, ἀρξάμενος ἀπὸ Θέρμης πόλιος καὶ τῆς Μυγδονίης μέχρι Λυδίεώ τε ποταμοῦ καὶ Ἁλιάκμονος, οἳ οὐρίζουσι γῆν τὴν Βοττιαιίδα τε καὶ Μακεδονίδα, ἐς τὠυτὸ ῥέεθρον τὸ ὕδωρ συμμίσγοντες. (2) Ἐστρατοπεδεύοντο μὲν δὴ ἐν τούτοισι τοῖσι χωρίοισι οἱ βάρβαροι, τῶν δὲ καταλεχθέντων τούτων ποταμῶν ἐκ Κρηστωναίης ῥέων Ἐχείδωρος μοῦνος οὐκ ἀντέχρησε τῇ στρατιῇ πινόμενος, ἀλλ' ἐπέλιπε.

CXXVIII. Ξέρξης δὲ ὀρέων ἐκ τῆς Θέρμης οὔρεα τὰ Θεσσαλικὰ, τόν τε Οὔλυμπον καὶ τὴν Ὄσσαν, μεγάθεί τε ὑπερμήκεα ἐόντα, διὰ μέσου τε αὐτῶν αὐλῶνα στεινὸν πυνθανόμενος εἶναι ὃν ῥέει ὁ Πηνειὸς, ἀκούων τε εἶναι ταύτῃ ὁδὸν ἐς Θεσσαλίην φέρουσαν, ἐπεθύμησε πλώσας θηήσασθαι τὴν ἐκβολὴν τοῦ Πηνειοῦ, ὅτι τὴν ἄνω ὁδὸν ἔμελλε ἐλᾶν διὰ Μακεδόνων τῶν κατύπερθε οἰκημένων ἐς Περραιβοὺς παρὰ Γόννον πολιν· ταύτῃ γὰρ ἀσφαλέστατον ἐπυνθάνετο εἶναι. (2) Ὡς δὲ ἐπεθύμησε, καὶ ἐποίεε ταῦτα· ἐσβὰς ἐς Σιδωνίην νέα, ἐς τὴν περ ἐσέβαινε αἰεὶ ὅκως τι ἐθέλοι τοιοῦτο ποιῆσαι, ἀνέδεξε σημήϊον καὶ τοῖσι ἄλλοισι ἀνάγεσθαι, καταλιπὼν αὐτοῦ τὸν πεζὸν στρατόν. (3) Ἐπεὶ δὲ ἀπίκετο καὶ ἐθηήσατο Ξέρξης τὴν ἐκβολὴν τοῦ Πηνειοῦ, ἐν θώματι μεγάλῳ ἐνέσχετο, καλέσας δὲ τοὺς κατηγεμόνας τῆς ὁδοῦ εἴρετο εἰ τὸν ποταμὸν ἔστι παρατρέψαντα ἑτέρῃ ἐς θάλασσαν ἐξαγαγεῖν.

CXXIX. Τὴν δὲ Θεσσαλίην λόγος ἐστὶ τὸ παλαιὸν εἶναι λίμνην ὥστε γε συγκεκληϊμένην πάντοθεν ὑπερμήκεσι οὔρεσι. (2) Τὰ μὲν γὰρ αὐτῆς πρὸς τὴν ἠῶ ἔχοντα τό τε Πήλιον οὖρος καὶ ἡ Ὄσσα ἀποκληίει συμμίσγοντα τὰς ὑπωρέας ἀλλήλοισι, τὰ δὲ πρὸς βορέεω ἀνέμου Οὔλυμπος, τὰ δὲ πρὸς ἑσπέρην Πίνδος, τὰ δὲ πρὸς μεσαμβρίην τε καὶ ἄνεμον νότον ἡ Ὄθρυς· τὸ μέσον δὲ τούτων τῶν λεχθέντων οὀρέων ἡ Θεσσαλίη ἐστὶ ἐοῦσα κοίλη. (3) Ὥστε ὦν ποταμῶν ἐς αὐτὴν καὶ ἄλλων συχνῶν ἐσβαλλόντων, πέντε δὲ τῶν δοκίμων μάλιστα τῶνδε, Πηνειοῦ καὶ Ἀπιδανοῦ καὶ Ὀνοχώνου καὶ Ἐνιπέος καὶ Παμίσου, οἱ μέν νυν ἐς τὸ πεδίον τοῦτο συλλεγόμενοι ἐκ τῶν οὐρέων τῶν περικληόντων τὴν Θεσσαλίην οὐνομαζόμενοι δι' ἑνὸς αὐλῶνος καὶ τούτου στεινοῦ ἔκροον ἔχουσι ἐς θάλασσαν, προσυμμίσγοντες τὸ ὕδωρ πάντες ἐς τὠυτό· ἐπεὰν δὲ συμμιχθέωσι τάχιστα, ἐνθεῦτεν ἤδη ὁ Πηνειὸς τῷ οὐνόματι κατακρατέων ἀνωνύμους τοὺς ἄλλους ποιέει εἶναι. (4) Τὸ δὲ παλαιὸν λέγεται, οὐκ ἐόντος κω τοῦ αὐλῶνος καὶ διεκρόου τούτου, τοὺς ποταμοὺς τούτους, καὶ πρὸς τοῖσι ποταμοῖσι τούτοισι τὴν Βοιβηίδα λίμνην, οὔτε οὐνομάζεσθαι κατά περ νῦν, ῥέειν τε οὐδὲν ἔσσον ἢ νῦν, ῥέοντας δὲ ποιέειν τὴν Θεσσαλίην πᾶσαν πέλαγος. (5) Αὐτοὶ μέν νυν Θεσσαλοί φασι Ποσειδέωνα ποιῆσαι τὸν αὐλῶνα δι' οὗ ῥέει ὁ Πηνειὸς, οἰκότα λέγοντες· ὅστις γὰρ νομίζει Ποσειδέωνα τὴν γῆν σείειν καὶ τὰ διεστεῶτα ὑπὸ σεισμοῦ τοῦ θεοῦ τούτου ἔργα εἶναι, καὶ ἂν ἐκεῖνο ἰδὼν φαίη Ποσειδέωνα ποιῆσαι· ἔστι γὰρ

oram maritimam, inde a Therma urbe et terra Mygdonia usque ad Lydiam fluvium et Haliacmonem, qui Bottiæam a Macedonia disterminant, in eumdem alveum aquas suas confundentes. (2) Tantum terræ spatium occuparunt barbarorum castra. Fluviorum autem, quos commemoravi, solus Echedorus, e Crestonæis fluens, ad potandum non suffecit exercitui, sed aqua illum destituit.

CXXVIII. Xerxes vero ex Therma prospectans Thessalicos montes, Olympum atque Ossam, altitudine mirum in modum eminentes, ut rescivit in medio illorum angustam esse convallem, quam perfluat Peneus amnis, audivitque esse ibi viam quæ in Thessaliam ferat, cupidus fuit nave conscensa spectandi ostium Penei : quippe ducturus erat exercitum superiore via per Macedonas superne habitantes in Perrhæbos præter Gonnon urbem, quum tutissimum illac iter esse rescivisset. (2) Et sicut cupivit, ita fecit. Conscensa nave Sidonia, quam eamdem semper conscendere consueverat, quoties tale quidpiam susciperet, signum reliquis etiam navibus proposuit solvendi, relicto ibi pedestri exercitu. (3) Ubi ad ostium Penei Xerxes pervenit, illudque spectavit, ingenti captus est admiratione : advocatosque viæ duces interrogavit, fierine posset, ut averteretur fluvius et alia parte in mare derivaretur.

CXXIX. Thessaliam fama est lacum olim fuisse, utpote altissimis montibus undique circumclausam. (2) Etenim latus orienti obversum præcludunt Pelion et Ossa montes, quorum radices sese contingunt; septemtrionale latus Olympus præcludit, occidentale Pindus, meridiei et Noto obversum Othrys : et cava terra inter prædictos montes intercepta, Thessalia est. (3) Igitur quum in hanc terram et alii frequentes rivi et quinque præ cæteris clari influant hi, Peneus, Apidanus, Onochonus, Enipeus, et Pamisus; omnes hi modo nominati rivi, ex montibus Thessaliam cingentibus in hunc campum influentes, per unam convallem, eamque angustam, exitum habent in mare, postquam in unum alveum aquas suas cuncti ante infuderunt : qui ex quo confluxere, cæteri nomen omittunt suum, et unum Penei nomen manet. (4) Pristinis vero temporibus, quum convallis illa nondum existeret, quæ exitum aperit aquis, aiunt rivos illos, et præter rivos Bœbeidem lacum, nomina quidem ea quibus nunc adpellantur non habuisse, sed nihilo minus quam nunc fluxisse, atque adeo effecisse ut pelagus esset tota Thessalia. (5) Et ipsi quidem Thessali aiunt, Neptunum fecisse convallem illam, per quam tamquam canalem effluit Peneus : nec præter rationem hoc adfirmant Qui enim Neptunum existimat movere terram, et, quæ terræ motu diducta sunt, opera hujus dei esse; is istud quoque videns dixerit, Neptunum id fecisse. Est enim

σεισμοῦ ἔργον, ὡς ἐμοὶ ἐφαίνετο εἶναι, ἡ διάστασις τῶν οὀρέων.

CXXX. Οἱ δὲ κατηγεόμενοι, εἰρομένου Ξέρξεω εἰ ἔστι ἄλλη ἔξοδος ἐς θάλασσαν τῷ Πηνειῷ, ἐξεπιστάμενοι ἀτρεκέως εἶπαν, « βασιλεῦ, ποταμῷ τούτῳ οὐκ ἔστι ἄλλη ἐξήλυσις ἐς θάλασσαν κατήκουσα, ἀλλ' ἥδε αὐτή· οὔρεσι γὰρ περιεστεφάνωται πᾶσα Θεσσαλίη. » Ξέρξεα δὲ λέγεται εἰπαι πρὸς ταῦτα, « σοφοὶ ἄνδρες εἰσὶ Θεσσαλοί. (2) Ταῦτ' ἄρα πρὸ πολλοῦ ἐφυλάξαντο γνωσιμαχέοντες καὶ τἆλλα καὶ ὅτι χώρην ἄρα εἶχον εὐαίρετόν τε καὶ ταχυάλωτον· τὸν γὰρ ποταμὸν πρῆγμα ἂν ἦν μοῦνον ἐπεῖναί σφεων ἐπὶ τὴν χώρην, χώματι ἐκ τοῦ αὐλῶνος ἐκβιβάσαντα καὶ παρατρέψαντα δι' ὧν νῦν ῥέει ῥεέθρων, ὥστε Θεσσαλίην πᾶσαν ἔξω τῶν οὀρέων ὑπόβρυχα γενέσθαι. » (3) Ταῦτα δὲ ἔχοντα ἔλεγε ἐς τοὺς Ἀλεύεω παῖδας, ὅτι πρῶτοι Ἑλλήνων ἐόντες Θεσσαλοὶ ἔδοσαν ἑωυτοὺς βασιλέϊ, δοκέων ὁ Ξέρξης ἀπὸ παντός σφεας τοῦ ἔθνεος ἐπαγγέλλεσθαι φιλίην. Εἶπας δὲ ταῦτα καὶ θηησάμενος ἀπέπλωε ἐς τὴν Θέρμην.

CXXXI. Ὁ μὲν δὴ περὶ Πιερίην διέτριβε ἡμέρας συχνάς· τὸ γὰρ δὴ οὖρος τὸ Μακεδονικὸν ἔκειρε τῆς στρατιῆς τριτημορίς, ἵνα ταύτῃ διεξίῃ ἅπασα ἡ στρατιὴ ἐς Περραιβούς· οἱ δὲ δὴ κήρυκες οἱ ἀποπεμφθέντες ἐς τὴν Ἑλλάδα ἐπὶ γῆς αἴτησιν ἀπικέατο οἱ μὲν κεινοί, οἱ δὲ φέροντες γῆν τε καὶ ὕδωρ.

CXXXII. Τῶν δὲ δόντων ταῦτα ἐγένοντο οἵδε, Θεσσαλοὶ, Δόλοπες, Αἰνιῆνες, Περραιβοὶ, Λοκροὶ, Μάγνητες, Μηλιέες, Ἀχαιοὶ οἱ Φθιῆται καὶ Θηβαῖοι καὶ οἱ ἄλλοι Βοιωτοὶ πλὴν Θεσπιέων τε καὶ Πλαταιέων. (2) Ἐπὶ τούτοισι οἱ Ἕλληνες ἔταμον ὅρκιον οἱ τῷ βαρβάρῳ πόλεμον ἀειράμενοι· τὸ δὲ ὅρκιον ὧδε εἶχε, ὅσοι τῷ Πέρσῃ ἔδοσάν σφεας αὐτοὺς Ἕλληνες ἐόντες, μὴ ἀναγκασθέντες, καταστάντων σφι εὖ τῶν πρηγμάτων, τούτους δεκατεῦσαι τῷ ἐν Δελφοῖσι θεῷ. Τὸ μὲν δὴ ὅρκιον ὧδε εἶχε τοῖσι Ἕλλησι.

CXXXIII. Ἐς δὲ Ἀθήνας καὶ Σπάρτην οὐκ ἀπέπεμψε Ξέρξης ἐπὶ γῆς αἴτησιν κήρυκας τῶνδε εἵνεκεν· πρότερον Δαρείου πέμψαντος ἐπ' αὐτὸ τοῦτο, οἱ μὲν αὐτῶν τοὺς αἰτέοντας ἐς τὸ βάραθρον, οἱ δ' ἐς φρέαρ ἐσβαλόντες ἐκέλευον γῆν τε καὶ ὕδωρ ἐκ τούτων φέρειν παρὰ βασιλέα. (2) Τούτων μὲν εἵνεκεν οὐκ ἔπεμψε Ξέρξης τοὺς αἰτήσοντας· ὅ τι δὲ τοῖσι Ἀθηναίοισι ταῦτα ποιήσασι τοὺς κήρυκας συνήνεικε ἀνεθέλητον γενέσθαι, οὐκ ἔχω εἰπαι, πλὴν ὅτι σφέων ἡ χώρη καὶ ἡ πόλις ἐδηϊώθη. Ἀλλὰ τοῦτο οὐ διὰ ταύτην τὴν αἰτίην δοκέω γενέσθαι.

CXXXIV. Τοῖσι δὲ ὧν Λακεδαιμονίοισι μῆνις κατέσκηψε Ταλθυβίου τοῦ Ἀγαμέμνονος κήρυκος. Ἐν γὰρ Σπάρτῃ ἐστὶ Ταλθυβίου ἱρὸν, εἰσὶ δὲ καὶ ἀπόγονοι Ταλθυβίου Ταλθυβιάδαι καλεύμενοι, τοῖσι αἱ κηρυκηΐαι αἱ ἐκ Σπάρτης πᾶσαι γέρας δέδονται. (2) Μετὰ δὲ ταῦτα τοῖσι Σπαρτιήτῃσι καλλιρῆσαι θυομένοισι οὐκ ἐγίνετο· τοῦτο δ' ἐπὶ χρόνον συχνὸν ἦν σφι. (3)

illa montium diductio, ut mihi plane adparebat, terræ motu effecta.

CXXX. Viæ autem duces, quærenti Xerxi an alius foret Peneo exitus in mare, rem adcurate compertam habentes, responderunt : « Non est, rex, huic flumini alius exitus qui ad mare pertineat, nisi hic ipse : est enim tota Thessalia undique montibus cincta. » Ad hæc Xerxes dixisse memoratur : « Prudentes viri sunt Thessali : (2) itaque jam multo ante sibi præcaverunt, melius sibi consulentes, quum alioquin, tum quod terram incolunt captu et expugnatu facilem. Nulla enim alia re fuerit opus, nisi ut hoc flumen in illorum terram immittatur aggere ex hac convalle repulsum, et ex iis per quos nunc fluit alveis aversum; quo universa Thessalia, præter montes, aquis mergeretur. » (3) Hæc dixit ad Aleuæ filios spectantia, quod illi, Thessali quum essent, primi Græcorum sese regi tradiderant, quos de communi gentis consilio societatem sibi pollicitos esse Xerxes arbitrabatur. His dictis, quæ voluerat contemplatus, Thermam renavigavit.

CXXXI. Ibi tum aliquammultos dies in Pieria est commoratus. Etenim montem Macedonicum tertia pars exercitus tondebat, ut illac universæ copiæ in Perrhæbos transirent. Interim præcones per Græciam ad postulandam terram dimissi redierunt; alii vacui, alii terram et aquam adferentes.

CXXXII. Qui hæc dederunt populi, hi fere fuere : Thessali, Dolopes, Ænianes, Perrhæbi, Locri, Magnetes, Malienses, Achæi Phthiotæ, Thebani et reliqui Boeoti, exceptis Thespiensibus et Platæensibus. (2) Contra hos Græci ii, qui bellum adversus barbarum susceperunt, fœdus pepigerunt interposito juramento, cujus hæc erat formula : Quicumque populi Græci Persæ sese tradiderint, nulla necessitate coacti, rebus suis bene habentibus, hos Delphico deo decimam *proventuum* dare debere. Hæc formula fœderis fuit a Græcis contra hos initi.

CXXXIII. Athenas autem et Spartam præcones ad terram postulandam Xerxes non misit, hac de caussa : superiori tempore, quum ad hoc ipsum Darius legatos misisset, hos, qui postulatum venerant, Athenienses in barathrum, Lacedæmonii vero in puteum præcipitaverant, jussos ex his terram et aquam capere regi adferendam. (2) Hanc ob caussam ad hos Xerxes non misit qui postularent. Quod quidem ob facinus adversus præcones admissum quidnam Atheniensibus mali acciderit, dicere non possum, nisi quod terra eorum et urbs evastata est : at hoc quidem non illam ob culpam puto accidisse.

CXXXIV. In Lacedæmonios vero incubuit Talthybii ira, præconis Agamemnonis. Est enim Spartæ Talthybii fanum : et supersunt ibi posteri Talthybii, Talthybiadæ nominati, quibus hoc privilegium datum est, ut omnia præconum munera apud Spartanos exerceant. (2) Ab illo vero tempore Spartanis sacra facientibus non contigit perlitare : idque longum per tempus apud eos obtinuit. (3) Quod

Ἀχθομένων δὲ καὶ συμφορῇ χρεωμένων Λακεδαιμονίων, ἁλίης τε πολλάκις συλλεγομένης καὶ κήρυγμα τοιόνδε ποιευμένων, εἴ τις βούλοιτο Λακεδαιμονίων πρὸ τῆς Σπάρτης ἀποθνήσκειν, Σπερθίης τε ὁ Ἀνηρίστου καὶ Βοῦλις ὁ Νικόλεω, ἄνδρες Σπαρτιῆται φύσι τε γεγονότες εὖ καὶ χρήμασι ἀνήκοντες ἐς τὰ πρῶτα, ἐθελονταὶ ὑπέδυσαν ποινὴν τίσειν Ξέρξῃ τῶν Δαρείου κηρύκων τῶν ἐν Σπάρτῃ ἀπολομένων. Οὕτω Σπαρτιῆται τούτους ὡς ἀποθανευμένους ἐς Μήδους ἀπέπεμψαν.

CXXXV. Αὕτη τε ἡ τόλμα τούτων τῶν ἀνδρῶν θώματος ἀξίη, καὶ τάδε πρὸς τούτοισι τὰ ἔπεα. Πορευόμενοι γὰρ ἐς Σοῦσα ἀπικνέονται παρ' Ὑδάρνεα. Ὁ δὲ Ὑδάρνης ἦν μὲν γένος Πέρσης, στρατηγὸς δὲ τῶν παραθαλασσίων ἀνθρώπων τῶν ἐν τῇ Ἀσίῃ· (2) ὃς σφεας ξείνια προθέμενος ἑστίᾳ, ξεινίζων δὲ εἴρετο λέγων τάδε, « ἄνδρες Λακεδαιμόνιοι, τί δὴ φεύγετε βασιλέϊ φίλοι γενέσθαι; ὁρᾶτε γὰρ ὡς ἐπίστασθαι βασιλεὺς ἄνδρας ἀγαθοὺς τιμᾶν, ἐς ἐμέ τε καὶ τὰ ἐμὰ πρήγματα ἀποβλέποντες. (3) Οὕτω δὴ καὶ ὑμεῖς εἰ δοίητε ὑμέας αὐτοὺς βασιλέϊ, δεδόξωσθε γὰρ πρὸς αὐτοῦ ἄνδρες εἶναι ἀγαθοί, ἕκαστος ἂν ὑμέων ἄρχοι γῆς Ἑλλάδος δόντος βασιλέος. » Πρὸς ταῦτα ὑπεκρίναντο τάδε, « Ὑδάρνες, οὐκ ἐξ ἴσου γίνεται ἡ συμβουλίη ἡ ἐς ἡμέας τείνουσα. (4) Τοῦ μὲν γὰρ πεπειρημένος συμβουλεύεις, τοῦ δὲ ἄπειρος ἐών· τὸ μὲν γὰρ δοῦλος εἶναι ἐξεπίστεαι, ἐλευθερίης δὲ οὔκω ἐπειρήθης, οὔτ' εἰ ἔστι γλυκὺ οὔτ' εἰ μή. Εἰ γὰρ αὐτῆς πειρήσαιο, οὐκ ἂν δόρασι συμβουλεύοις ἡμῖν περὶ αὐτῆς μάχεσθαι, ἀλλὰ καὶ πελέκεσι. » Ταῦτα μὲν Ὑδάρνεα ἀμείψαντο.

CXXXVI. Ἐνθεῦτεν δὲ ὡς ἀνέβησαν ἐς Σοῦσα καὶ βασιλέϊ ἐς ὄψιν ἦλθον, πρῶτα μὲν τῶν δορυφόρων κελευόντων καὶ ἀνάγκην σφι προσφερόντων προσκυνέειν βασιλέα προσπίπτοντας οὐκ ἔφασαν ὠθεόμενοι πρὸς αὐτῶν ἐπὶ κεφαλὴν ποιήσειν ταῦτα οὐδαμά· οὔτε γάρ σφι ἐν νόμῳ εἶναι ἄνθρωπον προσκυνέειν οὔτε κατὰ ταῦτα ἥκειν. (2) Ὡς δὲ ἀπεμαχέσαντο τοῦτο, δεύτερά σφι λέγουσι τάδε καὶ λόγου τοιοῦδε ἐχόμενα, « ὦ βασιλεῦ Μήδων, ἔπεμψαν ἡμέας Λακεδαιμόνιοι ἀντὶ τῶν ἐν Σπάρτῃ ἀπολομένων κηρύκων, ποινὴν ἐκείνων τίσοντας· » (3) λέγουσι δὲ αὐτοῖσι ταῦτα Ξέρξης ὑπὸ μεγαλοφροσύνης οὐκ ἔφη ὁμοῖος ἔσεσθαι Λακεδαιμονίοισι· ἐκείνους μὲν γὰρ συγχέαι τὰ πάντων ἀνθρώπων νόμιμα, ἀποκτείναντας κήρυκας, αὐτὸς δὲ τὰ ἐκείνοισι ἐπιπλήσει, ταῦτα οὐ ποιήσειν, οὐδ' ἀνταποκτείνας ἐκείνους ἀπολύσειν Λακεδαιμονίους τῆς αἰτίης.

CXXXVII. Οὕτω ἡ Ταλθυβίου μῆνις, καὶ ταῦτα ποιησάντων Σπαρτιητέων, ἐπαύσατο τὸ παραυτίκα, καίπερ ἀπονοστησάντων ἐς Σπάρτην Σπερθίεώ τε καὶ Βούλιος. (2) Χρόνῳ δὲ μετέπειτεν πολλῷ ἐπηγέρθη κατὰ τὸν Πελοποννησίων καὶ Ἀθηναίων πόλεμον, ὡς λέγουσι Λακεδαιμόνιοι. Τοῦτό μοι ἐν τοῖσι θειότατον φαίνεται γενέσθαι. (3) Ὅτι μὲν γὰρ κατέσκηψε ἐς ἀγγέλους ἡ Ταλθυβίου μῆνις οὐδὲ ἐπαύσατο πρὶν ἢ

quum dolerent Lacedæmonii, et in magna ponerent calamitate, concione populi sæpius habita, et præconio edito in hanc sententiam, si quis vellet Lacedæmoniorum pro Sparta mortem obire; tum vero Sperthias Aneristi filius, et Bulis Nicolai, cives Spartani, et nobili loco nati, et opibus adprime eminentes, ultro sese obtulerunt ad pœnas Xerxi solvendas pro Darii præconibus Spartæ occisis. Ita hos Spartani, tamquam subituros supplicium, in Medos miserunt.

CXXXV. Estque et audacia ista horum virorum admiratione digna, et eorumdem oratio, quæ fuit hujusmodi. Dum Susa proficiscuntur, veniunt ad Hydarnem. Is Hydarnes genere Persa erat, præfectus oræ maritimæ Asiæ; (2) qui eos ad hospitium vocatos, et liberaliter exceptos, his verbis interrogavit: « Viri Lacedæmonii, quid tandem respuitis amici esse Regis? Me et res meas respicientes, videtis quo pacto sciat rex viros bonos honorare. (3) Ita igitur vos quoque si regi vos traderetis (nam viri boni esse ab ipso estis judicati), unusquisque vestrum parti cuidam Græciæ imperaturus esset regis beneficio. » Ad hæc illi responderunt: « Hydarnes, non ex æquo proficiscitur hoc quod tu nobis das consilium. (4) Nam id, quod tu expertus es, nobis consulis: alterum autem non es expertus. Servire quidem nosti; libertatis vero nondum cepisti experimentum, utrum dulcis sit, annon. Hanc enim si esses expertus, consuleres nobis, ut pro ea non hastis modo pugnaremus, verum etiam securibus. » Hæc illi responderunt Hydarni.

CXXXVI. Inde ubi Susa adscenderunt, et in conspectum venere regis, primum quidem, jubentibus satellitibus et vim illis adferentibus ut in terram prostrati adorarent regem, neutiquam se, etiam si in caput ab illis detruderentur, id facturos aiebant; nec enim sui moris esse adorare hominem, nec ea caussa venisse. (2) Tum, postquam ne id facerent ita repugnarunt, deinde hæc et his similia dixere: « Rex Medorum, miserunt nos Lacedæmonii, ut pro præconibus Spartæ occisis pœnam solvamus. » (3) Quibus Xerxes, ut erat generoso animo, hæc respondit: Non se similem futurum Lacedæmoniis: illos enim, occidendo præcones, jura omnibus hominibus sancta violasse; se vero, quod in illis damnet facinus, id non admissurum; neque illos vicissim interficiendo culpa liberaturum Lacedæmonios.

CXXXVII. Ita, ratione ista a Lacedæmoniis inita, pacata in præsens tempus est Talthybii ira, licet Spartam redierint Sperthias et Bulis. (2) At multo post tempore recruduit illa, ut aiunt Lacedæmonii, in bello Peloponnesiorum et Atheniensium. Quæ res, si qua alia, utique divinitus accidisse mihi videtur. (3) Nam, ut in legatos ingrueret Talthybii ira, neque cessaret priusquam exitum

ἐξῆλθε, τὸ δίκαιον οὕτω ἔφερε· τὸ δὲ συμπεσέειν ἐς τοὺς παῖδας τῶν ἀνδρῶν τούτων τῶν ἀναβάντων πρὸς βασιλέα διὰ τὴν μῆνιν, ἐς Νικόλαν τε τὸν Βούλιος καὶ ἐς Ἀνήριστον τὸν Σπερθίεω, ὃς εἷλε Ἁλιέας τοὺς ἐκ Τίρυνθος ὁλκάδι καταπλώσας πλήρεϊ ἀνδρῶν, ὄῆλον ὧν μοι ὅτι θεῖον ἐγένετο τὸ πρῆγμα ἐκ τῆς μήνιος. (4) Οἱ γὰρ πεμφθέντες ὑπὸ Λακεδαιμονίων ἄγγελοι ἐς τὴν Ἀσίην, προδοθέντες δὲ ὑπὸ Σιτάλκεω τοῦ Τήρεω Θρηίκων βασιλέος καὶ Νυμφοδώρου τοῦ Πυθέεω ἀνδρὸς Ἀβδηρίτεω, ἥλωσαν κατὰ Βισάνθην τὴν ἐν Ἑλλησπόντῳ, καὶ ἀπαχθέντες ἐς τὴν Ἀττικὴν ἀπέθανον ὑπ' Ἀθηναίων, μετὰ δὲ αὐτῶν καὶ Ἀριστέης ὁ Ἀδειμάντου Κορίνθιος ἀνήρ. Ταῦτα μέν νυν πολλοῖσι ἔτεσι ὕστερον ἐγένετο τοῦ βασιλέος στόλου.

CXXXVIII. Ἐπάνειμι δὲ ἐπὶ τὸν πρότερον λόγον. Ἡ δὲ στρατηλασίη ἡ βασιλέος οὔνομα μὲν εἶχε ὡς ἐπ' Ἀθήνας ἐλαύνει, κατίστο δὲ ἐς πᾶσαν τὴν Ἑλλάδα. (2) Πυνθανόμενοι δὲ ταῦτα πρὸ πολλοῦ οἱ Ἕλληνες οὐκ ἐν ὁμοίῳ πάντες ἐποιεῦντο. Οἱ μὲν γὰρ αὐτῶν δόντες γῆν τε καὶ ὕδωρ τῷ Πέρσῃ εἶχον θάρσος ὡς οὐδὲν πεισόμενοι ἄχαρι πρὸς τοῦ βαρβάρου· (3) οἱ δὲ οὐ δόντες ἐν δείματι μεγάλῳ κατέστασαν, ἅτε οὔτε νεῶν ἐουσέων ἐν τῇ Ἑλλάδι ἀριθμὸν ἀξιομάχων δέκεσθαι τὸν ἐπιόντα, οὔτε βουλομένων τῶν πολλῶν ἀντάπτεσθαι τοῦ πολέμου, μηδιζόντων δὲ προθύμως.

CXXXIX. Ἐνθαῦτα ἀναγκαίη ἐξέργομαι γνώμην ἀποδέξασθαι ἐπίφθονον μὲν πρὸς τῶν πλεόνων ἀνθρώπων, ὅμως δέ, τῇ γ' ἐμοὶ φαίνεται εἶναι ἀληθὲς, οὐκ ἐπισχήσω. (2) Εἰ Ἀθηναῖοι καταρρωδήσαντες τὸν ἐπιόντα κίνδυνον ἐξέλιπον τὴν σφετέρην, ἢ καὶ μὴ ἐκλιπόντες, ἀλλὰ μείναντες ἔδοσαν σφέας αὐτοὺς Ξέρξῃ, κατὰ τὴν θάλασσαν οὐδαμοὶ ἂν ἐπειρέοντο ἀντιεύμενοι βασιλεῖ. (3) Εἰ τοίνυν κατὰ τὴν θάλασσαν μηδεὶς ἠντιοῦτο Ξέρξῃ, κατά γε ἂν τὴν ἤπειρον τοιάδε ἐγίνετο· εἰ καὶ πολλοὶ τειχέων κιθῶνες ἔσαν ἐληλαμένοι διὰ τοῦ Ἰσθμοῦ Πελοποννησίοισι, προδοθέντες ἂν Λακεδαιμόνιοι ὑπὸ τῶν συμμάχων οὐκ ἑκόντων, ἀλλ' ὑπ' ἀναγκαίης, κατὰ πόλις ἁλισκομένων ὑπὸ τοῦ ναυτικοῦ στρατοῦ τοῦ βαρβάρου ἐμουνώθησαν, μουνωθέντες δὲ ἂν καὶ ἀποδεξάμενοι ἔργα μεγάλα ἀπέθανον γενναίως. (4) Ἢ ταῦτα ἂν ἔπαθον, ἢ πρὸ τοῦ ὀρέοντες ἂν καὶ τοὺς ἄλλους Ἕλληνας μηδίζοντας ὁμολογίῃ ἂν ἐχρήσαντο πρὸς Ξέρξεα. Καὶ οὕτω ἂν ἐπ' ἀμφότερα ἡ Ἑλλὰς ἐγίνετο ὑπὸ Πέρσῃσι. (5) Τὴν γὰρ ὠφελίην τὴν τῶν τειχέων τῶν διὰ τοῦ Ἰσθμοῦ ἐληλαμένων οὐ δύναμαι πυθέσθαι, ἥτις ἂν ἦν βασιλέος ἐπικρατέοντος τῆς θαλάσσης. (6) Νῦν δὲ Ἀθηναίους ἄν τις λέγων σωτῆρας γενέσθαι τῆς Ἑλλάδος οὐκ ἂν ἁμαρτάνοι τἀληθέος. Οὗτοι γὰρ ἐπὶ ὁκότερα τῶν πρηγμάτων ἐτράποντο, ταῦτα ῥέψειν ἔμελλε· ἑλόμενοι δὲ τὴν Ἑλλάδα περιεῖναι ἐλευθέρην, τοῦτο τὸ Ἑλληνικὸν πᾶν τὸ λοιπὸν, ὅσον μὴ ἐμήδισε, αὐτοὶ οὗτοι ἔσαν οἱ ἐπεγείραντες καὶ βασιλέα μετά γε θεοὺς ἀνωσάμενοι. (7) Οὐδέ σφεας χρηστήρια φοβερὰ ἐλθόντα ἐκ Δελφῶν καὶ ἐς

esset nacta, id jus et fas ferebat: quod vero in filios ingruerit horum virorum qui pacandæ ejus caussa ad regem erant profecti, in Nicolaum Bulidis filium, et in Sperthiæ filium Aneristum, qui Halienses [*alii* piscatores] Tirynthios cepit, navi oneraria navigans viris repleta; id igitur ex divini numinis memore ira accidisse plane mihi fit manifestum. (4) Hi enim, quum a Lacedæmoniis legati missi essent in Asiam, proditi a Sitalce Terei filio, Thracum rege, et Nymphodoro Pytheæ filio Abderita, intercepti sunt prope Bisanthen ad Hellespontum; et in Atticam abducti, interfecti sunt ab Atheniensibus, cum eisque Aristeas Adimanti filius, Corinthius. Sed hoc quidem multis annis post hanc regis accidit expeditionem.

CXXXVIII. Sed ad superiorem revertor narrationem. Regis hæc expeditio titulum quidem habebat tamquam adversus Athenas tendens, sed contra universam dirigebatur Græciam. (2) Qua re multo ante cognita, non eodem modo Græci omnes erant adfecti. Quippe eorum alii, quum terram et aquam Persæ dedissent, confidebant nihil mali a barbaro sibi illatum iri: (3) alii vero, qui non dederant, ingenti metu tenebantur; quum nec navium idoneus numerus esset in Græcia, quibus excipere invadentem hostem possent, et multitudo arma capere nollet, sed haud cunctanter faveret Medis.

CXXXIX. Atque hoc loco necessitas me cogit, ut sententiam dicam, invidiosam quidem illam apud plerosque homines: nec tamen me retinebo, quin id, quoniam manifeste verum mihi videtur, pronunciem. (2) Si Athenienses imminentis periculi metu terra sua excessissent, aut si manentes tradidissent se Xerxi, Græcorum nulli periculum facturi erant mari occurrendi regi. (3) Quodsi ergo mari nemo restitisset Xerxi, in continenti utique ita se res erat habitura: quantumvis multæ murorum loricæ per Isthmum fuissent a Peloponnesiis erectæ, deserti Lacedæmonii a sociis (non illis quidem volentibus, sed necessitate coactis, quippe quorum civitates singulatim ab hostium classe fuissent expugnatæ) soli fuissent relicti: soli autem relicti, fortibus editis facinoribus, generose erant occubituri. (4) Aut hoc fato erant functuri: aut, priusquam illud forent experti, quum vidissent reliquos Græcos cum Medis sentire, ipsi quoque deditionem erant facturi: atque ita, utrumlibet accidisset, Græcia in potestate erat futura Persarum. (5) Nam murorum illorum per Isthmum ductorum quænam futura fuisset utilitas, exputare equidem non possum, quando rex maris tenuisset imperium. (6) Nunc si quis dicat, Athenienses sospitatores fuisse Græciæ, non aberraverit a vero: etenim, utram rationem rerum gerendarum illi sequerentur, ea ratio præponderatura erat. Itaque, quum hoc sint secuti ut libera maneret Græcia, hi soli sunt, qui, quidquid Græci nominis reliquum erat quod cum Medis non sentiret, id excitarunt, quique, secundum deos utique, regem repulerunt. (7) Neque eos oracula terribilia Delphis adventia, ingentemque incutientia metum, movere potuerunt ut

δεῖμα βαλόντα ἔπεισε ἐκλιπεῖν τὴν Ἑλλάδα, ἀλλὰ καταμείναντες ἀνέσχοντο τὸν ἐπιόντα ἐπὶ τὴν χώρην δέξασθαι.

CXL. Πέμψαντες γὰρ οἱ Ἀθηναῖοι ἐς Δελφοὺς θεοπρόπους χρηστηριάζεσθαι ἔσαν ἑτοῖμοι· καί σφι ποιήσασι περὶ τὸ ἱρὸν τὰ νομιζόμενα, ὡς ἐς τὸ μέγαρον ἐσελθόντες ἵζοντο, χρᾷ ἡ Πυθίη, τῇ οὔνομα ἦν Ἀριστονίκη, τάδε,

Ὦ μέλεοι, τί κάθησθε; λιπὼν φεῦγ' ἔσχατα γαίης
δώματα καὶ πόλιος τροχοειδέος ἄκρα κάρηνα.
Οὔτε γὰρ ἡ κεφαλὴ μένει ἔμπεδον οὔτε τὸ σῶμα,
οὔτε πόδες νέατοι οὔτ' ὦν χέρες, οὔτε τι μέσσης
λείπεται, ἀλλ' ἀίδηλα πέλει· κατὰ γάρ μιν ἐρείπει
πῦρ τε καὶ ὀξὺς Ἄρης, Συριηγενὲς ἅρμα διώκων.
Πολλὰ δὲ κἄλλ' ἀπολεῖ πυργώματα, κοὐ τὸ σὸν οἶον·
πολλοὺς δ' ἀθανάτων νηοὺς μαλερῷ πυρὶ δώσει,
οἵ που νῦν ἱδρῶτι ῥεούμενοι ἑστήκασι,
δείματι παλλόμενοι, κατὰ δ' ἀκροτάτοις ὀρόφοισι
αἷμα μέλαν κέχυται, προϊδὸν κακότητος ἀνάγκας.
Ἀλλ' ἴτον ἐξ ἀδύτοιο, κακοῖς δ' ἐπικίδνατε θυμόν.

CXLI. Ταῦτα ἀκούσαντες οἱ τῶν Ἀθηναίων θεοπρόποι συμφορῇ τῇ μεγίστῃ ἐχρέοντο. Προβάλλουσι δὲ σφέας αὐτοὺς ὑπὸ τοῦ κακοῦ τοῦ κεχρησμένου Τίμων ὁ Ἀνδροβούλου, τῶν Δελφῶν ἀνὴρ δόκιμος δμοῖα τῷ μάλιστα, συνεβούλευέ σφι ἱκετηρίας λαβοῦσι δεύτερα αὖτις ἐλθόντας χρᾶσθαι τῷ χρηστηρίῳ ὡς ἱκέτας. (2) Πειθομένοισι δὲ ταῦτα τοῖσι Ἀθηναίοισι καὶ λέγουσι, « ὦναξ, χρῆσον ἡμῖν ἄμεινόν τι περὶ τῆς πατρίδος, αἰδεσθεὶς τὰς ἱκετηρίας τάσδε τάς τοι ἥκομεν φέροντες· ἢ οὐ τοι ἄπιμεν ἐκ τοῦ ἀδύτου, ἀλλ' αὐτοῦ τῇδε μενέομεν ἔστ' ἂν καὶ τελευτήσωμεν· » ταῦτα δὲ λέγουσι ἡ πρόμαντις χρᾷ δεύτερα τάδε,

Οὐ δύναται Παλλὰς Δί' Ὀλύμπιον ἐξιλάσασθαι
λισσομένη πολλοῖσι λόγοις καὶ μήτιδι πυκνῇ.
Σοὶ δὲ τόδ' αὖτις ἔπος ἐρέω, ἀδάμαντι πελάσσας.
Τῶν ἄλλων γὰρ ἁλισκομένων ὅσα Κέκροπος οὖρος
ἐντὸς ἔχει κευθμῶν τε Κιθαιρῶνος ζαθέοιο,
τεῖχος Τριτογενεῖ ξύλινον διδοῖ εὐρύοπα Ζεὺς
μοῦνον ἀπόρθητον τελέθειν, τὸ σὲ τέκνα τ' ὀνήσει.
Μηδὲ σύ γ' ἱππόσυνην τε μένειν καὶ πεζὸν ἰόντα
πολλὸν ἀπ' ἠπείρου στρατὸν ἡσυχος, ἀλλ' ὑποχωρεῖν
νῶτον ἐπιστρέψας· ἔτι τοί ποτε κάντίος ἔσσῃ.
Ὦ θείη Σαλαμίς, ἀπολεῖς δὲ σὺ τέκνα γυναικῶν
ἢ που σκιδναμένης Δημήτερος ἢ συνιούσης.

CXLII. Ταῦτά σφι ἠπιώτερα γὰρ τῶν προτέρων καὶ ἦν καὶ ἐδόκεε εἶναι, συγγραψάμενοι ἀπαλλάσσοντο ἐς τὰς Ἀθήνας. Ὡς δὲ ἀπελθόντες οἱ θεοπρόποι ἀπήγγελλον ἐς τὸν δῆμον, γνῶμαι καὶ ἄλλαι πολλαὶ ἐγίνοντο διζημένων τὸ μαντήϊον, καὶ αἵδε συνεστηκυῖαι μάλιστα. (2) Τῶν πρεσβυτέρων ἔλεγον μετεξέτεροι δοκέειν σφι τὸν θεὸν τὴν ἀκρόπολιν χρῆσαι περιέσεσθαι· ἡ γὰρ ἀκρόπολις τὸ πάλαι τῶν Ἀθηνέων ῥηχῷ ἐπέφραχτο. Οἱ μὲν δὴ κατὰ τὸν φραγμὸν συνεβάλλοντο τοῦτο τὸ ξύλινον τεῖχος εἶναι· (3) οἱ δ' αὖ ἔλεγον τὰς νέας σημαίνειν τὸν θεόν, καὶ ταύτας παραρτέεσθαι ἐκέλευον τὰ ἄλλα ἀπέντας. Τοὺς ὦν δὴ τὰς νέας λέγοντας εἶναι τὸ

Græciam desererent: sed permanentes sustinuerunt invadentem fines suos hostem.

CXL. Missis enim Delphos legatis consulere oraculum Athenienses voluerant. Qui legati postquam, peractis circa templum legitimis cærimoniis, ædem erant ingressi consedernatque, hoc eis Pythia, cui nomen erat Aristonica, oraculum ediderat:

O miseri, quid sedetis? fugite ad extrema terrarum, relictis
ædibus et summis collibus in-orbem-conditæ urbis.
Nec enim caput firmum manebit, nec corpus,
nec extremi pedes, neque manus, nec de media quidquam
supererit, sed pernicies advenit. Disturbabit enim illam
et ignis, et acer Mavors, Syriacum agens currum.
Multaque etiam alia munita perdet loca, non modo tuum:
multaque Immortalium templa rabido dabit igni,
quæ jam nunc passim stant sudore fluentia,
metuque trementia: et de summis tectis
sanguis ater defluit, inevitabilium prænuncius malorum.
Sed excedite hoc penetrali, et animi robur opponite malis.

CXLI. His auditis, Atheniensium legati gravissimo luctu erant adfecti. Qui quum ob nunciatam calamitatem prorsus abjecissent animum, Timon Androbuli filius, civis Delphensis, spectatus in primis inter suos, consuluit eis, ut sumpto oleæ ramo iterum intrarent, et supplicum habitu denuo peterent oraculum. (2) Cui quum illi obsecuti essent, dixisse sentique: « O rex Apollo, melius nobis oraculum de patria ede, hos supplicum ramos respiciens, quos tibi ferimus; aut ex hoc penetrali non discedimus, sed hic manebimus usque dum vita excedamus: » hæc ubi dixerunt, alterum illis oraculum Pythia edidit hujusmodi:

Non potest Pallas Jovem Olympium flectere,
multis illum verbis precata prudentique consilio. [*mitate*.
Tibi vero hoc rursus verbum edico, adamantis simile *fir-*
Quando cætera omnia capientur, quæ intra Cecropis fines
et sacri Cithæronis latebras sunt comprehensa;
Tritoniæ hoc dat late-cernens Juppiter, ut ligneus murus
solus inexpugnabilis sit, qui te tuosque liberos servet.
Neque tu equitum mane peditumque invadentem [te,
a continente numerosum exercitum tranquillus; sed recipe
terga vertens. Erit tempus, quum tu etiam contra stabis.
O divina Salamis! perdes tu filios mulierum,
sive passim disseminata Cerere, sive collecta.

CXLII. Quæ quum mitiora ipsis essent esseque viderentur quam prius editum oraculum, scripto hæc consignarunt, et redierunt Athenas. Id ipsum vero responsum postquam reversi legati ad populum retulere, et aliæ multæ dicebantur sententiæ ab his qui in mentem oraculi inquirebant, et hæ duæ maxime inter se conflictantes. (2) Dicebant seniorum nonnulli, videri sibi deum significare superfuturam esse arcem. Erat enim olim arx Athenarum septo munita: hi igitur, id septum cogitantes, hunc esse ligneum illum murum conjectabantur. (3) Alii contra, naves, aiebant, a deo significari; hasque parandas esse atque instruendas, omissis aliis rebus omnibus, contendebant. Hi

ξύλινον τεῖχος ἔσφαλλε τὰ δύο τὰ τελευταῖα ῥηθέντα ὑπὸ τῆς Πυθίης,

Ὦ θείη Σαλαμὶς, ἀπολεῖς δὲ σὺ τέκνα γυναικῶν
ἢ που σκιδναμένης Δημήτερος ἢ συνιούσης

(4) Κατὰ ταῦτα τὰ ἔπεα συνεχέοντο αἱ γνῶμαι τῶν φαμένων τὰς νέας τὸ ξύλινον τεῖχος εἶναι· οἱ γὰρ χρησμολόγοι ταύτῃ ταῦτα ἐλάμβανον, ὡς ἀμφὶ Σαλαμῖνα δεῖ σφέας ἐσσωθῆναι ναυμαχίην παρασκευασαμένους.

CXLIII. Ἦν δὲ τῶν τις Ἀθηναίων ἀνὴρ ἐς πρώτους νεωστὶ παριὼν, τῷ οὔνομα μὲν ἦν Θεμιστοκλέης, παῖς δὲ Νεοκλέος ἐκαλέετο. (2) Οὗτος ὠνὴρ οὐκ ἔφη πᾶν ὀρθῶς τοὺς χρησμολόγους συμβάλλεσθαι, λέγων τοιάδε, εἰ ἐς Ἀθηναίους εἶχε τὸ ἔπος εἰρημένον ἐόντως, οὐκ ἂν οὕτω μιν δοκέειν ἠπίως χρησθῆναι, ἀλλ' ὦδε, « ὦ σχετλίη Σαλαμὶς » ἀντὶ τοῦ, « ὦ θείη Σαλαμὶς, » εἴ πέρ γε ἔμελλον οἱ οἰκήτορες ἀμφ' αὐτῇ τελευτήσειν· (3) ἀλλὰ γὰρ ἐς τοὺς πολεμίους τῷ θεῷ εἰρῆσθαι τὸ χρηστήριον συλλαμβάνοντι κατὰ τὸ ὀρθὸν, ἀλλ' οὐκ ἐς Ἀθηναίους. Παρασκευάζεσθαι ὦν αὐτοὺς ὡς ναυμαχήσοντας συνεβούλευε, ὡς τούτου ἐόντος τοῦ ξυλίνου τείχεος. (4) Ταύτῃ Θεμιστοκλέος ἀποφαινομένου Ἀθηναῖοι ταῦτά σφι ἔγνωσαν αἱρετώτερα εἶναι μᾶλλον ἢ τὰ τῶν χρησμολόγων, οἳ οὐκ ἐων ναυμαχίην ἀρτέεσθαι, τὸ δὲ σύμπαν εἶναι οὐδὲ χεῖρας ἀνταείρεσθαι, ἀλλ' ἐκλιπόντας χώρην τὴν Ἀττικὴν ἄλλην τινὰ οἰκίζειν.

CXLIV. Ἑτέρη τε Θεμιστοκλέϊ γνώμη ἔμπροσθε ταύτης ἐς καιρὸν ἠρίστευσε, ὅτε Ἀθηναίοισι γενομένων χρημάτων μεγάλων ἐν τῷ κοινῷ, τὰ ἐκ τῶν μετάλλων σφι προσῆλθε τῶν ἀπὸ Λαυρείου, ἔμελλον λάξεσθαι ὀχηδὸν ἕκαστος δέκα δραχμάς. (2) Τότε Θεμιστοκλέης ἀνέγνωσε Ἀθηναίους τῆς διαιρέσιος ταύτης παυσαμένους νέας τούτων τῶν χρημάτων ποιήσασθαι διηκοσίας ἐς τὸν πόλεμον, τὸν πρὸς Αἰγινήτας λέγων· οὗτος γὰρ ὁ πόλεμος συστὰς ἔσωσε τότε τὴν Ἑλλάδα, ἀναγκάσας θαλασσίους γενέσθαι Ἀθηναίους. (3) Αἱ δὲ ἐς τὸ μὲν ἐποιήθησαν, οὐκ ἐχρήσθησαν, ἐς δέον δὲ οὕτω τῇ Ἑλλάδι ἐγένοντο. Αὗταί τε δὴ αἱ νέες τοῖσι Ἀθηναίοισι προποιηθεῖσαι ὑπῆρχον, ἑτέρας τε ἔδεε προσναυπηγέεσθαι. (4) Ἔδοξέ τέ σφι μετὰ τὸ χρηστήριον βουλευομένοισι ἐπιόντα ἐπὶ τὴν Ἑλλάδα τὸν βάρβαρον δέκεσθαι τῇσι νηυσὶ πανδημεὶ, τῷ θεῷ πειθομένους, ἅμα Ἑλλήνων τοῖσι βουλομένοισι. Τὰ μὲν δὴ χρηστήρια ταῦτα τοῖσι Ἀθηναίοισι ἐγεγόνεε.

CXLV. Συλλεγομένων δὲ ἐς τώυτὸ τῶν περὶ τὴν Ἑλλάδα Ἑλλήνων τῶν τὰ ἀμείνω φρονεόντων καὶ διδόντων σφίσι λόγον καὶ πίστιν, ἐνθαῦτα ἐδόκεε βουλευομένοισι αὐτοῖσι πρῶτον μὲν χρημάτων πάντων καταλλάσσεσθαι τάς τε ἔχθρας καὶ τοὺς κατ' ἀλλήλους ἐόντας πολέμους· ἔσαν δὲ πρός τινας καὶ ἄλλους ἐγκεχειρημένοι, ὁ δὲ ὢν μέγιστος Ἀθηναίοισί τε καὶ Αἰγινήτῃσι. (2) Μετὰ δὲ πυνθανόμενοι Ξέρξεα σὺν τῷ στρατῷ εἶναι ἐν Σάρδισι, ἐβουλεύσαντο κατασκόπους πέμπειν ἐς τὴν Ἀσίην τῶν βασιλέος πρηγμάτων, ἐς Ἄργος τε ἀγγέλους

vero ipsi, qui naves esse dicebant ligneum murum, in duobus postremis Pythiæ versibus illis hæsitabant:

O divina Salamis! perdes tu filios mulierum,
sive passim disseminata Cerere, sive collecta.

(4) Quæ ob verba conturbabantur animi eorum qui naves interpretabantur ligneum murum. Nam interpretes oraculi in hanc sententiam verba hæc accipiebant, quasi ad Salaminem essent cladem accepturi, si ad navalem pugnam sese comparassent.

CXLIII. Erat autem Athenis vir quidam, nuper inter primarios cives locum consecutus, cui erat nomen Themistocles, vulgo vero Neoclis filius adpellabatur. (2) Hic vir, negans recte ista accipi ab oraculorum interpretibus, in hanc sententiam disseruit: Si vere ad Athenienses spectaret istud dictum, non adeo miti verbo usurum fuisse, ait, deum, sed « O misera Salamis » dicturum fuisse, non « O divina Salamis; » si quidem circa eam perituri essent incolæ. (3) Sed enim in hostes valere dei responsum, si quis illud recte intelligat, non in Athenienses. Itaque suasit civibus, ut ad navalem pugnam sese compararent; hunc enim esse ligneum murum. (4) Hanc in partem quum sententiam Themistocles dixisset, censuerunt Athenienses potiorem esse hanc rationem, quam illam quæ erat ab oraculorum interpretibus proposita: qui, adparatum navalis pugnæ dissuadentes, summam rei in eo verti contendebant, ut ne manus quidem contra invadentes hostes tollerent, sed, relicta prorsus Attica, in alia terra novas sedes quærerent.

CXLIV. Alia vero etiam ante hanc ejusdem Themistoclis sententia opportune vicerat. Quum ingentes fuissent in Atheniensium ærario pecuniæ, quæ ex metallis a Laureo redierant, in eoque res esset, ut ea pecunia viritim civibus divideretur, et unusquisque decem acciperet drachmas; (2) tunc Themistocles persuaserat civibus, ut, omissa illa distributione, naves ex hac pecunia ducentas ædificarent ad bellum, bellum cum Æginetis intelligens. Hoc enim bellum, tunc conflatum, Græciæ fuit saluti, eo quod Athenienses mari dare operam coegit. (3) Sed naves hæ, ad quem comparatæ fuerant usum, in eum quidem non sunt adhibitæ: at ita tamen opportuno tempore in promptu fuere Græciæ. Has igitur naves, ante comparatas, tunc habuere Athenienses; præterque eas aliæ erant ædificandæ. (4) Et post acceptum oraculi responsum habita deliberatione decreverunt, deo obsequentes cum omnibus copiis naves conscendere, et mari, una cum eis ex Græcis qui ita vellent, excipere barbarum Græciam invadentem. Ista igitur, quæ dixi, oracula Atheniensibus evenerant.

CXLV. Postquam vero in unum locum convenere quicumque ex Græcis Græciam incolentibus meliora sentiebant, ibi tum collatis inter se sermonibus, fideque data, de communi consilio placuit, primum rerum omnium componere inimicitias et mutua bella, quæ inter ipsos obtinerent. Erant autem et contra alios suscepta bella; maximum vero obtinebat inter Athenienses et Æginetas. (2) Deinde vero, quum rescivissent Sardibus cum exercitu esse Xerxem, placuit speculatores mittere in Asiam, qui res regis explorarent; tum et Argos mittere legatos, societatem adversus

ὁμαιχμίην συνθησομένους πρὸς τὸν Πέρσην, καὶ ἐς Σικελίην ἄλλους πέμπειν παρὰ Γέλωνα τὸν Δεινομένεος, ἔς τε Κέρκυραν, κελεύσοντας βωθέειν τῇ Ἑλλάδι, καὶ ἐς Κρήτην ἄλλους, φρονήσαντες εἴ κως ἓν τε γένοιτο τὸ Ἑλληνικὸν καὶ εἰ συγκύψαντες τὠυτὸ πρήσσοιεν πάντες, ὡς δεινῶν ἐπιόντων ὁμοίως πᾶσι Ἕλλησι. Τὰ δὲ Γέλωνος πρήγματα μεγάλα ἐλέγετο εἶναι, οὐδαμῶν Ἑλληνικῶν τῶν οὐ πολλὸν μέζω.

CXLVI. Ὡς δὲ ταῦτά σφι ἔδοξε, καταλυσάμενοι τὰς ἔχθρας πρῶτα μὲν κατασκόπους πέμπουσι ἐς τὴν Ἀσίην ἄνδρας τρεῖς. (2) Οἱ δὲ ἀπικόμενοί τε ἐς Σάρδις καὶ καταμαθόντες τὴν βασιλέος στρατιὴν, ὡς ἐπάϊστοι ἐγένοντο, βασανισθέντες ὑπὸ τῶν στρατηγῶν τοῦ πεζοῦ στρατοῦ ἀπήγοντο ὡς ἀπολεύμενοι. Καὶ τοῖσι μὲν κατακέκριτο θάνατος, (3) Ξέρξης δὲ ὡς ἐπύθετο ταῦτα, μεμφθεὶς τῶν στρατηγῶν τὴν γνώμην πέμπει τῶν τινὰς δορυφόρων, ἐντειλάμενος, ἢν καταλάβωσι τοὺς κατασκόπους ζώοντας, ἄγειν παρ' ἑωυτόν. (4) Ὡς δὲ ἔτι περιεόντας αὐτοὺς κατέλαβον καὶ ἤγον ἐς ὄψιν τὴν βασιλέος, τὸ ἐνθεῦτεν πυθόμενος ἐπ' οἷσι ἦλθον, ἐκέλευσέ σφεας τοὺς δορυφόρους περιάγοντας ἐπιδείκνυσθαι πάντα τε τὸν πεζὸν στρατὸν καὶ τὴν ἵππον, ἐπεὰν δὲ ταῦτα θηεύμενοι ἔωσι πλήρεες, ἀποπέμπειν ἐς τὴν ἂν αὐτοὶ ἐθέλωσι χώρην ἀσινέας.

CXLVII. Ἐπιλέγων δὲ τὸν λόγον τόνδε ταῦτα ἐνετέλλετο, ὡς εἰ μὲν ἀπώλοντο οἱ κατάσκοποι, οὐτ' ἂν τὰ ἑωυτοῦ πρήγματα προεπύθοντο οἱ Ἕλληνες ἐόντα λόγου μέζω, οὔτ' ἄν τι τοὺς πολεμίους μέγα ἐσινέατο, ἄνδρας τρεῖς ἀπολέσαντες· (2) νοστησάντων δὲ τούτων ἐς τὴν Ἑλλάδα δοκέειν ἔφη ἀκούσαντας τοὺς Ἕλληνας τὰ ἑωυτοῦ πρήγματα πρὸ τοῦ στόλου τοῦ γινομένου παραδώσειν σφέας τὴν ἰδίην ἐλευθερίην, καὶ οὕτω οὐδὲ δεήσειν ἐπ' αὐτοὺς στρατηλατέοντας πρήγματα ἔχειν. (3) Οἷκε δὲ αὐτοῦ αὕτη ἡ γνώμη τῇ γε ἄλλῃ. Ἐὼν γὰρ ἐν Ἀβύδῳ ὁ Ξέρξης εἶδε πλοῖα ἐκ τοῦ Πόντου σιταγωγὰ διεκπλώοντα τὸν Ἑλλήσποντον, ἔς τε Αἴγιναν καὶ Πελοπόννησον κομιζόμενα. (4) Οἱ μὲν δὴ πάρεδροι αὐτοῦ ὡς ἐπύθοντο πολέμια εἶναι τὰ πλοῖα, ἑτοῖμοι ἦσαν αἱρέειν αὐτὰ, ἐσβλέποντες ἐς τὸν βασιλέα ὁκότε παραγγελέει. Ὁ δὲ Ξέρξης εἴρετο αὐτοὺς ὁκοι πλώοιεν· οἱ δὲ εἶπαν « ἐς τοὺς σοὺς πολεμίους, ὦ δέσποτα, σῖτον ἄγοντες. » (5) Ὁ δὲ ὑπολαβὼν ἔφη, « οὐκῶν καὶ ἡμεῖς ἐκεῖ πλώομεν ἔνθα περ καὶ οὗτοι τοῖσί τε ἄλλοισι ἐξηρτυμένοι καὶ σίτῳ. Τί δῆτα ἀδικέουσι οὗτοι ἡμῖν σιτία παρακομίζοντες; » (6) Οἱ μέν νυν κατάσκοποι οὕτω θηησάμενοί τε καὶ ἀποπεμφθέντες ἐνόστησαν ἐς τὴν Εὐρώπην.

CXLVIII. Οἱ δὲ συνωμόται Ἑλλήνων ἐπὶ τῷ Πέρσῃ μετὰ τὴν ἀπόπεμψιν τῶν κατασκόπων δεύτερα ἔπεμπον ἐς Ἄργος ἀγγέλους. Ἀργεῖοι δὲ λέγουσι τὰ κατ' ἑωυτοὺς γενέσθαι ὧδε. (2) Πυθέσθαι γὰρ αὐτίκα κατ' ἀρχὰς τὰ ἐκ τοῦ βαρβάρου ἐγειρόμενα ἐπὶ τὴν Ἑλλάδα, πυθόμενοι δὲ, καὶ μαθόντες ὡς σφεας οἱ Ἕλληνες πειρήσονται παραλαμβάνοντες ἐπὶ τὸν Πέρσην, πέμ-

Persas conciliaturos; item alios in Siciliam mittere ad Gelonem Dinomenis filium, et in Corcyram, qui auxilia Græcis mittenda postularent; denique alios in Cretam : hoc consilio, ut, si fieri posset, in unum coalesceret Græcum omne genus, cunctique concordes junctis agerent viribus; quippe cunctis pariter Græcis imminente periculo. Dicebantur autem permagnæ esse res Gelonis, multo ampliores quam ullius populi Græci.

CXLVI. His ita decretis, depositis inimicitiis, primum speculatores mittunt in Asiam, tres viros. (2) Qui postquam Sardes venerunt, exercitumque explorarunt regis, deprehensi sunt, tortique a ducibus copiarum pedestrium, abducebantur supplicio adficiendi : capitis enim erant damnati. (3) Quod ubi Xerxes rescivit, improbata ducum sententia, satellitum nonnullos misit jussos ad se adducere speculatores, si vivos etiam nunc nacti essent. (4) Qui quum illos superstites invenissent, et in conspectum produxissent regis; tum vero rex, postquam ex eis quæsivit qua caussa venissent, imperavit satellitibus, ut circumducerent homines; pedestremque omnem exercitum et equitatum illis ostenderent, spectaculoque satiatos, in quamcumque vellent ipsi regionem dimitterent incolumes.

CXLVII. Ista imperans rex, hanc rationem adjecit, ut diceret, si periissent speculatores, nec præscituros fuisse Græcos quanto regis copiæ sint fama ampliores, nec ipsos magnum incommodum hostibus fuisse adlaturos tribus occisis viris : (2) verum hi si in Græciam redierint, videri Græcos, cognitis rebus ipsius, ante susceptam hanc expeditionem libertatem suam tradituros; atque ita ne opus quidem Persis fore, ut ducendi adversus illos exercitus molestiam sustineant. (3) Similis ista regis sententia fuit alteri huic. Quum Abydi Xerxes versaretur, conspicatus est naves frumentarias ex Ponto per Hellespontum navigantes, et Æginam atque Peloponnesum petentes. (4) Consiliarii igitur qui adsidebant ei, ut cognoverunt hostiles esse naves, capere illas erant parati, respicientes nutum regis, quando ille imperium esset daturus. Xerxes vero ex illis quæsivit, Quorsum navigarent. Qui ut dixere, « Ad tuos hostes, domine; frumentum eis advehentes : » (5) respondit ille : « Atque etiam nos eodem navigamus, quo hi, et aliis rebus et frumento instructi. Quid ergo mali hi faciunt, quod frumentum nobis adportent? » (6) Speculatores igitur, quos dixi, postquam omnia spectarunt et a Xerxe dimissi sunt, ita in Europam rediere.

CXLVIII. Græci contra Persam conjurati, postquam in Asiam speculatores mandarunt, porro Argos miserunt legatos. Aiunt autem Argivi, res tunc apud se in hunc modum esse gestas. (2) Statim ab initio cognitos ipsis fuisse adparatus quos adversus Græciam faceret Barbarus : quumque simul intellexissent operam daturos esse Græcos, ut sese in societatem contra Persas adsciscerent, legatos se misisse

ψαι θεοπρόπους ἐς Δελφοὺς, τὸν θεὸν ἐπειρησομένους ὅς σφι μέλλει ἄριστον ποιεῦσι γενέσθαι· (2) νεωστὶ γὰρ σφέων τεθνάναι ἑξακισχιλίους ὑπὸ Λακεδαιμονίων καὶ Κλεομένεος τοῦ Ἀναξανδρίδεω, τῶν δὴ εἵνεκεν πέμπειν. Τὴν δὲ Πυθίην ἐπειρωτέουσι αὐτοῖσι ἀνελέειν τάδε·

Ἐχθρὲ περικτιόνεσσι, φίλ' ἀθανάτοισι θεοῖσιν,
εἶσω τὸν προβόλαιον ἔχων πεφυλαγμένος ἧσο
καὶ κεφαλὴν πεφύλαξο· κάρη δὲ τὸ σῶμα σαώσει.

(4) Ταῦτα μὲν τὴν Πυθίην χρῆσαι πρότερον, μετὰ δὲ ὡς ἐλθεῖν τοὺς ἀγγέλους ἐς δὴ τὸ Ἄργος, ἐπελθεῖν ἐπὶ τὸ βουλευτήριον καὶ λέγειν τὰ ἐντεταλμένα. (5) Τοὺς δὲ πρὸς τὰ λεγόμενα ὑποκρίνασθαι ὡς ἑτοῖμοί εἰσι Ἀργεῖοι ποιέειν ταῦτα τριήκοντα ἔτεα εἰρήνην σπεισάμενοι Λακεδαιμονίοισι καὶ ἡγεόμενοι κατὰ τὸ ἥμισυ πάσης τῆς συμμαχίης· καίτοι κατά γε τὸ δίκαιον γίνεσθαι τὴν ἡγεμονίην ἑωυτῶν, ἀλλ' ὅμως σφι ἀποχρᾶν κατὰ τὸ ἥμισυ ἡγεομένοισι.

CXLIX. Ταῦτα μὲν λέγουσι τὴν βουλὴν ὑποκρίνασθαι, καίπερ ἀπαγορεύοντός σφι τοῦ χρηστηρίου μὴ ποιέεσθαι τὴν πρὸς τοὺς Ἕλληνας συμμαχίην· (2) σπουδὴν δὲ ἔχειν σπονδὰς γενέσθαι τριηκοντοέτιδας, καίπερ τὸ χρηστήριον φοβεομένοισι, ἵνα δή σφι οἱ παῖδες ἀνδρωθέωσι· ἐν τούτοισι τοῖσι ἔτεσι· μὴ δὲ σπονδέων ἐουσέων ἐπιλέγεσθαι, ἢν ἄρα σφέας καταλάβῃ πρὸς τῷ γεγονότι κακῷ ἄλλο πταῖσμα πρὸς τὸν Πέρσην, μὴ τὸ λοιπὸν ἕωσι Λακεδαιμονίων ὑπήκοοι. (3) Τῶν δὲ ἀγγέλων τοὺς ἀπὸ τῆς Σπάρτης πρὸς τὰ ῥηθέντα ἐκ τῆς βουλῆς ἀμείψασθαι τοισίδε, περὶ μὲν σπονδέων ἀνοίσειν ἐς τοὺς πλεῦνας, περὶ δὲ ἡγεμονίης αὐτοῖσι ἐντετάλθαι ὑποκρίνασθαι, καὶ δὴ λέγειν, σφὶ μὲν εἶναι δύο βασιλέας, Ἀργείοισι δὲ ἕνα· οὐκ ὧν δυνατὸν εἶναι τῶν ἐκ Σπάρτης οὐδέτερον παῦσαι τῆς ἡγεμονίης, μετὰ δὲ δύο τῶν σφετέρων ὁμόψηφον τὸν Ἀργεῖον εἶναι κωλύειν οὐδέν. (4) Οὕτω δὴ οἱ Ἀργεῖοί φασι οὐκ ἀνασχέσθαι τῶν Σπαρτιητέων τὴν πλεονεξίην, ἀλλ' ἑλέσθαι μᾶλλον ὑπὸ τῶν βαρβάρων ἄρχεσθαι ἢ τι ὑπείξαι Λακεδαιμονίοισι, προείπαί τε τοῖσι ἀγγέλοισι πρὸ δύντος ἡλίου ἀπαλλάσσεσθαι ἐκ τῆς Ἀργείων χώρης, εἰ δὲ μή, πολεμίους ῥιέψεσθαι ὡς πολεμίους.

CL. Αὐτοὶ μὲν Ἀργεῖοι τοσαῦτα τούτων πέρι λέγουσι· ἔστι δὲ ἄλλος λόγος λεγόμενος ἀνὰ τὴν Ἑλλάδα, ὡς Ξέρξης ἔπεμψε κήρυκα ἐς Ἄργος πρότερον ἢπερ ὁρμῆσαι στρατεύεσθαι ἐπὶ τὴν Ἑλλάδα. (2) Ἐλθόντα δὲ τοῦτον λέγεται εἰπαι, « ἄνδρες Ἀργεῖοι, βασιλεὺς Ξέρξης τάδε ὑμῖν λέγει. Ἡμεῖς νομίζομεν Πέρσην εἶναι, ἀπ' οὗ ἡμεῖς γεγόναμεν, παῖδα Περσέος τοῦ Δανάης, γεγονότα ἐκ τῆς Κηφέος θυγατρὸς Ἀνδρομέδης. Οὕτω ἂν ὧν εἴημεν ὑμέτεροι ἀπόγονοι. (3) Οὔτε ὧν ἡμέας οἰκὸς ἐπὶ τοὺς ἡμετέρους προγόνους στρατεύεσθαι, οὔτε ὑμέας ἄλλοισι τιμωρέοντας ἡμῖν ἀντιξόους γενέσθαι, ἀλλὰ παρ' ὑμῖν αὐτοῖσι ἡσυχίην ἔχοντας κατῆσθαι. Ἢν γὰρ ἐμοὶ γένηται κατὰ νόον, οὐδαμοὺς μέζονας ὑμέων ἄξω. » (4) Ταῦτα ἀκούσαντας Ἀργείους

Delphos, qui ex deo quærerent, quidnam facientes optime consulturi essent rebus suis : (3) nuper enim sex millia de suis occisos esse a Lacedæmoniis et a Cleomene, Anaxandridæ filio; ea caussa legatos se misisse. Interrogantibus vero hoc responsum reddidisse Pythiam :

Finitimis invise, care immortalibus dîis,
verutum intus tenens, cautus sede,
et capiti cave : caput enim corpus servabit.

(4) Hoc responsum sibi initio redditum a Pythia fuisse : deinde vero Argos venisse legatos; et adeuntes senatum, exposuisse mandata. (5) Ad ea Argivos respondisse, paratos se esse ea facere, si, composita cum Lacedæmoniis in triginta annos pace, dimidium imperii in universos socios ipsi obtinuissent : et æquum quidem esse, ut penes ipsos summa sit totius imperii; nihilominus autem contentos se dimidio fore.

CXLIX. Hæc aiunt senatum respondisse, tametsi Argivos oraculum vetuisset contrahere cum Græcis societatem : (2) et, metuentes licet oraculum, cupidos tamen fuisse fœdus in triginta annos cum Lacedæmoniis paciscendi, ut intra hos annos pueri ipsorum ad virilem pervenirent ætatem. Quodsi enim fœdus non conciliaretur, veritos esse, ne, si forte ad superius malum alia quædam calamitas in bello Persico accessisset, reliquum foret ut prorsus Lacedæmoniorum subjicerentur imperio. (3) Ad ista autem a senatu dicta eos ex legatis, qui Sparta erant missi, hæc respondisse : De fœdere quidem relaturos se ad multitudinem; de belli imperio autem mandatum sibi esse ut respondeant, dicereque se, duos sibi esse reges, Argivis vero unum : non posse igitur fieri, ut alteri utri regi Spartanorum abrogetur imperium. At, quin cum suis duobus Argivus æquum jus suffragii habeat, nihil impedire. (4) Ita, aiunt Argivi, non ferendam sibi visam esse Spartanorum arrogantiam, maluisseque se sub barbarorum esse imperio, quam Lacedæmoniis parere : edixisseque senatum legatis, ut ante solis occasum finibus suis excederent; id ni facerent, hostium loco habitum iri.

CL. Ista quidem his de rebus ipsi memorant Argivi. Est vero alia fama per Græciam vulgata; misisse Xerxem, priusquam expeditionem in Græciam susciperet, Argos caduceatorem. (2) Qui ubi advenit, in hunc modum locutus esse fertur : « Viri Argivi, rex Persarum hæc vobis dicit. Nos Persen existimamus, a quo progeniti sumus, fuisse Persei filium, Danaæ nepotem, natum ex Cephei filia Andromeda : ita igitur a vobis fuerimus oriundi. (3) Proinde æquum non est, ut aut nos progenitoribus nostris bellum faciamus, aut ut vos, aliis opem ferentes, contra nos in acie stetis; sed ut domi manentes, quietem agatis. Nam, si mihi ex sententia res successerint, nullos potiore loco, quam vos, habebo. » (4) Hæc audientes, Argivos magni fecisse : et statim

λέγεται πρῆγμα ποιήσασθαι, καὶ παραχρῆμα μὲν οὐδὲν ἐπαγγελλομένους μεταιτέειν· ἐπεὶ δέ σφεας παραλαμβάνειν τοὺς Ἕλληνας, οὕτω δὴ ἐπισταμένους ὅτι οὐ μεταδώσουσι τῆς ἀρχῆς Λακεδαιμόνιοι μεταιτέειν, ἵνα ἐπὶ προφάσιος ἡσυχίην ἄγωσι.

CLI. Συμπεσέειν δὲ τούτοισι καὶ τόνδε τὸν λόγον λέγουσί τινες Ἑλλήνων, πολλοῖσι ἔτεσι ὕστερον γενόμενον τούτων, τυχεῖν ἐν Σούσοισι τοῖσι Μεμνονίοισι ἐόντας ἑτέρου πρήγματος εἵνεκεν ἀγγέλους Ἀθηναίων, Καλλίην τε τὸν Ἱππονίκου καὶ τοὺς μετὰ τούτου ἀναβάντας, (2) Ἀργείους δὲ τὸν αὐτὸν τοῦτον χρόνον πέμψαντας καὶ τούτους ἐς Σοῦσα ἀγγέλους εἰρωτᾶν Ἀρτοξέρξεα τὸν Ξέρξεω εἰ σφι ἔτι ἐμμένει τὴν πρὸς Ξέρξεα φιλίην συνεκεράσαντο, ἢ νομιζοίατο πρὸς αὐτοῦ εἶναι πολέμιοι· βασιλέα δὲ Ἀρτοξέρξεα μάλιστα ἐμμένειν φάναι, καὶ οὐδεμίαν νομίζειν πόλιν Ἄργεος φιλιωτέρην.

CLII. Εἰ μέν νυν Ξέρξης τε ἀπέπεμψε ταῦτα λέγοντα κήρυκα ἐς Ἄργος καὶ Ἀργείων ἄγγελοι ἀναβάντες ἐς Σοῦσα ἐπειρώτεον Ἀρτοξέρξεα περὶ φιλίης, οὐκ ἔχω ἀτρεκέως εἶπαι, οὐδέ τινα γνώμην περὶ αὐτῶν ἀποφαίνομαι ἄλλην γε ἢ τὴν περ αὐτοὶ Ἀργεῖοι λέγουσι. (2) Ἐπίσταμαι δὲ τοσοῦτο, ὅτι εἰ πάντες ἄνθρωποι τὰ οἰκήϊα κακὰ ἐς μέσον συνενείκαιεν ἀλλάξασθαι βουλόμενοι τοῖσι πλησίοισι, ἐγκύψαντες ἂν ἐς τὰ τῶν πέλας κακὰ ἀσπασίως ἕκαστοι αὐτῶν ἀποφεροίατο ὀπίσω τὰ ἀσηνείκαντο. Οὕτω δὴ οὐκ Ἀργείοισι αἴσχιστα πεποίηται. (3) Ἐγὼ δὲ ὀφείλω λέγειν τὰ λεγόμενα, πείθεσθαί γε μὲν οὐ παντάπασι ὀφείλω, καί μοι τοῦτο τὸ ἔπος ἐχέτω ἐς πάντα τὸν λόγον· ἐπεὶ καὶ ταῦτα λέγεται, ὡς ἄρα Ἀργεῖοι ἔσαν οἱ ἐπικαλεσάμενοι τὸν Πέρσην ἐπὶ τὴν Ἑλλάδα, ἐπειδή σφι πρὸς τοὺς Λακεδαιμονίους κακῶς ἡ αἰχμὴ ἑστήκεε, πᾶν δὴ βουλόμενοί σφι εἶναι πρὸ τῆς παρεούσης λύπης. Τὰ μὲν περὶ Ἀργείων εἴρηται.

CLIII. Ἐς δὲ τὴν Σικελίην ἄλλοι τε ἀπίκατο ἄγγελοι ἀπὸ τῶν συμμάχων συμμίξοντες Γέλωνι, καὶ δὴ καὶ ἀπὸ τῶν Λακεδαιμονίων Σύαγρος. (2) Τοῦ δὲ Γέλωνος τούτου πρόγονος, οἰκήτωρ ὁ ἐν Γέλῃ, ἦν ἐκ νήσου Τήλου τῆς ἐπὶ Τριοπίῳ κειμένης· ὃς κτιζομένης Γέλης ὑπὸ Λινδίων τε τῶν ἐκ Ῥόδου καὶ Ἀντιφήμου οὐκ ἐλείφθη. (3) Ἀνὰ χρόνον δὲ αὐτοῦ οἱ ἀπόγονοι γενόμενοι ἱροφάνται τῶν χθονίων θεῶν διετέλεον ἐόντες, Τηλίνεω ἑνός τευ τῶν προγόνων κτησαμένου τρόπῳ τοιῷδε. (4) Ἐς Μακτώριον πόλιν τὴν ὑπὲρ Γέλης οἰκημένην ἔφυγον ἄνδρες Γελῴων ἐσσωθέντες στάσι. Τούτους ὦν ὁ Τηλίνης κατήγαγε ἐς Γέλην, ἔχων οὐδεμίαν ἀνδρῶν δύναμιν, ἀλλ' ἱρὰ τούτων τῶν θεῶν. Ὅθεν δὲ αὐτὰ ἔλαβε ἢ αὐτὸς ἐκτήσατο, τοῦτο οὐκ ἔχω εἶπαι. (5) Τούτοισι δ' ὦν πίσυνος ἐὼν κατήγαγε, ἐπ' ᾧ τε οἱ ἀπόγονοι αὐτοῦ ἱροφάνται τῶν θεῶν ἔσονται. Θωμά μοι ὦν καὶ τοῦτο γέγονε πρὸς τὰ πυνθάνομαι, κατεργάσασθαι Τηλίνην ἔργον τοσοῦτον· τὰ τοιαῦτα γὰρ ἔργα οὐ πρὸς τοῦ ἅπαντος ἀνδρὸς νενόμικα γίνεσθαι, ἀλλὰ πρὸς ψυχῆς

quidem, nihil nec pollicitos esse Græcis, nec ab illis postulasse; sed, postquam eos ad societatem Græci invitarunt, tum vero, quum bene gnari essent Lacedæmonios secum non communicaturos esse imperium, dimidium illius postulasse, ut hoc prætextu utentes otium agerent.

CLI. Cum his etiam congruere, aiunt Græcorum nonnulli, aliam rem, quæ quidem multis post annis incidisse memoratur. Adfuisse tunc forte Susis Memnoniis, alterius cujuspiam rei caussa, legatos Atheniensium, Calliam Hipponici filium, ejusque collegas: (2) Argivos vero et ipsos, per idem illud tempus missis Susa legatis, ex Artaxerxe quæsivisse, utrum sibi adhuc firma maneat amicitia quam cum Xerxe conciliassent, an hostes ab illo judicentur. His regem Artaxerxem respondisse, utique firmam manere, neque se ullam civitatem sibi magis amicam, quam Argos, existimare.

CLII. Jam vero, an revera Xerxes caduceatorem Argos miserit ista dicentem; et an Argivorum legati, Susa profecti, Artaxerxem de amicitia interrogaverint; id equidem pro certo confirmare non possum: nec de his aliam pronuncio sententiam, nisi quam ipsi dicunt Argivi. (2) Cæterum hoc satis scio, si omnes homines propria mala in commune conferrent, cum aliorum malis illa permutaturi, fore ut unusquisque, propius inspectis aliorum malis, lubens rursus ea reportaret, quæ ipse attulisset. Ita nimirum non turpissime Argivi egerunt. (3) Ego autem dicere debeo quæ memorantur; nec vero omnibus utique fidem debeo adhibere: atque hoc idem in universam hanc Historiam dictum intelligi velim. Nam et hoc traditur, Argivos advocasse Persam in Græciam, quum male illis cessisset adversus Lacedæmonios bellum, quumque quidvis potius sibi accidere mallent, quam in tristi eo statu, quo tunc erant, manere. Atque hæc de Argivis hactenus.

CLIII. In Siciliam et alii a sociis missi legati venerunt, cum Gelone acturi, et a Lacedæmoniis missus Syagrus. (2) Gelonis hujus progenitor, Gelæ incola, ex Telo insula erat, contra Triopium sita: qui, quum a Lindiis ex Rhodo, duce Antiphemo, Gela conderetur, coloniæ fuerat socius. (3) Hujus posteri, procedente tempore, hierophantæ fuerunt Inferarum Dearum, et constanter idem munus tenuerunt; ad quod Telines, unus ex illorum majoribus, tali modo fuerat promotus. (4) Cives nonnulli Geloi, in seditione victi ab adversariis, in Mactorium oppidum confugerant supra Gelam situm. Hos Telines Gelam reduxit, nulla hominum manu adjutus, sed solis sacris harum dearum. Unde vero hæc sumpserit, aut quomodo nactus sit, dicere non possum. (5) Sed his fretus reduxit illos hac conditione, ut posteri ipsius hierophantæ illarum dearum essent. Quod autem audio rem tantam a Teline esse perfectam, id eo magis etiam miror, quod, quum talia non a quolibet homine patrari posse existimaverim, sed ab animo forti et virili robore debere pro-

τε ἀγαθῆς καὶ ῥώμης ἀνδρηίης· ὁ δὲ λέγεται πρὸς τῆς Σικελίης τῶν οἰκητόρων τὰ ὑπεναντία τούτων πεφυκέναι θηλυδρίης τε καὶ μαλακώτερος ἀνήρ. Οὕτω μέν νυν ἐκτήσατο τοῦτο τὸ γέρας.

CLIV. Κλεάνδρου δὲ τοῦ Παντάρεος τελευτήσαντος τὸν βίον, ὃς ἐτυράννευσε μὲν Γέλης ἑπτὰ ἔτεα, ἀπέθανε δὲ ὑπὸ Σαβύλλου ἀνδρὸς Γελῴου, ἐνθαῦτα ἀναλαμβάνει τὴν μουναρχίην Ἱπποκράτης Κλεάνδρου ἐὼν ἀδελφεός. (2) Ἔχοντος δὲ Ἱπποκράτεος τὴν τυραννίδα, ὁ Γέλων ἐὼν Τηλίνεω τοῦ ἱροφάντεω ἀπόγονος, πολλῶν μετ' ἄλλων καὶ Αἰνησιδήμου τοῦ Παταίκου, ὃς ἦν δορυφόρος Ἱπποκράτεος .... (3) Μετὰ δὲ οὐ πολλὸν χρόνον δι' ἀρετὴν ἀπεδέχθη πάσης τῆς ἵππου εἶναι ἵπαρχος· πολιορκέοντος γὰρ Ἱπποκράτεος Καλλιπολιήτας τε καὶ Ναξίους καὶ Ζαγκλαίους τε καὶ Λεοντίνους καὶ πρὸς Συρηκοσίους τε καὶ τῶν βαρβάρων συχνοὺς, ἀνὴρ ἐφαίνετο ἐν τούτοισι τοῖσι πολέμοισι ἐὼν ὁ Γέλων λαμπρότατος. (4) Τῶν δὲ ἕξ πολίων, τούτων πλὴν Συρηκουσέων οὐδεμία πέφευγε δουλοσύνην πρὸς Ἱπποκράτεος· Συρηκοσίους δὲ Κορίνθιοί τε καὶ Κερκυραῖοι ἐρρύσαντο μάχῃ ἐσσωθέντας ἐπὶ ποταμῷ Ἑλώρῳ. Ἐρρύσαντο δὲ καὶ οὗτοι ἐπὶ τοισίδε καταλλάξαντες, ἐπ' ᾧτε Ἱπποκράτεϊ Καμάριναν Συρηκοσίους παραδοῦναι· Συρηκοσίων δὲ ἦν Καμάρινα τὸ ἀρχαῖον.

CLV. Ὡς δὲ καὶ Ἱπποκράτεα τυραννεύσαντα ἴσα ἔτεα τῷ ἀδελφεῷ Κλεάνδρῳ κατέλαβε ἀποθανέειν πρὸς πόλι Ὕβλῃ στρατευσάμενον ἐπὶ τοὺς Σικελούς, οὕτω δὴ ὁ Γέλων τῷ λόγῳ τιμωρέων τοῖσι Ἱπποκράτεος παισὶ Εὐκλείδῃ τε καὶ Κλεάνδρῳ, οὐ βουλομένων τῶν πολιητέων κατηκόων ἔτι εἶναι, τῷ ἔργῳ, ὡς ἐπεκράτησε μάχῃ τῶν Γελῴων, ἦρχε αὐτὸς ἀποστερήσας τοὺς Ἱπποκράτεος παῖδας. (2) Μετὰ δὲ τοῦτο τὸ εὕρημα τοὺς γαμόρους καλευμένους τῶν Συρηκοσίων ἐκπεσόντας ὑπό τε τοῦ δήμου καὶ τῶν σφετέρων δούλων, καλευμένων δὲ Κιλλικυρίων, ὁ Γέλων καταγαγὼν τούτους ἐκ Κασμένης πόλιος ἐς τὰς Συρηκούσας ἔσχε καὶ ταύτας· ὁ γὰρ δῆμος ὁ τῶν Συρηκοσίων ἐπιόντι Γέλωνι παραδιδοῖ τὴν πόλιν καὶ ἑωυτόν.

CLVI. Ὁ δὲ ἐπείτε παρέλαβε τὰς Συρηκούσας, Γέλης μὲν ἐπικρατέων λόγον ἐλάσσω ἐποιέετο, ἐπιτρέψας αὐτὴν Ἱέρωνι ἀδελφεῷ ἑωυτοῦ· ὁ δὲ τὰς Συρηκούσας ἐκράτυνε, καὶ ἔσαν οἱ πάντα αἱ Συρήκουσαι. Αἱ δὲ παραυτίκα ἀνά τ' ἔδραμον καὶ ἀνέβλαστον. (2) Τοῦτο μὲν γὰρ Καμαριναίους ἅπαντας ἐς τὰς Συρηκούσας ἀγαγὼν πολιήτας ἐποίησε, Καμαρίνης δὲ τὸ ἄστυ κατέσκαψε, τοῦτο δὲ Γελῴων ὑπερημίσεας τῶν ἀστῶν τωὐτὸ τοῖσι Καμαριναίοισι ἐποίησε. (3) Μεγαρέας τε τοὺς ἐν Σικελίῃ, ὡς πολιορκεόμενοι ἐς ὁμολογίην προσεχώρησαν, τοὺς μὲν αὐτῶν παχέας, ἀειραμένους τε πόλεμον αὐτῷ καὶ προσδοκέοντας ἀπολέεσθαι διὰ τοῦτο, ἀγαγὼν ἐς τὰς Συρηκούσας πολιήτας ἐποίησε· (4) τὸν δὲ δῆμον τῶν Μεγαρέων οὐκ ἐόντα μεταίτιον τοῦ πολέμου τούτου οὐδὲ προσδεκόμενον κακὸν οὐδὲν πείσεσθαι, ἀγαγὼν καὶ τούτους ἐς τὰς Συρηκούσας ἀπέδοτο

ficisci, hic e contrario perhibetur a Siciliæ incolis effeminatus et mollis admodum homo fuisse. At is quidem ita munus hoc obtinuerat.

CLIV. Mortuo Cleandro, Pantaris filio, qui, postquam septem annis Gelæ fuerat tyrannus, a Sabyllo cive Geloo est interfectus; ibi tum Hippocrates, Cleandri frater, monarchiam suscepit. (2) Quo regnante Gelon, unus e posteris Telinis hierophantæ, cum aliis multis, et in his cum Ænesidemo Patæci filio, qui corporis custos fuit Hippocratis, ... (3) Nec vero multo post Gelon ob virtutem præfectus universi equitatus nominatus est. Nam quum Callipolitas et Naxios oppugnaret Hippocrates, et Zanclæos et Leontinos, itemque Syracusios et barbarorum multos; in cunctis his bellis præclare Gelonis virtus emicuit. (4) Earum autem quas dixi civitatum nulla, præter Syracusas, effugit quin in servitutem ab Hippocrate redigeretur. Syracusios vero, prælio victos ad Elorum fluvium, liberaverunt Corinthii et Corcyræi, conciliata pace in hanc conditionem, ut Camarinam Hippocrati traderent Syracusii : nam antiquitus Syracusiorum Camarina fuerat.

CLV. Postquam vero Hippocrati etiam, quum totidem annos quot Cleander frater regnasset, accidit ut ad Hyblam urbem, bellum gerens cum Siculis, occumberet; tunc nimirum hic Gelon, nomine quidem tenus opem ferens filiis Hippocratis Euclidi et Cleandro, quibus jam parere cives noluerant, re vera autem, prælio victis Gelois, solus ipse regnavit, Hippocratis filiis imperio frandatis. (2) Quæ res quum ei præter spem successisset, deinde gamoros quos vocant Syracusiorum (*id est* prædiorum possessores) urbe ejectos a populo et a propriis servis, qui Cillicyrii vocantur, ex Casmena oppido Syracusas reduxit, atque ita hac quoque urbe potitus est : populus enim Syracusiorum adventanti Geloni et se et urbem tradidit.

CLVI. Syracusis potitus Gelon jam non tanti fecit Gelæ imperare : itaque hanc urbem fratri suo Hieroni permisit, ipse vero Syracusas quolibet modo munivit et auxit : erantque ei Syracusæ loco omnium. Et brevi hæc urbs crevit floruitque. (2) Nam et Camarinæos cunctos, Syracusas transductos, cives fecit, diruta Camarina urbe : et majore parte Geloorum civium eodem modo, quo Camarinæis, usus est. (3) Megarenses quoque Siciliam incolentes, quum ab illo oppugnati in deditionem venissent; opulentiores eorum, qui bellum contra eum suscitaverant, et ob id se perditum iri putabant, pariter Syracusas transduxit, civesque fecit; (4) plebem autem Megarensium, quæ belli non fuerat auctor, et nihil ab illo mali se passuram exspectabat, hanc item Syracusas perductam vendidit ea conditione, ut e Sicilia

ἐπ' ἐξαγωγῇ ἐκ Σικελίης. (5) Τὠυτὸ δὲ τοῦτο καὶ Εὐβοέας τοὺς ἐν Σικελίῃ ἐποίησε διακρίνας. Ἐποίεε δὲ ταῦτα τούτους ἀμφοτέρους νομίσας δῆμον εἶναι συνοίκημα ἀχαριτώτατον. Τοιούτῳ μὲν τρόπῳ τύραννος ἐγεγόνεε μέγας ὁ Γέλων.

CLVII. Τότε δ' ὡς οἱ ἄγγελοι τῶν Ἑλλήνων ἀπίκατο ἐς τὰς Συρηκούσας, ἐλθόντες αὐτῷ ἐς λόγους ἔλεγον τάδε, « ἔπεμψαν ἡμέας Λακεδαιμόνιοι καὶ Ἀθηναῖοι καὶ οἱ τούτων σύμμαχοι παραλαμψομένους σε πρὸς τὸν βάρβαρον· (2) τὸν γὰρ ἐπιόντα ἐπὶ τὴν Ἑλλάδα πάντως κου πυνθάνεαι, ὅτι Πέρσης ἀνὴρ μέλλει, ζεύξας τὸν Ἑλλήσποντον καὶ ἐπάγων πάντα τὸν ἠῷον στρατὸν ἐκ τῆς Ἀσίης, στρατηλατήσειν ἐπὶ τὴν Ἑλλάδα, πρόσχημα μὲν ποιεύμενος ὡς ἐπ' Ἀθήνας ἐλαύνει, ἐν νόῳ δὲ ἔχων πᾶσαν τὴν Ἑλλάδα ὑπ' ἑωυτῷ ποιήσασθαι. (3) Σὺ δὲ δυνάμιός τε ἥκεις μεγάλης, καὶ μοῖρά τοι τῆς Ἑλλάδος οὐκ ἐλαχίστη μέτα ἄρχοντί γε Σικελίης· βώθεέ τε τοῖσι ἐλευθεροῦσι τὴν Ἑλλάδα, καὶ συνελευθέρου. (4) Ἀλλὰ μὲν γὰρ γινομένη πᾶσα ἡ Ἑλλὰς χεὶρ μεγάλη συνάγεται καὶ ἀξιόμαχοι γινόμεθα τοῖσι ἐπιοῦσι· ἢν δὲ ἡμέων οἱ μὲν καταπροδιδῶσι, οἱ δὲ μὴ ἐθέλωσι τιμωρέειν, τὸ δὲ ὑγιαῖνον τῆς Ἑλλάδος ἢ ὀλίγον, τοῦτο ἤδη δεινὸν γίνεται μὴ πέσῃ πᾶσα ἡ Ἑλλάς. (5) Μὴ γὰρ ἐλπίσῃς, ἢν ἡμέας καταστρέψηται ὁ Πέρσης μάχῃ κρατήσας, ὡς οὐκὶ ἥξει παρὰ σέ γε, ἀλλὰ πρὸ τούτου φύλαξαι. Βωθέων γὰρ ἡμῖν σεωυτῷ τιμωρέεις· τῷ δὲ εὖ βουλευθέντι πρήγματι τελευτὴ ὡς τὸ ἐπίπαν χρηστὴ ἐθέλει ἐπιγίνεσθαι. » Οἱ μὲν ταῦτα ἔλεγον.

CLVIII. Γέλων δὲ πολλὸς ἐνεκέετο λέγων τοιάδε, « ἄνδρες Ἕλληνες, λόγον ἔχοντες πλεονέκτην ἐτολμήσατε ἐμὲ σύμμαχον ἐπὶ τὸν βάρβαρον παρακαλεῦντες ἐλθεῖν. (2) Αὐτοὶ δὲ ἐμεῦ πρότερον δεηθέντος βαρβαρικοῦ στρατοῦ συνεπάψασθαι, ὅτε μοι πρὸς Καρχηδονίους νεῖκος συνῆπτο, ἐπισκήπτοντός τε τὸν Δωριέος τοῦ Ἀναξανδρίδεω πρὸς Ἐγεσταίων φόνον ἐκπρήξασθαι, ὑποτεινόντός τε τὰ ἐμπόρια συνελευθεροῦν ἀπ' ὧν ὑμῖν μεγάλαι ὠφελίαι τε καὶ ἐπαυρέσιες γεγόνασι, οὔτε ἐμεῦ εἵνεκεν ἦλθετε βωθήσοντες οὔτε τὸν Δωριέος φόνον ἐκπρηξόμενοι, τό τε κατ' ὑμέας τάδε πάντα ὑπὸ βαρβάροισι νέμεται. (3) Ἀλλ' εὖ γὰρ ἡμῖν καὶ ἐπὶ τὸ ἄμεινον κατέστη. Νῦν δὲ ἐπειδὴ περιελήλυθε ὁ πόλεμος καὶ ἀπῖκται ἐς ὑμέας, οὕτω δὴ Γέλωνος μνῆστις γέγονε. (4) Ἀτιμίης δὲ πρὸς ὑμέων κυρήσας οὐκ ὁμοιώσομαι ὑμῖν, ἀλλ' ἑτοῖμός εἰμι βωθέειν παρεχόμενος διηκοσίας τε τριήρεας καὶ δισμυρίους ὁπλίτας καὶ δισχιλίην ἵππον καὶ δισχιλίους τοξότας καὶ δισχιλίους σφενδονήτας καὶ δισχιλίους ἱπποδρόμους ψιλούς· σῖτόν τε ἁπάσῃ τῇ Ἑλλήνων στρατιῇ, ἔστ' ἂν διαπολεμήσωμεν, ὑποδέξομαι παρέξειν. (5) Ἐπὶ δὲ λόγῳ τοιῷδε τάδε ὑπίσχομαι, ἐπ' ᾧ στρατηγός τε καὶ ἡγεμὼν τῶν Ἑλλήνων ἔσομαι πρὸς τὸν βάρβαρον· ἐπ' ἄλλῳ δὲ λόγῳ οὔτ' ἂν αὐτὸς ἔλθοιμι οὔτ' ἂν ἄλλους πέμψαιμι. »

exportarentur. (5) Eodemque modo etiam Eubœensibus usus est Siciliam incolentibus, discreta plebe a locupletibus. Egit autem ita cum utrisque hac caussa, quod molestiæ et periculi plenum putaret, una cum plebe habitare. Tali modo potens tyrannus Gelon evaserat.

CLVII. Tunc vero, postquam Syracusas venere Græcorum legati, in conspectum Gelonis producti, hæc apud eum verba fecerunt: « Miserunt nos Lacedæmonii et Athenienses horumque socii, ad societatem adversus Barbarum te invitaturos. (2) Haud dubie enim hunc nosti Græciam invadentem; virum Persam, qui Hellesponto ponte juncto universas Orientis copias ex Asia transducturus est, et bellum illaturus Græciæ; caussam quidem prætexens, contra Athenas se ducere exercitum, in animo autem habens totam sibi Græciam subjicere. (3) Tu vero magna præditus es potentia, et haud minima pars Græciæ apud te est, quippe qui imperas Siciliæ. Succurre igitur liberantibus Græciam, cum eisque eam libera! (4) Etenim junctis Græciæ viribus omnibus magna contrahitur manus, et pares sumus invadenti hosti. Sin nostrûm alii nos produnt, alii vindicare nolunt, et exigua pars Græciæ sana est; tunc vero est verendum, ne Græcia pereat universa. (5) Noli enim existimare, si nos prælio victos Persa subegerit, non eumdem ad te pariter venturum; sed, priusquam istud accidat, tibi prospice. Nobis enim opem ferens, te ipsum tutum præstabis. Et rem bono consilio susceptam bonus plerumque sequi exitus solet. » Sic illi locuti sunt.

CLVIII. Gelon vero, vehementer illos increpans, in hunc modum respondit. « Viri Græci, arroganti utentes oratione ausi estis me hortari ut subsidio vobis veniam adversus Barbarum. (2) At iidem vos, quum prius ego vos rogavi, ut barbarorum exercitum mecum adgrederemini, quo tempore adversus Carthaginienses bellum mihi incumbebat, obtestatusque sum ut Doriei necem, Anaxandridæ filii, ab Egestæis commissam ulciscaremini, simulque adjutorem me vobis obtuli ad liberanda emporia, e quibus magna commoda fructusque ad vos redibant, nec mei caussa venistis ad opem mihi ferendam, neque ad ulciscendam Doriei cædem; et, per vos si stetisset, omnia hæc in barbarorum forent potestate. (3) At, postquam bene atque prospere mihi omnia cesserunt, nunc, ubi in vos versum est bellum, in vosque ingruit, ita demum memoria vos subiit Gelonis. (4) Verumtamen, quamvis a vobis turpiter fuerim contemptus, non ego vestrûm ero similis, sed paratus sum opem vobis ferre, ducentas præbiturus triremes, et vicies mille milites gravis armaturæ, bis mille equites, bis mille sagittarios, bis mille funditores, et bis mille cursorios equites leviter armatos: denique universo Græcorum exercitui frumentum me suppeditaturum, usque dum debellarimus, recipio. (5) At hac conditione hæc polliceor, ut dux et imperator sim Græcorum adversus Barbarum: alia conditione neque ipse venturus sum, nec alios missurus. »

CLIX. Ταῦτα ἀκούσας οὔτε ἠνέσχετο ὁ Σύαγρος εἶπέ τε τάδε, « ἦ κε μέγ' οἰμώξειε ὁ Πελοπίδης Ἀγαμέμνων πυθόμενος Σπαρτιήτας τὴν ἡγεμονίην ἀπαραιρῆσθαι ὑπὸ Γέλωνός τε καὶ Συρηκοσίων. (2) Ἀλλὰ τούτου μὲν τοῦ λόγου μηκέτι μνησθῇς, ὅκως τὴν ἡγεμονίην τοι παραδώσομεν. Ἀλλ' εἰ μὲν βούλεαι βωθέειν τῇ Ἑλλάδι, ἴσθι ἀρξόμενος ὑπὸ Λακεδαιμονίων· εἰ δ' ἄρα μὴ δικαιοῖς ἄρχεσθαι, σὺ δὲ μὴ βώθεε. »

CLX. Πρὸς ταῦτα ὁ Γέλων, ἐπειδὴ ὥρα ἀπεστραμμένους τοὺς λόγους τοῦ Συάγρου, τὸν τελευταῖόν σφι τόνδε ἐξέφηνε λόγον, « ὦ ξεῖνε Σπαρτιῆτα, ὀνείδεα κατιόντα ἀνθρώπῳ φιλέει ἐπανάγειν τὸν θυμόν. Σὺ μέντοι ἀποδεξάμενος ὑβρίσματα ἐν τῷ λόγῳ οὐ με πείσεις ἀσχήμονα ἐν τῇ ἀμοιβῇ γενέσθαι. (2) Ὅκου δὲ ὑμεῖς οὕτω περιέχεσθε τῆς ἡγεμονίης, οἰκὸς καὶ ἐμὲ μᾶλλον ὑμέων περιέχεσθαι, στρατιῆς τε ἐόντα πολλαπλησίης ἡγεμόνα καὶ νεῶν πολὺ πλεύνων. Ἀλλ' ἐπείτε ὑμῖν ὁ λόγος οὕτω προσάντης κατίσταται, ἡμεῖς τι ὑπείξομεν τοῦ ἀρχαίου λόγου. (3) Εἰ τοῦ μὲν πεζοῦ ὑμεῖς ἡγέοισθε, τοῦ δὲ ναυτικοῦ ἐγώ· εἰ δὲ ὑμῖν ἥδονὴ τοῦ κατὰ θάλασσαν ἡγεμονεύειν, τοῦ πεζοῦ ἐγὼ ἐθέλω. Καὶ ἢ τούτοισι ὑμέας χρεών ἐστι ἀρκέεσθαι, ἢ ἀπιέναι συμμάχων τοσῶνδε ἐρήμους. » Γέλων μὲν δὴ ταῦτα προετείνετο.

CLXI. Φθάσας δὲ ὁ Ἀθηναίων ἄγγελος τὸν Λακεδαιμονίων ἀμείβετό μιν τοισίδε, « ὦ βασιλεῦ Συρηκοσίων, οὐκ ἡγεμόνος δεομένη ἡ Ἑλλὰς ἀπέπεμψεν ἡμέας πρὸς σέ, ἀλλὰ στρατιῆς. Σὺ δὲ ὅκως μὲν στρατιὴν πέμψεις μὴ ἡγεύμενος τῆς Ἑλλάδος, οὐ προφαίνεις, ὡς δὲ στρατηγήσεις αὐτῆς, γλίχεαι. (2) Ὅσον μέν νυν παντὸς τοῦ Ἑλλήνων στρατοῦ ἐδέου ἡγέεσθαι, ἐξήρκεε ἡμῖν τοῖσι Ἀθηναίοισι ἡσυχίην ἄγειν, ἐπισταμένοισι ὡς ὁ Λάκων ἱκανός τοι ἔμελλε ἔσεσθαι καὶ ὑπὲρ ἀμφοτέρων ἀπολογεύμενος· ἐπείτε δὲ ἁπάσης ἀπελαυνόμενος δέεαι τῆς ναυτικῆς ἄρχειν, οὕτω ἔχει τοι. (3) Οὐδ' ἢν ὁ Λάκων ἐπίῃ τοι ἄρχειν αὐτῆς, ἡμεῖς ἐπήσομεν· ἡμετέρη γάρ ἐστι αὕτη γε μὴ αὐτῶν βουλομένων Λακεδαιμονίων. Τούτοισι μὲν ὦν ἡγέεσθαι βουλομένοισι οὐκ ἀντιτείνομεν, ἄλλῳ δὲ παρήσομεν οὐδενὶ ναυαρχέειν. (4) Μάτην γὰρ ἂν ὧδε πάραλον Ἑλλήνων στρατὸν πλεῖστον εἴημεν ἐκτημένοι, εἰ Συρηκοσίοισι ἐόντες Ἀθηναῖοι συγχωρήσομεν τῆς ἡγεμονίης, ἀρχαιότατον μὲν ἔθνος παρεχόμενοι, μοῦνοι δὲ ἐόντες οὐ μετανάσται Ἑλλήνων· τῶν καὶ Ὅμηρος ὁ ἐποποιὸς ἄνδρα ἄριστον ἔφησε ἐς Ἴλιον ἀπικέσθαι τάξαι τε καὶ διακοσμῆσαι στρατόν. Οὕτω οὐκ ὀνειδος ἡμῖν ἐστὶ οὐδὲν λέγειν ταῦτα. »

CLXII. Ἀμείβετο Γέλων τοισίδε, « ξεῖνε Ἀθηναῖε, ὑμεῖς οἷκατε τοὺς μὲν ἄρχοντας ἔχειν, τοὺς δὲ ἀρξομένους οὐκ ἔξειν. Ἐπεὶ τοίνυν οὐδὲν ὑπιέντες ἔχειν τὸ πᾶν ἐθέλετε, οὐκ ἂν φθάνοιτε τὴν ταχίστην ὀπίσω ἀπαλλασσόμενοι καὶ ἀγγέλλοντες τῇ Ἑλλάδι ὅτι ἐκ τοῦ ἐνιαυτοῦ τὸ ἔαρ αὐτῇ ἐξαραίρηται. » (2) Οὗτος δὲ ὁ νόος τοῦδε τοῦ ῥήματος, τὸ ἐθέλει λέγειν· ὅῆλα

CLIX. Hæc audiens non tulit Syagrus, et his verbis respondit : « Ingentia profecto lamenta tolleret Pelopides Agamemnon, si audiret Spartanis imperium ablatum a Gelone et Syracusiis. (2) Immo hujus conditionis ne porro mentionem facias, ut tibi tradamus imperium. Sed, si vis auxilio venire Græciæ, scito sub Lacedæmoniorum te fore imperio : id si tibi non placet, noli auxilio venire. »

CLX. Ad hæc Gelon, videns aversantem Syagri sermonem, postremam hanc illis proposuit conditionem : « Hospes Spartane, inquit, contumeliosa verba, in hominem projecta, iram solent excitare : at tu, quamvis contumelioso usus sermone, me tamen non induces ut in respondendo sim immodestus. (2) Quandoquidem vero vos tanto studio urgetis ut imperium teneatis, consentaneum est ut ego majori etiam studio, quam vos, mihi hoc postulem, quippe multo majorem exercitum multoque plures naves vobis adducturus. At quoniam adeo ardua vobis hæc conditio posita est, nos de eo quod prius postulavimus, nonnihil concedemus. (3) Si pedestribus copiis vos præfueritis, ego nauticis præero : sin vobis volupe est classi præsse, ego pedestribus præero copiis. Aut in alterutro horum adquiescere vos oportet, aut abire talibus sociis destitutos. » Hæc igitur Gelon proponebat.

CLXI. Verum antevertens Atheniensium legatus Lacedæmonium, his verbis illi respondit : « Rex Syracusiorum, non ducem petituros nos ad te Græcia misit, sed exercitum. Tu vero negas exercitum te missurum, nisi Græciæ imperes ; nempe imperare illi cupis. (2) Quatenus igitur universi Græcorum exercitus ducatum tibi postulasti, satis nos Athenienses habuimus silentium tenere, bene guari idoneum fore Laconem ad rationem tibi pro utrisque reddendam : nunc vero, ubi de universi imperii summa concedens, classis postulas imperium, sic tibi habe. (3) Si vel Laco tibi concederet classis imperium, nos non concederemus : nostrum enim hoc munus est, nisi Lacedæmonii id velint. His ergo, si classis obtinere imperium voluerint, non repugnamus : alii vero id concedemus nemini. (4) Sic enim frustra nos maximas Græcorum omnium nauticas copias paratas haberemus, si Syracusiis nos Athenienses imperio cederemus, qui populum exhibemus antiquissimum, solique sumus Græcorum qui numquam solum vertimus : quo de populo etiam Homerus poeta fortissimum virum ait ad Ilium venisse, et ordinasse instruxisseque exercitum. Quo minus reprehendendi sumus quod ista dicimus. »

CLXII. Tum vero Gelon, « Hospes Atheniensis, ait, vos videmini imperatores quidem habere, sed, quibus hi imperent, non habituros. Quoniam igitur nihil remittentes, omnia vultis tenere; ocyus hinc abire maturate, domumque reversi nunciate Græciæ, ver ei ex anno esse exemptum. » (2) Cujus dicti hæc sententia est, quam ille significare voluit : nempe satis constat, præstantissimam anni partem

γὰρ ὡς ἐν τῷ ἑνιαυτῷ ἐστὶ τὸ ἔαρ δοκιμώτατον, τῆς δὲ τῶν Ἑλλήνων στρατιῆς τὴν ἑωυτοῦ στρατιήν. Στερισκομένην ὦν τὴν Ἑλλάδα τῆς ἑωυτοῦ συμμαχίης εἴκαζε ὡς εἰ τὸ ἔαρ ἐκ τοῦ ἑνιαυτοῦ ἐξαιρεθὲν εἴη.

CLXIII. Οἱ μὲν δὴ τῶν Ἑλλήνων ἄγγελοι τοσαῦτα τῷ Γέλωνι χρηματισάμενοι ἀπέπλωον· Γέλων δὲ πρὸς ταῦτα δείσας μὲν περὶ τοῖσι Ἕλλησι μὴ οὐ δύνωνται τὸν βάρβαρον ὑπερβαλέσθαι, δεινὸν δὲ καὶ οὐκ ἀνασχετὸν ποιησάμενος ἐλθὼν ἐς Πελοπόννησον ἄρχεσθαι ὑπὸ Λακεδαιμονίων ἐὼν Σικελίης τύραννος, ταύτην μὲν τὴν ὁδὸν ἠμέλησε, ὁ δὲ ἄλλης εἴχετο. (2) Ἐπείτε γὰρ τάχιστα ἐπύθετο τὸν Πέρσην διαβεβηκότα τὸν Ἑλλήσποντον, πέμπει πεντηκοντέροισι τρισὶ Κάδμον τὸν Σκύθεω ἄνδρα Κῷον ἐς Δελφοὺς, ἔχοντα χρήματα πολλὰ καὶ φιλίους λόγους, καραδοκήσοντα τὴν μάχην τῇ πεσέεται, καὶ ἢν μὲν ὁ βάρβαρος νικᾷ, τά τε χρήματα αὐτῷ διδόναι καὶ γῆν τε καὶ ὕδωρ τῶν ἄρχει ὁ Γέλων, ἢν δὲ οἱ Ἕλληνες, ὀπίσω ἀπάγειν.

CLXIV. Ὁ δὲ Κάδμος οὗτος πρότερον τούτων παραδεξάμενος παρὰ πατρὸς τὴν τυραννίδα Κῴων εὖ βεβηκυῖαν, ἐκών τε εἶναι καὶ δεινοῦ ἐπιόντος οὐδενὸς, ἀλλ' ἀπὸ δικαιοσύνης ἐς μέσον Κῴοισι καταθεὶς τὴν ἀρχὴν οἴχετο ἐς Σικελίην, ἔνθα μετὰ Σαμίων ἔσχε τε καὶ κατοίκησε πόλιν Ζάγκλην τὴν ἐς Μεσσήνην μεταβαλοῦσαν τὸ οὔνομα. (2) Τοῦτον δὴ ὁ Γέλων τὸν Κάδμον καὶ τοιούτῳ τρόπῳ ἀπικόμενον διὰ δικαιοσύνην, τήν οἱ αὐτὸς ἄλλην συνῄδεε ἐοῦσαν, ἔπεμπε· ὃς ἐπὶ τοῖσι ἄλλοισι δικαίοισι τοῖσι ἐξ ἑωυτοῦ ἐργασμένοισι καὶ τόδε οὐκ ἐλάχιστον τούτων ἐλίπετο. (3) Κρατήσας γὰρ μεγάλων χρημάτων τῶν οἱ Γέλων ἐπετράπετο, παρεὸν κατασχέσθαι οὐκ ἐθέλησε, ἀλλ' ἐπεὶ οἱ Ἕλληνες ἐπεκράτησαν τῇ ναυμαχίῃ καὶ Ξέρξης οἰχώκεε ἀπελαύνων, καὶ δὴ καὶ ἐκεῖνος ἀπίκετο ἐς τὴν Σικελίην ἅπαντα τὰ χρήματα ἄγων.

CLXV. Λέγεται δὲ καὶ τάδε ὑπὸ τῶν ἐν Σικελίῃ οἰκημένων, ὡς ὅμως καὶ μέλλων ἄρχεσθαι ὑπὸ Λακεδαιμονίων ὁ Γέλων ἐβώθησε ἂν τοῖσι Ἕλλησι, εἰ μὴ ὑπὸ Θήρωνος τοῦ Αἰνησιδήμου Ἀκραγαντίνων μουνάρχου ἐξελαθεὶς ἐξ Ἱμέρης Τήριλλος ὁ Κρινίππου τύραννος ἐὼν Ἱμέρης ἐπῆγε ὑπ' αὐτὸν τὸν χρόνον τοῦτον Φοινίκων καὶ Λιβύων καὶ Ἰβήρων καὶ Λιγύων καὶ Ἐλισύκων καὶ Σαρδονίων καὶ Κυρνίων τριήκοντα μυριάδας καὶ στρατηγὸν αὐτῶν Ἀμίλκαν τὸν Ἄννωνος, Καρχηδονίων ἐόντα βασιλέα, (2) κατὰ ξεινίην τε τὴν ἑωυτοῦ ὁ Τήριλλος ἀναγνώσας, καὶ μάλιστα διὰ τὴν Ἀναξίλεω τοῦ Κρητίνεω προθυμίην, ὃς Ῥηγίου ἐὼν τύραννος, τὰ ἑωυτοῦ τέκνα δοὺς δμήρους Ἀμίλκα, ἐπῆγέ μιν ἐπὶ τὴν Σικελίην τιμωρέων τῷ πενθερῷ· Τηρίλλου γὰρ εἶχε θυγατέρα Ἀναξίλεως, τῇ οὔνομα ἦν Κυδίππη. Οὕτω δὴ οὐκ οἷόν τε γενόμενον βωθέειν τὸν Γέλωνα τοῖσι Ἕλλησι ἀποπέμπειν ἐς Δελφοὺς τὰ χρήματα.

CLXVI. Λόγος δὲ καὶ τάδε λέγουσι, ὡς συνέβη τῆς

ver esse; suum autem exercitum præstantissimam partem dixit in Græcorum exercitu. Itaque Græciam, societate ipsius destitutam, comparavit cum anno, cui ver sit exemptum.

CLXIII. Legati igitur Græcorum, hisce cum Gelone actis, domum navigarunt. Atque ita tunc Gelon, timens quidem Græcis, veritusque ne superando Barbaro impares sint futuri, sed indignum et intolerabile existimans, ipsum, in Peloponnesum trajicientem, sub imperio esse Lacedæmoniorum, quum Siciliæ sit tyrannus; hanc quidem aspernatus est conditionem, sed aliam rationem est secutus. (2) Simul atque Persam intellexit transiisse Hellespontum, cum tribus navibus actuariis quinquaginta remorum Cadmum, Scythæ filium, genere Coum, Delphos misit, multis pecuniis et pacificis mandatis instructum, qui belli exitum exspectaret, et quidem, si vicisset Barbarus, pecunias ei et terram et aquam nomine Gelonis traderet; sin Græci vicissent, pecunias reportaret.

CLXIV. Cadmus hic antea, quum patri in regnum Coorum firmo rerum statu successisset, sua sponte, nullo imminente periculo, sola justitia ductus, in medio Cois deposuerat regnum, et in Siciliam migraverat. Ibi cum Samiis Zanclam urbem tenuit habitavitque, eam cujus nomen in Messanam mutatum est. (2) Hunc igitur Cadmum, qui isto modo in Siciliam venerat, Gelon propter reliquam etiam viri justitiam sibi perspectam, Delphos misit: isque præter alia justitiæ documenta etiam hoc non minimum a se editum reliquit, (3) quod, quum magnas in manibus haberet pecunias a Gelone sibi creditas, intervertere eas, quamquam nihil prohibebat, noluerit; sed, postquam pugna navali vicerant Græci, et Xerxes cum exercitu abierat, ipse etiam in Siciliam reversus pecunias omnes Geloni reportaverit.

CLXV. Memorant etiam Siculi, quamvis sub imperio futurum Lacedæmoniorum, vel sic tamen Gelonem subsidio venturum fuisse Græcis, nisi Terillus Crinippi filius, Himeræ tyrannus, a Therone Ænesidemi filio, Agrigentinorum monarcha, Himera ejectus, sub ipsum hoc tempus trecenta millia Pœnorum et Libyum et Iberorum et Ligurum et Helisycorum et Sardorum et Corsicanorum, horumque ducem Amilcarem Annonis filium, regem Carthaginiensium, in Siciliam transduxisset. (2) Nempe Amilcarem ad istam suscipiendam expeditionem induxerat Terillus pro hospitii jure opem ejus implorans: maxime vero eum commoverat Anaxilai studium, Cretinæ filii, qui, quum Rhegii esset tyrannus, traditis Amilcari filiis suis obsidibus, persuaserat ei ut in Siciliam trajiceret ad opem socero suo ferendam: filiam enim Terilli, nomine Cydippen, in matrimonio Anaxilaus habuit. Ita igitur Gelonem, aiunt, quum Græcis auxilio venire non potuisset, pecunias illas Delphos misisse.

CLXVI. Præterea hæc quoque memorant, eodem die in

αὐτῆς ἡμέρης ἔν τε τῇ Σικελίῃ Γέλωνα καὶ Θήρωνα νικᾶν Ἀμίλκαν τὸν Καρχηδόνιον καὶ ἐν Σαλαμῖνι τοὺς Ἕλληνας τὸν Πέρσην. (2) Τὸν δὲ Ἀμίλκαν Καρχηδόνιον ἐόντα πρὸς πατρὸς, μητρόθεν δὲ Συρηκόσιον, βασιλεύσαντά τε κατ' ἀνδραγαθίην Καρχηδονίων, ὡς ἡ συμβολή τε ἐγίνετο καὶ ὡς ἐσσοῦτο τῇ μάχῃ, ἀφανισθῆναι πυνθάνομαι· οὔτε γὰρ ζώοντα οὔτε ἀποθανόντα φανῆναι οὐδαμοῦ γῆς· τὸ πᾶν γὰρ ἐπεξελθεῖν διζήμενον Γέλωνα.

CLXVII. Ἔστι δὲ ὑπ' αὐτῶν Καρχηδονίων ὅδε ὁ λόγος λεγόμενος, οἰκότι χρεωμένων, ὡς οἱ μὲν βάρβαροι τοῖσι Ἕλλησι ἐν τῇ Σικελίῃ ἐμάχοντο ἐξ ἠοῦς ἀρξάμενοι μέχρι δείλης ὀψίης (ἐπὶ τοσοῦτο γὰρ λέγεται ἑλκύσαι τὴν σύστασιν), ὁ δὲ Ἀμίλκας ἐν τούτῳ τῷ χρόνῳ μένων ἐν τῷ στρατοπέδῳ ἐθύετο καὶ ἐκαλλιρέετο ἐπὶ πυρῆς μεγάλης σώματα ὅλα καταγίζων, ἰδὼν δὲ τροπὴν τῶν ἑωυτοῦ γινομένην, ὡς ἔτυχε ἐπισπένδων τοῖσι ἱροῖσι, ὥσε ἑωυτὸν ἐς τὸ πῦρ· οὕτω δὴ κατακαυθέντα ἀφανισθῆναι. (2) Ἀφανισθέντι δὲ Ἀμίλκᾳ τρόπῳ εἴτε τοιούτῳ, ὡς Φοίνικες λέγουσι, εἴτε ἑτέρῳ, ὡς Συρηκόσιοι, τοῦτο μέν οἱ θύουσι, τοῦτο δὲ μνήματα ἐποίησαν ἐν πάσῃσι τῇσι πόλισι τῶν ἀποικίδων, ἐν αὐτῇ τε μέγιστον Καρχηδόνι. Τὰ μὲν ἀπὸ Σικελίης τοσαῦτα.

CLXVIII. Κερκυραῖοι δὲ τάδε ὑποκρινάμενοι τοῖσι ἀγγέλοισι τοιάδε ἐποίησαν· καὶ γὰρ τούτους παρελάμβανον οἱ αὐτοὶ οἵ περ καὶ ἐς Σικελίην ἀπίκατο, λέγοντες τοὺς αὐτοὺς λόγους τοὺς καὶ πρὸς Γέλωνα ἔλεγον. (2) Οἱ δὲ παραυτίκα μὲν ὑπίσχοντο πέμψειν τε καὶ ἀμυνέειν, φράζοντες ὡς οὐ σφι περιοπτέη ἐστὶ ἡ Ἑλλὰς ἀπολλυμένη· ἢν γὰρ σφαλῇ, σφεῖς γε οὐδὲν ἄλλο ἢ δουλεύσουσι τῇ πρώτῃ τῶν ἡμερέων· ἀλλὰ τιμωρητέον εἴη ἐς τὸ δυνατώτατον. (3) Ὑπεκρίναντο μὲν οὕτω εὐπρόσωπα· ἐπεὶ δὲ ἔδεε βωθέειν, ἄλλα νοεῦντες ἐπλήρωσαν νέας ἑξήκοντα, μόγις δὲ ἀναχθέντες προσέμιξαν τῇ Πελοποννήσῳ, καὶ περὶ Πύλον καὶ Ταίναρον γῆς τῆς Λακεδαιμονίων ἀνεκώχευον τὰς νέας, καραδοκέοντες καὶ οὗτοι τὸν πόλεμον τῇ πεσέεται, ἀελπτέοντες μὲν τοὺς Ἕλληνας ὑπερβαλέεσθαι, δοκέοντες δὲ τὸν Πέρσην κατακρατήσαντα πολλὸν ἄρξειν πάσης τῆς Ἑλλάδος. (4) Ἐποίευν ὦν ἐπίτηδες, ἵνα ἔχωσι πρὸς τὸν Πέρσην λέγειν τοιάδε, « ὦ βασιλεῦ, ἡμεῖς, παραλαμβανόντων τῶν Ἑλλήνων ἡμέας ἐς τὸν πόλεμον τοῦτον, ἔχοντες δύναμιν οὐκ ἐλαχίστην οὐδὲ νέας ἐλαχίστας παρασχόντες ἂν, ἀλλὰ πλείστας μετά γε Ἀθηναίους, οὐκ ἠθελήσαμέν τοι ἀντιοῦσθαι οὐδέ τι ἀποδύμιον ποιῆσαι. » Τοιαῦτα λέγοντες ἤλπιζον πλέον τι τῶν ἄλλων οἴσεσθαι· τά περ ἂν καὶ ἐγένετο, ὡς ἐμοὶ δοκέει. (5) Πρὸς δὲ τοὺς Ἕλληνάς σφι σκῆψις ἐπεποίητο, τῇ περ δὴ καὶ ἐχρήσαντο· αἰτιεωμένων γὰρ τῶν Ἑλλήνων ὅτι οὐκ ἐβώθεον, ἔφασαν πληρῶσαι μὲν ἑξήκοντα τριήρεας, ὑπὸ δὲ ἐτησιέων ἀνέμων ὑπερβαλέειν Μαλέην οὐκ οἵοί τε γενέσθαι· οὕτω οὐκ ἀπικέσθαι ἐς Σαλαμῖνα, καὶ οὐ-

Sicilia Gelonem et Theronem Amilcarem Carthaginiensem prælio superasse, quo die Græci ad Salaminem Persam superarunt. (2) Amilcarem vero, qui a patre Carthaginiensis, a matre vero Syracusius fuit, et ob virtutem ad regiam dignitatem a Carthaginiensibus erat promotus; hunc, audio, postquam collatis signis victus est prælio, disparuisse: neque enim vivum, nec mortuum, usquam terrarum fuisse repertum, quamquam Gelon omnia diligentissime perquisiverit.

CLXVII. Narrant vero Pœni, probabili ratione utentes, barbaros cum Græcis in Sicilia ab solis ortu usque ad vesperam pugnasse; (eo enim usque extraxisse pugnam;) Amilcarem autem per id tempus in castris manentem sacra fecisse et perlitasse, integra corpora super ingente pyra cremantem; tum vero, quum, vinum forte infundens sacris, suos vidisset in fugam versos, se ipsum in ignem conjecisse, atque ita crematum nusquam comparuisse. (2) Eidem vero Amilcari, sive hac ratione, quam Pœni narrant, e conspectu hominum remoto, sive altera quam Syracusii tradunt, Carthaginienses et sacra faciunt et in omnibus civitatibus, quæ ipsorum sunt coloniæ, monumenta erexerunt, maximum vero in ipsa Carthagine. Sed hæc de Siculis rebus hactenus.

CLXVIII. Corcyræi vero aliud legatis responderunt, aliud fecerunt: nam et hos ad societatem invitarunt iidem qui in Siciliam erant missi; eademque oratione apud hos usi sunt qua apud Gelonem. (2) Et hi quidem statim pollicити sunt auxilia se missuros, dicentes non negligendam sibi esse salutem Græciæ; quæ si periret, nihil aliud sibi fore reliquum, nisi ut proximo quoque die servitutem servirent: itaque, quanta maxima vi possent, illi esse succurrendum. (3) Ita speciose responderant. At ubi adfuit auxilia mittendi tempus, ibi tum, alia sentientes, naves quidem compleverunt sexaginta: sed ægre in altum provecti Peloponnesum adierunt, et circa Pylum et Tænarum Laconicæ terræ, inhibitis velis naves in alto tenentes, exspectarunt hi quoque exitum belli; minime quidem sperantes fore ut Græci superiores discedant, sed existimantes Persam ingenti reportata victoria universæ Græciæ imperio potiturum. (4) Itaque consulto id fecerunt, quo hæc et talia Xerxi dicere possent: « Nos, rex, quum Græci ad hujus belli societatem adsciscerent, qui copias non minimas habemus, et navium haud minimum numerum præbere poteramus, sed maximum post Athenienses, noluimus contra te arma ferre, aut quidquam quod ingratum tibi foret, facere. » Talia dicendo sperabant melius secum, quam cum aliis, actum iri: quod etiam eventurum fuerat, ut equidem opinor. (5) Adversus Græcos vero alia eis parata excusatio erat, qua etiam usi sunt. Accusantibus enim illos Græcis quod auxilia non misissent, dixerunt: complesse se quidem sexaginta triremes, sed ventis etesiis prohibitos esse Maleam circumvehi; ea caussa ad Salaminem

δεμιῇ κακότητι λειφθῆναι τῆς ναυμαχίης. Οὗτοι μὲν οὕτω διεκρούσαντο τοὺς Ἕλληνας.

CLXIX. Κρῆτες δέ, ἐπείτε σφέας παρελάμβανον οἱ ἐπὶ τούτοισι ταχθέντες Ἑλλήνων, ἐποίησαν τοιόνδε. Πέμψαντες κοινῇ θεοπρόπους ἐς Δελφοὺς τὸν θεὸν ἐπειρώτεον εἴ σφι ἄμεινον γίνεται τιμωρέουσι τῇ Ἑλλάδι. (2) Ἡ δὲ Πυθίη ὑπεκρίνατο, « ὦ νήπιοι, ἐπιμέμφεσθε ὅσα ὑμῖν ἐκ τῶν Μενέλεῳ τιμωρημάτων Μίνως ἔπεμψε μηνίων δακρύματα, ὅτι οἱ μὲν οὐ συνεξεπρήξαντο αὐτῷ τὸν ἐν Καμικῷ θάνατον γενόμενον, ὑμεῖς δὲ ἐκείνοισι τὴν ἐκ Σπάρτης ἁρπαχθεῖσαν ὑπ' ἀνδρὸς βαρβάρου γυναῖκα. » Ταῦτα οἱ Κρῆτες ὡς ἀπενειχθέντα ἤκουσαν, ἔσχοντο τῆς τιμωρίης.

CLXX. Λέγεται γὰρ Μίνων κατὰ ζήτησιν Δαιδάλου ἀπικόμενον ἐς Σικανίην, τὴν νῦν Σικελίην καλευμένην, ἀποθανέειν βιαίῳ θανάτῳ· ἀνὰ δὲ χρόνον Κρῆτας θεοῦ σφέας ἐποτρύναντος, πάντας πλὴν Πολιχνιτέων τε καὶ Πραισίων, ἀπικομένους στόλῳ μεγάλῳ ἐς Σικανίην πολιορκέειν ἐπ' ἔτεα πέντε πόλιν Καμικὸν, τὴν κατ' ἐμὲ Ἀκραγαντῖνοι ἐνέμοντο· τέλος δὲ οὐ δυναμένους οὔτε ἑλέειν οὔτε παραμένειν λιμῷ συνεστεῶτας, ἀπολιπόντας οἴχεσθαι. (2) Ὡς δὲ κατ' Ἰηπυγίην γενέσθαι πλώοντας, ὑπολαβόντα σφέας χειμῶνα μέγαν ἐκβαλέειν ἐς τὴν γῆν, συναραχθέντων δὲ τῶν πλοίων (οὐδεμίαν γάρ σφι ἔτι κομιδὴν ἐς Κρήτην φαίνεσθαι), ἐνθαῦτα Ὑρίην πόλιν κτίσαντας καταμεῖναί τε καὶ μεταβαλόντας ἀντὶ μὲν Κρητῶν γενέσθαι Ἰήπυγας Μεσσαπίους, ἀντὶ δὲ τοῦ εἶναι νησιώτας ἠπειρώτας. (3) Ἀπὸ δὲ Ὑρίης πόλιος τὰς ἄλλας οἰκίσαι, τὰς δὴ Ταραντῖνοι χρόνῳ ὕστερον πολλῷ ἐξανιστάντες προσέπταισαν μεγάλως, ὥστε φόνος Ἑλληνικὸς μέγιστος οὗτος δὴ ἐγένετο πάντων τῶν ἡμεῖς ἴδμεν, αὐτῶν τε Ταραντίνων καὶ Ῥηγίνων, οἳ ὑπὸ Μικύθου τοῦ Χοίρου ἀναγκαζόμενοι τῶν ἀστῶν καὶ ἀπικόμενοι τιμωροὶ Ταραντίνοισι ἀπέθανον τρισχίλιοι οὕτω· αὐτῶν δὲ Ταραντίνων οὐκ ἐπῆν ἀριθμός. (4) Ὁ δὲ Μίκυθος οἰκέτης ἐὼν Ἀναξίλεω ἐπίτροπος Ῥηγίου κατελέλειπτο, οὗτος ὅσπερ ἐκπεσὼν ἐκ Ῥηγίου καὶ Τεγέην τὴν Ἀρκάδων οἰκήσας ἀνέθηκε ἐν Ὀλυμπίῃ τοὺς πολλοὺς ἀνδριάντας.

CLXXI. Ἀλλὰ τὰ μὲν κατὰ Ῥηγίνους τε καὶ Ταραντίνους τοῦ λόγου μοι παρενθήκη γέγονε· ἐς δὲ τὴν Κρήτην ἐρημωθεῖσαν, ὡς λέγουσι Πραίσιοι, ἐσοικίζεσθαι ἄλλους τε ἀνθρώπους καὶ μάλιστα Ἕλληνας, τρίτῃ δὲ γενεῇ μετὰ Μίνων τελευτήσαντα γενέσθαι τὰ Τρωϊκὰ, ἐν τοῖσι οὐ φλαυροτάτους φαίνεσθαι ἐόντας Κρῆτας τιμωροὺς Μενέλεῳ. (2) Ἀντὶ τούτων δέ σφι ἀπονοστήσασι ἐκ Τροίης λιμόν τε καὶ λοιμὸν γενέσθαι καὶ αὐτοῖσι καὶ τοῖσι προβάτοισι, ἔστε τὸ δεύτερον ἐρημωθείσης Κρήτης μετὰ τῶν ὑπολοίπων τρίτους αὐτὴν νῦν νέμεσθαι Κρῆτας. Ἡ μὲν δὴ Πυθίη ὑπομνήσασα ταῦτα ἔσχε βουλομένους τιμωρέειν τοῖσι Ἕλλησι.

CLXXII. Θεσσαλοὶ δὲ ὑπ' ἀναγκαίης τὸ πρῶτον

non pervenisse, nec ullo pravo consilio factum esse, ut pugnæ navali non interfuerint. Ita hi Græcos eluserunt.

CLXIX. Cretenses, postquam eos ad belli societatem invitarunt Græci quibus id mandatum erat, hanc iniere rationem. Communi consilio Delphos missis legatis quæsiverunt ex deo, an ex usu ipsorum esset futurum, si opem ferrent Græciæ. (2) Quibus Pythia respondit: « Stulti, conquerimini quantam vobis lacrimarum materiam propter auxilium Menelao latum immiserit Minos, iratus quod, quum Græci vobis ad ulciscendam ipsius in Camico patratam cædem operam suam non contulissent, vos illis ad vindicandam mulierem a barbaro viro e Sparta raptam socios vos adjunxistis! » Id responsum ubi ad se relatum Cretenses audivere, opem Græcis ferre supersederunt.

CLXX. Minoem quippe fama est, quum Dædalum quærens in Sicaniam venisset, quæ nunc Sicilia vocatur, violenta morte ibi occubuisse: interjecto autem tempore Cretenses, hortante deo, universos præter Polichnitas et Præsios magna cum classe in Siciliam profectos, urbem Camicum, quam mea ætate Agrigentini incolebant, quinque annis continuis oppugnasse; ad extremum vero, quum nec capere urbem, nec diutius manere fame pressi possent, re infecta discessisse. (2) Eosdem deinde, narrant, circa Iapygiam navigantes, ingenti oborta tempestate ad terram fuisse adpulsos, fractisque navibus, quum nulla in Cretam redeundi ratio adpareret, ibi mansisse, et condita Hyria urbe, ex Cretensibus mutato nomine Iapyges Messapios, et ex insulanis incolas continentis esse factos: (3) tum deinde ex Hyria reliquas ab eisdem ductas conditasque esse colonias, quas longo interjecto tempore evertere conantes Tarentini ingentem cladem passi sunt, ut cædes hæc hominum Græci generis maxima fuerit omnium quas novimus, tam ipsorum Tarentinorum, quam Rheginorum. Ex Rheginis enim civibus, qui, a Micytho Choeri filio vi coacti, auxilio Tarentinis venerant, ea occasione perierunt tria millia; ipsorum vero Tarentinorum, qui obiere, non constabat numerus. (4) Micythus autem, qui minister fuit Anaxilai, Rhegii relictus erat ad administrandam urbem; idem qui deinde Rhegio pulsus, Tegeam Arcadiæ habitavit, et multas illas Olympiæ statuas dedicavit.

CLXXI. Sed hæc de Rheginis et Tarentinis in transcursu dicta sunto. In Cretam vero hominibus viduatam immigrasse, aiunt Præsii, alios homines, maximeque Græcos: tertia vero post Minois obitum generatione gestum esse bellum Trojanum, in quo non postremi ordinis adjutores Menelai Cretenses fuisse satis aiunt constare. (2) Pro ista vero opera Græcis navata, postquam a Troja rediissent Cretenses, famem pestemque et ipsis et gregibus ipsorum esse obortam; denique, desolata iterum Creta, tertios nunc Cretenses una cum his, qui e superioribus reliqui fuissent, eam habitare. Hæc igitur in memoriam illis revocans Pythia prohibuit auxilia Græcis mittere volentes.

CLXXII. Thessali primum necessitate coacti Medorum

ἐμήδισαν, ὡς διέδεξαν ὅτι οὔ σφι ἤνδανε τὰ οἱ Ἀλευάδαι ἐμηχανέοντο. Ἐπείτε γὰρ ἐπύθοντο τάχιστα μέλλοντα διαβαίνειν τὸν Πέρσην ἐς τὴν Εὐρώπην, πέμπουσι ἐς τὸν Ἰσθμὸν ἀγγέλους· ἐν δὲ τῷ Ἰσθμῷ ἔσαν ἡλισμένοι πρόβουλοι τῆς Ἑλλάδος ἀραιρημένοι ἀπὸ τῶν πολίων τῶν τὰ ἀμείνω φρονεουσέων περὶ τὴν Ἑλλάδα. (3) Ἀπικόμενοι δὲ ἐπὶ τούτους τῶν Θεσσαλῶν οἱ ἄγγελοι ἔλεγον, « ἄνδρες Ἕλληνες, δεῖ φυλάσσεσθαι τὴν ἐσβολὴν τὴν Ὀλυμπικήν, ἵνα Θεσσαλίη τε καὶ ἡ σύμπασα ἡ Ἑλλὰς ἐν σκέπῃ τοῦ πολέμου. (3) Ἡμεῖς μέν νυν ἑτοῖμοί εἰμεν συμφυλάσσειν, πέμπειν δὲ χρὴ καὶ ὑμέας στρατιὴν πολλήν, ὡς εἰ μὴ πέμψετε, ἐπίστασθε ἡμέας ὁμολογήσειν τῷ Πέρσῃ· οὐ γάρ τοι προκατημένους τοσοῦτο πρὸ τῆς ἄλλης Ἑλλάδος μούνους πρὸ ὑμέων δεῖ ἀπολέσθαι. (4) Βωθέειν δὲ οὐ βουλόμενοι ἀναγκαίην ἡμῖν οὐδεμίαν οἷοί τέ ἐστε προσφέρειν· οὐδαμὰ γὰρ ἀδυνασίης ἀνάγκη κρέσσων ἔφυ. Ἡμεῖς δὲ πειρησόμεθα αὐτοί τινα σωτηρίην μηχανεώμενοι. » Ταῦτα ἔλεγον οἱ Θεσσαλοί.

CLXXIII. Οἱ δὲ Ἕλληνες πρὸς ταῦτα ἐβουλεύσαντο ἐς Θεσσαλίην πέμπειν κατὰ θάλασσαν πεζὸν στρατὸν φυλάξοντα τὴν ἐσβολήν. Ὡς δὲ συνελέχθη ὁ στρατός, ἔπλωε δι' Εὐρίπου· ἀπικόμενος δὲ τῆς Ἀχαιίης ἐς Ἅλον, ἀποβὰς ἐπορεύετο ἐς Θεσσαλίην, τὰς νέας αὐτοῦ καταλιπών, καὶ ἀπίκετο ἐς τὰ Τέμπεα ἐς τὴν ἐσβολὴν ἣ περ ἀπὸ Μακεδονίης τῆς κάτω ἐς Θεσσαλίην φέρει παρὰ Πηνειὸν ποταμόν, μεταξὺ δὲ Οὐλύμπου τε οὔρεος ἐόντα καὶ τῆς Ὄσσης. (2) Ἐνθαῦτα ἐστρατοπεδεύοντο τῶν Ἑλλήνων κατὰ μυρίους ὁπλῖται συλλεγέντες, καί σφι προσῆν ἡ Θεσσαλῶν ἵππος· ἐστρατήγεε δὲ Λακεδαιμονίων μὲν Εὐαίνετος ὁ Καρήνου ἐκ τῶν πολεμάρχων ἀραιρημένος, γένεος μέντοι ἐὼν οὐ τοῦ βασιληίου, Ἀθηναίων δὲ Θεμιστοκλέης ὁ Νεοκλέος. (3) Ἔμειναν δὲ ὀλίγας ἡμέρας ἐνθαῦτα· ἀπικόμενοι γὰρ ἄγγελοι παρ' Ἀλεξάνδρου τοῦ Ἀμύντεω ἀνδρὸς Μακεδόνος συνεβούλευόν σφι ἀπαλλάσσεσθαι μηδὲ μένοντας ἐν τῇ ἐσβολῇ καταπατηθῆναι ὑπὸ τοῦ στρατοῦ τοῦ ἐπιόντος, σημαίνοντες τὸ πλῆθος τῆς στρατιῆς καὶ τὰς νέας. (4) Ὡς δὲ οὗτοί σφι ταῦτα συνεβούλευον (χρηστὰ γὰρ ἐδόκεον συμβουλεύειν, καί σφι εὔνοος ἐφαίνετο ἐὼν ὁ Μακεδών), ἐπείθοντο. Δοκέειν δέ μοι, ἀρρωδίη ἦν τὸ πεῖθον, ὡς ἐπύθοντο καὶ ἄλλην ἐοῦσαν ἐσβολὴν ἐς Θεσσαλοὺς κατὰ τὴν ἄνω Μακεδονίην διὰ Περραιβῶν κατὰ Γόννον πόλιν, τῇ περ δὴ καὶ ἐσέβαλε ἡ στρατιὴ ἡ Ξέρξεω. Καταβάντες δὲ οἱ Ἕλληνες ἐπὶ τὰς νέας ὀπίσω ἐπορεύοντο ἐς τὸν Ἰσθμόν.

CLXXIV. Αὕτη ἐγένετο ἡ ἐς Θεσσαλίην στρατηίη βασιλέος τε μέλλοντος διαβαίνειν ἐς τὴν Εὐρώπην ἐκ τῆς Ἀσίης καὶ ἐόντος ἤδη ἐν Ἀβύδῳ. Θεσσαλοὶ δὲ ἐρημωθέντες συμμάχων, οὕτω δὴ ἐμήδισαν προθύμως οὐδ' ἔτι ἐνδοιαστῶς, ὥστε ἐν τοῖσι πρήγμασι ἐφαίνοντο βασιλέϊ ἄνδρες ἐόντες χρησιμώτατοι.

CLXXV. Οἱ δὲ Ἕλληνες ἐπείτε ἀπίκατο ἐς τὸν

partes sequi cœperunt, postquam ostenderunt non sibi placere Aleuadarum artificia. Nam simulatque intellexerunt Persam esse in Europam trajecturum, nuncios in Isthmum miserunt, ubi convenerant legati a civitatibus meliora sentientibus delecti, qui pro salute Græciæ deliberarent. (2) Ad hos ubi venerant Thessalorum legati, hac oratione usi sunt : « Viri Græci, custodire oportet fauces Olympicas, quo Thessalia et universa Græcia a bello tuta præstetur. (3) Sumus quidem nos parati ad eas vobiscum custodiendas, sed et vos oportet validum mittere exercitum : etenim, nisi miseritis, scitote nos cum Persa fœdus esse inituros. Nec enim profecto æquum est, ut nos, qui ante reliquam Græciam adeo sumus expositi, soli pro vobis pereamus. (4) Quodsi vos opem ferre non vultis, nullam nobis necessitatem poteritis imponere; ultra vires enim cogi nemo potest : sed ipsi dabimus operam ut saluti nostræ aliqua ratione consulamus. » Hæc Thessalorum fuit oratio.

CLXXIII. Qua audita oratione decreverunt Græci pedestrem exercitum mari in Thessaliam mittere, qui fauces illas custodiret. Qui ubi collectus est exercitus, per Euripum navigavit; et postquam Alon Achaiæ *Phthiotidis* pervenit, in terram expositus, relictis ibi navibus, in Thessaliam ire perrexit : et in Tempe pervenit, ubi sunt fauces quæ ex inferiori Macedonia in Thessaliam ferunt secundum Peneum fluvium, qui inter Olympum montem et Ossam interfluit. (2) Ibi castra posuerunt collecta Græcorum circa decem millia gravis armaturæ : cum eisque Thessalorum erat equitatus. Imperator erat Lacedæmoniorum Euænetus, Careni filius, ex polemarchis electus, non quidem ex regia familia natus; Atheniensium vero, Themistocles Neoclis filius. (3) At nonnisi paucos dies hi ibi manserunt. Advenientes enim ab Alexandro Macedone, Amyntæ filio, legati suaserunt eis ut discederent, neu in his faucibus manentes conculcarentur ab invadente exercitu; quibus verbis illi multitudinem copiarum pedestrium nauticarumque significarunt. (4) His igitur ita suadentibus, quum salutare videretur consilium, satisque constaret bene adversus ipsos animatum esse Macedonem, paruerunt Græci. Mihi vero videtur metus fuisse, qui illis ut discederent suaserit, quum intellexissent aliam præter hanc esse viam qua in Thessaliam transire hostis posset, per superiorem Macedoniam et Perrhæborum fines juxta Gonnon urbem; qua etiam in Thessaliam transiit Xerxis exercitus. Græci igitur, naves suas repetentes, ad Isthmum retro sunt profecti.

CLXXIV. Hæc in Thessaliam expeditio suscepta est, quum rex in eo fuit ut in Europam ex Asia trajiceret, jamque Abydum pervenerat. Ita ergo Thessali, sociis destituti, studiose neque amplius dubitanter Medorum partes sunt amplexi, adeo et in ipsis rebus gerendis utilissimos sese regi præstiterint.

CLXXV. Græci postquam ad Isthmum pervenere, repu-

Ἰσθμὸν, ἐβουλεύοντο πρὸς τὰ λεχθέντα ἐξ Ἀλεξάνδρου τῇ τε στήσονται τὸν πόλεμον καὶ ἐν οἵοισι χώροισι. (2) Ἡ νικῶσα δὲ γνώμη ἐγένετο τὴν ἐν Θερμοπύλῃσι ἐσβολὴν φυλάξαι· στεινοτέρη γὰρ ἐφαίνετο ἐοῦσα τῆς ἐς Θεσσαλίην, καὶ ἅμα ἀγχοτέρη τῆς ἑωυτῶν. Τὴν δὲ ἀτραπὸν, δι' ἣν ἥλωσαν οἱ ἁλόντες Ἑλλήνων ἐν Θερμοπύλῃσι, οὐδὲ ἤδεσαν ἐοῦσαν πρότερον ἤπερ ἀπικόμενοι ἐς Θερμοπύλας ἐπύθοντο Τρηχινίων. (3) Ταύτην ὦν ἐβουλεύσαντο φυλάσσοντες τὴν ἐσβολὴν μὴ παριέναι ἐς τὴν Ἑλλάδα τὸν βάρβαρον, τὸν δὲ ναυτικὸν στρατὸν πλώειν γῆς τῆς Ἱστιαιήτιδος ἐπ' Ἀρτεμίσιον. Ταῦτα γὰρ ἀγχοῦ τε ἀλλήλων ἐστὶ ὥστε πυνθάνεσθαι τὰ κατ' ἑκατέρους ἐόντα, οἵ τε χῶροι οὕτω ἔχουσι.

CLXXVI. Τοῦτο μὲν, τὸ Ἀρτεμίσιον, ἐκ τοῦ πελάγεος τοῦ Θρηϊκίου ἐξ εὐρέος συνάγεται ἐς στεινὸν ἐόντα τὸν πόρον τὸν μεταξὺ νήσου τε Σκιάθου καὶ ἠπείρου Μαγνησίης· ἐκ δὲ τοῦ στεινοῦ τῆς Εὐβοίης ἤδη τὸ Ἀρτεμίσιον δέκεται αἰγιαλὸς, ἐν δὲ Ἀρτέμιδος ἱρόν. (2) Ἡ δὲ αὖ διὰ Τρηχῖνος ἔσοδος ἐς τὴν Ἑλλάδα ἐστὶ, τῇ στεινοτάτη, ἡμίπλεθρον. Οὐ μέντοι κατὰ τοῦτό γ' ἐστὶ τὸ στεινότατον τῆς χώρης τῆς ἄλλης, ἀλλ' ἔμπροσθέ τε Θερμοπυλέων καὶ ὄπισθε, κατά τε Ἀλπηνοὺς ὄπισθε ἐόντας ἐοῦσα ἁμαξιτὸς μούνη, καὶ ἔμπροσθε κατὰ Φοίνικα ποταμὸν ἀγχοῦ Ἀνθηλῆς πόλιος ἁμαξιτὸς ἄλλη μούνη. (3) Τῶν δὲ Θερμοπυλέων τὸ μὲν πρὸς ἑσπέρης οὖρος ἄβατόν τε καὶ ἀπόκρημνον, ὑψηλὸν, ἀνατεῖνον ἐς τὴν Οἴτην· τὸ δὲ πρὸς τὴν ἠῶ τῆς ὁδοῦ θάλασσα ὑποδέκεται καὶ τενάγεα. Ἔστι δὲ ἐν τῇ ἐσόδῳ ταύτῃ θερμὰ λουτρὰ, τὰ Χύτρους καλεῦσι οἱ ἐπιχώριοι, καὶ βωμὸς ἵδρυται Ἡρακλέος ἐπ' αὐτοῖσι. (4) Ἐδέδμητο δὲ τεῖχος κατὰ ταύτας τὰς ἐσβολὰς, καὶ τό γε παλαιὸν πύλαι ἐπῆσαν. Ἔδειμαν δὲ Φωκέες τὸ τεῖχος δείσαντες, ἐπεὶ Θεσσαλοὶ ἦλθον ἐκ Θεσπρωτῶν οἰκήσοντες γῆν τὴν Αἰολίδα, τήν περ νῦν ἐκτέαται. (5) Ἅτε δὴ πειρωμένων τῶν Θεσσαλῶν καταστρέφεσθαί σφεας, τοῦτο προεφυλάξαντο οἱ Φωκέες, καὶ τὸ ὕδωρ τὸ θερμὸν τότε ἐπῆκαν ἐπὶ τὴν ἔσοδον, ὡς ἂν χαραδρωθείη ὁ χῶρος, πᾶν μηχανεώμενοι ὅκως μή σφι ἐσβάλοιεν οἱ Θεσσαλοὶ ἐς τὴν χώρην. (6) Τὸ μέν νυν τεῖχος τὸ ἀρχαῖον ἐκ παλαιοῦ τε ἐδέδμητο, καὶ τὸ πλέον αὐτοῦ ἤδη ὑπὸ χρόνου ἐκέετο· τοῖσι δὲ αὖτις ὀρθώσασι ἔδοξε ταύτῃ ἀπαμύνειν ἀπὸ τῆς Ἑλλάδος τὸν βάρβαρον. Κώμη δέ ἐστι ἀγχοτάτω τῆς ὁδοῦ, Ἀλπηνοὶ οὔνομα· ἐκ ταύτης δὲ ἐπισιτιέεσθαι ἐλογίζοντο οἱ Ἕλληνες.

CLXXVII. Οἱ μέν νυν χῶροι οὗτοι τοῖσι Ἕλλησι εἶναι ἐφαίνοντο ἐπιτήδεοι· ἅπαντα γὰρ προσκεψάμενοι καὶ ἐπιλογισθέντες ὅτι οὔτε πλήθεϊ ἕξουσι χρᾶσθαι οἱ βάρβαροι οὔτε ἵππῳ, ταύτῃ σφι ἔδοξε δέκεσθαι τὸν ἐπιόντα ἐπὶ τὴν Ἑλλάδα. (2) Ὡς δὲ ἐπύθοντο τὸν Πέρσην ἐόντα ἐν Πιερίῃ, διαλυθέντες ἐκ τοῦ Ἰσθμοῦ ἐστρατεύοντο αὐτῶν οἱ μὲν ἐς Θερμοπύλας πεζῇ, ἄλλοι δὲ κατὰ θάλασσαν ἐπ' Ἀρτεμίσιον.

CLXXVIII. Οἱ μὲν δὴ Ἕλληνες κατὰ τάχος ἐβώ-

tantes ea quæ ab Alexandro nunciata erant, deliberarunt qua ratione bellum administrarent, et quibus in locis sedes belli esset statuenda. (2) Vicit sententia, ut Thermopylarum fauces custodirentur: nam et angustiores has esse constabat quam illas per quas ex Macedonia in Thessaliam transitur, simulque propiores hæ erant ipsorum terræ, callem autem, per quem deinde factum est ut interciperentur Græci ad Thermopylas, ne esse quidem noverant, priusquam Thermopylas ingressi resciverunt a Trachiniis. (3) Decreverunt igitur, custoditis illis faucibus Barbarum introitu in Græciam prohibere, classem vero ad Artemisium terræ Histiæotidis mittere. Nam vicina inter se sunt ista loca, ut quid utrobique geratur facile cognosci possit; et locorum hæc ratio est.

CLXXVI. Artemisium ex aperto mari Thracico in angustum fretum coarctatur, quod est inter Sciathum insulam et continentem Magnesiæ: inde angustias illas excipit Artemisium littus Euboeæ, in quo est Artemidos (*Dianæ*) templum. (2) Fauces autem illæ, per quas ex Trachine in Græciam est introitus, ubi angustissimæ sunt, non ultra dimidiatum plethrum (*quinquaginta pedes*) patent. Nec vero ibi angustissimus locus universi hujus tractus est, sed ante et post Thermopylas: nam prope Alpenos, qui sunt post illas, nonnisi uni agendo vehiculo via patet; rursusque ante Thermopylas, ubi est Phœnix rivus, prope Anthelam oppidum, non nisi uni vehiculo patet iter. (3) Ab occidente vero Thermopylarum mons est præaltus, inaccessus præruptusque, ad Œtam tendens: ab oriente vero viæ, mare est et paludes. Sunt autem in his faucibus aquæ calidæ, quas Chytros (*id est* Lebetes) incolæ vocant; supra quas ara erecta est Herculi. (4) In hisce faucibus constructus erat murus, in quo olim porta fuerat. Murum illum Phocenses exstruxerant metu Thessalorum, qui ex Thesprotia venerant, terram Æolidem habitaturi, quam nunc possident. (5) Quum enim id agerent Thessali, ut vi subigerent Phocenses, muro isto exstructo hi sibi præcaverunt; atque etiam in viam, qua transitur, calidam aquam derivarunt, quo voraginosus fieret locus; quidlibet machinantes, ne in terram suam irrumperent Thessali. (6) Murus igitur ille antiquitus erat ædificatus, tunc vero majori ex parte corruerat vetustate: Græci autem restituere eum decreverunt, et ibi Barbarum introitu Græciæ prohibere. Abest autem proxime a via vicus, nomine Alpeni: ex quo rei frumentariæ Græci prospicere statuerunt.

CLXXVII. Hæc itaque loca haud dubie opportuna illis visa erant: atque adeo, provisis rebus omnibus, reputantes nec multitudine hominum ibi uti posse Barbaros, nec equitatu, excipere ibidem impetum invadentis Græciam hostis decreverunt. (2) Quumque cognovissent in Pieria esse Persam, ex Isthmo discesserunt et pedibus alii profecti sunt ad Thermopylas, alii mari ad Artemisium.

CLXXVIII. Dum ita Græci, bifariam divisi, occurrere

θεον διαταχθέντες, Δελφοὶ δ' ἐν τούτῳ τῷ χρόνῳ ἐχρηστηριάζοντο τῷ θεῷ ὑπὲρ ἑωυτῶν καὶ τῆς Ἑλλάδος καταρρωδηκότες, καί σφι ἐχρήσθη ἀνέμοισι εὔχεσθαι· μεγάλους γὰρ τούτους ἔσεσθαι τῇ Ἑλλάδι συμμάχους. (2) Δελφοὶ δὲ δεξάμενοι τὸ μαντήϊον πρῶτα μὲν Ἑλλήνων τοῖσι βουλομένοισι εἶναι ἐλευθέροισι ἐξήγγειλαν τὰ χρησθέντα αὐτοῖσι, καί σφι δεινῶς καταρρωδέουσι τὸν βάρβαρον ἐξαγγείλαντες χάριν ἀθάνατον κατέθεντο· (3) μετὰ δὲ ταῦτα οἱ Δελφοὶ τοῖσι ἀνέμοισι βωμόν τε ἀπέδεξαν ἐν Θυίῃ, τῇ περ τῆς Κηφισοῦ θυγατρὸς Θυίης τὸ τέμενός ἐστι, ἐπ' ἧς καὶ ὁ χῶρος οὗτος τὴν ἐπωνυμίην ἔχει, καὶ θυσίῃσί σφεας μετήϊσαν. Δελφοὶ μέν νυν κατὰ τὸ χρηστήριον ἔτι καὶ νῦν τοὺς ἀνέμους ἱλάσκονται.

CLXXIX. Ὁ δὲ ναυτικὸς Ξέρξεω στρατὸς ὁρμεώμενος ἐκ Θέρμης πόλιος παρέβαλε νησὶ τῇσι ἄριστα πλωούσῃσι δέκα ἰθὺ Σκιάθου, ἔνθα ἔσαν προφυλάσσουσαι νέες τρεῖς Ἑλληνίδες, Τροιζηνίη τε καὶ Αἰγιναίη καὶ Ἀττική. Προϊδόντες δὲ οὗτοι τὰς νέας τῶν βαρβάρων ἐς φυγὴν ὥρμησαν.

CLXXX. Τὴν μὲν δὴ Τροιζηνίην, τῆς ἦρχε Πρηξῖνος, αὐτίκα αἱρέουσι ἐπισπόμενοι οἱ βάρβαροι. Καὶ ἔπειτεν τῶν ἐπιβατέων αὐτῆς τὸν καλλιστεύοντα ἀγαγόντες ἐπὶ τὴν πρῴρην τῆς νεὸς ἔσφαξαν, διαδέξιον ποιεύμενοι τὸν εἶλον τῶν Ἑλλήνων πρῶτον καὶ κάλλιστον. (2) Τῷ δὲ σφαγιασθέντι τούτῳ οὔνομα ἦν Λέων· τάχα δ' ἄν τι καὶ τοῦ οὐνόματος ἐπαύροιτο.

CLXXXI. Ἡ δὲ Αἰγιναίη, τῆς ἐτριηράρχεε Ἀσωνίδης, καί τινα σφι θόρυβον παρέσχε Πυθέεω τοῦ Ἰσχενόου ἐπιβατεύοντος, ἀνδρὸς ἀρίστου γενομένου ταύτην τὴν ἡμέρην, ὃς ἐπειδὴ ἡ νηῦς ἡλίσκετο ἐς τοῦτο ἀντεῖχε μαχόμενος ἐς ὃ κατεκρεουργήθη ἅπας. (2) Ὡς δὲ πεσὼν οὐκ ἀπέθανε, ἀλλ' ἦν ἔμπνοος, οἱ Πέρσαι, οἵ περ ἐπεβάτευον ἐπὶ τῶν νεῶν, δι' ἀρετὴν τὴν ἐκείνου περιποιῆσαί μιν περὶ πλείστου ἐποιήσαντο, σμύρνῃσί τε ἰώμενοι τὰ ἕλκεα καὶ σινδόνος βυσσίνης τελαμῶσι κατειλίσσοντες. (3) Καί μιν, ὡς ὀπίσω ἀπίκοντο ἐς τὸ ἑωυτῶν στρατόπεδον, ἐπεδείκνυσαν ἐκπαγλεόμενοι πάσῃ τῇ στρατιῇ, περιέποντες εὖ. Τοὺς δὲ ἄλλους τοὺς ἑλαβον ἐν τῇ νηῒ ταύτῃ, περιεῖπον ὡς ἀνδράποδα.

CLXXXII. Αἱ μὲν δὴ δύο τῶν νεῶν οὕτω ἐχειρώθησαν, ἡ δὲ τρίτη, τῆς ἐτριηράρχεε Φόρμος ἀνὴρ Ἀθηναῖος, φεύγουσα ἐξοκέλλει ἐς τὰς ἐκβολὰς τοῦ Πηνειοῦ, καὶ τοῦ μὲν σκάφεος ἐκράτησαν οἱ βάρβαροι, τῶν δὲ ἀνδρῶν οὔ· ὡς γὰρ δὴ τάχιστα ἐπώκειλαν τὴν νέα οἱ Ἀθηναῖοι, ἀποθορόντες κατὰ Θεσσαλίην πορευόμενοι ἐκομίσθησαν ἐς Ἀθήνας. (2) Ταῦτα οἱ Ἕλληνες οἱ ἐπ' Ἀρτεμισίῳ στρατοπεδευόμενοι πυνθάνονται παρὰ πυρσῶν ἐκ Σκιάθου. Πυθόμενοι δὲ καὶ καταρρωδήσαντες ἀπὸ τοῦ Ἀρτεμισίου μετωρμίζοντο ἐς Χαλκίδα, φυλάξοντες μὲν τὸν Εὔριπον, λείποντες δὲ ἡμεροσκόπους περὶ τὰ ὑψηλὰ τῆς Εὐβοίης.

CLXXXIII. Τῶν δὲ δέκα νεῶν τῶν βαρβάρων τρεῖς ἐπήλασαν περὶ τὸ ἕρμα τὸ μεταξὺ ἐόν Σκιάθου τε καὶ

hosti maturant; interim Delphenses, et sibi et Græciæ timentes, deum consuluerunt. Redditumque his est responsum, precibus votisque placarent ventos; hos enim magnos Græciæ fore adjutores. (2) Id acceptum responsum protinus Delphenses Græcis omnibus, qui libertatem tueri cupiebant, renunciarunt, eoque nuncio apud hos, quippe ad Barbari adventum vehementer trepidantes, immortalem inierunt gratiam. (3) Deinde iidem Delphenses ventis aram dedicarunt in Thyia, ubi locus sacer est Thyiæ, Cephissi filiæ, cujus de nomine locus iste nomen invenit, sacrificiisque illos placarunt. Atque etiam nunc ex oraculi jussu ventos placant Delphenses.

CLXXIX. Nauticus Xerxis exercitus, Therma urbe profectus, navibus decem optime navigantibus (*quæ classem antecedebant*) recta Sciathum trajecit; ubi in statione erant speculatoriæ tres naves Græcorum, Trœzenia, Æginensis, et Attica. Prospicientes autem hi naves barbarorum, fugæ sese mandant.

CLXXX. Et Trœzeniam quidem navem, cui præerat Praxinus, protinus capiunt insequentes barbari. Quo facto, ex classiariis eum qui forma cæteris præstabat, in proram navis deductum, mactant, faustum omen sibi esse ducentes pulcerrimum Græcorum, quem primum omnium cepissent. (2) Erat autem mactato huic nomen Leo; qui fortasse aliquatenus ex ipso etiam hoc nomine istum fructum percepit.

CLXXXI. Æginensis vero triremis, cui Asonides erat præfectus, trepidationem etiam quamdam injecit hostibus. Militabat enim in ea Pytheas, Ischenoi filius, qui fortissimum virum illo die se præstitit; et, postquam capta est navis, eo usque pugnans restitit, donec totus veluti in frusta esset concisus. (2) Quem Persæ, qui in illis navibus militabant, quum cadens non esset mortuus, sed spiraret adhuc, propter ipsius virtutem in vita servare maximi facientes, myrrhis vulnera viri curarunt, et fasciis ex byssina sindone obligarunt: (3) eumdemque, ut ad castra sua redierunt, universo exercitui summa cum admiratione ostenderunt, benigneque cum eo egerunt: reliquos autem, quos in eadem navi ceperant, mancipiorum loco habuere.

CLXXXII. Ita igitur duæ ex illis navibus ab hostibus captæ sunt: tertia vero triremis, cui Phormus præerat Atheniensis, dum fuga se recepit, ad terram impacta est in Penei ostiis: et navi quidem potiti sunt barbari, viris autem non item. Hi enim, simulatque ad littus navem ejecerant, exsiliere et per Thessaliam iter facientes redierunt Athenas. (2) Hæc Græci ad Artemisium castra habentes, per ignes ex Sciatho editos cognoverunt; et cognitis, territi ab Artemisio ad Chalcidem cum classe se receperunt, Euripum custodituri, relictis quidem speculatoribus in editis Eubœæ locis.

CLXXXIII. Ex decem, quas dixi, navibus hostium tres ad scopulum accesserunt inter Sciathum et Magnesiam in-

Μαγνησίης, καλεύμενον δὲ Μύρμηκα. (2) Ἐνθαῦτα οἱ βάρβαροι ἐπειδὴ στήλην λίθου ἐπέθηκαν κομίσαντες ἐπὶ τὸ ἔρμα, ὁρμηθέντες αὐτοὶ ἐκ Θέρμης, ὡς σφι τὸ ἐμποδὼν ἐγεγόνεε καθαρὸν, ἐπέπλωον πάσῃσι τῇσι νηυσὶ, ἑνδεκα ἡμέρας παρέντες μετὰ τὴν βασιλέος ἐξέλασιν ἐκ Θέρμης. (3) Τὸ δὲ ἔρμα σφι κατηγήσατο ἐὸν ἐν πόρῳ μάλιστα Πάμμων Σκύριος. Πανημερὸν δὲ πλώοντες οἱ βάρβαροι ἐξανύουσι τῆς Μαγνησίης χώρης ἐπὶ Σηπιάδα τε καὶ τὸν αἰγιαλὸν τὸν μεταξὺ Κασθαναίης τε πόλιος ἐόντα καὶ Σηπιάδος ἀκτῆς.

CLXXXIV. Μέχρι μέν νυν τούτου τοῦ χώρου καὶ Θερμοπυλέων ἀπαθής τε κακῶν ἦν ὁ στρατὸς, καὶ πλῆθος ἦν τηνικαῦτα ἔτι, ὡς ἐγὼ συμβαλλόμενος εὑρίσκω, τόσον, τῶν μὲν ἐκ τῶν νεῶν τῶν ἐκ τῆς Ἀσίης, ἐουσέων ἑπτὰ καὶ διηκοσιέων καὶ χιλιέων, τὸν μὲν ἀρχαῖον ἑκάστων τῶν ἐθνέων ἐόντα ὅμιλον τέσσερας καὶ εἴκοσι μυριάδας καὶ πρὸς χιλιάδα τε καὶ τετρακοσίους, ὡς ἀνὰ διηκοσίους ἄνδρας λογιζομένοισι ἐν ἑκάστῃ νηΐ. (2) Ἐπεβάτευον δὲ ἐπὶ τούτων τῶν νεῶν, χωρὶς ἑκάστων τῶν ἐπιχωρίων ἐπιβατέων, Περσέων τε καὶ Μήδων καὶ Σακέων τριήκοντα ἄνδρες. Οὗτος ἄλλος ὅμιλος γίνεται τρισμύριοι καὶ ἑξακισχίλιοι καὶ πρὸς διηκόσιοί τε καὶ δέκα. (3) Προσθήσω δ' ἔτι τούτῳ καὶ τῷ προτέρῳ ἀριθμῷ τοὺς ἐκ τῶν πεντηκοντέρων, ποιήσας ὅ τι πλέον ἦν αὐτῶν ἢ ἔλασσον ἀν' ὀγδώκοντα ἄνδρας ἐνεῖναι. Συνελέχθη δὲ ταῦτα τὰ πλοῖα, ὡς καὶ πρότερόν μοι εἰρέθη, τρισχίλια. Ἦσαν ὦν ἄνδρες ἀν εἶεν ἐν αὐτοῖσι τέσσερες μυριάδες καὶ εἴκοσι. (4) Τοῦτο μέν νυν τὸ ἐκ τῆς Ἀσίης ναυτικὸν ἦν, σύμπαν ἐὸν πεντήκοντα μυριάδες καὶ μία, χιλιάδες τε ἕπεισι ἐπὶ ταύτῃσι ἑπτὰ καὶ πρὸς ἑκατοντάδες ἓξ καὶ δεκάς. (5) Τοῦ δὲ πεζοῦ ἑβδομήκοντα καὶ ἑκατὸν μυριάδες ἐγίνοντο, τῶν δὲ ἱππέων ὀκτὼ μυριάδες. Προσθήσω δ' ἔτι τούτοισι τὰς καμήλους τοὺς ἐλαύνοντας Ἀραβίους καὶ τοὺς τὰ ἅρματα Λίβυας, πλῆθος ποιήσας δισμυρίους ἄνδρας. (6) Καὶ δὴ τό τε ἐκ τῶν νεῶν καὶ τοῦ πεζοῦ πλῆθος συντιθέμενον γίνεται διηκόσιαί τε μυριάδες καὶ τριήκοντα καὶ μία, καὶ πρὸς χιλιάδες ἑπτὰ καὶ ἑκατοντάδες ἓξ καὶ δεκάς. (7) Τοῦτο μὲν τὸ ἐξ αὐτῆς τῆς Ἀσίης στράτευμα ἐξαναχθὲν εἴρηται, ἄνευ τε τῆς θεραπηίης τῆς ἑπομένης καὶ τῶν σιταγωγῶν πλοίων καὶ ὅσοι ἐνέπλωον τούτοισι.

CLXXXV. Τὸ δὲ δὴ ἐκ τῆς Εὐρώπης ἀγόμενον στράτευμα ἔτι προσλογιστέα τούτῳ παντὶ τῷ ἐξηριθμημένῳ· δόκησιν δὲ δεῖ λέγειν. Νέας μέν νυν οἱ ἀπὸ Θρηίκης Ἕλληνες καὶ ἐκ τῶν νήσων τῶν ἐπικειμένων τῇ Θρηίκῃ παρείχοντο εἴκοσι καὶ ἑκατόν· ἐκ μέν νυν τούτων τῶν νεῶν ἄνδρες τετρακισχίλιοι καὶ δισμύριοι γίνονται. (2) Πεζοῦ δὲ τὸν Θρῆικες παρείχοντο καὶ Παίονες καὶ Ἐορδοὶ καὶ Βοττιαῖοι καὶ τὸ Χαλκιδικὸν γένος καὶ Βρύγοι καὶ Πίερες καὶ Μακεδόνες καὶ Περραιβοὶ καὶ Αἰνιῆνες καὶ Δόλοπες καὶ Μάγνητες καὶ Ἀχαιοὶ καὶ ὅσοι τῆς Θρηίκης τὴν παραλίην νέμονται, τούτων τῶν ἐθνέων τριήκοντα μυριάδας δοκέω γενέσθαι.

terjectum, qui Myrmex (*id est* Formica) vocatur. (2) Super eo ubi barbari advectam lapideam columnam erexerunt, dein, ut jam nihil amplius navigationi obstabat, prætermissis ab regis ex Therma profectione undecim diebus, omnibus navibus Therma profecti, cursum versus Græciam continuarunt. (3) Scopulum autem illum, in medio fere freto situm, indicaverat eis Pammon Scyrius. Totum igitur diem navigantes barbari viam confecerunt usque ad Sepiadem terræ Magnesiæ et ad littus inter Casthanæam oppidum et Sepiadem oram interjectum.

CLXXXIV. Ad hunc usque locum, et usque Thermopylas, exsors malorum fuit Xerxis exercitus; et numerus quidem hominum, ut ego computando invenio, tunc adhuc hic fuit: quum naves ex Asia profectæ numero fuerint ducentæ et septem supra mille, veterem multitudinem ex singulis populis collectam reperio fuisse unum et ducenta quadraginta millia hominum cum quadringentis, ducenos in quaque navi viros supputando. (2) Erant autem in quaque illarum navium, præter indigenas classiarios, triceni viri Persæ, Medi, et Sacæ: quæ altera multitudo efficit homines tricies sexies mille, ducentos et decem. (3) Huic vero et superiori numero adjiciam etiam eos, qui in quinquaginta remorum navibus actuariis fuerunt; statuens in earum quaque, plus minus, fuisse octogenos. Collecta autem hujusmodi navigia fuerunt, ut jam ante demonstravi, ter mille: fuerint igitur in his ducenta quadraginta hominum millia. (4) Itaque navales hæ copiæ ex Asia transductæ numero fuere quingenta septemdecim hominum millia cum sexcentis et decem. (5) Jam peditatus fuit decies septies centenorum millium; equitatus vero millium octoginta. His adjiciam Arabes camelis vectos, et Afros agitantes currus; quorum summam statuo fuisse viginti millium. (6) Ita conficitur nauticarum et pedestrium copiarum numerus, in unam summam collatus, vicies ter centena et septemdecim hominum millia cum sexcentis et decem. (7) Hic est igitur copiarum numerus, quas ex Asia eductas diximus, non computato famulitio quod illas sequebatur, nec frumentariis navibus, et qui his vehebantur.

CLXXXV. Jam cum universo hoc, quem enumeravimus, exercitu simul computandus ille est, qui ex Europa est contractus: de cujus quidem numero non nisi ex mea opinione dicere possum. Ac naves quidem Græci Thraciam et vicinas Thraciæ insulas incolentes contulere centum et viginti: quibus ex navibus conficitur hominum numerus, viginti quattuor millia. (2) Pedestrium vero copiarum, quas contulere Thraces et Pæones et Eordi et Bottiæi et Chalcidicum genus et Brygi et Pieres et Macedones et Perrhæbi et Ænianes et Dolopes et Magnetes et Achæi *Phthiotæ* et quotquot Thraciæ oram maritimam habitant: copiarum, inquam, ex his populis contractarum numerum fuisse æstimo, tre-

(2) Αὗται ὧν αἱ μυριάδες ἐκείνῃσι προστεθεῖσαι τῇσι ἐκ τῆς Ἀσίης γίνονται αἱ πᾶσαι ἀνδρῶν αἱ μάχιμοι μυριάδες διηκόσιαι καὶ ἑξήκοντα καὶ τέσσερες, ἔπεισι δὲ ταύτῃσι ἑκατοντάδες ἑκκαίδεκα καὶ δεκάς.

CLXXXVI. Τοῦ μαχίμου δὲ τούτου ἐόντος ἀριθμὸν τοσούτου, τὴν θεραπηΐην τὴν ἑπομένην τούτοισι καὶ τοὺς ἐν τοῖσι σιταγωγοῖσι ἀκάτοισι ἐόντας καὶ μάλα ἐν τοῖσι ἄλλοισι πλοίοισι τοῖσι ἅμα πλώουσι τῇ στρατιῇ, τούτους τῶν μαχίμων ἀνδρῶν οὐ δοκέω εἶναι ἐλάσσονας, ἀλλὰ πλεῦνας. (2) Καὶ δή σφεας ποιέω ἴσους ἐκείνοισι εἶναι, καὶ οὔτε πλεῦνας οὔτε ἐλάσσονας οὐδέν· ἐξισούμενοι δὲ οὗτοι τῷ μαχίμῳ ἐκπληροῦσι τὰς ἴσας μυριάδας ἐκείνῃσι. (3) Οὕτω πεντηκοσίας τε μυριάδας καὶ εἴκοσι καὶ ὀκτὼ καὶ χιλιάδας τρεῖς καὶ ἑκατοντάδας δύο καὶ δεκάδας δύο ἀνδρῶν ἦγαγε Ξέρξης ὁ Δαρείου μέχρι Σηπιάδος καὶ Θερμοπυλέων.

CLXXXVII. Οὗτος μὲν δὴ τοῦ συνάπαντος τοῦ Ξέρξεω στρατεύματος ἀριθμός. Γυναικῶν δὲ σιτοποιεῶν καὶ παλλακέων καὶ εὐνούχων οὐδεὶς ἂν εἴποι ἀτρεκέα ἀριθμόν· οὐδ' αὖ ὑποζυγίων τε καὶ τῶν ἄλλων κτηνέων τῶν ἀχθοφόρων καὶ κυνῶν Ἰνδικῶν τῶν ἑπομένων, οὐδ' ἂν τούτων ὑπὸ πλήθεος οὐδεὶς ἂν εἴποι ἀριθμόν. (2) Ὥστε οὐδέν μοι θῶμα παρίσταται προδοῦναι τὰ ῥέεθρα τῶν ποταμῶν ἔστι τῶν, ἀλλὰ μᾶλλον ὅκως τὰ σιτία ἀντέχρησε θῶμά μοι μυριάσι τοσαύτῃσι. (3) Εὑρίσκω γὰρ συμβαλλόμενος, εἰ χοίνικα πυρῶν ἕκαστος τῆς ἡμέρης ἐλάμβανε καὶ μηδὲν πλέον, ἑνδεκα μυριάδας μεδίμνων τελεομένας ἐπ' ἡμέρῃ ἑκάστῃ, καὶ πρὸς τριηκοσίους τε ἄλλους μεδίμνους καὶ τεσσεράκοντα· (4) γυναιξὶ δὲ καὶ εὐνούχοισι καὶ ὑποζυγίοισι καὶ κυσὶ οὐ λογίζομαι. Ἀνδρῶν δ' ἐουσέων τοσαυτέων μυριάδων, κάλλεός τε εἵνεκεν καὶ μεγάθεος οὐδεὶς αὐτῶν ἀξιονικότερος ἦν αὐτοῦ Ξέρξεω ἔχειν τοῦτο τὸ κράτος.

CLXXXVIII. Ὁ δὲ δὴ ναυτικὸς στρατὸς ἐπείτε ὁρμηθεὶς ἔπλωε καὶ κατέσχε τῆς Μαγνησίης χώρης ἐς τὸν αἰγιαλὸν τὸν μεταξὺ Κασθαναίης τε πόλιος ἐόντα καὶ Σηπιάδος ἀκτῆς, αἱ μὲν δὴ πρῶται τῶν νεῶν ὥρμεον πρὸς γῇ, ἄλλαι δ' ἐπ' ἐκείνῃσι ἐπ' ἀγκυρέων· ἅτε γὰρ τοῦ αἰγιαλοῦ ἐόντος οὐ μεγάλου, πρόκροσσαι ὡρμέοντο ἐς πόντον καὶ ἐπὶ ὀκτὼ νέας. (2) Ταύτην μὲν τὴν εὐφρόνην οὕτω, ἅμα δὲ ὄρθρῳ ἐξ αἰθρίης τε καὶ νηνεμίης τῆς θαλάσσης ζεσάσης ἐπέπεσέ σφι χειμών τε μέγας καὶ πολλὸς ἄνεμος ἀπηλιώτης, τὸν δὴ Ἑλλησποντίην καλεῦσι οἱ περὶ ταῦτα τὰ χωρία οἰκημένοι. (3) Ὅσοι μέν νυν αὐτῶν αὐξόμενον ἔμαθον τὸν ἄνεμον, καὶ τοῖσι οὕτω εἶχε ὅρμου, οἱ δ' ἔφθησαν τὸν χειμῶνα ἀνασπάσαντες τὰς νέας, καὶ αὐτοί τε περιῆσαν καὶ αἱ νέες αὐτῶν· ὅσας δὲ τῶν νεῶν μεταρσίας ἔλαβε, τὰς μὲν ἐξέφερε πρὸς Ἴπνους καλευμένους τοὺς ἐν Πηλίῳ, τὰς δὲ ἐς τὸν αἰγιαλόν· αἱ δὲ περὶ αὐτὴν τὴν Σηπιάδα περιέπιπτον, αἱ δὲ ἐς Μελίβοιαν πόλιν, αἱ δὲ ἐς Κασθαναίην ἐξεβράσσοντο. Ἦν τε τοῦ χειμῶνος χρῆμα ἀφόρητον.

centa hominum millia. (3) Quo numero cum illorum numero, qui ex Asia transducti sunt, in unam summam collato, conficitur universus numerus armatorum, sexies et vicies centena et unum et quadraginta millia, sexcenti et decem.

CLXXXVI. Tantus quum fuerit armatorum numerus, jam famulorum, qui hos sequebantur, eorumque qui in frumentariis erant navibus, et in reliquis utique navigiis exercitum comitantibus; horum, inquam, numerum non minorem, sed majorem etiam, puto fuisse quam numerum armatorum: (2) attamen parem hunc pono illi, et nihilo majorem, nec vero etiam minorem. Exæquato igitur horum numero cum numero illorum, prodit duplus numerus superioris. (3) Itaque quinquagies bis centena et octoginta tria millia ducentosque et viginti viros duxerat Xerxes Darii filius usque ad Sepiadem et ad Thermopylas.

CLXXXVII. Hic igitur universi exercitus Xerxis numerus fuit. Mulierum vero panificium curantium, et pellicum, et eunuchorum, nemo certum edere numerum possit, non magis quam equorum cæterorumque jumentorum impedimenta portantium, et canum Indicorum, quorum omnium immanis numerus castra secutus est. (2) Quare minime mirandum mihi videtur, fluminum nonnullorum aquam defecisse: sed illud potius miror, quo pacto cibaria sufficerint tot myriadibus. (3) Etenim inito calculo reperio, si unum tritici chœnicem unusquisque in diem, nec amplius, accepit, singulis diebus consumpta esse centena et dena millia medimnorum, insuperque medimnos trecentos et quadraginta: (4) quo in calculo non computavi id, quod mulieribus et eunuchis et jumentis et canibus tribui debuit. Tot autem quum fuerint virorum myriades, formæ præstantia et magnitudine corporis nemo ex omni hoc numero, quam Xerxes ipse, dignior fuit qui tanto præesset imperio.

CLXXXVIII. Jam classis, postquam solutis navibus, ut supra dixi, secundo cursu ad littus terræ Magnesiæ pervenit, quod inter Casthanæam oppidum et oram Sepiadem interjectum est; priores quidem naves ad ipsam terram adpulerunt, reliquæ vero, quoniam non adeo late patebat littus, post illas in ancoris stationem ceperunt, mare spectantes, et octo deinceps ordinibus in quincuncem locatæ. (2) Ita quidem eam noctem transegere. Sub lucem vero, quum serenum ad id tempus cœlum tranquillusque fuisset aer, subito effervescente mari ingens coorta est tempestas vehemensque ventus subsolanus, quem Hellespontiam vocant hujus regionis incolæ. (3) Quotquot igitur ex his augescentem animadverterant ventum, et quibus per stationis rationem licuit, hi subductis in terram navibus a tempestate sibi caverunt, salvique et ipsi et eorum naves evaserunt. Quas vero naves nactus est ventus tenentes altum, harum alias ad Ipnos (*id est* Furnos) qui vocantur abripuit in Pelio monte, alias ad proximum littus adfixit: aliæ ad ipsam Sepiadem adlisæ sunt, aliæ ad Melibœam oppidum, aliæ ad Casthanæam ejectæ; eratque incluctabilis vis tempestatis.

CLXXXIX. Λέγεται δὲ λόγος ὡς Ἀθηναῖοι τὸν Βορέην ἐκ θεοπροπίου ἐπεκαλέσαντο, ἐλθόντος σφι ἄλλου χρηστηρίου τὸν γαμβρὸν ἐπίκουρον καλέσασθαι. Βορέης δὲ κατὰ τὸν Ἑλλήνων λόγον ἔχει γυναῖκα Ἀττικὴν, Ὠρείθυιαν τὴν Ἐρεχθέος. (2) Κατὰ δὴ τὸ κῆδος τοῦτο οἱ Ἀθηναῖοι, ὡς φάτις ὥρμηται, συμβαλλόμενοί σφι τὸν Βορέην γαμβρὸν εἶναι, ναυλοχέοντες τῆς Εὐβοίης ἐν Χαλκίδι ὡς ἔμαθον αὐξόμενον τὸν χειμῶνα, ἢ καὶ πρὸ τούτου, ἔθυόν τε καὶ ἐπεκαλεῦντο τόν τε Βορέην καὶ τὴν Ὠρείθυιαν τιμωρῆσαί σφι καὶ διαφθεῖραι τῶν βαρβάρων τὰς νέας, ὡς καὶ πρότερον περὶ Ἄθων. (3) Εἰ μέν νυν διὰ ταῦτα τοῖσι βαρβάροισι ὁρμέουσι ὁ Βορέης ἐπέπεσε, οὐκ ἔχω εἶπαι· οἱ δ' ὧν Ἀθηναῖοί σφι λέγουσι βωθήσαντα τὸν Βορέην πρότερον καὶ τότε ἐκεῖνα κατεργάσασθαι, καὶ ἱρὸν ἀπελθόντες Βορέεω ἱδρύσαντο παρὰ ποταμὸν Ἰλισσόν.

CXC. Ἐν τούτῳ τῷ πόνῳ νέας οἱ ἐλαχίστας λέγουσι διαφθαρῆναι, τετρακοσιέων οὐκ ἐλάσσονας, ἄνδρας τε ἀναριθμήτους, χρημάτων τε πλῆθος ἄφθονον, ὥστε Ἀμεινοκλεῖ τῷ Κρητίνεω ἀνδρὶ Μάγνητι γηοχέοντι περὶ Σηπιάδα μεγάλως ἡ ναυηγίη χρηστὴ ἐγένετο, ὃς πολλὰ μὲν χρύσεα ποτήρια ὑστέρῳ χρόνῳ ἐκβρασσόμενα ἀνείλετο, πολλὰ δὲ ἀργύρεα, θησαυρούς τε τῶν Περσέων εὗρε, ἄλλα τε [χρύσεα] ἄφατα χρήματα περιεβάλετο. Ἀλλ' ὁ μὲν τἆλλα οὐκ εὐτυχέων εὑρήμασι μέγα πλούσιος ἐγένετο· ἦν γάρ τις καὶ τοῦτον ἄχαρις συμφορὴ λυπεῦσα παιδοφόνος.

CXCI. Σιταγωγῶν δὲ ὁλκάδων καὶ τῶν ἄλλων πλοίων διαφθειρομένων οὐκ ἐπῆν ἀριθμὸς, ὥστε δείσαντες οἱ στρατηγοὶ τοῦ ναυτικοῦ στρατοῦ μή σφι κεκακωμένοισι ἐπιθέωνται οἱ Θεσσαλοὶ, ἔρκος ὑψηλὸν ἐκ τῶν ναυηγίων περιεβάλοντο. (2) Ἡμέρας γὰρ δὴ ἐχείμαζε τρεῖς· τέλος δὲ ἔντομά τε ποιεῦντες καὶ καταείδοντες γοῇσι τῷ ἀνέμῳ οἱ μάγοι, πρὸς δὲ τούτοισι καὶ τῇ Θέτι καὶ τῇσι Νηρηΐσι θύοντες, ἔπαυσαν τετάρτῃ ἡμέρῃ, ἢ ἄλλως κως αὐτὸς ἐθέλων ἐκόπασε. (3) Τῇ δὲ Θέτι ἔθυον πυθόμενοι παρὰ τῶν Ἰώνων τὸν λόγον, ὡς ἐκ τοῦ χώρου τούτου ἁρπασθείη ὑπὸ Πηλέος, εἴη τε ἅπασα ἡ ἀκτὴ ἡ Σηπιὰς ἐκείνης τε καὶ τῶν ἄλλων Νηρηίδων. Ὁ μὲν δὴ τετάρτῃ ἡμέρῃ ἐπέπαυτο.

CXCII. Τοῖσι δὲ Ἕλλησι οἱ ἡμεροσκόποι ἀπὸ τῶν ἄκρων τῶν Εὐβοϊκῶν καταδραμόντες δευτέρῃ ἡμέρῃ, ἀπ' ἧς ὁ χειμὼν ὁ πρῶτος ἐγένετο, ἐσήμαινον πάντα τὰ γενόμενα περὶ τὴν ναυηγίην. (2) Οἱ δὲ ὡς ἐπύθοντο, Ποσειδέωνι σωτῆρι εὐξάμενοι καὶ σπονδὰς προχέαντες, τὴν ταχίστην ὀπίσω ἠπείγοντο ἐπὶ τὸ Ἀρτεμίσιον, ἐλπίσαντες ὀλίγας τινὰς σφι ἀντιξόους ἔσεσθαι νέας. (3) Οἱ μὲν δὴ τὸ δεύτερον ἐλθόντες περὶ τὸ Ἀρτεμίσιον ἐναυλόχεον, Ποσειδέωνος σωτῆρος ἐπωνυμίην ἀπὸ τούτου ἔτι καὶ ἐς τόδε νομίζοντες.

CXCIII. Οἱ δὲ βάρβαροι, ὡς ἐπαύσατό τε ὁ ἄνεμος καὶ τὸ κῦμα ἔστρωτο, κατασπάσαντες τὰς νέας ἔπλωον παρὰ τὴν ἤπειρον, κάμψαντες δὲ τὴν ἄκρην τῆς Μαγνησίης ἰθέαν ἔπλωον ἐς τὸν κόλπον τὸν ἐπὶ Παγασέων

CLXXXIX. Fertur autem fama, Athenienses ex oraculi responso Boream invocasse, quum aliud illis adlatum fuisset responsum, jubens eos generum advocare auxilio. Boreas enim, ut Græci narrant, uxorem habuit Atticam, Orithyiam, Erechthei filiam. (2) Pro hac igitur adfinitate Athenienses, ut fama est, conjectantes Boream suum esse generum, quum Chalcide cum navibus insidiantes augescentem sensissent tempestatem, aut jam antea, sacrificiis placarunt invocaruntque Boream et Orithyiam, orantes ut auxilio sibi venirent, perderentque barbarorum naves, sicut antea ad Athon montem. (3) An igitur hanc ob causam in barbaros stationem agentes ingruerit Boreas, non definiam: sed Athenienses quidem aiunt, et antea et tunc Boream ipsos juvisse, atque hæc effecisse: et, postquam domum sunt reversi, fanum statuerunt Boreæ ad Ilissum fluvium.

CXC. Hac calamitate, qui minimum numerum tradunt, naves periisse aiunt non minus quadringentas, homines autem innumerabiles, et rerum pretiosarum infinitam multitudinem; ita quidem, ut Aminocli Cretinæ filio, civi Magneti, qui circa Sepiadem prædia habuit, perquam utile fuerit hoc naufragium: is enim multa deinde aurea pocula, multaque argentea, in littus ejecta sustulit, arcasque etiam reperit cimeliis Persarum repletas, et infinita alia [aurea] pretiosa collegit. At idem vir, quamvis locuples repertis his rebus factus, felix tamen cæteroqui non fuit: quippe tristis etiam casus eum adflictabat, per filii necem.

CXCI. Onerariarum autem navium frumentum vehentium, reliquorumque minorum navigiorum, quæ interierunt, non constat numerus. Itaque duces classis, metuentes ne in se tanta calamitate adflictos Thessali impetum facerent, alto vallo ex naufragiis parato castra circumdedere. (2) Tres enim continuos dies tempestas duravit. Ad extremum vero Magi cæsis vento victimis, adhibitisque magicis incantationibus, ad hæc sacris Thetidi factis et Nereidibus, quarto die vim venti compescuerunt, sive is alioquin ipse sua sponte quievit. (3) Thetidi autem sacra fecerunt, quum ab Ionibus accepissent, ex hoc loco raptam illam fuisse a Peleo, et totam hanc oram Sepiadem eidem et reliquis Nereidibus sacram esse. Igitur ventus quidem quarto die quievit.

CXCII. Secundo vero die ab eo, quo primum coorta tempestas erat, speculatores ex Eubœæ promontoriis decurrentes Græcis de Persarum naufragio omnia significarunt. (2) Quibus rebus hi cognitis, Neptunum Servatorem precati, et votis libaminibusque factis, quanta celeritate poterant ad Artemisium redire maturarunt, sperantes nonnisi paucas naves sibi fore adversarias. (3) Hi igitur iterum ad Artemisium stationem ceperunt, hostem observantes: et Neptuni Servatoris cognomen ab illo tempore usque ad hunc diem apud Græcos in usu est.

CXCIII. Barbari, ut quievit ventus et compositi erant fluctus, deductis navibus, secundum continentem navigarunt: et Magnesiæ promontorium circumvecti, recta in sinum qui ad Pagasas fert tetenderunt. (2) Est in hoc sinu

φέροντα. (2) Ἔστι δὲ χῶρος ἐν τῷ κόλπῳ τούτῳ τῆς Μαγνησίης, ἔνθα λέγεται τὸν Ἡρακλέα καταλειφθῆναι ὑπὸ Ἰήσονός τε καὶ τῶν συνεταίρων ἐκ τῆς Ἀργοῦς ἐπ' ὕδωρ πεμφθέντα, εὖτ' ἐπὶ τὸ κῶας ἔπλωον ἐς Αἶαν τὴν Κολχίδα· ἐνθεῦτεν γὰρ ἔμελλον ὑδρευσάμενοι ἐς τὸ πέλαγος ἀπήσειν, ἐπὶ τούτου δὲ τῷ χώρῳ οὔνομα γέγονε Ἀφεταί. Ἐν τούτῳ ὦν ὅρμον οἱ Ξέρξεω ἐποιεῦντο.

CXCIV. Πεντεκαίδεκα δὲ τῶν νεῶν τούτων ἔτυχόν τε ὖσταται πολλὸν ἐξαναχθεῖσαι, καί κως κατεῖδον τὰς ἐπ' Ἀρτεμισίῳ τῶν Ἑλλήνων νέας. (2) Ἔδοξάν τε δὴ τὰς σφετέρας εἶναι οἱ βάρβαροι, καὶ πλώοντες ἐσέπεσον ἐς τοὺς πολεμίους· τῶν ἐστρατήγεε ὁ ἀπὸ Κύμης τῆς Αἰολίδος ὕπαρχος Σανδώκης ὁ Θαμασίου, τὸν δὴ πρότερον τούτων βασιλεὺς Δαρεῖος ἐπ' αἰτίῃ τοιῇδε λαβὼν ἀνεσταύρωσε, ἐόντα τῶν βασιληίων δικαστέων· ὁ Σανδώκης ἐπὶ χρήμασι ἄδικον δίκην ἐδίκασε. (3) Ἀναχρεμασθέντος ὦν αὐτοῦ, λογιζόμενος ὁ Δαρεῖος εὗρέ οἱ πλέω ἀγαθὰ τῶν ἁμαρτημάτων πεποιημένα ἐς οἶκον τὸν βασιλήϊον· εὑρὼν δὲ τοῦτο ὁ Δαρεῖος, καὶ γνοὺς ὡς ταχύτερα αὐτὸς ἢ σοφώτερα ἐργασμένος εἴη, ἔλυσε. (4) Βασιλέα μὲν δὴ Δαρεῖον οὕτω διαφυγὼν μὴ ἀπολέσθαι περιῆν, τότε δὲ ἐς τοὺς Ἕλληνας καταπλώσας ἔμελλε οὐ τὸ δεύτερον διαφυγὼν ἔσεσθαι· ὡς γάρ σφεας εἶδον προσπλώοντας οἱ Ἕλληνες, μαθόντες αὐτῶν τὴν γινομένην ἁμαρτάδα, ἐπαναχθέντές εὐπετέως σφέας εἷλον.

CXCV. Ἐν τούτων μιῇ Ἀρίδωλις πλώων ἥλω, τύραννος Ἀλαβάνδων τῶν ἐν Καρίῃ, ἐν ἑτέρῃ δὲ ὁ Πάφιος στρατηγὸς Πενθύλος ὁ Δημονόου, ὃς ἦγε μὲν δυώδεκα νέας ἐκ Πάφου, ἀποβαλὼν δέ σφεων τὰς ἑνδεκα τῷ χειμῶνι τῷ γενομένῳ κατὰ Σηπιάδα, μιῇ τῇ περιγενομένῃ καταπλώων ἐπ' Ἀρτεμίσιον ἥλω. (2) Τούτους οἱ Ἕλληνες ἐξιστορήσαντες τὰ ἐβούλοντο πυθέσθαι ἀπὸ τῆς Ξέρξεω στρατιῆς, ἀποπέμπουσι δεδεμένους ἐς τὸν Κορινθίων ἰσθμόν.

CXCVI. Ὁ μὲν δὴ ναυτικὸς ὁ τῶν βαρβάρων στρατὸς, πάρεξ τῶν πεντεκαίδεκα νεῶν τῶν εἶπα Σανδώκεα στρατηγέειν, ἀπίκετο ἐς Ἀφετάς. (2) Ξέρξης δὲ καὶ ὁ πεζὸς πορευθεὶς διὰ Θεσσαλίης καὶ Ἀχαιίης ἐσβεβληκὼς ἦν καὶ δὴ τριταῖος ἐς Μηλιέας, ἐν Θεσσαλίῃ μὲν ἁμιλλαν ποιησάμενος ἵππων τῶν ἑωυτοῦ, ἀποπειρεώμενος καὶ τῆς Θεσσαλίης ἵππου, πυθόμενος ὡς ἀρίστη εἴη τῶν ἐν Ἕλλησι· ἔνθα δὴ αἱ Ἑλληνίδες ἵπποι ἐλείποντο πολλόν. (3) Τῶν μέν νυν ἐν Θεσσαλίῃ ποταμῶν Ὀνόχωνος μοῦνος οὐκ ἀπέγρησε τῇ στρατιῇ τὸ ῥέεθρον πινόμενος· τῶν δὲ ἐν Ἀχαιίῃ ποταμῶν ῥεόντων οὐδὲ ὅστις μέγιστος αὐτῶν ἐστι Ἠπιδανὸς, οὐδὲ οὗτος ἀντέσχε εἰ μὴ φλαύρως.

CXCVII. Ἐς Ἅλον δὲ τῆς Ἀχαιίης ἀπικομένῳ Ξέρξῃ οἱ κατηγεμόνες τῆς ὁδοῦ βουλόμενοι τὸ πᾶν ἐξηγέεσθαι ἔλεγόν οἱ ἐπιχώριον λόγον, τὰ περὶ τὸ ἱρὸν τοῦ Λαφυστίου Διὸς, ὡς Ἀθάμας ὁ Αἰόλου ἐμηχανήσατο Φρίξῳ μόρον σὺν Ἰνοῖ βουλεύσας, μετέπειτεν δὲ ὡς ἐκ θεοπροπίου Ἀχαιοὶ προτιθεῖσι τοῖσι ἐκείνου ἀπογόνοισι τὰ ἐπιτάσσεται ποιέειν. (2) Ἔστι δὲ τοῦτο τὸ ἱρὸν ἐν τῇ ὑπωρείῃ τῇ ὑπὲρ τοῦ ἄστεος τοῦ Ἁλιάρτου, ἐν τῷ οἰκέουσι Μινύαι οἱ Ὀρχομένιοι καὶ ἄλλοι τῶν Βοιωτῶν· ἐνθεῦτεν δὲ ἐπιλαβόμενος τοῦ οὔρεος ἐπὶ τὸ ἱρὸν ἔρχεται ἐπὶ τὸ ἄστυ τὸ Κορωναῖον, ὃ ἐπὶ τῇ λίμνῃ τῇ Κωπαΐδι κεῖται· ἐνθεῦτεν δὲ διὰ τοῦ Ἀλμωνίου καὶ διὰ τοῦ Μέλανος ὄρεος ἐπὶ τὸν Μέλανα κόλπον καλεόμενον καὶ τὸν ποταμὸν τὸν Μέλανα τὸν τὸ αὐτὸ τοῦτο τῷ κόλπῳ οὔνομα ἔχοντα, τὸν καὶ Ξέρξης ὑπερβὰς τὸν ποταμὸν τοῦτον ἐπὶ θάλασσαν ἐξήλασε τὸν στρατὸν, παραμείψας τὴν Μηλιέων ἀκτὴν τὴν κοίλην, ἐν τῇ λιμένες τε εἰσὶ καὶ ἐπὶ τούτοισι ἱρὸν Ἀθηναίης Κραναίης. (3) Ἐνθαῦτα ἐπιστρατεύσας ἐς Φθιώτιδα τοὺς Ἀχαιοὺς καὶ τὸν Θήβης τὸν Φθιώτιδος ἱρὸν τοῦ Ἀχιλλέος καὶ τοῦ Φυλάκης καὶ τοῦ Πρωτεσιλάου, ἔτι δὲ καὶ τὸν Ἀρνην τὸν ἐπὶ τῷ Κηφισσῷ τῷ ποταμῷ κείμενον, καὶ τὰς ἄλλας πόλιας τὰς ἐν τῇ Φθιώτιδι οἰκημένας ὑπὸ τοῦ Κηφισσοῦ τοῦ ποταμοῦ τοῦ οὐδὲν συγγενὲς τῷ ἐν Βοιωτοῖσι ῥέοντι, τὸν καὶ Ξέρξης ἐπὶ θάλασσαν ἐξήλασε τὸν στρατὸν, παραμείψας τὴν Μηλιέων ἀκτὴν τὴν κοίλην, ἐν τῇ λιμένες τε εἰσὶ καὶ ἐπὶ τούτοισι ἱρὸν Ἀθηναίης Κραναίης. (3) Ἐνθαῦτα ἐπιστρατεύσας ἐς Φθιώτιδα τοὺς Ἀχαιοὺς καὶ τὸν Θήβης τὸν Φθιώτιδος ἱρὸν τοῦ Ἀχιλλέος καὶ τοῦ Φυλάκης καὶ τοῦ Πρωτεσιλάου, ἔτι δὲ καὶ τὸν Ἀρνην τὸν ἐπὶ τῷ Κηφισσῷ τῷ ποταμῷ κείμενον, καὶ τὰς ἄλλας πόλιας τὰς ἐν τῇ Φθιώτιδι οἰκημένας ὑπὸ τοῦ Κηφισσοῦ τοῦ ποταμοῦ τοῦ οὐδὲν συγγενὲς τῷ ἐν Βοιωτοῖσι ῥέοντι,

locus terræ Magnesiæ, ubi Herculem aiunt, postquam ex Argo navi aquatum missus fuisset, relictum esse ab Iasone ejusque sociis, quum Æam Colchicam ad auferendum aureum vellus navigarent. Illinc enim, aquati, soluturi erant in pelagus; qua de re nomen loco impositum est Apheta (*id est* locus unde solvitur). Hoc igitur in loco stationem cepit Xerxis classis.

CXCIV. Forte autem accidit, ut quindecim naves, quæ postremæ navigabant, longius in altum ejicerentur: quæ ut conspexerunt Græcorum naves ad Artemisium stantes, (2) suas esse naves rati barbari, cursu versus illas directo, medios in hostes inciderunt. Dux illarum navium fuit Sandoces Thamasii filius, Cymæ Æolicæ præfectus; quem superiore tempore rex Darius, quum judex fuisset regius, in culpa deprehensum, compertum nimirum quod accepta pecunia injustam sententiam pronunciasset, in crucem agi jusserat. (3) Et jam suspensus erat, quum Darius, rationem secum iniens rerum ab illo gestarum, reperit multo plura esse ejusdem merita in regiam domum, quam male facta: quod postquam Darius reperit, agnoscens properantius a se quam sapientius esse actum, solvi hominem jussit. (4) Ita ille supplicium a Dario sibi decretum effugit, superstesque fuit. At idem, nunc in Græcos delatus, non iterum erat elapsurus: ut enim adnavigantes hos Græci viderunt, cognito illorum errore, contra evecti, facile cunctos ceperunt.

CXCV. In una harum navium navigans Aridolis captus est, Alabandorum Cariæ tyrannus: in alia Paphiorum prætor Penthylus, Demonoi filius; qui quum duodecim naves ex Papho eduxisset, amissis illarum undecim tempestate ad Sepiadem ingruente, nunc una reliqua ad Artemisium navigans captus est. (2) Hos Græci, interrogatos quæ de Xerxis exercitu cognoscere cupiebant, vinctos in Corinthiorum Isthmum miserunt.

CXCVI. Ita igitur barbarorum classis, exceptis quindecim navibus, quibus præfuisse Sandocen dixi, ad Aphetas pervenit. (2) Xerxes autem cum pedestribus copiis, itinere per Thessaliam et Achaiam *Phthiotidem* facto, tertio etiam ante die in Maliensium fines erat ingressus. In Thessalia vero certamen instituerat inter suos equos et Thessalicum equitatum, cujus experiri virtutem voluit, quum rescivisset esse hunc præstantissimum totius Græciæ; et ex eo quidem certamine longe inferiores Græci equi discesserant. (3) Ex fluviis autem Thessaliæ unus Onochonus ad bibendum non satis aquæ præbuit exercitui: ex eis vero qui Achaiam perfluunt, etiam is qui illorum maximus est, Epidanus, non nisi ægre duravit.

CXCVII. Postquam Alum in Achaia Xerxes pervenerat, viæ duces omnia enarrare cupientes, indigenam famam ei retulerunt ad Jovis Laphystii fanum spectantem: Athamantem Æoli filium, consiliis cum Ino communicatis, Phrixo mortem esse machinatum, interjecto vero tempore Achæos ex oraculi responso posteris ejusdem hosce imposuisse la-

νοισι ἀέθλους τοιούσδε· (2) ὃς ἂν ἢ τοῦ γένεος τούτου πρεσβύτατος, τούτῳ ἐπιτάξαντες ἔργεσθαι τοῦ πρυτανηίου αὐτοὶ φυλακὰς ἔχουσι (λήϊτον δὲ καλεῦσι τὸ πρυτανήϊον οἱ Ἀχαιοί), ἢν δὲ ἐσέλθῃ, οὐκ ἔστι ὅκως ἐξεισὶ πρὶν ἢ θύσεσθαι μέλλῃ· ὡς τ' ἔτι πρὸς τούτοισι πολλοὶ ἤδη τῶν μελλόντων τούτων θύσεσθαι δείσαντες οἴχοντο ἀποδράντες ἐς ἄλλην χώρην, χρόνου δὲ προϊόντος ὀπίσω κατελθόντες ἦν ἁλίσκωνται ἐσελθόντες ἐς τὸ πρυτανήϊον, ὡς θύεταί τε ἐξηγέοντο στέμμασι πᾶς πυκασθεὶς καὶ ὡς σὺν πομπῇ ἐξαχθείς. (3) Ταῦτα δὲ πάσχουσι οἱ Κυτισσώρου τοῦ Φρίξου παιδὸς ἀπόγονοι, διότι καθαρμὸν τῆς χώρης ποιευμένων Ἀχαιῶν ἐκ θεοπροπίου Ἀθάμαντα τὸν Αἰόλου καὶ μελλόντων μιν θύειν ἀπικόμενος οὗτος ὁ Κυτίσσωρος ἐξ Αἴης τῆς Κολχίδος ἐρρύσατο, ποιήσας δὲ τοῦτο τοῖσι ἐπιγενομένοισι ἐξ ἑωυτοῦ μῆνιν τοῦ θεοῦ ἐνέβαλε. (4) Ξέρξης δὲ ταῦτα ἀκούσας ὡς κατὰ τὸ ἄλσος ἐγένετο, αὐτός τε ἔργετο αὐτοῦ καὶ τῇ στρατιῇ πάσῃ παρήγγειλε, τῶν τε Ἀθάμαντος ἀπογόνων τὴν οἰκίην ὁμοίως καὶ τὸ τέμενος ἐσέβετο.

CXCVIII. Ταῦτα μὲν τὰ ἐν Θεσσαλίῃ καὶ τὰ ἐν Ἀχαιίῃ· ἀπὸ δὲ τούτων τῶν χώρων ἤϊε ἐς τὴν Μηλίδα παρὰ κόλπον θαλάσσης, ἐν τῷ ἄμπωτίς τε καὶ ῥηχίη ἀνὰ πᾶσαν ἡμέρην γίνεται. (2) Περὶ δὲ τὸν κόλπον τοῦτόν ἐστι χῶρος πεδινός, τῇ μὲν εὐρὺς, τῇ δὲ καὶ κάρτα στεινός· περὶ δὲ τὸν χῶρον οὔρεα ὑψηλὰ καὶ ἄβατα περικληίει πᾶσαν τὴν Μηλίδα γῆν, Τρηχίνιαι πέτραι καλεύμεναι. (3) Πρώτη μέν νυν πόλις ἐστὶ ἐν τῷ κόλπῳ ἰόντι ἀπ' Ἀχαιίης Ἀντικύρη, παρ' ἣν ποταμὸς Σπερχειὸς ῥέων ἐξ Αἰνιήνων ἐς θάλασσαν ἐκδιδοῖ. Ἀπὸ δὲ τούτου διὰ εἴκοσί κου σταδίων ἄλλος ποταμὸς τῷ οὔνομα κέεται Δύρας, τὸν βωθέοντα τῷ Ἡρακλέϊ καιομένῳ λόγος ἐστὶ ἀναφανῆναι. Ἀπὸ δὲ τούτου δι' ἄλλων εἴκοσι σταδίων ἄλλος ποταμός ἐστι ὃς καλέεται Μέλας.

CXCIX. Τρηχὶς δὲ πόλις ἀπὸ τοῦ Μέλανος τούτου ποταμοῦ πέντε στάδια ἀπέχει. Ταύτῃ δὲ καὶ εὐρύτατόν ἐστι πάσης τῆς χώρης ταύτης ἐκ τῶν οὐρέων ἐς θάλασσαν, κατ' ἃ Τρηχὶς πεπόλισται· δισχίλιά τε γὰρ καὶ δισμύρια πλέθρα τοῦ πεδίου ἐστί. (2) Τοῦ δὲ οὔρεος τὸ περικληίει τὴν γῆν τὴν Τρηχινίην ἔστι διασφὰξ πρὸς μεσαμβρίην Τρηχῖνος, διὰ δὲ τῆς διασφάγος Ἀσωπὸς ποταμὸς ῥέει παρὰ τὴν ὑπώρεαν τοῦ οὔρεος.

CC. Ἔστι δὲ ἄλλος Φοινὶξ ποταμὸς οὐ μέγας πρὸς μεσαμβρίην τοῦ Ἀσωποῦ, ὃς ἐκ τῶν οὐρέων τούτων ῥέων ἐς τὸν Ἀσωπὸν ἐκδιδοῖ. Κατὰ δὲ τὸν Φοίνικα ποταμὸν στεινότατόν ἐστι· ἁμαξιτὸς γὰρ μία μούνη δέδμηται. Ἀπὸ δὲ τοῦ Φοίνικος ποταμοῦ πεντεκαίδεκα στάδιά ἐστι ἐς Θερμοπύλας. (2) Ἐν δὲ τῷ μεταξὺ Φοίνικος ποταμοῦ καὶ Θερμοπυλέων κώμη τέ ἐστι τῇ οὔνομα Ἀνθήλη κέεται, παρ' ἣν δὴ παραρρέων ὁ Ἀσωπὸς ἐς θάλασσαν ἐκδιδοῖ, καὶ χῶρος περὶ αὐτὴν εὐρὺς ἐν τῷ Δήμητρός τε ἱρὸν Ἀμφικτυονίδος ἵδρυται καὶ ἕδραι εἰσὶ Ἀμφικτύοσι καὶ αὐτοῦ τοῦ Ἀμφικτύονος ἱρόν.

bores: (2 quicumque hujus familiæ natu maximus est, ei introitu in prytaneum, quod *leiton* Achæi vocant, interdicunt; ipsique, ne ingrediatur, excubias agunt; qui si nihilo minus introivisset, nullo pacto exire ei prius licet quam ad aram ducatur ubi mactandus est. Ad hæc narrarunt, multos ex his, qui ita mactandi fuissent, sibi timentes, in aliam terram tamquam exsulatum abiisse: quorum si quis interjecto tempore rediisset, deprehendaturque prytaneum ingressus, eum mactari, coronis et infulis oneratum, et cum pompa eductum. (3) Teneri autem hac lege posteros Cytissori, Phrixi filii, ea caussa, quoniam, quum Achæi ex oraculi responso lustrandæ terræ suæ caussa Athamantem Æoli filium mactaturi essent, adveniens ex Æa Colchidis hic Cytissorus illum liberaverit: hoc enim facto Cytissorum iram dei in posteros suos contraxisse. (4) His auditis Xerxes, ut ad lucum pervenit, et ipse eo abstinuit, et universo exercitui ut abstinerent edixit: et domum posterorum Athamantis pariter atque templum veneratus est.

CXCVIII. Hæc quidem in Thessalia et in Achaia gesta. Ex hisce dein regionibus Maliensium fines Xerxes ingressus est, ad sinum maris, in quo quotidie æstus maris accidit et reciprocatio. (2) Juxta hunc sinum est locus campestris, partim latus, partim vero admodum angustus. Circa illum locum montes prærupti et inaccessi, Trachiniæ petræ dicti, universam Maliacam terram includunt. (3) Primum ad hunc sinum oppidum, ex Achaia venienti, Anticyra est; juxta quam Spercheus fluvius, ex Ænianibus profluens, in mare influit. Ab hoc, interjectis viginti stadiis, alius fluvius est, cui nomen Dyras; quem fama est emersisse ad ferendam Herculi, quum cremaretur, opem. Ab hoc, rursus viginti stadiis interjectis, alius fluvius est, nomine Melas.

CXCIX. Ab hoc Melane fluvio quinque stadia Trachis urbs abest. Eodemque loco, ubi Trachis sita est, latissime patet hæc regio a montibus ad mare: est enim planities vicies bis mille plethrorum. (2) Est autem in monte, qui Trachinium agrum præcludit, divortium a meridie Trachinis, per quod divortium Asopus fluit juxta montis radicem.

CC. Est item alius fluvius a meridie Asopi, Phœnix, non magnus; qui postquam ex his montibus defluxit, Asopo miscetur. Prope hunc Phœnicem fluvium arctissimus est hujus tractus locus: quippe una sola via ibi munita est, qua nonnisi singulis plaustris transitus patet. A Phœnice vero fluvio quindecim sunt stadia ad Thermopylas: (2) tum in intervallo, quod est inter Phœnicem fluvium et Thermopylas, vicus est nomine Anthela, præter quem præterfluens Asopus in mare evolvitur: et circa eumdem vicum latius est spatium, in quo stat templum Cereris Amphictyonidis, et sedes sunt Amphictyonibus paratæ, et ipsius Amphictyonis templum.

CCI. Βασιλεὺς μὲν δὴ Ξέρξης ἐστρατοπεδεύετο τῆς Μηλίδος ἐν τῇ Τρηχινίῃ, οἱ δὲ δὴ Ἕλληνες ἐν τῇ διόδῳ· καλέεται δὲ ὁ χῶρος οὗτος ὑπὸ μὲν τῶν πλεόνων Ἑλλήνων Θερμοπύλαι, ὑπὸ δὲ τῶν ἐπιχωρίων καὶ περιοίκων Πύλαι. (2) Ἐστρατοπεδεύοντο μέν νυν ἑκάτεροι ἐν τούτοισι τοῖσι χωρίοισι, ἐπεκράτεε δὲ ὁ μὲν τῶν πρὸς βορέην ἄνεμον ἐχόντων πάντων μέχρι Τρηχῖνος, οἱ δὲ τῶν πρὸς νότον καὶ μεσαμβρίην φερόντων τὸ ἐπὶ ταύτης τῆς ἠπείρου.

CCII. Ἦσαν δὲ οἵδε Ἑλλήνων οἱ ὑπομένοντες τὸν Πέρσην ἐν τούτῳ τῷ χώρῳ, Σπαρτιητέων τε τριηκόσιοι ὁπλῖται καὶ Τεγεητέων καὶ Μαντινέων χίλιοι, ἡμίσεες ἑκατέρων, ἐξ Ὀρχομενοῦ τε τῆς Ἀρκαδίης εἴκοσι καὶ ἑκατὸν, καὶ ἐκ τῆς λοιπῆς Ἀρκαδίης χίλιοι· (3) τοσοῦτοι μὲν Ἀρκάδων, ἀπὸ δὲ Κορίνθου τετρακόσιοι καὶ ἀπὸ Φλιοῦντος διηκόσιοι καὶ Μυκηναίων ὀγδώκοντα. Οὗτοι μὲν ἀπὸ Πελοποννήσου παρῆσαν, ἀπὸ δὲ Βοιωτῶν Θεσπιέων τε ἑπτακόσιοι καὶ Θηβαίων τετρακόσιοι.

CCIII. Πρὸς τούτοισι ἐπίκλητοι ἐγένοντο Λοκροί τε οἱ Ὀπούντιοι πανστρατιῇ καὶ Φωκέων χίλιοι. Αὐτοὶ γάρ σφεας οἱ Ἕλληνες ἐπεκαλέσαντο, λέγοντες δι' ἀγγέλων ὡς αὐτοὶ μὲν ἥκοιεν πρόδρομοι τῶν ἄλλων, οἱ δὲ λοιποὶ τῶν συμμάχων προσδόκιμοι πᾶσαν εἶεν ἡμέρην, ἡ θάλασσά τέ σφι εἴη ἐν φυλακῇ ὑπ' Ἀθηναίων τε φρουρεομένη καὶ Αἰγινητέων καὶ τῶν ἐς τὸν ναυτικὸν στρατὸν ταχθέντων, καί σφι εἴη δεινὸν οὐδέν· (2) οὐ γὰρ θεὸν εἶναι τὸν ἐπιόντα ἐπὶ τὴν Ἑλλάδα, ἀλλ' ἄνθρωπον, εἶναι δὲ θνητὸν οὐδένα οὐδὲ ἔσεσθαι τῷ κακὸν ἐξ ἀρχῆς γινομένῳ οὐ συνεμίχθη, τοῖσι δὲ μεγίστοισι αὐτῶν μέγιστα· ὀφείλειν ὦν καὶ τὸν ἐπελαύνοντα, ὡς ἐόντα θνητὸν, ἀπὸ τῆς δόξης πεσέειν ἄν. Οἱ δὲ ταῦτα πυνθανόμενοι ἐβώθεον ἐς τὴν Τρηχῖνα.

CCIV. Τούτοισι ἔσαν μέν νυν καὶ ἄλλοι στρατηγοὶ κατὰ πόλιας ἑκάστων, ὁ δὲ θωμαζόμενος μάλιστα καὶ παντὸς τοῦ στρατεύματος ἡγεόμενος Λακεδαιμόνιος ἦν Λεωνίδης ὁ Ἀναξανδρίδεω τοῦ Λέοντος τοῦ Εὐρυκρατίδεω τοῦ Ἀναξάνδρου τοῦ Εὐρυκράτεος τοῦ Πολυδώρου τοῦ Ἀλκαμένεος τοῦ Τηλέκλου τοῦ Ἀρχέλεω τοῦ Ἡγησίλεω τοῦ Δορύσσου τοῦ Λεωβότεω τοῦ Ἐχεστράτου τοῦ Ἄγιος τοῦ Εὐρυσθένεος τοῦ Ἀριστοδήμου τοῦ Ἀριστομάχου τοῦ Κλεοδαίου τοῦ Ὕλλου τοῦ Ἡρακλέος, κτησάμενος τὴν βασιληίην ἐν Σπάρτῃ ἐξ ἀπροσδοκήτου.

CCV. Διξῶν γάρ οἱ ἐόντων πρεσβυτέρων ἀδελφεῶν, Κλεομένεός τε καὶ Δωριέος, ἀπελήλατο τῆς φροντίδος περὶ τῆς βασιληίης. Ἀποθανόντος δὲ Κλεομένεος ἄπαιδος ἔρσενος γόνου, Δωριέος τε οὐκέτι ἐόντος, ἀλλὰ τελευτήσαντος καὶ τούτου ἐν Σικελίῃ, οὕτω δὴ ἐς Λεωνίδεα ἀνέβαινε ἡ βασιληίη, καὶ διότι πρότερος ἐγεγόνεε Κλεομβρότου (οὗτος γὰρ ἦν νεώτατος Ἀναξανδρίδεω παῖς) καὶ δὴ καὶ εἶχε Κλεομένεος θυγατέρα. (2) Ὃς τότε ἧκε ἐς Θερμοπύλας ἐπιλεξάμενος ἄνδρας τε τοὺς κατεστεῶτας τριηκοσίους, καὶ τοῖσι ἐτύγχανον παῖδες ἐόντες. Παραλαβὼν δὲ ἀπίκετο καὶ Θηβαίων τοὺς ἐς τὸν ἀριθμὸν λογισάμενος εἶπα, τῶν ἐστρατήγεε Λεοντιάδης

CCI. Jam Xerxes in Trachinio campo terræ Maliacæ castra posuit: Græci vero in ipso transitu. Nominatur autem hic locus a plerisque quidem Græcis Thermopylæ, incolæ vero et finitimi nude Pylas dicunt. (2) Itaque utrique in his locis castra habebant: occupabat autem Xerxes totum spatium septemtrionem versus a Thermopylis usque Trachinem pertinens; Græci vero ea quæ in hac continente versus Notum et meridiem sita sunt.

CCII. Græci vero hoc in loco Persam exspectantes, hi fuere: Spartani trecenti graviter armati: tum Tegeatæ et Mantinenses mille, utrorumque quingenti: ex Orchomeno Arcadiæ centum et viginti, et ex reliqua Arcadia mille; (2) tot Arcades fuere: Corinthii vero quadringenti: ex Phliunte ducenti; ex Mycenis octoginta. Hi sunt qui ex Peloponneso adfuerunt. Ex Bœotis vero, Thespienses septingenti, et Thebani quadringenti.

CCIII. Præter hos vero evocati aderant Locri Opuntii omnibus copiis, et Phocenses mille. Ipsi enim Græci missis legatis hos advocaverant, dicentes, tamquam antecursores sese venisse ante alios, exspectari vero reliquos socios in proximum quemque diem, et maris tutelam sibi curæ esse, custodirique illud ab Atheniensibus et Æginetis reliquisque in classem designatis. Nihil autem illis esse gravius metuendum: (2) non enim deum esse, qui Græciam invadat, sed hominem: nullum autem nec esse nec futurum esse mortalem, cui, ex quo natus sit, malum nullum acciderit; immo maximis accidere maxima. Debere itaque etiam illum, qui Græciam invadat, mortalis quum sit, gloria sua excidere. His auditis, illi Trachinem auxilio Græcis venerunt.

CCIV. His igitur et alii quidem ex quaque civitate duces præerant; sed, quem maxime cuncti admirabantur, et penes quem summa erat totius imperii, Lacedæmonius fuit Leonidas, genus ab Hercule ducens hac majorum serie: pater Anaxandrides fuit, avus Leon: tum reliqui progenitores, Eurycratides, Anaxander, Eurycrates, Polydorus, Alcamenes, Telecles, Archelaus, Hegesilaus, Doryssus, Leobotes, Echestratus, Agis, Eurysthenes, Aristodemus, Aristomachus, Cleodæus, Hyllus, Hercules. Is Leonidas regnum Spartæ necopinans erat adeptus.

CCV. Quum enim duo illi fratres essent natu majores, Cleomenes et Dorieus, procul habuerat cogitationem regni adipiscendi. Sed Cleomene sine mascula prole defuncto, quum jam tum Dorieus etiam non amplius in vivis esset, quippe in Sicilia mortuus, ita ad Leonidam regnum pervenit, quoniam et major natu erat Cleombroto, Anaxandridæ filio natu minimo, et Cleomenis etiam filiam in matrimonio habebat. (2) Is igitur ad Thermopylas erat profectus cum delectis ab ipso trecentis illis, justæ ætatis viris, et quibus domi liberi erant. Adsumpserat autem, priusquam advenisset, Thebanos quoque illos quorum numerum supra declaravi, quibus Leontiades præerat, Eury-

ὁ Εὐρυμάχου. (3) Τοῦδε δὲ εἵνεκεν τούτους σπουδὴν ἐποιήσατο Λεωνίδης μούνους Ἑλλήνων παραλαβέειν, ὅτι σφέων μεγάλως κατηγόρητο μηδίζειν· παρεκάλεε ὧν ἐς τὸν πόλεμον ἐθέλων εἰδέναι εἴτε συμπέμψουσι εἴτε καὶ ἀπερέουσι ἐκ τοῦ ἐμφανέος τὴν Ἑλλήνων συμμαχίην. Οἱ δὲ ἀλλοφρονέοντες ἔπεμπον.

CCVI. Τούτους μὲν τοὺς ἀμφὶ Λεωνίδεα πρώτους ἀπέπεμψαν Σπαρτιῆται, ἵνα τούτους ὁρέοντες οἱ ἄλλοι σύμμαχοι στρατεύωνται, μηδὲ καὶ οὗτοι μηδίσωσι, ἢν αὐτοὺς πυνθάνωνται ὑπερβαλλομένους· μετὰ δὲ, Κάρνεια γάρ σφι ἦν ἐμποδὼν, ἔμελλον ὀρτάσαντες καὶ φυλακὰς λιπόντες ἐν τῇ Σπάρτῃ κατὰ τάχος βωθήσειν πανδημεί. (2) Ὡς δὲ καὶ οἱ λοιποὶ τῶν συμμάχων ἐννένωντο καὶ αὐτοὶ ἕτερα τοιαῦτα ποιήσειν· ἦν γὰρ κατὰ τὠυτὸ Ὀλυμπιὰς τούτοισι τοῖσι πρήγμασι συμπεσοῦσα· οὐκ ὧν δοκέοντες κατὰ τάχος οὕτω διακριθήσεσθαι τὸν ἐν Θερμοπύλῃσι πόλεμον ἔπεμπον τοὺς προδρόμους. Οὗτοι μὲν δὴ οὕτω διενένωντο ποιήσειν.

CCVII. Οἱ δὲ ἐν Θερμοπύλῃσι Ἕλληνες, ἐπειδὴ πέλας ἐγένετο τῆς ἐσβολῆς ὁ Πέρσης, καταρρωδέοντες ἐβουλεύοντο περὶ ἀπαλλαγῆς. Τοῖσι μέν νυν ἄλλοισι Πελοποννησίοισι ἐδόκεε ἐλθοῦσι ἐς Πελοπόννησον τὸν Ἰσθμὸν ἔχειν ἐν φυλακῇ· (2) Λεωνίδης δὲ Φωκέων καὶ Λοκρῶν περισπερχθέντων τῇ γνώμῃ ταύτῃ αὐτοῦ τε μένειν ἐψηφίζετο, πέμπειν τε ἀγγέλους ἐς τὰς πόλις κελεύοντάς σφι ἐπιβωθέειν ὡς ἐόντων αὐτῶν ὀλίγων στρατὸν τὸν Μήδων ἀλέξασθαι.

CCVIII. Ταῦτα βουλευομένων σφέων, ἔπεμπε Ξέρξης κατάσκοπον ἱππέα ἰδέσθαι ὁκόσοι τέ εἰσι καὶ ὅ τι ποιέοιεν. Ἠκηκόεε δὲ ἔτι ἐὼν ἐν Θεσσαλίῃ ὡς ἡλισμένη εἴη ταύτῃ στρατιὴ ὀλίγη, καὶ τοὺς ἡγεμόνας, ὡς εἶησαν Λακεδαιμόνιοί τε καὶ Λεωνίδης ἐὼν γένος Ἡρακλείδης. (2) Ὡς δὲ προσήλασε ὁ ἱππεὺς πρὸς τὸ στρατόπεδον, ἐθηεῖτό τε καὶ κατώρα πᾶν μὲν οὐ τὸ στρατόπεδον· τοὺς γὰρ ἔσω τεταγμένους τοῦ τείχεος, τὸ ἀνορθώσαντες εἶχον ἐν φυλακῇ, οὐκ οἷά τε ἦν κατιδέσθαι· ὁ δὲ τοὺς ἔξω ἐμάνθανε, τοῖσι πρὸ τοῦ τείχεος τὰ ὅπλα ἐκέετο. (3) Ἔτυχον δὲ τοῦτον τὸν χρόνον Λακεδαιμόνιοι ἔξω τεταγμένοι. Τοὺς μὲν δὴ ὥρα γυμναζομένους τῶν ἀνδρῶν, τοὺς δὲ τὰς κόμας κτενιζομένους. Ταῦτα δὴ θηεύμενος ἐθώμαζε, καὶ τὸ πλῆθος ἐμάνθανε. Μαθὼν δὲ πάντα ἀτρεκέως ἀπήλαυνε ὀπίσω κατ' ἡσυχίην· οὔτε γάρ τις ἐδίωκε, ἀλογίης τε ἐκύρησε πολλῆς· ἀπελθὼν δὲ ἔλεγε πρὸς Ξέρξεα τά περ ὠπώπεε πάντα.

CCIX. Ἀκούων δὲ Ξέρξης οὐκ εἶχε συμβαλέσθαι τὸ ἐὸν, ὅτι παρασκευάζοιντο ὡς ἀπολεύμενοί τε καὶ ἀπολέοντες κατὰ δύναμιν· ἀλλ' αὐτῷ γελοῖα γὰρ ἐφαίνετο ποιέειν, μετεπέμψατο Δημάρητον τὸν Ἀρίστωνος ἐόντα ἐν τῷ στρατοπέδῳ. (2) Ἀπικόμενον δέ μιν εἰρώτα Ξέρξης ἕκαστα τούτων, ἐθέλων μαθέειν τὸ ποιεύμενον πρὸς τῶν Λακεδαιμονίων. Ὁ δὲ εἶπε, « ἤκουσας μέν μευ καὶ πρότερον, εὖτε ὡρμέομεν ἐπὶ τὴν Ἑλλάδα, machi filius. (3) Quos solos ex Græcis adsumere ea caussa properaverat Leonidas, quod accusabantur Thebani vehementer cum Medis sentire. Invitaverat igitur eos ad armorum societatem, cognoscere cupiens, utrum missuri essent secum socios, an ex aperto repudiaturi Græcorum societatem : et illi, aliud licet sentientes, miserant.

CCVI. Et Leonidam quidem cum his, qui cum eo erant, primos omnium miserant Spartani hoc consilio, ut et reliqui socii, his conspectis, adversus hostes proficiscerentur, neque ipsi pariter Medorum sequerentur partes, si cunctari Spartanos intellexissent. Deinde vero, quum Carnea nunc obstarent, peractis festis diebus, custodia Spartæ relicta, cum omnibus copiis occurrere decreverant hosti. (2) Similiter vero etiam reliqui socii facere constituerant : qui, quum in idem ipsum tempus, quo hæc gerebantur, Olympias incideret, rati non tam cito ad Thermopylas armis decretum iri, antecursores interim miserunt. Tale igitur horum fuit consilium.

CCVII. Jam, qui ad Thermopylas fuere Græci, ubi haud procul ab introitu fuit Persa, timore perculsi, de receptu consultare cœperunt. Et reliquis quidem Peloponnesiis placuit, abire in Peloponnesum, et Isthmum custodire. (2) Leonidas vero, sententiam istam vehementer indignatis Phocensibus et Locris, de communi horum consilio manere ibi decrevit, legatosque per civitates dimittere qui ab illis auxilia arcesserent, quandoquidem nimis exiguus ipsorum numerus esset ad prohibendum Medorum exercitum.

CCVIII. Dum hi ita consultant, interim Xerxes equitem misit speculatorem, qui et numerum eorum, et quid facerent, exploraret. Audierat enim, quum adhuc in Thessalia esset, collectum hoc loco stare exiguum exercitum, cujus duces sint Lacedæmonii et Leonidas, ab Hercule genus ducens. (2) Ut ad castra accessit eques, contemplatus est, spectavitque non totum quidem exercitum; nam, qui intra murum erant, quem a se instauratum Græci custodiebant, hos conspicere non potuit : exteriores vero observavit, qui ante murum stationem habebant. (3) Erant autem tunc forte extra murum locati Lacedæmonii. Horum igitur alios vidit gymnasticis exercitationibus vacantes, alios comam pectentes. Miratus eques spectaculum, cognito hominum numero, omnibusque rebus adcurate perceptis, rediit per otium, nemine persequente, sed omnibus eum prorsus contemptui habentibus. Reversus, Xerxi cuncta quæ viderat renunciavit.

CCIX. Quibus auditis, conjectare Xerxes non potuit id quod res erat, comparare sese hos homines ad pereundum postquam perdidissent ipsi quam plurimos potuissent : sed, quum ridicula facere ei viderentur, Demaratum ad se vocavit, Aristonis filium, qui in castris aderat. (2) Is ubi advenerat, de singulis eum interrogavit Xerxes, cognoscere cupiens quid esset quod facerent Lacedæmonii. Et ille, « Audisti me, inquit, jam ante, quum adversus Græciam

περὶ τῶν ἀνδρῶν τούτων· ἀκούσας δὲ γελωτά με ἔθευ λέγοντα τῇ περ ὥρεον ἐκβησόμενα πρήγματα ταῦτα· ἐμοὶ γὰρ τὴν ἀληθειαν ἀσκέειν ἀντία σεῦ, ὦ βασιλεῦ, ἀγὼν μέγιστός ἐστι. (3) Ἄκουσον δὲ καὶ νῦν. Οἱ ἄνδρες οὗτοι ἀπίκαται μαχεσόμενοι ἡμῖν περὶ τῆς ἐσόδου, καὶ ταῦτα παρασκευάζονται. Νόμος γάρ σφι οὕτω ἔχων ἐστί· ἐπὰν μέλλωσι κινδυνεύειν τῇ ψυχῇ, τότε τὰς κεφαλὰς σμέονται. (4) Ἐπίσταο δὲ, εἰ τούτους τε καὶ τὸ ὑπομένον ἐν Σπάρτῃ καταστρέψεαι, ἔστι οὐδὲν ἄλλο ἔθνος ἀνθρώπων τό σε, βασιλεῦ, ὑπομενέει χεῖρας ἀντιερίμενον· νῦν γὰρ πρὸς βασιληίην τε καλλίστην τῶν ἐν Ἕλλησι προσφέρεαι καὶ ἄνδρας ἀρίστους. » (5) Κάρτα τε δὴ ἄπιστα Ξέρξῃ ἐφαίνετο τὰ λεγόμενα εἶναι, καὶ δεύτερα ἐπειρώτα ὄντινα τρόπον τοσοῦτοι ἐόντες τῇ ἑωυτοῦ στρατιῇ μαχέσονται. Ὁ δὲ εἶπε, « ὦ βασιλεῦ, ἐμοὶ χρᾶσθαι ὡς ἀνδρὶ ψεύστῃ, ἢν μὴ ταῦτά τοι ταύτῃ ἐκβῇ τῇ ἐγὼ λέγω. »

CCX. Ταῦτα λέγων οὐκ ἔπειθε τὸν Ξέρξεα. Τέσσερας μὲν δὴ παρεξῆκε ἡμέρας, ἐλπίζων αἰεί σφεας ἀποδρήσεσθαι· πέμπτῃ δὲ, ὡς οὐκ ἀπαλλάσσοντο, ἀλλά οἱ ἐφαίνοντο ἀναιδείῃ τε καὶ ἀβουλίῃ διαχρεώμενοι μένειν, πέμπει ἐπ' αὐτοὺς Μήδους τε καὶ Κισσίους θυμωθεὶς, ἐντειλάμενός σφεας ζωγρήσαντας ἄγειν ἐς ὄψιν τὴν ἑωυτοῦ. (2) Ὡς δ' ἐπέπεσον φερόμενοι ἐς τοὺς Ἕλληνας οἱ Μῆδοι, ἔπιπτον πολλοὶ, ἄλλοι δ' ἐπεσήϊσαν, καὶ οὐκ ἀπήλαυνον, καίπερ μεγάλως προσπταίοντες. Δῆλον δ' ἐποίευν παντί τεῳ, καὶ οὐκ ἥκιστα αὐτῷ βασιλεῖ, ὅτι πολλοὶ μὲν ἄνθρωποι εἶεν, ὀλίγοι δὲ ἄνδρες. Ἐγίνετο δὲ ἡ συμβολὴ δι' ἡμέρης.

CCXI. Ἐπείτε δὲ οἱ Μῆδοι τρηχέως περιείποντο, ἐνθαῦτα οὗτοι μὲν ὑπεξήϊσαν, οἱ δὲ Πέρσαι ἐκδεξάμενοι ἐπήϊσαν, τοὺς ἀθανάτους ἐκάλεε βασιλεὺς, τῶν ἦρχε Ὑδάρνης, ὡς δὴ οὗτοί γε εὐπετέως κατεργασόμενοι. (2) Ὡς δὲ καὶ οὗτοι συνέμισγον τοῖσι Ἕλλησι, οὐδὲν πλέον ἐφέροντο τῆς στρατιῆς τῆς Μηδικῆς, ἀλλὰ τὰ αὐτὰ, ἅτε ἐν στεινοπόρῳ τε χώρῳ μαχόμενοι καὶ δόρασι βραχυτέροισι χρεώμενοι ἢπερ οἱ Ἕλληνες, καὶ οὐκ ἔχοντες πλήθεϊ χρήσασθαι. (3) Λακεδαιμόνιοι δὲ ἐμάχοντο ἀξίως λόγου, ἄλλα τε ἀποδεικνύμενοι ἐν οὐκ ἐπισταμένοισι μάχεσθαι ἐξεπιστάμενοι, καὶ ὅκως ἐντρέψειαν τὰ νῶτα, ἀλέες φεύγεσκον δῆθεν, οἱ δὲ βάρβαροι ὁρέοντες φεύγοντας βοῇ τε καὶ πατάγῳ ἐπήϊσαν, οἱ δ' ἂν καταλαμβανόμενοι ὑπέστρεφον ἀντίοι εἶναι τοῖσι βαρβάροισι, μεταστρεφόμενοι δὲ κατέβαλλον πλήθεϊ ἀναριθμήτους τῶν Περσέων· ἔπιπτον δὲ καὶ αὐτῶν τῶν Σπαρτιητέων ἐνθαῦτα ὀλίγοι. (4) Ἐπεὶ δὲ οὐδὲν ἐδυνέατο παραλαβέειν οἱ Πέρσαι τῆς ἐσόδου πειρεώμενοι καὶ κατὰ τέλεα καὶ παντοίως προσβάλλοντες, ἀπήλαυνον ὀπίσω.

CCXII. Ἐν ταύτῃσι τῇσι προσόδοισι τῆς μάχης λέγεται βασιλέα θηεύμενον τρὶς ἀναδραμέειν ἐκ τοῦ θρόνου, δείσαντα περὶ τῇ στρατιῇ. (2) Τότε μὲν οὕτω ἠγωνίσαντο, τῇ δ' ὑστεραίῃ οἱ βάρβαροι οὐδὲν ἀμείνον

proficisceremur, de his viris disserentem; at risui me habuisti quum audiebas dicentem tibi quemnam fore harum rerum exitum præviderem. Mihi enim, rex, summa contentio est, veritatem adversus te colere. (3) Audi igitur etiam nunc. Adsunt hi viri, de introitu nobiscum pugnaturi, et ad hoc se comparant. Hic enim apud illos mos obtinet : quando vitæ discrimen sunt adituri, tunc capita curant. (4) Scito vero : si hosce, et eos qui Spartæ manent, subegeris; nullus alius hominum populus est, qui adversus te, rex, manus tollere sustineat. Nunc enim cum regno inter Græcos præclarissimo tibi res est, et cum viris fortissimis. » (5) Quæ dicta, quum prorsus incredibilia Xerxi viderentur, iterum quæsivit, quo tandem pacto tam exigua hominum manus suo exercitui esset repugnatura. Et ille, « Rex, inquit, age mecum ut cum homine mendaci, nisi hæc ita eventura sunt ut ego dico. »

CCX. Hæc Demaratus dicens Xerxi non persuasit. Itaque quattuor rex intermisit dies, assidue illos sperans fuga se recepturos. Quinto vero die, quum illi non recessissent, sed per obstinatam, ut Xerxi videbantur, impudentiam temeritatemque manerent, iratus rex Medos et Cissios adversus illos misit, dato mandato ut vivos caperent et in conspectum suum adducerent. (2) Ut vero in Græcos cum impetu irruerunt Medi, multi ex eis cecidere : quibus successere alii, nec se recepere, quamvis magna clade accepta : ostenderuntque cuilibet, maxime vero regi ipsi, multos quidem homines esse, sed paucos viros. Prœliati sunt autem per totum diem.

CCXI. Postquam ita male accepti sunt Medi, tum hi quidem in castra se recepere : et Persæ eis succedentes, quos Immortales rex adpellabat, quibus præerat Hydarnes, in hostem iverunt; quasi hi utique facile confecturi rem essent. (2) Ut vero hi quoque pugnam cum Græcis conseruere, nihilo amplius, quam Medi, promoverunt, sed eamdem habuere sortem; quippe in angusto transitu pugnantes, ubi explicari multitudo non poterat, et hastis utentes brevioribus quam Græci. (3) Lacedæmonii vero memorabilem ediderunt pugnam, quum aliis rebus ostendentes peritos sese cum imperitis congredi, tum quod subinde terga verterent, veluti fugam capessentes universi, deinde vero, quando fugientibus Persæ cum clamore strepituque instabant, ipsique jam in eo erant ut deprehenderentur, subito conversa acie hosti sese opponerent, atque ita innumerabilem Persarum prosternerent multitudinem. Ceciderunt autem ibi Spartanorum etiam nonnulli. (4) Postquam vero, quamvis magno conatu, et turmatim et quovis modo impetum facientes, nulla parte introitus potiri Persæ potuerunt, postremo hi quoque retrogressi sunt.

CCXII. Dum ita conflictabantur, fertur Xerxes, quum spectandi caussa haud procul abesset, ter de solio suo exsiliisse, metuens nempe suo exercitui. (2) Tunc igitur ita pugnatum est. Postridie vero ejus diei nihilo felicius bar-

ἀέθλεον. Ἅτε γὰρ ὀλίγων ἐόντων, ἐλπίσαντές σφεας κατατετρωματίσθαι τε καὶ οὐκ οἵους τε ἔσεσθαι ἔτι χεῖρας ἀνταείρασθαι συνέβαλλον. (3) Οἱ δὲ Ἕλληνες κατὰ τάξις τε καὶ κατὰ ἔθεα κεκοσμημένοι ἦσαν, καὶ ἐν μέρεϊ ἕκαστοι ἐμάχοντο, πλὴν Φωκέων· οὗτοι δὲ ἐς τὸ οὖρος ἐτάχθησαν, φυλάξοντες τὴν ἀτραπόν. Ὡς δὲ οὐδὲν εὕρισκον ἀλλοιότερον οἱ Πέρσαι ἢ τῇ προτεραίῃ ἐνώρεον, ἀπήλαυνον.

CCXIII. Ἀπορέοντος δὲ βασιλέος ὅ τι χρήσηται τῷ παρεόντι πρήγματι, Ἐπιάλτης ὁ Εὐρυδήμου ἀνὴρ Μηλιεὺς ἦλθέ οἱ ἐς λόγους ὡς μέγα τι παρὰ βασιλέος δοκέων οἰσέσθαι, ἔφρασέ τε τὴν ἀτραπὸν τὴν διὰ τοῦ οὔρεος φέρουσαν ἐς Θερμοπύλας, καὶ διέφθειρε τοὺς ταύτῃ ὑπομείναντας Ἑλλήνων. (2) Ὕστερον δὲ δείσας Λακεδαιμονίους ἔφυγε ἐς Θεσσαλίην, καί οἱ φυγόντι ὑπὸ τῶν Πυλαγόρων, τῶν Ἀμφικτυόνων ἐς τὴν Πυλαίην συλλεγομένων, ἀργύριον ἐπεκηρύχθη. Χρόνῳ δὲ ὕστερον, κατῆλθε γὰρ ἐς Ἀντικύρην, ἀπέθανε ὑπ' Ἀθηνάδεω ἀνδρὸς Τρηχινίου. (3) Ὁ δὲ Ἀθηνάδης οὗτος ἀπέκτεινε μὲν Ἐπιάλτεα δι' ἄλλην αἰτίην, τὴν ἐγὼ ἐν τοῖσι ὄπισθε λόγοισι σημανέω, ἐτιμήθη μέντοι ὑπὸ Λακεδαιμονίων οὐδὲν ἔσσον. Ἐπιάλτης μὲν οὕτω ὕστερον τούτων ἀπέθανε.

CCXIV. Ἔστι δὲ ἕτερος λεγόμενος λόγος, ὡς Ὀνήτης τε ὁ Φαναγόρεω ἀνὴρ Καρύστιος καὶ Κορυδαλὸς Ἀντικυρεύς εἰσι οἱ εἰπαντες πρὸς βασιλέα τούτους τοὺς λόγους καὶ περιηγησάμενοι τὸ οὖρος τοῖσι Πέρσῃσι, οὐδαμῶς ἐμοιγε πιστός. (2) Τοῦτο μὲν γὰρ τῷδε χρὴ σταθμώσασθαι, ὅτι οἱ τῶν Ἑλλήνων Πυλαγόροι ἐπεκήρυξαν οὐκ ἐπ' Ὀνήτῃ τε καὶ Κορυδαλῷ ἀργύριον, ἀλλ' ἐπ' Ἐπιάλτῃ τῷ Τρηχινίῳ, πάντως κου τὸ ἀτρεκέστατον πυθόμενοι· τοῦτο δὲ φεύγοντα τὸν Ἐπιάλτεα ταύτην τὴν αἰτίην οἴδαμεν. (3) Εἰδείη μὲν γὰρ ἂν καὶ ἐὼν μὴ Μηλιεὺς ταύτην τὴν ἀτραπὸν Ὀνήτης, εἰ τῇ χώρῃ πολλὰ ὡμιληκὼς εἴη· ἀλλ' Ἐπιάλτης γάρ ἐστι ὁ περιηγησάμενος τὸ οὖρος κατὰ τὴν ἀτραπόν, τοῦτον αἴτιον γράφω.

CCXV. Ξέρξης δέ, ἐπεί οἱ ἤρεσε τὰ ὑπέσχετο ὁ Ἐπιάλτης κατεργάσεσθαι, αὐτίκα περιχαρὴς γενόμενος ἔπεμπε Ὑδάρνεα καὶ τῶν ἐστρατήγεε Ὑδάρνης. ὡρμέατο δὲ περὶ λύχνων ἁφὰς ἐκ τοῦ στρατοπέδου (2) Τὴν δὲ ἀτραπὸν ταύτην ἐξεῦρον μὲν οἱ ἐπιχώριοι Μηλιέες, ἐξευρόντες δὲ Θεσσαλοῖσι κατηγήσαντο ἐπὶ Φωκέας, τότε ὅτε οἱ Φωκέες φράξαντες τείχεϊ τὴν ἐσβολὴν ἔσαν ἐν σκέπῃ τοῦ πολέμου· ἐκ τε τοσοῦδε κατεδέδεκτο ἐοῦσα οὐδὲν χρηστὴ Μηλιεῦσι.

CCXVI. Ἔχει δὲ ὧδε ἡ ἀτραπὸς αὕτη· ἄρχεται μὲν ἀπὸ τοῦ Ἀσωποῦ ποταμοῦ τοῦ διὰ τῆς διασφάγος ῥέοντος, οὔνομα δὲ τῷ οὔρεϊ τούτῳ καὶ τῇ ἀτραπῷ τὠυτὸ κέεται, Ἀνόπαια· τείνει δὲ ἡ Ἀνόπαια αὕτη κατὰ ῥάχιν τοῦ οὔρεος, λήγει δὲ κατά τε Ἀλπηνὸν πόλιν, πρώτην ἐοῦσαν τῶν Λοκρίδων πρὸς τῶν Μηλιέων, καὶ κατὰ Μελάμπυγόν τε καλεύμενον λίθον καὶ κατὰ Κερκώπων ἕδρας, τῇ καὶ τὸ στεινότατόν ἐστι.

bari pugnaverunt. Quum enim exiguus esset Græcorum numerus, rati barbari confectos esse illos vulneribus, neque vires amplius ad resistendum habituros, denuo eos adgressi sunt. (3) At Græci, per ordines perque populos digesti, in vicem cuncti pugnarunt, Phocensibus exceptis : hi enim in monte erant locati, semitam custodituri. Ubi vero nihilo melius, quam pridie, Persæ rem sibi viderunt succedere, abscesserunt.

CCXIII. Ibi tunc regem, quidnam consilii caperet incertum, convenit Ephialtes, Eurydemi filius, Maliensis, ingens ab illo præmium se relaturum sperans, indicavitque ei semitam per montes ad Thermopylas ferentem; atque ita Græcos perdidit, stationem ibi habentes. (2) Idem postea, metu Lacedæmoniorum, in Thessaliam profugit : exsulantisque caput proposita pecunia proscriptum est a Pylagoris, quum Amphictyones ad agendum Pylæum conventum essent congregati. Interjecto vero tempore, quum Anticyram rediisset, ab Athenade Trachinio occisus est. (3) Et interfecit quidem Ephialten Athenades aliam ob caussam, quam in sequentibus historiis exponam : at nihilo minus tamen præmio honoratus est a Lacedæmoniis. Ita igitur Ephialtes postea periit.

CCXIV. Fertur autem etiam alia fama, Onetam Phanagoræ filium, Carystium, et Corydalum Anticyrensem cum rege sermones illos habuisse, et Persas circum montem illum circumduxisse; mihi neutiquam credibilis. (2) Nam falsam esse partim inde colligi oportet, quod Græcorum Pylagori, quos utique præ cæteris compertam habuisse rei veritatem consentaneum est, non Onetæ et Corydali caput proscripserunt, sed Ephialtæ Trachinii; tum, quod Ephialten novimus ob hanc culpam exsulasse. (3) Cæterum cognita quidem hæc semita Onetæ quoque, quamquam non Maliensi, esse potuit, si hanc regionem sæpius adierat : at enimvero Ephialtes est, qui hostes per semitam illam circa montem circumduxit : hunc hujus culpæ reum scribo.

CCXV. Xerxes, ea probans quæ se effecturum pollicitus Ephialtes erat, vehementer gavisus, sine mora Hydarnen et qui sub ejus ductu erant misit : et illi sub noctem, quo tempore accenduntur lucernæ, e castris profecti sunt. (2) Invenerant illam semitam indigenæ Malienses; eaque reperta Thessalis adversus Phocenses itineris duces fuerant, quo tempore Phocenses introitum in suam regionem opposito obstruxerant muro, atque ita tutos se a bello præstiterant : atque ex illo inde tempore adparuit illa usui nulli esse Maliensibus.

CCXVI. Est autem callis hujus per montem ferentis ratio hæc : incipit ab Asopo fluvio, ubi ille per montium divortium perfluit; est autem monti, per quem semita transit, semitæque ipsi idem nomen, Anopæa : fertque hæc Anopæa secundum dorsum montis, et desinit circa Alpenum, primum oppidorum Locrensium versus Malienses, eo loco ubi Melampygus qui dicitur lapis est, suntque Cercopum sedes· ubi etiam angustissimus callis est.

CCXVII. Κατὰ ταύτην δὴ τὴν ἀτραπὸν καὶ οὕτω ἔχουσαν οἱ Πέρσαι, τὸν Ἀσωπὸν διαβάντες, ἐπορεύοντο πᾶσαν τὴν νύκτα, ἐν δεξιῇ μὲν ἔχοντες οὔρεα τὰ Οἰταίων, ἐν ἀριστερῇ δὲ τὰ Τρηχινίων. Ἠώς τε δὴ διέφαινε, καὶ ἐγένοντο ἐπ' ἀκρωτηρίῳ τοῦ οὔρεος. (2) Κατὰ δὲ τοῦτο τοῦ οὔρεος ἐφύλασσον, ὡς καὶ πρότερόν μοι δεδήλωται, Φωκέων χίλιοι ὁπλῖται, ῥυόμενοί τε τὴν σφετέρην χώρην καὶ φρουρέοντες τὴν ἀτραπόν. (3) Ἡ μὲν γὰρ κάτω ἐσβολὴ ἐφυλάσσετο ὑπ' ὧν εἴρηται· τὴν δὲ διὰ τοῦ οὔρεος ἀτραπὸν ἐθελονταὶ Φωκέες ὑποδεξάμενοι Λεωνίδῃ ἐφύλασσον.

CCXVIII. Ἔμαθον δέ σφεας οἱ Φωκέες ὧδε ἀναβεβηκότας· ἀναβαίνοντες γὰρ ἐλάνθανον οἱ Πέρσαι τὸ οὔρος πᾶν ἐὸν δρυῶν ἐπίπλεον· ἦν μὲν δὴ νηνεμίη, ψόφου δὲ γινομένου πολλοῦ, ὡς οἰκὸς ἦν φύλλων ὑποκεχυμένων ὑπὸ τοῖσι ποσί, ἀνά τε ἔδραμον οἱ Φωκέες καὶ ἐνέδυνον τὰ ὅπλα, καὶ αὐτίκα οἱ βάρβαροι παρῆσαν. (2) Ὡς δὲ εἶδον ἄνδρας ἐνδυομένους ὅπλα, ἐν θώματι ἐγένοντο· ἐλπόμενοι γὰρ οὐδέν σφι φανήσεσθαι ἀντίξοον ἐνεκύρησαν στρατῷ. Ἐνθαῦτα Ὑδάρνης καταρρωδήσας μὴ οἱ Φωκέες ἔωσι Λακεδαιμόνιοι, εἴρετο τὸν Ἐπιάλτεα ὁποδαπὸς εἴη ὁ στρατὸς, πυθόμενος δὲ ἀτρεκέως διέτασσε τοὺς Πέρσας ὡς ἐς μάχην. (3) Οἱ δὲ Φωκέες ὡς ἐβάλλοντο τοῖσι τοξεύμασι πολλοῖσί τε καὶ πυκνοῖσι, οἴχοντο φεύγοντες ἐπὶ τοῦ οὔρεος τὸν κόρυμβον, ἐπιστάμενοι ὡς ἐπὶ σφέας ὡρμήθησαν ἀρχήν, καὶ παρεσκευάδατο ὡς ἀπολεόμενοι. (4) Οὗτοι μὲν δὴ ταῦτα ἐφρόνεον, οἱ δὲ ἀμφὶ Ἐπιάλτεα καὶ Ὑδάρνεα Πέρσαι Φωκέων μὲν οὐδένα λόγον ἐποιεῦντο, οἱ δὲ κατέβαινον τὸ οὔρος κατὰ τάχος.

CCXIX. Τοῖσι δὲ ἐν Θερμοπύλῃσι ἐοῦσι Ἑλλήνων πρῶτον μὲν ὁ μάντις Μεγιστίης, ἐσιδὼν ἐς τὰ ἱρὰ, ἔφρασε τὸν μέλλοντα ἔσεσθαι ἅμα ἠοῖ σφι θάνατον, ἐπὶ δὲ καὶ αὐτόμολοι ἦσαν οἱ ἐξαγγείλαντες τῶν Περσέων τὴν περίοδον. (2) Οὗτοι μὲν ἔτι νυκτὸς ἐσήμηναν, τρίτοι δὲ οἱ ἡμεροσκόποι καταδραμόντες ἀπὸ τῶν ἄκρων ἤδη διαφαινούσης ἡμέρης. Ἐνθαῦτα ἐβουλεύοντο οἱ Ἕλληνες, καί σφεων ἐσχίζοντο αἱ γνῶμαι· οἱ μὲν γὰρ οὐκ ἔων τὴν τάξιν ἐκλιπεῖν, οἱ δὲ ἀντέτεινον. (3) Μετὰ δὲ τοῦτο διακριθέντες οἱ μὲν ἀπαλλάσσοντο καὶ διασκεδασθέντες κατὰ πόλις ἕκαστοι ἐτράποντο, οἱ δὲ αὐτῶν ἅμα Λεωνίδῃ μένειν αὐτοῦ παρεσκευάδατο.

CCXX. Λέγεται δὲ καὶ ὡς αὐτός σφεας ἀπέπεμψε Λεωνίδης, μὴ ἀπόλωνται κηδόμενος· αὐτῷ δὲ καὶ Σπαρτιητέων τοῖσι παρεοῦσι οὐκ ἔχειν εὐπρεπέως ἐκλιπεῖν τὴν τάξιν ἐς τὴν ἦλθον φυλάξοντες ἀρχήν. (2) Ταύτῃ καὶ μᾶλλον τῇ γνώμῃ πλεῖστός εἰμι, Λεωνίδεα, ἐπείτε ᾔσθετο τοὺς συμμάχους ἐόντας ἀπροθύμους καὶ οὐκ ἐθέλοντας συνδιακινδυνεύειν, κελεῦσαί σφεας ἀπαλλάσσεσθαι, αὐτῷ δὲ ἀπιέναι οὐ καλῶς ἔχειν. (3) Μένοντι δὲ αὐτοῦ κλέος μέγα ἐλείπετο, καὶ ἡ Σπάρτης εὐδαιμονίη οὐκ ἐξηλείφετο. Ἐκέχρηστο γὰρ ὑπὸ τῆς Πυθίης τοῖσι Σπαρτιήτῃσι χρεωμένοισι περὶ τοῦ πολέμου τούτου αὐτίκα κατ' ἀρχὰς ἐγειρομένου, ἢ Λακε-

CCXVII. Hac igitur semita, quam descripsi, Persæ trajecto Asopo totam noctem iter fecerunt, a dextra habentes Œtæorum montes, a sinistra vero montes Trachiniorum : et illuxit aurora, quum ad summum montem pervenerunt. (2) Hoc igitur loco montem custodiebant, ut etiam ante demonstravi, Phocenses mille graviter armati, et suam regionem tutantes, et callem custodientes. (3) Inferior enim introitus ab eis, quos dixi, custodiebatur : semitam autem, quæ fert per montem, Phocenses custodiebant, qui Leonidæ ultro hanc operam receperant.

CCXVIII. Adscendentes quidem latuerant Persæ, quum quercubus totus obsitus mons esset : postquam vero adscenderant, hoc modo adventantes illos cognovere Phocenses, quum tranquillum esset cœlum, propter folia sub pedibus strata multus, ut res fert, ortus strepitus excitavit eos ut ad arma concurrerent : et protinus barbari adfuerunt. (2) Qui ubi armatos conspexere viros, mirati sunt, quod, quum neminem sibi putassent occursurum, in exercitum incidissent. Ibi tum Hydarnes, veritus ne, qui Phocenses erant, Lacedæmonii essent, quæsivit ex Ephialte, cujus populi is esset exercitus : et ubi quod res erat audivit, in aciem Persas instruxit. (3) At Phocenses, quum multis crebrisque telis ferirentur, rati non nisi adversus se hos esse profectos, arrepta fuga in summum montis verticem se receperunt, ad occumbendam mortem parati. (4) Hi igitur ita erant animati : at Persæ, qui cum Ephialte et Hydarne erant, nullam Phocensium rationem habentes, descendere de monte properarunt.

CCXIX. Qui ad Thermopylas erant Græci, his primum Megistias vates, inspectis victimis, prædixerat mortem primo mane eis instantem : deinde advenere etiam transfugæ, circuitum hostium nunciantes : (2) hi, quum adhuc tunc nox esset, significaverunt : tertio autem speculatores diurni, de summitatibus montium decurrentes, illucescente jam die, idem indicium fecere. Ibi tum Græci, quid sibi faciendum esset deliberantes, in diversas abiere sententias, aliis contendentibus non deserendam esse stationem, aliis contra nitentibus. (3) Hinc soluto concilio, discesserunt alii, et suam quisque in civitatem tendens dispersi sunt : alii vero parati erant cum Leonida manere.

CCXX. Dicunt autem, ipsum Leonidam illos dimisisse, ne perirent curantem; se autem et præsentes Spartanos non decere dicentem deserere stationem ad quam custodiendam principio missi essent. (2) Et ego quoque quam maxime in hac sum sententia, Leonidam, quum minime promptos esse socios vidisset, nec ad subeundum secum periculum ultro paratos, abire illos jussisse; sibi autem, ut abiret, inhonestum judicasse. (3) Contra, si maneret, ingens eum gloria manebat, et Spartæ felicitas non exstinguebatur. Etenim Spartanis, jam in primo hujus belli initio oraculum consulentibus, responderat Pythia, aut

δαίμονα ἀνάστατον γενέσθαι ὑπὸ τῶν βαρβάρων, ἢ τὸν βασιλέα σφέων ἀπολέσθαι. (4) Ταῦτα δέ σφι ἐν ἔπεσι ἑξαμέτροισι χρᾷ ἔχοντα ὧδε,

Ὑμῖν δ', ὦ Σπάρτης οἰκήτορες εὐρυχόροιο,
ἢ μέγα ἄστυ ἐρικυδὲς ὑπ' ἀνδράσι Περσείδῃσι
πέρθεται, ἢ τὸ μὲν οὐκί, ἀφ' Ἡρακλέος δὲ γενέθλης
πενθήσει βασιλῆ φθίμενον Λακεδαίμονος οὖρος.
Οὐ γὰρ τὸν ταύρων σχήσει μένος οὐδὲ λεόντων
ἀντιβίην· Ζηνὸς γὰρ ἔχει μένος· οὐδέ ἑ φημι
σχήσεσθαι, πρὶν τῶνδ' ἕτερον διὰ πάντα δάσηται.

(5) Ταῦτά τε δὴ ἐπιλεγόμενον Λεωνίδεα, καὶ βουλόμενον κλέος καταθέσθαι μούνων Σπαρτιητέων, ἀποπέμψαι τοὺς συμμάχους μᾶλλον ἢ γνώμῃ διενεχθέντας οὕτω ἀκόσμως οἴχεσθαι τοὺς οἰχομένους.

CCXXI. Μαρτύριον δέ μοι καὶ τόδε οὐκ ἐλάχιστον τούτου πέρι γέγονε· οὐ γὰρ μοῦνον τοὺς ἄλλους, ἀλλὰ καὶ τὸν μάντιν ὃς εἵπετο τῇ στρατιῇ ταύτῃ, Μεγιστίην τὸν Ἀκαρνῆνα, λεγόμενον εἶναι τὰ ἀνέκαθεν ἀπὸ Μελάμποδος, τοῦτον τὸν εἵπαντα ἐκ τῶν ἱρῶν τὰ μέλλοντά σφι ἐκβαίνειν, φανερός ἐστι Λεωνίδης ἀποπέμπων, ἵνα μὴ συναπόληταί σφι. Ὁ δὲ ἀποπεμπόμενος αὐτὸς μὲν οὐκ ἀπελείπετο, τὸν δὲ παῖδα συστρατευόμενον, ἐόντα οἱ μουνογενέα, ἀπέπεμψε.

CCXXII. Οἱ μέν νυν σύμμαχοι οἱ ἀποπεμπόμενοι οἴχοντό τε ἀπιόντες καὶ ἐπείθοντο Λεωνίδῃ, Θεσπιέες δὲ καὶ Θηβαῖοι κατέμειναν μοῦνοι παρὰ Λακεδαιμονίοισι. (2) Τούτων δὲ Θηβαῖοι μὲν ἀέκοντες ἔμενον καὶ οὐ βουλόμενοι (κατεῖχε γάρ σφεας Λεωνίδης ἐν ὁμήρων λόγῳ ποιεύμενος), Θεσπιέες δὲ ἑκόντες μάλιστα, οἳ οὐκ ἔφασαν ἀπολιπόντες Λεωνίδεα καὶ τοὺς μετ' αὐτοῦ ἀπαλλάξεσθαι, ἀλλὰ καταμείναντες συναπέθανον. Ἐστρατήγεε δὲ αὐτῶν Δημόφιλος Διαδρόμεω.

CCXXIII. Ξέρξης δὲ ἐπεὶ ἡλίου ἀνατείλαντος σπονδὰς ἐποιήσατο, ἐπισχὼν χρόνον ἐς ἀγορῆς κου μάλιστα πληθώρην πρόσοδον ἐποιέετο· καὶ γὰρ ἐπέσταλτο ἐξ Ἐπιάλτεω οὕτω· ἀπὸ γὰρ τοῦ οὔρεος ἡ κατάβασις συντομωτέρη τέ ἐστι καὶ βραχύτερος ὁ χῶρος πολλὸν ἢπερ ἡ περίοδός τε καὶ ἀνάβασις. (2) Οἵ τε δὴ βάρβαροι οἱ ἀμφὶ Ξέρξεα προσῇϊσαν, καὶ οἱ ἀμφὶ Λεωνίδεα Ἕλληνες, ὡς τὴν ἐπὶ θανάτῳ ἔξοδον ποιεύμενοι, ἤδη πολλῷ μᾶλλον ἢ κατ' ἀρχὰς ἐπεξῇϊσαν ἐς τὸ εὐρύτερον τοῦ αὐχένος. (3) Τὸ μὲν γὰρ ἔρυμα τοῦ τείχεος ἐφυλάσσετο, οἱ δὲ ἀνὰ τὰς προτέρας ἡμέρας ὑπεξιόντες ἐς τὰ στεινόπορα ἐμάχοντο. Τότε δὲ συμμίσγοντες ἔξω τῶν στεινῶν ἔπιπτον πλήθεϊ πολλοὶ τῶν βαρβάρων· ὄπισθε γὰρ οἱ ἡγεμόνες τῶν τελέων ἔχοντες μάστιγας ἐρράπιζον πάντα ἄνδρα, αἰεὶ ἐς τὸ πρόσω ἐποτρύνοντες. (4) Πολλοὶ μὲν δὴ ἐσέπιπτον αὐτῶν ἐς τὴν θάλασσαν καὶ διεφθείροντο, πολλῷ δ' ἔτι πλεῦνες κατεπατέοντο ζωοὶ ὑπ' ἀλλήλων· ἦν δὲ λόγος οὐδεὶς τοῦ ἀπολλυμένου. Ἅτε γὰρ ἐπιστάμενοι τὸν μέλλοντά σφι ἔσεσθαι θάνατον ἐκ τῶν περιιόντων

eversum iri Lacedæmonem a barbaris; aut regem ipsorum periturum. (4) Hoc eis illa responsum versibus hexametris comprehensum dederat, his verbis:

Vobis, o spatiosæ Spartæ incolæ,
aut ingens urbs gloriosa a viris Persis
evertitur; aut, si non hoc, ab Hercule oriundum
flebunt mortuum regem Lacedæmonis fines.
Nec enim sustinebit eum taurorum robur leonumque
contra stantium; Jovis enim ille robur habet; eumque dico
non iri repressum prius, quam horum alterutrum fuerit
sortitus.

(5) Igitur Leonidam, hæc reputantem, cupientemque solis Spartanis sempiternam adquirere gloriam, dimisisse potius arbitror socios illos qui abiere, quam ipsos per se ab illo dissentientes, ita spreta omni militari disciplina abiisse.

CCXXI. Cujus rei mihi hoc etiam haud minimum documentum est, quod non modo reliqui dimissi sunt, sed quod satis constat, vati etiam exercitum sequenti, Megistiæ Acarnani, genus a Melampode derivanti, eidem qui e victimis eventura illis prædixerat, missionem dedisse Leonidam, veritum ne cum ipsis periret. At ille, quamquam missionem nactus, non tamen discessit; sed filium, militiæ hujus socium, qui unicus illi natus erat, dimisit.

CCXXII. Cæteri igitur socii dimissi abierunt, mandato Leonidæ obsequentes. Thespienses vero et Thebani soli apud Lacedæmonios manserunt. (2) Et Thebani quidem nolentes et inviti manserunt; retinuit eos autem Leonidas, obsidum loco habens: Thespienses vero summa sua voluntate; neutiquam enim Leonidam et qui cum illo erant se deserturos abscessurosque aiebant, sed apud illos mansuros mortemque cum eisdem occubituros. His præerat Demophilus, Diadromæ filius.

CCXXIII. Orto sole, Xerxes libamina fecit: deinde aliquamdiu moratus, quo tempore forum maxime frequentari hominibus solet impressionem in hostem facere instituit: ita enim significatum ei ab Ephialte erat. Nam descensus de monte brevior est, atque iter inde ad Thermopylas compendiosius, quam circuitus et adscensus montis. (2) Barbari igitur, qui cum Xerxe erant, in hostem perrexerunt: et Græci cum Leonida, utpote ad mortem ire parati, jam multo longius, quam ante, in spatiosiorem faucium partem progressi sunt. (3) Nam muri quidem munimentum custodiebatur; superioribus vero diebus in ipsas etiam fauces progressi pugnaverant. Nunc igitur, quum extra angustias consererent pugnam, ingens hostium cecidit multitudo. Etenim manipulorum duces, flagellis a tergo instantes, et unumquemque cædentes, ad ulterius progrediendum suos concitabant. (4) Itaque eorum multi in mare incidentes perierunt; multo vero plures, alii ab aliis, vivi conculcati sunt: nec ulla ratio habebatur pereuntium. Nam Lacedæmonii, quum imminere sibi mortem ab his qui montem circumiverant non ignorarent,

τὸ οὖρος, ἐπεδείκνυντο ῥώμης ὅσον εἶχον μέγιστον ἐς τοὺς βαρβάρους, παραχρεώμενοί τε καὶ ἀτέοντες.

CCXXIV. Δόρατα μέν νυν τοῖσι πλέοσι αὐτῶν τηνικαῦτα ἐτύγχανε κατεηγότα ἤδη, οἱ δὲ τοῖσι ξίφεσι διεργάζοντο τοὺς Πέρσας. (2) Καὶ Λεωνίδης τε ἐν τούτῳ τῷ πόνῳ πίπτει ἀνὴρ γενόμενος ἄριστος, καὶ ἕτεροι μετ' αὐτοῦ οὐνομαστοὶ Σπαρτιητέων, τῶν ἐγὼ ὡς ἀνδρῶν ἀξίων γενομένων ἐπυθόμην τὰ οὐνόματα, ἐπυθόμην δὲ καὶ ἁπάντων τῶν τριηκοσίων. (3) Καὶ δὴ καὶ Περσέων πίπτουσι ἐνθαῦτα ἄλλοι τε πολλοὶ καὶ οὐνομαστοί, ἐν δὲ δὴ καὶ Δαρείου δύο παῖδες Ἀβροκόμης τε καὶ Ὑπεράνθης, ἐκ τῆς Ἀρτάνεω θυγατρὸς Φραταγούνης γεγονότες Δαρείῳ. (4) Ὁ δὲ Ἀρτάνης Δαρείου μὲν τοῦ βασιλέος ἦν ἀδελφεὸς, Ὑστάσπεος δὲ τοῦ Ἀρσάμεω παῖς· ὃς καὶ ἐκδιδοὺς τὴν θυγατέρα Δαρείῳ τὸν οἶκον πάντα τὸν ἑωυτοῦ ἐπέδωκε ὡς μούνου οἱ ἐούσης ταύτης τέκνου.

CCXXV. Ξέρξεώ τε δὴ δύο ἀδελφεοὶ ἐνθαῦτα πίπτουσι μαχόμενοι ὑπὲρ τοῦ νεκροῦ τοῦ Λεωνίδεω, Περσέων τε καὶ Λακεδαιμονίων ὠθισμὸς ἐγένετο πολλὸς, ἐς ὃ τοῦτόν τε ἀρετῇ οἱ Ἕλληνες ὑπεξείρυσαν καὶ ἐτρέψαντο τοὺς ἐναντίους τετράκις. Τοῦτο δὲ συνεστήκεε μέχρι οὗ οἱ σὺν Ἐπιάλτῃ παρεγένοντο. (2) Ὡς δὲ τούτους ἤκειν ἐπύθοντο οἱ Ἕλληνες, ἐνθεῦτεν ἤδη ἑτεροιοῦτο τὸ νεῖκος· ἔς τε γὰρ τὸ στεινὸν τῆς ὁδοῦ ἀνεχώρεον ὀπίσω, καὶ παραμειψάμενοι τὸ τεῖχος ἐλθόντες ἵζοντο ἐπὶ τὸν κολωνὸν πάντες ἀλέες οἱ ἄλλοι πλὴν Θηβαίων. Ὁ δὲ κολωνός ἐστι ἐν τῇ ἐσόδῳ, ὅκου νῦν ὁ λίθινος λέων ἕστηκε ἐπὶ Λεωνίδῃ. (3) Ἐν τούτῳ τῷ σφέας τῷ χώρῳ ἀλεξομένους μαχαίρῃσι, τοῖσι αὐτῶν ἐτύγχανον ἔτι περιεοῦσαι, καὶ χερσὶ καὶ στόμασι κατέχωσαν οἱ βάρβαροι βάλλοντες, οἱ μὲν ἐξ ἐναντίης ἐπισπόμενοι καὶ τὸ ἔρυμα τοῦ τείχεος συγχώσαντες, οἱ δὲ περιελθόντες πάντοθε περισταδόν.

CCXXVI. Λακεδαιμονίων δὲ καὶ Θεσπιέων τοιούτων γενομένων, δμως λέγεται ἄριστος ἀνὴρ γενέσθαι Σπαρτιήτης Διηνέκης· τὸν τόδε φασὶ εἰπεῖν τὸ ἔπος πρὶν ἢ συμμῖξαί σφεας τοῖσι Μήδοισι, πυθόμενον πρός τευ τῶν Τρηχινίων ὡς ἐπεὰν οἱ βάρβαροι ἀπίωσι τὰ τοξεύματα, τὸν ἥλιον ὑπὸ τοῦ πλήθεος τῶν ὀϊστῶν ἀποκρύπτουσι· τοσοῦτό τι πλῆθος αὐτῶν εἶναι· (2) τὸν δὲ οὐκ ἐκπλαγέντα τούτοισι εἰπεῖν, ἐν ἀλογίῃ ποιεύμενον τὸ τῶν Μήδων πλῆθος, ὡς πάντα σφι ἀγαθὰ ὁ Τρηχίνιος ξεῖνος ἀγγέλλοι, εἰ ἀποκρυπτόντων τῶν Μήδων τὸν ἥλιον ὑπὸ σκιῇ ἔσοιτο πρὸς αὐτοὺς ἡ μάχη καὶ οὐκ ἐν ἡλίῳ. Ταῦτα μὲν καὶ ἄλλα τοιουτότροπα ἔπεά φασι Διηνέκεα τὸν Λακεδαιμόνιον λιπέσθαι μνημόσυνα.

CCXXVII. Μετὰ δὲ τοῦτον ἀριστεῦσαι λέγονται Λακεδαιμόνιοι δύο ἀδελφεοὶ, Ἀλφεός τε καὶ Μάρων Ὀρσιφάντου παῖδες. Θεσπιέων δὲ εὐδοκίμεε μάλιστα τῷ οὔνομα ἦν Διθύραμβος Ἁρματίδεω.

CCXXVIII. Θαφθεῖσι δέ σφι αὐτοῦ ταύτῃ τῇ περ ἔπεσον, καὶ τοῖσι πρότερον τελευτήσασι ἢ ὑπὸ Λεωνίδῃ

quanta maxima poterant fortitudinis specimina adversus barbaros ediderunt, nullo modo parcentes sibi, ac furiosorum in morem pugnantes.

CCXXIV. Hastæ quidem jam tunc plerisque fractæ erant, et gladiis illi Persas conficiebant. (2) In eo labore, ab altera parte, Leonidas fortissime pugnans cecidit, cum eoque alii illustres Spartani; quorum ergo, ut dignorum virorum, nomina sciscitatus sum cognovique: rescivi vero etiam omnium nomina trecentorum. (3) Ab altera parte, ex Persis ibidem et alii multi illustres ceciderunt viri, et in his duo Darii filii, Abrocomes, et Hyperanthes, quos ex Phrataguna Artanis filia Darius susceperat. (4) Artanes autem frater fuerat Darii, Hystaspis filius, Arsamis nepos. Is Dario filiam suam elocans, simul totam suam domum ei donaverat, quum unica ipsius proles illa esset.

CCXXV. Igitur duo Xerxis fratres ibi ceciderunt pugnantes super Leonidæ cadavere, de quo acre fuit inter Persas et Lacedæmonios certamen: donec ad extremum sua virtute Græci illud subtraxerunt, quater in fugam versis adversariis. Ita pugnatum est, donec qui cum Ephialte erant advenere. (2) Quos ubi accedere intellexerunt Græci, tum vero mutatum certamen est. Tunc enim in angustias viæ se receperunt, et murum etiam prætergressi, ubi ad tumulum venerunt, qui in introitu angustiarum est, ubi nunc lapideus leo stat in Leonidæ memoriam, ibi confertim consederunt exceptis Thebanis cæteri omnes. (3) Eodemque loco gladiis sese defendentes, quibus gladii supererant, alii manibus dentibusque depugnantes, obruti sunt barbarorum telis, partim subruta muri munitione ex adverso ingruentium, partim ex circuitu undique circumstantium.

CCXXVI. Tales quum se præstiterint Lacedæmonii et Thespienses omnes, fortissimus tamen ex his fuisse dicitur Dieneces Spartanus: quem aiunt, priusquam cum Medis congrederentur, verbum illud dixisse, quum Trachinium quemdam audivisset dicentem, quando barbari tela emiserint, multitudine telorum solem iri obscuratum; tantam enim esse hostium multitudinem. (2) Hunc igitur, nihil perterritum, sed aspernantem Medorum multitudinem, respondisse aiunt, fausta omnia Græcis nunciare hospitem Trachinium; quandoquidem, sole telis Medorum obscurato, in umbra sint pugnaturi, non in sole. Hæc et ejusdem generis alia dicta, aiunt, Dienecem Lacedæmonium fortis animi monumenta reliquisse.

CCXXVII. Post hunc fortissimos se præstitisse memorant Lacedæmonios duos fratres, Alpheum et Maronem, Orsiphanti filios. Ex Thespiensibus vero præcipuam laudem abstulit vir, cui Dithyrambus nomen fuit, Harmatidæ filius.

CCXXVIII. Sepulti sunt omnes eodem loco quo ceciderunt, et tam in horum honorem, quam in illorum qui ante

δεω ἀποπεμφθέντας οἴχεσθαι, ἐπιγέγραπται γράμματα λέγοντα τάδε,

Μυριάσιν ποτὲ τῇδε τριηκοσίαις ἐμάχοντο
ἐκ Πελοποννάσου χιλιάδες τέτορες.

(2) Ταῦτα μὲν δὴ τοῖσι πᾶσι ἐπιγέγραπται, τοῖσι δὲ Σπαρτιήτῃσι ἰδίῃ,

Ὦ ξεῖν', ἀγγέλλειν Λακεδαιμονίοις ὅτι τῇδε
κείμεθα τοῖς κείνων ῥήμασι πειθόμενοι.

Λακεδαιμονίοισι μὲν δὴ τοῦτο, τῷ δὲ μάντι τόδε,

Μνῆμα τόδε κλειτοῖο Μεγιστία, ὅν ποτε Μῆδοι
Σπερχειὸν ποταμὸν κτεῖναν ἀμειψάμενοι,
μάντιος, ὃς τότε Κῆρας ἐπερχομένας σάφα εἰδὼς
οὐκ ἔτλη Σπάρτης ἡγεμόνας προλιπεῖν.

(3) Ἐπιγράμμασι μέν νυν καὶ στήλῃσι, ἓξω ἢ τὸ τοῦ μάντιος ἐπίγραμμα, Ἀμφικτύονές εἰσί σφεας οἱ ἐπικοσμήσαντες· τὸ δὲ τοῦ μάντιος Μεγιστίεω Σιμωνίδης ὁ Λεωπρέπεός ἐστι κατὰ ξεινίην ὁ ἐπιγράψας.

CCXXIX. Δύο δὲ τούτων τῶν τριηκοσίων λέγεται Εὔρυτόν τε καὶ Ἀριστόδημον, παρεὸν αὐτοῖσι ἀμφοτέροισι κοινῷ λόγῳ χρησαμένοισι ἢ ἀποσωθῆναι ὁμοῦ ἐς Σπάρτην, ὡς μεμετιμένοι τε ἦσαν ἐκ τοῦ στρατοπέδου ὑπὸ Λεωνίδεω καὶ κατεκέατο ἐν Ἀλπηνοῖσι ὀφθαλμιέοντες ἐς τὸ ἔσχατον, ἢ εἰ γε μὴ ἐβούλοντο νοστῆσαι, ἀποθανέειν ἅμα τοῖσι ἄλλοισι, (2) παρεόν σφι τούτων τὰ ἕτερα ποιέειν οὐκ ἐθελῆσαι ὁμοφρονέειν, ἀλλὰ γνώμῃ διενειχθέντας Εὔρυτον μὲν πυθόμενον τὴν τῶν Περσέων περίοδον, αἰτήσαντά τε τὰ ὅπλα καὶ ἐνδύντα, ἄγειν αὐτὸν κελεῦσαι τὸν εἵλωτα ἐς τοὺς μαχομένους, ὅκως δὲ αὐτὸν ἤγαγε, τὸν μὲν ἀγαγόντα οἴχεσθαι φεύγοντα, τὸν δὲ ἐσπεσόντα ἐς τὸν ὅμιλον διαφθαρῆναι, Ἀριστόδημον δὲ λειποψυχέοντα λειφθῆναι. (3) Εἰ μέν νυν ἦν μοῦνον Ἀριστόδημον ἀλγήσαντα ἀπονοστῆσαι ἐς Σπάρτην, ἢ καὶ ὁμοῦ σφέων ἀμφοτέρων τὴν κομιδὴν γενέσθαι, δοκέειν ἐμοὶ οὐκ ἄν σφι Σπαρτιήτας μῆνιν οὐδεμίαν προσθέσθαι· νυνὶ δὲ τοῦ μὲν αὐτῶν ἀπολομένου, τοῦ δὲ τῆς μὲν αὐτῆς ἐχομένου προφάσιος, οὐκ ἐθελήσαντος δὲ ἀποθνήσκειν, ἀναγκαίως σφι ἔχειν μηνῖσαι μεγάλως Ἀριστοδήμῳ.

CCXXX. Οἱ μέν νυν οὕτω σωθῆναι λέγουσι Ἀριστόδημον ἐς Σπάρτην καὶ διὰ πρόφασιν τοιήνδε, οἱ δὲ ἄγγελον πεμφθέντα ἐκ τοῦ στρατοπέδου, ἐξεὸν αὐτῷ καταλαβέειν τὴν μάχην γινομένην οὐκ ἐθελῆσαι, ἀλλ' ὑπομείναντα ἐν τῇ ὁδῷ περιγενέσθαι, τὸν δὲ συνάγγελον αὐτοῦ ἀπικόμενον ἐς τὴν μάχην ἀποθανέειν.

CCXXXI. Ἀπονοστήσας δὲ ἐς Λακεδαίμονα ὁ Ἀριστόδημος ὀνειδός τε εἶχε καὶ ἀτιμίην. Πάσχων δὲ τοιάδε ἠτίμωτο· οὔτε οἱ πῦρ οὐδεὶς ἔναυε Σπαρτιητέων οὔτε διελέγετο, ὀνειδός τε εἶχε ὁ τρεσᾶς Ἀριστόδημος καλεύμενος. Ἀλλ' ὁ μὲν ἐν τῇ ἐν Πλαταιῇσι μάχῃ ἀνέλαβε πᾶσαν τὴν ἐπενεχθεῖσάν οἱ αἰτίην.

CCXXXII. Λέγεται δὲ καὶ ἄλλον ἀποπεμφθέντα

ceciderant quam dimissi a Leonida socii abierunt, hæ inscriptiones positæ sunt :

Cum trecentis olim myriadibus hic pugnarunt
ex Peloponneso quattuor millia virorum.

(2) Hæc in honorem omnium posita inscriptio est; in Spartanorum vero memoriam privatim ista :

Hospes, nuncia Lacedæmoniis, hoc loco nos
jacere, dictis illorum obsequentes.

In Lacedæmonios igitur hoc; in vatem vero istud :

Monumentum hoc illustris Megistiæ, quem olim Medi
Spercheo fluvio occiderunt trajecto,
vatis, qui instans tunc fatum probe cognitum habens,
deserere tamen Spartæ duces non sustinuit.

(3) Inscriptionibus istis et columnis, excepto vatis epigrammate, Amphictyones illos honorarunt : vatis vero Megistiæ epigramma Simonides posuit, Leoprepis filius, pro hospitii familiaritate.

CCXXIX. Narrant, ex trecentis illis Spartanis duos viros, Eurytum et Aristodemum, quum, si commune voluissent consilium sequi, potuissent ambo aut simul salvi Spartam redire, ut qui a Leonida e castris dimissi decubuerant in Alpenis, vehementi oculorum dolore laborantes; aut, si redire ad commilitones voluissent, mortem potuissent obire cum reliquis : (2) hos igitur, narrant, quum alterutrum horum licuisset eligere, noluisse commune sequi consilium; sed, inter se dissentientes, Eurytum, cognito Persarum per montem circuitu, arma postulasse, captisque armis jussisse helotam suum ad pugnantes se ducere; et, postquam ad illos pervenit, helotam quidem fuga salutem petiisse, ipsum vero in hostium agmen irruentem occubuisse : Aristodemum autem, deficientem animo, remansisse. (3) Quodsi igitur unus Aristodemus oculorum morbo laborasset, eaque caussa Spartam rediisset, aut si ambo simul reversi essent, Spartani (ut mihi videtur) nullam in eos iram erant exercituri : nunc vero, quum alter periit, alter, qui in eadem caussa fuerat, mori recusavit, necessario vehementer irasci Aristodemo debuerunt.

CCXXX. Alii igitur, hoc modo hacque occasione Aristodemum, memorant, salvum Spartam evasisse : alii vero aiunt, ad deferendum nuncium quemdam missum eum fuisse e castris, et, quum pugnæ deinde interesse potuisset, noluisse, sed in via moratum, superstitem fuisse; socium autem, qui simul cum eo missus fuerat, ad pugnam rediisse, in eaque occubuisse.

CCXXXI. Quidquid est, Lacedæmonem reversus Aristodemus probro et ignominia notatus est, atque ita infamis habitus, ut nemo Spartanorum lumen ei accenderet, nec cum eo colloqueretur, utque per ignominiam trepidus Aristodemus nominaretur. Sed idem vir in pugna ad Platæas culpam, quæ eum premebat, dissolvit totam.

CCXXXII. Memorant etiam, alium ex trecentis, nomine

ἄγγελον ἐς Θεσσαλίην τῶν τριηκοσίων τούτων περιγενέσθαι, τῷ οὔνομα εἶναι Παντίτην· νοστήσαντα δὲ τοῦτον ἐς Σπάρτην, ὡς ἠτίμωτο, ἀπάγξασθαι.

CCXXXIII. Οἱ δὲ Θηβαῖοι τῶν ὁ Λεοντιάδης ἐστρατήγεε, τέως μὲν μετὰ τῶν Ἑλλήνων ἐόντες ἐμάχοντο, ὑπ' ἀναγκαίης ἐχόμενοι, πρὸς τὴν βασιλέος στρατιήν· (2) ὡς δὲ εἶδον κατυπέρτερα τῶν Περσέων γινόμενα τὰ πρήγματα, οὕτω δή, τῶν σὺν Λεωνίδῃ Ἑλλήνων ἐπειγομένων ἐπὶ τὸν κολωνὸν, ἀποσχισθέντες τούτων χεῖράς τε προέτεινον καὶ ἧϊσαν ἄσσον τῶν βαρβάρων, λέγοντες τὸν ἀληθέστατον τῶν λόγων, ὡς καὶ μηδίζουσι καὶ γῆν τε καὶ ὕδωρ ἐν πρώτοισι ἔδοσαν βασιλέϊ, ὑπὸ δὲ ἀναγκαίης ἐχόμενοι ἐς Θερμοπύλας ἀπικοίατο καὶ ἀναίτιοι εἶεν τοῦ τρώματος τοῦ γεγονότος βασιλέϊ. (3) Ὡς τε ταῦτα λέγοντες περιεγίνοντο· εἶχον γὰρ καὶ Θεσσαλοὺς τῶν λόγων τούτων μάρτυρας. Οὐ μέντοι τά γε πάντα εὐτύχησαν· ὡς γὰρ αὐτοὺς ἔλαβον οἱ βάρβαροι ἐλθόντας, τοὺς μέν τινας καὶ ἀπέκτειναν προσιόντας, τοὺς δὲ πλεῦνας αὐτῶν κελεύσαντος Ξέρξεω ἔστιζον στίγματα βασιλήϊα, ἀρξάμενοι ἀπὸ τοῦ στρατηγοῦ Λεοντιάδεω, τοῦ τὸν παῖδα Εὐρύμαχον χρόνῳ μετέπειτεν ἐφόνευσαν Πλαταιέες στρατηγήσαντα ἀνδρῶν Θηβαίων τετρακοσίων καὶ σχόντα τὸ ἄστυ τὸ Πλαταιέων.

CCXXXIV. Οἱ μὲν δὴ περὶ Θερμοπύλας Ἕλληνες οὕτω ἠγωνίσαντο· Ξέρξης δὲ καλέσας Δημάρητον εἰρώτα ἀρξάμενος ἐνθένδε, « Δημάρητε, ἀνὴρ εἷς ἀγαθός. Τεκμαίρομαι δὲ τῇ ἀληθείῃ· ὅσα γὰρ εἶπας, ἅπαντα ἀπέβη οὕτω. (2) Νῦν δέ μοι εἰπὲ, κόσοι τινές εἰσι οἱ λοιποὶ Λακεδαιμόνιοι, καὶ τούτων ὁκόσοι τοιοῦτοι τὰ πολέμια, εἴτε καὶ ἅπαντες. » Ὁ δ' εἶπε, « ὦ βασιλεῦ, πλῆθος μὲν πάντων τῶν Λακεδαιμονίων πολλὸν καὶ πόλιες πολλαί· τὸ δὲ ἐθέλεις ἐκμαθέειν, εἰδήσεις. (3) Ἔστι ἐν τῇ Λακεδαίμονι Σπάρτη πόλις ἀνδρῶν ὀκτακισχιλίων μάλιστα, καὶ οὗτοι πάντες εἰσὶ ὁμοῖοι τοῖσι ἐνθάδε μαχεσαμένοισι· οἵ γε μὲν ἄλλοι Λακεδαιμόνιοι τούτοισι μὲν οὐκ ὁμοῖοι, ἀγαθοὶ δέ. » (4) Εἶπε πρὸς ταῦτα Ξέρξης, « Δημάρητε, τέῳ τρόπῳ ἀπονητότατα τῶν ἀνδρῶν τούτων ἐπικρατήσομεν; ἴθι ἐξηγέεο· σὺ γὰρ ἔχεις αὐτῶν τὰς διεξόδους τῶν βουλευμάτων οἷα βασιλεὺς γενόμενος. »

CCXXXV. Ὁ δ' ἀμείβετο, « ὦ βασιλεῦ, εἰ μὲν δὴ συμβουλεύεαι μοι προθύμως, δίκαιόν με σοί ἐστι φράζειν τὸ ἄριστον· εἰ τῆς ναυτικῆς στρατιῆς νέας τριηκοσίας ἀποστείλειας ἐπὶ τὴν Λάκαιναν χώρην. (2) Ἔστι δὲ ἐπ' αὐτῇ νῆσος ἐπικειμένη τῇ οὔνομά ἐστι Κύθηρα, τὴν Χίλων ἀνὴρ παρ' ἡμῖν σοφώτατος γενόμενος κέρδος μέζον ἔφη εἶναι Σπαρτιήτῃσι κατὰ τῆς θαλάσσης καταδεδυκέναι μᾶλλον ἢ ὑπερέχειν, αἰεί τι προσδοκέων ἀπ' αὐτῆς τοιοῦτο ἔσεσθαι οἷόν τι ἐγὼ ἐξηγέομαι, οὐτι τὸν σὸν στόλον προειδὼς, ἀλλὰ πάντα ὁμοίως φοβεόμενος ἀνδρῶν στόλον. (3) Ἐκ ταύτης ὦν τῆς νήσου ὁρμεώμενοι φοβεόντων τοὺς Λακεδαιμονίους. Παροίκου δὲ πολέμου σφι ἐόντος οἰκηίου οὐδὲν δεινοὶ ἔσονταί τοι μὴ τῆς ἄλλης Ἑλλάδος ἁλισκομένης ὑπὸ τοῦ πεζοῦ βω-

Pantiten, quum ad deferendum nuncium in Thessaliam fuisset missus, superstitem fuisse; eumdem vero, quum Spartam reversus ignominia esset notatus, voluntario suspendio vitam finiisse.

CCXXXIII. Thebani vero, quibus dux præerat Leontiades, hactenus quidem a Græcorum partibus stantes, necessitate coacti, adversus regis exercitum dimicaverant. (2) Ut vero superiorem esse viderunt rem Persarum, quo tempore Græci qui cum Leonida fuerant ad tumulum se recipere properabant, his desertis, passis manibus ad barbaros accesserunt, dicentes id quod verissimum erat, cum Medis sese sentire; et inter primos terram et aquam regi tradidisse; necessitate autem coactos venisse ad Thermopylas, et a cladis culpa regi illatæ esse immunes. (3) His dictis, salvi evaserunt; habebant enim etiam Thessalos dictorum testes. Nec tamen prorsus feliciter eis res cessit. Nam, ut accedentes eos in potestate habuerunt barbari, nonnullos etiam, ut accedebant, interfecerunt; plurimis vero Xerxis jussu regia inusserunt stigmata, initio a duce Leontiade facto; cujus viri filium Eurymachum, interjecto tempore, Platæenses interfecerunt, quum quadringentorum dux fuisset Thebanorum, quorum ope Platæensium urbem occuparverat.

CCXXXIV. Hoc igitur modo ad Thermopylas Græci pugnaverant. Tum vero Xerxes vocatum ad se Demaratum interrogavit, hoc usus sermonis introitu : « Demarate, vir probus es : ex vero ita judico : quæcumque enim dixisti, ea ita evenerunt. (2) Nunc autem dic mihi, quotnam numero sint reliqui Lacedæmonii; et ex his quot sint horum similes in re bellica, an etiam tales sint omnes. » Et ille, « Rex, inquit, multitudo quidem omnium Lacedæmoniorum ingens est, et civitates sunt multæ : quod vero tu scire cupis, id dicam. (3) Est in Laconica Sparta, civitas virorum octies mille admodum : et hi quidem omnes similes sunt his qui hic pugnarunt. Cæteri vero Lacedæmonii his utique non sunt similes, at fortes tamen viri sunt. » (4) Ad hæc Xerxes ait : « Quonam igitur pacto, Demarate, hos homines minimo labore subigemus? Age, hoc mihi prome! Tu enim vias consiliorum omnium, quibus illi utuntur, compertas habes, quippe qui rex eorum fuisti. »

CCXXXV. Respondit Demaratus : « Quandoquidem studiose tu me, o rex, consulis, æquum est ut tibi id, quod optimum fuerit, expromam : nempe, si trecentarum navium classem in Laconicam miseris terram. (2) Est autem prope illam sita insula, cui nomen Cythera; de qua Chilon, vir olim apud nos sapientissimus, dicere consueverat, ingens lucrum fore Spartanis, si ea insula mari mergeretur potius, quam emineret. Nempe ille, non utique tuam classem ex longo tempore prospiciens, sed quamlibet quorumcumque hominum timens classem, semper veritus erat ne ex illa insula tale quidpiam patriæ suæ immineret, quale tibi ego nunc propono. (3) Ex hac igitur insula impetum faciens tua classis terreat Lacedæmonios : et illi, proprio finitimoque bello pressi, nihil verendum est, ne reliquæ Græciæ, a pedestri-

θέωσι ταύτῃ. Καταδουλωθείσης δὲ τῆς ἄλλης Ἑλλάδος ἀσθενὲς ἤδη τὸ Λακωνικὸν μοῦνον λείπεται. (4) Ἦν δὲ ταῦτα μὴ ποιέῃς, τάδε τοι προσδόκα ἔσεσθαι. Ἔστι τῆς Πελοποννήσου ἰσθμὸς στεινός· ἐν τούτῳ τῷ χώρῳ πάντων Πελοποννησίων συνομοσάντων ἐπὶ σοὶ μάχας ἰσχυροτέρας ἄλλας τῶν γενομένων προσδέκεο ἔσεσθαί τοι. Ἐκεῖνο δὲ ποιήσαντι ἀμαχητὶ ὅ τε ἰσθμὸς οὗτος καὶ αἱ πόλιες προσχωρήσουσι. »

CCXXXVI. Λέγει μετὰ τοῦτον Ἀχαιμένης ἀδελφεός τε ἐὼν Ξέρξεω καὶ τοῦ ναυτικοῦ στρατοῦ στρατηγὸς, παρατυχών τε τῷ λόγῳ καὶ δείσας μὴ ἀναγνωσθῇ Ξέρξης προιέειν ταῦτα, « ὦ βασιλεῦ, ὁρέω σε ἀνδρὸς ἐνδεκόμενον λόγους ὃς φθονέει τοι εὖ πρήσσοντι ἢ καὶ προδιδοῖ πρήγματα τὰ σά. (2) Καὶ γὰρ δὴ καὶ τρόποισι τοιούτοισι χρεώμενοι Ἕλληνες χαίρουσι· τοῦ τε εὐτυχέειν φθονέουσι καὶ τὸ κρέσσον στυγέουσι. (3) Εἰ δ' ἐπὶ τῇσι παρεούσῃσι τύχῃσι, τῶν νέες νεναυηγήκασι τετρακόσιαι, ἄλλας ἐκ τοῦ στρατοπέδου τριηκοσίας ἀποπέμψεις περιπλώειν Πελοπόννησον, ἀξιόμαχοί τοι γίνονται οἱ ἀντίπαλοι· ἀλλὰ δὲ ἐὼν ὁ ναυτικὸς στρατὸς δυσμεταχείριστός τε αὐτοῖσι γίνεται, καὶ ἀρχὴν οὐκ ἀξιόμαχοί τοι ἔσονται, καὶ πᾶς ὁ ναυτικὸς τῷ πεζῷ ἀρήξει καὶ ὁ πεζὸς τῷ ναυτικῷ, ὁμοῦ πορευόμενος· εἰ δὲ διασπάσεις, οὔτε σὺ ἔσεαι ἐκείνοισι χρήσιμος οὔτε ἐκεῖνοί σοί. (4) Τὰ σεωυτοῦ δὲ τιθέμενος εὖ γνώμην ἔχε τὰ τῶν ἀντιπολέμων μὴ ἐπιλέγεσθαι πρήγματα, τῇ τε στήσονται τὸν πόλεμον, τά τε ποιήσουσι, ὅσοι τε πλῆθος εἰσί. Ἱκανοὶ γὰρ ἐκεῖνοί γε αὐτοὶ ἑωυτῶν πέρι φροντίζειν εἰσὶ, ἡμεῖς δὲ ἡμέων ὡσαύτως. Λακεδαιμόνιοι δὲ ἢν ἴωσι ἀντία Πέρσῃσι ἐς μάχην, οὐδὲν τὸ παρεὸν τρῶμα ἀνιεῦνται. »

CCXXXVII. Ἀμείβεται Ξέρξης τοισίδε, « Ἀχαίμενες, εὖ τέ μοι δοκέεις λέγειν, καὶ ποιήσω ταῦτα. Δημάρητος δὲ λέγει μὲν τὰ ἄριστα ἔλπεται εἶναι ἐμοὶ, γνώμῃ μέντοι ἐσσοῦται ὑπὸ σεῦ. (2) Οὐ γὰρ δὴ ἐκεῖνό γε ἐνδέξομαι, ὄχως οὐκ εὐνοέει τοῖσι ἐμοῖσι πρήγμασι, τοῖσί τε λεγομένοισι πρότερον ἐκ τούτου σταθμώμενος, καὶ τῷ ἐόντι, ὅτι πολιήτης μὲν πολιήτῃ εὖ πρήσσοντι φθονέει καὶ ἔστι δυσμενὴς τῇ σιγῇ, οὐδ' ἂν συμβουλευομένου τοῦ ἀστοῦ πολιήτης ἀνὴρ τὰ ἄριστα οἱ δοκέοντα εἶναι ὑποθέοιτο, εἰ μὴ πρόσω ἀρετῆς ἀνήκοι· σπάνιοι δ' εἰσὶ οἱ τοιοῦτοι· (3) ξεῖνος δὲ ξείνῳ εὖ πρήσσοντί ἐστι εὐμενέστατον πάντων, συμβουλευομένου τε ἂν συμβουλεύσειε τὰ ἄριστα. Οὕτω ὦν κακολογίης πέρι τῆς ἐς Δημάρητον, ἐόντος ἐμοὶ ξείνου, ἔχεσθαί τινα τοῦ λοιποῦ κελεύω. »

CCXXXVIII. Ταῦτα εἰπας Ξέρξης διεξῆϊε διὰ τῶν νεκρῶν, καὶ Λεωνίδεω, ἀκηκοὼς ὅτι βασιλεύς τε ἦν καὶ στρατηγὸς Λακεδαιμονίων, ἐκέλευσε ἀποταμόντας τὴν κεφαλὴν ἀνασταυρῶσαι. (2) Δῆλά μοι πολλοῖσι μὲν καὶ ἄλλοισι τεκμηρίοισι, ἐν δὲ καὶ τῷδε οὐκ ἥκιστα γέγονε, ὅτι βασιλεὺς Ξέρξης πάντων δὴ μάλιστα ἀνδρῶν ἐθυμώθη ζώοντι Λεωνίδῃ· οὐ γὰρ ἄν κοτε ἐς τὸν νεκρὸν ταῦτα παρενόμησε, ἐπεὶ τιμᾶν μάλιστα νομίζουσι τῶν

bus tuis copiis oppugnatæ, auxilio veniant. Domita autem reliqua Græcia, Laconicum genus per se relinquitur invalidum. (4) Istud autem ni feceris, hoc futurum exspecta. Est Peloponnesi isthmus angustus; quo loco a conjuratis adversus te omnibus Peloponnesiis scito certamina multo acriora tibi, quam quæ adhuc facta sunt, imminere. Istud vero si feceris, isthmus ille et civitates omnes sine pugna in tuam cedent potestatem. »

CCXXXVI. Post hæc Achæmenes, frater Xerxis, et classi præpositus, qui huic colloquio intererat, veritus ne ad faciendum quod Demaratus suaserat Xerxes induceretur, hunc sermonem est exorsus : « Rex, video te sermonem admittere viri, qui tuæ invidet felicitati, aut etiam prodere res tuas conatur. (2) Nam hoc uti more amant Græci : invident aliis ob felicitatem, oderuntque potentiores. (3) Quodsi tu in præsenti rerum statu, postquam quadringentæ nostrarum navium naufragium fecerunt, alias trecentas de classe dimiseris quæ Peloponnesum circumnavigent, erunt nobis hostes ad resistendum pares : sin conjuncta manet nostra classis, difficilis illis erit ad oppugnandum, omninoque resistere tibi neutiquam poterunt. Adhæc universæ navales copiæ terrestribus erunt præsidio, et terrestres copiæ navalibus, una iter facientes : quos si diremeris, nec tu illis utilis esse poteris, nec illæ tibi. (4) Quodsi tuæ rationes recte erunt initæ, sic induc animum, ut nihil cures res adversariorum, quo loco gesturi sint bellum, quidve agant, aut quanta sit illorum multitudo. Satis ipsi idonei sunt suas res curare, atque nos nostras. Lacedæmonii vero, si contra Persas in pugnam progredientur, ne unam quidem hanc præsentem cladem reparabunt. »

CCXXXVII. Cui Xerxes his verbis respondit : « Achæmenes, recte tu mihi dicere videris, atque ita faciam. Demaratus autem ea dicit, quæ meis rebus ipse utilissima judicat : ejus tamen sententia a tua superatur. (2) Nam istud quidem non admitto, non bene eum cupere meis rebus : documento quippe mihi sunt quum superiores ejus sermones, tum res ipsa. Etenim civis quidem invidet felicitati civis, et tacite ei infensus est; nec facile civis, a popularium aliquo consultus, ea illi quæ ipsi optima videntur suaserit, nisi probabiles in virtute progressus fecerit : cujusmodi rari sunt homines : (3) hospes vero hospiti felici benevolentissimus est, et consultanti lubens optima suaserit. Itaque maledicentia adversus Demaratum, qui meus hospes est, abstinere dehinc quemlibet jubeo. »

CCXXXVIII. Hæc Xerxes postquam dixit, per cæsorum cadavera transiit; et Leonidæ, ut audivit regem hunc et ducem Lacedæmoniorum fuisse, abscindi caput et e palo erigi jussit. (2) Ac mihi quidem quum aliis documentis, tum vero maxime hoc ipso, fit manifestum, Xerxem vivo Leonidæ omnium hominum maxime iratum fuisse : alioqui enim numquam in mortui corpus ita nefarie sævituras erat, quandoquidem maxime omnium, quos novi, hominum Per-

ἐγὼ οἶδα ἀνθρώπων Πέρσαι ἄνδρας ἀγαθοὺς τὰ πολέμια. Οἱ μὲν δὴ ταῦτα ἐποίευν, τοῖσι ἐπετέταχτο ποιέειν.

CCXXXIX. Ἄνειμι δὲ ἐκεῖσε τοῦ λόγου τῆ μοι τὸ πρότερον ἐξέλιπε. Ἐπύθοντο Λακεδαιμόνιοι ὅτι βασιλεὺς στέλλοιτο ἐπὶ τὴν Ἑλλάδα πρῶτοι, καὶ οὕτω δὴ ἐς τὸ χρηστήριον τὸ ἐς Δελφοὺς ἀπέπεμψαν, ἔνθα δή σφι ἐχρήσθη τὰ ὀλίγῳ πρότερον εἶπα· ἐπύθοντο δὲ τρόπῳ θωμασίῳ. (2) Δημάρητος γὰρ ὁ Ἀρίστωνος φυγὼν ἐς Μήδους, ὡς μὲν ἐγὼ δοκέω, καὶ τὸ οἰκὸς ἐμοὶ συμμάχεται, οὐκ ἦν εὔνοος Λακεδαιμονίοισι, πάρεστι δὲ εἰκάζειν εἴτε εὐνοίῃ ταῦτα ἐποίησε εἴτε καὶ καταχαίρων. (3) Ἐπείτε γὰρ Ξέρξῃ ἔδοξε στρατηλατέειν ἐπὶ τὴν Ἑλλάδα, ἐὼν ἐν Σούσοισι ὁ Δημάρητος καὶ πυθόμενος ταῦτα ἠθέλησε Λακεδαιμονίοισι ἐξαγγεῖλαι. Ἁλλως μὲν δὴ οὐκ εἶχε σημῆναι· ἐπικίνδυνον γὰρ ἦν μὴ λαμφθείη· ὁ δὲ μηχανᾶται τοιάδε· (4) δελτίον δίπτυχον λαβὼν τὸν κηρὸν αὐτοῦ ἐξέκνησε, καὶ ἔπειτεν ἐν τῷ ξύλῳ τοῦ δελτίου ἔγραψε τὴν βασιλέος γνώμην, ποιήσας δὲ ταῦτα ὀπίσω ἐπέτηξε τὸν κηρὸν ἐπὶ τὰ γράμματα, ἵνα φερόμενον κεινὸν τὸ δελτίον μηδὲν πρῆγμα παρέχοι πρὸς τῶν ὁδοφυλάκων. (5) Ἐπεὶ δὲ καὶ ἀπίκετο ἐς τὴν Λακεδαίμονα, οὐκ εἶχον συμβαλέσθαι οἱ Λακεδαιμόνιοι, πρίν γε δή σφι, ὡς ἐγὼ πυνθάνομαι, Κλεομένεος μὲν θυγάτηρ, Λεωνίδεω δὲ γυνὴ Γοργὼ ὑπέθετο ἐπιφρασθεῖσα αὐτή, τὸν κηρὸν κνᾶν κελεύουσα, καὶ εὑρήσειν σφέας γράμματα ἐν τῷ ξύλῳ. (6) Πειθόμενοι δὲ εὗρον καὶ ἐπελέξαντο, ἔπειτεν δὲ τοῖσι ἄλλοισι Ἕλλησι ἐπέστειλαν. Ταῦτα μὲν δὴ οὕτω λέγεται γενέσθαι.

sæ honorare fortes viros consueverunt. Illi igitur, quibus id imperatum est, jussa exsecuti sunt.

CCXXXIX. Sed redeo ad eam narrationem, quam superius imperfectam reliqui. Parare regem expeditionem adversus Græciam primi resciverant Lacedæmonii, idque mira quadam ratione resciverant. Ideoque ad Delphicum miserunt oraculum, ubi illud eis editum est responsum, quod paulo ante commemoravi. (2) Demaratus enim, Aristonis filius, exsulans apud Medos, ut equidem existimo, et ratio mecum militat, non bene animatus fuit in Lacedæmonios. Conjectare igitur licet, utrum benevolo hoc fecerit animo an insultandi caussa. (3) Postquam decrevit Xerxes exercitum adversus Græciam ducere, Demaratus tunc Susis præsens, ubi id rescivit, Lacedæmoniis voluit significare. Qui quum aliam rationem, qua id eis significaret, non haberet, quum periculum esset ne deprehenderetur, tali usus est commento: (4) sumpta duplicata tabella, ceram ex ea erasit, et ligno tabellæ consilium Xerxis inscripsit: quo facto, scriptum istud infusa cera denuo obduxit, ne nudam ferenti tabellam molestia exhiberetur a viarum custodibus. (5) Postquam vero Lacedæmonem perlata tabella est, conjectare Lacedæmonii, quid rei esset, prius non potuere, quam (ut equidem accepi) Cleomenis filia, Leonidæ uxor, Gorgo, eos docuisset. Hæc enim re secum perpensa, eradi ceram jussit, atque ita in ligno reperturos esse scripturam ait: (6) cui obsequentes illi scripta intus repererunt legeruntque, ac deinde reliquis Græcis legenda miserunt. Hæc igitur ita gesta esse memorant.

ΗΡΟΔΟΤΟΥ

ΙΣΤΟΡΙΩΝ ΟΓΔΟΗ.

(ΟΥΡΑΝΙΑ.)

I. Οἱ δὲ Ἑλλήνων ἐς τὸν ναυτικὸν στρατὸν ταχθέντες ἔσαν οἵδε, Ἀθηναῖοι μὲν νέας παρεχόμενοι ἑπτὰ καὶ εἴκοσι καὶ ἑκατόν· ὑπὸ δὲ ἀρετῆς τε καὶ προθυμίης Πλαταιέες, ἄπειροι τῆς ναυτικῆς ἐόντες, συνεπλήρουν τοῖσι Ἀθηναίοισι τὰς νέας. (2) Κορίνθιοι δὲ τεσσεράκοντα νέας παρείχοντο, Μεγαρέες δὲ εἴκοσι· καὶ Χαλκιδέες ἐπλήρουν εἴκοσι, Ἀθηναίων σφι παρεχόντων τὰς νέας, Αἰγινῆται δὲ ὀκτωκαίδεκα, Σικυώνιοι δὲ δυοκαίδεκα, Λακεδαιμόνιοι δὲ δέκα, Ἐπιδαύριοι δὲ ὀκτώ, Ἐρετριέες δὲ ἑπτά, Τροιζήνιοι δὲ πέντε, Στυρέες δὲ δύο καὶ Κεῖοι δύο τε νέας καὶ πεντηκοντέρους δύο· Λοκροὶ δέ σφι οἱ Ὀπούντιοι ἐπεβώθεον πεντηκοντέρους ἔχοντες ἑπτά.

HERODOTI

HISTORIARUM LIBER OCTAVUS

(URANIA.)

I. Græci populi in classem descripti, hi fuere: Athienses naves præbuerant centum viginti septem; Platæenses vero, quum rei nauticæ essent expertes, sua virtute studioque incensi, simul cum Atheniensibus naves Atticas propugnatoribus compleverant. (2) Corinthii quadraginta præbuerant naves: Megarenses, viginti. Chalcidenses item viginti compleverant; sed naves illis suppeditarunt Athenienses. Æginetæ octodecim naves præbuerant: Sicyonii, duodecim: Lacedæmonii, decem: Epidaurii, octo: Eretrienses, septem: Trœzenii, quinque: Styrenses, duas: Cei, duas naves (triremes) et duas actuarias quinquaginta remorum: Locri denique Opuntii septem actuariis quinquaginta remorum auxilio venerant.

II. Ἔσαν μὲν ὦν οὗτοι οἱ στρατευόμενοι ἐπ' Ἀρτεμίσιον, εἴρηται δέ μοι καὶ ὡς τὸ πλῆθος ἕκαστοι τῶν νεῶν παρείχοντο. Ἀριθμὸς δὲ τῶν συλλεχθεισέων νεῶν ἐπ' Ἀρτεμίσιον ἦν, πάρεξ τῶν πεντηκοντέρων, μία καὶ ἑβδομήκοντα καὶ διηκόσιαι. (2) Τὸν δὲ στρατηγὸν τὸν τὸ μέγιστον κράτος ἔχοντα παρείχοντο Σπαρτιῆται Εὐρυβιάδεα τὸν Εὐρυκλείδεω· οἱ γὰρ σύμμαχοι οὐκ ἔφασαν, ἢν μὴ ὁ Λάκων ἡγεμονεύῃ, Ἀθηναίοισι ἕψεσθαι ἡγεομένοισι, ἀλλὰ λύσειν τὸ μέλλον ἔσεσθαι στράτευμα.

III. Ἐγένετο γὰρ κατ' ἀρχὰς λόγος, πρὶν ἢ καὶ ἐς Σικελίην πέμπειν ἐπὶ συμμαχίην, ὡς τὸ ναυτικὸν Ἀθηναίοισι χρεὼν εἴη ἐπιτράπειν. Ἀντιβάντων δὲ τῶν συμμάχων εἶχον οἱ Ἀθηναῖοι, μέγα πεποιημένοι περιεῖναι τὴν Ἑλλάδα, καὶ γνόντες, εἰ στασιάσουσι περὶ τῆς ἡγεμονίης, ὡς ἀπολέεται ἡ Ἑλλὰς, ὀρθὰ νοεῦντες· (2) στάσις γὰρ ἔμφυλος πολέμου ὁμοφρονέοντος τοσούτῳ κάκιόν ἐστι ὅσῳ πόλεμος εἰρήνης. Ἐπιστάμενοι ὦν αὐτὸ τοῦτο οὐκ ἀντέτεινον, ἀλλ' εἶκον, μέχρι ὅσου κάρτα ἐδέοντο αὐτῶν, ὡς διέδεξαν· (3) ὡς γὰρ διωσάμενοι τὸν Πέρσην περὶ τῆς ἐκείνου ἤδη τὸν ἀγῶνα ἐποιεῦντο, πρόφασιν τὴν Παυσανίεω ὕβριν προϊσχόμενοι ἀπείλοντο τὴν ἡγεμονίην τοὺς Λακεδαιμονίους. Ἀλλὰ ταῦτα μὲν ὕστερον ἐγένετο.

IV. Τότε δὲ οὗτοι οἱ καὶ ἐπ' Ἀρτεμίσιον Ἑλλήνων ἀπικόμενοι ὡς εἶδον νέας τε πολλὰς καταχθείσας ἐς τὰς Ἀφετὰς καὶ στρατιῆς ἅπαντα πλέα, ἐπεὶ αὐτοῖσι παρὰ δόξαν τὰ πρήγματα τῶν βαρβάρων ἀπέβαινε ἢ ὡς αὐτοὶ κατεδόκεον, καταρρωδήσαντες ὁρμὴν ἐβουλεύοντο ἀπὸ τοῦ Ἀρτεμισίου ἔσω ἐς τὴν Ἑλλάδα. (2) Γνόντες δὲ σφέας οἱ Εὐβοέες ταῦτα βουλευομένους ἐδέοντο Εὐρυβιάδεω προσμεῖναι χρόνον ὀλίγον, ἐστ' ἂν αὐτοὶ τέκνα τε καὶ τοὺς οἰκέτας ὑπεκθέωνται. (3) Ὡς δὲ οὐκ ἐπείθον, μεταβάντες τὸν Ἀθηναίων στρατηγὸν πείθουσι Θεμιστοκλέα ἐπὶ μισθῷ τριήκοντα ταλάντοισι, ἐπ' ᾧ τε καταμείναντες πρὸ τῆς Εὐβοίης ποιήσονται τὴν ναυμαχίην.

V. Ὁ δὲ Θεμιστοκλέης τοὺς Ἕλληνας ἐπισχεῖν ὧδε ποιέει. Εὐρυβιάδῃ τούτων τῶν χρημάτων μεταδιδοῖ πέντε τάλαντα ὡς παρ' ἑωυτοῦ δῆθεν διδούς. Ὡς δέ οἱ οὕτος ἀνεπέπειστο, (Ἀδείμαντος γὰρ ὁ Ὠκύτου Κορινθίων στρατηγὸς τῶν λοιπῶν ἤσπαιρε μοῦνος, φάμενος ἀποπλώσεσθαί τε ἀπὸ τοῦ Ἀρτεμισίου καὶ οὐ παραμενέειν,) (2) πρὸς δὴ τοῦτον εἶπε ὁ Θεμιστοκλέης ἐπομόσας, « οὐ σύ γε ἡμέας ἀπολείψεις, ἐπεί τοι ἐγὼ μέζω δῶρα δώσω ἢ βασιλεὺς ἄν τοι ὁ Μήδων πέμψειε ἀπολιπόντι τοὺς συμμάχους. » Ταῦτά τε ἅμα ἠγόρευε, καὶ πέμπει ἐπὶ τὴν νέα τὴν Ἀδειμάντου τάλαντα ἀργυρίου τρία. (3) Οὗτοί τε δὴ πληγέντες δώροισι ἀναπεπεισμένοι ἔσαν, καὶ τοῖσι Εὐβοεῦσι ἐχεχάριστο, αὐτός τε ὁ Θεμιστοκλέης ἐκέρδηνε, ἐλάνθανε δὲ τὰ λοιπὰ ἔχων, ἀλλ' ἠπιστέατο οἱ μεταλαβόντες τούτων τῶν χρημάτων ἐκ τῶν Ἀθηνέων ἐλθεῖν ἐπὶ τῷ λόγῳ τούτῳ τὰ χρήματα.

II. Hi igitur fuere, qui ad Artemisium militarunt : dixique etiam, quem navium numerum singuli populi contulerint. Fuit autem collectarum ad Artemisium navium universus numerus, actuariis quinquaginta remorum exceptis, ducentæ septuaginta et una. (2) Imperatorem autem, penes quem imperii summa erat, præbuerant Spartani, Eurybiadem, Euryclidæ filium. Dixerant enim socii, nisi Laco summum obtineret imperium, non se secuturos esse Athenienses duces; sed exercitum, qui futurus esset, dissoluturos.

III. Etenim jam initio, priusquam in Siciliam petendæ societatis caussa misissent, agitatus sermo erat, Atheniensibus permittendum esse classis imperium. Contradicentibus vero sociis cesserant Athenienses, quod magni facerent servari Græciam, pulcreque nossent, si de principatu inter sese contenderent, perituram esse Græciam : recte quidem illi sentientes. (2) Nam civilis dissensio tanto pejor res est bello communi consensu gesto, quanto pejor res est bellum quam pax. Hoc ipsum igitur intelligentes Athenienses non repugnarunt sociis, sed cesserunt, quamdiu illis magnopere indigebant. Quod satis ipsi ostenderunt : (3) nam, postquam pulso Persa jam de ipsius terra contendere cœperant, caussam præ se ferentes contumeliam Pausaniæ, Lacedæmoniis imperium eripuerunt. Sed hæc quidem insequente tempore gesta sunt.

IV. At tunc Græci qui ad Artemisium se contulerant, ut viderunt navium multitudinem, quæ ad Aphetas convenerant, omniaque plena conspexerunt militum, metu perculsi, quod præter opinionem exspectationemque suam res barbaris successisset, de capessenda fuga et de receptu ab Artemisio versus interiora Græcia deliberarunt. (2) Quod ab illis agitari consilium ubi cognovere Eubœenses, orarunt Eurybiadem, ut aliquantisper saltem maneret, donec ipsi liberos suos reliquamque familiam in tuto collocassent. (3) Id postquam Eurybiadi non persuaserunt, alio se convertentes, Atheniensium duci persuaserunt Themistocli, proposita talentorum triginta mercede, ea conditione ut ibi manerent et ante Eubœam pugna navali decernerent.

V. Et Themistocles, ut ibi manerent Græci, tali ratione effecit. Ex hac pecunia Eurybiadi quinque impertivit talenta, quasi nempe de suo illi daret. Hoc ita persuaso, quum e reliquis solus adhuc Adimantus obniteretur, Ocyti filius, Corinthiorum dux, dicens ab Artemisio se discessurum, nec diutius ibi moraturum : (2) hunc, interposito juramento, Themistocles his verbis adlocutus est : « Non tu quidem nos deseres : tibi enim ego majora munera dabo, quam missurus tibi rex Medorum esset, si desereres socios. » His dictis, in navem Adimanti tria misit talenta. (3) Itaque illi, muneribus perculsi, persuaderi sibi passi sunt, et Eubœensibus gratum factum est; ipse autem Themistocles lucratus est, reliqua sibi retinens : illi vero, quibus pecuniæ partem impertiverat, putabant ab Atheniensibus sibi ista conditione datam esse pecuniam.

VI. Οὕτω δὴ κατέμεινάν τε ἐν τῇ Εὐβοίῃ καὶ ἐναυμάχησαν. Ἐγένετο δὲ ὧδε. Ἐπείτε δὴ ἐς τὰς Ἀφέτας περὶ δείλην πρωίην γινομένην ἀπίκατο οἱ βάρβαροι, πυθόμενοι μὲν ἔτι καὶ πρότερον περὶ τὸ Ἀρτεμίσιον ναυλοχέειν νέας Ἑλληνίδας ὀλίγας, τότε δὲ αὐτοὶ ἰδόντες, πρόθυμοι ἔσαν ἐπιχειρέειν, εἴ κως ἕλοιεν αὐτάς. (2) Ἐκ μὲν δὴ τῆς ἀντίης προσπλώειν οὐ κώ σφι ἐδόκεε τῶνδε εἵνεκεν, μή κως ἰδόντες οἱ Ἕλληνες προσπλώοντας ἐς φυγὴν ὁρμήσειαν, φεύγοντάς τε εὐφρόνη καταλάβοι· καὶ ἔμελλον δῆθεν ἐκφεύξεσθαι, ἔδεε δὲ μηδὲ πυρφόρον τῷ ἐκείνων λόγῳ ἐκφυγόντα περιγενέσθαι.

VII. Πρὸς ταῦτα ὧν τάδε ἐμηχανέοντο. Τῶν νεῶν ἁπασέων ἀποκρίναντες διηκοσίας περιέπεμπον ἔξωθεν Σκιάθου, ὡς ἂν μὴ ὀφθέωσι ὑπὸ τῶν πολεμίων περιπλώουσαι Εὔβοιαν, κατά τε Καφηρέα καὶ Γεραιστὸν ἐς τὸν Εὔριπον, ἵνα δὴ περιλάβοιεν οἱ μὲν ταύτῃ ἀπικόμενοι καὶ φράξαντες αὐτῶν τὴν ὀπίσω φέρουσαν ὁδόν, σφεῖς δὲ ἐπισπόμενοι ἐξ ἐναντίης. (2) Ταῦτα βουλευσάμενοι ἀπέπεμπον τῶν νεῶν τὰς ταχθείσας, αὐτοὶ οὐκ ἐν νόῳ ἔχοντες ταύτης τῆς ἡμέρης τοῖσι Ἕλλησι ἐπιθήσεσθαι, οὐδὲ πρότερον ἢ τὸ σύνθημά σφι ἔμελλε φανήσεσθαι παρὰ τῶν περιπλωόντων ὡς ἠκόντων. Ταύτας μὲν δὴ περιέπεμπον, τῶν δὲ λοιπέων νεῶν ἐν τῇσι Ἀφετῇσι ἐποιεῦντο ἀριθμόν.

VIII. Ἐν δὲ τούτῳ τῷ χρόνῳ ἐν τῷ οὗτοι ἀριθμὸν ἐποιεῦντο τῶν νεῶν, (ἦν γὰρ ἐν τῷ στρατοπέδῳ τούτῳ Σκυλλίης Σκιωναῖος δύτης τῶν τότε ἀνθρώπων ἄριστος, ὃς καὶ ἐν τῇ ναυηγίῃ τῇ κατὰ τὸ Πήλιον γενομένῃ πολλὰ μὲν ἔσωσε τῶν χρημάτων τοῖσι Πέρσῃσι, πολλὰ δὲ καὶ αὐτὸς περιεβάλετο,) οὗτος ὁ Σκυλλίης ἐν νόῳ μὲν εἶχε ἄρα καὶ πρότερον αὐτομολήσειν ἐς τοὺς Ἕλληνας, ἀλλ' οὐ γάρ οἱ παρέσχε ὡς τότε. (2) Ὅτεῳ μὲν δὴ τρόπῳ τὸ ἐνθεῦτεν ἔτι ἀπίκετο ἐς τοὺς Ἕλληνας, οὐκ ἔχω εἶπαι ἀτρεκέως, θωμάζω δὲ εἰ τὰ λεγόμενά ἐστι ἀληθέα· λέγεται γὰρ ὡς ἐξ Ἀφετέων δῦς ἐς τὴν θάλασσαν οὐ πρότερον ἀνέσχε πρὶν ἢ ἀπίκετο ἐπὶ τὸ Ἀρτεμίσιον, σταδίους μάλιστά κῃ τούτους ἐς ὀγδώκοντα διὰ τῆς θαλάσσης διεξελθών. (3) Λέγεται μέν νυν καὶ ἄλλα ψευδέσι ἴκελα περὶ τοῦ ἀνδρὸς τούτου, τὰ δὲ μετεξέτερα ἀληθέα· περὶ μέντοι τούτου γνώμη μοι ἀποδεδέχθω πλοίῳ μιν ἀπικέσθαι ἐπὶ τὸ Ἀρτεμίσιον. (4) Ὡς δὲ ἀπίκετο, αὐτίκα ἐσήμηνε τοῖσι στρατηγοῖσι τήν τε ναυηγίην, ὡς γένοιτο, καὶ τὰς περιπεμφθείσας τῶν νεῶν περὶ Εὔβοιαν.

IX. Τοῦτο δὲ ἀκούσαντες οἱ Ἕλληνες λόγον σφίσι αὐτοῖσι ἐδίδοσαν. Πολλῶν δὲ λεχθέντων ἐνίκα τὴν ἡμέρην ἐκείνην αὐτοῦ μείναντάς τε καὶ αὐλισθέντας, μετέπειτεν νύκτα μέσην παρέντας πορεύεσθαι καὶ ἀπαντᾶν τῇσι περιπλωούσῃσι τῶν νεῶν. (2) Μετὰ δὲ τοῦτο, ὡς οὐδείς σφι ἐπέπλωε, δείλην ὀψίην γινομένην τῆς ἡμέρης φυλάξαντες αὐτοὶ ἐπανέπλωον ἐπὶ τοὺς βαρβάρους, ἀπόπειραν αὐτῶν ποιήσασθαι βουλόμενοι τῆς τε μάχης καὶ τοῦ διεκπλόου.

X. Ὁρέοντες δέ σφεας οἵ τε ἄλλοι στρατιῶται οἱ

VI. Itaque ad Euboeam manserunt Græci, et pugnam navalem commiserunt. Quæ res in hunc modum gesta est. Quum post meridiem ad Aphetas pervenissent barbari, jamque antea cognovissent, quod nunc etiam ipsi videbant, Græcorum paucas naves ad Artemisium in statione esse, incessit eos cupido illas adgrediendi, potiri eis posse sperantes. (2) Jam ex adverso quidem protinus contra eas navigare non placuit, hac caussa, ne, si ipsos Græci viderent contra se navigantes, arriperent fugam, noxque fugientes reciperet; atque erant nimirum fuga salutem consecuturi: debebat autem, ut Persæ quidem dictitabant, ne ignifer quidem in vita reliquus manere.

VII. Hac igitur de caussa tale ceperunt consilium. Selectas ex universa classe naves ducentas extra Sciathum, ne ab hostibus conspicerentur, circummiserunt; quæ, præter Caphareum et Geræstum Euboeam circumvectæ, in Euripum navigarent; quo nimirum medios illos includerent, hi, ubi in Euripum pervenissent, reditum in Græciam intercipientes; ipsi vero, ex adverso eos adgredientes. (2) Hoc consilio dimissis navibus ad id delectis, ipsi eo die adgredi Græcos non habuere in animo, non prius illos adgressuri quam edito a circumnavigantibus signo, de quo convenerat, certiores essent facti, ad locum constitutum illos pervenisse. Dum hi ita circumnavigant, interim illi apud Aphetas reliquarum navium ineunt numerum.

VIII. Per idem vero tempus, quo numerum hi inierunt navium, quum esset in hoc exercitu Scyllias Scionæus, omnium optimus illa ætate urinator, qui etiam in naufragio ad Pelium facto multas res pretiosas Persis servaverat, multasque item ipse adquisiverat sibi; Scyllias hic jam pridem consilium quidem agitaverat ad Græcos transfugiendi, necdum vero occasionem exsequendi consilii erat nactus qualem hoc tempore. (2) Is igitur quo pacto nunc ab Aphetis ad Græcos pervenerit, pro certo dicere non possum: miror vero si vera sunt quæ narrantur. Narrant enim, hunc hominem, postquam ex Aphetis mare subiisset, non prius emersisse quam ad Artemisium pervenisset, viam hanc octoginta admodum stadiorum per mare emensum. (3) Memorantur quidem de eodem homine et alia, fabularum speciem habentia; sed in his, vera nonnulla. Ut meam de hac re dicam sententiam, navigio ille ad Artemisium pervenerit. (4) Ut autem eo pervenit, protinus ducibus Græcorum et naufragium quo modo factum sit exposuit, et circummissas circa Euboeam naves indicavit.

IX. His rebus cognitis, deliberarunt Græci: multisque dictis sententiis, decreverunt eo die ibi manere stationemque servare, post mediam autem noctem discedere, navibusque Euboeam circumnavigantibus obviam ire. (2) Deinde vero, ut nemo contra eos enavigavit, sub solis occasum ipsi adversus barbaros excursionem fecerunt, periculum facturi generis pugnæ quo illi usuri essent, et perruptionis per hostiles naves.

X. Quos paucis navibus adversus sese tendentes conspi-

Ξέρξεω καὶ οἱ στρατηγοὶ ἐπιπλώοντας νηυσὶ ὀλίγῃσι, πάγχυ σφι μανίην ἐπενείκαντες ἀνῆγον καὶ αὐτοὶ τὰς νέας, ἐλπίσαντές σφεας εὐπετέως αἱρήσειν, οἰκότα κάρτα ἐλπίσαντες· τὰς μέν γε τῶν Ἑλλήνων ὁρέοντες ὀλίγας νέας, τὰς δὲ ἑωυτῶν πλήθεί τε πολλαπλησίας καὶ ἄμεινον πλωούσας, καταφρονήσαντες ταῦτα ἐκυκλοῦντο αὐτοὺς ἐς μέσον. (2) Ὅσοι μέν νυν τῶν Ἰώνων ἔσαν εὔνοοι τοῖσι Ἕλλησι, ἀέκοντές τε ἐστρατεύοντο, συμφορήν τε ἐποιεῦντο μεγάλην ὁρέοντες περιεχομένους αὐτοὺς καὶ ἐπιστάμενοι ὡς οὐδεὶς αὐτῶν ἀπονοστήσει· οὕτω ἀσθενέα σφι ἐφαίνετο εἶναι τὰ τῶν Ἑλλήνων πρήγματα. (3) Ὅσοισι δὲ καὶ ἡδομένοισι ἦν τὸ γινόμενον, ἅμιλλαν ἐποιεῦντο ὅκως αὐτὸς ἕκαστος πρῶτος νέα Ἀττικὴν ἑλὼν δῶρα παρὰ βασιλέος λάμψεται· Ἀθηναίων γὰρ αὐτοῖσι λόγος ἦν πλεῖστος ἀνὰ τὰ στρατόπεδα.

XI. Τοῖσι δὲ Ἕλλησι ὡς ἐσήμηνε, πρῶτα μὲν ἀντίπρῳροι τοῖσι βαρβάροισι γενόμενοι ἐς τὸ μέσον τὰς πρύμνας συνήγαγον, δεύτερα δὲ σημήναντος ἔργου εἶχοντο, ἐν ὀλίγῳ περ ἀπολαμφθέντες καὶ κατὰ στόμα. (2) Ἐνθαῦτα τριήκοντα νέας αἱρέουσι τῶν βαρβάρων καὶ τὸν Γόργου τοῦ Σαλαμινίων βασιλέος ἀδελφεὸν Φιλάονα τὸν Χέρσιος, λόγιμον ἐόντα ἐν τῷ στρατοπέδῳ ἀνδρα. Πρῶτος δὲ Ἑλλήνων νέα τῶν πολεμίων εἷλε ἀνὴρ Ἀθηναῖος Λυκομήδης Αἰσχραίου, καὶ τὸ ἀριστήϊον ἔλαβε οὗτος. (3) Τοὺς δ' ἐν τῇ ναυμαχίῃ ταύτῃ ἑτεραλκέως ἀγωνιζομένους νὺξ ἐπελθοῦσα διέλυσε. Οἱ μὲν δὴ Ἕλληνες ἐπὶ τὸ Ἀρτεμίσιον ἀπέπλωον, οἱ δὲ βάρβαροι ἐς τὰς Ἀφετὰς, πολλὸν παρὰ δόξαν ἀγωνισάμενοι. (4) Ἐν ταύτῃ τῇ ναυμαχίῃ Ἀντίδωρος Λήμνιος μοῦνος τῶν σὺν βασιλέϊ Ἑλλήνων ἐόντων αὐτομολέει ἐς τοὺς Ἕλληνας, καὶ οἱ Ἀθηναῖοι διὰ τοῦτο τὸ ἔργον ἔδοσαν αὐτῷ χῶρον ἐν Σαλαμῖνι.

XII. Ὡς δὲ εὐφρόνη ἐγεγόνεε, ἦν μὲν τῆς ὥρης μέσον θέρος, ἐγίνετο δὲ ὕδωρ τε ἄπλετον διὰ πάσης τῆς νυκτὸς καὶ βρονταὶ σκληραὶ ἀπὸ τοῦ Πηλίου· οἱ δὲ νεκροὶ καὶ τὰ ναυήγια ἐξεφορέοντο ἐς τὰς Ἀφετὰς, καὶ περί τε κὰς πρῴρας τῶν νεῶν εἱλέοντο καὶ ἐτάρασσον τοὺς ταρσοὺς τῶν κωπέων. (2) Οἱ δὲ στρατιῶται οἱ ταύτῃ ἀκούοντες ταῦτα ἐς φόβον κατιστέατο, ἐλπίζοντες πάγχυ ἀπολέεσθαι ἐς οἷα κακὰ ἦκον· πρὶν γὰρ ἢ καὶ ἀναπνεῦσαί σφεας ἔκ τε τῆς ναυηγίης καὶ τοῦ χειμῶνος τοῦ γενομένου κατὰ Πήλιον, ὑπέλαβε ναυμαχίη κρατερὴ, ἐκ δὲ τῆς ναυμαχίης ὄμβρος τε λάβρος καὶ ῥεύματα ἰσχυρὰ ἐς θάλασσαν ὡρμημένα βρονταί τε σκληραί. Καὶ τούτοισι μὲν τοιαύτη νὺξ ἐγίνετο.

XIII. Τοῖσι δὲ ταχθεῖσι αὐτῶν περιπλώειν Εὔβοιαν ἡ αὐτὴ περ ἐοῦσα νὺξ πολλὸν ἦν ἔτι ἀγριωτέρη, τοσούτῳ δσῳ ἐν πελάγεϊ φερομένοισι ἐπέπιπτε. (2) Καὶ τὸ τέλος σφι ἐγένετο ἄχαρι· ὡς γὰρ δὴ πλώουσι αὐτοῖσι χειμών τε καὶ τὸ ὕδωρ ἐπεγίνετο ἐοῦσι κατὰ τὰ Κοῖλα τῆς Εὐβοίης, φερόμενοι τῷ πνεύματι καὶ οὐκ εἰδότες τῇ ἐφέροντο ἐξέπιπτον πρὸς τὰς πέτρας. (3) Ἐποιέετό τε πᾶν ὑπὸ τοῦ θεοῦ ὅκως ἂν ἐξισωθείη

cati milites ducesque Xerxis, prorsus existimantes male sanos eos esse, educunt et ipsi naves, facile se illos intercepturos sperantes: probabili utique spe, ut qui Græcorum naves adeo paucas viderent, suas vero et multis partibus numerosiores et melius navigantes. Hæc illi cogitantes, medios Græcos circumcluserunt (2) Ibi tum, quicumque ex Ionibus bene cupiebant Græcis, et inviti militabant, hi in maxima calamitate ponebant quod illos undique cinctos viderent, nec eorum ullum evasurum existimarunt: ita desperatæ his visæ erant res Græcorum. (3) Quibus autem lubentibus ea res acciderat, hi acriter inter se contendebant, ut quisque primus, navi capta Attica, præmium a rege acciperet: nam Atheniensium potissima ratio apud utrumque hostium exercitum habebatur.

XI. Græci, quum adhuc fronte in longum directa proras navium omnium hosti adversas habuissent, ut editum est signum, primum puppes in medium contraxerunt: deinde, altero edito signo, adgressi sunt opus; et in exiguum licet spatium conclusi, jam a fronte impetum in hostes fecerunt. (2) Ibi tunc triginta ceperunt naves barbarorum, et Philaonem, Chersidis filium, Gorgi Salaminiorum regis fratrem, spectatum in exercitu virum. Primus ex Græcis navem hostium cepit civis Atheniensis Lycomedes, Æschræi filius, et virtutis præmium princeps hic retulit. (3) Cæterum ancipite Marte pugnam hanc navalem pugnantes ingruens nox diremit: et Græci quidem ad Artemisium sunt reversi; barbari vero Aphetas, multo graviore, quam exspectaverant, certamine defuncti. (4) In hac navali pugna ex Græcis qui cum rege militabant, unus Antidorus Lemnius ad Græcorum transivit partes: cui dein ob hoc factum Athenienses prædium in Salamine dono dederunt.

XII. Facta nocte, quum esset medium anni tempus æstivum, immensa vis aquarum tota nocte cecidit de cœlo, et dira tonitrua exstitere de Pelio: moxque cadavera et naufragia ejiciebantur versus Aphetas, et circa navium proras volvebantur, palmulasque impediebant remorum. (2) Hæc audientes qui ibi erant milites, terrore perculsi, prorsus se perituros existimabant, tot tantisque simul malis ingruentibus. Etenim priusquam e naufragio et tempestate ad Pelium coorta potuissent respirare, gravis incidit pugna navalis; post pugnam vero vehementissimus imber, et validi torrentes in mare decurrentes, et dira tonitrua. Hi igitur talem egerunt noctem.

XIII. Verum illis, quibus mandatum erat Eubœam circumnavigare, eadem nox multo fuit atrocior; tanto quidem magis, quod in medio pelago versantibus incidit. (2) Et tristis illis finis fuit. Nam postquam illis navigantibus, quum adversus Cœla (*id est* Cava) Eubœæ essent, tempestas atque imber incidit; vento abrepti, nescientes ipsi quo ferrentur, ad petras impingebantur. (3) Adeo omnia effecit deus, quibus Persarum copiæ æquales

τῷ Ἑλληνικῷ τὸ Περσικὸν μηδὲ πολλῷ πλέον εἴη. Οὗτοι μέν νυν περὶ τὰ Κοῖλα τῆς Εὐβοίης διεφθείροντο.

XIV. Οἱ δὲ ἐν Ἀφετῇσι βάρβαροι, ὡς σφι ἀσμένοισι ἡμέρη ἐπέλαμψε, ἀτρέμας τε εἶχον τὰς νέας, καί σφι ἀπεχρέετο κακῶς πρήσσουσι ἡσυχίην ἄγειν ἐν τῷ παρεόντι. (2) Τοῖσι δὲ Ἕλλησι ἐπεβώθεον νέες τρεῖς καὶ πεντήκοντα Ἀττικαί. Αὗταί τε δή σφεας ἐπέρρωσαν ἀπικόμεναι, καὶ ἅμα ἀγγελίη ἐλθοῦσα ὡς τῶν βαρβάρων οἱ περιπλώοντες τὴν Εὔβοιαν πάντες εἴησαν διεφθαρμένοι ὑπὸ τοῦ γενομένου χειμῶνος. (3) Φυλάξαντες δὴ τὴν αὐτὴν ὥρην, πλώοντες ἐπέπεσον νηυσὶ Κιλίσσῃσι· ταύτας δὲ διαφθείραντες, ὡς εὐφρόνη ἐγένετο, ἐπέπλωον ὀπίσω ἐπὶ τὸ Ἀρτεμίσιον.

XV. Τρίτῃ δὲ ἡμέρῃ δεινόν τι ποιησάμενοι οἱ στρατηγοὶ τῶν βαρβάρων νέας οὕτω σφι ὀλίγας λυμαίνεσθαι, καὶ τὸ ἀπὸ Ξέρξεω δειμαίνοντες, οὐκ ἀνέμειναν ἔτι τοὺς Ἕλληνας μάχης ἄρξαι, ἀλλὰ παρακελευσάμενοι κατὰ μέσον ἡμέρης ἀνῆγον τὰς νέας. (2) Συνέπιπτε δὲ ὥστε ταῖς αὐταῖς ἡμέραις τάς ναυμαχίας γίνεσθαι ταύτας καὶ τὰς πεζομαχίας τὰς ἐν Θερμοπύλῃσι. Ἦν δὲ πᾶς ὁ ἀγὼν τοῖσι κατὰ θάλασσαν περὶ τοῦ Εὐρίπου, ὥσπερ τοῖσι ἀμφὶ Λεωνίδεα τὴν ἐσβολὴν φυλάσσειν. (3) Οἱ μὲν δὴ παρεκελεύοντο ὅκως μὴ παρήσουσι ἐς τὴν Ἑλλάδα τοὺς βαρβάρους, οἱ δ' ὅκως τὸ Ἑλληνικὸν στράτευμα διαφθείραντες τοῦ πόρου κρατήσουσι.

XVI. Ὡς δὲ ταξάμενοι οἱ Ξέρξεω ἐπέπλωον, οἱ Ἕλληνες ἀτρέμας εἶχον πρὸς τῷ Ἀρτεμισίῳ. Οἱ δὲ βάρβαροι μηνοειδὲς ποιήσαντες τῶν νεῶν ἐκυκλέοντο, ὡς περιλάβοιεν αὐτούς. Ἐνθεῦτεν οἱ Ἕλληνες ἐπανέπλωόν τε καὶ συνέμισγον. (2) Ἐν ταύτῃ τῇ ναυμαχίῃ παραπλήσιοι ἀλλήλοισι ἐγένοντο. Ὁ γὰρ Ξέρξεω στρατὸς ὑπὸ μεγάθεός τε καὶ πλήθεος αὐτὸς ὑπ' ἑωυτοῦ ἔπιπτε, ταρασσομένων τε τῶν νεῶν καὶ περιπιπτουσέων περὶ ἀλλήλας· ὅμως μέντοι ἀντεῖχε καὶ οὐκ εἶκε· δεινὸν γὰρ χρῆμα ἐποιεῦντο ὑπὸ νεῶν ὀλίγων ἐς φυγὴν τράπεσθαι. (3) Πολλαὶ μὲν δὴ τῶν Ἑλλήνων νέες διεφθείροντο, πολλοὶ δὲ ἄνδρες, πολλῷ δ' ἔτι πλεῦνες νέες τε τῶν βαρβάρων καὶ ἄνδρες. Οὕτω δὲ ἀγωνιζόμενοι διέστησαν χωρὶς ἑκάτεροι.

XVII. Ἐν ταύτῃ τῇ ναυμαχίῃ Αἰγύπτιοι μὲν τῶν Ξέρξεω στρατιωτέων ἠρίστευσαν, οἳ ἄλλα τε ἔργα μεγάλα ἀπεδέξαντο καὶ νέας αὐτοῖσι ἀνδράσι εἷλον Ἑλληνίδας πέντε. (2) Τῶν δὲ Ἑλλήνων κατὰ ταύτην τὴν ἡμέρην ἠρίστευσαν Ἀθηναῖοι, καὶ Ἀθηναίων Κλεινίης ὁ Ἀλκιβιάδεω, ὃς δαπάνην οἰκηίην παρεχόμενος ἐστρατεύετο ἀνδράσι τε διηκοσίοισι καὶ οἰκηίῃ νηΐ.

XVIII. Ὡς δὲ διέστησαν ἄσμενοι ἑκάτεροι, ἐς ὅρμον ἠπείγοντο. Οἱ δὲ Ἕλληνες ὡς διακριθέντες ἐκ τῆς ναυμαχίης ἀπηλλάχθησαν, τῶν μὲν νεκρῶν καὶ τῶν ναυηγίων ἐπεκράτεον, τρηχέως δὲ περιεφθέντες, καὶ οὐκ ἥκιστα Ἀθηναῖοι τῶν αἱ ἡμίσεαι τῶν νεῶν τετρωμέναι ἔσαν, ὁρμισμὸν δὴ ἐβουλεύοντο ἔσω ἐς τὴν Ἑλλάδα.

XIX. Νόῳ δὲ λαβὼν ὁ Θεμιστοκλέης ὡς εἰ ἀπορ-

fierent copiis Græcorum, nec multo eis essent superiores. Hi igitur circa Coela Eubœæ perierunt.

XIV. Qui ad Aphetas erant barbari, ut grata illis dies illuxit, tranquillas tenuere naves; bene secum agi existimantes, si, malis defuncti, quietem in præsenti agere possent. (2) At Græcis subsidio venere tres et quinquaginta Atticæ naves: quarum et adventus vires illorum animosque confirmavit, et adlatus simul nuncius, Barbaros Eubœam circumnavigantes coorta tempestate cunctos periisse. (3) Itaque eadem diei hora, qua pridie, navibus evecti, in Cilicienses naves impetum fecerunt: hisque corruptis, ingruente nocte, ad Artemisium reversi sunt.

XV. Tertio vero die ægerrime ferentes barbarorum duces, tam paucas naves adeo contumeliosa sibi damna inferre, veritique Xerxis iram, non amplius exspectarunt dum Græci pugnæ facerent initium; sed se invicem cohortati, circa medium diei navibus sunt evecti. (2) Accidit autem, ut eisdem diebus et navales hæ pugnæ, et pedestres ad Thermopylas, pugnarentur. Et erat certamen omne, mari, de Euripo; quemadmodum Leonidæ et his qui cum eo erant, de custodiendo transitu in Græciam. (3) Hi igitur sese cohortabantur, ne barbaros in Græciam transmitterent: illi vero, ut classem delerent Græcorum, et freto potirentur.

XVI. Jam, ubi instructa acie evecta est regia classis, quieti Græci ad Artemisium stetere. At postquam illi in lunæ speciem ordinare naves instituerunt, quo Græcos undique cinctos tenerent; tum vero hi quoque evecti sunt, prœliumque commiserunt. (2) Et in hac quidem navali pugna pares fere utrimque fuere. Etenim Xerxis magna classis ob multitudinem navium ipsa se impediebat, quum et turbarentur naves, et aliæ in alias mutuo inciderent. At nihilo tamen secius restiterunt, neque se receperunt; quippe indignissimam rem ducentes, a paucis navibus in fugam verti. (3) Igitur multæ quidem Græcorum naves perierunt, multi item homines; sed longe plures et naves barbarorum et homines. Hoc vero certamine defuncti, discesserunt utrimque.

XVII. In hac pugna ex Xerxis militibus præcipuam virtutis laudem Ægyptii retulere, quum aliis editis præclare factis, tum captis quinque Græcorum navibus simul cum vectoribus. (2) Inter Græcos virtus eminuit Atheniensium; et inter Athenienses, Cliniæ virtus, filii Alcibiadis; qui propria navi militabat, privato sumptu ducentis viris instructa.

XVIII. Dirempto prœlio, libenter utrique ad suam stationem properarunt. Et Græci, ut e pugna reversi sunt, cadaverum quidem et naufragiorum sunt potiti; sed, quum aspere fuissent accepti, et maxime Athenienses, quorum dimidia pars navium vulneratæ erant, ad interiora Græciæ se recipere decreverunt.

XIX. Themistocles vero, reputans secum, si Ionicum

ραγείη ἀπὸ τοῦ βαρβαρικοῦ τό τε Ἰωνικὸν φῦλον καὶ τὸ Καρικόν, οἷοί τε εἵησαν τῶν λοιπῶν κατύπερθε γενέσθαι, ἐλαυνόντων τῶν Εὐβοέων πρόβατα ἐπὶ τὴν θάλασσαν, ταύτῃ συλλέξας τοὺς στρατηγοὺς ἔλεγέ σφι ὡς δοκέοι ἔχειν τινὰ παλάμην, τῇ ἐλπίζοι τῶν βασιλέος συμμάχων ἀποστήσειν τοὺς ἀρίστους. (2) Ταῦτα μέν νυν ἐς τοσοῦτο παρεγύμνου, ἐπὶ δὲ τοῖσι κατήκουσι πρήγμασι τάδε ποιητέα εἶναί σφι ἔλεγε, τῶν τε προβάτων τῶν Εὐβοϊκῶν ὅσα τις ἐθέλοι καταθύειν (κρέσσον γὰρ εἶναι τὴν στρατιὴν ἔχειν ἢ τοὺς πολεμίους), παραίνεέ τε προεῖπαι τοῖσι ἑωυτῶν ἑκάστους πῦρ ἀνακαίειν· (3) κομιδῆς δὲ πέρι τὴν ὥρην αὐτῷ μελήσειν, ὥστε ἀσινέας ἀπικέσθαι ἐς τὴν Ἑλλάδα. Ταῦτα ἤρεσέ σφι ποιέειν, καὶ αὐτίκα πῦρ ἀνακαυσάμενοι ἐτράποντο πρὸς τὰ πρόβατα.

XX. Οἱ γὰρ Εὐβοέες παραχρησάμενοι τὸν Βάκιδος χρησμὸν ὡς οὐδὲν λέγοντα, οὔτε τι ἐξεκομίσαντο οὐδὲν οὔτε προσεσάξαντο ὡς παρεσομένου σφι πολέμου, περιπετέα τε ἐποιήσαντο σφίσι αὐτοῖσι τὰ πρήγματα. (2) Βάκιδι γὰρ ὧδε ἔχει περὶ τούτων ὁ χρησμός,

Φράζεο, βαρβαρόφωνος ὅταν ζυγὸν εἰς ἅλα βάλλῃ
βύβλινον, Εὐβοίης ἀπέχειν πολυμηκάδας αἰγας.

Τούτοισι δὲ οὐδὲν τοῖσι ἔπεσι χρησαμένοισι ἐν τοῖσι τότε παρεοῦσί τε καὶ προσδοκίμοισι παρῆν σφι συμφορῇ χρᾶσθαι πρὸς τὰ μέγιστα.

XXI. Οἱ μὲν δὴ ταῦτα ἔπρησσον, παρῆν δὲ ὁ ἐκ Τρηχῖνος κατάσκοπος. Ἦν μὲν γὰρ ἐπ' Ἀρτεμισίῳ κατάσκοπος Πολύας, γένος Ἀντικυρεὺς, τῷ προσετέτακτο, καὶ εἶχε πλοῖον κατῆρες ἑτοῖμον, εἰ παλήσειε ὁ ναυτικὸς στρατὸς, σημαίνειν τοῖσι ἐν Θερμοπύλῃσι ἐοῦσι· ὡς δ' αὖτως ἦν Ἀβρώνιχος ὁ Λυσικλέος Ἀθηναῖος καὶ παρὰ Λεωνίδῃ ἑτοῖμος τοῖσι ἐπ' Ἀρτεμισίῳ ἐοῦσι ἀγγέλλειν τριηκοντέρῳ, ἤν τι καταλαμβάνῃ νεώτερον τὸν πεζόν. (2) Οὗτος ὦν ὁ Ἀβρώνιχος ἀπικόμενός σφι ἐσήμαινε τὰ γεγονότα περὶ Λεωνίδεα καὶ τὸν στρατὸν αὐτοῦ. Οἱ δὲ ὡς ἐπύθοντο ταῦτα, οὐκέτι ἐς ἀναβολὰς ἐποιεῦντο τὴν ἀποχώρησιν, ἐκομίζοντο δὲ ὡς ἕκαστοι ἐτάχθησαν, Κορίνθιοι πρῶτοι, ὕστατοι δὲ Ἀθηναῖοι.

XXII. Ἀθηναίων δὲ νέας τὰς ἄριστα πλωούσας ἐπιλεξάμενος Θεμιστοκλέης ἐπορεύετο περὶ τὰ πότιμα ὕδατα, ἐνταμνων ἐν τοῖσι λίθοισι γράμματα τὰ Ἴωνες ἐπελθόντες τῇ ὑστεραίῃ ἡμέρῃ ἐπὶ τὸ Ἀρτεμίσιον ἐπελέξαντο. (2) Τὰ δὲ γράμματα τάδε ἔλεγε, « ἄνδρες Ἴωνες, οὐ ποιέετε δίκαια ἐπὶ τοὺς πατέρας στρατευόμενοι καὶ τὴν Ἑλλάδα καταδουλούμενοι. (3) Ἀλλὰ μάλιστα μὲν πρὸς ἡμέων γίνεσθε· εἰ δὲ ὑμῖν ἐστὶ τοῦτο μὴ δυνατὸν ποιῆσαι, ὑμεῖς δὲ ἔτι καὶ νῦν ἐκ τοῦ μέσου ἡμῖν ἕζεσθε καὶ αὐτοὶ, καὶ τῶν Καρῶν δέεσθε τὰ αὐτὰ ὑμῖν ποιέειν. (4) Εἰ δὲ μηδέτερον τούτων οἷόν τε γίνεσθαι, ἀλλ' ὑπ' ἀναγκαίης μέζονος κατέζευχθε ἢ ὥστε ἀπίστασθαι, ὑμεῖς γε ἐν τῷ ἔργῳ, ἐπεὰν συμμίσγωμεν, ἐθελοκακέετε, μεμνημένοι ὅτι ἀπ' ἡμέων γεγόνατε καὶ ὅτι ἀρχῆθεν ἡ ἔχθρη πρὸς τὸν βάρβαρον

genus atque Caricum abstraheretur a Barbaro, reliquis copiis superiores evadere posse Græcos; quum Eubœenses per id tempus greges suos ad mare agerent, eo convocavit Græcorum duces, dixitque, videri sibi ansam habere, qua speraret fortissimos socios abstrahi ab rege posse. (2) Et hoc quidem nonnisi hactenus illis aperuit; ad res autem præsentes quod spectat, ita illis faciendum ait: de Eubœensium gregibus quotquot quisque vellet pecudes mactaret; satius enim esse, suos milites illas habere, quam hostes. Simul illos hortatus est, ut quisque præciperet suis ignes accendere. (3) De reditu vero, sibi, ait, curæ fore justum tempus quo salvi in Græciam essent peventuri. Atque hæc illis facere placuit: protinusque accensis ignibus, ad pecudes sese converterunt.

XX. Nempe Eubœenses, insuper habito Bacidis oraculo, quasi nihil dicente, nihil neque ex insula exportaverant, nec in munita loca importaverant, quasi nullus adfuturus hostis esset; adeoque ipsi res suas in magnum discrimen adduxerant. (2) Est autem Bacidis de his oraculum hujusmodi:

Cogita, barbara-lingua-loquens quando juga imposuerit mari byblina, ut procul Eubœa absint multum-mecantes capræ.

His versibus quum illi in malis tunc et præsentibus et imminentibus non essent usi, in promptu erat ut in maximas inciderent calamitates.

XXI. Dum hæc aguntur, adfuit e Trachine speculator. Nam et ad Artemisium speculator fuit, Polyas genere Anticyrensis, cui mandatum erat (et ad hoc remis bene instructum navigium in parato habebat), ut, si gravius conflictaretur classis, id illis qui ad Thermopylas erant significaret: et similiter apud Leonidam Habronichus, Lysiclis filius, Atheniensis, paratus fuit qui conscensa actuaria navi his ad Artemisium renunciaret, si pedestribus copiis novi quidpiam accidisset. (2) Hic igitur Habronichus advenit, significavitque quæ circa Leonidam ejusque exercitum gesta erant. Quibus illi rebus cognitis, jam non amplius differendum sibi discessum judicantes, receperunt se eodem ordine quo in statione erant locati; primi Corinthii, postremi Athenienses.

XXII. Tum vero Themistocles, selectis velocissimis Atheniensium navibus, ad aquas quasque circa ea loca potabiles se conferens, lapidibus incidit scripta, quæ Iones postridie ejus diei ad Artemisium adpellentes legerunt. (2) Erat autem scriptorum sententia hæc: « Viri Iones, inique agitis, qui contra parentes militatis, et Græciam in servitutem conamini redigere. (3) Immo vero, quod maxime a vobis postulamus, nostris a partibus state! Id si facere non licet vobis, at etiam nunc neutris vos partibus adjungite, et vos ipsi, et Caribus, ut idem faciant, persuadete. (4) Sin horum neutrum fieri potest, sed graviore necessitate, quam ut deficere ab hostibus possitis, estis adstricti; vos in ipso saltem opere, quando pugnam conseremus, consulto cessate, memores a nobis vos esse progenitos, atque etiam inimicitias has, quas cum Barbaro gerimus, primam a

ἀπ' ὑμέων ἡμῖν γέγονε. » (5) Θεμιστοκλέης δὲ ταῦτα ἔγραψε, δοκέειν ἐμοὶ, ἐπ' ἀμφότερα νοέων, ἵνα ἢ λαθόντα τὰ γράμματα βασιλέα Ἴωνας ποιήσῃ μεταβαλέειν καὶ γενέσθαι πρὸς ἑωυτῶν, ἢ ἐπείτε ἀνενειχθῇ καὶ διαδ βληθῇ πρὸς Ξέρξεα, ἀπίστους ποιήσῃ τοὺς Ἴωνας καὶ τῶν ναυμαχιέων αὐτοὺς ἀπόσχῃ.

XXIII. Θεμιστοκλέης μὲν ταῦτα ἐνέγραψε, τοῖσι δὲ βαρβάροισι αὐτίκα μετὰ ταῦτα πλοίῳ ἦλθε ἀνὴρ Ἱστιαιεὺς ἀγγέλλων τὸν δρησμὸν τὸν ἀπ' Ἀρτεμισίου 10 τῶν Ἑλλήνων. (2) Οἱ δ' ὑπ' ἀπιστίης τὸν μὲν ἀγγέλλοντα εἶχον ἐν φυλακῇ, νέας δὲ ταχέας ἀπέστειλαν προκατοψομένας. Ἀπαγγειλάντων δὲ τούτων τὰ ἦν, οὕτω δὴ ἅμα ἡλίῳ σκιδναμένῳ πᾶσα ἡ στρατιὴ ἔπλωε ἁλὸς ἐπὶ τὸ Ἀρτεμίσιον. (3) Ἐπισχόντες δὲ ἐν τούτῳ τῷ χώρῳ 15 μέχρι μέσου ἡμέρης, τὸ ἀπὸ τούτου ἔπλωον ἐς Ἱστιαίαν. Ἀπικόμενοι δὲ τὴν πόλιν ἔσχον τῶν Ἱστιαιέων, καὶ τῆς Ἑλλοπίης μοίρης, γῆς δὲ τῆς Ἱστιαιήτιδος τὰς παραθαλασσίας κώμας πάσας ἐπέδραμον.

XXIV. Ἐνθαῦτα δὲ τούτων ἐόντων, Ξέρξης ἑτοι- 20 μασάμενος τὰ περὶ τοὺς νεκροὺς ἔπεμπε ἐς τὸν ναυτικὸν στρατὸν κήρυκα. Προετοιμάσατο δὲ τάδε· ὅσοι τοῦ στρατοῦ τοῦ ἑωυτοῦ ἔσαν νεκροὶ ἐν Θερμοπύλῃσι (ἔσαν δὲ καὶ δύο μυριάδες) ὑπολιπόμενος τούτων ὡς χιλίους, τοὺς λοιποὺς τάφρους ὀρυξάμενος ἔθαψε, φυλλάδα τε 25 ἐπιβαλὼν καὶ γῆν ἐπαμησάμενος, ἵνα μὴ ὀφθείησαν ὑπὸ τοῦ ναυτικοῦ στρατοῦ. (2) Ὡς δὲ διέβη ἐς τὴν Ἱστιαίαν ὁ κῆρυξ, σύλλογον ποιησάμενος παντὸς τοῦ στρατοπέδου ἔλεγε τάδε, « ἄνδρες σύμμαχοι, βασιλεὺς Ξέρξης τῷ βουλομένῳ ὑμέων παραδίδωσι ἐκλιπόντα τὴν 30 τάξιν καὶ ἐλθόντα θηήσασθαι ὅκως μάχεται πρὸς τοὺς ἀνοήτους τῶν ἀνθρώπων, οἳ ἦλπισαν τὴν βασιλέος δύναμιν ὑπερβαλέεσθαι. »

XXV. Ταῦτα ἐπαγγειλαμένου, μετὰ ταῦτα οὐδὲν ἐγίνετο πλοίων σπανιώτερον· οὕτω πολλοὶ ἤθελον θηή- 35 σασθαι. Διαπεραιωθέντες δὲ ἐθηεῦντο διεξιόντες τοὺς νεκρούς· πάντες δὲ ἠπιστέατο τοὺς κειμένους εἶναι πάντας Λακεδαιμονίους καὶ Θεσπιέας, ὁρέοντες καὶ τοὺς εἵλωτας. (2) Οὐ μὲν οὐδ' ἐλάνθανε τοὺς διαβεβηκότας Ξέρξης ταῦτα πρήξας περὶ τοὺς νεκροὺς τοὺς ἑωυτοῦ· 40 καὶ γὰρ δὴ καὶ γελοῖον ἦν· τῶν μὲν χίλιοι ἐφαίνοντο νεκροὶ κείμενοι, οἱ δὲ πάντες ἑκατὸ ἀλέες συγκεκομισμένοι ἐς τὠυτὸ χωρίον, τέσσερες χιλιάδες. (3) Ταύτην μὲν τὴν ἡμέρην πρὸς θέην ἐτράποντο, τῇ δ' ὑστεραίῃ οἱ μὲν ἀπέπλωον ἐς Ἱστίαιαν ἐπὶ τὰς νέας, οἱ δὲ 45 ἀμφὶ Ξέρξεα ἐς ὁδὸν ὥρμεατο.

XXVI. Ἦκον δέ σφι αὐτόμολοι ἄνδρες ἀπ' Ἀρκαδίης ὀλίγοι τινὲς, βίου τε δεόμενοι καὶ ἐνεργοὶ βουλόμενοι εἶναι. Ἄγοντες δὲ τούτους ἐς ὄψιν τὴν βασιλέος ἐπυνθάνοντο οἱ Πέρσαι περὶ τῶν Ἑλλήνων τὰ ποιέοιεν· 50 εἷς δέ τις πρὸ πάντων ἦν ὁ εἰρωτέων αὐτοὺς ταῦτα. (2) Οἱ δέ σφι ἔλεγον ὡς Ὀλύμπια ἄγοιεν καὶ θεωρέοιεν ἀγῶνα γυμνικὸν καὶ ἱππικόν. Ὁ δὲ ἐπείρετο ὅ τι τὸ ἆεθλον εἴη σφι κείμενον, περὶ ὅτευ ἀγωνίζονται· οἱ δ' εἶπαν τῆς ἐλαίης τὸν διδόμενον στέφανον. (3) Ἐνθαῦτα

vobis originem traxisse. » (5) Hæc Themistocles scripsit, ut equidem arbitror, re in utramque partem deliberata; quo eisdem his scriptis, sive ea laterent Barbarum, Iones ad deficiendum a rege et ad Græcos transeundum permoverentur; sive ea renunciata essent Xerxi et in calumniam apud eum adducta, de fide suspecti redderentur Iones, eaque caussa a pugnis navalibus procul haberentur.

XXIII. Ut hæc inscripsit Themistocles, continuo post Græcorum discessum civis Histiæensis, navigio profectus, barbaris fugam illorum ab Artemisio nunciavit. (2) At illi, fidem nuncio non adhibentes, in custodia hominem tenuerunt; velocesque naves, quæ rem explorarent, præmiserunt. A quibus quum relatum esset id quod res erat, ita demum universa simul classis, ut primi spargebantur radii solis, ad Artemisium profecta est. (3) Ibi usque ad meridiem morati, Histiæam inde navigarunt. Quo ubi pervenere, Histiæorum urbe potiti, maritimos omnes vicos Ellopii agri, qui ditionis Histiæotidis est, incursarunt.

XXIV. Hi dum ibi morantur, interim Xerxes, postquam quæ ad occisorum cadavera spectant præparaverat, nuncium misit ad classem. Præparaverat autem hæcce. Quotquot de ipsius exercitu ceciderant (erant autem ad vicies mille), ex his nonnisi mille admodum reliquit, cæteros depressis in id fossis sepelivit, superne stratis arborum foliis, ingestaque humo, ne a classiariis conspicerentur. (2) Ut Histiæam præco pervenit, convocata totius exercitus concione, hæc edixit : « Viri, armorum socii, rex Xerxes unicuique e vobis, quisquis voluerit, potestatem dat suum ordinem relinquendi, spectatumque veniendi quo pacto ille cum male sanis his hominibus pugnet, qui se regis copias superaturos esse speraverant. »

XXV. Hæc postquam nuncius edixit, mox nihil rarius fuit quam navigia : ita multi cupidi erant spectandi. Et hi, ad Thermopylas transvecti, obierunt spectaruntque cadavera : et, quum Lacedæmoniis mixtos Helotas viderent, hos omnes, qui ceciderant, Lacedæmonios et Thespienses esse arbitrabantur. (2) Nec vero latuit transvectos quid de suis, qui ceciderant, Xerxes fecisset : namque manifeste ridiculum erat; quum Persarum nonnisi mille jacentia cadavera conspicerentur, Græcorum autem in unum locum congesta quattuor millia. (3) Hunc igitur diem spectando insumpsere : postridie vero classiarii, qui trajecerant, Histiæam ad naves sunt reversi; Xerxes autem cum suis ad ulterius progrediendum se accinxit.

XXVI. Per idem tempus venere ad Persas transfugæ ex Arcadia, homines numero pauci, victum quærentes, et operam suam illis præstare cupientes. Hos in conspectum regis adductos interrogarunt Persæ de Græcis, quidnam illi facerent : et unus quidam præ cæteris erat, qui hoc ex illis quæsivit. (2) Responderunt illi, Olympia Græcos agere, spectareque certamen gymnicum et curule. Tum rursus interrogati, quodnam esset propositum præmium, de quo contenderent; dixere, oleæ dari coronam. (3) Ibi tum Tri-

εἶπας γνώμην γενναιοτάτην Τριτανταίχμης ὁ Ἀρταβάνου δειλίην ὤφλε πρὸς βασιλέος. (4) Πυνθανόμενος γὰρ τὸ ἄεθλον εἶναι στέφανον, ἀλλ' οὐ χρήματα, οὔτε ἠνέσχετο σιγῶν εἶπέ τε ἐς πάντας τάδε, « παπαῖ Μαρδόνιε, κοίους ἐπ' ἄνδρας ἤγαγες μαχεσομένους ἡμέας, οἳ οὐ περὶ χρημάτων τὸν ἀγῶνα ποιεῦνται, ἀλλὰ περὶ ἀρετῆς. » Τούτῳ μὲν δὴ ταῦτα εἴρητο.

XXVII. Ἐν δὲ τῷ διὰ μέσου χρόνῳ, ἐπείτε τὸ ἐν Θερμοπύλῃσι τρῶμα ἐγεγόνεε, αὐτίκα Θεσσαλοὶ πέμπουσι κήρυκα ἐς Φωκέας, ἅτε σφι ἐνέχοντες αἰεὶ χόλον, ἀπὸ δὲ τοῦ ὑστάτου τρώματος καὶ τὸ κάρτα. (2) Ἐσβαλόντες γὰρ πανστρατιῇ αὐτοί τε οἱ Θεσσαλοὶ καὶ οἱ σύμμαχοι αὐτῶν ἐς τοὺς Φωκέας, οὐ πολλοῖσι ἔτεσι πρότερον ταύτης τῆς βασιλέος στρατηλασίης, ἐσσώθησαν ὑπὸ τῶν Φωκέων καὶ περιέφθησαν τρηχέως. (3) Ἐπείτε γὰρ κατειλήθησαν ἐς τὸν Παρνησὸν οἱ Φωκέες ἔχοντες μάντιν Τελλίην τὸν Ἠλεῖον, ἐνθαῦτα ὁ Τελλίης οὗτος σοφίζεται αὐτοῖσι τοιόνδε· (4) γυψώσας ἄνδρας ἑξακοσίους τῶν Φωκέων τοὺς ἀρίστους, αὐτούς τε τούτους καὶ τὰ ὅπλα αὐτῶν, νυκτὸς ἐπεθήκατο τοῖσι Θεσσαλοῖσι, προείπας αὐτοῖσι, τὸν ἂν μὴ λευκανθίζοντα ἴδωνται, τοῦτον κτείνειν. (5) Τούτους ὦν αἵ τε φυλακαὶ τῶν Θεσσαλῶν πρῶται ἰδοῦσαι ἐφοβήθησαν, δόξασαι ἄλλο τι εἶναι τέρας, καὶ μετὰ τὰς φυλακὰς αὐτὴ ἡ στρατιὴ οὕτω ὥστε τετρακισχιλίων κρατῆσαι νεκρῶν καὶ ἀσπίδων Φωκέας, τῶν τὰς μὲν ἡμισέας ἐς Ἄβας ἀνέθεσαν, τὰς δὲ ἐς Δελφούς· ἡ δὲ δεκάτη ἐγένετο τῶν χρημάτων ἐκ ταύτης τῆς μάχης οἱ μεγάλοι ἀνδριάντες οἱ περὶ τὸν τρίποδα συνεστεῶτες ἔμπροσθε τοῦ νηοῦ τοῦ ἐν Δελφοῖσι, καὶ ἕτεροι τοιοῦτοι ἐν Ἄβῃσι ἀνακέαται.

XXVIII. Ταῦτα μέν νυν τὸν πεζὸν ἐργάσαντο τῶν Θεσσαλῶν οἱ Φωκέες, πολιορκέοντας ἑωυτούς· ἐσβαλοῦσαν δὲ ἐς τὴν χώρην τὴν ἵππον αὐτῶν ἐλυμήναντο ἀνηκέστως. (2) Ἐν γὰρ τῇ ἐσβολῇ ἥ ἐστι κατ' Ὑάμπολιν, ἐν ταύτῃ τάφρον μεγάλην ὀρύξαντες ἀμφορέας κεινοὺς ἐς αὐτὴν κατέθηκαν, χοῦν δὲ ἐπιφορήσαντες καὶ ὁμοιώσαντες τῷ ἄλλῳ χώρῳ, ἐδέκοντο τοὺς Θεσσαλοὺς ἐσβάλλοντας. (3) Οἱ δὲ, ὡς ἀναρπασόμενοι τοὺς Φωκέας, φερόμενοι ἐσέπεσον ἐς τοὺς ἀμφορέας. Ἐνθαῦτα οἱ ἵπποι τὰ σκέλεα διεφθάρησαν.

XXIX. Τούτων δὴ σφι ἀμφοτέρων ἔχοντες ἔγκοτον οἱ Θεσσαλοὶ πέμψαντες κήρυκα ἠγόρευον τάδε, « ὦ Φωκέες, ἦδη τι μᾶλλον γνωσιμαχέετε μὴ εἶναι ὁμοῖοι ἡμῖν. (2) Πρόσθε τε γὰρ ἐν τοῖσι Ἕλλησι, ὅσον χρόνον ἐκεῖνα ἡμῖν ἤνδανε, πλέον αἰεί κοτε ὑμέων ἐφερόμεθα· νῦν τε παρὰ τῷ βαρβάρῳ τοσοῦτον δυνάμεθα ὥστε ἐπ' ἡμῖν ἐστὶ τῆς γῆς τε ἐστερῆσθαι καὶ πρὸς ἠνδραποδίσθαι ὑμέας. (3) Ἡμεῖς μέντοι τὸ πᾶν ἔχοντες οὐ μνησικακέομεν, ἀλλ' ἡμῖν γενέσθω ἀντ' αὐτῶν πεντήκοντα τάλαντα ἀργυρίου, καὶ ὑμῖν ὑποδεκόμεθα τὰ ἐπιόντα ἐπὶ τὴν χώρην ἀποτρέψειν. »

XXX. Ταῦτά σφι ἐπηγγέλλοντο οἱ Θεσσαλοί. Οἱ γὰρ Φωκέες μοῦνοι τῶν ταύτῃ ἀνθρώπων οὐκ ἐμήδι-

tantæchmes, Artabani filius, nobilissimam diceus sententiam, timiditatis culpam apud regem incurrit. (4) Ut enim audivit, coronam esse certaminis præmium, non pecunias, silentium non tenuit; sed coram omnibus, « Papæ, inquit, Mardonie, quales contra viros tu nos pugnaturos duxisti, qui non de pecuniis, sed de virtute, certamina instituunt! » Hoc ejus dictum erat.

XXVII. Interea temporis, post infelicem rerum ad Thermopylas exitum, protinus Thessali præconem miserunt ad Phocenses; quippe quibus semper fuerant infensi, maxime vero a clade novissime ab illis accepta. (2) Etenim paucis annis ante hanc expeditionem a Barbaro susceptam Thessali eorumque socii, quum omnibus copiis invasissent Phocenses, victi ab illis erant aspereque accepti. (3) Quum enim apud Phocenses, ad Parnassum conclusos, vates esset Tellias Eliensis, callidum inventum hic Tellias illis commentus erat hujusmodi: (4) sexcentis viris Phocensium fortissimis, et ipsis et eorum armis, creta dealbatis, noctu de improviso impetum in Thessalos fecit, mandato dato suis, ut, quemcumque non albicantem cernerent, hunc interficerent. (5) Igitur primæ Thessalorum custodiæ, his conspectis, aliud existimantes esse prodigium, fugam capessiverunt, et post custodias ipse exercitus; ita ut quattuor millibus cæsorum et scutorum potirentur Phocenses, quorum scutorum dimidium apud Abas dedicarunt, reliquas Delphis; utque ex decima pecuniarum hoc prælio partarum factæ sint ingentes illæ statuæ, quæ ante templum Delphicum circa tripodem positæ sunt, et aliæ similes Abis dedicatæ.

XXVIII. Hoc modo Phocenses peditatum acceperant Thessalorum, a quibus fuerant oppugnati: equitatum vero eorumdem, terram ipsorum invadentem, insanabili clade adfecerant. (2) Nam in introitu, qui est ad Hyampolin, ducta ingenti fossa, in eaque vacuis depositis amphoris, et solo injecta humo rursus æquato, incurrentes exspectaverant Thessalos. (3) Et illi, tamquam facile eos oppressuri, magno impetu invecti, in amphoras inciderant, et equi fractis cruribus pericrant.

XXIX. Cujus duplicis cladis caussa infensi Phocensibus Thessali, misso præcone, hæcce eis edixere: « Meliora edocti, Phocenses, intelligite tandem, pares vos nobis non esse. (2) Nam et antehac inter Græcos, quoad nobis res eorum placuere, superiores semper fere eramus vobis, et nunc apud Barbarum tantum valemus, ut penes nos sit et agro vos exui, et in servitutem abripi. (3) At, licet omnia possimus, tamen injuriarum non sumus memores: sed pro illis rependantur nobis quinquaginta argenti talenta; et recipimus vobis, aversuros nos mala terræ vestræ impendentia. »

XXX. Hæc Phocensibus Thessali edixere. Soli enim ex omnibus illarum regionum hominibus Phocenses Medorum

ζον, κατ' ἄλλο μὲν οὐδέν, ὡς ἐγὼ συμβαλλόμενος εὑρίσκω, κατὰ δὲ τὸ ἔχθος τὸ Θεσσαλῶν· εἰ δὲ Θεσσαλοὶ τὰ Ἑλλήνων ἤῤῥεον, ὡς ἐμοὶ δοκέειν, ἐμήδιζον ἂν οἱ Φωκέες. (2) Ταῦτα ἐπαγγελλομένων Θεσσαλῶν οὔτε δώσειν ἔφασαν χρήματα, παρέχειν τέ σφι Θεσσαλοῖσι ὁμοίως μηδίζειν, εἰ ἄλλως βουλοίατο· ἀλλ' οὐκ ἔσεσθαι ἑκόντες εἶναι προδόται τῆς Ἑλλάδος.

XXXI. Ἐπειδὴ δὲ ἀνηνείχθησαν οὗτοι οἱ λόγοι, οὕτω δὴ οἱ Θεσσαλοὶ κεχολωμένοι τοῖσι Φωκεῦσι ἐγένοντο ἡγεμόνες τῷ βαρβάρῳ τῆς ὁδοῦ. (2) Ἐκ μὲν δὴ τῆς Τρηχινίης ἐς τὴν Δωρίδα ἐσέβαλον· τῆς γὰρ Δωρίδος χώρης ποδεὼν στεινὸς ταύτῃ κατατείνει, ὡς τριήκοντα σταδίων μάλιστά κῃ εὖρος, κείμενος μεταξὺ τῆς τε Μηλίδος καὶ τῆς Φωκίδος χώρης, ἥπερ ἦν τὸ παλαιὸν Δρυοπίς· (3) ἡ δὲ χώρη αὕτη ἐστὶ μητρόπολις Δωριέων τῶν ἐν Πελοποννήσῳ. Ταύτην ὦν τὴν Δωρίδα γῆν οὐκ ἐσίναντο ἐσβαλόντες οἱ βάρβαροι· ἐμήδιζόν τε γὰρ καὶ οὐκ ἐδόκεε Θεσσαλοῖσι.

XXXII. Ὡς δὲ ἐκ τῆς Δωρίδος ἐς τὴν Φωκίδα ἐσέβαλον, αὐτοὺς μὲν τοὺς Φωκέας οὐκ αἱρέουσι. Οἱ μὲν γὰρ τῶν Φωκέων ἐς τὰ ἄκρα τοῦ Παρνησσοῦ ἀνέβησαν· ἔστι δὲ καὶ ἐπιτηδέη δέξασθαι ὅμιλον τοῦ Παρνησσοῦ ἡ κορυφὴ, κατὰ Νέωνα πόλιν κειμένη ἐπ' ἑωυτῆς. Τιθορέα οὔνομα αὐτῇ· (2) ἐς τὴν δὴ ἀνηνείκαντο καὶ αὐτοὶ ἀνέβησαν· οἱ δὲ πλεῦνες αὐτῶν ἐς τοὺς Ὀζόλας Λοκροὺς ἐξεκομίσαντο, ἐς Ἄμφισσαν πόλιν τὴν ὑπὲρ τοῦ Κρισαίου πεδίου οἰκεομένην. (3) Οἱ δὲ βάρβαροι τὴν χώρην πᾶσαν ἐπέῤῥαμον τὴν Φωκίδα· Θεσσαλοὶ γὰρ οὕτω ἦγον τὸν στρατόν· ὁκόσα δὲ ἐπέσχον, πάντα ἐπέφλεγον καὶ ἔκειρον, καὶ ἐς τὰς πόλις ἐνιέντες πῦρ καὶ ἐς τὰ ἱρά.

XXXIII. Πορευόμενοι γὰρ ταύτῃ παρὰ τὸν Κηφισὸν ποταμὸν ἐδῄουν πάντα, καὶ κατὰ μὲν ἔκαυσαν Δρυμὸν πόλιν, κατὰ δὲ Χαράδρην καὶ Ἔρωχον καὶ Τεθρώνιον καὶ Ἀμφίκαιαν καὶ Νέωνα καὶ Πεδιέας καὶ Τριτέας καὶ Ἐλάτειαν καὶ Ὑάμπολιν καὶ Παραποταμίους καὶ Ἄβας, (2) ἔνθα ἦν ἱρὸν Ἀπόλλωνος πλούσιον, θησαυροῖσί τε καὶ ἀναθήμασι πολλοῖσι κατεσκευασμένον· ἦν δὲ καὶ τότε καὶ νῦν ἐστὶ χρηστήριον αὐτόθι· καὶ τοῦτο τὸ ἱρὸν συλήσαντες ἐνέπρησαν. (3) Καί τινας διώκοντες εἷλον τῶν Φωκέων πρὸς τοῖσι οὔρεσι, καὶ γυναῖκάς τινας διέφθειραν μισγόμενοι ὑπὸ πλήθεος.

XXXIV. Παραποταμίους δὲ παραμειβόμενοι οἱ βάρβαροι ἀπίκοντο ἐς Πανοπέας. Ἐνθεῦτεν δὲ ἤδη διακρινομένη ἡ στρατιὴ αὐτῶν ἐσχίζετο. Τὸ μὲν πλεῖστον καὶ δυνατώτατον τοῦ στρατοῦ ἅμα αὐτῷ Ξέρξῃ πορευόμενον ἐπ' Ἀθήνας ἐσέβαλε ἐς Βοιωτοὺς, ἐς γῆν τὴν Ὀρχομενίων. (2) Βοιωτῶν δὲ πᾶν τὸ πλῆθος ἐμήδιζε, τὰς δὲ πόλις αὐτῶν ἄνδρες Μακεδόνες διατεταγμένοι ἔσωζον, ὑπ' Ἀλεξάνδρου ἀποπεμφθέντες· ἔσωζον δὲ τῇδε, βουλόμενοι δῆλον ποιέειν Ξέρξῃ ὅτι τὰ Μήδων Βοιωτοὶ φρονέοιεν. Οὗτοι μὲν δὴ τῶν βαρβάρων ταύτῃ ἐτράποντο.

XXXV. Ἄλλοι δὲ αὐτῶν ἡγεμόνας ἔχοντες ὡρμέατο

partes non sequebantur, nulla quidem alia de causa, ut ego collatis inter se rationibus reperio, nisi odio Thessalorum; qui si Græcorum partibus se adjunxissent, cum Medis facturi fuisse Phocenses mihi videntur. (2) Ista igitur quum Thessali edixissent; nec pecunias se daturos, responderunt Phocenses, et in promptu sibi esse, Medorum partes, similiter atque Thessali faciant, amplecti, si modo vellent; sed nolle se ultro proditores esse Græciæ.

XXXI. Quod ubi relatum est responsum, tum vero Thessali, irati Phocensibus, viæ duces fuere Barbaro. (2) Et primum quidem ex Trachinia Doridem sunt ingressi. Etenim Doricæ terræ angusta lacinia, triginta fere stadiorum latitudine, hac porrigitur, inter Maliacam et Phocidem terram interjecta; qui tractus olim Dryopis erat. (3) Est autem hæc regio metropolis Doriensium, eorum qui Peloponnesum incolunt. Hanc igitur Doridem terram ingressi barbari non vastarunt: etenim cum Medis sentiebant incolæ, nec placuerat Thessalis ut injuria his inferretur.

XXXII. Ut vero ex Doride in Phocidem sunt ingressi, ipsos quidem Phocenses non sunt nacti. Nam eorum alii in Parnassi fastigia conscenderant: est autem ad recipiendam multitudinem idoneus Parnassi vertex contra Neonem oppidum seorsum situs, cui Tithorea nomen; (2) in quem nimirum et res suas comportaverant, et ipsi adscenderant. Major vero pars eorumdem in Ozolas Locros sese atque res suas receperant, in Amphissam oppidum, supra Crisæum campum situm. (3) Barbari autem universam terram Phocidem incursarunt; ita enim exercitum duxerunt Thessali: et quocumque pervenerunt, cuncta cremarunt vastaruntque, ignem et in oppida et in templa injicientes.

XXXIII. Hac enim iter facientes secundum Cephissum fluvium, omnia depopulabantur; cremaruntque Drymon oppidum, et Charadram, et Erochum, et Tethronium, et Amphicæam, et Neonem, et Pedieas, et Triteas, et Elateam, et Hyampolin, et Parapotamios, et Abas, (2) ubi opulentum erat Apollinis templum thesauris donariisque multis instructum: eratque ibidem, atque etiam nunc est, oraculum: hoc quoque templum, exspoliatum, igne cremarunt. (3) Atque Phocensium nonnullos, ad montana insecuti, captivos fecerunt; et nonnullis etiam mulieribus, ob multitudinem vim facientium, necem attulerunt.

XXXIV. Parapotamios prætergressi barbari in Panopensium agrum venerunt. Inde jam discretæ illorum copiæ, bifariam divisæ sunt. Plurima quidem et validissima pars exercitus una cum ipso Xerxe, Athenas tendens, in Bœotiam intravit, in fines Orchomeniorum. (2) Bœotorum autem universa multitudo cum Medis sentiebat: et oppida illorum tutabantur viri Macedones, ab Alexandro ad hoc missi; tutabantur ea autem, hoc ipso declaraturi Xerxi, cum Medis sentire Bœotos. Hi igitur ex Barbaris hac via incedebant.

XXXV. At illorum alii, sumptis viarum ducibus, versus

ἐπὶ τὸ ἱρὸν τὸ ἐν Δελφοῖσι, ἐν δεξιῇ τὸν Παρνησὸν ἀπέργοντες. Ὅσα δὲ καὶ οὗτοι ἐπέσχον τῆς Φωκίδος, πάντα ἐσυλήσαντο· καὶ γὰρ τῶν Πανοπέων τὴν πόλιν ἐνέπρησαν καὶ Δαυλίων καὶ Αἰολιδέων. (2) Ἐπορεύοντο δὲ ταύτῃ ἀποσχισθέντες τῆς ἄλλης στρατιῆς τῶνδε εἵνεκεν, ὅκως συλήσαντες τὸ ἱρὸν τὸ ἐν Δελφοῖσι βασιλεῖ Ξέρξῃ ἀποδέξαιεν τὰ χρήματα. (3) Πάντα δ' ἠπίστατο τὰ ἐν τῷ ἱρῷ ὅσα λόγου ἦν ἄξια Ξέρξης, ὡς ἐγὼ πυνθάνομαι, ἀμεινον ἢ τὰ ἐν τοῖσι οἰκίοισι ἔλιπε, πολλῶν αἰεὶ λεγόντων, καὶ μάλιστα τὰ Κροίσου τοῦ Ἀλυάττεω ἀναθήματα.

XXXVI. Οἱ δὲ Δελφοὶ πυνθανόμενοι ταῦτα ἐς πᾶσαν ἀρρωδίην ἀπίκατο, ἐν δείματι δὲ μεγάλῳ κατεστεῶτες ἐμαντεύοντο περὶ τῶν ἱρῶν χρημάτων, εἴτε σφέα κατὰ γῆς κατορύξωσι εἴτε ἐκκομίσωσι ἐς ἄλλην χώρην. (2) Ὁ δὲ θεός σφεας οὐκ ἔα κινέειν, φὰς αὐτὸς ἱκανὸς εἶναι ἑωυτοῦ προκατῆσθαι. Δελφοὶ δὲ ταῦτα ἀκούσαντες σφέων αὐτῶν πέρι ἐφρόντιζον. (3) Τέκνα μέν νυν καὶ γυναῖκας πέρην ἐς τὴν Ἀχαιίην διέπεμψαν, αὐτῶν δὲ οἱ μὲν πλεῖστοι ἀνέβησαν ἐς τοῦ Παρνησοῦ τὰς κορυφὰς καὶ ἐς τὸ Κωρύκιον ἄντρον ἀνηνείκαντο, οἱ δὲ ἐς Ἀμφισσαν τὴν Λοκρίδα ὑπεξῆλθον. Πάντες δὲ ὧν οἱ Δελφοὶ ἐξέλιπον τὴν πόλιν, πλὴν ἑξήκοντα ἀνδρῶν καὶ τοῦ προφήτεω.

XXXVII. Ἐπεὶ δὲ ἀγχοῦ τε ἔσαν οἱ βάρβαροι ἐπιόντες καὶ ἀπώρεον τὸ ἱρόν, ἐν τούτῳ ὁ προφήτης, τῷ οὔνομα ἦν Ἀκήρατος, ὁρᾷ πρὸ τοῦ νηοῦ ὅπλα προκείμενα ἔσωθεν ἐκ τοῦ μεγάρου ἐξεννενειγμένα ἱρά, τῶν οὐκ ὅσιον ἦν ἅπτεσθαι ἀνθρώπων οὐδενί. (2) Ὁ μὲν δὴ ἦϊε Δελφῶν τοῖσι παρεοῦσι σημανέων τὸ τέρας, οἱ δὲ βάρβαροι ἐπειδὴ ἐγίνοντο ἐπειγόμενοι κατὰ τὸ ἱρὸν τῆς Προνηίης Ἀθηναίης, ἐπιγίνεταί σφι τέρεα ἔτι μέζονα τοῦ πρὶν γενομένου τέρεος. (3) Θῶμα μὲν γὰρ καὶ τοῦτο κάρτα ἐστί, ὅπλα ἀρήϊα αὐτόματα φανῆναι ἔξω προκείμενα τοῦ νηοῦ· τὰ δὲ δὴ ἐπὶ τούτῳ δεύτερα ἐπιγενόμενα καὶ διὰ πάντων φασμάτων ἄξια θωμάσαι μάλιστα. (4) Ἐπεὶ γὰρ δὴ ἔσαν ἐπιόντες οἱ βάρβαροι κατὰ τὸ ἱρὸν τῆς Προνηίης Ἀθηναίης, ἐν τούτῳ ἐκ μὲν τοῦ οὐρανοῦ κεραυνοὶ αὐτοῖσι ἐνέπιπτον, ἀπὸ δὲ τοῦ Παρνησοῦ ἀπορραγεῖσαι δύο κορυφαὶ ἐφέροντο πολλῷ πατάγῳ ἐς αὐτοὺς καὶ κατέλαβον συχνούς σφεων, ἐκ δὲ τοῦ ἱροῦ τῆς Προνηίης βοή τε καὶ ἀλαλαγμὸς ἐγίνετο.

XXXVIII. Συμμιγέντων δὲ τούτων πάντων φόβος τοῖσι βαρβάροισι ἐνεπεπτώκεε. Μαθόντες δὲ οἱ Δελφοὶ φεύγοντάς σφεας, ἐπικαταβάντες ἀπέκτειναν πλῆθός τι αὐτῶν. Οἱ δὲ περιεόντες ἰοῦ Βοιωτῶν ἔφευγον. (2) Ἔλεγον δὲ οἱ ἀπονοστήσαντες οὗτοι τῶν βαρβάρων, ὡς ἐγὼ πυνθάνομαι, ὡς πρὸς τούτοισι καὶ ἄλλα ὥρεον θεῖα· δύο γὰρ ὁπλίτας μέζονας ἢ κατ' ἀνθρώπων φύσιν ἔχοντας ἕπεσθαί σφι κτείνοντας καὶ διώκοντας.

XXXIX. Τούτους δὲ τοὺς δύο Δελφοὶ λέγουσι ἐπιχωρίους ἥρωας εἶναι, Φύλακόν τε καὶ Αὐτόνοον, τῶν τὰ τεμένεά ἐστι περὶ τὸ ἱρόν, Φυλάκου μὲν παρ' αὐτὴν

Delphicum templum intendebant iter, Parnassum a dextra relinquentes. Quascumque vero etiam hi Phocidis permearunt regiones, has cunctas evastarunt : nam et Panopensium oppidum incenderunt, et Dauliorum, et Æolidarum. (2) Viam autem istam hi, sejuncti ab reliquo exercitu, ingressi sunt hoc consilio, ut, spoliato Delphico templo, opes illius Xerxi regi repræsentarent. (3) Noverat autem, ut ego accepi, Xerxes omnia quæ in hoc templo erant melius quam quæ suis in ædibus reliquerat, quippe multis ea constanter memorantibus, ac præsertim Crœsi donaria, Alyattis filii.

XXXVI. Ejus rei nuncius gravissimum Delphensibus timorem injecit : quo terrore perculsi, oraculum de sacris pecuniis rebusque pretiosis consuluerunt, utrum in terram eas defoderent, an in aliam regionem exportarent. (2) At vetuit deus loco illas movere, dicens, se ipsum ad tutanda sua sufficere. Quo audito responso, jam sibi ipsis Delphenses consuluerunt : (3) et liberos quidem et uxores trans mare in Achaiam dimisere : ipsorum vero plerique in juga conscenderunt Parnassi, resque suas in Corycium antrum comportarunt; alii vero in Amphissam Locridem secesserunt. Itaque cuncti Delphenses reliquerunt urbem, exceptis sexaginta viris et propheta.

XXXVII. Ut vero adpropinquarunt invadentes barbari, jamque in conspectu habuere templum ; ibi tunc propheta, cui nomen erat Aceratus, sacra arma vidit ante templum *proposita*, ex *interiore penetrali prolata*, quæ nulli hominum fas erat tangere. (2) Atque ille hoc prodigium Delphensibus, qui in urbe aderant, nunciatum ivit. Ut vero gradum accelerantes barbari prope ædem fuere Minervæ Pronææ, alia his oblata sunt prodigia, superiori etiam prodigio majora. (3) Nam et hoc sane mirabile est, arma Martia sua sponte extra templum proposita adparuisse : sed quæ mox deinde evenerunt, ea præ omnibus ostentis maxima admiratione digna sunt. (4) Ubi enim subeuntes barbari prope Pronææ Minervæ ædem fuere, ibi tum et de cœlo fulmina in eos deciderunt, et de Parnasso abrupta duo cacumina ingenti cum fragore in eosdem præcipitarunt, multosque oppresserunt, et ex Pronææ æde clamor et ululatus est exauditus.

XXXVIII. Quibus rebus simul incidentibus, terror barbaris est incussus : quos ubi fugam capessere Delphenses intellexerunt, descendentes de monte non exiguam illorum stragem edidere; reliqui vero recta in Bœotiam profugerunt. (2) Memorarunt autem, ut ego accepi, hi ex barbaris qui redierunt, præter ista se alia etiam ostenta divinitus missa vidisse : namque duos armatos, majores quam pro humana natura, continenter sibi institisse, persequentes cædemque facientes.

XXXIX. Istos duos, aiunt Delphenses, indigenas fuisse heroas, Phylacum et Autonoum, quorum fana sunt in templi vicinia ; Phylaci quidem, secundum ipsam viam, supra

τὴν ὁδὸν κατύπερθε τοῦ ἱροῦ τῆς Προνηΐης, Αὐτονόου δὲ πέλας τῆς Κασταλίης ὑπὸ τῇ Ὑαμπείῃ κορυφῇ. (2) Οἱ δὲ πεσόντες ἀπὸ τοῦ Παρνησσοῦ λίθοι ἔτι καὶ ἐς ἡμέας ἔσαν σόοι, ἐν τῷ τεμένεϊ τῆς Προνηΐης Ἀθηναίης κείμενοι, ἐς τὸ ἐνέσκηψαν διὰ τῶν βαρβάρων φερόμενοι. Τούτων μέν νυν τῶν ἀνδρῶν αὕτη ἀπὸ τοῦ ἱροῦ ἀπαλλαγὴ γίνεται.

XL. Ὁ δὲ Ἑλλήνων ναυτικὸς στρατὸς ἀπὸ τοῦ Ἀρτεμισίου Ἀθηναίων δεηθέντων ἐς Σαλαμῖνα κατίσχει τὰς νέας. Τῶνδε δὲ εἵνεκεν προσεδεήθησαν αὐτῶν σχεῖν πρὸς Σαλαμῖνα Ἀθηναῖοι, ἵνα αὐτοὶ παῖδάς τε καὶ γυναῖκας ὑπεξαγάγωνται ἐκ τῆς Ἀττικῆς, πρὸς δὲ καὶ βουλεύσωνται τὸ ποιητέον αὐτοῖσι ἔσται. (2) Ἐπὶ γὰρ τοῖσι κατήκουσι πρήγμασι βουλὴν ἔμελλον ποιήσεσθαι ὡς ἐψευσμένοι γνώμης· δοκέοντες γὰρ εὑρήσειν Πελοποννησίους πανδημεὶ ἐν τῇ Βοιωτίῃ ὑποκατημένους τὸν βάρβαρον, τῶν μὲν εὗρον οὐδὲν ἐὸν, οἱ δὲ ἐπυνθάνοντο τὸν Ἰσθμὸν αὐτοὺς τειχέοντας, τὴν Πελοπόννησον περὶ πλείστου τε ποιευμένους περιεῖναι καὶ ταύτην ἔχοντας ἐν φυλακῇ, τὰ δὲ ἄλλα ἀπιέναι. Ταῦτα πυνθανόμενοι οὕτω δὴ προσεδεήθησάν σφεων σχεῖν πρὸς τὴν Σαλαμῖνα.

XLI. Οἱ μὲν δὴ ἄλλοι κατέσχον ἐς τὴν Σαλαμῖνα, Ἀθηναῖοι δὲ ἐς τὴν ἑωυτῶν. Μετὰ δὲ τὴν ἄπιξιν κήρυγμα ἐποιήσαντο, Ἀθηναίων τῇ τις δύναται σώζειν τέκνα τε καὶ τοὺς οἰκέτας. (2) Ἐνθαῦτα οἱ μὲν πλεῖστοι ἐς Τροιζῆνα ἀπέστειλαν, οἱ δὲ ἐς Αἴγιναν, οἱ δὲ ἐς Σαλαμῖνα. Ἔσπευσαν δὲ ταῦτα ὑπεκθέσθαι τῷ χρηστηρίῳ τε βουλόμενοι ὑπηρετέειν, καὶ δὴ καὶ τοῦδε εἵνεκεν οὐκ ἥκιστα· (3) λέγουσι Ἀθηναῖοι ὄφιν μέγαν φύλακα τῆς ἀκροπόλιος ἐνδιαιτᾶσθαι ἐν τῷ ἱρῷ· λέγουσί τε ταῦτα, καὶ δὴ καὶ ὡς ἐόντι ἐπιμήνια ἐπιτελέουσι προτιθέντες· τὰ δ' ἐπιμήνια μελιτόεσσά ἐστι. Αὕτη δ' ἡ μελιτόεσσα ἐν τῷ πρόσθε αἰεὶ χρόνῳ ἀναισιμουμένη τότε ἦν ἄψαυστος. (4) Σημηνάσης δὲ ταῦτα τῆς ἱρείης, μᾶλλόν τι οἱ Ἀθηναῖοι καὶ προθυμότερον ἐξέλιπον τὴν πόλιν ὡς καὶ τῆς θεοῦ ἀπολελοιπυίης τὴν ἀκρόπολιν. Ὡς δέ σφι πάντα ὑπεξεκέετο, ἔπλωον ἐς τὸ στρατόπεδον.

XLII. Ἐπεὶ δὲ οἱ ἀπ' Ἀρτεμισίου ἐς Σαλαμῖνα κατέσχον τὰς νέας, συνέρρεε καὶ ὁ λοιπὸς πυνθανόμενος ὁ τῶν Ἑλλήνων ναυτικὸς στρατὸς ἐκ Τροιζῆνος· ἐς γὰρ Πώγωνα τὸν Τροιζηνίων λιμένα προείρητο συλλέγεσθαι. Συνελέχθησάν τε δὴ πολλῷ πλεῦνες νέες ἢ ἐπ' Ἀρτεμισίῳ ἐναυμάχεον, καὶ ἀπὸ πολίων πλεύνων. (2) Ναύαρχος μέν νυν ἐπῆν ὡυτὸς ὅσπερ ἐπ' Ἀρτεμισίῳ, Εὐρυβιάδης ὁ Εὐρυκλείδεω ἀνὴρ Σπαρτιήτης, οὐ μέντοι γένεός γε τοῦ βασιληίου ἐών· νέας δὲ πολλῷ πλείστας τε καὶ ἄριστα πλωούσας παρείχοντο Ἀθηναῖοι.

XLIII. Ἐστρατεύοντο δὲ οἵδε, ἐκ μὲν Πελοποννήσου Λακεδαιμόνιοι ἑκκαίδεκα νέας παρεχόμενοι, Κορίνθιοι δὲ τὸ αὐτὸ πλήρωμα παρεχόμενοι τὸ καὶ ἐπ' Ἀρτεμισίῳ· Σικυώνιοι δὲ πεντεκαίδεκα παρείχοντο νέας, Ἐπιδαύριοι δὲ δέκα, Τροιζήνιοι δὲ πέντε, Ἑρ-

Pronææ ædem; Autonoi vero, prope Castaliam sub Hyampeo cacumine. (2) Saxa autem, quæ de Parnasso deciderant, ad nostram usque ætatem superfuerunt, in agro Minervæ Pronææ sacro jacentia; in quem, postquam per barbaros devoluta sunt, incubuerunt. Isto igitur modo hi homines a Delphico templo discesserunt.

XL. Jam classis Græcorum, ab Artemisio profecta, rogatu Atheniensium ad Salaminem adpulit. Et hoc quidem consilio Athenienses a sociis, ut ad Salamina adpellerent, rogaverant, ut ipsi liberos et uxores ex Attica exportatos in tuto locarent, et porro quid sibi faciendum esset deliberarent. (2) Nam pro præsente rerum statu, quum opinione sua essent frustrati, consilium capturi erant. Etenim quum existimassent se Peloponnesios cum omnibus copiis reperturos esse in Bœotia subsidentes ibique Barbarum excepturos, nihil horum repererant: sed certiores erant facti, Isthmum illos muro intercipere, et Peloponnesum ut salva sit maxime curare, hancque custodire, cætera omittentes. Hæc quum intellexissent Athenienses, idcirco socios, ut ad Salamina sisterent classem, rogaverant.

XLI. Et reliqui quidem ad Salamina adpulerunt, Athenienses vero ad Atticam. Quo ubi pervenere, præconio edixerunt, quo loco quisque posset Atheniensium, eo liberos et familiam in tuto locaret. (2) Ibi tunc plerique Trœzena eos miserunt, alii vero in Æginam, alii Salamina. Properarunt autem suos suaque extra Atticam in tuto locare, partim oraculi mandato obtemperare cupientes, partim, nec minime, hac de caussa: (3) dicunt Athenienses, ingentem serpentem, arcis custodem, versari in templo, nec vero id perhibent solum, sed etiam tamquam re vera ibi versanti menstrua sacra faciunt adponuntque: est autem menstruum sacrificium, placenta melle condita. Hæc placenta, quum superioribus temporibus constanter consumpta fuisset, tunc intacta erat. (4) Quod ubi significavit antistita templi, tanto magis atque studiosius urbem reliquerunt Athenienses, quod etiam dea arcem deseruisset. Exportatis autem rebus omnibus, in tutoque locatis, ad castra navigarunt.

XLII. Postquam vero isti ab Artemisio ad Salamina constituerant classem, accepto ejus rei nuncio reliquæ etiam nauticæ Græcorum copiæ eodem confluxerunt, Trœzene profectæ. Edictum enim illis fuerat, ut ad Pogonem, Trœzeniorum portum, convenirent: et convenerant multo plures quam quæ ad Artemisium navali prælio erant defunctæ, et ex pluribus civitatibus. (2) Classi cum imperii summa præfectus erat idem qui ad Artemisium, Eurybiades, Euryclidæ filius, Spartanus, nec vero ex regio genere natus: sed plurimas naves, optimeque navigantes, præbuerant Athenienses.

XLIII. Qui autem hac in classe militabant, hi fuere: ex Peloponneso, Lacedæmonii, sedecim naves præbentes: tum Corinthii, totidem naves cum vectoribus præbentes quot ad Artemisium: Sicyonii vero quindecim præbuerunt naves; Epidaurii, decem; Trœzenii, quinque; Hermionen-

μιονέες δὲ τρεῖς, ἐόντες οὗτοι πλὴν Ἑρμιονέων Δωρικόν τε καὶ Μακεδνὸν ἔθνος, ἐξ Ἐρινεοῦ τε καὶ Πίνδου καὶ τῆς Δρυοπίδος ὕστατα ὁρμηθέντες. (2) Οἱ δὲ Ἑρμιονέες εἰσὶ Δρύοπες, ὑπ' Ἡρακλέος τε καὶ Μηλιέων ἐκ τῆς νῦν Δωρίδος καλευμένης χώρης ἐξαναστάντες. Οὗτοι μέν νυν Πελοποννησίων ἐστρατεύοντο.

XLIV. Οἱ δὲ ἐκ τῆς ἔξω ἠπείρου, Ἀθηναῖοι μὲν πρὸς πάντας τοὺς ἄλλους παρεχόμενοι νέας ὀγδώκοντα καὶ ἑκατὸν, μοῦνοι· ἐν Σαλαμῖνι γὰρ οὐ συνεναυμάχησαν Πλαταιέες Ἀθηναίοισι διὰ τοιόνδε τι πρῆγμα· ἀπαλλασσομένων τῶν Ἑλλήνων ἀπὸ τοῦ Ἀρτεμισίου, ὡς ἐγίνοντο κατὰ Χαλκίδα, οἱ Πλαταιέες ἀποβάντες ἐς τὴν περαίην τῆς Βοιωτίης χώρης πρὸς ἐκκομιδὴν ἐτράποντο τῶν οἰκετέων. (2) Οὗτοι μέν νυν τούτους σώζοντες ἐλείφθησαν· Ἀθηναῖοι δὲ ἐπὶ μὲν Πελασγῶν ἐχόντων τὴν νῦν Ἑλλάδα καλευμένην ἔσαν Πελασγοὶ, οὐνομαζόμενοι Κραναοὶ, ἐπὶ δὲ Κέκροπος βασιλέος ἐπεκλήθησαν Κεκροπίδαι, ἐκδεξαμένου δὲ Ἐρεχθέος τὴν ἀρχὴν Ἀθηναῖοι μετωνομάσθησαν, Ἴωνος δὲ τοῦ Ξούθου στρατάρχεω γενομένου Ἀθηναίοισι ἐκλήθησαν ἀπὸ τούτου Ἴωνες.

XLV. Μεγαρέες δὲ τὠυτὸ πλήρωμα παρείχοντο καὶ ἐπ' Ἀρτεμισίῳ, Ἀμπρακιῆται δὲ ἑπτὰ νέας ἔχοντες ἐπεβώθησαν, Λευκάδιοι δὲ τρεῖς, ἔθνος ἐόντες οὗτοι Δωρικὸν ἀπὸ Κορίνθου.

XLVI. Νησιωτέων δὲ Αἰγινῆται τριήκοντα παρείχοντο. Ἦσαν μέν σφι καὶ ἄλλαι πεπληρωμέναι νέες· ἀλλὰ τῇσι μὲν τὴν ἑωυτῶν ἐφύλασσον, τριήκοντα δὲ τῇσι ἀρίστα πλωούσῃσι ἐν Σαλαμῖνι ἐναυμάχησαν. Αἰγινῆται δέ εἰσι Δωριέες ἀπ' Ἐπιδαύρου· τῇ δὲ νήσῳ πρότερον οὔνομα ἦν Οἰνώνη. (2) Μετὰ δὲ Αἰγινήτας Χαλκιδέες τὰς ἐπ' Ἀρτεμισίῳ εἴκοσι παρεχόμενοι καὶ Ἐρετριέες τὰς ἑπτά· οὗτοι δὲ Ἴωνές εἰσι. Μετὰ δὲ Κεῖοι τὰς αὐτὰς παρεχόμενοι, ἔθνος ἐὸν Ἰωνικὸν ἀπ' Ἀθηνέων. (3) Νάξιοι δὲ παρείχοντο τέσσερας, ἀποπεμφθέντες μὲν ἐς τοὺς Μήδους ὑπὸ τῶν πολιητέων κατά περ ὦλλοι νησιῶται, ἀλογήσαντες δὲ τῶν ἐντολέων ἀπίκατο ἐς τοὺς Ἕλληνας Δημοκρίτου σπεύσαντος, ἀνδρὸς τῶν ἀστῶν δοκίμου καὶ τότε τριηραρχέοντος· Νάξιοι δέ εἰσι Ἴωνες ἀπ' Ἀθηνέων γεγονότες. (4) Στυρέες δὲ τὰς αὐτὰς παρείχοντο νέας τὰς καὶ ἐπ' Ἀρτεμισίῳ, Κύθνιοι δὲ μίαν καὶ πεντηκόντερον, ἐόντες συναμφότεροι οὗτοι Δρύοπες. (5) Καὶ Σερίφιοί τε καὶ Σίφνιοι καὶ Μήλιοι ἐστρατεύοντο· οὗτοι γὰρ οὐκ ἔδοσαν μοῦνοι νησιωτέων τῷ βαρβάρῳ γῆν τε καὶ ὕδωρ.

XLVII. Οὗτοι μὲν ἅπαντες ἐντὸς οἰκημένοι Θεσπρωτῶν καὶ Ἀχέροντος ποταμοῦ ἐστρατεύοντο· Θεσπρωτοὶ γάρ εἰσι οἱ ὁμουρέοντες Ἀμπρακιήτῃσι καὶ Λευκαδίοισι, οἳ ἐξ ἐσχάτων χωρέων ἐστρατεύοντο. (2) Τῶν δὲ ἐκτὸς τούτων οἰκημένων Κροτωνιῆται μοῦνοι ἔσαν οἳ ἐβώθησαν τῇ Ἑλλάδι κινδυνευούσῃ νηὶ μιῇ, τῆς ἦρχε ἀνὴρ τρὶς πυθιονίκης Φάϋλλος· Κροτωνιῆται δὲ γένος εἰσὶ Ἀχαιοί.

XLVIII. Οἱ μέν νυν ἄλλοι τριήρεας παρεχόμενοι

ses, tres. Sunt autem isti, exceptis Hermionensibus, Dorica et Macedna natio, ex Erineo et Pindo et Dryopide novissime profecti. (2) Hermionenses vero Dryopes sunt, ab Hercule et Maliensibus ex regione quæ Doris nunc vocatur ejecti. Hæ copiæ Peloponnesiorum erant.

XLIV. Ex populis vero continentem extra Peloponnesum incolentibus adfuere, primum, Athenienses, qui præ reliquis omnibus centum et octoginta naves contulerunt: et hi quidem nunc soli erant; nam in pugna ad Salaminem Atheniensibus Platæenses præsto non fuere, hac de caussa: quo tempore Græci, relicto Artemisio, prope Chalcidem fuerant, Platæenses in oppositam Bœotiæ oram exscenderant, et ad familias suas in tuto locandas erant profecti: (2) ita, dum suos tutantur, in tempore non adfuerunt. Athenienses, quo tempore Pelasgi Græciam quæ nunc vocatur tenebant, Pelasgi fuerant, Cranai nominati; sub Cecrope vero rege, Cecropidæ sunt adpellati: tum regnante Erechtheo, mutato nomine, Athenienses adpellati: ab Ione vero, Xuthi filio, qui copiarum dux fuit Atheniensium, Iones sunt denominati.

XLV. Megarenses totidem naves cum vectoribus contulerant, quot ad Artemisium. Ampraciotæ cum septem navibus præsto erant: Leucadii cum tribus; Doricus hic quoque populus est, ex Corintho.

XLVI. Ex insulanis Æginetæ naves contulerant triginta: et instructas quidem etiam alias habebant, sed illis suam custodiebant terram, triginta vero optime navigantibus pugnarunt ad Salaminem. Sunt autem Æginetæ Dorienses, ex Epidauro: nomen vero insulæ prius Œnone fuerat. (2) Post Æginetas, Chalcidenses aderant cum viginti navibus quas easdem ad Artemisium habuerant; et Eretrienses cum eisdem septem navibus: Ionica hæc gens est. Deinde Cei, Ionicus populus Athenis oriundus, cum eisdem quibus ad Artemisium. (3) Naxii cum quattuor navibus aderant; ad Medos quidem missi a civibus, quemadmodum reliqui insulani: sed spreto mandato ad Græcos sese contulerant hortante Democrito, spectato inter suos viro, qui tunc trierarcha erat. Sunt autem Iones Naxii, Athenis oriundi. (4) Styrenses easdem, quas ad Artemisium, naves contulerunt; Cythnii vero triremem unam, et actuariam quinquaginta remorum: utrique hi Dryopes sunt. (5) Seriphii etiam, et Siphnii, et Melii cum Græcis militarunt: hi enim soli ex insulanis Barbaro terram et aquam non tradiderant.

XLVII. Quos adhuc memoravi pugnæ ad Salamina socios, hi omnes citra Thesprotiam et Acherontem fluvium habitant: Thesproti enim finitimi sunt Ampraciotis et Leucadiis, qui ex ultimis Græciæ regionibus adfuerunt. (2) Ex his vero qui ultra incolunt, soli Crotoniatæ fuere, qui periclitanti succurrerent Græciæ, et una quidem nave, cui præfuit vir ter Pythiorum certaminum victor, Phayllus: sunt autem Crotoniatæ origine Achæi.

XLVIII. Jam reliqui quidem, quos memoravi, triremes

ἐστρατεύοντο, Μήλιοι δὲ καὶ Σίφνιοι καὶ Σερίφιοι πεντηκοντέρους. Μήλιοι μὲν γένος ἐόντες ἀπὸ Λακεδαίμονος δύο παρείχοντο, Σίφνιοι δὲ καὶ Σερίφιοι Ἴωνες ἐόντες ἀπ' Ἀθηνέων μίαν ἑκάτεροι. Ἀριθμὸς δὲ ἐγένετο ὁ πᾶς τῶν νεῶν, πάρεξ τῶν πεντηκοντέρων, ὀκτὼ καὶ ἑβδομήκοντα καὶ τριηκόσιαι.

XLIX. Ὡς δὲ ἐς τὴν Σαλαμῖνα συνῆλθον οἱ στρατηγοὶ ἀπὸ τῶν εἰρημένων πολίων, ἐβουλεύοντο, προθέντος Εὐρυβιάδεω γνώμην ἀποφαίνεσθαι τὸν βουλόμενον, ὅκου δοκέοι ἐπιτηδεώτατον εἶναι ναυμαχίην ποιέεσθαι τῶν αὐτοὶ χωρέων ἐγκρατέες εἰσί· ἡ γὰρ Ἀττικὴ ἀπεῖτο ἤδη, τῶν δὲ λοιπέων πέρι προετίθεε. (2) Αἱ γνῶμαι δὲ τῶν λεγόντων αἱ πλεῖσται συνεξέπιπτον πρὸς τὸν Ἰσθμὸν πλώσαντας ναυμαχέειν πρὸ τῆς Πελοποννήσου, ἐπιλέγοντες τὸν λόγον τόνδε, ὡς ἢν νικηθέωσι τῇ ναυμαχίῃ, ἐν Σαλαμῖνι μὲν ἐόντες πολιορκήσονται ἐν νήσῳ, ἵνα σφι τιμωρίη οὐδεμία ἐπιφανήσεται, πρὸς δὲ τῷ Ἰσθμῷ ἐς τοὺς ἑωυτῶν ἐξοίσονται.

L. Ταῦτα τῶν ἀπὸ Πελοποννήσου στρατηγῶν ἐπιλεγομένων, ἐληλύθεε ἀνὴρ Ἀθηναῖος ἀγγέλλων ἥκειν τὸν βάρβαρον ἐς τὴν Ἀττικὴν καὶ πᾶσαν αὐτὴν πυρπολέεσθαι. (2) Ὁ γὰρ διὰ Βοιωτῶν τραπόμενος στρατὸς ἅμα Ξέρξῃ, ἐμπρήσας Θεσπιέων τὴν πόλιν αὐτῶν ἐκλελοιπότων ἐς Πελοπόννησον, καὶ τὴν Πλαταιέων ὡσαύτως, ἦκέ τε ἐς τὰς Ἀθήνας καὶ πάντα ἐκεῖνα ἐδῄου. Ἐνέπρησε δὲ Θέσπειάν τε καὶ Πλάταιαν πυθόμενος Θηβαίων ὅτι οὐκ ἐμήδιζον.

LI. Ἀπὸ δὲ τῆς διαβάσιος τοῦ Ἑλλησπόντου, ἔνθεν πορεύεσθαι ἤρξαντο οἱ βάρβαροι, ἕνα αὐτοῦ διατρίψαντες μῆνα ἐν τῷ διέβαινον ἐς τὴν Εὐρώπην, ἐν τρισὶ ἑτέροισι μησὶ ἐγένοντο ἐν τῇ Ἀττικῇ, Καλλιάδεω ἄρχοντος Ἀθηναίοισι. (2) Καὶ αἱρέουσι ἐρῆμον τὸ ἄστυ, καί τινας ὀλίγους εὑρίσκουσι τῶν Ἀθηναίων ἐν τῷ ἱρῷ ἐόντας, ταμίας τε τοῦ ἱροῦ καὶ πένητας ἀνθρώπους, οἳ φραξάμενοι τὴν ἀκρόπολιν θύρῃσί τε καὶ ξύλοισι ἠμύνοντο τοὺς ἐπιόντας, ἅμα μὲν ὑπ' ἀσθενείης βίου οὐκ ἐκχωρήσαντες ἐς Σαλαμῖνα, πρὸς δὲ αὐτοὶ δοκέοντες ἐξευρηκέναι τὸ μαντήϊον τὸ ἡ Πυθίη σφι ἔχρησε, τὸ ξύλινον τεῖχος ἀνάλωτον ἔσεσθαι, καὶ αὐτὸ δὴ τοῦτο εἶναι τὸ χρησφύγετον κατὰ τὸ μαντήϊον, καὶ οὐ τὰς νέας.

LII. Οἱ δὲ Πέρσαι ἰζόμενοι ἐπὶ τὸν καταντίον τῆς ἀκροπόλιος ὄχθον, τὸν Ἀθηναῖοι καλεῦσι Ἀρήϊον πάγον, ἐπολιόρκεον τρόπον τοιόνδε· ὅκως στυπεῖον περὶ τοὺς ὀϊστοὺς περιθέντες ἅψειαν, ἐτόξευον ἐς τὸ φράγμα. (2) Ἐνθαῦτα Ἀθηναίων οἱ πολιορκεόμενοι ὅμως ἠμύνοντο, καίπερ ἐς τὸ ἔσχατον κακοῦ ἀπιγμένοι καὶ τοῦ φράγματος προδεδωκότος· οὐδὲ λόγους τῶν Πεισιστρατιδέων προσφερόντων περὶ ὁμολογίης ἐνεδέκοντο, ἀμυνόμενοι δὲ ἄλλα τε ἀντεμηχανέοντο καὶ δὴ καὶ προσιόντων τῶν βαρβάρων πρὸς τὰς πύλας ὁλοιτρόχους ἀπίεσαν, ὥστε Ξέρξεα ἐπὶ χρόνον συχνὸν ἀπορίῃσι ἐνέχεσθαι, οὐ δυνάμενόν σφεας ἐλέειν.

LIII. Χρόνῳ δ' ἐκ τῶν ἀπόρων ἐφάνη δή τις ἔσοδος

in bellum præbuerunt; Melii vero et Siphnii et Seriphii penteconteros (*longas naves remis quinquaginta instructas*) et Melii quidem, genus a Lacedæmone derivantes, duas præbuere; Siphnii vero et Seriphii, Iones ab Athenis originem ducentes, utrique unam. Fuit autem universus navium numerus, demptis penteconteris, trecentæ septuaginta et octo.

XLIX. Ut ad Salaminem convenit ex prædictis civitatibus classis, deliberarunt duces, rogante Eurybiade ut sententiam diceret quisquis vellet, quo loco opportunissimum videretur pugna navali decernere, ex eis nempe locis quæ in ipsorum essent potestate : jam enim Attica pro derelicta erat : itaque de reliquis locis rogavit. (2) Et pleræque eorum, qui verba fecerunt, in hoc congruebant sententiæ, ad Isthmum navigandum esse, et ante Peloponnesum navali pugna decernendum : cujus sententiæ hanc rationem reddebant, quod, si inferiores ex pugna discessissent, et Salamine essent, obsiderentur in insula, ubi nullum ipsis adparere subsidium posset; ad Isthmum vero, ad suos se possent salvi recipere.

L. Dum ita duces Peloponnesiorum disputant, advenit vir Atheniensis, nuncians in Atticam ingressum esse Barbarum, et totam regionem igne vastare. (2) Quippe exercitus una cum Xerxe, itinere per Bœotiam facto, incensa Thespiensium urbe, qui in Peloponnesum se receperant, itemque Platæensium urbe, Athenas profectus, omnia illius regionis loca evastabat. Incenderat autem Thespiam et Platæam, quod a Thebanis audisset, cum Medis illos non sentire.

LI. A transitu Hellesponti, unde iter facere cœperant barbari, postquam ibi unum mensem erant morati, quo in Europam transierunt, tribus proximis mensibus in Attica adfuerunt, prætore Atheniensibus Calliade. (2) Deprehenderunt autem vacuam urbem, et paucos quosdam Atheniensium in templo versantes, quæstores templi, et paupères nonnullos homines; qui arce asseribus atque palis ligneis præsepta arcebant subeuntes. Hi et ob victus inopiam sese Salaminem non receperant, et quod se solos existimarent sententiam reperisse oraculi a Pythia editi, ligneum murum insuperabilem fore; nempe hoc ipsum esse certum illud refugium, quod oraculo significatum esset, non naves.

LII. Persæ vero, castris in tumulo positis ex adverso arcis sito, quem Areopagum (*Martium tumulum*) Athenienses vocant, hoc modo illam oppugnarunt : stupam sagittis circumdatam incendebant, atque ita sagittas adversus vallum jaculabantur. (2) Tunc oppugnati Athenienses, ad extremum licet malum redacti, fallente eos etiam vallo, tamen resistebant; nec conditiones de deditione admittebant, a Pisistratidis propositas. Resistebant autem, quum alia contrà machinantes, tum et, quoties ad portam succederent barbari, ingentibus in eos saxis devolutis; ut perdiu Xerxes inops fuerit consilii, quum illos expugnare non posset.

LIII. Ad extremum vero, post illas difficultates, introi-

τοῖσι βαρβάροισι· ἔδεε γὰρ κατὰ τὸ θεοπρόπιον πᾶσαν τὴν Ἀττικὴν τὴν ἐν τῇ ἠπείρῳ γενέσθαι ὑπὸ Πέρσῃσι. (2) Ἔμπροσθε ὦν πρὸ τῆς ἀκροπόλιος, ὄπισθε δὲ τῶν πυλέων καὶ τῆς ἀνόδου, τῇ δὴ οὔτε τις ἐφύλασσε οὔτ' ἂν ἤλπισε μή κοτέ τις κατὰ ταῦτα ἀναβαίη ἀνθρώπων, ταύτῃ ἀνέβησάν τινες κατὰ τὸ ἱρὸν τῆς Κέκροπος θυγατρὸς Ἀγλαύρου, καίτοι περ ἀποκρήμνου ἐόντος τοῦ χώρου. (3) Ὡς δὲ εἶδον αὐτοὺς ἀναβεβηκότας οἱ Ἀθηναῖοι ἐπὶ τὴν ἀκρόπολιν, οἱ μὲν ἐρρίπτεον ἑωυτοὺς κατὰ τοῦ τείχεος κάτω καὶ διεφθείροντο, οἱ δὲ ἐς τὸ μέγαρον κατέφευγον. (4) Τῶν δὲ Περσέων οἱ ἀναβεβηκότες πρῶτον μὲν ἐτράποντο πρὸς τὰς πύλας, ταύτας δὲ ἀνοίξαντες τοὺς ἱκέτας ἐφόνευον· ἐπεὶ δέ σφι πάντες κατέστρωντο, τὸ ἱρὸν συλήσαντες ἐνέπρησαν πᾶσαν τὴν ἀκρόπολιν.

LIV. Σχὼν δὲ παντελέως τὰς Ἀθήνας Ξέρξης ἀπέπεμψε ἐς Σοῦσα ἄγγελον ἱππέα Ἀρταβάνῳ ἀγγελέοντα τὴν παρεοῦσάν σφι εὐπρηξίην. Ἀπὸ δὲ τῆς πέμψιος τοῦ κήρυκος δευτέρῃ ἡμέρῃ συγκαλέσας Ἀθηναίων τοὺς φυγάδας, ἑωυτῷ δὲ ἑπομένους, ἐκέλευε τρόπῳ τῷ σφετέρῳ θῦσαι τὰ ἱρὰ ἀναβάντας ἐς τὴν ἀκρόπολιν, εἴτε δὴ ὧν ὄψιν τινὰ ἰδὼν ἐνυπνίου ἐνετέλλετο ταῦτα, εἴτε καὶ ἐνθυμιόν οἱ ἐγένετο ἐμπρήσαντι τὸ ἱρόν. Οἱ δὲ φυγάδες τῶν Ἀθηναίων ἐποίησαν τὰ ἐντεταλμένα.

LV. Τοῦ δὲ εἵνεκεν τούτων ἐπεμνήσθην, φράσω. Ἔστι ἐν τῇ ἀκροπόλι ταύτῃ Ἐρεχθέος τοῦ γηγενέος λεγομένου εἶναι νηός, ἐν τῷ ἐλαίη τε καὶ θάλασσα ἔνι, τὰ λόγος παρ' Ἀθηναίων Ποσειδεώνά τε καὶ Ἀθηναίην ἐρίσαντας περὶ τῆς χώρης μαρτύρια θέσθαι. (2) Ταύτην ὦν τὴν ἐλαίην ἅμα τῷ ἄλλῳ ἱρῷ κατέλαβε ἐμπρησθῆναι ὑπὸ τῶν βαρβάρων· δευτέρῃ δὲ ἡμέρῃ ἀπὸ τῆς ἐμπρήσιος Ἀθηναίων οἱ θύειν ὑπὸ βασιλέος κελευόμενοι ὡς ἀνέβησαν ἐς τὸ ἱρόν, ὥρεον βλαστὸν ἐκ τοῦ στελέχεος ὅσον τε πηχυαῖον ἀναδεδραμηκότα. Οὗτοι μέν νυν ταῦτα ἔφρασαν.

LVI. Οἱ δὲ ἐν Σαλαμῖνι Ἕλληνες, ὡς σφι ἐξηγγέλθη ὡς ἔσχε τὰ περὶ τὴν Ἀθηνέων ἀκρόπολιν, ἐς τοσοῦτον θόρυβον ἀπίκοντο ὥστε ἔνιοι τῶν στρατηγῶν οὐδὲ κυρωθῆναι ἔμενον τὸ προκείμενον πρῆγμα, ἀλλ' ἐς τε τὰς νέας ἐσέπιπτον καὶ ἱστία ἀείροντο ὡς ἀποθευσόμενοι· τοῖσί τε ὑπολειπομένοισι αὐτῶν ἐκυρώθη πρὸ τοῦ Ἰσθμοῦ ναυμαχέειν. Νύξ τε ἐγίνετο, καὶ οἱ διαλυθέντες ἐκ τοῦ συνεδρίου ἐσέβαινον ἐς τὰς νέας.

LVII. Ἐνθαῦτα δὴ Θεμιστοκλέα ἀπικόμενον ἐπὶ τὴν νέα εἴρετο Μνησίφιλος ἀνὴρ Ἀθηναῖος ὅ τι σφι εἴη βεβουλευμένον. Πυθόμενος δὲ πρὸς αὐτοῦ ὡς εἴη δεδογμένον ἀνάγειν τὰς νέας πρὸς τὸν Ἰσθμὸν καὶ πρὸ τῆς Πελοποννήσου ναυμαχέειν, εἶπε, (2) « οὔ τοι ἄρα, ἢν ἀπαίρωσι τὰς νέας ἀπὸ Σαλαμῖνος, οὐδὲ περὶ μιῆς ἔτι πατρίδος ναυμαχήσεις· κατὰ γὰρ πόλις ἕκαστοι τρέψονται, καὶ οὔτε σφέας Εὐρυβιάδης κατέχειν δυνήσεται οὔτε τις ἀνθρώπων ἄλλος ὥστε μὴ οὐ διασκεδασθῆναι τὴν στρατιήν, ἀπολέεταί τε ἡ Ἑλλὰς ἀβουλίῃσι. (3) Ἀλλ' εἴ τις ἔστι μηχανή, ἴθι καὶ πειρῶ διαχέαι τὰ

tus quidam in arcem barbaris adparuit : debuit enim, juxta oraculum, universa Atheniensium terra, quatenus in continente erat, in barbarorum venire potestatem. (2) Erat igitur ante arcem, sed in parte a porta et adscensu aversa, locus ubi nemo excubabat, et ubi nemo crediderat quemquam hominum umquam adscensurum : eo loco, quamvis prærupto, adscenderunt nonnulli prope Aglauri fanum, Cecropis filiæ. (3) Quos ut in arcem conscendisse viderunt Athenienses, alii de muro sese præcipitarunt perieruntque, alii in interiorem templi ædem confugerunt. (4) Persæ vero qui adscenderant, primum ad portam adcurrerunt, eaque aperta trucidarunt supplices; quibus omnibus occisis, spoliarunt templum, et universam acropolin incenderunt.

LIV. **Tum Xerxes**, Athenis penitus potitus, equitem Susa misit, qui Artabano rem ab ipsis feliciter gestam nunciaret. Postridie vero quam nuncium hunc dimisit, convocatis Atheniensium exsulibus, qui illius castra sequebantur, mandavit, ut in arcem adscenderent, suoque ritu ibi sacra facerent; sive quod viso nocturno monitus hoc illis imperavit, sive religio quædam eum incesserat quod templum cremasset. Et Atheniensium exsules mandata fecerunt.

LV. Cur autem hujus rei fecerim mentionem, dicam. Est in hac acropoli templum Erechthei illius, qui terra genitus dicitur, quo in templo olea inest et mare, quæ Athenienses narrant ab Neptuno et Minerva, quum de terræ hujus possessione inter se certarent, posita fuisse monumenta. (2) Hæc igitur olea simul cum reliquo templo a barbaris erat cremata : altero vero ab hoc incendio die, ut in id templum adscenderunt Athenienses sacra facere jussi a Xerxe, surculum viderunt e stipite enatum, cubiti fere longitudine. Hoc quidem illi memorarunt.

LVI. Græci vero ad Salaminem, ut nunciatum est eis quo statu esset Athenarum acropolis, tanto sunt terrore perculsi, ut e ducibus nonnulli ne manserint quidem donec super quæstione proposita fieret decretum, sed in naves sese conjicientes vela panderint tamquam abituri; et reliqui, re deliberata, fecerunt decretum, ad Isthmum esse pugnandum. Jamque nox aderat; et hi quoque, soluto consessu, naves sunt ingressi.

LVII. Ibi tunc Themistoclem, in navem reversum, interrogavit Mnesiphilus, civis Atheniensis, quidnam ab illis decretum foret. A quo ubi cognovit, decretum esse ut navibus ad Isthmum deductis ante Peloponnesum dimicarent : (2) « Quodsi igitur, inquit, hi Salamine solverint, tu pro nulla amplius patria pugnabis. Nam in suas quique civitates se recipient, et nec Eurybiades, nec quisquam hominum alius retinere eos poterit, quin dissolvatur exercitus : et per ducum imprudentiam peritura est Græcia. (3) At tu, si qua via aut ratio superest, perge, et, quæ decreta

βεβουλευμένα, ἦν κως δύνῃ ἀναγνῶσαι Εὐρυβιάδεα μεταβουλεύσασθαι ὥστε αὐτοῦ μενέειν. »

LVIII. Κάρτα δὴ τῷ Θεμιστοκλέϊ ἤρεσε ἡ ὑποθήκη, καὶ οὐδὲν πρὸς ταῦτα ἀμειψάμενος ἦϊε ἐπὶ τὴν νέα τὴν Εὐρυβιάδεω. Ἀπικόμενος δὲ ἔφη ἐθέλειν οἱ κοινόν τι πρῆγμα συμμῖξαι· ὁ δ' αὐτὸν ἐς τὴν νέα ἐκέλευε ἐσβάντα λέγειν, εἴ τι ἐθέλοι. (2) Ἐνθαῦτα ὁ Θεμιστοκλέης παριζόμενός οἱ καταλέγει ἐκεῖνά τε πάντα τὰ ἤκουσε Μνησιφίλου, ἑωυτοῦ ποιεύμενος, καὶ ἄλλα πολλὰ προστιθεὶς, ἐς ὃ ἀνέγνωσε χρηίζων ἔκ τε τῆς νεὸς ἐκβῆναι συλλέξαι τε τοὺς στρατηγοὺς ἐς τὸ συνέδριον.

LIX. Ὡς δὲ ἄρα συνελέχθησαν, πρὶν ἢ τὸν Εὐρυβιάδεα προθεῖναι τὸν λόγον τῶν εἵνεκεν συνήγαγε τοὺς στρατηγοὺς, πολλὸς ἦν ὁ Θεμιστοκλέης ἐν τοῖσι λόγοισι οἷα κάρτα δεόμενος. (2) Λέγοντος δὲ αὐτοῦ ὁ Κορίνθιος στρατηγὸς Ἀδείμαντος ὁ Ὠκύτου εἶπε, « ὦ Θεμιστόκλεες, ἐν τοῖσι ἀγῶσι οἱ προεξανιστάμενοι ῥαπίζονται. » Ὁ δὲ ἀπολυόμενος ἔφη, « οἱ δέ γε ἐγκαταλειπόμενοι οὐ στεφανεῦνται. »

LX. Τότε μὲν ἠπίως πρὸς τὸν Κορίνθιον ἀμείψατο, πρὸς δὲ τὸν Εὐρυβιάδεα ἔλεγε ἐκείνων μὲν οὐκέτι οὐδὲν τῶν πρότερον λεχθέντων, ὡς ἐπεὰν ἀπαίρωσι ἀπὸ Σαλαμῖνος διαῤῥήσονται· (2) παρεόντων γὰρ τῶν συμμάχων οὐκ ἔφερέ οἱ κόσμον οὐδένα κατηγορέειν· ὁ δὲ ἄλλου λόγου εἴχετο, λέγων τάδε, (I.) « ἐν σοὶ νῦν ἐστὶ σῶσαι τὴν Ἑλλάδα, ἢν ἐμοὶ πείθῃ ναυμαχίην αὐτοῦ μένων ποιέεσθαι, μηδὲ πειθόμενος τούτων τοῖσι λέγουσι ἀναζεύξῃς πρὸς τὸν Ἰσθμὸν τὰς νέας. Ἀντίθες γὰρ ἑκάτερον ἀκούσας. (3) Πρὸς μὲν τῷ Ἰσθμῷ συμβάλλων ἐν πελάγεϊ ἀναπεπταμένῳ ναυμαχήσεις, ἐς τὸ ἥκιστα ἡμῖν σύμφορόν ἐστι νέας ἔχουσι βαρυτέρας καὶ ἀριθμὸν ἐλάσσονας· τοῦτο δὲ ἀπολέεις Σαλαμῖνά τε καὶ Μέγαρα καὶ Αἴγιναν, ἦν περ καὶ τὰ ἄλλα εὐτυχήσωμεν. (4) Ἅμα γὰρ τῷ ναυτικῷ αὐτῶν ἕψεται καὶ ὁ πεζὸς στρατὸς, καὶ οὕτω σφέας αὐτὸς ἄξεις ἐπὶ τὴν Πελοπόννησον, κινδυνεύσεις τε ἁπάσῃ τῇ Ἑλλάδι. (II.) Ἢν δὲ τὰ ἐγὼ λέγω ποιήσῃς, τοσάδε ἐν αὐτοῖσι χρηστὰ εὑρήσεις. Πρῶτα μὲν ἐν στεινῷ συμβάλλοντες νηυσὶ ὀλίγῃσι πρὸς πολλὰς, ἢν τὰ οἰκότα ἐκ τοῦ πολέμου ἐκβαίνῃ, πολλὸν κρατήσομεν· τὸ γὰρ ἐν στεινῷ ναυμαχέειν πρὸς ἡμέων ἐστὶ, ἐν εὐρυχωρίῃ δὲ πρὸς ἐκείνων. (5) Αὖτις δὲ Σαλαμὶς περιγίνεται, ἐς τὴν ἡμῖν ὑπεκκέεται τέκνα τε καὶ γυναῖκες. Καὶ μὴν καὶ τόδε ἐν αὐτοῖσι ἔνεστι, τοῦ καὶ περιέχεσθε μάλιστα· ὁμοίως αὐτοῦ τε μένων προναυμαχήσεις Πελοποννήσου καὶ πρὸς τῷ Ἰσθμῷ, οὐδέ σφεας, εἴ περ εὖ φρονέεις, ἄξεις ἐπὶ τὴν Πελοπόννησον. (III.) Ἢν δέ γε καὶ τὰ ἐγὼ ἐλπίζω γένηται καὶ νικήσωμεν τῇσι νηυσὶ, οὔτε ὑμῖν ἐς τὸν Ἰσθμὸν παρέσονται οἱ βάρβαροι οὔτε προβήσονται ἑκαστέρω τῆς Ἀττικῆς, ἀπίασί τε οὐδενὶ κόσμῳ, Μεγάροισί τε κερδανέομεν περιεοῦσι καὶ Αἰγίνῃ καὶ Σαλαμῖνι, ἐν τῇ ἡμῖν καὶ λόγιόν ἐστι τῶν ἐχθρῶν κατύπερθε γενέσθαι. (6) Οἰκότα μέν νυν βουσunt, operam da ut rescindas; si forte persuadere Eurybiadi potueris, ut mutato consilio hic maneat. »

LVIII. Themistocli admodum placuit monitum : qui, nullo ad hæc responso dato, ad Eurybiadis navem perrexit. Quo ubi venit, de communibus rebus, ait, se aliquid cum illo communicaturum : et ille, si quid secum vellet, navem suam conscendere eum jussit. (2) Ibi tum Eurybiadi adsidens Themistocles, et omnia ista quæ ex Mnesiphilo audiverat, tamquam sua, exposuit, et multa alia adjecit, donec precibus eum expugnavit, ut nave egrederetur, et in concilium iterum convocaret duces.

LIX. Qui ubi convenerunt, priusquam rem, cujus caussa convocati duces erant, Eurybiades proponeret, multos Themistocles fecit sermones, enixe flagitans. (2) Quem loquentem interfatus Corinthius dux Adimantus, Ocyti filius : « Themistocles, inquit, in certaminum solemnibus, qui ante tempus surgunt, flagris cæduntur. » Et ille, sui purgandi caussa, ait : « At, qui pone manent, non coronantur. »

LX. Ita tunc quidem placide respondit Corinthio. Ad Eurybiadem vero conversus, nihil jam eorum dixit quæ ante exposuerat, dispersum iri socios, si Salamine solvissent : (2) etenim, præsentibus sociis, nullo modo decorum erat ut eos accusaret : sed aliam dicendi rationem tenens, ita locutus est : (I.) « Penes te nunc est servare Græciam, si meum consilium secutus, hic manens pugnam navalem commiseris, neque his morem gesseris qui naves ad Isthmum promovendas esse contendunt. Accipe enim, et alteram alteri rationi oppone. (3) Ad Isthmum pugnam committens, in aperto mari pugnabis, ubi minime nobis conducit, graviores naves habentibus, et numero pauciores. Porro Salaminem perdes, et Megara, et Æginam, etiamsi cæteroquin feliciter nobis res esset cessura. (4) Nam classem illorum secuturus est pedestris exercitus, adeoque tu ipse eos in Peloponnesum duxeris, periculumque fuerit ut universam perdas Græciam. (II.) Sin quæ ego dico feceris, hæc in illis commoda reperies. Primum quidem, in angusto mari confligentes paucis navibus adversus multas, si rationi consentaneus exitus fuerit pugnæ, multo erimus superiores. Nam in angusto prælium navale facere, pro nobis est; in aperto vero, pro illis. (5) Deinde Salamis servatur, in qua nos liberos nostros et uxores deposuimus. Tum vero etiam illud in hac ratione continetur, quod inprimis vobis cordi est : nam, hic manens, pariter pro Peloponneso pugnabis, atque ad Isthmum; nec vero illos, si sapueris, in Peloponnesum duces. (III.) Sin quod ego spero evenerit, pugnaque navali vicerimus, tunc nec ad Isthmum vobis aderunt barbari, nec ultra Atticam progredientur, sed incondita fuga se recipient, lucrabimurque servata Megara, et Æginam, et Salaminem, ad quam nos hostibus superiores esse futuros oraculo etiam prædictum est. (6) Jam consilia rationi consentanea ca-

λευομένοισι ἀνθρώποισι ὡς τὸ ἐπίπαν ἐθέλει γίνεσθαι· μὴ δὲ οἰκότα βουλευομένοισι οὐκ ἐθέλει οὐδὲ ὁ θεὸς προσχωρέειν πρὸς τὰς ἀνθρωπηίας γνώμας. »

LXI. Ταῦτα λέγοντος Θεμιστοκλέος αὖτις ὁ Κορίνθιος Ἀδείμαντος ἐπεφέρετο, σιγᾶν τε κελεύων τῷ μή ἐστι πατρὶς, καὶ Εὐρυβιάδεα οὐκ ἐῶν ἐπιψηφίζειν ἀπόλι ἀνδρί· πόλιν γὰρ τὸν Θεμιστοκλέα παρεχόμενον οὕτω ἐκέλευε γνώμας συμβάλλεσθαι. Ταῦτα δέ οἱ προέφερε, ὅτι ἡλώκεσάν τε καὶ κατείχοντο αἱ Ἀθῆναι. (2) Τότε δὴ ὁ Θεμιστοκλέης ἐκεῖνόν τε καὶ τοὺς Κορινθίους πολλά τε καὶ κακὰ ἔλεγε, ἑωυτοῖσί τε ἐδήλου λόγῳ ὡς εἴη καὶ πόλις καὶ γῆ μέζων ἥπερ ἐκείνοισι, ἔστ' ἂν διηκόσιαι νέες σφι ἔωσι πεπληρωμέναι· οὐδαμοὺς γὰρ Ἑλλήνων αὐτοὺς ἐπιόντας ἀποκρούσεσθαι.

LXII. Σημαίνων δὲ ταῦτα τῷ λόγῳ διέβαινε ἐς Εὐρυβιάδεα, λέγων μᾶλλον ἐπεστραμμένα, « σὺ εἰ μενέεις αὐτοῦ καὶ μένων ἔσεαι ἀνὴρ ἀγαθός· εἰ δὲ μή, ἀνατρέψεις τὴν Ἑλλάδα· τὸ πᾶν γὰρ ἡμῖν τοῦ πολέμου φέρουσι αἱ νέες. (2) Ἀλλ' ἐμοὶ πείθεο. Εἰ δὲ ταῦτα μὴ ποιήσεις, ἡμεῖς μέν, ὡς ἔχομεν, ἀναλαβόντες τοὺς οἰκέτας κομιεύμεθα ἐς Σῖριν τὴν ἐν Ἰταλίῃ, ἥπερ ἡμετέρη τέ ἐστι ἐκ παλαιοῦ ἔτι, καὶ τὰ λόγια λέγει ὑπ' ἡμέων αὐτὴν δεῖν κτισθῆναι· ὑμεῖς δὲ συμμάχων τοιῶνδε μουνωθέντες μεμνήσεσθε τῶν ἐμῶν λόγων. »

LXIII. Ταῦτα δὲ Θεμιστοκλέος λέγοντος ἀνεδιδάσκετο Εὐρυβιάδης. Δοκέειν δέ μοι, ἀρρωδήσας μάλιστα τοὺς Ἀθηναίους ἀνεδιδάσκετο, μή σφεας ἀπολίπωσι, ἢν πρὸς τὸν Ἰσθμὸν ἀνάγῃ τὰς νέας· ἀπολιπόντων γὰρ Ἀθηναίων οὐκέτι ἐγίνοντο ἀξιόμαχοι οἱ λοιποί. Ταύτην δὲ αἱρέεται τὴν γνώμην, αὐτοῦ μένοντας διαναυμαχέειν.

LXIV. Οὕτω μὲν οἱ περὶ Σαλαμῖνα ἔπεσι ἀκροβολισάμενοι, ἐπείτε Εὐρυβιάδῃ ἔδοξε, αὐτοῦ παρεσκευάζοντο ὡς ναυμαχήσοντες. Ἡμέρη τε ἐγίνετο, καὶ ἅμα τῷ ἡλίῳ ἀνιόντι σεισμὸς ἐγένετο ἔν τε τῇ γῇ καὶ τῇ θαλάσσῃ. Ἔδοξε δέ σφι εὔξασθαι τοῖσι θεοῖσι καὶ ἐπικαλέσασθαι τοὺς Αἰακίδας συμμάχους. (2) Ὡς δέ σφι ἔδοξε, καὶ ἐποίευν ταῦτα· εὐξάμενοι γὰρ πᾶσι τοῖσι θεοῖσι, αὐτόθεν μὲν ἐκ Σαλαμῖνος Αἴαντά τε καὶ Τελαμῶνα ἐπεκαλεῦντο, ἐπὶ δὲ Αἰακὸν καὶ τοὺς ἄλλους Αἰακίδας νέα ἀπέστελλον ἐς Αἴγιναν.

LXV. Ἔφη δὲ Δικαῖος ὁ Θεοκύδεος, ἀνὴρ Ἀθηναῖος φυγάς τε καὶ παρὰ Μήδοισι λόγιμος γενόμενος τοῦτον τὸν χρόνον, ἐπείτε ἐκείρετο ἡ Ἀττικὴ χώρη ὑπὸ τοῦ πεζοῦ στρατοῦ τοῦ Ξέρξεω ἐοῦσα ἐρῆμος Ἀθηναίων, τυχεῖν τότε ἐὼν ἅμα Δημαρήτῳ τῷ Λακεδαιμονίῳ ἐν τῷ Θριασίῳ πεδίῳ, ἰδέειν δὲ κονιορτὸν χωρέοντα ἀπ' Ἐλευσῖνος ὡς ἀνδρῶν μάλιστά κη τρισμυρίων, ἀποθωμάζειν τέ σφεας τὸν κονιορτὸν ὅτεών κοτε εἴη ἀνθρώπων, καὶ πρόκατε φωνῆς ἀκούειν, καί οἱ φαίνεσθαι τὴν φωνὴν εἶναι τὸν μυστικὸν Ἴακχον. (2) Εἶναι δ' ἀδαήμονα τῶν ἱρῶν τῶν ἐν Ἐλευσῖνι γινομένων τὸν Δημάρητον, ἐρόμενον δὲ τοῦτο τὸν Δικαῖον εἰπεῖν τάδε· « Δημάρητε, κακὸν μέγα διανοέεται τὸν στρατὸν τὸν ἡμέτερον ἀπολιπόντων γὰρ τὴν Ἀττικὴν ἀνάγκη πᾶσα φεύγειν οὐκ ἔχουσι γὰρ οὔτε ἵππῳ οὔτε πεζῷ στρατῷ βοηθέειν· ἐκ θεοῦ δὲ μεγάλη τις ἐπίκειται ἀπὸ τῆς Ἐλευσῖνος ἀρωγὴ τοῖσι Ἀθηναίοισί τε καὶ τοῖσι μὴ προέμενοι τὴν χώρην. Ἐκ γὰρ τοῦ ἠχέοντος τὸν κονιορτὸν τοῦτον ἀνίσταται ἀνὴρ ἐοικὼς τὴν φωνὴν τῷ Ἰακχῳ. (3) Ἐκ δὲ τούτου ἀναβαίνει ἐς τὸ Ἐλευσῖνιον ἡ νεφέλη, καὶ ἐπὶ τὴν πρώτην τριήρεα ἐμβαίνει

ρητον, εἱρεσθαί τε αὐτὸν ὅ τι τὸ φθεγγόμενον εἴη τοῦτο. Αὐτὸς δὲ εἶπαι, « Δημάρητε, οὐκ ἔστι ὄκως οὐ μέγα τι σίνος ἔσται τῇ βασιλέος στρατιῇ· τάδε γὰρ ἀρίδηλα ἐρήμου ἐούσης τῆς Ἀττικῆς, ὅτι θεῖον τὸ φθεγγόμενον, ἀπ' Ἐλευσῖνος ἰὸν ἐς τιμωρίην Ἀθηναίοισί τε καὶ τοῖσι συμμάχοισι. (2) Καὶ ἢν μέν γε κατασκήψῃ ἐς τὴν Πελοπόννησον, κίνδυνος αὐτῷ τε βασιλέϊ καὶ τῇ στρατιῇ τῇ ἐν τῇ ἠπείρῳ ἔσται, ἢν δὲ ἐπὶ τὰς νέας τράπηται τὰς ἐν Σαλαμῖνι, τὸν ναυτικὸν στρατὸν κινδυνεύσει βασιλεὺς ἀποβαλέειν. (4) Τὴν δὲ ὀρτὴν ταύτην ἄγουσι Ἀθηναῖοι ἀνὰ πέντε ἔτεα τῇ Μητρὶ καὶ τῇ Κούρῃ, καὶ αὐτῶν τε ὁ βουλόμενος καὶ τῶν ἄλλων Ἑλλήνων μυέεται· καὶ τὴν φωνὴν τῆς ἀκούεις, ἐν ταύτῃ τῇ ὀρτῇ ἰακχάζουσι. » (5) Πρὸς ταῦτα εἶπαι Δημάρητον, « σίγα τε καὶ μηδενὶ ἄλλῳ τὸν λόγον τοῦτον εἴπῃς· ἢν γάρ τοι ἐς βασιλέα ἀνενειχθῇ τὰ ἔπεα ταῦτα, ἀποβαλέεις τὴν κεφαλήν, καί σε οὔτε ἐγὼ δυνήσομαι ῥύσασθαι οὔτ' ἄλλος ἀνθρώπων οὐδὲ εἷς. Ἀλλ' ἔχ' ἥσυχος, περὶ δὲ στρατιῆς τῆσδε θεοῖσι μελήσει. » (6) Τὸν μὲν δὴ ταῦτα παραινέειν, ἐκ δὲ τοῦ κονιορτοῦ καὶ τῆς φωνῆς γενέσθαι νέφος, καὶ μεταρσιωθὲν φέρεσθαι ἐπὶ Σαλαμῖνος ἐς τὸ στρατόπεδον τὸ τῶν Ἑλλήνων· οὕτω δὲ αὐτοὺς μαθέειν ὅτι τὸ ναυτικὸν τὸ Ξέρξεω ἀπολέεσθαι μέλλοι. Ταῦτα μὲν Δικαῖος ὁ Θεοκύδεος ἔλεγε, Δημαρήτου τε καὶ ἄλλων μαρτύρων καταπτόμενος.

LXVI. Οἱ δὲ ἐς τὸν Ξέρξεω ναυτικὸν στρατὸν ταχθέντες, ἐπειδὴ ἐκ Τρηχῖνος θηησάμενοι τὸ τρῶμα τὸ Λακωνικὸν διέβησαν ἐς τὴν Ἱστίαιαν, ἐπισχόντες ἡμέρας τρεῖς ἔπλωον δι' Εὐρίπου, καὶ ἐν ἑτέρῃσι τρισὶ ἡμέρῃσι ἐγένοντο ἐν Φαλήρῳ. (2) Ὡς μὲν ἐμοὶ δοκέειν, οὐκ ἐλάσσονες ἐόντες ἀριθμὸν ἐσέβαλον ἐς τὰς Ἀθήνας, κατά τε ἤπειρον καὶ τῇσι νησὶ ἀπικόμενοι, ἢ ἐπί τε Σηπιάδα ἀπίκοντο καὶ ἐς Θερμοπύλας· (3) ἀντιθήσω γὰρ τοῖσί τε ὑπὸ τοῦ χειμῶνος αὐτῶν ἀπολομένοισι καὶ τοῖσι ἐν Θερμοπύλῃσι καὶ τῇσι ἐπ' Ἀρτεμισίῳ ναυμαχίῃσι τούσδε τοὺς τότε οὔκω ἑπομένους βασιλέϊ, Μηλιέας τε καὶ Δωριέας καὶ Λοκροὺς καὶ Βοιωτοὺς πανστρατιῇ ἑπομένους πλὴν Θεσπιέων τε καὶ Πλαταιέων καὶ μάλα Καρυστίους τε καὶ Ἀνδρίους καὶ Τηνίους τε καὶ τοὺς λοιποὺς νησιώτας πάντας, πλὴν τῶν πέντε πολίων τῶν ἐπεμνήσθην πρότερον τὰ οὐνόματα. (4) Ὅσῳ γὰρ δὴ προέβαινε ἐσωτέρω τῆς Ἑλλάδος ὁ Πέρσης, τοσούτῳ πλέω ἔθνεά οἱ εἵπετο.

LXVII. Ἐπεὶ ὦν ἀπίκατο ἐς τὰς Ἀθήνας πάντες οὗτοι πλὴν Παρίων (Πάριοι δὲ ὑπολειφθέντες ἐν Κύθνῳ ἐκαραδόκεον τὸν πόλεμον κῇ ἀποβήσεται), οἱ δὲ λοιποὶ ὡς ἀπίκοντο ἐς τὸ Φάληρον, ἐνθαῦτα κατέβη αὐτὸς Ξέρξης ἐπὶ τὰς νέας, ἐθέλων σφι συμμῖξαί τε καὶ πυθέσθαι τῶν ἐπιπλωόντων τὰς γνώμας. (2) Ἐπεὶ δὲ ἀπικόμενος προΐζετο, παρῆσαν μετάπεμπτοι οἱ τῶν ἐθνέων τῶν σφετέρων τύραννοι καὶ ταξίαρχοι ἀπὸ τῶν νεῶν, καὶ ἵζοντο ὡς σφι βασιλεὺς ἑκάστῳ τιμὴν ἐδεδώκεε, πρῶτος μὲν ὁ Σιδώνιος βασιλεὺς, μετὰ δὲ ὁ Τύριος, ἐπὶ δὲ ὦλλοι. (3) Ὡς δὲ κόσμῳ ἐπεξῆς ἵζοντο,

sonaret, seque ei respondisse : « Demarate, haud aberit quin magna clades exercitum regis adfligat. Quum enim deserta sit Attica, prorsus manifestum est, divinum esse hunc sonum, ab Eleusine auxilio venientem Atheniensibus eorumque sociis. (3) Quod quidem ostentum si Peloponnesum versus cadet, periculum ipsi regi et pedestribus illius copiis erit : sin ad classem convertetur quæ Salamine est, navalibus regis copiis exitium portenderit. (4) Agunt autem quinto quoque anno hoc festum Athenienses Cereri Matri et Proserpinæ : et, quisquis vult ipsorum et reliquorum Græcorum, his sacris initiatur; et hoc vocis sono, quem audis, in ejusdem festi solemnibus Iacchum celebrant. » (5) Ad hæc Demaratum dixisse : « Silentium tene, neu alii cuiquam hoc dicas. Quod si enim ad regem deferentur hæc tua verba, capite lues, nec aut ego aut quisquam hominum alius servare te poterit. Quare tu sile : quod autem ad exercitum hunc pertinet, id diis curæ erit. » (6) Hoc sibi Demaratum ait præcepisse : tum vero ex pulvere illo et sonitu ortam esse nubem, quæ in sublime levata, versus Salaminem ad castra Græcorum delata sit. Ita se intellexisse, classem Xerxis perditum iri. Hæc Dicæus, Theocydis filius, referebat, Demaratum aliosque testes citans.

LXVI. Nauticus Xerxis exercitus, postquam ex Trachine, conspecta Laconica strage, in Histiæam rursus trajecerat, tres dies ibi moratus per Euripum navigavit, et aliis tribus diebus Phalerum pervenit. (2) Videnturque mihi hostes, et terra et mari advenientes, non minore hominum numero Athenas invasisse, quam cum quo ad Sepiadem venerant et ad Thermopylas. (3) Eis enim qui tempestate perierunt, et qui ad Thermopylas ceciderunt et in navalibus pugnis ad Artemisium, hos oppono qui tunc nondum secuti regem erant, Malienses, et Dorienses, et Locros, et Bœotos; qui nunc omnibus copiis, exceptis Thespiensibus et Platæensibus, eum sequebantur; ad hæc utique Carystios, et Andrios, et Tenios, reliquosque insularum incolas omnes, præter quinque illas civitates, quarum nomina supra commemoravi. (4) Nam quo magis intro in Græciam progrediebatur Persa, tanto plures eum populi sequebantur.

LXVII. Postquam igitur hi omnes Athenas pervenerant, Pariis exceptis : nam Parii, pone manentes in Cythno, exitum belli exspectabant : reliqui vero ut in Phalerum pervenerunt, ibi tunc Xerxes ipse ad classem descendit, cum navium ducibus cupiens sermones conferre, sententiasque eorum explorare. (2) Eo igitur profectus quum concilio præsideret, aderant convocati populorum regi subjectorum tyranni, et ordinum in classe præfecti, sedentes prout cuique illorum honorem rex tribuerat : primus quidem, Sidonius rex; post hunc Tyrius; tum reliqui. (3) Qui ut ordine deinceps consederant, Mardonium Xerxes misit, qui tenta-

πέμψας Ξέρξης Μαρδόνιον εἰρώτα, ἀποπειρεώμενος ἑκάστου, εἰ ναυμαχίην ποιέοιτο.

LXVIII. Ἐπεὶ δὲ περιιὼν εἰρώτα ὁ Μαρδόνιος ἀρξάμενος ἀπὸ τοῦ Σιδωνίου, οἱ μὲν δὴ ἄλλοι κατὰ τὠυτὸ γνώμην ἐξεφέροντο, κελεύοντες ναυμαχίην ποιέεσθαι, Ἀρτεμισίη δὲ τάδε ἔφη, (1) « εἰπέ μοι πρὸς βασιλέα, Μαρδόνιε, ὡς ἐγὼ τάδε λέγω. (2) Οὔτε κακίστην γενομένην ἐν τῇσι ναυμαχίῃσι τῇσι πρὸς Εὐβοίῃ οὔτε ἐλάχιστα ἀποδεξαμένην, δέσποτα, τὴν ἐοῦσαν γνώμην με δίκαιόν ἐστι ἀποδείκνυσθαι, τὰ τυγχάνω φρονέουσα ἄριστα ἐς πρήγματα τὰ σά. (3) Καί τοι τάδε λέγω, φείδεο τῶν νεῶν μηδὲ ναυμαχίην ποιέεο· οἱ γὰρ ἄνδρες τῶν σῶν ἀνδρῶν κρέσσονες τοσοῦτό εἰσι κατὰ θάλασσαν ὅσον ἄνδρες γυναικῶν. Τί δὲ πάντως δεῖ σε ναυμαχίῃσι ἀνακινδυνεύειν; οὐκ ἔχεις μὲν τὰς Ἀθήνας, τῶν περ εἵνεκεν ὡρμήθης στρατεύεσθαι, ἔχεις δὲ τὴν ἄλλην Ἑλλάδα; (4) ἐμποδὼν δέ τοι ἕσταται οὐδείς· οἳ δέ τοι ἀντέστησαν, ἀπήλλαξαι οὕτω ὡς ἐκείνους ἔπρεπε. (II.) Τῇ δὲ ἐγὼ δοκέω ἀποβήσεσθαι τὰ τῶν ἀντιπολέμων πρήγματα, τοῦτο φράσω. (5) Ἢν μὲν μὴ ἐπειχθῇς ναυμαχίην ποιεύμενος, ἀλλὰ τὰς νέας αὐτοῦ ἔχῃς πρὸς γῇ μένων ἢ καὶ προβαίνων ἐς τὴν Πελοπόννησον, εὐπετέως τοι, δέσποτα, χωρήσει τὰ νοέων ἐλήλυθας. (6) Οὐ γὰρ οἷοί τε πολλὸν χρόνον εἰσί τοι ἀντέχειν οἱ Ἕλληνες, ἀλλά σφεας διασκεδᾷς, κατὰ πόλις δὲ ἕκαστοι φεύξονται. Οὔτε γὰρ σῖτος πάρα σφίσι ἐν τῇ νήσῳ ταύτῃ, ὡς ἐγὼ πυνθάνομαι, οὔτε αὐτοὺς οἰκὸς, ἢν σὺ ἐπὶ τὴν Πελοπόννησον ἐλαύνῃς τὸν πεζὸν στρατὸν, ἀτρεμιέειν τοὺς ἐκεῖθεν αὐτῶν ἥκοντας, οὐδέ σφι μελήσει πρὸ τῶν Ἀθηνέων ναυμαχέειν. (III.) Ἢν δὲ αὐτίκα ἐπειχθῇς ναυμαχῆσαι, δειμαίνω μὴ ὁ ναυτικὸς στρατὸς κακωθεὶς τὸν πεζὸν προσδηλήσηται. (7) Πρὸς δὲ, ὦ βασιλεῦ, καὶ τόδε ἐς θυμὸν βαλεῦ, ὡς τοῖσι μὲν χρηστοῖσι τῶν ἀνθρώπων κακοὶ δοῦλοι φιλέουσι γίνεσθαι, τοῖσι δὲ κακοῖσι χρηστοί. (8) Σοὶ δὲ ἐόντι ἀρίστῳ ἀνδρῶν πάντων κακοὶ δοῦλοι εἰσὶ, οἳ ἐν συμμάχων λόγῳ λέγονται εἶναι ἐόντες Αἰγύπτιοί τε καὶ Κύπριοι καὶ Κίλικες καὶ Πάμφυλοι, τῶν ὄφελός ἐστι οὐδέν. »

LXIX. Ταῦτα λεγούσης πρὸς Μαρδόνιον, ὅσοι μὲν ἔσαν εὔνοοι τῇ Ἀρτεμισίῃ, συμφορὴν ἐποιεῦντο τοὺς λόγους ὡς κακόν τι πεισομένης πρὸς βασιλέος, ὅτι οὐκ ἐᾷ ναυμαχίην ποιέεσθαι, οἱ δὲ ἀγαιόμενοί τε καὶ φθονέοντες αὐτῇ, ἅτε ἐν πρώτοισι τετιμημένης διὰ πάντων τῶν συμμάχων, ἐτέρποντο τῇ ἀνακρίσι ὡς ἀπολεομένης αὐτῆς. (2) Ἐπεὶ δὲ ἀνηνείχθησαν αἱ γνῶμαι ἐς Ξέρξεα, κάρτα τε ἤσθη τῇ γνώμῃ τῆς Ἀρτεμισίης, καὶ νομίζων ἔτι πρότερον σπουδαίην εἶναι τότε πολλῷ μᾶλλον αἴνεε. Ὅμως δὲ τοῖσι πλέοσι πείθεσθαι ἐκέλευε, τάδε καταδόξας, πρὸς μὲν Εὐβοίῃ σφέας ἐθελοκακέειν ὡς οὐ παρεόντος αὐτοῦ, τότε δὲ αὐτὸς παρεσκεύαστο θηήσασθαι ναυμαχέοντας.

LXX. Ἐπεὶ δὲ παρήγγελλον ἀναπλώειν, ἀνῆγον τὰς νέας ἐπὶ τὴν Σαλαμῖνα, καὶ παρεκρίθησαν διατα-

ret singulos interrogaretque, an faciendum esse navale prælium censerent.

LXVIII. Quos ubi Mardonius, initio facto ab Sidonio, circumiens rogavit, communi consensu reliqui omnes pro sententia dixere, faciendum esse prælium navale; una Artemisia hæc verba fecit : (I.) « Dic tu regi, Mardonie, me hæc dicere. (2) Equidem, quæ in pugnis ad Eubœam factis nec ignavissima fui, nec minima facta edidi, domine, par est ut veram meam sententiam edam, dicamque quæ tuis rebus maxime conferre censeo. (3) Atqui hoc dico : parce navibus, neu prælium navale committe. Hi enim viri tuis viris mari tanto sunt superiores, quanto mulieribus viri. Quid autem omnino necesse est ut navalis pugnæ adeas discrimen? annon Athenas tenes, quarum caussa hanc suscepisti expeditionem? annon reliquam quoque Græciam tenes? (4) neque quisquam tibi resistit : nam, qui adhuc restiterunt, hi ita abs te accepti sunt ut commeruere. (II.) Quem vero exitum habituras esse putem res adversariorum, dicam. (5) Si tu non properaveris navalem facere pugnam, sed hic manens ad terram adplicueris naves, aut si in Peloponnesum etiam progredieris; facile tibi, Domine, succedent ea quorum caussa huc venisti. (6) Neque enim diu tibi resistere poterunt Græci, sed disperges eos, et in suas quique civitates profugient. Nec enim commeatus illis, ut ego audio, in hac insula paratus adest : nec verosimile est, si tu adversus Peloponnesum duxeris pedestrem exercitum, tranquillos hic mansuros hos qui ex illa regione venerunt; nec illis curæ erit pro Atheniensibus discrimen navalis prælii adire. (III.) Sin protinus prælium facere maturaveris, vereor ne navalis exercitus male acceptus, pedestri quoque calamitatem sit adlaturus. (7) Ad hæc, rex, hoc etiam cogites velim, bonis viris servos solere esse malos, malis vero bonos. (8) Atqui tibi, viro omnium optimo, mali servi sunt, hi qui in sociorum numero dicuntur esse, nempe Ægyptii, et Cyprii, et Cilices, et Pamphyli, inutiles prorsus homines. »

LXIX. Hæc ubi Artemisia Mardonio dixit, quicumque reginæ favebant, dolebant eam ista locutam, verentes ne malum quoddam ei a rege immineret, quod illum vetuisset navalem pugnam facere : qui vero invidebant ei maleque cupiebant, ut quæ præ reliquis omnibus sociis in honore esset apud regem, judicio illius delectabantur, quippe exitium ei adlaturo. (2) At ut ad Xerxem relatæ sunt sententiæ, admodum gavisus est illius sententia : et, quum jam antea eximiam esse mulierem judicasset, nunc etiam magis eam laudavit. Attamen hac in re pluribus, ait, esse parendum; ratus ad Eubœam sponte suos rem male gessisse, quoniam ipse abfuisset : nunc autem constituerat ipse spectare pugnantes.

LXX. Postquam enavigandi signum datum est, eduxerunt naves Salaminem versus, et per otium explicuerunt

χθέντες κατ' ἡσυχίην· τότε μέν νυν οὐκ ἐξέχρησέ σφι ἡ ἡμέρη ναυμαχίην ποιήσασθαι· νὺξ γὰρ ἐπεγένετο· οἱ δὲ παρεσκευάζοντο ἐς τὴν ὑστεραίην. (2) Τοὺς δὲ Ἕλληνας εἶχε δέος τε καὶ ἀρρωδίη, οὐκ ἥκιστα δὲ τοὺς ἀπὸ Πελοποννήσου. Ἀρρώδεον δὲ, ὅτι αὐτοὶ μὲν ἐν Σαλαμῖνι κατήμενοι ὑπὲρ γῆς τῆς Ἀθηναίων ναυμαχέειν μέλλοιεν, νικηθέντες τε ἐν νήσῳ ἀπολαμφθέντες πολιορκήσονται, ἀπέντες τὴν ἑωυτῶν ἀφύλακτον.

LXXI. Τῶν δὲ βαρβάρων ὁ πεζὸς ὑπὸ τὴν παρεοῦσαν νύκτα ἐπορεύετο ἐπὶ τὴν Πελοπόννησον· καίτοι τὰ δυνατὰ πάντα ἐμεμηχάνητο ὅκως κατ' ἤπειρον μὴ ἐσβάλοιεν οἱ βάρβαροι. (2) Ὡς γὰρ ἐπύθοντο τάχιστα Πελοποννήσιοι τοὺς ἀμφὶ Λεωνίδεα ἐν Θερμοπύλῃσι τετελευτηκέναι, συνδραμόντες ἐκ τῶν πολίων ἐς τὸν Ἰσθμὸν ἷζοντο, καί σφι ἐπῆν στρατηγὸς Κλεόμβροτος ὁ Ἀναξανδρίδεω, Λεωνίδεω δὲ ἀδελφεός. (3) Ἱζόμενοι δὲ ἐν τῷ Ἰσθμῷ καὶ συγχώσαντες τὴν Σκιρωνίδα ὁδὸν, μετὰ τοῦτο ὡς σφι ἔδοξε βουλευομένοισι, οἰκοδόμεον διὰ τοῦ Ἰσθμοῦ τεῖχος. Ἅτε δὲ ἐουσέων μυριάδων πολλέων καὶ παντὸς ἀνδρὸς ἐργαζομένου, ἤνετο τὸ ἔργον· καὶ γὰρ λίθοι καὶ πλίνθοι καὶ ξύλα καὶ φορμοὶ ψάμμου πλήρεες ἐσεφορέοντο, καὶ ἐλίνυον οὐδένα χρόνον οἱ βωθήσαντες ἐργαζόμενοι, οὔτε νυκτὸς οὔτε ἡμέρης.

LXXII. Οἱ δὲ βωθήσαντες ἐς τὸν Ἰσθμὸν πανδημεὶ οἵδε ἦσαν Ἑλλήνων, Λακεδαιμόνιοί τε καὶ Ἀρκάδες πάντες καὶ Ἠλεῖοι καὶ Κορίνθιοι καὶ Σικυώνιοι καὶ Ἐπιδαύριοι καὶ Φλιάσιοι καὶ Τροιζήνιοι καὶ Ἑρμιονέες. (2) Οὗτοι μὲν ἦσαν οἱ βωθήσαντες καὶ ὑπεραρρωδέοντες τῇ Ἑλλάδι κινδυνευούσῃ· τοῖσι δὲ ἄλλοισι Πελοποννησίοισι ἔμελε οὐδέν. Ὀλύμπια δὲ καὶ Κάρνεια παροιχώκεε ἤδη.

LXXIII. Οἰκέει δὲ τὴν Πελοπόννησον ἔθνεα ἑπτά· τούτων δὲ τὰ μὲν δύο αὐτόχθονα ἐόντα κατὰ χώρην ἵδρυται νῦν τῇ καὶ τὸ πάλαι οἰκεον, Ἀρκάδες τε καὶ Κυνούριοι· ἓν δὲ ἔθνος τὸ Ἀχαϊκὸν ἐκ μὲν Πελοποννήσου οὐκ ἐξεχώρησε, ἐκ μέντοι τῆς ἑωυτῶν, οἰκέει δὲ τὴν ἀλλοτρίην. (2) Τὰ δὲ λοιπὰ ἔθνεα τῶν ἑπτὰ τέσσερα ἐπήλυδά ἐστι, Δωριέες τε καὶ Αἰτωλοὶ καὶ Δρύοπες καὶ Λήμνιοι. (3) Δωριέων μὲν πολλαί τε καὶ δόκιμοι πόλιες, Αἰτωλῶν δὲ Ἦλις μούνη, Δρυόπων δὲ Ἑρμιόνη τε καὶ Ἀσίνη ἡ πρὸς Καρδαμύλῃ τῇ Λακωνικῇ, Λημνίων δὲ Παρωρεῆται πάντες. (4) Οἱ δὲ Κυνούριοι αὐτόχθονες ἐόντες δοκέουσι μοῦνοι εἶναι Ἴωνες, ἐκδεδωρίευνται δὲ ὑπό τε Ἀργείων ἀρχόμενοι καὶ τοῦ χρόνου, ἐόντες Ὀρνεῆται καὶ περίοικοι. (5) Τούτων ὦν τῶν ἑπτὰ ἐθνέων αἱ λοιπαὶ πόλιες, πάρεξ τῶν κατέλεξα, ἐκ τοῦ μέσου ἑκατέατο· εἰ δὲ ἐλευθέρως ἔξεστι εἶπαι, ἐκ τοῦ μέσου κατήμενοι ἐμήδιζον.

LXXIV. Οἱ μὲν δὴ ἐν τῷ Ἰσθμῷ τοιούτῳ πόνῳ συνέστασαν, ἅτε περὶ τοῦ παντὸς ἤδη δρόμον θέοντες καὶ τῇσι νηυσὶ οὐκ ἐλπίζοντες ἐλλάμψεσθαι· οἱ δὲ ἐν Σαλαμῖνι ὅμως ταῦτα πυνθανόμενοι ἀρρώδεον, οὐκ οὕτω περὶ σφίσι αὐτοῖσι δειμαίνοντες ὡς περὶ τῇ Πελοποναciem. At tunc quidem non suffecit dies, ut committeretur prælium: nox enim supervenit; et illi in posterum diem sese comparabant. (2) Græcos vero metus incessit et trepidatio, præsertim vero Peloponnesios: angebantur quippe, quod ad Salaminem residentes pro Atheniensium terra essent dimicaturi; ubi si victi essent, in insula interclusi obsiderentur, sua terra sine præsidio relicta.

LXXI. Sub eamdem noctem pedestris barbarorum exercitus adversus Peloponnesum profectus est; quamquam quæcumque excogitari potuerunt effecta erant, ne a continente in Peloponnesum irrumpere barbari possent. (2) Simulatque enim cognoverant Peloponnesii obiisse Leonidam cum suis ad Thermopylas, concursu ex oppidis facto Isthmum occuparunt, et præerat eis ibi Cleombrotus, Anaxandridæ filius, frater Leonidæ. (3) Ad Isthmum igitur considentes, primum Scironidem viam obstruxerunt, deinde de communi consilio murum per Isthmum instituerunt ducere. Quumque multæ essent hominum myriades, quorum quisque manum operi admovit, perficiebatur opus. Nam et lapides et lateres et ligna et corbes sabulo repletæ congerebantur; et sociata opera opus facientes, nullo temporis momento, nec noctu, nec interdiu, cessabant.

LXXII. Qui vero ad muniendum Isthmum operam suam consociarunt Græci, hi fuere: Lacedæmonii et Arcades omnes, et Elei, et Corinthii, et Sicyonii, et Epidaurii, et Phliasii, et Trœzenii, et Hermionenses. (2) Hi sunt qui periclitanti Græciæ vehementer metuentes succurrerunt: reliquis Peloponnesiis nulli curæ ea res fuit. Olympiorum autem et Carneorum jam præterierant solemnia.

LXXIII. Peloponnesum septem incolunt populi. Æorum duo sunt indigenæ; eamdem nunc, quam antiquitus, regionem habitantes, Arcades, et Cynurii: unus populus, Achaicus, Peloponneso quidem non egressus est, sed suam regionem cum alia mutavit. (2) Reliqui quattuor ex illis septem populis, advenæ sunt: Dorienses, Ætoli, Dryopes, et Lemnii. (3) Et Doriensium quidem multæ sunt et illustres civitates: Ætolorum vero sola Elis: Dryopum, Hermione et Asine prope Cardamylen Laconicam: Lemniorum vero, Paroreatæ omnes. (4) Cynurii, indigenæ quum sint, soli feruntur Iones esse; sed in Dorienses mutati sunt, partim quod sub imperio fuerunt Argivorum, partim temporis progressu: sunt autem Orneatæ et horum finitimi. (5) Istorum septem populorum reliquæ civitates, præter eas quas nominavi, neutrarum erant partium: si autem libere loqui licet, dum neutrarum fuere partium, Medis favebant.

LXXIV. Igitur qui ad Isthmum erant, eo quo dixi labore conflictabantur, quippe de summa rerum jam periclitantes, nec sperantes mari præclare admodum gestum iri rem. Et illi ad Salaminem, quamquam quæ ad Isthmum agebantur cognoverant, trepidabant, non tam sibi metuentes,

νήσῳ. (2) Τέως μὲν δὴ αὐτῶν ἀνὴρ ἀνδρὶ παραστὰς σιγῇ λόγον ἐποιέετο, θῶμα ποιεύμενοι τὴν Εὐρυβιάδεω ἀβουλίην· τέλος δὲ ἐξερράγη ἐς τὸ μέσον. (3) Σύλλογός τε δὴ ἐγίνετο, καὶ πολλὰ ἐλέγετο περὶ τῶν αὐτῶν, οἱ μὲν ὡς ἐς τὴν Πελοπόννησον χρεὼν εἴη ἀποπλώειν καὶ περὶ ἐκείνης κινδυνεύειν, μηδὲ πρὸ χώρης δοριαλώτου μένοντας μάχεσθαι, Ἀθηναῖοι δὲ καὶ Αἰγινῆται καὶ Μεγαρέες αὐτοῦ μένοντας ἀμύνασθαι.

LXXV. Ἐνθαῦτα Θεμιστοκλέης ὡς ἐσσοῦτο τῇ γνώμῃ ὑπὸ τῶν Πελοποννησίων, λαθὼν ἐξέρχεται ἐκ τοῦ συνεδρίου, ἐξελθὼν δὲ πέμπει ἐς τὸ στρατόπεδον τὸ Μήδων ἄνδρα πλοίῳ, ἐντειλάμενος τὰ λέγειν χρεών, τῷ οὔνομα μὲν ἦν Σίκιννος, οἰκέτης δὲ καὶ παιδαγωγὸς ἦν τῶν Θεμιστοκλέος παίδων· (2) τὸν δὴ ὕστερον τούτων τῶν πρηγμάτων Θεμιστοκλέης Θεσπιέα τε ἐποίησε, ὡς ἐπεδέκοντο οἱ Θεσπιέες πολιήτας, καὶ χρήμασι ὄλβιον. Ὃς τότε πλοίῳ ἀπικόμενος ἔλεγε πρὸς τοὺς στρατηγοὺς τῶν βαρβάρων τάδε, (3) « ἔπεμψέ με στρατηγὸς ὁ Ἀθηναίων λάθρῃ τῶν ἄλλων Ἑλλήνων (τυγχάνει γὰρ φρονέων τὰ βασιλέος καὶ βουλόμενος μᾶλλον τὰ ὑμέτερα κατύπερθε γίνεσθαι ἢ τὰ τῶν Ἑλλήνων πρήγματα) φράσοντα ὅτι οἱ Ἕλληνες δρησμὸν βουλεύονται καταρρωδηκότες, καὶ νῦν παρέχει κάλλιστον ὑμέας ἔργον ἁπάντων ἐξεργάσασθαι, ἢν μὴ περιίδητε διαδράντας αὐτούς. (4) Οὔτε γὰρ ἀλλήλοισι ὁμοφρονέουσι οὔτ' ἔτι ἀντιστήσονται ὑμῖν, πρὸς ἑωυτούς τε σφέας ὄψεσθε ναυμαχέοντας τοὺς τὰ ὑμέτερα φρονέοντας καὶ τοὺς μή. » Ὁ μὲν ταῦτά σφι σημήνας ἐκποδὼν ἀπηλλάσσετο.

LXXVI. Τοῖσι δὲ ὡς πιστὰ ἐγίνετο τὰ ἀγγελθέντα, τοῦτο μὲν ἐς τὴν νησῖδα τὴν Ψυττάλειαν, μεταξὺ Σαλαμῖνός τε κειμένην καὶ τῆς ἠπείρου, πολλοὺς τῶν Περσέων ἀπεβίβασαν, τοῦτο δέ, ἐπειδὴ ἐγίνοντο μέσαι νύκτες, ἀνῆγον μὲν τὸ ἀπ' ἑσπέρης κέρας κυκλούμενοι πρὸς τὴν Σαλαμῖνα, ἀνῆγον δὲ οἱ ἀμφὶ τὴν Κέον τε καὶ τὴν Κυνόσουραν τεταγμένοι, κατεῖχόν τε μέχρι Μουνυχίης πάντα τὸν πορθμὸν τῇσι νηυσί. (2) Τῶνδε δὲ εἵνεκεν ἀνῆγον τὰς νέας, ἵνα δὴ τοῖσι Ἕλλησι μηδὲ φυγέειν ἐξῇ, ἀλλ' ἀπολαμφθέντες ἐν τῇ Σαλαμῖνι δοῖεν τίσιν τῶν ἐπ' Ἀρτεμισίῳ ἀγωνισμάτων. (3) Ἐς δὲ τὴν νησῖδα τὴν Ψυττάλειαν καλευμένην ἀπεβίβαζον τῶν Περσέων τῶνδε εἵνεκεν, ὡς ἐπὰν γένηται ναυμαχίη, ἐνθαῦτα μάλιστα ἐξοισομένων τῶν τε ἀνδρῶν καὶ τῶν ναυηγίων (ἐν γὰρ δὴ πόρῳ τῆς ναυμαχίης τῆς μελλούσης ἔσεσθαι ἐκέετο ἡ νῆσος), ἵνα τοὺς μὲν περιποιέωσι, τοὺς δὲ διαφθείρωσι. (4) Ἐποίευν δὲ σιγῇ ταῦτα, ὡς μὴ πυνθανοίατο οἱ ἐναντίοι. Οἱ μὲν δὴ ταῦτα τῆς νυκτὸς οὐδὲν ἀποκοιμηθέντες παρατέοντο.

LXXVII. Χρησμοῖσι δὲ οὐκ ἔχω ἀντιλέγειν ὡς οὐκ εἰσὶ ἀληθέες, οὐ βουλόμενος ἐναργέως λέγοντας πειρᾶσθαι καταβάλλειν, ἐς τοιάδε πρήγματα ἐσβλέψας.

Ἀλλ' ὅταν Ἀρτέμιδος χρυσαόρου ἱερὸν ἀκτὴν
νησὶ γεφυρώσωσι καὶ εἰναλίην Κυνόσουραν,
ἐλπίδι μαινομένῃ λιπαρὰς πέρσαντες Ἀθήνας,

quam Peloponneso. (2) Et aliquantisper quidem vir viro adstans tacite inter se sermones conferebant, imprudens mirans Eurybiadis consilium : ad extremum vero in publicum res erupit; (3) et coiit concilium, multaque verba eisdem de rebus jactabantur; dicentibus aliis, necessario ad Peloponnesum esse navigandum, et pro illa propugnandum, nec ad regionem ab hoste captam manendum, et pro illa dimicandum; Atheniensibus vero et Æginetis et Megarensibus contendentibus, eo loci manendum et cum hoste confligendum.

LXXV. Ibi tunc Themistocles, quum vinceret sententia Peloponnesiorum, clanculum concilio egressus, hominem navigio in castra misit Medorum, edoctum quod dicere oporteret. Nomen homini Sicinnus fuit : erat autem servus et filiorum pædagogus Themistoclis; (2) quem post has res gestas Themistocles, quo tempore Thespienses novos cooptarunt cives, Thespiensem fecit, et divitiis oneravit. Is ubi navigio illuc pervenit, apud duces barbarorum hæc verba fecit : (3) « Misit me dux Atheniensium clam reliquis Græcis; favet enim ille regis partibus, cupitque ut res vestræ rebus Græcorum sint superiores; misit me autem qui vobis nunciarem, fugam meditari Græcos, metu perculsos. Nunc igitur in promptu vobis est rem conficere longe præclarissimam, si non commiseritis ut illi fuga dilabantur. (4) Nam nec inter se sunt concordes, nec amplius vobis resistent; sed adversus se invicem pugnantes videbitis hos qui vobiscum sentiunt et eos qui contra. » Et hic quidem, his dictis, e vestigio discessit.

LXXVI. Illi vero, fidem nuncio adhibentes, primum in Psyttaleam, parvam insulam inter Salaminem et continentem sitam, magnum numerum Persarum exposuerunt : deinde, sub mediam noctem evecti sunt Salaminem versus ad intercludendum qui cornu occidentem spectans tenebant; simulque, qui ad Ceon et Cynosuram erant locati, evecti sunt, et universum fretum usque ad Munychiam occuparunt. (2) Evecti autem his navibus sunt eo consilio, quo fuga elabi non possent Græci, sed ad Salaminem circumventi pœnas darent præliorum ad Artemisium factorum. (3) In exiguam vero illam insulam, cui Psyttalea nomen, idoneum Persarum numerum exposuerunt hoc consilio, ut, quoniam prælio facto navali et homines et naufragia huc maxime delatum iri videbantur (sita enim insula erat in freto ubi pugna erat facienda), ibi suos servarent, hostes vero interficerent. (4) Silentio autem hæc omnia fecerunt, ne animadverterent adversarii : et per totam noctem, nulla quiete sumpta, in hoc adparatu fuere occupati.

LXXVII. In has res tales equidem intuens, negare non possum vera esse oracula huc spectantia; nec rejicere conabor manifeste loquentia.

At quum sacrum Dianæ littus aureo-ense-instructæ
navibus velut ponte straverint et mari-cinctam Cynosuram insana spe vastatis splendidis Athenis; [ram,

δῖα Δίκη σβέσσει κρατερὸν Κόρον, Ὕβριος υἱὸν,
δεινὸν μαιμώοντα, δοκεῦντ' ἀνὰ πάντα πιθέσθαι.
Χαλκὸς γὰρ χαλκῷ συμμίξεται, αἵματι δ' Ἄρης
πόντον φοινίξει. Τότ' ἐλεύθερον Ἑλλάδος ἦμαρ
εὐρύοπα Κρονίδης ἐπάγει καὶ πότνια Νίκη.

(2) Ἐς τοιαῦτα μὲν καὶ οὕτω ἐναργέως λέγοντι Βάκιδι ἀντιλογίης χρησμῶν πέρι οὔτε αὐτὸς λέγειν τολμέω οὔτε παρ' ἄλλων ἐνδέκομαι.

LXXVIII. Τῶν δὲ ἐν Σαλαμῖνι στρατηγῶν ἐγίνετο ὠθισμὸς λόγων πολλός. Ἤδεσαν δὲ οὐκω ὅτι σφέας περιεχυκλέοντο τῇσι νηυσὶ οἱ βάρβαροι, ἀλλ' ὥσπερ τῆς ἡμέρης ὥρεον αὐτοὺς τεταγμένους, ἐδόκεον κατὰ χώρην εἶναι.

LXXIX. Συνεστηκότων δὲ τῶν στρατηγῶν ἐξ Αἰγίνης διέβη Ἀριστείδης ὁ Λυσιμάχου, ἀνὴρ Ἀθηναῖος μὲν, ἐξωστρακισμένος δὲ ὑπὸ τοῦ δήμου· τὸν ἐγὼ νενόμικα, πυνθανόμενος αὐτοῦ τὸν τρόπον, ἄριστον ἄνδρα γενέσθαι ἐν Ἀθήνῃσι καὶ δικαιότατον. (2) Οὗτος ὢνὴρ στὰς ἐπὶ τὸ συνέδριον ἐξεκαλέετο Θεμιστοκλέα, ἐόντα μὲν ἑωυτῷ οὐ φίλον, ἐχθρὸν δὲ τὰ μάλιστα· ὑπὸ δὲ μεγάθεος τῶν παρεόντων κακῶν λήθην ἐκείνων ποιεύμενος ἐξεκαλέετο, θέλων αὐτῷ συμμῖξαι. (3) Προακηκόεε δὲ ὅτι σπεύδοιεν οἱ ἀπὸ Πελοποννήσου ἀνάγειν τὰς νέας πρὸς τὸν Ἰσθμόν. Ὡς δὲ ἐξῆλθέ οἱ Θεμιστοκλέης, ἔλεγε Ἀριστείδης τάδε, « ἡμέας στασιάζειν χρεών ἐστι ἔν τε τῷ ἄλλῳ καιρῷ καὶ δὴ καὶ ἐν τῷδε περὶ τοῦ ὁκότερος ἡμέων πλέω ἀγαθὰ τὴν πατρίδα ἐργάσεται. (4) Λέγω δέ τοι ὅτι ἴσον ἐστὶ πολλά τε καὶ ὀλίγα λέγειν περὶ ἀποπλόου τοῦ ἐνθεῦτεν Πελοποννησίοισι. Ἐγὼ γὰρ αὐτόπτης τοι λέγω γενόμενος ὅτι νῦν οὐδ' ἢν ἐθέλωσι Κορίνθιοί τε καὶ αὐτὸς Εὐρυβιάδης οἷοί τε ἔσονται ἐκπλῶσαι· περιεχόμεθα γὰρ ὑπὸ τῶν πολεμίων κύκλῳ. Ἀλλ' ἐσελθὼν σφι ταῦτα σήμηνον. »

LXXX. Ὁ δ' ἀμείβετο τοισίδε, « κάρτα τε χρηστὰ διακελεύεαι καὶ εὖ ἤγγειλας· τὰ γὰρ ἐγὼ ἐδεόμην γενέσθαι, αὐτὸς αὐτόπτης γενόμενος ἥκεις. Ἴσθι γὰρ ἐξ ἐμέο τὰ ποιεύμενα ὑπὸ Μήδων· ἔδεε γὰρ, ὅτε οὐκ ἑκόντες ἤθελον ἐς μάχην κατίστασθαι οἱ Ἕλληνες, ἀέκοντας παραστήσασθαι. (2) Σὺ δὲ ἐπεί περ ἥκεις χρηστὰ ἀπαγγέλλων, αὐτός σφι ἄγγειλον. Ἦν γὰρ ἐγὼ αὐτὰ λέγω, δόξω πλάσας λέγειν καὶ οὐ πείσω ὡς οὐ ποιεύντων τῶν βαρβάρων ταῦτα. Ἀλλά σφι σήμηνον αὐτὸς παρελθὼν ὡς ἔχει. Ἐπεὰν δὲ σημήνῃς, ἢν μὲν πείθωνται, ταῦτα δὴ τὰ κάλλιστα, ἢν δὲ αὐτοῖσι μὴ πιστὰ γένηται, ὁμοίον ἡμῖν ἔσται· οὐ γὰρ ἔτι διαδρήσονται, εἴ περ περιεχόμεθα πανταχόθεν, ὡς σὺ λέγεις. »

LXXXI. Ταῦτα ἔλεγε παρελθὼν ὁ Ἀριστείδης, φάμενος ἐξ Αἰγίνης τε ἥκειν καὶ μόγις ἐκπλῶσαι λαθὼν τοὺς ἐπορμέοντας· περιέχεσθαι γὰρ πᾶν τὸ στρατόπεδον τὸ Ἑλληνικὸν ὑπὸ τῶν νεῶν τῶν Ξέρξεω· παραρτέεσθαί τε συνεβούλευε ὡς ἀλεξησομένους. Καὶ ὁ μὲν ταῦτα εἶπας μετεστήκεε, τῶν δὲ αὖτις ἐγίνετο λόγων ἀμφισβασίη· οἱ γὰρ πλεῦνες τῶν στρατηγῶν οὐκ ἐπείθοντο τὰ ἐξαγγελθέντα.

LXXXII. Ἀπιστεόντων δὲ τούτων ἦκε τριήρης ἀν-

tum diva Vindicta exstinguet minacem Satietatem, Con-[tumeliæ filiam,
dire furentem, omnia conantem ad se trahere,
Æs enim æri miscebitur, et sanguine Mavors
pontum rubefaciet. Tunc libertatis diem Græciæ
reddet late-cernens Saturnius et alma Victoria.

(2) Ad hæc talia, et adversus ita clare loquentem Bacidem, nec ego contradicendi oraculis caussa quidquam dicere audeo, nec ab aliis dictum admitto.

LXXVIII. Jam inter duces ad Salaminem gravis exsistebat sermonum contentio. Necdum vero illi noverant, undique inclusos se esse a barbaris; sed, ut illos interdiu locatos viderant, ita eodem in loco mansisse eos putabant.

LXXIX. Dum inter se altercantur duces; interim ex Ægina trajecerat Aristides, Lysimachi filius, civis quidem Atheniensis, sed ostracismo damnatus a populo, quem ego, ut ejus mores accepi, optimum Athenis virum justissimumque fuisse judico. (2) Hic vir, stans ad introitum concilii, evocari ad se jussit Themistoclem, qui non ei amicus, sed quam maxime inimicus erat; verum ob præsentium gravitatem malorum oblitus inimicitiarum, ad se vocari illum jussit, colloqui cum eo cupiens: (3) antea audiverat autem, id urgere Peloponnesios ut ad Isthmum abducatur classis. Postquam egressus est Themistocles, his verbis eum Aristides adloquitur: « Debemus nos et alias et nimirum nunc maxime de hoc inter nos contendere, uter nostrûm majora commoda patriæ sit adlaturus. (4) Dico vero tibi, perinde esse, multa an pauca verba facias ad Peloponnesios classem hinc abducere cupientes. Ego enim ocularis te stis tibi aio, nullam nunc, ne si velint quidem, facultatem esse Corinthiis et ipsi Eurybiadi enavigandi; undique enim circumclusi sumus ab hostibus. At tu i intro, et hoc illis nuncia. »

LXXX. Sic ille; cui Themistocles respondit: « Et rectis sime tu mones; et bonum utique adfers nuncium: nam, quod ego ut fieret cupiveram, id tu factum esse testis ocularis nuncias. Scito enim, a me monitos fecisse hoc Medos: quandoquidem enim sponte noluerunt Græci prælio decernere, necesse fuit ut inviti cogerentur. (2) At tu, quoniam huc venisti bonum nuncium adferens, ipse illis nuncia. Nam si ego hæc dixero, videbor illis ficta loqui, neque eis persuadebo factum hoc esse a barbaris. Sed tu eos adi; et ipse illis, ut res habet, indica. Quod ubi tu indicaveris, si illi persuasi fuerint, tum quidem optime res habebit; sin dictis tuis non adhibuerint fidem, perinde nobis erit: etenim non amplius aufugient, si, ut tu ais, undique cincti sumus ab hostibus. »

LXXXI. Igitur in concilium ingressus Aristides rem nunciat, dicens, se ex Ægina venire, et per hostium naves in statione locatas ægre pervasisse latentem; nam universam Græcorum classem a Persarum navibus esse circumventam: quare se illis consulere, ut ad propulsandum hostem sese comparent. His dictis, ille discessit; inter hos vero rursus orta est sermonum disceptatio: plerique enim ex ducibus fidem nuncio non adhibuerunt.

LXXXII. Dum hi ita increduli sunt, advenit triremis

δρῶν Τηνίων αὐτομολέουσα, τῆς ἦρχε ἀνὴρ Παναίτιος ὁ Σωσιμένεος, ἥπερ δὴ ἔφερε τὴν ἀλήθειαν πᾶσαν. Διὰ δὲ τοῦτο τὸ ἔργον ἐνεγράψαντο Τήνιοι ἐν Δελφοῖσι ἐς τὸν τρίποδα ἐν τοῖσι τὸν βάρβαρον κατελοῦσι. (2) Σὺν δὲ ὧν ταύτῃ τῇ νηῒ τῇ αὐτομολησάσῃ ἐς Σαλαμῖνα καὶ τῇ πρότερον ἐπ' Ἀρτεμίσιον τῇ Λημνίῃ ἐξεπληροῦτο τὸ ναυτικὸν τοῖσι Ἕλλησι ἐς τὰς ὀγδώκοντα καὶ τριηκοσίας νέας· δύο γὰρ δὴ νεῶν τότε κατέδεε ἐς τὸν ἀριθμόν.

LXXXIII. Τοῖσι δὲ Ἕλλησι ὡς πιστὰ δὴ τὰ λεγόμενα ἦν τῶν Τηνίων ῥήματα, παρεσκευάζοντο ὡς ναυμαχήσοντες. Ἠώς τε δὴ διέφαινε, καὶ οἱ σύλλογον τῶν ἐπιβατέων ποιησάμενοι, προηγόρευε εὖ ἔχοντα μὲν ἐκ πάντων Θεμιστοκλέης, τὰ δὲ ἔπεα ἦν πάντα κρέσσω τοῖσι ἔσσοσι ἀντιτιθέμενα. (2) Ὅσα δὲ ἐν ἀνθρώπου φύσι καὶ καταστάσι ἐγγίνεται, παραινέσας δὴ τούτων τὰ κρέσσω αἱρέεσθαι, καὶ καταπλέξας τὴν ῥῆσιν, ἐσβαίνειν ἐκέλευε ἐς τὰς νέας. (3) Καὶ οὗτοι μὲν δὴ ἐσέβαινον, καὶ ἦκε ἡ ἀπ' Αἰγίνης τριήρης, ἡ κατὰ τοὺς Αἰακίδας ἀπεδήμησε. Ἐνθαῦτα ἀνῆγον τὰς νέας ἁπάσας οἱ Ἕλληνες.

LXXXIV. Ἀναγομένοισι δέ σφι αὐτίκα ἐπεκέατο οἱ βάρβαροι. Οἱ μὲν δὴ ἄλλοι Ἕλληνες [ἐπὶ] πρύμνην ἀνεκρούοντο καὶ ὤκελλον τὰς νέας, Ἀμεινίης δὲ Παλληνεὺς ἀνὴρ Ἀθηναῖος ἐξαναχθεὶς νηῒ ἐμβάλλει. (2) Συμπλακείσης δὲ τῆς νεὸς καὶ οὐ δυναμένων ἀπαλλαγῆναι, οὕτω δὴ οἱ ἄλλοι Ἀμεινίῃ βωθέοντες συνέμισγον. Ἀθηναῖοι μὲν οὕτω λέγουσι γενέσθαι τῆς ναυμαχίης τὴν ἀρχήν, Αἰγινῆται δὲ τὴν κατὰ τοὺς Αἰακίδας ἀποδημήσασαν ἐς Αἴγιναν, ταύτην εἶναι τὴν ἄρξασαν. (3) Λέγεται δὲ καὶ τάδε, ὡς φάσμα σφι γυναικὸς ἐφάνη, φανεῖσαν δὲ διακελεύσασθαι ὥστε καὶ ἅπαν ἀκοῦσαι τὸ τῶν Ἑλλήνων στρατόπεδον, ὀνειδίσασαν πρότερον τάδε, « ὦ δαιμόνιοι, μέχρι κόσου ἔτι πρύμνην ἀνακρούεσθε; »

LXXXV. Κατὰ μὲν δὴ Ἀθηναίους ἐτετάχατο Φοίνικες (οὗτοι γὰρ εἶχον τὸ πρὸς Ἐλευσῖνός τε καὶ ἑσπέρης κέρας), κατὰ δὲ Λακεδαιμονίους Ἴωνες· οὗτοι δὲ εἶχον τὸ πρὸς τὴν ἠῶ τε καὶ τὸν Πειραιέα. Ἠθελοκάκεον μέντοι αὐτῶν κατὰ τὰς Θεμιστοκλέος ἐντολὰς ὀλίγοι, οἱ δὲ πλεῦνες οὔ. (2) Ἔχω μέν νυν συχνῶν οὐνόματα τριηράρχων καταλέξαι τῶν νέας Ἑλληνίδας ἑλόντων, χρήσομαι δὲ αὐτοῖσι οὐδὲν πλὴν Θεομήστορός τε τοῦ Ἀνδροδάμαντος καὶ Φυλάκου τοῦ Ἱστιαίου, Σαμίων ἀμφοτέρων. (3) Τοῦδε δὲ εἵνεκεν μέμνημαι τούτων μούνων, ὅτι Θεομήστωρ μὲν διὰ τοῦτο τὸ ἔργον Σάμου ἐτυράννευσε καταστησάντων τῶν Περσέων, Φύλακος δὲ εὐεργέτης βασιλέος ἀνεγράφη καὶ χώρη οἱ ἐδωρήθη πολλή. Οἱ δ' εὐεργέται βασιλέος ὁροσάγγαι καλεῦνται Περσιστί. Περὶ μέν νυν τούτους οὕτω εἶχε.

LXXXVI. Τὸ δὲ πλῆθος τῶν νεῶν ἐν τῇ Σαλαμῖνι ἐκεραίζετο, αἱ μὲν ὑπ' Ἀθηναίων διαφθειρόμεναι, αἱ δὲ ὑπ' Αἰγινητέων. Ἅτε γὰρ τῶν μὲν Ἑλλήνων

transfuga Teniorum, cui præerat civis Tenius Panætius, Sosimenis filius; quæ omnem veritatem attulit. Quod quidem ob factum Delphis in tripode nomen Teniorum inscriptum est in eorum populorum nominibus qui Barbarum debellarunt. (2) Hac igitur navi, quæ ad Salaminem ab hoste transfugit, simul cum Lemnia navi quæ antea ad Artemisium transfugerat, completus est numerus navium, quibus usi sunt Græci, ut trecentæ et octoginta confierent; ad quem explendum numerum duæ naves prius defuerant.

LXXXIII. Postquam Teniorum verba fidem fecere Græcis, tum demum ad navalem pugnam sese hi compararunt, et prima luce cœtum coegerunt propugnatorum. Ibi tunc præ cæteris ducibus Themistocles bene apud suos pro concione verba fecit; cujus in eo vertebatur oratio, ut meliora quæque pejoribus opponeret, (2) hortareturque, ut, quæcumque in hominis naturam et conditionem caderent, ex his eligerent optima. Postquam dicendi finem fecit, conscendere naves suos jussit. (3) Qui dum conscendunt, adfuit ex Ægina triremis quæ ad deducendos Æacidas missa erat: tum deinde navibus omnibus evecti sunt Græci.

LXXXIV. Quos in altum evectos tanto protinus impetu adgressi sunt barbari, ut cæteri Græci omnes in puppim remigarent, et terræ admoverent naves. Unus Aminias, Atheniensis civis, Pallenensis, longius evectus, navem hostilem rostro petiit. (2) Cujus navis quum alteri implicita hæreret, nec inde divelli posset; ita demum cæteri, auxilio venientes Aminiæ, prælium commiserunt. Id quidem fuisse navalis pugnæ initium memorant Athenienses: Æginetæ vero illam navem, aiunt, pugnæ initium fecisse, quæ Æginam ad advehendos Æacidas fuerat missa. (3) Narratur hoc etiam, adparuisse Græcis speciem mulieris, quæ illos, ita ut universus exaudiret exercitus, ad fortiter pugnandum hortata sit, increpatos prius his verbis, « Miseri! quousque in puppim remigabitis. »

LXXXV. Contra Athenienses locati Phœnices erant; hi enim cornu obtinebant Eleusinem et occidentem spectans: contra Lacedæmonios vero Iones, qui in altero cornu versus orientem et Piræeum erant. Et horum quidem pauci, ut monuerat eos Themistocles, de industria cessarunt; major pars vero strenue pugnabat. (2) Possem sane multorum nomina trierarchorum edere, qui Græcas naves ceperunt: nec vero eos memorabo, nisi Theomestorem Androdamantis filium, et Phylacum Histiæi, Samium utrumque. (3) Horum autem solorum ea caussa facio mentionem, quod Theomestor ob hanc rem gestam Sami tyrannus a Persis est constitutus; Phylacus vero eorum numero qui bene de rege meruerunt adscriptus est, et amplus terræ tractus eidem donatus. Orosangæ Persico sermone vocantur bene de rege meriti. Ac de his quidem ita res habet.

LXXXVI. Major vero numerus hostilium navium in hac ad Salaminem pugna periit; aliæ ab Atheniensibus corruptæ, aliæ ab Æginetis. Nam quum Græci ordine et justa

σὺν κόσμῳ ναυμαχεόντων κατὰ τάξιν, τῶν δὲ βαρβάρων οὐ τεταγμένων ἔτι οὔτε σὺν νόῳ ποιεῦντων οὐδέν, ἔμελλε τοιοῦτό σφι συνοίσεσθαι οἷόν περ ἀπέβη. (2) Καίτοι ἔσαν γε καὶ ἐγένοντο ταύτην τὴν ἡμέρην μαχρῷ ἀμείνονες αὐτοὶ ἑωυτῶν ἢ πρὸς Εὐβοίῃ, πᾶς τις προθυμεόμενος καὶ δειμαίνων Ξέρξεα, ἐδόκεέ τε ἕκαστος ἑωυτὸν θηήσεσθαι βασιλέα.

LXXXVII. Κατὰ μὲν δὴ τοὺς ἄλλους οὐκ ἔχω μετεξετέρους εἶπαι ἀτρεκέως ὡς ἕκαστοι τῶν βαρβάρων ἢ τῶν Ἑλλήνων ἠγωνίζοντο· κατὰ δὲ Ἀρτεμισίην τάδε ἐγένετο, ἀπ' ὧν εὐδοκίμησε μᾶλλον ἔτι παρὰ βασιλέϊ. (2) Ἐπειδὴ γὰρ ἐς θόρυβον πολλὸν ἀπίκετο τὰ βασιλέος πρήγματα, ἐν τούτῳ τῷ καιρῷ ἡ νηῦς ἡ Ἀρτεμισίης ἐδιώκετο ὑπὸ νεὸς Ἀττικῆς· καὶ ἡ οὐκ ἔχουσα διαφυγέειν, ἐμπροσθε γὰρ αὐτῆς ἔσαν ἄλλαι νέες φίλιαι, ἡ δὲ αὐτῆς πρὸς τῶν πολεμίων μάλιστα ἐτύγχανε ἐοῦσα, ἔδοξέ οἱ τόδε ποιῆσαι, τὸ καὶ συνήνεικε ποιησάσῃ· διωκομένη γὰρ ὑπὸ τῆς Ἀττικῆς φέρουσα ἐνέβαλε νηῒ φιλίῃ ἀνδρῶν τε Καλυνδέων καὶ αὐτοῦ ἐπιπλώοντος τοῦ Καλυνδέων βασιλέος Δαμασιθύμου. (3) Εἰ μὲν καί τι νεῖκος πρὸς αὐτὸν ἐγεγόνεε ἔτι περὶ Ἑλλήσποντον ἐόντων, οὐ μέν τοι ἔγωγε ἔχω εἶπαι, οὔτε εἰ ἐκ προνοίης αὐτὰ ἐποίησε, οὔτε εἰ συνεκύρησε ἡ τῶν Καλυνδέων κατὰ τύχην παραπεσοῦσα νηῦς. Ὡς δὲ ἐνέβαλέ τε καὶ κατέδυσε, εὐτυχίῃ χρησαμένη διπλόα ἑωυτὴν ἀγαθὰ ἐργάσατο. (4) Ὁ τε γὰρ τῆς Ἀττικῆς νεὸς τριήραρχος ὡς εἶδέ μιν ἐμβάλλουσαν νηῒ ἀνδρῶν βαρβάρων, νομίσας τὴν νέα τὴν Ἀρτεμισίης ἢ Ἑλληνίδα εἶναι ἢ αὐτομολέειν ἐκ τῶν βαρβάρων καὶ αὐτοῖσι ἀμύνειν, ἀποστρέψας πρὸς ἄλλας ἐτράπετο.

LXXXVIII. Τοῦτο μὲν τοιοῦτο αὐτῇ συνήνεικε γενέσθαι διαφυγέειν τε καὶ μὴ ἀπολέσθαι, τοῦτο δὲ συνέβη ὥστε κακὸν ἐργασαμένην ἀπὸ τούτων αὐτὴν μάλιστα εὐδοκιμῆσαι παρὰ Ξέρξῃ. (2) Λέγεται γὰρ βασιλέα θηεύμενον μαθέειν τὴν νέα ἐμβαλοῦσαν, καὶ δή τινα εἶπαι τῶν παρεόντων, « δέσποτα, ὁρᾷς Ἀρτεμισίην, ὡς εὖ ἀγωνίζεται καὶ νέα τῶν πολεμίων κατέδυσε; » (3) καὶ τὸν ἐπείρεσθαι εἰ ἀληθέως ἐστὶ Ἀρτεμισίης τὸ ἔργον, καὶ τοὺς φάναι, σαφέως τὸ ἐπίσημον τῆς νεὸς ἐπισταμένους· τὴν δὲ διαφθαρεῖσαν ἠπιστέατο εἶναι πολεμίην. (4) Τά τε γὰρ ἄλλα, ὡς εἴρηται, αὐτῇ συνήνεικε ἐς εὐτυχίην γενόμενα, καὶ τὸ τῶν ἐκ τῆς Καλυνδικῆς νεὸς μηδένα ἀποσωθέντα κατήγορον γενέσθαι. (5) Ξέρξεα δὲ εἶπαι λέγεται πρὸς τὰ φραζόμενα, « οἱ μὲν ἄνδρες γεγόνασί μοι γυναῖκες, αἱ δὲ γυναῖκες ἄνδρες. » Ταῦτα μὲν Ξέρξεα φασὶ εἶπαι.

LXXXIX. Ἐν δὲ τῷ πόνῳ τούτῳ ἀπὸ μὲν ἔθανε ὁ στρατηγὸς Ἀριαβίγνης ὁ Δαρείου, Ξέρξεω ἐὼν ἀδελφεὸς, ἀπὸ δὲ ἄλλοι πολλοί τε καὶ οὐνομαστοὶ Περσέων καὶ Μήδων καὶ τῶν ἄλλων συμμάχων, ὀλίγοι δέ τινες καὶ Ἑλλήνων· ἅτε γὰρ νέειν ἐπιστάμενοι, τοῖσι αἱ νέες διεφθείροντο, καὶ μὴ ἐν χειρῶν νόμῳ ἀπολλύμενοι, ἐς τὴν Σαλαμῖνα διένεον. (2) Τῶν δὲ βαρβάρων οἱ acie pugnarent, barbari vero necdum satis ordinati fuissent, neque recto consilio quidquam gererent, debuit id fere ipsum evenire quod accidit: (2) quamquam eo die longe fortiores fuerunt seseque præstiterunt quam ad Eubœam, quum unusquisque formidine Xerxis studium omne adhiberet; quisque enim se spectatum iri a rege existimabat.

LXXXVII. Jam, quod ad alios attinet, quo pacto singuli nonnulli barbarorum aut Græcorum pugnaverint, non possum pro comperto referre: sed ad Artemisiam quod spectat, hæc gesta sunt, unde illa magis etiam regi adprobata est. (2) Postquam magno tumultu res regis misceri cœperant, per id tempus navem Artemisiæ persequebatur navis Attica. Et illa, quum effugere non posset, quoniam ante eam multæ aliæ sociæ naves erant, ipsius autem navis hostibus erat proxima, hoc consilium cepit, quod etiam eventu utilissimum ei fuit. Quum enim instaret illi Attica navis, ipsa capto impetu in sociam navem impegit, qua Calyndenses viri vehebantur cum rege Calyndensium Damasithymo. (3) Cum quo an ei antea, quum adhuc ad Hellespontum fuissent, altercatio quædam intercesserit, confirmare equidem non possum, nec utrum consulto id fecerit, an casu tunc maxime Calydensium illa navis ei fuerit objecta. Ut vero in illam impegit, eamque depressit, singulari felicitate usa, duplex inde commodum retulit. (4) Nam Atticæ navis trierarchus, ubi illam vidit in navem hominum barbarorum fecere impetum, ratus Artemisiæ navem aut esse Græcanicam, aut a barbaris ad Græcos transfugere et ipsis succurrere, omissa illa, alias barbarorum naves petiit.

LXXXVIII. Itaque hoc primum illa commodum consecuta est, ut salva evaserit: insuper vero eidem contigit, ut, quum damno adfecisset Xerxem, ob id ipsum factum maxime ab eodem laudaretur. (2) Aiunt enim, quum pugnam rex spectaret, animadvertisse eum hanc navem in alteram impingentem: quumque adstantium aliquis ei dixisset, « Vides, domine, quam fortiter Artemisia pugnet, quæ navem hostilem depressit! » (3) quæsisse illum, verene sit hoc Artemisiæ factum? Cui illos respondisse, plane se nosse navis insigne. Existimabant hi autem hostilem esse navem, quam illa depressisset. (4) Nam et alia, ut dictum est, feliciter ei cesserant, et hoc, quod ex Calyndica navi nemo unus salvus evaserit, qui accusare illam potuisset. (5) Itaque Xerxes ad ea, quæ ei ab his dicta erant, hoc verbum edidisse fertur: « Viri mihi facti sunt mulieres; mulieres vero, viri. » Hoc a Xerxe dictum memoratur.

LXXXIX. In hoc autem prælio occubuit dux Ariabignes, Darii filius, frater Xerxis: occubuere item alii multi illustres viri ex Persis Medisque et ex eorum sociis: ex Græcis vero pauci quidam. Hi enim quum essent natandi periti, si quæ eorum navis periit, quotquot non in manuum conflictu ceciderunt, ad Salaminem enatarunt: (2) at barbarorum plerique, natandi imperiti, in mari periere. Et

πολλοὶ ἐν τῇ θαλάσσῃ διεφθάρησαν, νέειν οὐκ ἐπιστάμενοι. Ἐπεὶ δὲ αἱ πρῶται ἐς φυγὴν ἐτράποντο, ἐνθαῦτα αἱ πλεῖσται διεφθείροντο· οἱ γὰρ ὄπισθε τεταγμένοι, ἐς τὸ πρόσθε τῇσι νηυσὶ παριέναι πειρεώμενοι ὡς ἀποδεξόμενοί τι καὶ αὐτοὶ ἔργον βασιλέϊ, τῇσι σφετέρῃσι νηυσὶ φευγούσῃσι περιέπιπτον.

XC. Ἐγένετο δὲ καὶ τόδε ἐν τῷ θορύβῳ τούτῳ. Τῶν τινὲς Φοινίκων, τῶν αἱ νέες διεφθάρατο, ἐλθόντες παρὰ βασιλέα διέβαλλον τοὺς Ἴωνας, ὡς δι' ἐκείνους ἀπολοίατο αἱ νέες, ὡς προδόντων. (2) Συνήνεικε ὧν οὕτω ὥστε Ἰώνων τε τοὺς στρατηγοὺς μὴ ἀπολέσθαι, Φοινίκων τε τοὺς διαβάλλοντας λαβέειν τοιόνδε μισθόν. Ἔτι τούτων ταῦτα λεγόντων ἐνέβαλε νηὶ Ἀττικῇ Σαμοθρηϊκίῃ νηῦς. (3) Ἡ τε δὴ Ἀττικὴ κατεδύετο, καὶ ἐπιφερομένη Αἰγιναίη νηῦς κατέδυσε τῶν Σαμοθρηίκων τὴν νέα. Ἅτε δὴ ἐόντες ἀκοντισταὶ οἱ Σαμοθρήϊκες τοὺς ἐπιβάτας ἀπὸ τῆς καταδυσάσης νεὸς βάλλοντες ἀπήραξαν καὶ ἐπέβησάν τε καὶ ἔσχον αὐτήν. (4) Ταῦτα γενόμενα τοὺς Ἴωνας ἐρρύσατο· ὡς γὰρ εἶδέ σφεας Ξέρξης ἔργον μέγα ἐργασαμένους, ἐτράπετο πρὸς τοὺς Φοίνικας οἷα ὑπερλυπεόμενός τε καὶ πάντας αἰτιεώμενος, καί σφεων ἐκέλευσε τὰς κεφαλὰς ἀποταμέειν, ἵνα μὴ αὐτοὶ κακοὶ γενόμενοι τοὺς ἀμείνονας διαβάλλωσι. (5) Ὄχως γάρ τινα ἴδοι Ξέρξης τῶν ἑωυτοῦ ἔργον τι ἀποδεικνύμενον ἐν τῇ ναυμαχίῃ, κατήμενος ὑπὸ τῷ οὔρεϊ τῷ ἀντίον Σαλαμῖνος τὸ καλέεται Αἰγάλεως, ἀνεπυνθάνετο τὸν ποιήσαντα, καὶ οἱ γραμματισταὶ ἀνέγραφον πατρόθεν τὸν τριήραρχον καὶ τὴν πόλιν. (6) Πρὸς δέ τι καὶ προσεβάλετο φίλος ἐὼν Ἀριαράμνης ἀνὴρ Πέρσης παρεὼν τούτου τοῦ Φοινικηΐου πάθεος. Οἱ μὲν δὴ πρὸς τοὺς Φοίνικας ἐτράποντο.

XCI. Τῶν δὲ βαρβάρων ἐς φυγὴν τραπομένων καὶ ἐκπλωόντων πρὸς τὸ Φάληρον Αἰγινῆται ὑποστάντες ἐν τῷ πορθμῷῳ ἔργα ἀπεδέξαντο λόγου ἄξια. (2) Οἱ μὲν γὰρ Ἀθηναῖοι ἐν τῷ θορύβῳ ἐκεράϊζον τάς τε ἀντισταμένας καὶ τὰς φευγούσας τῶν νεῶν, οἱ δὲ Αἰγινῆται τὰς ἐκπλωούσας· ὅκως δέ τινες τοὺς Ἀθηναίους διαφύγοιεν, φερόμενοι ἐσέπιπτον ἐς τοὺς Αἰγινήτας.

XCII. Ἐνθαῦτα συνεκύρεον νέες ἥ τε Θεμιστοκλέος διώκουσα νέα, καὶ ἡ Πολυκρίτου τοῦ Κρίου ἀνδρὸς Αἰγινήτεω νηὶ ἐμβαλοῦσα Σιδωνίῃ, ἥπερ εἶλε τὴν προφυλάσσουσαν ἐπὶ Σκιάθῳ τὴν Αἰγιναίην, ἐπ' ἧς ἔπλωε Πυθέης ὁ Ἰσχενόου, τὸν οἱ Πέρσαι κατακοπέντα ἀρετῆς εἵνεκεν εἶχον ἐν τῇ νηὶ ἐκπαγλεόμενοι· τὸν δὴ περιάγουσα ἅμα τοῖσι Πέρσῃσι ἦλω νηῦς ἡ Σιδωνίη, ὥστε Πυθέην οὕτω σωθῆναι ἐς Αἴγιναν. (2) Ὡς δὲ ἐσεῖδε τὴν νέα τὴν Ἀττικὴν ὁ Πολύκριτος, ἔγνω τὸ σημήϊον ἰδὼν τῆς στρατηγίδος, καὶ βώσας τὸν Θεμιστοκλέα ἐπεκερτόμησε ἐς τῶν Αἰγινητέων τὸν μηδισμὸν ὀνειδίζων. Ταῦτα μέν νυν νηὶ ἐμβαλὼν ὁ Πολύκριτος ἀπέρριψε ἐς Θεμιστοκλέα.

XCIII. Οἱ δὲ βάρβαροι τῶν αἱ νέες περιεγένοντο

Postquam primæ naves in fugam erant versæ, tum vero plurimæ corruptæ sunt : nam qui pone erant locati, hi quum navibus in anteriora progredi conarentur, quippe et ipsi præclarum aliquod facinus regi ostensuri, in suorum naves fugientium inciderunt.

XC. In eodem tumultu hoc etiam accidit. Phœnices quidam, quorum naves perierant, ad regem accedentes calumniati sunt Iones, tamquam per eorum proditionem periissent naves. (2) Forte fortuna autem ita cecidit res, ut Ionum duces nihil mali paterentur, et Phœnices calumniantes hancce mercedem ferrent. Dum illi adhuc ista dicunt, in unam ex Atheniensium navibus irruit navis Samothracica : (3) et dum mergitur Attica navis, adcurrens Æginensis deprimit Samothracicam. Tum vero Samothraces, ut erant solertes jaculatores, de navi quæ ipsorum navem depresserat conjectis telis deturbarunt propugnatores, navemque conscenderunt, eaque potiti sunt. (4) Id factum Iones servavit. Ut enim rem præclare ab his gestam Xerxes vidit, iram suam in Phœnices vertit, quippe valde æger animi et quoslibet accusans : illorumque capita jussit præcidi, ne, quum ignavi ipsi essent, fortiores viros calumniarentur. (5) Xerxes enim, e regione Salaminis sedens in montis radice, cui Ægaleos nomen, quoties aliquod facinus a suis editum cerneret, sciscitabatur quis esset qui id fecisset : et scribæ notabant trierarchi nomen cum patris et civitatis nomine. (6) Insuper vero etiam Ariaramnes Persa, qui tunc aderat, operam suam Ionibus, quorum erat amicus, ad hoc contulerat ut malum illud in Phœnicum capita verteretur.

XCI. Ubi vero in fugam versi barbari ad Phalerum navibus contenderunt, ibi tunc Æginetæ, in freto in subsidiis stantes memoratu digna facinora edidere. (2) Etenim Athenienses quidem in hoc tumultu naves et resistentes et fugientes perdebant, Æginetæ vero eas quæ prælio excedebant : et, ut quæque periculum ab Atheniensibus effugerant, hæ dum recipiebant se, in Æginetas incidebant.

XCII. Ibi forte mutuo sibi occurrerunt navis Themistoclis, aliam navem persequentis, et Polycriti navis, Crii filii, Æginetæ, qui in Sidoniam illam navem impetum fecerat, a qua prius ad Sciathum capta fuerat Æginensis navis speculatoria ; qua navi vehebatur Pytheas, Ischenoi filius, quem Persæ misere concisum in navi habebant, virtutem ejus admirantes. Hunc igitur Pytheam simul cum Persis vehens navis Sidonia capta nunc est a Polycrito, atque ita servatus Pytheas, et Æginam dein adductus. (2) Jam ubi Atticam navem conspexit Polycritus, eamque ex insigni imperatorio agnovit, inclamans Themistocli, et conviciis eum insectatus, Ita, ait, Æginetæ Medis favent! Hæc Polycritus, postquam in navem istam impetum fecerat, in Themistoclem projecit.

XCIII. Barbari vero, quorum superfuere naves, fuga ad

νοντο, φεύγοντες ἀπίκοντο ἐς Φάληρον ὑπὸ τὸν πεζὸν στρατόν. (2) Ἐν δὲ τῇ ναυμαχίῃ ταύτῃ ἤκουσαν Ἑλλήνων ἄριστα Αἰγινῆται, ἐπὶ δὲ Ἀθηναῖοι, ἀνδρῶν δὲ Πολύκριτός τε ὁ Αἰγινήτης καὶ Ἀθηναῖοι Εὐμένης τε ὁ Ἀναγυράσιος καὶ Ἀμεινίης Παλληνεὺς, ὃς καὶ Ἀρτεμισίην ἐπεδίωξε. (3) Εἰ μέν νυν ἔμαθε ὅτι ἐν ταύτῃ πλώοι ἡ Ἀρτεμισίη, οὐκ ἂν ἐπαύσατο πρότερον ἢ εἷλέ μιν ἢ καὶ αὐτὸς ἥλω. Τοῖσι γὰρ Ἀθηναίων τριηράρχοισι παρεκεκέλευστο, πρὸς δὲ καὶ ἆεθλον ἐκέετο μύριαι δραχμαί, ὃς ἄν μιν ζωὴν ἕλῃ· δεινὸν γάρ τι ἐποιεῦντο γυναῖκα ἐπὶ τὰς Ἀθήνας στρατεύεσθαι. (4) Αὕτη μὲν δὴ, ὡς πρότερον εἴρηται, διέφυγε· ἔσαν δὲ καὶ οἱ ἄλλοι, τῶν αἱ νέες περιεγεγόνεσαν, ἐν τῷ Φαλήρῳ.

XCIV. Ἀδείμαντον δὲ τὸν Κορίνθιον στρατηγὸν λέγουσι Ἀθηναῖοι αὐτίκα κατ' ἀρχὰς, ὡς συνέμισγον αἱ νέες, ἐκπλαγέντα τε καὶ ὑπερδείσαντα, τὰ ἱστία ἀειράμενον οἴχεσθαι φεύγοντα, ἰδόντας δὲ τοὺς Κορινθίους τὴν στρατηγίδα φεύγουσαν ὡσαύτως οἴχεσθαι. (2) Ὡς δὲ ἄρα φεύγοντας γίνεσθαι τῆς Σαλαμινίης κατὰ τὸ ἱρὸν Ἀθηναίης Σκιράδος, περιπίπτειν σφι κέλητα θείῃ πομπῇ, τὸν οὔτε πέμψαντα φανῆναι οὐδένα, οὔτε τι τῶν ἀπὸ τῆς στρατιῆς εἰδόσι προσφέρεσθαι τοῖσι Κορινθίοισι. (3) Τῇδε δὲ συμβάλλονται εἶναι θεῖον τὸ πρῆγμα· ὡς γὰρ ἀγχοῦ γενέσθαι τῶν νεῶν, τοὺς ἀπὸ τοῦ κέλητος λέγειν τάδε, « Ἀδείμαντε, σὺ μὲν ἀποστρέψας τὰς νέας ἐς φυγὴν ὥρμησαι καταπροδοὺς τοὺς Ἕλληνας· οἱ δὲ καὶ δὴ νικῶσι, ὅσον αὐτοὶ ἠρῶντο ἐπικρατῆσαι τῶν ἐχθρῶν. » (4) Ταῦτα λεγόντων ἀπιστέειν γὰρ τὸν Ἀδείμαντον, αὖτις τάδε λέγειν, ὡς αὐτοὶ οἷοί τε εἶεν ἀγόμενοι ὅμηροι ἀποθνήσκειν, ἢν μὴ νικῶντες φαίνωνται οἱ Ἕλληνες. Οὕτω δὴ ἀποστρέψαντα τὴν νέα αὐτόν τε καὶ τοὺς ἄλλους ἐπ' ἐξεργασμένοισι ἐλθεῖν ἐς τὸ στρατόπεδον. (5) Τούτους μὲν τοιαύτη φάτις ἔχει ὑπ' Ἀθηναίων, οὐ μέντοι αὐτοί γε Κορίνθιοι ὁμολογέουσι, ἀλλ' ἐν πρώτοισι σφέας αὐτοὺς τῆς ναυμαχίης νομίζουσι γενέσθαι· μαρτυρέει δέ σφι καὶ ἡ ἄλλη Ἑλλάς.

XCV. Ἀριστείδης δὲ ὁ Λυσιμάχου ἀνὴρ Ἀθηναῖος, τοῦ καὶ ὀλίγῳ τι πρότερον τούτων ἐπεμνήσθην ὡς ἀνδρὸς ἀρίστου, οὗτος ἐν τῷ θορύβῳ τούτῳ τῷ περὶ Σαλαμῖνα γενομένῳ τάδε ἐποίεε· παραλαβὼν πολλοὺς τῶν ὁπλιτέων οἳ παρετετάχατο παρὰ τὴν ἀκτὴν τῆς Σαλαμινίης χώρης, γένος ἐόντες Ἀθηναῖοι, ἐς τὴν Ψυττάλειαν νῆσον ἀπέβησε ἄγων, οἳ τοὺς Πέρσας τοὺς ἐν τῇ νησίδι ταύτῃ κατεφόνευσαν πάντας.

XCVI. Ὡς δὲ ἡ ναυμαχίη διελέλυτο, κατειρύσαντες ἐς τὴν Σαλαμῖνα οἱ Ἕλληνες τῶν ναυηγίων ὅσα ταύτῃ ἐτύγχανε ἔτι ἐόντα, ἑτοῖμοι ἦσαν ἐς ἄλλην ναυμαχίην, ἐλπίζοντες τῇσι περιεούσῃσι νηυσὶ ἔτι χρήσεσθαι βασιλέα. (2) Τῶν δὲ ναυηγίων πολλὰ ὑπολαβὼν ἄνεμος ζέφυρος ἔφερε τῆς Ἀττικῆς ἐπὶ τὴν ἠϊόνα τὴν καλευμένην Κωλιάδα, ὥστε ἀποπλῆσθαι τὸν χρησμὸν τόν τε ἄλλον πάντα τὸν περὶ τῆς ναυμαχίης ταύτης

Phalerum sub pedestris exercitus tutamen pervenerunt. (2) In hac navali pugna e Græcis præcipuam laudem consecuti sunt Æginetæ; et post hos, Athenienses: ex singulis vero viris Polycritus Ægineta, et duo Athenienses, Eumenes Anagyrasius, et Aminias Pallenensis, qui Artemisiam quoque persecutus est. (3) Qui si scivisset navi illa Artemisiam vehi, non prius desiturus erat quam aut illam cepisset aut ipse captus fuisset: nam Atheniensium triremium præfectis hoc imperatum erat, prætereaque præmium erat propositum decem millia drachmarum, si quis eam vivam cepisset: magnopere quippe indignati erant mulierem contra Athenas militare. (4) At hæc quidem, ut supra dictum est, periculum effugit: sed et reliqui, quorum superfuere naves, in Phalerum se receperunt.

XCIV. Adimantum vero, Corinthiorum ducem, aiunt Athenienses, initio statim, ut concurrerunt naves, metu terroreque perculsum, sustulisse vela et in fugam sese proripuisse; reliquosque Corinthios, imperatoriam navem videntes aufugere, pariter abiisse. (2) Qui quum in fuga ex adverso templi Minervæ Sciradis, quod in Salamine est, versarentur, incidisse in eos memorant celocem divinitus missam; quam qui misisset, repertum esse neminem; accessisse eam autem ad Corinthios, omnium quæ apud exercitum gesta erant ignaros. (3) Fuisse autem divinam rem inde colligunt, quod qui in celoce erant, quum ad naves adpropinquassent, hæc dixissent: « Adimante, tu abductis navibus in fugam te proripuisti prodens Græcos: at illi tantam de hostibus victoriam reportant, quantam ipsi precati erant. » (4) Quibus hæc dicentibus quum fidem non adhiberet Adimantus, rursus eosdem dixisse, paratos ipsos esse obsides sese sistere, et ad supplicium duci, ni Græci comperti fuissent victoriam reportasse. Ita igitur et illum et reliquos retro convertisse naves, et re peracta in castra Græcorum venisse. (5) Hæc de Corinthiis Athenienses narrant: at negant factum Corinthii, seque inter primos navali huic pugnæ autumant interfuisse; eisque testimonium exhibet reliqua Græcia.

XCV. Aristides vero, Lysimachi filius, Atheniensis, cujus etiam paulo ante, ut optimi viri, feci mentionem, in illo ad Salaminem tumultu hanc navavit operam: adsumptis gravis armaturæ militibus multis eorum qui secundum littus terræ Salaminiæ erant locati, genere Atheniensibus, cum his in Psyttaleam insulam trajecit, et Persas omnes qui in insula hac erant interfecit.

XCVI. Dirempto navali prælio Græci, postquam naufragiorum quidquid forte adhuc ibi locorum erat in terram Salaminis pertraxerunt, ad novam pugnam sese comparaverunt, existimantes reliquis navibus denuo usurum regem. (2) Sed magnam naufragiorum partem abripiens ventus Zephyrus ad littus Atticæ, cui Colias nomen, devexit: itaque impleta sunt quum reliqua oracula omnia quæ de hac

εἰρημένον Βάκιδι καὶ Μουσαίῳ, καὶ δὴ καὶ κατὰ τὰ ναυήγια τὰ ταύτῃ ἐξενειχθέντα τὸ εἰρημένον πολλοῖσι ἔτεσι πρότερον τούτων ἐν χρησμῷ Λυσιστράτῳ Ἀθηναίῳ ἀνδρὶ χρησμολόγῳ, τὸ ἐλελήθεε πάντας τοὺς Ἕλληνας,

Κωλιάδες δὲ γυναῖκες ἐρετμοῖσι φρύξουσι.

Τοῦτο δὲ ἔμελλε ἀπελάσαντος βασιλέος ἔσεσθαι.

XCVII. Ξέρξης δὲ ὡς ἔμαθε τὸ γεγονὸς πάθος, δείσας μή τις τῶν Ἰώνων ὑποθῆται τοῖσι Ἕλλησι ἢ αὐτοὶ νώσωσι πλώειν ἐς τὸν Ἑλλήσποντον λύσοντες τὰς γεφύρας, καὶ ἀπολαμφθεὶς ἐν τῇ Εὐρώπῃ ἀπολέσθαι κινδυνεύσῃ, δρησμὸν ἐβούλευε. (2) Ἐθέλων δὲ μὴ ἐπίδηλος εἶναι μήτε τοῖσι Ἕλλησι μήτε τοῖσι ἑωυτοῦ, ἐς τὴν Σαλαμῖνα χῶμα ἐπειρᾶτο διαχοῦν, γαυλούς τε Φοινικηίους συνέδεε, ἵνα ἀντί τε σχεδίης ἔωσι καὶ τείχεος, ἀρτέετό τε ἐς πόλεμον ὡς ναυμαχίην ἄλλην ποιησόμενος. (3) Ὀρέοντες δέ μιν πάντες οἱ ἄλλοι ταῦτα πρήσσοντα εὖ ἠπιστέατο ὡς ἐκ παντὸς νόου παρεσκεύασται μένων πολεμήσειν· Μαρδόνιον δ' οὐδὲν τούτων ἐλάνθανε ὡς μάλιστα ἔμπειρον ἐόντα τῆς ἐκείνου διανοίης. Ταῦτά τε ἅμα Ξέρξης ἐποίεε, καὶ ἔπεμπε ἐς Πέρσας ἀγγελέοντα τὴν παρεοῦσάν σφι συμφορήν.

XCVIII. Τούτων δὲ τῶν ἀγγέλων ἔστι οὐδὲν ὅ τι θᾶσσον παραγίνεται θνητὸν ἐόν· οὕτω τοῖσι Πέρσῃσι ἐξεύρηται τοῦτο. (2) Λέγουσι γὰρ ὡς ὅσων ἂν ἡμερέων ᾖ ἡ πᾶσα ὁδός, τοσοῦτοι ἵπποι τε καὶ ἄνδρες διεστᾶσι, κατὰ ἡμερησίην ὁδὸν ἑκάστην ἵππος τε καὶ ἀνὴρ τεταγμένος· τοὺς οὔτε νιφετὸς, οὐκ ὄμβρος, οὐ καῦμα, οὐ νὺξ ἔργει μὴ οὐ κατανύσαι τὸν προκείμενον ἑωυτῷ δρόμον τὴν ταχίστην. (3) Ὁ μὲν δὴ πρῶτος δραμὼν παραδιδοῖ τὰ ἐντεταλμένα τῷ δευτέρῳ, ὁ δὲ δεύτερος τῷ τρίτῳ· τὸ δὲ ἐνθεῦτεν ἤδη κατ' ἄλλον διεξέρχεται παραδιδόμενα, κατά περ Ἕλλησι ἡ λαμπαδηφορίη τὴν τῷ Ἡφαίστῳ ἐπιτελέουσι. Τοῦτο τὸ δρόμημα τῶν ἵππων καλεῦσι Πέρσαι ἀγγαρήιον.

XCIX. Ἡ μὲν δὴ πρώτη ἐς Σοῦσα ἀγγελίη ἀπικομένη, ὡς ἔχοι Ἀθήνας Ξέρξης, ἔτερψε οὕτω δή τι Περσέων τοὺς ὑπολειφθέντας ὡς τάς τε ὁδοὺς μυρσίνῃσι πάσας ἐστόρεσαν καὶ ἐθυμίων θυμιήματα καὶ αὐτοὶ ἔσαν ἐν θυσίῃσί τε καὶ εὐπαθείῃσι· (2) ἡ δὲ δευτέρη σφι ἀγγελίη ἐπεξελθοῦσα συνέχεε οὕτω ὥστε τοὺς κιθῶνας κατερρήξαντο πάντες, βοῇ τε καὶ οἰμωγῇ ἐχρέοντο ἀπλέτῳ, Μαρδόνιον ἐν αἰτίῃσι τιθέντες. (3) Οὐκ οὕτω δὲ περὶ τῶν νεῶν ἀχθόμενοι ταῦτα οἱ Πέρσαι ἐποίευν ὡς περὶ αὐτῷ Ξέρξῃ δειμαίνοντες. Καὶ περὶ Πέρσας μὲν ἦν ταῦτα τὸν πάντα μεταξὺ χρόνον γενόμενον, μέχρι οὗ Ξέρξης αὐτός σφεας ἀπικόμενος ἔπαυσε.

C. Μαρδόνιος δὲ ὁρέων μὲν Ξέρξεα συμφορὴν μεγάλην ἐκ τῆς ναυμαχίης ποιεύμενον, ὑποπτεύων δὲ αὐτὸν δρησμὸν βουλεύειν ἐκ τῶν Ἀθηνέων, φροντίσας πρὸς ἑωυτὸν ὡς δώσει δίκην ἀναγνώσας βασιλέα στρατεύεσθαι ἐπὶ τὴν Ἑλλάδα, καί οἱ κρέσσον εἴη ἀνακινδυνεῦσαι ἢ κατεργάσασθαι τὴν Ἑλλάδα ἢ αὐτὸν καλῶς

navali pugna Bacis et Musæus dixerant, tum vero etiam illud quod multis ante annis de naufragiis eo loci ejiciendis Lysistratus ediderat, fatidicus Atheniensis, quod Græcos omnes fefellerat :

Colliades mulieres remis frixuræ sunt.

Hoc autem post discessum regis erat futurum.

XCVII. Xerxes vero, ut acceptam vidit cladem, veritus ne quis Ionum consuleret Græcis aut etiam ipsi per se consilium caperent in Hellespontum navigandi pontesque solvendi, quo ipse in Europa interclusus de salute periclitaretur, fugam meditabatur. (2) Celare autem de hoc consilio cupiens et Græcos et suos, aggerem ducere in Salaminem instituit, gaulosque Phœnicios colligavit, qui pro ponte et muro essent; simulque et ad prælium se comparavit, tamquam aliam pugnam navalem commissurus. (3) Et reliqui quidem omnes, ubi eum hæc facere viderunt, prorsus existimabant serio illum et ex animi sententia paratum esse manere et redintegrare bellum : sed Mardonium nihil horum fefellit, quippe bene gnarum quid ille consilii agitaret. Hæc dum Xerxes agebat, simul nuncium in Persidem misit, qui recentem nunciaret calamitatem.

XCVIII. Hisce nunciis Persicis nihil est inter mortales quod citius eo quo tenditur perveniat : ita hoc a Persis excogitatum est. (2) Aiunt enim, quot dierum est universum iter, tot dispositos et equos et viros in quaque diurna statione paratos stare; quos nec nix, nec imber, nec æstus, nec nox impedit quominus suum quisque cursum quam velocissime conficiat. (3) Nempe, qui primus currit, is secundo tradit mandata, secundus tertio; atque sic illa deinceps alii atque alii tradita, per singulos transeunt, quemadmodum apud Græcos lampas in lampadum festivitate, quæ in Vulcani honorem celebratur. Hunc equorum cursum Persæ *angareion* vocant.

XCIX. Jam superior nuncius ubi Susa pervenit, Athenas tenere Xerxem, tanta lætitia Persas, qui domi erant relicti, impleverat, ut vias omnes myrto straverint, et thura adoleverint, et ipsi festis atque epulis celebrandis dederint operam. (2) Posterior autem ubi emanavit nuncius, ita eos consternavit, ut tunicas cuncti discerperent, et in clamorem ejulatumque erumperent infinitum, Mardoniumque tamquam auctorem calamitatum accusarent. (3) Fecerunt autem hæc Persæ, non tam quod navibus dolerent perditis, quam quod de ipso Xerxe essent solliciti. Atque hæc apud Persas toto interjecto tempore duraverunt, donec illos Xerxes ipse adventu suo sedavit.

C. Jam Mardonius, Xerxem ex pugnæ navalis exitu videns gravissimo dolore adfectum, suspicatusque fugam illum ex Athenis meditari, et reputans secum ipse, pœnas se daturum quod regi persuasisset Græciæ bellum inferre, meliusque sibi esse tentata iterum belli fortuna aut prorsus debellare Græciam, aut ipsum honestam obire mortem,

τελευτῆσαι τὸν βίον ὑπὲρ μεγάλων αἰωρηθέντα· πλέον μέντοι ἔφερέ οἱ ἡ γνώμη κατεργάσασθαι τὴν Ἑλλάδα· (2) λογισάμενος ὧν ταῦτα προσέφερε τὸν λόγον τόνδε, « δέσποτα, μήτε λυπέο μήτε συμφορὴν μηδεμίαν μεγάλην ποιεῦ τοῦδε τοῦ γεγονότος εἵνεκεν πρήγματος. Οὐ γὰρ ξύλων ἀγὼν ὁ τὸ πᾶν φέρων ἐστὶ ἡμῖν, ἀλλ' ἀνδρῶν τε καὶ ἵππων. (3) Σοὶ δὲ οὔτε τις τούτων τῶν τὸ πᾶν σφι ἤδη δοκεόντων κατεργάσθαι ἀποβὰς ἀπὸ τῶν νεῶν πειρήσεται ἀντιωθῆναι, οὔτ' ἐκ τῆς ἠπείρου τῆσδε· οἵ τε ἡμῖν ἠντιώθησαν, ἔδοσαν δίκας. (4) Εἰ μέν νυν δοκέει, αὐτίκα πειρεώμεθα τῆς Πελοποννήσου· εἰ δὲ καὶ δοκέει ἐπισχεῖν, παρέχει ποιέειν ταῦτα. Μηδὲ δυσθύμεε· οὐ γάρ ἐστι Ἕλλησι οὐδεμία ἔκδυσις μὴ οὐ δόντας λόγον τῶν ἐποίησαν νῦν τε καὶ πρότερον εἶναι σοὺς δούλους. (5) Μάλιστα μέν νυν ταῦτα ποίεε· εἰ δ' ἄρα τοι βεβούλευται αὐτὸν ἀπελαύνοντα ἀπάγειν τὴν στρατιὴν, ἄλλην ἔχω καὶ ἐκ τῶνδε βουλήν. Σὺ Πέρσας, βασιλεῦ, μὴ ποιήσῃς καταγελάστους γενέσθαι Ἕλλησι· οὐδὲν γὰρ ἐν τοῖσι Πέρσῃσι δεδήληται τῶν πρηγμάτων, οὐδ' ἐρέεις ὅκου ἐγενόμεθα ἄνδρες κακοί. (6) Εἰ δὲ Φοίνικές τε καὶ Αἰγύπτιοι καὶ Κύπριοί τε καὶ Κίλικες κακοὶ ἐγένοντο, οὐδὲν πρὸς Πέρσας τοῦτο προσήκει τὸ πάθος. Ἤδη ὦν ἐπειδὴ οὐ Πέρσαι τοι αἴτιοί εἰσι, ἐμοὶ πείθεο. Εἴ τοι δέδοκται μὴ παραμένειν, σὺ μὲν ἐς ἤθεα τὰ σεωυτοῦ ἀπέλαυνε, τῆς στρατιῆς ἀπάγων τὸ πολλὸν, ἐμὲ δέ σοι χρὴ τὴν Ἑλλάδα παρασχεῖν δεδουλωμένην, τριήκοντα μυριάδας τοῦ στρατοῦ ἀπολεξάμενον. »

CI. Ταῦτα ἀκούσας Ξέρξης ὡς ἐκ κακῶν ἐχάρη τε καὶ ἥσθη, πρὸς Μαρδόνιόν τε βουλευσάμενος ἔφη ἀποκρινέεσθαι ὁκότερον ποιήσει τούτων. (2) Ὡς δὲ ἐβουλεύετο ἅμα Περσέων τοῖσι ἐπικλήτοισι, ἔδοξέ οἱ καὶ Ἀρτεμισίην ἐς συμβουλίην μεταπέμψασθαι, ὅτι πρότερον ἐφαίνετο μούνη νοέουσα τὰ ποιητέα ἦν. (3) Ὡς δὲ ἀπίκετο ἡ Ἀρτεμισίη, μεταστησάμενος τοὺς ἄλλους, τούς τε συμβούλους Περσέων καὶ τοὺς δορυφόρους, ἔλεξε Ξέρξης τάδε, « κελεύει με Μαρδόνιος μένοντα αὐτοῦ πειρᾶσθαι τῆς Πελοποννήσου, λέγων ὡς μοι Πέρσαι τε καὶ ὁ πεζὸς στρατὸς οὐδενὸς μεταίτιοι πάθεός εἰσι, ἀλλὰ βουλομένοισί σφι γένοιτ' ἂν ἀπόδεξις. (4) Ἐμὲ ὦν ἢ ταῦτα κελεύει ποιέειν, ἢ αὐτὸς ἐθέλει τριήκοντα μυριάδας ἀπολεξάμενος τοῦ στρατοῦ παρασχεῖν μοι τὴν Ἑλλάδα δεδουλωμένην, αὐτὸν δ' ἐμὲ κελεύει ἀπελαύνειν σὺν τῷ λοιπῷ στρατῷ ἐς ἤθεα τὰ ἐμά. (5) Σὺ ὦν ἐμοὶ, καὶ γὰρ περὶ τῆς ναυμαχίης εὖ συνεβούλευσας τῆς γενομένης οὐκ ἐῶσα ποιέεσθαι, νῦν τε συμβούλευσον ὁκότερα ποιέων ἐπιτύχω εὖ βουλευσάμενος. »

CII. Ὁ μὲν ταῦτα συνεβουλεύετο, ἡ δὲ λέγει τάδε, « βασιλεῦ, χαλεπὸν μέν ἐστι συμβουλευομένῳ τυχεῖν τὰ ἄριστα εἰπασαν, ἐπὶ μέντοι τοῖσι κατήκουσι πρήγμασι δοκέει μοι αὐτὸν μέν σε ἀπελαύνειν ὀπίσω, Μαρδόνιον δὲ, εἰ ἐθέλει τε καὶ ὑποδέκεται ταῦτα ποιήσειν, αὐτοῦ καταλιπεῖν σὺν τοῖσι ἐθέλει. (2) Τοῦτο μὲν γὰρ, postquam magnarum rerum spe fuisset elatus; denique in hanc partem maxime inclinans, ut Græciam subigeret: (2) hæc, inquam, secum reputans, tali oratione regem est adlocutus: « Domine, ne mœrori indulgeas, neque nimium ex eo quod accidit capias dolorem! Non enim lignorum certamen ad belli exitum nobis maximum confert momentum, sed virorum equorumque. (3) Tibi vero nemo, neque ex his qui nunc omnia confecisse sibi videntur, excensione e navibus facta resistere conabitur, neque ex hac continente quisquam: et, qui contra nos steterunt, hi pœnas dedere. (4) Si igitur tibi videtur, protinus Peloponnesum adgrediamur: sin in præsentia omittere hoc placet, omittamus licet. Ne vero despondeas animum! nec enim ullo modo effugere Græci possunt, quin rationem nobis eorum, quæ et nunc et antea patrarunt, reddant, et servi fiant tui. (5) Igitur hoc quidem maxime agas. Quodsi vero hinc ipse abscedere et abducere exercitum decrevisti, aliud habeo post hæc quoque consilium. Tu, rex, ne committe ut Græcis ludibrio sint Persæ. In Persis enim tuis nihil detrimenti res tuæ acceperunt, neque tu dices quo loco a nobis res male gesta sit. (6) Sin Phœnices et Ægyptii et Cyprii et Cilices male pugnarunt, nihil ad Persas hæc clades pertinet. Nunc igitur, quum non sit quod Persas culpes, mihi morem gere. Si tibi constitutum est hic non manere, tu quidem tuas in sedes discede, majorem exercitus partem tecum abducens: at me oportet tibi Græciam in servitutem redactam tradere, postquam de exercitu trecenta hominum millia delegero. »

CI. Quibus auditis Xerxes, ut post mala, gavisus delectatusque est, Mardonioque ait, se ei, postquam deliberaverit, responsurum esse, utrum ex his, quæ ab illo proposita erant, facturus sit. (2) Ubi vero cum Persis in consilium adhiberi solitis consultabat, placuit ei Artemisiam quoque in consilium vocare, quippe quæ etiam antea comperta esset, sola quid faciendum perspexisse. (3) Quæ ubi advenit, submotis consiliariis Persis et satellitibus, hæc ad eam Xerxes verba fecit: « Hortatur me Mardonius, ut hic maneam, et Peloponnesum adgrediar; dicens, Persas et pedestrem exercitum nullius calamitatis, quæ nobis accidisset, culpam sustinere, et lubentes illos re ipsa hoc esse demonstraturos. (4) Me igitur ille aut hoc facere hortatur, aut ipse velle se, ait, cum selectis de exercitu trecentis millibus Græciam mihi tradere in servitutem redactam; me ipsum autem jubet cum reliquis copiis meas ad sedes discedere. (5) Tu igitur, quum etiam de pugna navali, quam suscepimus, bene mihi consulueris, negans illam esse suscipiendam, nunc quoque suade, utrum horum faciendo rectius feliciusque rebus meis consuluero. »

CII. Hæc consulenti Xerxi in hunc modum Artemisia respondit: « Difficile, rex, est ita me esse felicem ut tibi consultanti optima dicam: verumtamen in præsenti rerum statu optimum mihi videtur, ut tu domum revertaris; Mardonium vero, si ista efficere vult tibique recipit, hic cum eis quos postulat relinquas. (2) Nam, sive ille ea, quæ

ἢν καταστρέψηται τά φησι ἐθέλειν καί οἱ προχωρήσῃ τὰ νοέων λέγει, σὸν τὸ ἔργον, ὦ δέσποτα, γίνεται· οἱ γὰρ σοὶ δοῦλοι κατεργάσαντο· τοῦτο δὲ, ἢν τὰ ἐναντία τῆς Μαρδονίου γνώμης γένηται, οὐδεμία συμφορὴ μεγάλη ἔσται σέο τε περιεόντος καὶ ἐκείνων τῶν πρηγμάτων περὶ οἶκον τόν σόν. (3) Ἢν γὰρ σύ τε περιῇς καὶ οἶκος ὁ σὸς, πολλοὺς πολλάκις ἀγῶνας δραμέονται περὶ σφέων αὐτῶν οἱ Ἕλληνες. Μαρδονίου δὲ, ἤν τι πάθῃ, λόγος οὐδεὶς γίνεται· οὐδέ τι νικῶντες οἱ Ἕλληνες νικῶσι, δοῦλον σὸν ἀπολέσαντες. Σὺ δὲ, τῶν εἵνεκεν τὸν στόλον ἐποιήσαο, πυρώσας τὰς Ἀθήνας ἀπελᾷς. »

CIII. Ἥσθη τε δὴ τῇ συμβουλίῃ Ξέρξης· λέγουσα γὰρ ἐπετύγχανε τά περ αὐτὸς ἐνόεε. Οὐδὲ γὰρ εἰ πάντες καὶ πᾶσαι συνεβούλευον αὐτῷ μένειν, ἔμενε ἂν δοκέειν ἐμοί· οὕτω καταρρωδήκεε. (2) Ἐπαινέσας δὲ τὴν Ἀρτεμισίην ταύτην μὲν ἀποστέλλει ἄγουσαν αὐτοῦ τοὺς παῖδας ἐς Ἔφεσον· νόθοι γάρ τινες παῖδές οἱ συνείποντο.

CIV. Συνέπεμπε δὲ τοῖσι παισὶ φύλακον Ἑρμότιμον, γένος μὲν ἐόντα Πηδασέα, φερόμενον δὲ οὐ τὰ δεύτερα τῶν εὐνούχων παρὰ βασιλέϊ. Οἱ δὲ Πηδασέες οἰκέουσι ὑπὲρ Ἁλικαρνησσοῦ. (2) Ἐν δὲ τοῖσι Πηδάσοισι τούτοισι τοιόνδε φέρεται πρῆγμα γίνεσθαι· ἐπεὰν τοῖσι ἀμφικτίοσι πᾶσι τοῖσι ἀμφὶ ταύτης οἰκέουσι τῆς πόλιος μέλλῃ τι ἐντὸς χρόνου ἔσεσθαι χαλεπὸν, τότε ἡ ἱρεια αὐτόθι τῆς Ἀθηναίης φύει πώγωνα μέγαν. Τοῦτο δέ σφι οἷς ἤδη ἐγένετο.

CV. Ἐκ τούτων δὴ τῶν Πηδασέων ὁ Ἑρμότιμος ἦν, τῷ μεγίστη τίσις ἤδη ἀδικηθέντι ἐγένετο πάντων τῶν ἡμεῖς ἴδμεν. Ἁλόντα γὰρ αὐτὸν ὑπὸ πολεμίων καὶ πωλεόμενον ὠνέεται Πανιώνιος ἀνὴρ Χῖος, ὃς τὴν ζόην κατεστήσατο ἀπ' ἔργων ἀνοσιωτάτων. (2) Ὅκως γὰρ κτήσαιτο παῖδας εἴδεος ἐπαμμένους, ἐκτάμνων ἀγινέων ἐπώλεε ἐς Σάρδις τε καὶ Ἔφεσον χρημάτων μεγάλων· παρὰ γὰρ τοῖσι βαρβάροισι τιμιώτεροί εἰσι οἱ εὐνοῦχοι πίστιος εἵνεκεν τῆς πάσης τῶν ἐνορχίων. (3) Ἄλλους τε δὴ ὁ Πανιώνιος ἐξέταιμε πολλοὺς, ἅτε ποιεύμενος ἐκ τούτου τὴν ζόην, καὶ δὴ καὶ τοῦτον. Καὶ οὐ γὰρ τὰ πάντα ἐδυστύχεε ὁ Ἑρμότιμος, ἀπικνέεται ἐκ τῶν Σαρδίων παρὰ βασιλέα μετ' ἄλλων δώρων, χρόνου δὲ προϊόντος πάντων τῶν εὐνούχων ἐτιμήθη μάλιστα παρὰ Ξέρξῃ.

CVI. Ὡς δὲ τὸ στράτευμα τὸ Περσικὸν ὥρμα βασιλεὺς ἐπὶ τὰς Ἀθήνας ἐὼν ἐν Σάρδισι, ἐνθαῦτα καταβὰς κατὰ δή τι πρῆγμα ὁ Ἑρμότιμος ἐς γῆν τὴν Μυσίην, τὴν Χῖοι μὲν νέμονται, Ἀταρνεὺς δὲ καλέεται, εὑρίσκει τὸν Πανιώνιον ἐνθαῦτα. (2) Ἐπιγνοὺς δὲ ἔλεγε πρὸς αὐτὸν πολλοὺς καὶ φιλίους λόγους, πρῶτα μέν οἱ καταλέγων ὅσα αὐτὸς δι' ἐκεῖνον ἔχοι ἀγαθὰ, δεύτερα δέ οἱ ὑπισχνεύμενος ἀντὶ τούτων ὅσα μιν ἀγαθὰ ποιήσει ἢν κομίσας τοὺς οἰκέτας οἰκέῃ ἐκείνῃ, ὥστε ὑποδεξάμενον ἄσμενον τοὺς λόγους τὸν Πανιώνιον κομίσαι τὰ τέκνα καὶ τὴν γυναῖκα. (3) Ὡς δὲ ἄρα πανοικίῃ μιν

animo agit polliceturque, perfecerit, eique res ex sententia successerit, tuum, rex, hoc facinus erit; tui enim servi id fecerint: sive contra Mardonii sententiam res ceciderit, non ingens fuerit calamitas, salvo et te et domus tuæ statu. (3) Tu enim si salvus fueris domusque tua, multa frequentiaque pericula de salute sua adibunt Græci. Mardonio vero si quid acciderit, non tanti fuerit momenti; neque Græci, etiamsi Mardonium vicerint, insignem reportaverint victoriam servo tuo interempto. Tu vero cujus rei caussa expeditionem hanc suscepisti, incensis Athenis discessum facies. »

CIII. Hoc consilio, ut consentaneum erat, delectatus est Xerxes: opportune enim Artemisia ea ipsa dixerat, quæ ille animo agitabat. Etenim, ut mihi quidem videtur, etiamsi omnes et viri et mulieres, ut ibi maneret, ei suasissent, non erat mansurus: adeo metu erat perculsus. (2) Igitur laudibus Artemisiam prosecutus est, eamque dimisit, filios ipsius Ephesum ducturam: filii enim nonnulli nothi eum erant secuti.

CIV. Cum istis pueris Xerxes custodem misit Hermotimum, genere Pedasensem, qui primum inter eunuchos locum apud regem tenebat. Habitant autem Pedasenses supra Halicarnassum. (2) In quo Pedasorum oppido hoc rei fertur accidere: quando finitimis quibuscumque, qui circa oppidum illud habitant, grave quidpiam intra certum tempus imminet, tunc antistitæ templi Minervæ, quod ibi est, grandis nascitur barba: atque id jam bis apud illos accidit.

CV. Ex his igitur Pedasensibus Hermotimus erat: cui contigit gravissimam omnium, quos novimus, ultionem obtinere in hominem a quo injuria fuerat adfectus. Etenim bello captum et venundatum emit Panionius, civis Chius, qui opere iniquissimo vitam sustentabat. (2) Quoties enim pueros nactus esset forma præstantes, hos castrabat, et Sardes aut Ephesum abductos ingenti pretio vendebat. Quippe apud barbaros eunuchi pretiosiores sunt his qui non sunt castrati, et major illis in omnibus rebus fides habetur. (3) Quum alios igitur multos castraverat hic Panionius, utpote hoc quæstu vitam alens, tum vero etiam hunc ipsum. Nec vero usquequaque infelix Hermotimus fuit: nam e Sardibus cum aliis muneribus ad regem pervenit, et succedente tempore præ omnibus eunuchis maximo in honore apud Xerxem fuit.

CVI. Quo tempore vero Persicum exercitum adversus Athenas ducens rex Sardibus versabatur, tunc Hermotimus, quum nescio cujus negotii caussa in Mysiam terram quæ Chiorum est, cui Atarneus nomen, esset profectus, ibi Panionium invenit. (2) Quem ubi agnovit, multis verbis benigne est adlocutus; memorans primum, quantam prosperitatem per illum esset consecutus; deinde promittens, se rependendæ gratiæ caussa ingentibus beneficiis illum cumulaturum, si cum sua familia Sardes habitatum venisset. Quibus verbis persuasus Panionius, lubens accipiens conditionem, cum liberis et uxore Sardes migravit. (3) Sed postquam

περιέλαβε, ἔλεγε ὁ Ἑρμότιμος τάδε, « ὦ πάντων ἀνδρῶν ἤδη μάλιστα ἀπ' ἔργων ἀνοσιωτάτων τὸν βίον κτησάμενε, τί σε ἐγὼ κακὸν ἢ αὐτὸς ἢ τῶν ἐμῶν τις ἐργάσατο, ἢ σὲ ἢ τῶν σῶν τινὰ, ὅτι με ἀντ' ἀνδρὸς ἐποίησας τὸ μηδὲν εἶναι; (4) Ἐδόκεές τε θεοὺς λήσειν οἷα ἐμηχανῶ τότε· οἳ σε ποιήσαντα ἀνόσια, νόμῳ δικαίῳ χρεώμενοι, ὑπήγαγον ἐς χέρας τὰς ἐμὰς, ὥστε σε μὴ μέμψασθαι τὴν ἀπ' ἐμέο τοι ἐσομένην δίκην. » (5) Ὡς δέ οἱ ταῦτα ὠνείδισε, ἀχθέντων τῶν παίδων ἐς ὄψιν ἠναγκάζετο ὁ Πανιώνιος τῶν ἑαυτοῦ παίδων τεσσέρων ἐόντων τὰ αἰδοῖα ἀποτάμνειν, ἀναγκαζόμενος δὲ ἐποίεε ταῦτα· αὐτοῦ τε, ὡς ταῦτα ἐργάσατο, οἱ παῖδες ἀναγκαζόμενοι ἀπέταμνον. Πανιώνιον μέν νυν οὕτω περιῆλθε ἥ τε τίσις καὶ ὁ Ἑρμότιμος.

CVII. Ξέρξης δὲ ὡς τοὺς παῖδας Ἀρτεμισίῃ ἐπέτρεψε ἀπάγειν ἐς Ἔφεσον, καλέσας Μαρδόνιον ἐκέλευσέ μιν τῆς στρατιῆς διαλέγειν τοὺς βούλεται, καὶ ποιέειν τοῖσι λόγοισι τὰ ἔργα πειρώμενον ὁμοῖα. (2) Ταύτην μὲν τὴν ἡμέρην ἐς τοσοῦτο ἐγίνετο, τῆς δὲ νυκτὸς κελεύσαντος βασιλέος τὰς νέας οἱ στρατηγοὶ ἐκ τοῦ Φαλήρου ἀπῆγον ὀπίσω ἐς τὸν Ἑλλήσποντον, ὡς τάχεος εἶχε ἕκαστος, διαφυλαξούσας τὰς σχεδίας πορευθῆναι βασιλέϊ. (3) Ἐπεὶ δὲ ἀγχοῦ ἔσαν Ζωστῆρος πλώοντες οἱ βάρβαροι, ἀνατείνουσι γὰρ ἄκραι λεπταὶ τῆς ἠπείρου, ταύτας ἐδοξάν τε νέας εἶναι καὶ ἔφευγον ἐπὶ πολλόν. Χρόνῳ δὲ μαθόντες ὅτι οὐ νέες εἶεν, ἀλλ' ἄκραι, συλλεχθέντες ἐκομίζοντο.

CVIII. Ὡς δὲ ἡμέρη ἐγένετο, ὁρέοντες οἱ Ἕλληνες κατὰ χώρην μένοντα τὸν στρατὸν τὸν πεζὸν ἤλπιζον καὶ τὰς νέας εἶναι περὶ Φάληρον, ἐδόκεόν τε ναυμαχήσειν σφέας, παραρτέοντό τε ὡς ἀλεξησόμενοι. Ἐπεὶ δὲ ἐπύθοντο τὰς νέας οἰχωκυίας, αὐτίκα μετὰ ταῦτα ἐδόκεε ἐπιδιώκειν. Τὸν μέν νυν ναυτικὸν τὸν Ξέρξεω στρατὸν οὐκ ἐπείδον διώξαντες μέχρι Ἄνδρου, ἐς δὲ τὴν Ἄνδρον ἀπικόμενοι ἐβουλεύοντο. (2) Θεμιστοκλέης μέν νυν γνώμην ἀπεδείκνυτο διὰ νήσων τραπομένους καὶ ἐπιδιώξαντας τὰς νέας πλώειν ἰθέως ἐπὶ τὸν Ἑλλήσποντον λύσοντας τὰς γεφύρας· Εὐρυβιάδης δὲ τὴν ἐναντίην ταύτῃ γνώμην ἐτίθετο, λέγων ὡς εἰ λύσουσι τὰς σχεδίας, τοῦτ' ἂν μέγιστον πάντων σφεῖς κακὸν τὴν Ἑλλάδα ἐργασαίατο. (3) Εἰ γὰρ ἀναγκασθείη ἀπολαμφθεὶς ὁ Πέρσης μένειν ἐν τῇ Εὐρώπῃ, πειρῷτο ἂν ἡσυχίην μὴ ἄγειν, ὡς ἄγοντι μέν οἱ ἡσυχίην οὔτε τι προχωρέειν οἷόν τε ἔσται τῶν πρηγμάτων οὔτε τις κομιδὴ τὸ ὀπίσω φανήσεται, λιμῷ τέ οἱ ἡ στρατιὴ διαφθαρέεται, ἐπιχειρέοντι δὲ αὐτῷ καὶ ἔργου ἐχομένῳ πάντα τὰ κατὰ τὴν Εὐρώπην οἷά τε ἔσται προσχωρῆσαι κατὰ πόλις τε καὶ κατ' ἔθνεα, ἤτοι ἁλισκομένων ἢ πρὸ τούτου ὁμολογεόντων· τροφήν τε ἕξειν σφέας τὸν ἐπέτεον αἰεὶ τῶν Ἑλλήνων καρπόν. (4) Ἀλλὰ δοκέειν γὰρ νικηθέντα τῇ ναυμαχίῃ οὐ μενέειν ἐν τῇ Εὐρώπῃ τὸν Πέρσην· ἐατέον ὦν εἶναι φεύγειν, ἐς ὃ ἔλθῃ φεύγων ἐς τὴν ἑωυτοῦ. Τὸ ἐνθεῦτεν δὲ περὶ τῆς ἐκείνου ποιέεσθαι ἤδη τὸν ἀγῶνα ἐκέλευε. Ταύτης δὲ εἴχοντο

eum cum tota domo in potestate Hermotimus habuit, tum vero his verbis eum adfatus est : « O jam tu omnium hominum nequissime, ex iniquissimo negotio quæstum faciens, quid tibi aut ego ipse mali feci, aut quam injuriam aliquis meorum aut tibi aut tuorum alicui intulit, cur me ex viro feceris ut nihil essem? (4) Et tu quidem tunc putabas tore ut deos lateant tua facinora : at illi, justa lege utentes, te qui iniqua ista patrasti, meas in manus tradidere : quare de pœna, quam a te repetam, non est quod conqueraris. » (5) His postquam conviciis eum accepit, filios ejus in conspectum jussit adduci, et Panionium coegit suis ipsius filiis, qui quattuor numero erant, virilia abscindere; quod ille necessitate coactus fecit : deinde vero, hoc perfecto, filii ejusdem coacti sunt ipsum evirare. Talis Panionium ultio ex Hermotimo assecuta est.

CVII. Xerxes postquam filios suos Artemisiæ commiserat Ephesum ducendos, vocatum ad se Mardonium jussit, quos vellet, de exercitu seligere, operamque dare ut promissis facta æquaret. (2) Et hæc quidem illo die gesta sunt. Insequente vero nocte jussu regis duces classis naves ex Phalero abduxerunt, quanta velocitate quisque posset, ad Hellespontum revertentes, pontes custodituri ut regi ad transeundum essent parati. (3) Sed barbari hi, ut prope Zosterem pervenere, ubi tenuia quædam promontoria in mare prominent, naves has esse putantes, procul aufugerunt. Interjecto vero tempore, postquam intellexere non naves esse, sed promontoria, rursus sese conjunxerunt, cursumque continuarunt.

CVIII. Ut illuxit, Græci, pedestrem exercitum eodem in loco manentem conspicientes, existimabant naves etiam ad Phalerum adhuc stare : et navalem pugnam redintegraturos illos putantes, ad repugnandum sese comparabant. Postquam vero abiisse naves cognovere, tunc ocyus persequi illas decreverunt. At classem quidem Xerxis non conspexere, usque ad Andrum eam persecuti. Postquam vero Andrum pervenere, deliberarunt. (2) Et Themistocles quidem pro sententia dixit, per insulas navigando classemque etiamnunc persequendo, recta ad Hellespontum dirigendum esse cursum, pontesque rescindendos. At contrariam huic sententiam Eurybiades proposuit, dicens : si rescidissent pontes, hoc ipso longe maximam calamitatem Græcis inlaturos (3) Nam, si interclusus Persa cogeretur in Europa manere, operam illum esse daturum ut nunquam quietem agat; quoniam, si quietem ageret, nihil suarum rerum promoveret, neque reditus ei ullus ostenderetur, et fame periturus esset illius exercitus : molienti autem aliquid, et rebus gerendis sedulo operam danti, omnia Europæ oppida omnesque populos accessuros videri, sive bello subactos, sive deditione in tempore facta; et alimento hostibus futuros esse annuos Græcorum fructus. (4) E contrario, quum pugna navali victus Persa non videatur in Europa mansurus, permitti ei oportere ut fugiat, donec suam in terram fuga pervenerit; deinde vero de propria ipsius terra cum

τῆς γνώμης καὶ Πελοποννησίων τῶν ἄλλων οἱ στρατηγοί.

CIX. Ὡς δὲ ἔμαθε ὅτι οὐ πείσει τούς γε πολλοὺς πλώειν ἐς τὸν Ἑλλήσποντον ὁ Θεμιστοκλέης, μεταβαλὼν πρὸς τοὺς Ἀθηναίους (οὗτοι γὰρ μάλιστα ἐκπεφευγότων περιημέκτεον, ὡρμέατό τε ἐς τὸν Ἑλλήσποντον πλώειν καὶ ἐπὶ σφέων αὐτῶν βαλλόμενοι, εἰ ὦλλοι μὴ βουλοίατο) ἔλεγέ σφι τάδε, (2) « καὶ αὐτὸς ἤδη πολλοῖσι παρεγενόμην, καὶ πολλῷ πλέω ἀκήκοα τοιάδε γενέσθαι, ἄνδρας ἐς ἀναγκαίην ἀπειληθέντας νενικημένους ἀναμάχεσθαί τε καὶ ἀναλαμβάνειν τὴν προτέρην κακότητα. Ἡμεῖς δὲ (εὕρημα γὰρ εὑρήκαμεν ἡμέας τε αὐτούς καὶ τὴν Ἑλλάδα, νέφος τοσοῦτο ἀνθρώπων ἀνωσάμενοι) μὴ διώκωμεν ἄνδρας φεύγοντας. (3) Τάδε γὰρ οὐκ ἡμεῖς κατεργασάμεθα, ἀλλὰ θεοί τε καὶ ἥρωες, οἳ ἐφθόνησαν ἄνδρα ἕνα τῆς τε Ἀσίης καὶ τῆς Εὐρώπης βασιλεῦσαι ἐόντα ἀνόσιόν τε καὶ ἀτάσθαλον· ὃς τὰ ἱρὰ καὶ τὰ ἴδια ἐν ὁμοίῳ ἐποιέετο, ἐμπιπράς τε καὶ καταβάλλων τῶν θεῶν τὰ ἀγάλματα· ὃς καὶ τὴν θάλασσαν ἀπεμαστίγωσε πέδας τε κατῆκε. (4) Ἀλλ' εὖ γὰρ ἔχει ἐς τὸ παρεὸν ἡμῖν νῦν μὲν ἐν τῇ Ἑλλάδι καταμείναντας ἡμέων τε αὐτῶν ἐπιμεληθῆναι καὶ τῶν οἰκετέων· καί τις οἰκίην τε ἀναπλασάσθω καὶ σπόρου ἀνακῶς ἐχέτω, παντελέως ἀπελάσας τὸν βάρβαρον· ἅμα δὲ τῷ ἔαρι καταπλώωμεν ἐπὶ Ἑλλησπόντου καὶ Ἰωνίης. » (5) Ταῦτα ἔλεγε ἀποθήκην μέλλων ποιήσεσθαι ἐς τὸν Πέρσην, ἵνα ἢν ἄρα τί μιν καταλαμβάνῃ πρὸς Ἀθηναίων πάθος, ἔχῃ ἀποστροφήν· τά περ ὧν καὶ ἐγένετο.

CX. Θεμιστοκλέης μὲν ταῦτα λέγων διέβαλλε, Ἀθηναῖοι δὲ ἐπείθοντο· ἐπειδὴ γὰρ καὶ πρότερον δεδογμένος εἶναι σοφὸς ἐφάνη ἐὼν ἀληθέως σοφός τε καὶ εὔβουλος, πάντως ἑτοῖμοι ἦσαν λέγοντι πείθεσθαι. (2) Ὡς δὲ οὗτοί οἱ ἀνεγνωσμένοι ἦσαν, αὐτίκα μετὰ ταῦτα ὁ Θεμιστοκλέης ἄνδρας ἀπέπεμπε ἔχοντας πλοῖον, τοῖσι ἐπίστευε σιγᾶν ἐς πᾶσαν βάσανον ἀπικνεομένοισι, τὰ αὐτὸς ἐνετείλατο βασιλεῖ φράσαι· τῶν καὶ Σίκιννος ὁ οἰκέτης αὖτις ἐγένετο. Οἱ ἐπείτε ἀπίκοντο πρὸς τὴν Ἀττικὴν, οἱ μὲν κατέμενον ἐπὶ τῷ πλοίῳ, Σίκιννος δὲ ἀναβὰς παρὰ Ξέρξεα ἔλεγε τάδε, (3) « Ἔπεμψέ με Θεμιστοκλέης ὁ Νεοκλέος, στρατηγὸς μὲν Ἀθηναίων, ἀνὴρ δὲ τῶν συμμάχων πάντων ἄριστος καὶ σοφώτατος, φράσοντά τοι ὅτι Θεμιστοκλέης ὁ Ἀθηναῖος, σοὶ βουλόμενος ὑπουργέειν, ἔσχε τοὺς Ἕλληνας τὰς νέας βουλομένους διώκειν καὶ τὰς ἐν Ἑλλησπόντῳ γεφύρας λύειν. Καὶ νῦν κατ' ἡσυχίην πολλὴν κομίζεο. » Οἱ μὲν ταῦτα σημήναντες ἀπέπλωον ὀπίσω.

CXI. Οἱ δὲ Ἕλληνες, ἐπείτε σφι ἀπέδοξε μήτ' ἐπιδιώκειν ἔτι προσωτέρω τῶν βαρβάρων τὰς νέας μήτε πλώειν ἐς τὸν Ἑλλήσποντον λύσοντας τὸν πόρον, τὴν Ἄνδρον περιεκατέατο ἐξελεῖν ἐθέλοντες. (2) Πρῶτοι γὰρ Ἀνδριοι νησιωτέων αἰτηθέντες πρὸς Θεμιστοκλέος χρήματα οὐκ ἔδοσαν, ἀλλὰ προϊσχομένου Θεμιστοκλέος λόγον τόνδε, ὡς ἥκοιεν Ἀθηναῖοι περὶ ἑωυτοὺς ἔχοντες

illo esse decertandum. Hanc ad sententiam accesserunt reliquorum etiam Peloponnesiorum duces.

CIX. Ibi tunc Themistocles, postquam intellexit se majori ducum numero persuadere non posse ut in Hellespontum navigarent, mutato consilio Athenienses adiens (quippe qui effugisse barbaros ægerrime ferebant, et ipsi etiam per se, si reliqui nollent, in Hellespontum cupiebant navigare), hæc apud eos verba fecit: (2) « Equidem multis sæpe hujusmodi rebus interfui, et multo plura talia accidisse audivi: nempe viros ad necessitatem redactos, postquam victi essent, instaurasse pugnam, et superiorem reparasse calamitatem. Nos vero, postquam ex insperato et nos ipsos et Græciam, repulsa tanta hominum nube, lucrifecimus, fugientes viros ne persequamur! (3) Nec enim nos hæc perfecimus, sed dii atque heroes; qui noluerunt unum virum simul Asiæ et Europæ imperare, impium illum et nefarium; qui sacra et profana pariter insuper habuit, et simulacra deorum evertit cremavitque, qui mare etiam flagellis cecidit, et compedes in illud dejecit. (4) At nunc, quum bene res nostræ habeant, maneamus in Græcia, et nostrûm ipsorum familiarumque nostrarum curam geramus; et ædes suas quisque reficiat, et sementi faciendæ sedulo det operam, postquam Barbarum prorsus ejecerimus: ineunte autem vere in Hellespontum et in Ioniam navigemus! » (5) Hæc ille locutus est hoc consilio, ut gratiam apud Persam in futurum tempus iniret; quo, si ab Atheniensibus adversi aliquid ei accidisset, perfugium haberet: quod quidem ei etiam usu venit.

CX. Hæc dicens Themistocles, decepit Athenienses: at illi morem ei gesserunt. Quoniam enim, quum jam antea sapiens esset habitus, nuper re ipsa sapiens et plenus consilii erat repertus, facile dictis ejus paruere. (2) Postquam hi igitur ab illo persuasi fuerunt, continuo deinde viros cum navigio dimisit, quos confisus erat, etiamsi omnibus tormentis cruciarentur, tacituros mandata ad regem deferenda, quorum in numero iterum famulus ipsius Sicinnus erat. Hi ubi ad Atticam pervenere, reliquis in nave manentibus, Sicinnus exscendit, et hæc apud Xerxem verba fecit: (3) « Misit me Themistocles, Neoclis filius, prætor Atheniensium, sociorum omnium fortissimus et sapientissimus, qui tibi dicerem, Themistoclem Atheniensem, rebus tuis cupientem inservire, cohibuisse Græcos, naves tuas persequi volentes et pontes in Hellesponto rescindere. Itaque nunc largum per otium revertaris licet. » His nunciatis, retro hi navigarunt.

CXI. Græci, postquam displicuit consilium classem barbarorum ulterius persequendi aut in Hellespontum navigandi ad rescindendos pontes, Andrum circumsederunt, expugnare eam molientes. (2) Primi enim ex insulanis Andrii fuerunt a quibus pecuniam postulaverat Themistocles, quam illi dare recusarunt; sed Themistocli, quum his verbis eos adortus esset, ut diceret, venire Athenienses, duos

δύο θεοὺς μεγάλους, Πειθώ τε καὶ Ἀναγκαίην, οὕτω τέ σφι κάρτα δοτέα εἶναι χρήματα, ὑπεκρίναντο πρὸς ταῦτα λέγοντες ὡς κατὰ λόγον ἔσαν ἄρα αἱ Ἀθῆναι μεγάλαι τε καὶ εὐδαίμονες καὶ θεῶν χρηστῶν ἥκοιεν εὖ, ἐπεὶ Ἀνδρίους γε εἶναι γεωπείνας ἐς τὰ μέγιστα ἀνήκοντας, καὶ θεοὺς δύο ἀχρήστους οὐκ ἐκλείπειν σφέων τὴν νῆσον, ἀλλ' αἰεὶ φιλοχωρέειν, Πενίην τε καὶ Ἀμηχανίην, καὶ τούτων τῶν θεῶν ἐπηβόλους ἐόντας Ἀνδρίους οὐ δώσειν χρήματα· οὐδέκοτε γὰρ τῆς ἑωυτῶν ἀδυναμίης τὴν Ἀθηναίων δύναμιν εἶναι κρέσσω. Οἵδε μὲν δὴ ταῦτα ὑποκρινάμενοι καὶ οὐ δόντες χρήματα ἐπολιορκέοντο.

CXII. Θεμιστοκλέης δὲ, οὐ γὰρ ἐπαύετο πλεονεκτέων, ἐσπέμπων ἐς τὰς ἄλλας νήσους ἀπειλητηρίους λόγους αἴτεε χρήματα διὰ τῶν αὐτῶν ἀγγέλων, χρεώμενος λόγοισι τοῖσι πρὸς Ἀνδρίους ἐχρήσατο, λέγων ὡς εἰ μὴ δώσουσι τὸ αἰτεόμενον, ἐπάξει τὴν στρατιὴν τῶν Ἑλλήνων καὶ πολιορκέων ἐξαιρήσει. (2) Λέγων ὧν ταῦτα συνέλεγε χρήματα μεγάλα παρὰ Καρυστίων τε καὶ Παρίων, οἳ πυνθανόμενοι τήν τε Ἄνδρον ὡς πολιορκέοιτο διότι ἐμήδισε, καὶ Θεμιστοκλέα ὡς εἴη ἐν αἴνῃ μεγίστῃ τῶν στρατηγῶν, δείσαντες ταῦτα ἔπεμπον χρήματα. (3) Εἰ δὲ δή τινες καὶ ἄλλοι ἔδοσαν νησωτέων, οὐκ ἔχω εἰπαι· δοκέω δέ τινας καὶ ἄλλους δοῦναι καὶ οὐ τούτους μούνους. Καίτοι Καρυστίοισί γε οὐδὲν τούτου εἵνεκεν τοῦ κακοῦ ὑπερβολὴ ἐγένετο· Πάριοι δὲ Θεμιστοκλέα χρήμασι ἱλασάμενοι διέφυγον τὸ στράτευμα. (4) Θεμιστοκλέης μέν νυν ἐξ Ἄνδρου ὁρμεώμενος χρήματα παρὰ νησιωτέων ἔκτητο λάθρῃ τῶν ἄλλων στρατηγῶν.

CXIII. Οἱ δ' ἀμφὶ Ξέρξεα ἐπισχόντες ὀλίγας ἡμέρας μετὰ τὴν ναυμαχίην ἐξήλαυνον ἐς Βοιωτοὺς τὴν αὐτὴν ὁδόν. Ἔδοξε γὰρ Μαρδονίῳ ἅμα μὲν προπέμψαι βασιλέα, ἅμα δὲ ἀνωρίην εἶναι τοῦ ἔτεος πολεμέειν· χειμερίσαι δὲ ἄμεινον εἶναι ἐν Θεσσαλίῃ, καὶ ἔπειτεν ἅμα τῷ ἔαρι πειρᾶσθαι τῆς Πελοποννήσου. (2) Ὡς δὲ ἀπίκατο ἐς τὴν Θεσσαλίην, ἐνθαῦτα Μαρδόνιος ἐξελέγετο πρώτους μὲν Πέρσας πάντας τοὺς ἀθανάτους καλευμένους, πλὴν Ὑδάρνεος τοῦ στρατηγοῦ (οὗτος γὰρ οὐκ ἔφη λείψεσθαι βασιλέος), μετὰ δὲ τῶν ἄλλων Περσέων τοὺς θωρηκοφόρους καὶ τὴν ἵππον τὴν χιλίην, καὶ Μήδους τε καὶ Σάκας καὶ Βακτρίους τε καὶ Ἰνδούς, καὶ τὸν πεζὸν καὶ τὴν ἵππον. (3) Ταῦτα μὲν ἔθνεα ὅλα εἵλετο, ἐκ δὲ τῶν ἄλλων συμμάχων ἐξελέγετο κατ' ὀλίγους, τοῖσι εἴδεά τε ὑπῆρχε διαλέγων, καὶ εἴ τέοισί τι χρηστὸν συνήδεε πεποιημένον. (4) Ἐν δὲ πλεῖστον ἔθνος Πέρσας αἱρέετο, ἄνδρας στρεπτοφόρους τε καὶ ψελιοφόρους, ἐπὶ δὲ Μήδους· οὗτοι δὲ πλῆθος μὲν οὐκ ἐλάσσονες ἔσαν τῶν Περσέων, ῥώμῃ δὲ ἔσσονες. Ὥστε σύμπαντας τριήκοντα μυριάδας γενέσθαι σὺν ἱππεῦσι.

CXIV. Ἐν δὲ τούτῳ τῷ χρόνῳ ἐν τῷ Μαρδόνιός τε τὴν στρατιὴν διέκρινε καὶ Ξέρξης ἦν περὶ Θεσσαλίην, χρηστήριον ἐληλύθεε ἐκ Δελφῶν Λακεδαιμονίοισι,

magnos deos secum habentes, Persuasionem et Necessitatem, quare utique dare illos oportere pecunias; ad hæc illi responderunt, merito magnas et opulentas fuisse Athenas, et bonis usas esse diis; cæterum Andrios tenuem incolere terram et admodum esse egenos; duosque inutiles deos non relinquere ipsorum insulam, sed constanter eam habitare, Paupertatem et Impotentiam; et quum hosce deos Andrii possideant, non daturos ipsos pecuniam: numquam enim potentiam Atheniensium superiorem fore ipsorum impotentia. Hi igitur, quum hæc respondissent, nec dedissent pecuniam, oppugnabantur.

CXII. Themistocles vero, numquam cessans corradere pecunias, in reliquas insulas eosdem, quos ad Andrios, nuncios cum minacibus mandatis misit, pecunias ab illis postulans, dicensque, nisi postulatis satisfacerent incolæ, ducturum se adversus eos Græcorum exercitum, et obsessos perditurum. (2) Hæc dictitando, ingentes pecunias a Carystiis et a Pariis coegit. Hi enim, quum Andrum cognovissent oppugnari quod Medis favisset, scirentque in maxima præ cæteris ducibus existimatione Themistoclem esse, hæc metuentes, pecunias miserunt. (3) An vero et alii nonnulli ex insulanis pecunias dederint, adfirmare non possum: puto autem, et alios dedisse, nec hos solos. At Carystiis quidem ideo nihilo magis contigit evitare calamitatem: Parii vero, Themistocle pecuniis placato, incursionem exercitus effugerunt. (4) Ita igitur Themistocles, ab Andro impetum faciens, pecunias ab insulanis coegit clam reliquis ducibus.

CXIII. Xerxes autem cum suis, paucos post navalem pugnam dies moratus, eadem qua venerat via in Bœotiam movit. Nam Mardonio visum erat et comitari regem, et, quia opportunum non esset anni tempus ad bellum gerendum, satius esse in Thessalia hibernare, et deinde, redeunte vere, Peloponnesum adgredi. (2) Ut vero in Thessaliam pervenere, ibi Mardonius primum Persas omnes, quos Immortales vocant, selegit, excepto duce eorum Hydarne; hic enim se negaverat relicturum regem. Deinde ex reliquis Persis loricatos selegit, et millenarium equitatum; tum vero Medos et Sacas et Bactrios et Indos, tam peditatum, quam equitatum. (3) Et ex his quidem populis omnes, qui aderant, sibi sumpsit: ex reliquis vero sociis non nisi paucos passim selegit, eos legens qui aut forma essent præstantes, aut a quibus clarum aliquod facinus editum noverat. (4) In horum autem numero plerique genere Persæ fuere, torques et armillas gestantes; et post hos Medi. Erant autem Medi numero non inferiores Persis, sed robore his cedebant. Ita factum est, ut universus exercitus a Mardonio selectus, simul cum equitibus, numerum trecentorum millium compleret.

CXIV. Per idem tempus, quo Mardonius delectum instituit militum, et Xerxes adhuc in Thessalia erat, oraculum ex Delphis adlatum est Lacedæmoniis, jubens illos satis-

Ξέρξεα αἰτέειν δίκας τοῦ Λεωνίδεω φόνου καὶ τὸ διδόμενον ἐξ ἐκείνου δέκεσθαι. (2) Πέμπουσι δὴ κήρυκα τὴν ταχίστην Σπαρτιῆται, ὃς ἐπειδὴ κατέλαβε ἐοῦσαν ἔτι πᾶσαν τὴν στρατιὴν ἐν Θεσσαλίῃ, ἐλθὼν ἐς ὄψιν τὴν Ξέρξεω ἔλεγε τάδε, « ὦ βασιλεῦ Μήδων, Λακεδαιμόνιοί τέ σε καὶ Ἡρακλεῖδαι οἱ ἀπὸ Σπάρτης αἰτέουσι φόνου δίκας, ὅτι σφέων τὸν βασιλέα ἀπέκτεινας ῥυόμενον τὴν Ἑλλάδα. » (3) Ὁ δὲ γελάσας τε καὶ κατασχὼν πολλὸν χρόνον, ὡς οἱ ἐτύγχανε παρεστεὼς Μαρδόνιος, δεικνὺς ἐς τοῦτον εἶπε, « τοιγάρ σφι Μαρδόνιος ὅδε δίκας δώσει τοιαύτας οἵας ἐκείνοισι πρέπει. » Ὁ μὲν δὴ δεξάμενος τὸ ῥηθὲν ἀπαλλάσσετο.

CXV. Ξέρξης δὲ Μαρδόνιον ἐν Θεσσαλίῃ καταλιπὼν αὐτὸς ἐπορεύετο κατὰ τάχος ἐς τὸν Ἑλλήσποντον, καὶ ἀπικνέεται ἐς τὸν πόρον τῆς διαβάσιος ἐν πέντε καὶ τεσσεράκοντα ἡμέρῃσι, ἀπάγων τῆς στρατιῆς οὐδὲν μέρος ὡς εἶπαι. (2) Ὅκου δὲ πορευόμενοι γινοίατο καὶ κατ' οὔστινας ἀνθρώπους, τὸν τούτων καρπὸν ἁρπάζοντες ἐσιτέοντο· εἰ δὲ καρπὸν μηδένα εὕροιεν, οἱ δὲ τὴν ποίην τὴν ἐκ τῆς γῆς ἀναφυομένην καὶ τῶν δενδρέων τὸν φλοιὸν περιλέποντες καὶ τὰ φύλλα καταδρέποντες κατήσθιον, δμοίως τῶν τε ἡμέρων καὶ τῶν ἀγρίων, καὶ ἔλειπον οὐδέν· ταῦτα δ' ἐποίευν ὑπὸ λιμοῦ. (3) Ἐπιλαβὼν δὲ λοιμός τε τὸν στρατὸν καὶ δυσεντερίη κατ' ὁδὸν διέφθειρε. Τοὺς δὲ καὶ νοσέοντας αὐτῶν κατέλειπε, ἐπιτάσσων τῇσι πόλισι, ἵνα ἑκάστοτε γίνοιτο ἐλαύνων, μελεδαίνειν τε καὶ τρέφειν, ἐν Θεσσαλίῃ τέ τινας καὶ ἐν Σίρι τῆς Παιονίης καὶ ἐν Μακεδονίῃ. (4) Ἔνθα καὶ τὸ ἱρὸν ἅρμα καταλιπὼν τοῦ Διὸς, ὅτε ἐπὶ τὴν Ἑλλάδα ἤλαυνε, ἀπιὼν οὐκ ἀπέλαβε, ἀλλὰ δόντες οἱ Παίονες τοῖσι Θρήϊξι ἀπαιτέοντος Ξέρξεω ἔφασαν νεμομένας ἁρπαχθῆναι ὑπὸ τῶν ἄνω Θρηίκων τῶν περὶ τὰς πηγὰς τοῦ Στρυμόνος οἰκημένων.

CXVI. Ἔνθα καὶ ὁ τῶν Βισαλτέων βασιλεὺς γῆς τε τῆς Κρηστωνικῆς, Θρῆιξ, ἔργον ὑπερφυὲς ἐργάσατο· ὃς οὔτε αὐτὸς ἔφη τῷ Ξέρξῃ ἑκὼν εἶναι δουλεύσειν, ἀλλ' οἴχετο ἄνω ἐς τὸ οὖρος τὴν Ῥοδόπην, τοῖσί τε παισὶ ἀπηγόρευε μὴ στρατεύεσθαι ἐπὶ τὴν Ἑλλάδα. (2) Οἱ δὲ ἀλογήσαντες, ἢ ἄλλως σφι θυμὸς ἐγένετο θηήσασθαι τὸν πόλεμον, ἐστρατεύοντο ἅμα τῷ Πέρσῃ. Ἐπεὶ δὲ ἀνεχώρησαν ἀσινέες πάντες ἐξ ἑόντες, ἐξώρυξε αὐτῶν ὁ πατὴρ τοὺς ὀφθαλμοὺς διὰ τὴν αἰτίην ταύτην. Καὶ οὗτοι μὲν τοῦτον τὸν μισθὸν ἔλαβον.

CXVII. Οἱ δὲ Πέρσαι ὡς ἐκ τῆς Θρηίκης πορευόμενοι ἀπίκοντο ἐπὶ τὸν πόρον, ἐπειγόμενοι τὸν Ἑλλήσποντον τῇσι νηυσὶ διέβησαν ἐς Ἄβυδον· τὰς γὰρ σχεδίας οὐκ εὗρον ἔτι ἐντεταμένας, ἀλλ' ὑπὸ χειμῶνος διαλελυμένας. (2) Ἐνθαῦτα δὲ κατεχόμενοι σιτία τε πλέω ἢ κατ' ὁδὸν ἐλάγχανον, οὐδένα τε κόσμον ἐμπλάμενοι καὶ ὕδατα μεταβάλλοντες ἀπέθνησκον τοῦ στρατοῦ τοῦ περιεόντος πολλοί. Οἱ δὲ λοιποὶ ἅμα Ξέρξῃ ἀπικνέονται ἐς Σάρδις.

CXVIII. Ἔστι δὲ καὶ ἄλλος ὅδε λόγος λεγόμενος, ὡς ἐπειδὴ Ξέρξης ἀπελαύνων ἐξ Ἀθηνέων ἀπίκετο ἐπ'

factionem a Xerxe repetere pro cæde Leonidæ; et, quidquid ille dedisset, accipere. (2) Itaque ocyus præconem miserunt Spartani: qui ut universum exercitum nactus est in Thessalia adhuc hærentem, in conspectum Xerxis prodiens, hæc dixit: « Rex Medorum, Lacedæmonii et Heraclidæ ex Sparta satisfactionem abs te postulant quod regem ipsorum interfecisti, qui Græciam erat servaturus. (3) Ad hæc ridens rex, et diu nihil respondens, postremo, quum forte adstaret ei Mardonius, hunc digito monstrans ait: « Itaque Mardonius hic satisfactionem illis dabit, quales eis digna est. » Et præco, accipiens dictum, reversus est.

CXV. Inde Xerxes, Mardonio in Thessalia relicto, ipse ad Hellespontum maturavit abire: et quadragesimo quinto die ad locum, ubi trajecerat fretum, pervenit, nullam (ut ita dicam) exercitus partem in Asiam reducens. (2) Milites in itinere, ubicumque locorum erant et apud quoscumque homines, horum fructus rapientes comedebant: si cubi nihil fructuum invenissent, gramen e terra enatum, et decerptum arborum corticem, et ex arboribus tam cultis quam silvestribus destricta manducabant folia, nihilque reliquerant, fame ita cogente. (3) Ad hæc pestis et dysenteria invadens exercitum, multos in itinere interemit. Ægrotos vero etiam in itinere relinquebat rex, dato civitatibus, ut in quaque erant, mandato, ut curarent illos alerentque: ita alios in Thessalia, alios in Siri Pæoniæ, alios in Macedonia reliquerat. (4) Ibi etiam antea, quum in Græciam tenderet, sacrum currum Jovis reliquerat: quem nunc rediens non recepit. Nam Pæones, qui illum Thracibus tradiderant, repetenti Xerxi dixere, equas e pascuo raptas esse a superioribus Thracibus circa Strymonis fontes habitantibus.

CXVI. Ibidem rex Bisaltarum et terræ Crestonicæ, Thrax, immane patravit facinus. Dixerat ille, nec se ultro serviturum Xerxi, sed in superiora loca in montem Rhodopen se receperat, et filiis suis interdixerat ne adversus Græciam militarent. (2) At illi, spreto patris imperio, sive quod cupido illos incesserat belli spectandi, cum Persa militarunt. Postquam vero salvi omnes, sex numero, redierunt, oculos eis pater istam ob culpam effodit: et illi quidem hanc mercedem abstulerunt.

CXVII. Persæ vero ut peragrata Thracia ad trajectum pervenere, quanta maxima celeritate poterant Hellespontum navibus trajicientes Abydum petierunt: etenim pontes non amplius stratos invenerant, sed tempestate dissolutos. (2) Ibi morantes, quum copiosiora quam in itinere alimenta nacti supra modum sese implerent, et alias, quam adhuc, biberent aquas, multi de exercitu qui supererat periere. Reliqui vero una cum Xerxe Sardes pervenere.

CXVIII. Fertur quidem etiam alia fama, Xerxem, postquam Athenis profectus Eionem ad Strymonem fluvium per-

Ἠϊόνα τὴν ἐπὶ Στρυμόνι, ἐνθεῦτεν οὐκέτι ὁδοιπορίῃσι διεχρέετο, ἀλλὰ τὴν μὲν στρατιὴν Ὑδάρνεϊ ἐπιτράπει ἀπάγειν ἐς τὸν Ἑλλήσποντον, αὐτὸς δ' ἐπὶ νεὸς Φοινίσσης ἐπιβὰς ἐκομίζετο ἐς τὴν Ἀσίην. (2) Πλώοντα δέ μιν ἄνεμον Στρυμονίην ὑπολαβέειν μέγαν καὶ κυματίην. Καὶ δὴ μᾶλλον γάρ τι χειμαίνεσθαι γεμούσης τῆς νεὸς ὥστε ἐπὶ τοῦ καταστρώματος ἐπεόντων συχνῶν Περσέων τῶν σὺν Ξέρξῃ κομιζομένων, ἐνθαῦτα ἐς δεῖμα πεσόντα τὸν βασιλέα εἴρεσθαι βώσαντα τὸν κυβερνήτεα εἴ τις ἔστι σφι σωτηρίη, καὶ τὸν εἶπαι, « δέσποτα, οὐκ ἔστι οὐδεμία, εἰ μὴ τούτων ἀπαλλαγή τις γένηται τῶν πολλῶν ἐπιβατέων. » (3) Καὶ Ξέρξεα λέγεται ἀκούσαντα ταῦτα εἶπαι, « ἄνδρες Πέρσαι, νῦν τις διαδεξάτω ὑμέων βασιλέος κηδόμενος· ἐν ὑμῖν γὰρ οἷκε ἐμοὶ εἶναι ἡ σωτηρίη. » Τὸν μὲν ταῦτα λέγειν, τοὺς δὲ προσκυνέοντας ἐκπηδᾶν ἐς τὴν θάλασσαν, καὶ τὴν νέα ἐπικουφισθεῖσαν οὕτω δὴ ἀποσωθῆναι ἐς τὴν Ἀσίην. (4) Ὡς δὲ ἐκβῆναι τάχιστα ἐς γῆν τὸν Ξέρξεα, ποιῆσαι τοιόνδε· ὅτι μὲν ἔσωσε βασιλέος τὴν ψυχήν, δωρήσασθαι χρυσέῃ στεφάνῃ τὸν κυβερνήτεα, ὅτι δὲ Περσέων πολλοὺς ἀπώλεσε, ἀποταμέειν τὴν κεφαλὴν αὐτοῦ.

CXIX. Οὗτος δὲ ἄλλος λέγεται λόγος περὶ τοῦ Ξέρξεω νόστου, οὐδαμῶς ἐμοιγε πιστὸς, οὔτε ἄλλως οὔτε τὸ Περσέων τοῦτο πάθος. (2) Εἰ γὰρ δὴ ταῦτα οὕτω εἰρέθη ἐκ τοῦ κυβερνήτεω πρὸς Ξέρξεα, ἐν μυρίῃσι γνώμῃσι μίαν οὐκ ἔχω ἀντίξοον, μὴ οὐκ ἂν ποιῆσαι βασιλέα τοιόνδε, τοὺς μὲν ἐκ τοῦ καταστρώματος καταβιβάσαι ἐς κοίλην νέα ἐόντας Πέρσας καὶ Περσέων τοὺς πρώτους, τῶν δ' ἐρετέων ἐόντων Φοινίκων ὅκως οὐκ ἂν ἴσον πλῆθος τοῖσι Πέρσῃσι ἐξέβαλε ἐς τὴν θάλασσαν. (3) Ἀλλ' ὁ μὲν, ὡς καὶ πρότερόν μοι εἴρηται, ὁδῷ χρεώμενος ἅμα τῷ ἄλλῳ στρατῷ ἀπενόστησε ἐς τὴν Ἀσίην.

CXX. Μέγα δὲ καὶ τόδε μαρτύριον· φαίνεται γὰρ Ξέρξης ἐν τῇ ὀπίσω κομιδῇ ἀπικόμενος ἐς Ἄβδηρα καὶ ξεινίην τέ σφι συνθέμενος καὶ δωρησάμενος αὐτοὺς ἀκινάκη τε χρυσέῳ καὶ τιήρῃ χρυσοπάστῳ. (2) Καὶ ὡς αὐτοὶ λέγουσι Ἀβδηρῖται, λέγοντες ἐμοιγε οὐδαμῶς πιστὰ, πρῶτον ἐλύσατο τὴν ζώνην φεύγων ἐξ Ἀθηνέων ὀπίσω, ὡς ἐν ἀδείῃ ἐών. Τὰ δὲ Ἄβδηρα ἵδρυται πρὸς τοῦ Ἑλλησπόντου μᾶλλον ἢ τοῦ Στρυμόνος καὶ τῆς Ἠϊόνος, ὅθεν δή μιν φασι ἐπιβῆναι ἐπὶ τὴν νέα.

CXXI. Οἱ δὲ Ἕλληνες ἐπείτε οὐκ οἷοί τε ἐγένοντο ἐξελέειν τὴν Ἄνδρον, τραπόμενοι ἐς Κάρυστον καὶ δηϊώσαντες αὐτῶν τὴν χώρην ἀπαλλάσσοντο ἐς Σαλαμῖνα. Πρῶτα μέν νυν τοῖσι θεοῖσι ἐξεῖλον ἀκροθίνια ἄλλα τε καὶ τριήρεας τρεῖς Φοινίσσας, τὴν μὲν ἐς Ἰσθμὸν ἀναθεῖναι, ἥπερ ἔτι καὶ ἐς ἐμὲ ἦν, τὴν δὲ ἐπὶ Σούνιον, τὴν δὲ τῷ Αἴαντι αὐτοῦ ἐς Σαλαμῖνα. (2) Μετὰ δὲ τοῦτο διεδάσαντο τὴν λῃΐην καὶ τὰ ἀκροθίνια ἀπέπεμψαν ἐς Δελφοὺς, ἐκ τῶν ἐγένετο ἀνδριὰς ἔχων ἐν τῇ χερὶ ἀκρωτήριον νεὸς, ἐὼν μέγαθος δυωκαίδεκα πηχέων· ἕστηκε δὲ οὗτος τῇ περ ὁ Μακεδὼν Ἀλέξανδρος ὁ χρύσεος.

venisset, inde non amplius terrestri usum esse itinere; sed exercitum quidem Hydarni tradidisse, qui eum ad Hellespontum deduceret, ipsum vero conscensa Phœnissa nave in Asiam trajecisse; (2) in trajectu vero a vehemente impetuosoque vento Strymonia fuisse exceptum. Ibi tunc, quum magis magisque fureret tempestas, et nimis onerata esset navis, quippe magno numero Persarum Xerxem comitantium in ponte navis stante, timore perculsum regem cum clamore quæsisse ex gubernatore, ecqua salutis spes esset; eique gubernatorem respondisse, « Domine, non alia spes est, nisi de numero multorum horum vectorum pars quædam amoveatur. » (3) Quæ audientem Xerxem, aiunt, dixisse: « Viri Persæ, nunc vestrûm quisque ostendat curæ vobis esse regem! nam in vobis mea salus posita videtur. » Quibus auditis illos adorasse regem, et in mare prosiliisse; et navem ita levatam, salvam in Asiam pervenisse. (4) Xerxem vero, simul atque in terram exscendisset, hæc fecisse: aurea corona donasse gubernatorem, quod regis vitam conservasset; deinde vero, quod magnum Persarum numerum perdidisset, caput ei jussisse præcidi.

CXIX. Sed hæc altera de Xerxis reditu temere fertur fama, mihique prorsus incredibilis est, tam quod ad cætera spectat, quam quod ad istam Persarum calamitatem. (2) Nam si ista Xerxi gubernator dixisset, ex decem millibus hominum, quos rogarem sententiam, ne unum quidem esse existimo, quin mihi sit adsensurus, non ejusmodi quidpiam facturum fuisse regem, sed Persas Persarumque principes, qui in ponte fuerunt, jussurum fuisse in cavitatem navis descendere, remigum vero, qui Phœnices erant, parem numerum, quot Persæ fuerunt, in mare ejecturum. (3) At ille, ut modo dixi, simul cum reliquo exercitu terrestre iter faciens in Asiam rediit.

CXX. Cujus rei etiam locuples est testimonium hoc, quod satis constat, Xerxem in reditu Abdera venisse, et hospitium contraxisse cum Abderitis, eosque aureo acinace atque tiara auro intexta donasse. (2) Et, ut soli quidem Abderitæ narrant, (quod mihi parum fit probabile,) primum apud illos, ex quo Athenis profugit, cingulum solvit, utpote nunc in tuto se esse ratus. Sunt autem Abdera Hellesponto propiora, quam Strymoni et Eioni, ubi illum aiunt navem conscendisse.

CXXI. Græci, quum expugnare Andrum non potuissent, Carystum petierunt, et evastato Carystiorum agro, Salaminem redierunt. Ibi primum primitias prædæ exemerunt diis, quum alia, tum tres Phœnissas triremes; quarum una in Isthmo dedicaretur, quæ mea adhuc ætate superfuit; altera ad Sunium, tertia Ajaci in ipsa Salamine. (2) Deinde prædam inter se diviserunt, et Delphos miserunt primitias; e quibus facta est statua duodecim cubitorum magnitudine, rostrum navis manu tenens; quæ eodem loco posita est ubi aurea Alexandri Macedonis statua.

CXXII. Πέμψαντες δὲ ἀκροθίνια οἱ Ἕλληνες ἐς Δελφοὺς ἐπειρώτεον τὸν θεὸν κοινῇ εἰ λελάβηκε πλήρεα καὶ ἀρεστὰ τὰ ἀκροθίνια. Ὁ δὲ παρ' Ἑλλήνων μὲν τῶν ἄλλων ἔφησε ἔχειν, παρ' Αἰγινητέων δὲ οὔ, ἀλλ' ἀπαίτεε αὐτοὺς τὰ ἀριστήϊα τῆς ἐν Σαλαμῖνι ναυμαχίης. (2) Αἰγινῆται δὲ πυθόμενοι ἀνέθεσαν ἀστέρας χρυσέους, οἳ ἐπὶ ἱστοῦ χαλκέου ἑστᾶσι τρεῖς ἐπὶ τῆς γωνίης, ἀγχοτάτω τοῦ Κροίσου κρητῆρος.

CXXIII. Μετὰ δὲ τὴν διαίρεσιν τῆς λητίης ἔπλωον οἱ Ἕλληνες ἐς τὸν Ἰσθμὸν ἀριστήϊα δώσοντες τῷ ἀξιωτάτῳ γενομένῳ Ἑλλήνων ἀνὰ τὸν πόλεμον τοῦτον. (2) Ὡς δὲ ἀπικόμενοι οἱ στρατηγοὶ διενέμοντο τὰς ψήφους ἐπὶ τοῦ Ποσειδέωνος τῷ βωμῷ, τὸν πρῶτον καὶ τὸν δεύτερον κρίνοντες ἐκ πάντων, ἐνθαῦτα πᾶς τις αὐτῶν ἑωυτῷ ἐτίθετο τὴν ψῆφον, αὐτὸς ἕκαστος δοκέων ἄριστος γενέσθαι, δεύτερα δὲ οἱ πολλοὶ συνεξέπιπτον Θεμιστοκλέα κρίνοντες. (3) Οἱ μὲν δὴ ἐμουνοῦντο, Θεμιστοκλέης δὲ δευτερείοισι ὑπερεβάλλετο πολλόν.

CXXIV. Οὐ βουλομένων δὲ ταῦτα κρίνειν τῶν Ἑλλήνων φθόνῳ, ἀλλ' ἀποπλωόντων ἑκάστων ἐς τὴν ἑωυτῶν ἀκρίτων, ὅμως Θεμιστοκλέης ἐδόκεε τε καὶ ἐδοξώθη εἶναι ἀνὴρ πολλὸν Ἑλλήνων σοφώτατος ἀνὰ πᾶσαν τὴν Ἑλλάδα. (2) Ὅτι δὲ νικῶν οὐκ ἐτιμήθη πρὸς τῶν ἐν Σαλαμῖνι ναυμαχησάντων, αὐτίκα μετὰ ταῦτα ἐς Λακεδαίμονα ἀπίκετο ἐθέλων τιμηθῆναι· καί μιν Λακεδαιμόνιοι καλῶς μὲν ὑπεδέξαντο, μεγάλως δὲ ἐτίμησαν. (3) Ἀριστήϊα μέν νυν ἔδοσαν Εὐρυβιάδῃ ἐλαίης στέφανον, σοφίης δὲ καὶ δεξιότητος Θεμιστοκλέϊ, καὶ τούτῳ στέφανον ἐλαίης. Ἐδωρήσαντο δέ μιν ὄχῳ τῷ ἐν Σπάρτῃ καλλιστεύσαντι. (4) Αἰνέσαντες δὲ πολλὰ, προέπεμψαν ἀπιόντα τριηκόσιοι Σπαρτιητέων λογάδες, οὗτοι οἵπερ ἱππέες καλεῦνται, μέχρι οὔρων τῶν Τεγεητικῶν. Μοῦνον δὴ τοῦτον πάντων ἀνθρώπων τῶν ἡμεῖς ἴδμεν Σπαρτιῆται προέπεμψαν.

CXXV. Ὡς δὲ ἐκ τῆς Λακεδαίμονος ἀπίκετο ἐς τὰς Ἀθήνας, ἐνθαῦτα Τιμόδημος Ἀφιδναῖος τῶν ἐχθρῶν μὲν τῶν Θεμιστοκλέος ἐών, ἄλλως δὲ οὐ τῶν ἐπιφανέων ἀνδρῶν, φθόνῳ καταμαργέων ἐνείκεε τὸν Θεμιστοκλέα, τὴν ἐς Λακεδαίμονα ἄπιξιν προφέρων, ὡς διὰ τὰς Ἀθήνας ἔχοι τὰ γέρεα τὰ παρὰ Λακεδαιμονίων, ἀλλ' οὐ δι' ἑωυτόν. (2) Ὁ δὲ, ἐπείτε οὐκ ἐπαύετο ταῦτα λέγων ὁ Τιμόδημος, εἶπε, « οὕτω ἔχει τοι· οὔτ' ἂν ἐγὼ ἐὼν Βελβινίτης ἐτιμήθην οὕτω πρὸς Σπαρτιητέων, οὔτ' ἂν σὺ, ὦνθρωπε, ἐὼν Ἀθηναῖος. » Ταῦτα μέν νυν ἐς τοσοῦτο ἐγένετο.

CXXVI. Ἀρτάβαζος δὲ ὁ Φαρνάκεος ἀνὴρ ἐν Πέρσῃσι λόγιμος καὶ πρόσθε ἐών, ἐκ δὲ τῶν Πλαταιικῶν καὶ μᾶλλον ἔτι γενόμενος, ἔχων ἐξ μυριάδας στρατοῦ τοῦ Μαρδόνιος ἐξελέξατο, προέπεμπε βασιλέα μέχρι τοῦ πόρου. (2) Ὡς δὲ ὁ μὲν ἦν ἐν τῇ Ἀσίῃ, ὁ δὲ ὀπίσω πορευόμενος κατὰ τὴν Παλλήνην ἐγίνετο, ἅτε Μαρδονίου τε χειμερίζοντος περὶ Θεσσαλίην τε καὶ Μακεδονίην καὶ οὐδέν κω κατεπείγοντος ἥκειν ἐς τὸ ἄλλο στρατόπεδον, οὐκ ἐδικαίευ ἐντυχὼν ἀπεστεῶσι Ποτιδαιήτῃσι

CXXII. Postquam Delphos primitias miserunt Græci, communi omnium nomine interrogarunt deum, an sufficientes et gratas accepisset primitias. Quibus ille respondit, a cæteris quidem; nec vero ab Æginetis: sed ab his repetiit præmium quod illis ob rem ad Salamina bene gestam tributum fuisset. (2) Quo audito, Æginetæ dedicarunt aureas stellas tres, quæ super æneo malo stant in angulo proxime Cræsi craterem.

CXXIII. Post prædæ distributionem in Isthmum navigarunt Græci, virtutis præmium tributuri ei e suorum numero, qui in hoc bello præ cæteris illud commeruisset. (2) Postquam vero eo pervenerunt duces, et calculos inter se ad Neptuni aram distribuerunt, primum et secundum suo judicio designaturi; ibi tunc eorum quisque sibi primum posuit calculum, se ipsum quisque fortissimum judicans: quod autem ad secundas partes pertinet, plerique calculi in Themistoclem consenserunt. (3) Itaque illi singula habuere suffragia: Themistocli autem longe pleraque suffragia secundas tribuerunt partes.

CXXIV. Id judicium duces quidem Græci ob invidiam ratum habere noluerunt, sed re injudicata suam quisque in civitatem discessit: verumtamen Themistocles per universam Græciam ut Græcorum longe prudentissimus prædicatus celebratusque est. (2) Quoniam vero, licet victor, non tamen honore adfectus erat ab his qui pugnæ ad Salaminem fuerant socii; protinus post hæc Lacedæmonem se contulit, ibi se honoratum iri sperans. Et liberaliter eum receperunt Lacedæmonii, et eximio honore adfecerunt. (3) Nam Eurybiadi quidem primum decrevere præmium, oleagineam coronam: prudentiæ vero et dexteritatis præmium Themistocli tribuerunt, oleagineam huic pariter coronam. Præterea curru eum donarunt, pulcerrimo qui Spartæ erat: (4) et egregie collaudatum prosecuti sunt abeuntem delecti trecenti Spartanorum, hi qui Equites vocantur, usque ad Tegeatarum fines. Est autem Themistocles unus ex omnibus quos novimus hominibus, quem Spartani ita publice sint prosecuti.

CXXV. Ut autem Lacedæmone Athenas venit, ibi tunc Timodemus, Aphidnensis, qui de numero inimicorum ejus erat, cæterum non ex illustribus viris homo, invidia insaniens, obtrectavit Themistocli; exprobransque ei quod Lacedæmonem se contulisset, aiebat, Atheniensium gratia Lacedæmonios eum honore illo esse prosecutos, non ipsius gratia. (2) Quod ubi passim dictitare non desiit Timodemus, Themistocles ei ait: « Ita tibi se res habet: nec ego, si Belbinita essem, ita honoratus fuissem a Lacedæmoniis; nec tu, homo, si esses genere Atheniensis. » Et hæc facta quidem hactenus.

CXXVI. Interim Artabazus, Pharnacis filius, jam ante spectatus vir inter Persas, et deinde ex Platæensi pugna magis etiam nobilitatus, cum sexaginta militum millibus de eo exercitu quem Mardonius sibi selegerat, regem usque ad fretum deduxit. (2) Postquam rex in Asia fuit, Artabazus vero retrogressus circa Pallenen versabatur; quum Mardonius in Thessalia et Macedonia hiemaret, nec opus esset ut ipse cum reliquo exercitu se conjungere properaret; rem sese indignam judicavit, quum in Potidæatas in-

μὴ οὐκ ἐξανδραποδίσασθαί σφεας. (3) Οἱ γὰρ Ποτιδαιῆται, ὡς βασιλεὺς παρεξεληλάκεε καὶ ὁ ναυτικὸς τοῖσι Πέρσῃσι οἰχώκεε φεύγων ἐκ τῆς Σαλαμῖνος, ἐκ τοῦ φανεροῦ ἀπέστασαν ἀπὸ τῶν βαρβάρων· ὡς δὲ καὶ ὦλλοι οἱ τὴν Παλλήνην ἔχοντες.

CXXVII. Ἐνθαῦτα δὴ Ἀρτάβαζος ἐπολιόρκεε τὴν Ποτίδαιαν. Ὑποπτεύσας δὲ καὶ τοὺς Ὀλυνθίους ἀπίστασθαι ἀπὸ βασιλέος, καὶ ταύτην ἐπολιόρκεε· εἶχον δὲ αὐτὴν Βοττιαῖοι οἱ ἐκ τοῦ Θερμαίου κόλπου ἐξαναστάντες ὑπὸ Μακεδόνων. (2) Ἐπεὶ δέ σφεας εἷλε πολιορκέων, κατέσφαξε ἐξαγαγὼν ἐς λίμνην, τὴν δὲ πόλιν παραδιδοῖ Κριτοβούλῳ Τορωναίῳ ἐπιτροπεύειν καὶ τῷ Χαλκιδικῷ γένεϊ, καὶ οὕτω Ὀλυνθον Χαλκιδέες ἔσχον.

CXXVIII. Ἐξελὼν δὲ ταύτην ὁ Ἀρτάβαζος τῇ Ποτιδαίῃ ἐντεταμένως προσεῖχε, προσέχοντι δέ οἱ προθύμως συντίθεται προδοσίην Τιμόξεινος ὁ τῶν Σκιωναίων στρατηγὸς, ὄντινα μὲν τρόπον ἀρχὴν, ἔγωγε οὐκ ἔχω εἶπαι (οὐ γὰρ ὦν λέγεται), τέλος μέντοι τοιάδε ἐγίνετο· (2) ὅκως βιβλίον γράψειε ἢ Τιμόξεινος ἐθέλων παρ' Ἀρτάβαζον πέμψαι ἢ Ἀρτάβαζος παρὰ Τιμόξεινον, τοξεύματος παρὰ τὰς γλυφίδας περιειλίξαντες καὶ πτερώσαντες τὸ βιβλίον ἐτόξευον ἐς συγκείμενον χωρίον. (3) Ἐπάϊστος δὲ ἐγένετο ὁ Τιμόξεινος προδιδοὺς τὴν Ποτίδαιαν· τοξεύων γὰρ ὁ Ἀρτάβαζος ἐς τὸ συγκείμενον, ἁμαρτὼν τοῦ χωρίου τούτου βάλλει ἀνδρὸς Ποτιδαιήτεω τὸν ὦμον, τὸν δὲ βληθέντα περιέδραμε ὅμιλος, οἷα φιλέει γίνεσθαι ἐν πολέμῳ, οἱ αὐτίκα τὸ τόξευμα λαβόντες, ὡς ἔμαθον τὸ βιβλίον, ἔφερον ἐπὶ τοὺς στρατηγούς· παρῆν δὲ καὶ τῶν ἄλλων Παλληναίων συμμαχίη. (4) Τοῖσι δὲ στρατηγοῖσι ἐπιλεξαμένοισι τὸ βιβλίον καὶ μαθοῦσι τὸν αἴτιον τῆς προδοσίης ἔδοξε μὴ καταπλῆξαι Τιμόξεινον προδοσίῃ τῆς Σκιωναίων πολιος εἵνεκεν, μὴ νομιζοίατο εἶναι Σκιωναῖοι ἐς τὸν μετέπειτεν χρόνον αἰεὶ προδόται. Ὁ μὲν δὴ τοιούτῳ τρόπῳ ἐπάϊστος ἐγένετο.

CXXIX. Ἀρταβάζῳ δὲ ἐπειδὴ πολιορκέοντι ἐγεγόνεσαν τρεῖς μῆνες, γίνεται ἄμπωτις τῆς θαλάσσης μεγάλη καὶ χρόνον ἐπὶ πολλόν. Ἰδόντες δὲ οἱ βάρβαροι τέναγος γενόμενον παρῄϊσαν ἐς τὴν Παλλήνην. (2) Ὡς δὲ τὰς δύο μὲν μοίρας διωδοιπορήκεσαν, ἔτι δὲ τρεῖς ὑπόλοιποι ἦσαν, τὰς διελθόντας χρῆν ἔσω εἶναι ἐν τῇ Παλλήνῃ, ἐπῆλθε πλημυρὶς τῆς θαλάσσης μεγάλη, ὅση οὐδαμά κω, ὡς οἱ ἐπιχώριοι λέγουσι, πολλάκις γενομένη. (3) Οἱ μὲν δὴ νέειν αὐτῶν οὐκ ἐπιστάμενοι διεφθείροντο, τοὺς δὲ ἐπισταμένους Ποτιδαιῆται ἐπιπλώσαντες πλοίοισι ἀπώλεσαν. (4) Αἴτιον δὲ λέγουσι Ποτιδαιῆται τῆς τε ῥηχίης καὶ τῆς πλημυρίδος καὶ τοῦ Περσικοῦ πάθεος γενέσθαι τόδε, ὅτι τοῦ Ποσειδέωνος ἐς τὸν νηὸν καὶ τὸ ἄγαλμα τὸ ἐν τῷ προαστείῳ ἠσέβησαν οὗτοι τῶν Περσέων οἵπερ καὶ διεφθάρησαν ὑπὸ τῆς θαλάσσης. Αἴτιον δὲ τοῦτο λέγοντες εὖ λέγειν ἐμοιγε δοκέουσι. (5) Τοὺς δὲ περιγενομένους ἀπῆγε Ἀρτά-

cidisset, qui a rege defecerant, si hos non in servitutem redigeret. (3) Etenim Potidæatæ, postquam rex fines eorum erat prætergressus, et classis Persarum a Salamine fuga se receperat, ex professo defecerant a barbaris, partimque reliqui Pallenen incolentes.

CXXVII. Potidæam igitur tunc Artabazus oppugnavit. Suspicatus vero etiam Olynthios defectionem a rege moliri, Olynthum quoque simul oppugnavit. Tenebant eam tunc Bottiæi, qui e Thermæo sinu a Macedonibus fuerant ejecti. (2) Quos postquam vi expugnavit, ad lacum eductos jugulavit; urbem autem Chalcidicæ genti tradidit, eique Critobulum Toronæum præfecit. Atque ita Olynthum Chalcidenses habuere.

CXXVIII. Hac expugnata, curam omnem Artabazus in Potidæam intendit. Qui dum hoc curat, ultro cum eo de proditione egit Timoxenus, dux Scionæorum. Hic qua via initio usus sit, dicere non possum; nec enim memoratur: sed postremo res accidit hujusmodi: (2) quoties litteras mittere aut Timoxenus voluit ad Artabazum, aut Artabazus ad Timoxenum, epistolam circum sagittæ crenas circumvolvebant, et adaptatis alis, sagittam in locum, de quo inter eos convenerat, emittebant. (3) Sed proditionis Potidææ compertus est Timoxenus. Etenim Artabazus, sagitta versus destinatum locum emissa, a scopo aberrans, humerum feriit civis Potidæatæ. Et adcurrens hominum turba, ut fieri in bello solet, vulneratum circumstat; qui sagittam prehendentes, ut epistolam animadverterunt, protinus ad duces deferunt: aderant vero etiam ex aliis Pallenensibus socii. (4) Ubi autem legerunt duces epistolam, auctoremque cognoverunt proditionis, visum est eis crimine proditionis non affligere Timoxenum, civitatis Scionæorum gratia, ne in posterum omne ævum proditores esse existimarentur Scionæi. Et ille quidem hoc modo compertus est.

CXXIX. Inde postquam tres menses Artabazus in oppugnanda Potidæa erat occupatus, accidit ingens maris recessus, et is quidem in longum admodum tempus: et barbari, locum videntes vadosum factum, in Pallenem transire instituerunt. (2) Ut vero duas viæ emensi erant partes, et tres partes adhuc reliquæ erant, quas transire oportebat priusquam in Pallenen pervenirent, supervenit accessus maris tantus, quantus numquam antea, ut quidem indigenæ dicunt, fuerat, licet sæpe magnus accidat. (3) Itaque quicumque ex illis nandi erant imperiti, perierunt; qui vero natare poterant, hos Potidæatæ navigiis persecuti interemerunt. (4) Caussam autem hujus æstus et exundationis calamitatisque Persarum hanc fuisse aiunt Potidæatæ, quod hi iidem Persæ, qui mari perierunt, in Neptuni templum et simulacrum, quod in suburbio est, impia facinora admiserant: quam caussam illi ex rei veritate adlegare mihi videntur. (5) Superstites Artabazus in Thessaliam ad

βαζος ἐς Θεσσαλίην παρὰ Μαρδόνιον. Οὗτοι μὲν οἱ προπέμψαντες βασιλέα οὕτω ἔπρηξαν.

CXXX. Ὁ δὲ ναυτικὸς ὁ Ξέρξεω περιγενόμενος, ὡς προσέμιξε τῇ Ἀσίῃ φεύγων ἐκ Σαλαμῖνος καὶ βασιλέα τε καὶ τὴν στρατιὴν ἐκ Χερσονήσου διεπόρθμευσε ἐς Ἄβυδον, ἐχειμέρισε ἐν Κύμῃ. (2) Ἔαρος δὲ ἐπιλάμψαντος πρωῒος συνελέγετο ἐς Σάμον· αἱ δὲ τῶν νεῶν καὶ ἐχειμέρισαν αὐτοῦ· Περσέων δὲ καὶ Μήδων οἱ πλεῦνες ἐπεβάτευον. Στρατηγοὶ δέ σφι ἐπῆλθον Μαρδόντης τε ὁ Βαγαίου καὶ Ἀρταΰντης ὁ Ἀρταχαίου· συνῆρχε δὲ τούτοισι καὶ ἀδελφιδέος αὐτοῦ Ἀρταΰντεω προσελομένου Ἰθαμίτρης. (3) Ἅτε δὲ μεγάλως πληγέντες, οὐ προῄϊσαν ἀνωτέρω τὸ πρὸς ἑσπέρης, οὐδ' ἐπηνάγκαζε οὐδὲ εἷς, ἀλλ' ἐν τῇ Σάμῳ κατήμενοι ἐφύλασσον τὴν Ἰωνίην μὴ ἀποστῇ, νέας ἔχοντες σὺν τῇσι Ἰάσι τριηκοσίας. (4) Οὐ μὲν οὐδὲ προσεδέχοντο τοὺς Ἕλληνας ἐλεύσεσθαι ἐς τὴν Ἰωνίην, ἀλλ' ἀποχρήσειν σφι τὴν ἑωυτῶν φυλάσσειν, σταθμεύμενοι ὅτι σφέας οὐκ ἐπεδίωξαν φεύγοντας ἐκ Σαλαμῖνος, ἀλλ' ἀσμενοι ἀπαλλάσσοντο. Κατὰ μέν νυν τὴν θάλασσαν ἐσσωμένοι ἦσαν τῷ θυμῷ, πεζῇ δὲ ἐδόκεον πολλὸν κρατήσειν τὸν Μαρδόνιον. (5) Ἐόντες δὲ ἐν Σάμῳ ἅμα μὲν ἐβουλεύοντο εἴ τι δυναίατο κακὸν τοὺς πολεμίους ποιέειν, ἅμα δὲ καὶ ὠτακούστεον ὅκῃ πεσέεται τὰ Μαρδονίου πρήγματα.

CXXXI. Τοὺς δὲ Ἕλληνας τότε ἔαρ γινόμενον ἤγειρε καὶ Μαρδόνιος ἐν Θεσσαλίῃ ἐών. Ὁ μὲν δὴ πεζὸς οὔκω συνελέγετο, ὁ δὲ ναυτικὸς ἀπίκετο ἐς Αἴγιναν, νέες ἀριθμὸν δέκα καὶ ἑκατόν. (2) Στρατηγὸς δὲ καὶ ναύαρχος ἦν Λευτυχίδης ὁ Μενάρεος τοῦ Ἡγησίλεω τοῦ Ἱπποκρατίδεω τοῦ Λευτυχίδεω τοῦ Ἀναξίλεω τοῦ Ἀρχιδήμου τοῦ Ἀναξανδρίδεω τοῦ Θεοπόμπου τοῦ Νικάνδρου τοῦ Χαρίλλου τοῦ Εὐνόμου τοῦ Πολυδέκτεος τοῦ Πρυτάνιος τοῦ Εὐρυφῶντος τοῦ Προκλέος τοῦ Ἀριστοδήμου τοῦ Ἀριστομάχου τοῦ Κλεοδαίου τοῦ Ὕλλου τοῦ Ἡρακλέος, ἐὼν τῆς ἑτέρης οἰκίης τῶν βασιλέων. (3) Οὗτοι πάντες, πλὴν τῶν δυῶν τῶν μετὰ Λευτυχίδεα πρώτων καταλεχθέντων, οἱ ἄλλοι βασιλέες ἐγένοντο Σπάρτης. Ἀθηναίων δὲ ἐστρατήγεε Ξάνθιππος ὁ Ἀρίφρονος.

CXXXII. Ὡς δὲ παρεγένοντο ἐς τὴν Αἴγιναν πᾶσαι αἱ νέες, ἀπίκοντο Ἰώνων ἄγγελοι ἐς τὸ στρατόπεδον τῶν Ἑλλήνων, οἳ καὶ ἐς Σπάρτην ὀλίγῳ πρότερον τούτων ἀπικόμενοι ἐδέοντο Λακεδαιμονίων ἐλευθεροῦν τὴν Ἰωνίην· τῶν καὶ Ἡρόδοτος ὁ Βασιλητίδεω ἦν. (2) Οἱ στασιῶται σφίσι γενόμενοι ἐπεβούλευον θάνατον Στράττι τῷ Χίου τυράννῳ, ἐόντες ἀρχὴν ἑπτά· ἐπιβουλεύοντες δὲ ὡς φανεροὶ ἐγένοντο ἐξενείκαντος τὴν ἐπιχείρησιν ἑνὸς τῶν μετεχόντων, οὕτω δὴ οἱ λοιποὶ ἑξ ἐόντες ὑπεξέσχον ἐκ τῆς Χίου καὶ ἐς Σπάρτην τε ἀπίκοντο καὶ δὴ καὶ τότε ἐς τὴν Αἴγιναν, τῶν Ἑλλήνων δεύμενοι καταπλῶσαι ἐς τὴν Ἰωνίην. (3) Οἱ προήγαγον αὐτοὺς μόγις μέχρι Δήλου· τὸ γὰρ προσωτέρω πᾶν δεινὸν ἦν τοῖσι Ἕλλησι οὔτε τῶν χώρων

Mardonium reduxit. Hæc igitur fortuna fuit eorum, qui regem deduxerunt.

CXXX. Classis quæ supererat Xerxis, postquam fuga ex Salamine in Asiam pervenit, regemque et exercitum e Chersoneso Abydum trajecit, Cumæ hiemavit. (2) Adpetente autem vere ad Samum maturavit convenire, ubi etiam pars navium hiemaverat. Propugnatorum in iis major pars Persæ erant et Medi : duces autem eis advenere Mardontes Bagæi filius, et Artayntes Artachæi : quibus etiam collega adfuit Ithamitres, fratris filius Artayntæ, ab ipso adscitus. (3) Hi vero, quoniam magnam cladem erant passi, ulterius occidentem versus non moverunt, neque eos quisquam ad ulterius progrediendum cogebat : sed ad Samum sedentes, observabant Ioniam, ne deficeret : habebant autem naves, una cum Ionicis, trecentas. (4) Nec vero Græcos existimarunt in Ioniam moturos, sed satis habituros suam custodire terram : quod ex eo colligebant, quod ipsos ex Salamine fugientes non essent persecuti, sed libenter discessissent. Igitur mari quidem fracti animis barbari erant : terra vero longe hostibus superiorem fore Mardonium existimabant. (5) Itaque ad Samum hærentes, partim quidem consultabant si quid mali adferre possent hostibus, partim vero adrectis auribus exspectabant quis futurus esset exitus rerum a Mardonio gerendarum.

CXXXI. Græcos vero et ver adpetens excitavit, et Mardonius in Thessalia agens. Et pedestris quidem Græcorum exercitus nondum erat coactus, classis vero Æginam se contulit, naves numero centum et decem. (2) Dux et imperator classis erat Leotychides, ex altera regum familia; cui pater fuit Menares, avus Hegesilaus; reliqui majores hoc ordine, Hippocratides, Leotychides, Anaxilaus, Archidamus, Anaxandrides, Theopompus, Nicander, Charillus, Eunomus, Polydectes, Prytanis, Euryphon, Procles, Aristodemus, Aristomachus, Cleodæus, Hyllus, Hercules : (3) qui omnes, exceptis duobus, quos proxime post Leotychidem commemoravi, reges fuerant Spartæ. Atheniensium vero dux erat Xanthippus, Ariphronis filius.

CXXXII. Ut naves omnes Æginæ adfuere, venerunt Græcorum in castra legati Ionum. Qui paulo ante Spartam quoque venerant, orantes Lacedæmonios ut Ioniam liberarent; quorum in numero etiam Herodotus fuit, Basilidæ filius. (2) Hi inter se conjuraverant, omnino septem numero, de interficiendo Strattide, Chii tyranno, postquam vero patefacta conspiratio est, uno ex conjuratis consilium illorum prodente, reliqui sex ex Chio se receperunt, et Spartam primum, tunc vero illo tempore etiam Æginam venerunt, orantes Græcos ut in Ioniam navigarent : (3) sed ægre ab his impetrarunt, ut Delum usque moverent. Nam ulteriora omnia metuebant Græci, quum et locorum

ἐοῦσι ἐμπείροισι, στρατιῆς τε πάντα πλέα ἐδόκεε εἶναι· τὴν δὲ Σάμον ἠπιστέατο δόξῃ καὶ Ἡρακλέας στήλας ἴσον ἀπέχειν. (4) Συνέπιπτε δὲ τοιοῦτο ὥστε τοὺς μὲν βαρβάρους τὸ πρὸς ἑσπέρης ἀνωτέρω Σάμου μὴ τολμᾶν καταπλῶσαι καταρρωδηκότας, τοὺς δὲ Ἕλληνας χρηϊζόντων Χίων τὸ πρὸς τὴν ἠῶ κατωτέρω Δήλου. Οὕτω δέος τὸ μέσον ἐφύλασσέ σφεων.

CXXXIII. Οἱ μὲν δὴ Ἕλληνες ἔπλωον ἐς τὴν Δῆλον, Μαρδόνιος δὲ περὶ τὴν Θεσσαλίην ἐχείμαζε. Ἐνθεῦτεν δὲ ὁρμεώμενος ἔπεμπε κατὰ τὰ χρηστήρια ἄνδρα Εὐρωπέα γένος', τῷ οὔνομα ἦν Μῦς, ἐντειλάμενος πανταχῇ μιν χρησόμενον ἐλθεῖν, τῶν οἷά τε ἦν σφι ἀποπειρήσασθαι. (2) Ὅ τι μὲν βουλόμενος ἐκμαθέειν πρὸς τῶν χρηστηρίων ταῦτα ἐνετέλλετο, οὐκ ἔχω φράσαι· οὐ γὰρ ὧν λέγεται· δοκέω δ' ἔγωγε περὶ τῶν παρεόντων καὶ οὐκ ἄλλων πέρι πέμψαι.

CXXXIV. Οὗτος ὁ Μῦς ἐς τε Λεβάδειαν φαίνεται ἀπικόμενος καὶ μισθῷ πείσας τῶν ἐπιχωρίων ἄνδρα καταβῆναι παρὰ Τροφώνιον, καὶ ἐς Ἄβας τὰς Φωκέων ἀπικόμενος ἐπὶ τὸ χρηστήριον. (2) Καὶ δὴ καὶ ἐς Θήβας πρῶτα ὡς ἀπίκετο, τοῦτο μὲν τῷ Ἰσμηνίῳ Ἀπόλλωνι ἐχρήσατο (ἔστι δὲ, κατά περ ἐν Ὀλυμπίῃ, ἱροῖσι αὐτόθι χρηστηριάζεσθαι), τοῦτο δὲ ξεῖνόν τινα καὶ οὐ Θηβαῖον χρήμασι πείσας κατεκοίμησε ἐς Ἀμφιάρεω. (3) Θηβαίων δὲ οὐδενὶ ἔξεστι μαντεύεσθαι αὐτόθι διὰ τόδε· ἐκέλευσέ σφεας ὁ Ἀμφιάρεως διὰ χρηστηρίων ποιεύμενος ὁκότερα βούλονται ἑλέσθαι τούτων, ἑωυτῷ ἢ ἄτε μάντι χρέεσθαι ἢ ἄτε συμμάχῳ, τοῦ ἑτέρου ἀπεχομένους· οἱ δὲ σύμμαχόν μιν εἵλοντο εἶναι. Διὰ τοῦτο μὲν οὐκ ἔξεστι Θηβαίων οὐδενὶ αὐτόθι ἐγκατακοιμηθῆναι.

CXXXV. Τόδε δὲ θῶμά μοι μέγιστον γενέσθαι λέγεται ὑπὸ Θηβαίων, ἐλθεῖν ἄρα τὸν Εὐρωπέα Μῦν, περιστρωφώμενον πάντα τὰ χρηστήρια, καὶ ἐς τοῦ Πτώου Ἀπόλλωνος τὸ τέμενος. (2) Τοῦτο δὲ τὸ ἱρὸν καλέεται μὲν Πτῶον, ἔστι δὲ Θηβαίων, κέεται δὲ ὑπὲρ τῆς Κωπαΐδος λίμνης πρὸς οὔρεϊ ἀγχοτάτω Ἀκραιφίης πόλιος. Ἐς τοῦτο τὸ ἱρὸν ἐπείτε παρελθεῖν τὸν καλεύμενον τοῦτον Μῦν, ἕπεσθαί οἱ τῶν ἀστῶν αἱρετοὺς ἄνδρας τρεῖς ἀπὸ τοῦ κοινοῦ ὡς ἀπογραψομένους τὰ θεσπιέειν ἔμελλε, καὶ πρόκατε τὸν πρόμαντιν βαρβάρῳ γλώσσῃ χρᾶν. (3) Καὶ τοὺς μὲν ἑπομένους τῶν Θηβαίων ἐν θώματι ἔχεσθαι ἀκούοντας βαρβάρου γλώσσης ἀντὶ Ἑλλάδος, οὐδὲ ἔχειν ὅ τι χρήσωνται τῷ παρεόντι πρήγματι· τὸν δὲ Εὐρωπέα Μῦν ἐξαρπάσαντα παρ' αὐτῶν τὴν ἐφέροντο δέλτον, τὰ λεγόμενα ὑπὸ τοῦ προφήτεω γράφειν ἐς αὐτήν, φάναι δὲ Καρίῃ μιν γλώσσῃ χρᾶν, συγγραψάμενον δὲ οἴχεσθαι ἀπιόντα ἐς Θεσσαλίην.

CXXXVI. Μαρδόνιος δὲ ἐπιλεξάμενος ὅ τι δὴ ἦν λέγοντα τὰ χρηστήρια, μετὰ ταῦτα ἔπεμψε ἄγγελον ἐς Ἀθήνας Ἀλέξανδρον τὸν Ἀμύντεω ἄνδρα Μακεδόνα, ἅμα μὲν ὅτι προσκηδέες οἱ Πέρσαι ἦσαν (Ἀλεξάνδρου γὰρ ἀδελφεὴν Γυγαίην, Ἀμύντεω δὲ θυγατέρα, Βουβάρεσσεν imperiti, et hostilium copiarum omnia esse plena existimarent. Samus autem eis æque longe atque Herculis columnæ abesse videbatur. (4) Simul vero accidit, ut nec barbari, metu perculsi, ultra Samum versus occidentem navigare auderent; nec Græci, quamvis sollicitati a Chiis, ultra Delum versus orientem. Ita quæ in medio utrorumque erant, ob illorum metum in tuto fuerunt.

CXXXIII. Dum Græci in Delum navigant, Mardonius adhuc in Thessalia in hibernis fuit. Inde autem ad consulenda oracula misit virum genere Europensem, cui nomen erat Mys; dato homini mandato, ut quaquaversum iret, et quorumcumque oraculorum explorare effata posset, ea consuleret. (2) Quid igitur fuerit, quod ille cognoscere ex oraculis cupiens mandatum istud dederit, id adfirmare equidem non possum; nec enim memoratur : sed misisse eum puto, de rebus præsentibus, non de aliis, consulturum.

CXXXIV. Hunc Myn constat et Lebadeam venisse, ibique mercede corrupto viro indigena, ad Trophonium descendisse; et Abas item pervenisse, quæ in Phocide sunt, ad oraculum. (2) Idem quum prius Thebas venisset, non modo Ismenium Apollinem consuluit; ubi, sicut Olympiæ, ex victimis responsa dei petuntur; verum etiam, homine externo, non Thebano, pecunia corrupto, in Amphiarai templo pernoctavit. (3) Thebanorum enim nulli fas est oraculum illud consulere, hanc ob caussam : edito responso jusserat eos Amphiaraus, duorum utrum vellent eligere, ut aut pro vate uterentur ipso, aut pro armorum socio, altero autem abstinerent; et illi hoc elegerant, ut armorum ipsis esset socius. Hanc ob caussam nulli homini Thebano fas est in illius templo pernoctare.

CXXXV. Istud vero, quod narrant Thebani, maxime mihi mirum accidit : eumdem quippe Europensem Myn aiunt, postquam per omnia circumvagatus esset oracula, etiam ad Ptoi Apollinis fanum venisse. (2) Vocatur quidem id fanum Ptoum, est autem Thebanorum, situm supra Copaidem lacum ad montem, proxime Acræphiam oppidum. Ad hoc templum quum venit hic Mys (*latine* Mus) nominatus, comitatos eum esse aiunt tres viros publice ad hoc delectos, scripto consignaturos responsum quod redditurus esset deus : prophetam vero protinus barbara locutum esse lingua, (3) ut stuperent comites Thebani, barbarum sermonem loco Græci audientes, nescirentque quid in præsenti facerent : Europensem autem Myn, quam illi secum attulerant tabellam, eis eripuisse, in eaque hæc quæ propheta pronunciaverat, conscripsisse; dixisse autem, Cario sermone usum illum esse; deinde, his scripto consignatis, discessisse hunc, et in Thessaliam rediisse.

CXXXVI. Mardonius, perlectis oraculorum responsis, quæ qualia fuerint nescio, post hæc legatum Athenas misit Alexandrum, Amyntæ filium, Macedonem, partim quoniam adfinitate huic juncti erant Persæ; Alexandri enim sororem Gygæam, Amyntæ filiam, Bubares Persa habuit in

ρης ἀνὴρ Πέρσης ἔσχε, ἐκ τῆς οἱ ἐγεγόνεε Ἀμύντης ὁ ἐν τῇ Ἀσίῃ, ἔχων τὸ οὔνομα τοῦ μητροπάτορος, τῷ δὴ ἐκ βασιλέος τῆς Φρυγίης ἐδόθη Ἀλάβανδα πόλις μεγάλη νέμεσθαι), ἅμα δὲ ὁ Μαρδόνιος πυθόμενος ὅτι πρόξεινός τε εἴη καὶ εὐεργέτης ὁ Ἀλέξανδρος ἔπεμπε. (2) Τοὺς γὰρ Ἀθηναίους οὕτω ἐδόκεε μάλιστα προσκτήσεσθαι, ληόν τε πολλὸν ἄρα ἀκούων εἶναι καὶ ἄλκιμον, τά τε κατὰ τὴν θάλασσαν συντυχόντα σφι παθήματα κατεργασαμένους μάλιστα Ἀθηναίους ἠπίστατο. Τούτων δὲ προσγενομένων κατήλπιζε εὐπετέως τῆς θαλάσσης κρατήσειν, τά περ ἂν καὶ ἦν· πεζῇ τε ἐδόκεε πολλὸν εἶναι κρέσσων· οὕτω τε ἐλογίζετο κατύπερθέ οἱ τὰ πρήγματα ἔσεσθαι τῶν Ἑλληνικῶν. (3) Τάχα δ' ἂν καὶ τὰ χρηστήρια ταῦτά οἱ προλέγοι, συμβουλεύοντα σύμμαχον τὸν Ἀθηναῖον ποιέεσθαι· τοῖσι δὴ πειθόμενος ἔπεμπε.

CXXXVII. Τοῦ δὲ Ἀλεξάνδρου τούτου ἕβδομος γενέτωρ Περδίκκης ἐστὶ ὁ κτησάμενος τῶν Μακεδόνων τὴν τυραννίδα τρόπῳ τοιῷδε. Ἐξ Ἄργεος ἔφυγον ἐς Ἰλλυριοὺς τῶν Τημένου ἀπογόνων τρεῖς ἀδελφεοὶ, Γαυάνης τε καὶ Ἀέροπος καὶ Περδίκκης, ἐκ δὲ Ἰλλυριῶν ὑπερβαλόντες ἐς τὴν ἄνω Μακεδονίην ἀπίκοντο ἐς Λεβαίην πόλιν. (2) Ἐνθαῦτα δὲ ἐθήτευον ἐπὶ μισθῷ παρὰ τῷ βασιλέϊ, ὁ μὲν ἵππους νέμων, ὁ δὲ βοῦς, ὁ δὲ νεώτατος αὐτῶν Περδίκκης τὰ λεπτὰ τῶν προβάτων. (3) Ἦσαν δὲ τὸ πάλαι καὶ αἱ τυραννίδες τῶν ἀνθρώπων ἀσθενέες χρήμασι, οὐ μοῦνον ὁ δῆμος. Ἡ δὲ γυνὴ τοῦ βασιλέος αὐτὴ τὰ σιτία σφι ἔπεσσε. Ὅκως δὲ ὀπτῷτο ὁ ἄρτος τοῦ παιδὸς τοῦ θητὸς, τοῦ Περδίκκεω, διπλήσιος ἐγίνετο αὐτὸς ἑωυτοῦ. Ἐπεὶ δὲ αἰεὶ τὠυτὸ ἐγίνετο, εἶπε πρὸς τὸν ἄνδρα τὸν ἑωυτῆς. (4) Τὸν δὲ ἀκούσαντα ἐσῆλθε αὐτίκα ὡς εἴη τέρας καὶ φέροι ἐς μέγα τι. Καλέσας δὲ τοὺς θῆτας προηγόρευέ σφι ἀπαλλάσσεσθαι ἐκ γῆς τῆς ἑωυτοῦ. Οἱ δὲ τὸν μισθὸν ἔφασαν δίκαιοι εἶναι ἀπολαβόντες οὕτω ἐξιέναι. (5) Ἐνθαῦτα ὁ βασιλεὺς τοῦ μισθοῦ περὶ ἀκούσας, ἦν γὰρ κατὰ τὴν καπνοδόκην ἐς τὸν οἶκον ἐσέχων ὁ ἥλιος, εἶπε θεοβλαβὴς γενόμενος, « μισθὸν δὲ ὑμῖν ἐγὼ ὑμέων ἄξιον τόνδε ἀποδίδωμι, » δέξας τὸν ἥλιον. (6) Ὁ μὲν δὴ Γαυάνης τε καὶ ὁ Ἀέροπος οἱ πρεσβύτεροι ἑστασαν ἐκπεπληγμένοι, ὡς ἤκουσαν ταῦτα· ὁ δὲ παῖς, ἐτύγχανε γὰρ ἔχων μάχαιραν, εἶπας τάδε, « δεκόμεθα, ὦ βασιλεῦ, τὰ δίδοις, » περιγράφει τῇ μαχαίρῃ ἐς τὸ ἔδαφος τοῦ οἴκου τὸν ἥλιον, περιγράψας δὲ, ἐς τὸν κόλπον τρὶς ἀρυσάμενος τοῦ ἡλίου, ἀπαλλάσσετο αὐτός τε καὶ οἱ μετ' ἐκείνου.

CXXXVIII. Οἱ μὲν δὴ ἀπῄεσαν, τῷ δὲ βασιλέϊ σημαίνει τις τῶν παρέδρων οἷόν τι χρῆμα ποιήσειε ὁ παῖς καὶ ὡς σὺν νόῳ ἐκείνων ὁ νεώτατος λάβοι τὰ διδόμενα. Ὁ δὲ ταῦτα ἀκούσας καὶ ὀξυνθεὶς πέμπει ἐπ' αὐτοὺς ἱππέας ἀπολέοντας. (2) Ποταμὸς δέ ἐστι ἐν τῇ χώρῃ ταύτῃ, τῷ θύουσι οἱ τούτων τῶν ἀνδρῶν ἀπ' Ἄργεος ἀπόγονοι σωτῆρι. Οὗτος, ἐπείτε διέβησαν οἱ Τημενίδαι, μέγας οὕτω ἐρρύη ὥστε τοὺς ἱππέας μὴ οἵους τε γενέσθαι διαβῆναι. (3) Οἱ δὲ ἀπικόμενοι ἐς ἄλλην γῆν τῆς Μακεδονίης οἴκησαν πέλας τῶν κήπων

matrimonio, ex qua natus est Asiaticus Amyntas, de avo materno nomen gerens, quem rex magna urbe Phrygiæ Alabandis donavit cum reditibus inde percipiendis: partim vero hac caussa Alexandrum Mardonius misit, quod audivisset, hospitem Atheniensium eum esse et bene de illis meritum. (2) Hac enim maxime ratione se sibi adjungere posse Athenienses existimavit, quos audiverat non minus numerosum, quam fortem, esse populum; et quas mari clades passi Persæ erant, harum auctores Athenienses potissimum fuisse noverat. His autem sibi adjunctis, facile maris imperio se potiturum speravit; id quod etiam usu venturum fuerat; terra autem longe sibi videbatur esse superior: atque ita res suas rebus Græcorum superiores fore secum reputavit. (3) Fortasse vero etiam oracula hoc ei prædixerint, monuerintque eum ut Athenienses sibi socios conciliaret; hisque ille morem gerens Alexandrum misit.

CXXXVII. Alexandri hujus septimus progenitor Perdiccas ille fuit, qui Macedonum regno potitus erat tali modo. Ex Temeni posteris tres fratres, Gauanes, Aeropus, et Perdiccas, Argis in Illyriorum fines profugerant: ex Illyriis vero in superiorem Macedoniam transgressi, Lebæam oppidum pervenerant. (2) Ibi apud regem mercede serviebant; unus equos pascens; alter, boves; natu minimus, Perdiccas, minores pecudes. (3) Fuerunt autem olim etiam reges pecuniæ inopes, non solum populus: itaque regis uxor ipsa panem illis coquebat. Quoties vero coquebatur panis pueri mercenarii Perdiccæ, duplo major fiebat quam consentaneum erat. Ubi autem constanter hoc ita accidit, marito rem illa indicavit. (4) Quo audito, statim subiit illius animum, esse hoc prodigium, quod ad magnum quidpiam spectet. Itaque vocatos ad se hos mercenarios jussit finibus suis excedere. Cui illi responderunt, justum esse ut accepta mercede abeant. (5) Ibi tunc rex, mercedis mentionem audiens, quum forte per caminum solis lumen in conclave incideret, divinitus mente captus, ait: « mercedem vobis ego dignam hanc persolvo, » solem monstrans. (6) Et Gauanes quidem et Aeropus, natu majores, hoc ut audivere, attoniti steterunt: at puer, « Accipimus, ait, rex, quæ nobis das; » et cultro, quem forte habebat, solis lumen in pavimento conclavis circumscripsit, eoque facto ter deinceps radios solis in sinum suum hausit, atque ita cum fratribus abiit.

CXXXVIII. Qui postquam abierant, unus ex assessoribus monuit regem quid esset quod fecisset puer, quamque prudenter fratrum natu minimus accepisset quod rex illis dedisset. Et rex, his auditis, ira correptus, equites nonnullos misit, qui illos insequerentur et interficerent. (2) Est autem in hac regione fluvius, cui posteri horum Argivorum virorum sacra faciunt, tamquam Servatori. Hic fluvius, postquam eum trajecerant Temenidæ, ita auctus fluxit, ut transire equites non possent. (3) Illi vero in aliam Macedoniæ regionem secesserunt, habitaruntque prope hortos qui di-

τῶν λεγομένων εἶναι Μίδεω τοῦ Γορδίεω, ἐν τοῖσι φύεται αὐτόματα ῥόδα, ἓν ἕκαστον ἔχον ἑξήκοντα φύλλα, ὀδμῇ τε ὑπερφέροντα τῶν ἄλλων. (4) Ἐν τούτοισι καὶ ὁ Σιληνὸς τοῖσι κήποισι ἥλω, ὡς λέγεται ὑπὸ Μακεδόνων. Ὑπὲρ δὲ τῶν κήπων οὖρος κέεται Βέρμιον οὔνομα, ἄβατον ὑπὸ χειμῶνος. Ἐνθεῦτεν δὲ ὁρμεώμενοι, ὡς ταύτην ἔσχον, κατεστρέφοντο καὶ τὴν ἄλλην Μακεδονίην.

CXXXIX. Ἀπὸ τούτου δὴ τοῦ Περδίκκεω Ἀλέξανδρος ὧδε ἐγεγόνεε· Ἀμύντεω παῖς ἦν Ἀλέξανδρος, Ἀμύντης δὲ Ἀλκέτεω, Ἀλκέτεω δὲ πατὴρ ἦν Ἀέροπος, τοῦ δὲ Φίλιππος, Φιλίππου δὲ Ἀργαῖος, τοῦ δὲ Περδίκκης ὁ κτησάμενος τὴν ἀρχήν. Ἐγεγόνεε μὲν δὴ ὧδε Ἀλέξανδρος ὁ Ἀμύντεω.

CXL. Ὡς δὲ ἀπίκετο ἐς τὰς Ἀθήνας ἀποπεμφθεὶς ὑπὸ Μαρδονίου, ἔλεγε τάδε, (1.) « ἄνδρες Ἀθηναῖοι, Μαρδόνιος τάδε λέγει, ἐμοὶ ἀγγελίη ἥκει παρὰ βασιλέος λέγουσα οὕτω, (2) ' Ἀθηναίοισι τὰς ἁμαρτάδας τὰς ἐξ ἐκείνων ἐς ἐμὲ γενομένας πάσας μετίημι· νῦν τε ὧδε, Μαρδόνιε, ποίεε· τοῦτο μὲν τὴν γῆν σφι ἀπόδος, τοῦτο δὲ ἄλλην πρὸς ταύτῃ ἐλέσθων αὐτοί, ἥντινα ἂν ἐθέλωσι, ἐόντες αὐτόνομοι· ἱρά τε πάντα σφι, ἢν δὴ βουλωνταί γε ἐμοὶ ὁμολογέειν, ἀνόρθωσον, ὅσα ἐγὼ ἐνέπρησα. ' (3) Τούτων δὲ ἀπιγμένων ἀναγκαίως ἔχει μοι ποιέειν ταῦτα, ἢν μὴ τὸ ὑμέτερον ἀντίον γένηται. Λέγω δὲ ὑμῖν τάδε νῦν. Τί μαίνεσθε πόλεμον βασιλέϊ ἀνταειρόμενοι; οὔτε γὰρ ἂν ὑπερβάλοισθε, οὔτε οἷοί τέ ἐστε ἀντέχειν τὸν πάντα χρόνον. (4) Εἴδετε μὲν γὰρ τῆς Ξέρξεω στρατηλασίης τὸ πλῆθος καὶ τὰ ἔργα, πυνθάνεσθε δὲ καὶ τὴν νῦν παρ' ἐμοὶ ἐοῦσαν δύναμιν, ὥστε καὶ ἢν ἡμέας ὑπερβάλησθε καὶ νικήσητε, τοῦ περ ὑμῖν οὐδεμία ἐλπὶς εἴ περ εὖ φρονέετε, ἄλλη παρέσται πολλαπλησίη. (5) Μὴ ὦν βούλεσθε παρισεύμενοι βασιλεῖ στέρεσθαι μὲν τῆς χώρης, θέειν δὲ αἰεὶ περὶ ὑμέων αὐτῶν, ἀλλὰ καταλύσασθε. Παρέχει δὲ ὑμῖν κάλλιστα καταλύσασθαι βασιλέος ταύτῃ ὡρμημένου. Ἔστε ἐλεύθεροι, ἡμῖν ὁμαιχμίην συνθέμενοι ἄνευ τε δόλου καὶ ἀπάτης. (II.) Μαρδόνιος μὲν ταῦτα, ὦ Ἀθηναῖοι, ἐντετείλατό μοι εἶπαι πρὸς ὑμέας· ἐγὼ δὲ περὶ μὲν εὐνοίης τῆς πρὸς ὑμέας ἐούσης ἐξ ἐμεῦ οὐδὲν λέξω (οὐ γὰρ ἂν νῦν πρῶτον ἐκμάθοιτε), προσχρήϊζω δὲ ὑμέων πείθεσθαι Μαρδονίῳ. (6) Ἐνορέω γὰρ ὑμῖν οὐκ οἷοί τε ἐσομένοισι τὸν πάντα χρόνον πολεμέειν Ξέρξῃ· εἰ γὰρ ἐνώρεον τοῦτο ἐν ὑμῖν, οὐκ ἄν κοτε ἐς ὑμέας ἦλθον ἔχων λόγους τούσδε· καὶ γὰρ δύναμις ὑπὲρ ἄνθρωπον ἡ βασιλέος ἐστὶ καὶ χεὶρ ὑπερμήκης. (7) Ἢν ὦν μὴ αὐτίκα ὁμολογήσητε, μεγάλα προτεινόντων ἐπ' οἷσι ὁμολογέειν ἐθέλουσι, δειμαίνω ὑπὲρ ὑμέων ἐν τρίβῳ τε μάλιστα οἰκημένων τῶν συμμάχων πάντων, αἰεί τε φθειρομένων μούνων, ἐξαίρετόν τι μεταίχμιον τὴν γῆν ἐκτημένων. (8) Ἀλλὰ πείθεσθε· πολλοῦ γὰρ ὑμῖν ἄξια ταῦτα, εἰ βασιλεύς γε ὁ μέγας μούνοισι ὑμῖν Ἑλλήνων τὰς ἁμαρτάδας ἀπιεὶς ἐθέλει φίλος γενέσθαι. » Ἀλέξανδρος μὲν ταῦτα ἔλεξε.

cuntur Midæ, Gordiæ filii : quibus in hortis sponte nascuntur rosæ, quarum unaquæque sexaginta folia habet, et quæ odore præstant cæteris. (4) In eisdem hortis etiam Silenus captus erat, ut narrant Macedones. Supra istos hortos mons situs est, cui Bermius nomen, aditu difficilis ob aeris intemperiem. Inde impetu facto, postquam hac regione potiti sunt, reliquam etiam Macedoniam sub potestatem suam redegerunt.

CXXXIX. Ab hoc igitur Perdicca Alexander ortus est hisce progenitoribus : Amyntas, cujus filius Alexander fuit, patrem habuit Alcetam; Alcetæ pater fuit Aeropus; Aeropi pater, Philippus; Philippi, Argæus; Argæi pater, Perdiccas is qui regno potitus est. Hi fueri Alexandri, Amyntæ filii, progenitores.

CXL. Postquam a Mardonio missus Alexander Athenas venit, tali usus est oratione : (I.) « Viri Athenienses, Mardonius hæc dicit. Nuncius mihi a rege venit in hæc verba : (2) Atheniensibus injuriam omnem mihi ab illis inlatam remitto; quare tu hoc fac, Mardonie : et terram eorum illis redde, et ipsi præter hanc eligant aliam, quamcumque voluerint, et sui juris sunto : et templa omnia, quæ ego crema vi, tu illis instaura, si modo societatem mecum voluerint jungere. (2) Hic quum mihi nuncius advenerit, necessario hæc exsequi me oportet, nisi vos ipsi obstiteritis. Hoc autem vobis dico. Quid nunc insanientes arma fertis contra regem? neque enim superare eum poteritis, neque in omne futurum tempus ei resistere. (4) Vidistis enim copiarum Xerxis multitudinem et res gestas; audivistis etiam quanta nunc vis sit mecum : ita quidem, ut etiamsi nos superaretis et vinceretis, (quod quidem, si bene sapitis, neutiquam speratis,) alius exercitus multis partibus numerosior adfuturus esset. (5) Nolite igitur, regi vos æquantes, terra privari vestra, et perpetuo in periculo de salute vestra versari : sed componite bellum. Potestis autem præclarissime illud componere, quum rex in hanc partem animo feratur. Estote liberi, armorum societate sine fraude et dolo nobiscum contracta. (II.) Hæc, Athenienses, Mardonius ut vobis dicerem mihi mandavit. Ego vero de mea in vos benevolentia nihil dicam : nec enim nunc primum, puto, experti illam fueritis. Oro autem vos et obsecro, ut morem geratis Mardonio. (6) Perspectum enim habeo fieri non posse, ut vos perpetuo bellum geratis cum Xerxe : namque hoc si fieri posse a vobis intelligerem, numquam ad vos hujusmodi cum sermone venissem. Est enim regis potentia plus quam humana, et manus supra quam dici potest longa. (7) Quare nisi propere fœdus cum eo inieritis, quando tanta vobis commoda, si pacisci cum eo volueritis, pollicetur; timeo vobis, qui præ reliquis omnibus sociis maxime in via expositi estis, semperque soli perdimini, quippe terram incolentes quæ præ cæteris veluti inter duas acies media interjecta est. (8) At morem gerite! etenim maximi vobis momenti res est, si rex magnus vobis solis ex omnibus Græcis peccata condonans, amicitiam vobiscum vult contrahere. » Hæc Alexandri fuit oratio.

CXLI. Λακεδαιμόνιοι δὲ πυθόμενοι ἥκειν Ἀλέξανδρον ἐς Ἀθήνας ἐς ὁμολογίην ἄξοντα τῷ βαρβάρῳ Ἀθηναίους, ἀναμνησθέντες τῶν λογίων ὡς σφεας χρεών ἐστι ἅμα τοῖσι ἄλλοισι Δωριεῦσι ἐκπίπτειν ἐκ Πελοποννήσου ὑπὸ Μήδων τε καὶ Ἀθηναίων, κάρτα τε ἔδεισαν μὴ ὁμολογήσωσι τῷ Πέρσῃ Ἀθηναῖοι, αὐτίκα τέ σφι ἔδοξε πέμπειν ἀγγέλους. (2) Καὶ δὴ συνέπιπτε ὥστε ὁμοῦ σφέων γίνεσθαι τὴν κατάστασιν· ἐπανέμειναν γὰρ οἱ Ἀθηναῖοι διατρίβοντες, εὖ ἐπιστάμενοι ὅτι ἔμελλον Λακεδαιμόνιοι πεύσεσθαι ἥκοντα παρὰ τοῦ βαρβάρου ἄγγελον ἐπ' ὁμολογίῃ, πυθόμενοί τε πέμψειν κατὰ τάχος ἀγγέλους. Ἐπίτηδες ὦν ἐποίευν, ἐνδεικνύμενοι τοῖσι Λακεδαιμονίοισι τὴν ἑωυτῶν γνώμην.

CXLII. Ὡς δὲ ἐπαύσατο λέγων Ἀλέξανδρος, διαδεξάμενοι ἔλεγον οἱ ἀπὸ Σπάρτης ἄγγελοι, « ἡμέας δὲ ἔπεμψαν Λακεδαιμόνιοι δεησομένους ὑμέων μήτε νεώτερον ποιέειν μηδὲν κατὰ τὴν Ἑλλάδα μήτε λόγους ἐνδέχεσθαι παρὰ τοῦ βαρβάρου. (2) Οὔτε γὰρ δίκαιον οὐδαμῶς οὔτε κόσμον φέρον οὔ τί γε ἄλλοισι Ἕλλήνων οὐδαμοῖσι, ὑμῖν δὲ δὴ καὶ διὰ πάντων ἥκιστα πολλῶν εἵνεκεν. Ἠγείρατε γὰρ τόνδε τὸν πόλεμον ὑμεῖς οὐδὲν ἡμέων βουλομένων, καὶ περὶ τῆς ὑμετέρης ἀρχὴν ὁ ἀγὼν ἐγένετο· νῦν δὲ φέρει καὶ ἐς πᾶσαν τὴν Ἑλλάδα. (3) Ἄλλως τε τούτων ἁπάντων αἰτίους γενέσθαι δουλοσύνης τοῖσι Ἕλλησι Ἀθηναίους οὐδαμῶς ἀνασχετὸν, οἵτινες αἰεὶ καὶ τὸ πάλαι φαίνεσθε πολλοὺς ἐλευθερώσαντες ἀνθρώπων. Πιεζομένοισι μέντοι ὑμῖν συναχθόμεθα, καὶ ὅτι καρπῶν ἐστερήθητε διξῶν ἤδη, καὶ ὅτι οἰκοφθόρησθε χρόνον ἤδη πολλόν. (4) Ἀντὶ τούτων δὲ ὑμῖν Λακεδαιμόνιοί τε καὶ οἱ σύμμαχοι ἐπαγγέλλονται γυναῖκάς τε καὶ τὰ ἐς πόλεμον ἄχρηστα οἰκετέων ἐχόμενα πάντα ἐπιθρέψειν, ἐστ' ἂν ὁ πόλεμος ὅδε συνεστήκῃ. (5) Μηδὲ ὑμέας Ἀλέξανδρος ὁ Μακεδὼν ἀναγνώσῃ, λεήνας τὸν Μαρδονίου λόγον. Τούτῳ μὲν γὰρ ταῦτα ποιητέα ἐστί· τύραννος γὰρ ἐὼν τυράννῳ συγκατεργάζεται· ὑμῖν δέ γε οὐ ποιητέα, εἴ περ εὖ τυγχάνετε φρονέοντες, ἐπισταμένοισι ὡς βαρβάροισί ἐστι οὔτε πιστὸν οὔτε ἀληθὲς οὐδέν. » Ταῦτα ἔλεξαν οἱ ἄγγελοι.

CXLIII. Ἀθηναῖοι δὲ πρὸς μὲν Ἀλέξανδρον ὑπεκρίναντο τάδε, « καὶ αὐτοὶ τοῦτό γε ἐπιστάμεθα, ὅτι πολλαπλησίη ἐστὶ τῷ Μήδῳ δύναμις ἢπερ ἡμῖν, ὥστε οὐδὲν δέεαι τοῦτό γε ὀνειδίζειν. (2) Ἀλλ' ὅμως ἐλευθερίης γλιχόμενοι ἀμυνεύμεθα οὕτω ὅκως ἂν καὶ δυνώμεθα. Ὁμολογῆσαι δὲ τῷ βαρβάρῳ μήτε σὺ ἡμέας πειρῶ ἀναπείθειν οὔτε ἡμεῖς πεισόμεθα. (3) Νῦν τε ἀπάγγελλε Μαρδονίῳ ὡς Ἀθηναῖοι λέγουσι, ἐστ' ἂν ὁ ἥλιος τὴν αὐτὴν ὁδὸν ἴῃ τῇ καὶ νῦν ἔρχεται, μήκοτε ὁμολογήσειν ἡμέας Ξέρξῃ· ἀλλὰ θεοῖσί τε συμμάχοισι πίσυνοί μιν ἐπέξιμεν ἀμυνόμενοι καὶ τοῖσι ἥρωσι, τῶν ἐκεῖνος οὐδεμίαν ὅπιν ἔχων ἐνέπρησε τούς τε οἴκους καὶ τὰ ἀγάλματα. (4) Σύ τε τοῦ λοιποῦ λόγους ἔχων τοιούσδε μὴ ἐπιφαίνεο Ἀθηναίοισι, μηδὲ δοκέων χρηστὰ ὑπουργέειν ἀθέμιτα ἔρδειν παραίνεε· οὐ γάρ σε βουλό-

CXLI. Lacedæmonii vero ut audivere Alexandrum Athenas venisse persuasurum Atheniensibus ut fœdus cum Barbaro faciant; memores oraculorum, quæ prædixerant in fatis esse ut ipsi cum cæteris Doriensibus a Medis et Atheniensibus Peloponneso ejiciantur, vehementer timuerunt ne cum Persa societatem Athenienses contraherent, et propere legatos Athenas mittere decreverunt. (2) Atque ita contigit, ut utrique simul *in senatum* introducerentur. Exspectaverant enim Athenienses et moras traxerant, bene gnari rescituros Lacedæmonios venisse a Barbaro nuncium ad pacem conciliandam, eaque re cognita protinus legatos missuros. Quare consulto tempus duxerant, quo sententiam suam Lacedæmoniis declararent.

CXLII. Ubi igitur dicendi finem Alexander fecit, sermonem excipientes Spartani legati, in hunc modum sunt locuti: « Miserunt nos Lacedæmonii petituros a vobis, ne quid novarum rerum in Græcia moveatis, neque conditiones admittatis a Barbaro vobis oblatas. (2) Nam et iniquissimum hoc foret; et aliis quidem etiam Græcis omnibus, sed vobis maxime omnium, indignum et indecorum; idque multis de caussis. Nam bellum hoc vos, invitis nobis, concitastis: et initio de vestra solum terra certamen fuit, nunc vero ad universam etiam pertinet Græciam. (3) Horum igitur omnium auctores Græcis, præter ea etiam servitutis fieri Athenienses, nullo modo foret tolerabile: quippe qui semper et jam a priscis temporibus palam libertatis auctores multis hominibus fuerunt. Quod autem vos præ cæteris hoc bello premimini, et duorum jam annorum fructibus estis privati, et tamdiu jam domus et fortunæ vestræ eversæ jacent, condolemus vobiscum: (4) et propterea profitentur vobis recipiuntque Lacedæmonii et reliqui socii, alituros se uxores vestras et quidquid vestris in familiis ad bellum est inutile, quoad bellum hoc duraturum est. (5) Ne vero Alexander Macedo lævigato Mardonii sermone vos commoveat! Huic enim hoc facere convenit; quippe, tyrannus quum sit, tyranno operam præstat. At vos non facietis, si quidem recte sapitis; bene gnari, in barbaris nec fidem nec veritatem esse. » Hæc Spartani legati dixere.

CXLIII. Athenienses vero Alexandro in hunc modum responderunt: « Ne nos quidem ignoramus, multis partibus majorem Medo, quam nobis, esse potentiam; ut non opus sit de illa nos multa cum ostentatione admonere. (2) Verumtamen, quum libertatis simus studiosi, resistemus ei quocumque modo poterimus. Itaque, ut societatem contrahamus cum Barbaro, desine conari ut nobis persuadeas; nec enim persuadebis. (3) Nunc vero renuncia Mardonio, dicere Athenienses, quousque sol eadem via incedet, qua nunc incedit, numquam nos societatem inituros cum Xerxe: sed adjutoribus confidentes diis et heroibus, quibus ille spretis ædes et simulacra eorum cremavit, fortiter pugnando ulcisci illum conabimur. (4) Et tu cave, ne posthac tales adferens sermones Athenis conspiciaris; neque per speciem commodis nostris inserviendi, ut nefaria facia-

μεθα οὐδὲν ἄχαρι πρὸς Ἀθηναίων παθέειν ἐόντα πρόξεινόν τε καὶ φίλον. »

CXLIV. Πρὸς μὲν Ἀλέξανδρον ταῦτα ὑπεκρίναντο, πρὸς δὲ τοὺς ἀπὸ Σπάρτης ἀγγέλους τάδε, « τὸ μὲν δεῖσαι Λακεδαιμονίους μὴ ὁμολογήσωμεν τῷ βαρβάρῳ, κάρτα ἀνθρωπήϊον ἦν. (2) Ἀτὰρ αἰσχρῶς γε οἴκατε ἐξεπιστάμενοι τὸ Ἀθηναίων φρόνημα ἀρρωδῆσαι, ὅτι οὔτε χρυσός ἐστι γῆς οὐδαμόθι τοσοῦτος οὔτε χώρη κάλλεϊ καὶ ἀρετῇ μέγα ὑπερφέρουσα, τὰ ἡμεῖς δεξάμενοι ἐθέλοιμεν ἂν μηδίσαντες καταδουλῶσαι τὴν Ἑλλάδα. (3) Πολλά τε γὰρ καὶ μεγάλα ἐστὶ τὰ διακωλύοντα ταῦτα μὴ ποιέειν, μηδ' ἢν ἐθέλωμεν, πρῶτα μὲν καὶ μέγιστα τῶν θεῶν τὰ ἀγάλματα καὶ τὰ οἰκήματα ἐμπεπρησμένα τε καὶ συγκεχωσμένα, τοῖσι ἡμέας ἀναγκαίως ἔχει τιμωρέειν ἐς τὰ μέγιστα μᾶλλον ἢπερ ὁμολογέειν τῷ ταῦτα ἐργασαμένῳ, αὖτις δὲ τὸ Ἑλληνικὸν ἐὸν ὅμαιμόν τε καὶ ὁμόγλωσσον, καὶ θεῶν ἱδρύματά τε κοινὰ καὶ θυσίαι ἤθεά τε ὁμότροπα, τῶν προδότας γενέσθαι Ἀθηναίους οὐκ ἂν εὖ ἔχοι. (4) Ἐπίστασθέ τε οὕτω, εἰ μὴ πρότερον ἐτυγχάνετε ἐπιστάμενοι, ἔστ' ἂν καὶ εἷς περιῇ Ἀθηναίων, μηδαμὰ ὁμολογήσοντας ἡμέας Ξέρξῃ. Ὑμέων μέντοι ἀγάμεθα τὴν πρόνοιαν τὴν ἐς ἡμέας ἔχουσαν, ὅτι προείδετε ἡμέων οἰκοφθορημένων οὕτω ὥστε ἐπιθρέψαι ἐθέλειν ἡμέων τοὺς οἰκέτας. (5) Καὶ ὑμῖν μὲν ἡ χάρις ἐκπεπλήρωται, ἡμεῖς μέντοι λιπαρήσομεν οὕτω ὅκως ἂν ἔχωμεν, οὐδὲν λυπέοντες ὑμέας. Νῦν δέ, ὡς οὕτω ἐχόντων, στρατιὴν ὡς τάχιστα ἐκπέμπετε. (6) Ὡς γὰρ ἡμεῖς εἰκάζομεν, οὐκ ἐκὰς χρόνου παρέσται ὁ βάρβαρος ἐσβαλὼν ἐς τὴν ἡμετέρην, ἀλλ' ἐπειδὰν τάχιστα πύθηται τὴν ἀγγελίην ὅτι οὐδὲν ποιήσομεν τῶν ἐκεῖνος ἡμέων προσεδέετο. (6) Πρὶν ὦν παρεῖναι ἐκεῖνον ἐς τὴν Ἀττικὴν, ἡμέας καιρός ἐστι προβωθῆσαι ἐς τὴν Βοιωτίην. » Οἱ μὲν ταῦτα ὑποκριναμένων Ἀθηναίων ἀπαλλάσσοντο ἐς Σπάρτην.

mus, nos horteris : nolumus enim tibi ingrati quidpiam accidere ab Atheniensibus, quum sis publicus hospes noster et amicus. »

CXLIV. Hæc quum Alexandro Athenienses respondissent, ad Lacedæmonios sermonem converterunt his verbis : « Quod verentur Lacedæmonii ne cum Barbaro nos societatem contrahamus, id vero admodum humanum est. (2) At turpiter utique hoc videmini vereri; quum, quo pacto animati sint Athenienses, non ignoretis. Neque enim tanta auri copia usquam est, neque terra ulla pulcritudine et fertilitate ita præstans, ut ea accepta vellemus cum Medis facere, et Græciam redigere in servitutem. (3) Etenim multa et magna sunt, quæ nos, ne id faciamus, etiam si vellemus, prohibeant. Primum quidem, et maxime, deorum simulacra et templa cremata et solo æquata : quorum facinorum necessario, quibuscumque modis possumus, pœnam repetere potius debemus, quam societatem contrahere cum eo qui hæc patravit. Deinde, quum Græcum omne genus consanguineum sit, et linguam et deorum sedes et sacra communia habeamus, et mores consimiles; nefaria res foret, si horum proditores fierent Athenienses. (4) Denique scitote, si forte adhuc nescivistis, quoad vel unus supererit Atheniensium, numquam nos cum Xerxe societatem inituros. Vestram autem providam erga nos laudamus voluntatem; quod nobis, quorum fortunæ eversæ sunt, ita prospicitis, ut nutrire familias nostras velitis. (5) Atque ita vestrum quidem expletum est beneficium : at nos tamen in hoc quo sumus statu durabimus, nullam vobis molestiam exhibituri. Nunc vero, hæc quum ita sint, maturate ocyus exercitum mittere. (6) Nam, ut suspicamur, nulla interposita mora aderit Barbarus et terram nostram invadet, simulatque ei fuerit renunciatum, nihil nos eorum quæ a nobis petiit facturos. (7) Itaque necesse est, ut, priusquam ille in Atticam venerit, nos ei in Bœotiam occurramus. » Hoc ab Atheniensibus accepto responso, Spartam rediere legati.

ΗΡΟΔΟΤΟΥ

ΙΣΤΟΡΙΩΝ ΕΝΝΑΤΗ.

(ΚΑΛΛΙΟΠΗ.)

I. Μαρδόνιος δὲ, ὡς οἱ ἀπονοστήσας Ἀλέξανδρος τὰ παρ' Ἀθηναίων ἐσήμηνε, ὁρμηθεὶς ἐκ Θεσσαλίης ἦγε τὴν στρατιὴν σπουδῇ ἐπὶ τὰς Ἀθήνας. Ὅκου δὲ ἑκάστοτε γίνοιτο, τούτους παρελάμβανε. (2) Τοῖσι δὲ Θεσσαλίης ἡγεομένοισι οὔτε τὰ πρὸ τοῦ πεπρηγμένα μετέμελε οὐδὲν, πολλῷ τε μᾶλλον ἐπῆγον τὸν Πέρσην, καὶ συμπροέπεμψέ τε Θώρηξ ὁ Ληρισαῖος Ξέρξεα φεύγοντα, καὶ τότε ἐκ τοῦ φανεροῦ παρῆκε Μαρδόνιον ἐπὶ τὴν Ἑλλάδα.

II. Ἐπεὶ δὲ πορευόμενος γίνεται ὁ στρατὸς ἐν Βοιωτοῖσι, οἱ Θηβαῖοι κατελάμβανον τὸν Μαρδόνιον καὶ συνεβούλευον αὐτῷ, λέγοντες ὡς οὐκ εἴη χῶρος ἐπιτηδεώτερος ἐνστρατοπεδεύεσθαι ἐκείνου, οὐδὲ ἐων ἐναι ἑκαστέρω, ἀλλ' αὐτοῦ ἱζόμενον ποιέειν ὅκως ἀμαχητὶ τὴν πᾶσαν Ἑλλάδα καταστρέψεται. (2) Κατὰ μὲν γὰρ τὸ ἰσχυρὸν Ἕλληνας ὁμοφρονέοντας, οἵπερ καὶ πάρος ταὐτὰ ἐγίνωσκον, χαλεπὰ εἶναι περιγίνεσθαι καὶ ἅπασι ἀνθρώποισι· « εἰ δὲ ποιήσεις τὰ ἡμεῖς παραινέομεν », ἔφασαν λέγοντες, « ἕξεις ἀπόνως ἅπαντα τὰ ἐκείνων βουλεύματα. (3) Πέμπε χρήματα ἐς τοὺς δυναστεύοντας ἀνδρας ἐν τῇσι πόλισι, πέμπων δὲ τὴν Ἑλλάδα διαστήσεις· ἐνθεῦτεν δὲ τοὺς μὴ τὰ σὰ φρονέοντας ῥηϊδίως μετὰ τῶν στασιωτέων καταστρέψεαι. »

III. Οἱ μὲν ταῦτα συνεβούλευον, ὁ δὲ οὐκ ἐπείθετο, ἀλλά οἱ δεινός τις ἐνέστακτο ἵμερος τὰς Ἀθήνας δεύτερα ἑλέειν, ἅμα μὲν ὑπ' ἀγνωμοσύνης, ἅμα δὲ πυρσοῖσι διὰ νήσων ἐδόκεε βασιλεῖ δηλώσειν ἐόντι ἐν Σάρδισι ὅτι ἔχοι τὰς Ἀθήνας. (2) Ὡς οὐδὲ τότε ἀπικόμενος ἐς τὴν Ἀττικὴν εὗρε τοὺς Ἀθηναίους, ἀλλ' ἔν τε Σαλαμῖνι τοὺς πλείστους ἐπυνθάνετο εἶναι ἔν τε τῇσι νηυσὶ, αἱρέει τε ἐρῆμον τὸ ἄστυ. Ἡ δὲ βασιλέος αἵρεσις ἐς τὴν ὑστέρην τὴν Μαρδονίου ἐπιστρατηίην δεκάμηνος ἐγένετο.

IV. Ἐπεὶ δὲ ἐν Ἀθήνῃσι ἐγένετο Μαρδόνιος, πέμπει ἐς Σαλαμῖνα Μουρυχίδεα ἄνδρα Ἑλλησπόντιον, φέροντα τοὺς αὐτοὺς λόγους τοὺς καὶ Ἀλέξανδρος ὁ Μακεδὼν τοῖσι Ἀθηναίοισι διεπόρθμευσε. (2) Ταῦτα δὲ τὸ δεύτερον ἀπέστελλε προέχων μὲν τῶν Ἀθηναίων οὐ φιλίας γνώμας, ἐλπίσας δέ σφεας ὑπήσειν τῆς ἀγνωμοσύνης ὡς δοριαλώτου ἐούσης πάσης τῆς Ἀττικῆς χώρης καὶ ἐούσης ἤδη ὑπ' ἑωυτῷ. Τούτων μὲν εἵνεκεν ἀπέπεμψε Μουρυχίδεα ἐς Σαλαμῖνα.

V. Ὁ δὲ ἀπικόμενος ἐπὶ τὴν βουλὴν ἔλεγε τὰ παρὰ Μαρδονίου. Τῶν δὲ βουλευτέων Λυκίδης εἶπε

HERODOTI

HISTORIARUM LIBER NONUS.

(CALLIOPE.) (691,692.)

I. Mardonius, ut ei Alexander, Athenis reversus, responsa renunciavit Atheniensium, movit e Thessalia, et exercitum adversus Athenas ducere maturavit: quacumque autem iter faciebat, inde semper adsumptis militibus exercitum auxit. (2) Et Thessalos eorum, quæ adhuc acta erant, nihil pœnituit, multoque etiam studiosius hi Persam ad hanc expeditionem incitabant: et Thorax Larissæus, qui Xerxem fugientem comitatus erat, nunc palam Mardonium in Græciam transmisit.

II. Ubi vero progrediens exercitus in Bœotia fuit, ibi tunc Mardonium Thebani retinuerunt, consuluerunteque ei, dicentes nullum esse locum magis idoneum ubi castra poneret: et ulterius progredi prohibuerunt, hortantes ut ibi manens operam daret quo sine pugna universam Græciam in potestatem redigeret. (2) Vi enim et armis subigere Græcos, si concordes sint, sicut adhuc fuerunt, cunctis etiam hominibus esse difficile: « At tu, aiebant, si quod nos suademus feceris, nullo negotio omnia illorum consilia in potestate tua habebis. (3) Mitte pecunias viris qui in quibusque civitatibus principatum tenent: his donis in partes divides Græciam; et eorum ope, qui tuas partes sequentur, hos qui tecum non facient, facile evertes. »

III. Hæc illis suadentibus Mardonius non paruit; sed vehemens illum cupido incesserat Athenas iterum capiendi, partim stolida quadam ferocia ductum, partim quod ignium ope per insulas accensorum cogitaret regi Sardibus versanti significare, tenere sese Athenas. (2) Ubi vero in Atticam pervenit, ne tunc quidem Athenienses in ea nactus est, sed plerosque in Salamine et in navibus esse audivit: itaque vacuam cepit urbem. Hæc quidem altera occupatio Mardonii evenit decimo post mense quam a Xerxe prior erat facta.

IV. Athenis quum esset Mardonius, in Salaminem legatum misit Murychiden, virum Hellespontium; qui easdem Atheniensibus conditiones proponeret, quas Alexander Macedo ad illos pertulerat. (2) Quamquam enim jam antea minime amicas Atheniensium acceperat sententias, iterum tamen nunc misit, sperans illos a stolida superbia remissuros, quum bello capta esset universa Attica, et in ipsius jam esset potestate. Hac caussa Murychiden in Salaminem misit.

V. Qui quum ad senatum venisset, exposuissetque Mardonii mandata; unus e senatoribus, Lycides, pro sen-

γνώμην ὥς οἱ ἐδόκεε ἄμεινον εἶναι, δεξαμένους τὸν λόγον τόν σφι Μουρυχίδης προφέρει, ἐξενεῖκαι ἐς τὸν δῆμον. (2) Ὁ μὲν δὴ ταύτην τὴν γνώμην ἀπεφαίνετο, εἴτε δὴ δεδεγμένος χρήματα παρὰ Μαρδονίου, εἴτε καὶ ταῦτά οἱ ἐάνδανε· Ἀθηναῖοι δὲ αὐτίκα δεινὸν ποιησάμενοι, οἵ τε ἐκ τῆς βουλῆς καὶ οἱ ἔξωθεν, ὡς ἐπύθοντο, περιστάντες Λυκίδεα κατέλευσαν βάλλοντες, τὸν δὲ Ἑλλησπόντιον Μουρυχίδεα ἀπέπεμψαν ἀσινέα. (3) Γενομένου δὲ θορύβου ἐν τῇ Σαλαμῖνι περὶ τὸν Λυκίδεα, πυνθάνονται τὸ γινόμενον αἱ γυναῖκες τῶν Ἀθηναίων, διακελευσαμένη δὲ γυνὴ γυναικὶ καὶ παραλαβοῦσα ἐπὶ τὴν Λυκίδεω οἰκίην ἦισαν αὐτοκελέες, καὶ κατὰ μὲν ἔλευσαν αὐτοῦ τὴν γυναῖκα, κατὰ δὲ τὰ τέκνα.

VI. Ἐς δὲ τὴν Σαλαμῖνα διέβησαν οἱ Ἀθηναῖοι ὧδε. Ἕως μὲν προσεδέκοντο ἐκ τῆς Πελοποννήσου στρατὸν ἥξειν τιμωρήσοντά σφι, οἱ δὲ ἐμενον ἐν τῇ Ἀττικῇ· ἐπεὶ δὲ οἱ μὲν μακρότερά τε καὶ σχολαίτερα ἐποίευν, ὁ δὲ ἐπιὼν καὶ δὴ ἐν τῇ Βοιωτίῃ ἐλέγετο εἶναι, οὕτω δὴ ὑπεξεκομίσαντό τε πάντα καὶ αὐτοὶ διέβησαν ἐς Σαλαμῖνα, (2) ἐς Λακεδαίμονά τε ἔπεμψαν ἀγγέλους ἅμα μὲν μεμψομένους τοῖσι Λακεδαιμονίοισι ὅτι περιεῖδον ἐμβαλόντα τὸν βάρβαρον ἐς τὴν Ἀττικήν, ἀλλ' οὐ μετὰ σφέων ἠντίασαν ἐς τὴν Βοιωτίην, ἅμα δὲ ὑπομνήσοντας ὅσα σφι ὑπέσχετο ὁ Πέρσης μεταβαλοῦσι δώσειν, προεῖπαί τε ὅτι εἰ μὴ ἀμυνεῦσι Ἀθηναίοισι, ὡς καὶ αὐτοί τινα ἀλεωρὴν εὑρήσονται.

VII. Οἱ γὰρ δὴ Λακεδαιμόνιοι ὥρταζόν τε τοῦτον τὸν χρόνον καὶ σφι ἦν Ὑακίνθια, περὶ πλείστου δ' ἦγον τὰ τοῦ θεοῦ πορσύνειν· ἅμα δὲ τὸ τεῖχός σφι, τὸ ἐν τῷ Ἰσθμῷ ἐτείχεον, καὶ δὴ ἐπάλξιας ἐλάμβανε. (2) Ὡς δὲ ἀπίκοντο ἐς τὴν Λακεδαίμονα οἱ ἄγγελοι οἱ ἀπ' Ἀθηνέων, ἅμα ἀγόμενοι ἔκ τε Μεγάρων ἀγγέλους καὶ ἐκ Πλαταιέων, ἔλεγον τάδε ἐπελθόντες ἐπὶ τοὺς ἐφόρους, (I.) « Ἔπεμψαν ἡμέας Ἀθηναῖοι λέγοντες ὅτι ἡμῖν βασιλεὺς ὁ Μήδων τοῦτο μὲν τὴν χώρην ἀποδιδοῖ, τοῦτο δὲ συμμάχους ἐθέλει ἐπ' ἴσῃ τε καὶ ὁμοίῃ ποιήσασθαι, ἄνευ τε δόλου καὶ ἀπάτης, ἐθέλει δὲ καὶ ἄλλην χώρην πρὸς τῇ ἡμετέρῃ διδόναι, τὴν ἂν αὐτοὶ ἑλώμεθα. (3) Ἡμεῖς δὲ Δία τε Ἑλλήνιον αἰδεσθέντες καὶ τὴν Ἑλλάδα δεινὸν ποιεύμενοι προδοῦναι οὐ καταινέσαμεν, ἀλλ' ἀπειπάμεθα, καίπερ ἀδικεόμενοι ὑπ' Ἑλλήνων καὶ καταπροδιδόμενοι, ἐπιστάμενοί τε ὅτι κερδαλεώτερόν ἐστι ὁμολογέειν τῷ Πέρσῃ μᾶλλον ἤπερ πολεμέειν· οὐ μὲν οὐδὲ ὁμολογήσομεν ἑκόντες εἶναι. (4) Καὶ τὸ μὲν ἀπ' ἡμέων οὕτω ἀκίβδηλον ἐὸν νέμεται ἐπὶ τοὺς Ἕλληνας. (II.) Ὑμεῖς δὲ ἐς πᾶσαν ἀρρωδίην τότε ἀπικόμενοι μὴ ὁμολογήσωμεν τῷ Πέρσῃ, ἐπείτε ἐξεμάθετε τὸ ἡμέτερον φρόνημα σαφέως, ὅτι οὐδαμὰ προδώσομεν τὴν Ἑλλάδα, καὶ διότι τεῖχος ὑμῖν διὰ τοῦ Ἰσθμοῦ ἐλαυνόμενον ἐν τέλεί ἐστι, καὶ δὴ λόγον οὐδένα τῶν Ἀθηναίων ποιέεσθε, συνθέμενοί τε ἡμῖν τὸν Πέρσην ἀντιώσεσθαι ἐς τὴν Βοιωτίην προδεδώκατε, περιείδετέ τε ἐσβαλόντα ἐς τὴν Ἀττικὴν

tentia dixit, recte factum sibi videri, si acciperent conditionem a Murychide ipsis propositam, de eaque ad populum referrent. (2) Hanc ille sententiam dixit, sive quod pecunias a Mardonio accepisset, sive quod ipsi per se ita visum fuisset. Sed indignati Athenienses, quum senatores, tum qui foris stabant, ut cognoverunt, protinus circumstantes Lyciden lapidibus obruerunt, Hellespontium vero Murychiden dimiserunt incolumem. (3) Orto autem in Salamine propter Lycidem tumultu, quum rescivissent Atheniensium mulieres, quid rei esset, cohortatæ invicem, et alia aliam prehendens, ultro ædes Lycidæ petierunt, et uxorem ejus et liberos lapidibus obruerunt.

VI. Athenienses vero hac ratione in Salaminem trajecerant. Quousque exspectabant exercitum ex Peloponneso sibi auxilio venturum, in Attica manserunt: quum vero magis magisque in longum rem ducerent Lacedæmonii, et Mardonius, contra ipsos movens, jam in Bœotia esse diceretur, tunc demum omnia sua exportarunt, ipsique in Salaminem transierunt. (2) Simul vero legatos Lacedæmonem miserunt, qui et de Lacedæmoniis, quod Barbarum invadere Atticam passi essent, nec secum in Bœotiam obviam ei occurrissent, conquererentur, et illos admonerent quantum esset, quod ipsis Persa, si ad illius partes transissent, pollicitus esset; denique prædicerent Lacedæmoniis, nisi auxilio venirent Atheniensibus, ipsos etiam per se levamen aliquod inventuros esse malorum.

VII. Nempe festos dies tunc maxime agebant Lacedæmonii, Hyacinthia celebrantes, maximique faciebant rem divinam curare: simul vero etiam murum in Isthmo muniebant, isque jam lorica erat instructus. (2) Ut vero Lacedæmonem legati Athenienses pervenerunt, secum etiam Megarensium et Platæensium ducentes legatos, introducti ad Ephoros, in hunc modum verba fecere: (I.) « Miserunt nos Athenienses, dicentes: Medorum rex non modo terram nostram nobis reddit, verum nos æqua conditione sibi socios vult adjungere, sine dolo et fraude: atque etiam, præter nostram, aliam nobis terram vult tradere, quamcumque ipsi elegerimus. (3) At nos Hellenium reverentes Jovem, remque indignam censentes prodere Græciam, non sumus ei adsensi, sed repudiavimus conditionem, quamquam injuria adfecti a Græcis proditique, et bene gnari longe nobis conducibilius esse societatem contrahere cum Persa, quam gerere bellum: nec vero umquam volentes cum eo paciscemur. (4) Ita quidquid a nobis proficisci potest, id sincero animo tribuimus Græciæ. (II.) At vos, qui nuper vehementissime metuebatis ne cum Persa pacisceremur, nunc, postquam constitutum nobis esse numquam prodere Græciam perspicue inteliexistis, et quoniam murus vester, quem in Isthmo ducitis, prope absolutus est, ne ullam quidem rationem habetis Atheniensium; et, postquam vobis nobiscum convenit occursuros vos Persæ in Bœotiam, prodidistis nos, et Barbarum in Atticam inva-

τὸν βάρβαρον. (5) Ἐς μέν νυν τὸ παρεὸν Ἀθηναῖοι ὑμῖν μηνίουσι· οὐ γὰρ ἐποιήσατε ἐπιτηδέως. Νῦν δὲ ὅτι τάχος στρατιὴν ἅμα ἡμῖν ἐκέλευσαν ὑμέας ἐκπέμπειν, ὡς ἂν τὸν βάρβαρον δεκώμεθα ἐν τῇ Ἀττικῇ· ἐπειδὴ γὰρ ἡμάρτομεν τῆς Βοιωτίης, τῆς γε ἡμετέρης ἐπιτηδεώτατόν ἐστι ἐμμαχέσασθαι τὸ Θριάσιον πεδίον. »

VIII. Ὡς δὲ ἄρα ἤκουσαν οἱ ἔφοροι ταῦτα, ἀνεβάλλοντο ἐς τὴν ὑστεραίην ὑποκρίνασθαι, τῇ δὲ ὑστεραίῃ ἐς τὴν ἑτέρην. Τοῦτο καὶ ἐπὶ δέκα ἡμέρας ἐποίευν, ἐξ ἡμέρης ἐς ἡμέρην ἀναβαλλόμενοι. Ἐν δὲ τούτῳ τῷ χρόνῳ τὸν Ἰσθμὸν ἐτείχεον σπουδὴν ἔχοντες πολλὴν πάντες Πελοποννήσιοι, καί σφι ἦν πρὸς τέλεϊ. (2) Οὐδ' ἔχω εἰπαι τὸ αἴτιον διότι ἀπικομένου μὲν Ἀλεξάνδρου τοῦ Μακεδόνος ἐς Ἀθήνας σπουδὴν μεγάλην ἐποιήσαντο μὴ μηδίσαι Ἀθηναίους, τότε δὲ ὥρην ἐποιήσαντο οὐδεμίαν, ἄλλο γε ἢ ὅτι ὁ Ἰσθμὸς σφι ἐτετείχιστο καὶ ἐδόκεον Ἀθηναίων ἔτι δέεσθαι οὐδέν· ὅτε δὲ ὁ Ἀλέξανδρος ἀπίκετο ἐς τὴν Ἀττικὴν, οὔκω ἀπετετείχιστο, ἐργάζοντο δὲ μεγάλως καταρρωδηκότες τοὺς Πέρσας.

IX. Τέλος δὲ τῆς τε ὑποκρίσιος καὶ ἐξόδου τῶν Σπαρτιητέων ἐγένετο τρόπος τοιόσδε. Τῇ προτεραίῃ τῆς ὑστάτης καταστάσιος μελλούσης ἔσεσθαι Χίλεος ἀνὴρ Τεγεήτης, δυνάμενος ἐν Λακεδαίμονι μέγιστον ξείνων, τῶν ἐφόρων ἐπύθετο πάντα λόγον τὸν δὴ οἱ Ἀθηναῖοι ἔλεγον. (2) Ἀκούσας δὲ ὁ Χίλεος ἔλεγε ἄρα σφι τάδε, « οὕτω ἔχει, ἄνδρες ἔφοροι· Ἀθηναίων ἡμῖν ἐόντων μὴ ἀρθμίων, τῷ δὲ βαρβάρῳ συμμάχων, καίπερ τείχεος διὰ τοῦ Ἰσθμοῦ ἐληλαμένου καρτεροῦ, μεγάλαι κλεισιάδες ἀναπεπτέαται ἐς τὴν Πελοπόννησον τῷ Πέρσῃ. Ἀλλ' ἐσακούσατε, πρίν τι ἄλλο Ἀθηναίοισι δόξαι σφάλμα τῇ Ἑλλάδι φέρον. » Ὁ μέν σφι ταῦτα συνεβούλευε.

X. Οἱ δὲ φρενὶ λαβόντες τὸν λόγον αὐτίκα, φράσαντες οὐδὲν τοῖσι ἀγγέλοισι τοῖσι ἀπιγμένοισι ἀπὸ τῶν πολίων, νυκτὸς ἔτι ἐκπέμπουσι πενταχισχιλίους Σπαρτιητέων [καὶ ἑπτὰ περὶ ἕκαστον τάξαντες τῶν εἰλώτων], Παυσανίῃ τῷ Κλεομβρότου ἐπιτρέψαντες ἐξάγειν. (2) Ἐγίνετο μέν νυν ἡ ἡγεμονίη Πλειστάρχου τοῦ Λεωνίδεω· ἀλλ' ὁ μὲν ἦν ἔτι παῖς, ὁ δὲ τούτου ἐπίτροπός τε καὶ ἀνεψιός. Κλεόμβροτος γὰρ ὁ Παυσανίεω μὲν πατὴρ, Ἀναξανδρίδεω δὲ παῖς οὐκέτι περιῆν, ἀλλ' ἀπαγαγὼν ἐκ τοῦ Ἰσθμοῦ τὴν στρατιὴν τὴν τὸ τεῖχος δείμασαν μετὰ ταῦτα οὐ πολλὸν χρόνον τινὰ βιοὺς ἀπέθανε. (3) Ἀπῆγε δὲ τὴν στρατιὴν ὁ Κλεόμβροτος ἐκ τοῦ Ἰσθμοῦ διὰ τόδε· θυομένῳ οἱ ἐπὶ τῷ Πέρσῃ ὁ ἥλιος ἠμαυρώθη ἐν τῷ οὐρανῷ. (4) Προσαιρέεται δὲ ἑωυτῷ Παυσανίης Εὐρυάνακτα τὸν Δωριέος, ἄνδρα οἰκίης ἐόντα τῆς αὐτῆς. Οἱ μὲν δὴ σὺν Παυσανίῃ ἐξεληλύθεσαν ἔξω Σπάρτης.

XI. Οἱ δὲ ἄγγελοι, ὡς ἡμέρη ἐγεγόνεε, οὐδὲν εἰδότες περὶ τῆς ἐξόδου ἐπῆλθον ἐπὶ τοὺς ἐφόρους, ἐν νόῳ δὴ ἔχοντες ἀπαλλάσσεσθαι καὶ αὐτοὶ ἐπὶ τῆς ἑωυ-

dentem non prohibuistis. (5) Habent igitur in præsentia Athenienses quod vobis succenseant: nec enim recte fecistis. At nunc vos hortantur, ut ocyus nobiscum emittatis exercitum, quo Barbarum excipiamus in Attica. Quoniam enim Bœotiam in tempore non occupavimus, est quidem nostra in terra opportunissimus ad prælium faciendum locus, Thriasius campus. »

VIII. His auditis, ephori responsum in posterum diem distulerunt, tunc postero die in sequentem, atque ita usque in decimum diem fecerunt, de die in diem moras facientes. Interea temporis Peloponnesii omnes ingenti studio Isthmum munire pergebant, et opus jam proxime finem erat. (2) Et, quod Lacedæmonii, quum Alexander Macedo Athenas venisset, tanto studio impedire conati sint quominus Medorum partes amplecterentur Athenienses, nunc vero id prorsus non curarint, nullam aliam edere caussam possum, nisi quod nunc munitum habuerunt Isthmum, nec se amplius indigere Atheniensibus existimarunt: quando vero in Atticam venit Alexander, nondum exstructus erat murus, sed opus etiam tunc faciebant, vehementer metuentes Persas.

IX. Ad extremum vero, ut et responsum legatis Lacedæmonii, et milites Atheniensibus auxilio mitterent, hac ratione effectum est. Pridie ejus diei quo ultimam apud ephoros audientiam habituri legati erant, Chilaus, civis Tegeates, qui in maxima præ aliis omnibus hospitibus auctoritate apud Lacedæmonios erat, ex ephoris sermonem omnem, quem habuerant Athenienses, audivit. (2) Quo audito, hæc illis Chilaus dixit: « Ita se res habet, Ephori: si amici nobis non fuerint Athenienses, sed cum Barbaro contraxerint societatem; valido licet muro per Isthmum ducto, magnæ tamen portæ apertæ sunt Persæ, quibus intrare in Peloponnesum possit. At morem Atheniensibus gerite, priusquam aliud illi consilium capiant, quod exitium ferat Græciæ. » Hoc ille Lacedæmoniis suasit.

X. Atque hi, re inter se deliberata, neque communicata cum legatis qui a civitatibus advenerant, e vestigio, noctu adhuc, quinque millia emiserunt Spartanorum [attributis cuique septem Helotis], mandato dato Pausaniæ, Cleombroti filio, ut illos educeret. (2) Erat quidem tunc rex Lacedæmoniorum Plistarchus, Leonidæ filius; sed hic adhuc puer erat, ille vero tutor hujus et frater patruelis. Neque enim in vivis adhuc fuit Cleombrotus, Pausaniæ pater, Anaxandridæ filius; sed postquam exercitum, qui murum exstruebat, ab Isthmo abduxerat, brevi interjecto tempore e vita discesserat. (3) Hac autem caussa exercitum ab Isthmo Cleombrotus abduxit, quod, dum sacra faciebat adversus Persam, sol obscuratus est in cœlo. (4) Collegam autem sibi Pausanias adscivit Euryanactem, Doriei filium, qui ex eadem fuit regia domo. Illi igitur cum Pausania Spartam sunt egressi.

XI. Legati vero, ubi dies illuxit, profectionis illorum prorsus ignari, adierunt ephoros, ipsi constitutum inter se habentes redire quisque suam in civitatem.

τοῦ ἕκαστος. (2) Ἐπελθόντες δὲ ἔλεγον τάδε, « ὑμεῖς μέν, ὦ Λακεδαιμόνιοι, αὐτοῦ τῇδε μένοντες Ὑακίνθιά τε ἄγετε καὶ παίζετε, καταπροδόντες τοὺς συμμάχους· Ἀθηναῖοι δὲ ὡς ἀδικεόμενοι ὑπ' ὑμέων, χήτι τε συμμάχων, καταλύσονται τῷ Πέρσῃ οὕτω ὅκως ἂν δύνωνται. (3) Καταλυσάμενοι δὲ, δῆλα γὰρ δὴ ὅτι σύμμαχοι βασιλέος γινόμεθα, συστρατευσόμεθα τῇ ἂν ἐκεῖνοι ἐξηγέωνται. Ὑμεῖς δὲ τὸ ἐνθεῦτεν μαθήσεσθε, ὁκοῖον ἄν τι ὑμῖν ἐξ αὐτοῦ ἐκβαίνῃ. » (4) Ταῦτα λεγόντων τῶν ἀγγέλων, οἱ ἔφοροι εἶπαν ἐπ' ὅρκου καὶ δὴ δοκέειν εἶναι ἐν Ὀρεστείῳ στείχοντας ἐπὶ τοὺς ξείνους· ξείνους γὰρ ἐκάλευν τοὺς βαρβάρους. (5) Οἱ δὲ, ὡς οὐκ εἰδότες, ἐπειρώτεον τὸ λεγόμενον, ἐπειρόμενοι δὲ ἐξέμαθον πᾶν τὸ ἐὸν, ὥστε ἐν θώματι γενόμενοι ἐπορεύοντο τὴν ταχίστην διώκοντες· σὺν δέ σφι τῶν περιοίκων Λακεδαιμονίων λογάδες πεντακισχίλιοι ὁπλῖται τὠυτὸ τοῦτο ἐποίευν.

XII. Οἱ μὲν δὴ ἐς τὸν Ἰσθμὸν ἠπείγοντο, Ἀργεῖοι δὲ ἐπείτε τάχιστα ἐπύθοντο τοὺς μετὰ Παυσανίεω ἐξεληλυθότας ἐκ Σπάρτης, πέμπουσι κήρυκα τῶν ἡμεροδρόμων ἀνευρόντες τὸν ἄριστον ἐς τὴν Ἀττικὴν, πρότερον αὐτοὶ Μαρδονίῳ ὑποδεξάμενοι σχήσειν τὸν Σπαρτιήτην μὴ ἐξιέναι· (2) ὃς ἐπείτε ἀπίκετο ἐς τὰς Ἀθήνας, ἔλεγε τάδε, « Μαρδόνιε, ἔπεμψάν με Ἀργεῖοι φράσοντά τοι ὅτι ἐκ Λακεδαίμονος ἐξελήλυθε ἡ νεότης, καὶ ὡς οὐ δυνατοὶ αὐτὴν ἴσχειν εἰσὶ Ἀργεῖοι μὴ οὐκ ἐξιέναι. Πρὸς ταῦτα τύγχανε εὖ βουλευόμενος. » Ὁ μὲν δὴ εἶπας ταῦτα ἀπαλλάσσετο ὀπίσω.

XIII. Μαρδόνιος δὲ οὐδαμῶς ἔτι πρόθυμος ἦν μένειν ἐν τῇ Ἀττικῇ, ὡς ἤκουσε ταῦτα. Πρὶν μέν νυν ἢ πυθέσθαι, ἀνεκώχευε ἐθέλων εἰδέναι τὸ παρ' Ἀθηναίων, ὁκοῖόν τι ποιήσουσι, καὶ οὔτε ἐπήμαινε οὔτε ἐσίνετο γῆν τὴν Ἀττικὴν, ἐλπίζων διὰ παντὸς τοῦ χρόνου ὁμολογήσειν σφέας· (2) ἐπεὶ δὲ οὐκ ἔπειθε, πυθόμενος τὸν πάντα λόγον, πρὶν ἢ τοὺς μετὰ Παυσανίεω ἐς τὸν Ἰσθμὸν ἐμβαλέειν, ὑπεξεχώρεε ἐμπρήσας τε τὰς Ἀθήνας, καὶ εἴ κού τι ὀρθὸν ἦν τῶν τειχέων ἢ τῶν οἰκημάτων ἢ τῶν ἱρῶν, πάντα καταβαλὼν καὶ συγχώσας. (3) Ἐξήλαυνε δὲ τῶνδε εἵνεκεν, ὅτι οὔτε ἱππασίμη ἡ χώρη ἦν ἡ Ἀττικὴ, εἴ τε νικῷτο συμβαλὼν, ἀπάλλαξις οὐκ ἦν ὅτι μὴ κατὰ στεινὸν, ὥστε καὶ ὀλίγους σφέας ἀνθρώπους ἴσχειν. Ἐβουλεύετο ὧν ἐπαναχωρήσας ἐς τὰς Θήβας συμβαλέειν πρὸς πόλι τε φιλίῃ καὶ χώρῃ ἱππασίμῳ.

XIV. Μαρδόνιος μὲν δὴ ὑπεξεχώρεε, ἤδη δὲ ἐν τῇ ὁδῷ ἐόντι αὐτῷ ἦλθε ἀγγελίη πρόδρομον ἄλλην στρατιὴν ἥκειν ἐς Μέγαρα, Λακεδαιμονίων χιλίους. Πυθόμενος δὲ ταῦτα ἐβουλεύετο, ἐθέλων, εἴ κως τούτους πρῶτον ἕλοι. (2) Ὑποστρέψας δὲ τὴν στρατιὴν ἦγε ἐπὶ τὰ Μέγαρα· ἡ δὲ ἵππος προελθοῦσα κατιππάσατο χώρην τὴν Μεγαρίδα. Ἐς ταύτην δὴ ἑκαστάτω τῆς Εὐρώπης τὸ πρὸς ἡλίου δύνοντος ἡ Περσικὴ αὕτη στρατιὴ ἀπικετο.

XV. Μετὰ δὲ ταῦτα Μαρδονίῳ ἦλθε ἀγγελίη ὡς

(2) Hos, ubi advenerunt, ita sunt adlocuti : « Vos igitur, Lacedæmonii, hic domi manentes, Hyacinthia celebratis et ludicra agitis, prodentes socios : Athenienses vero, a vobis injuria adfecti, et sociis destituti, cum Persa pacem component quocumque modo poterunt. (3) Pace autem cum illo conciliata, manifestum est socios nos regis fore : et cum Persis militabimus contra quamcumque terram nos illi ducturi sunt. Vos vero proinde experiemini quale sit, quod vobis ex ea re eventurum est. » (4) Hæc quum legati dixissent, responderunt ephori, interposito jurejurando, profectum esse exercitum, viderique jam ad Oresteum esse, proficiscentem adversus peregrinos : barbaros enim peregrinos (ξένους) vocabant. (5) Legati autem, hoc nescientes, interrogarunt quid esset quod dicerent; et, ubi rem totam cognoverunt, demirati factum, ipsi quoque abire maturarunt, illos insequentes : et cum ipsis profecti sunt etiam ex periœcis Lacedæmoniorum (*circum Spartam habitantibus*) selecta quinque militum millia gravis armaturæ.

XII. Hi dum ad Isthmum ire properant, Argivi, quum prius recepissent Mardonio cohibituros se esse Spartanos ne exirent, nunc simul atque resciverunt exercitum cum Pausania Sparta egressum esse, præconem in Atticam miserunt, optimum ex cursoribus (*Græce* hemerodromis) quem reperire potuerant. (2) Qui ubi Athenas pervenit, hæc dixit : « Mardonie, miserunt me Argivi, qui tibi dicerem, ex Lacedæmone egressam esse juventutem, nec Argivos cohibere illos ne exirent potuisse. Quare, ad hoc quod spectat, tu recte rebus tuis consule. » His dictis, ille reversus est.

XIII. Mardonius, hoc audito nuncio, non consultum duxit diutius in Attica morari. Priusquam enim hunc nuncium accepisset, continuerat se ibi, cognoscere cupiens quid facturi Athenienses essent : et Atticam nec evastaverat, nec ullo malo adfecerat, per omne hoc tempus sperans illos in conditiones propositas consensuros. (2) Postquam vero eis id non persuasit, remque omnem cognovit, tum vero, incensis Athenis, et sicubi de muris aut de privatis ædibus aut de sacris aliquid adhuc rectum stabat, corrutis his omnibus et solo æquatis, priusquam Pausanias cum suis usque ad Isthmum esset progressus, Attica excessit. (3) Excessit autem hac caussa, quod neque equitatui opportuna Attica erat; et, si ipse prælio victus foret, nonnisi per angusta loca se recipere posset, ubi eum pauci etiam homines possent transitu prohibere. Itaque Thebas redire constituit, et prope urbem sibi amicam acie decernere, in regione equitatui opportuna.

XIV. Ita igitur Mardonius Attica excessit : qui ut jam in itinere erat, advenit ei præcursor, nuncians alium exercitum Megara venisse, mille Lacedæmonios. Quo audito, hos primum capere cupiens, deliberabat quo pacto id efficeret. (2) Igitur conversum agmen versus Megara duxit : et præmissus equitatus jam Megaricam incursavit terram. Estque hæc Europæ regio longissime occidentem versus sita, in quam pervenerit Persicus hic exercitus.

XV. Post hæc vero nunciatur Mardonio, frequentem

ἁλέες εἶησαν οἱ Ἕλληνες ἐν τῷ Ἰσθμῷ. Οὕτω δὴ ὀπίσω ἐπορεύετο διὰ Δεκελέης· οἱ γὰρ βοιωτάρχαι μετεπέμψαντο τοὺς προσχώρους τῶν Ἀσωπίων, οὗτοι δὲ αὐτῷ τὴν ὁδὸν ἡγέοντο ἐς Σφενδαλέας, ἐνθεῦτεν δὲ ἐς Τανάγρην. (2) Ἐν Τανάγρῃ δὲ νύκτα ἐναυλισάμενος, καὶ τραπόμενος τῇ ὑστεραίῃ ἐς Σκῶλον, ἐν γῇ τῇ Θηβαίων ἦν. Ἐνθαῦτα δὲ τῶν Θηβαίων καίπερ μηδιζόντων ἔκειρε τοὺς χώρους, οὔτι κατ' ἔχθος αὐτῶν, ἀλλ' ὑπ' ἀναγκαίης μεγάλης ἐχόμενος, βουλόμενος ἔρυμά τε τῷ στρατοπέδῳ ποιήσασθαι, καὶ ἦν συμβαλόντι οἱ μὴ ἐκβαίνῃ ὁκοῖόν τι ἐθέλοι, κρησφύγετον τοῦτο ἐποιέετο. (3) Παρῆκε δὲ αὐτοῦ τὸ στρατόπεδον ἀρξάμενον ἀπ' Ἐρυθρέων παρ' Ὑσιὰς, κατέτεινε δὲ ἐς τὴν Πλαταιίδα γῆν, παρὰ τὸν Ἀσωπὸν ποταμὸν τεταγμένον. Οὐ μέντοι τό γε τεῖχος τοσοῦτο ἐποιέετο, ἀλλ' ὡς ἐπὶ δέκα σταδίους μάλιστά κῃ μέτωπον ἕκαστον. (4) Ἐχόντων δὲ τὸν πόνον τοῦτον τῶν βαρβάρων, Ἀτταγῖνος ὁ Φρύνωνος ἀνὴρ Θηβαῖος παρασκευασάμενος μεγάλως ἑκάλεε ἐπὶ ξείνια αὐτόν τε Μαρδόνιον καὶ πεντήκοντα Περσέων τοὺς λογιμωτάτους, κληθέντες δὲ οὗτοι εἵποντο· ἦν δὲ τὸ δεῖπνον ποιεύμενον ἐν Θήβῃσι.

XVI. Τάδε δὲ ἤδη τὰ ἐπίλοιπα ἤκουον Θερσάνδρου ἀνδρὸς μὲν Ὀρχομενίου, λογίμου δὲ ἐς τὰ πρῶτα ἐν Ὀρχομενῷ. (2) Ἔφη δὲ ὁ Θέρσανδρος κληθῆναι καὶ αὐτὸς ὑπ' Ἀτταγίνου ἐπὶ τὸ δεῖπνον τοῦτο, κληθῆναι δὲ καὶ Θηβαίων ἄνδρας πεντήκοντα, καί σφεων οὐ χωρὶς ἑκατέρους κλῖναι, ἀλλὰ Πέρσην τε καὶ Θηβαῖον ἐν κλίνῃ ἑκάστῃ. (3) Ὡς δὲ ἀπὸ δείπνου ἔσαν, διαπινόντων τὸν Πέρσην τὸν ὁμόκλινον Ἑλλάδα γλῶσσαν ἱέντα εἴρεσθαι αὐτὸν ὁποδαπός ἐστι, αὐτὸς δὲ ὑποκρίνασθαι ὡς εἴη Ὀρχομένιος. (4) Τὸν δὲ εἶπαι, « ἐπεὶ νῦν ὁμοτράπεζός τέ μοι καὶ ὁμόσπονδος ἐγένεο, μνημόσυνά τοι γνώμης τῆς ἐμῆς καταλιπέσθαι ἐθέλω, ἵνα καὶ προειδὼς αὐτὸς περὶ σεωυτοῦ βουλεύεσθαι ἔχῃς τὰ συμφέροντα. (5) Ὁρᾷς τούτους τοὺς δαινυμένους Πέρσας καὶ τὸν στρατὸν τὸν ὀλίπομεν ἐπὶ τῷ ποταμῷ στρατοπεδευόμενον; τούτων πάντων ὄψεαι ὀλίγου τινὸς χρόνου διελθόντος ὀλίγους τινὰς τοὺς περιγενομένους. » (6) Ταῦτά τε ἅμα τὸν Πέρσην λέγειν καὶ μετιέναι πολλὰ τῶν δακρύων. Αὐτὸς δὲ θωμάσας τὸν λόγον εἶπαι πρὸς αὐτὸν, « οὐκῶν Μαρδονίῳ τε ταῦτα χρεών ἐστι λέγειν καὶ τοῖσι μετ' ἐκεῖνον ἐν αἴνῃ ἐοῦσι Περσέων. » (7) Τὸν δὲ μετὰ ταῦτα εἶπαι, « ξεῖνε, ὅ τι δεῖ γενέσθαι ἐκ τοῦ θεοῦ, ἀμήχανον ἀποτρέψαι ἀνθρώπῳ· οὐδὲ γὰρ πιστὰ λέγουσι ἐθέλει πείθεσθαι οὐδείς. Ταῦτα δὲ Περσέων συχνοὶ ἐπιστάμενοι ἑπόμεθα ἀναγκαίῃ ἐνδεδεμένοι. Ἐχθίστη δὲ ὀδύνη ἐστὶ τῶν ἐν ἀνθρώποισι αὕτη, πολλὰ φρονέοντα μηδενὸς κρατέειν. » (8) Ταῦτα μὲν τοῦ Ὀρχομενίου Θερσάνδρου ἤκουον, καὶ τάδε πρὸς τούτοισι, ὡς αὐτὸς αὐτίκα λέγοι ταῦτα πρὸς ἀνθρώπους πρότερον ἢ γενέσθαι ἐν Πλαταιῇσι τὴν μάχην.

XVII. Μαρδονίου δὲ ἐν τῇ Βοιωτίῃ στρατοπεδευο-

Græcorum exercitum in Isthmo esse. Itaque retroducens per Deceleam iter fecit : Bœotarchi enim finitimos arcessiverant Asopiorum, qui ei viam monstrarunt Sphendaleas ferentem, atque inde Tanagram : (2) ubi quum pernoctasset, postero die Scolon pergens, in finibus fuit Thebanorum. Ibi vero, licet partes ipsius sequerentur Thebani, nihilo minus agros eorum vastavit, non utique hostili in eos animo, sed ingente necessitate coactus : voluit enim munimentum exercitui exstruere, quod et sibi, si prælium committenti minus ex sententia res cecidisset, perfugium esset. (3) Pertinebant autem castra illius inde ab Erythris, præter Hysias, usque ad Platæensium fines, secundum Asopum fluvium locata. Nec tamen munitionem eadem magnitudine fecit, sed in decem fere stadia quodque ejus latus. (4) Dum in hoc opere occupati erant barbari, Attaginus Phrynonis filius, civis Thebanus, facto magnifico adparatu, et Mardonium ipsum, et quinquaginta Persarum spectatissimos, ad hospitale epulum vocavit. Et vocati accepere conditionem; celebratumque est epulum in ipsa urbe Thebana.

XVI. Jam quæ his adjiciam, ea ex Thersandro audivi, cive Orchomenio, spectato inter primos viro apud Orchomenios. (2) Dixit autem Thersander, se quoque ab Attagino ad hanc cœnam fuisse vocatum, vocatosque item fuisse quinquaginta cives Thebanos; nec vero seorsum utrisque sedes adsignasse hospitem, sed in quoque lectulo simul Persam et Thebanum collocasse. (3) Tum, finita cœna compotantibus convivis, Persam qui cum ipso in eodem lectulo cubabat, Græca lingua loquentem, quæsisse ex ipso unde esset, seque respondisse, esse se Orchomenium. (4) Dein Persam hæc dixisse : « Quoniam igitur et mensæ et libationis mihi socius es, volo tibi monumentum relinquere meæ sententiæ; quo etiam tu, re ante cognita, tuis prospicere commodis possis. (5) Vides hosce epulantes Persas, et exercitum, quem in castris juxta fluvium reliquimus! Horum omnium, brevi tempore interjecto, non nisi paucos quosdam videbis superesse. » (6) Hæc dicentem Persam largas profudisse lacrimas. Se vero, miratum illius sermonem, respondisse : « Igitur Mardonio hoc dicere oportet, et eis ex Persis qui post illum auctoritate pollent. » (7) Ad hæc illum reposuisse : « Hospes, quæ deus vult ut fiant, ea avertere in nullius hominis potestate est : nam fidelia consilia dantibus parere nemo solet. Ac novimus quidem hoc multi ex Persis : sequimur vero ducem, necessitate constricti. Est autem acerrimus, qui adficere hominem possit, dolor hic, bona multa consilia nosse, et tamen eorum nullum posse exsequi. » (8) Hæc equidem narrantem Orchomenium Thersandrum audivi, et præterea hoc adfirmantem, ipsum protinus hunc sermonem ad alios homines retulisse, priusquam ad Platæas commissum esset prælium.

XVII. Quo tempore Mardonius primum castra in Bœotia

μένου οἱ μὲν ἄλλοι παρείχοντο ἅπαντες στρατιὴν καὶ συνεσέβαλον ἐς Ἀθήνας, ὅσοι περ ἐμήδιζον Ἑλλήνων τῶν ταύτῃ οἰκημένων, μοῦνοι δὲ Φωκέες οὐ συνεσέβαλον· ἐμήδιζον γὰρ δὴ σφόδρα καὶ οὗτοι οὐκ ἑκόντες, ἀλλ' ὑπ' ἀναγκαίης. (2) Ἡμέρῃσι δὲ οὐ πολλῇσι μετὰ τὴν ἄπιξιν τὴν ἐς Θήβας ὕστερον ἦλθον αὐτῶν ὁπλῖται χίλιοι· ἦγε δὲ αὐτοὺς Ἁρμοκύδης ἀνὴρ τῶν ἀστῶν δοκιμώτατος. Ἐπεὶ δὲ ἀπικέατο καὶ οὗτοι ἐς Θήβας, πέμψας ὁ Μαρδόνιος ἱππέας ἐκέλευσέ σφεας ἐπ' ἑωυτῶν ἐν τῷ πεδίῳ ἵζεσθαι. Ἐπεὶ δὲ ἐποίησαν ταῦτα, αὐτίκα παρῆν ἡ ἵππος ἅπασα. (3) Μετὰ δὲ ταῦτα διεξῆλθε μὲν διὰ τοῦ στρατοπέδου τοῦ Ἑλληνικοῦ τοῦ μετὰ Μήδων ἐόντος φήμη ὡς κατακοντιέει σφέας, διεξῆλθε δὲ δι' αὐτῶν Φωκέων τωὐτὸ τοῦτο. Ἔνθα δή σφι ὁ στρατηγὸς Ἁρμοκύδης παραίνεε λέγων τοιάδε, (4) « ὦ Φωκέες, πρόδηλα γὰρ ὅτι ἡμέας οὗτοι οἱ ἄνθρωποι μέλλουσι προόπτῳ θανάτῳ δώσειν, διαβεβλημένους ὑπὸ Θεσσαλῶν, ὡς ἐγὼ εἰκάζω· νῦν ἀνδρα πάντα τινὰ ὑμέων χρεών ἐστι γενέσθαι ἀγαθόν· κρέσσον γὰρ ποιεῦντάς τι καὶ ἀμυνομένους τελευτῆσαι τὸν αἰῶνα ἢπερ παρέχοντας διαφθαρῆναι αἰσχίστῳ μόρῳ. Ἀλλὰ μαθέτω τις αὐτῶν ὅτι ἐόντες βάρβαροι ἐπ' Ἕλλησι ἀνδράσι φόνον ἔρραψαν. »

XVIII. Ὁ μὲν ὦν ταῦτα παραίνεε, οἱ δὲ ἱππέες ἐπείτε σφέας ἐκυκλώσαντο, ἐπήλαυνον ὡς ἀπολεῦντες, καὶ δὴ διετείνοντο τὰ βέλεα ὡς ἀπήσοντες, καί κού τις καὶ ἀπῆκε. Καὶ οἱ ἀντίοι ἔστασαν, πάντῃ συστρέψαντες ἑωυτοὺς καὶ πυκνώσαντες ὡς μάλιστα. Ἐνθαῦτα οἱ ἱππόται ὑπέστρεφον καὶ ἀπήλαυνον ὀπίσω. (2) Οὐκ ἔχω δ' ἀτρεκέως εἰπαι οὔτε εἰ ἦλθον μὲν ἀπολεῦντες τοὺς Φωκέας δεηθέντων Θεσσαλῶν, ἐπεὶ δὲ ὥρεον πρὸς ἀλέξησιν τραπομένους, δείσαντες μὴ καὶ σφίσι γένηται τρώματα, οὕτω δὴ ἀπήλαυνον ὀπίσω· ὡς γάρ σφι ἐνετείλατο Μαρδόνιος· οὔτ' εἰ αὐτῶν πειρηθῆναι ἠθέλησε εἴ τε ἀλκῆς μετέχουσι. (3) Ὡς δὲ ὀπίσω ἀπήλασαν οἱ ἱππόται, πέμψας Μαρδόνιος κήρυκα ἔλεγε τάδε, « θαρσέετε, ὦ Φωκέες· ἄνδρες γὰρ ἐφάνητε ἐόντες ἀγαθοί, οὐκ ὡς ἐγὼ ἐπυνθανόμην. Καὶ νῦν προθύμως φέρετε τὸν πόλεμον τοῦτον· εὐεργεσίῃσι γὰρ οὐ νικήσετε οὔτ' ὧν ἐμὲ οὔτε βασιλέα. » Τὰ περὶ Φωκέων μὲν ἐς τοσοῦτο ἐγένετο.

XIX. Λακεδαιμόνιοι δὲ ὡς ἐς τὸν Ἰσθμὸν ἦλθον, ἐν τούτῳ ἐστρατοπεδεύοντο. Πυνθανόμενοι δὲ ταῦτα οἱ λοιποὶ Πελοποννήσιοι τοῖσι τὰ ἀμείνω ἑάνδανε, οἱ δὲ καὶ ὁρέοντες ἐξιόντας Σπαρτιήτας, οὐκ ἐδικαίευν λείπεσθαι τῆς ἐξόδου Λακεδαιμονίων. (2) Ἐκ δὴ ὧν τοῦ Ἰσθμοῦ καλλιρησάντων τῶν ἱρῶν ἐπορεύοντο πάντες, καὶ ἀπικνέονται ἐς Ἐλευσῖνα· ποιήσαντες δὲ καὶ ἐνθαῦτα ἱρὰ, ὡς σφι ἐκαλλίρεε, τὸ πρόσω ἐπορεύοντο, Ἀθηναῖοι δὲ ἅμα αὐτοῖσι, διαβάντες μὲν ἐκ Σαλαμῖνος, συμμιγέντες δὲ ἐν Ἐλευσῖνι. (3) Ὡς δὲ ἄρα ἀπίκοντο τῆς Βοιωτίης ἐς Ἐρυθρὰς, ἐμαθόν τε δὴ τοὺς βαρβάρους ἐπὶ τῷ Ἀσωπῷ στρατοπεδευομένους, φραhabuerat, reliqui omnes, quotquot ex Græcis has regiones incolentibus Medorum partes amplexi erant, exercitum illi præbuerant, cum illoque in Atticam erant ingressi. Soli Phocenses castra illius non erant secuti : nam et hi quidem utique Medorum partes erant amplexi, nec vero volentes, sed necessitate coacti. (2) Sed haud multis diebus postquam Thebas Mardonius venit, advenere ex illorum numero mille, duce Harmocyde, viro inter suos spectatissimo. Qui ubi Thebas venerunt, Mardonius missis equitibus jussit illos seorsum in campo residere. Quod ubi fecere, protinus totus adfuit equitatus : (3) Moxque per Græcanicum exercitum, qui cum Medis erat, ferebatur fama, perditum iri Phocenses equitum sagittis; eademque fama inter ipsos etiam Phocenses percrebuit. Ibi tunc eos dux Harmocydes his verbis est cohortatus : (4) « Phocenses, manifestum est, hosce homines certæ neci nos destinasse, accusatos, ut equidem suspicor, a Thessalis. Nunc igitur quemque vestrûm oportet fortem se virum præstare : melius est enim, ut agentes aliquid et fortiter pugnantes finiamus vitam, quam ut turpissima morte interimendos nos præbeamus. Sed intelligat illorum quisque, quale hoc sit, quod, barbari quum sint, Græcis hominibus mortem sint machinati. »

XVIII. Dum hic suos sic hortatur, cingunt illos equites, moxque adversus eos invehuntur tamquam perdituri, et jacula in illos torquent veluti jam emissuri, ac passim etiam nonnulli emittunt. At, quum illi densatis undique ordinibus et quam maxime poterant conglobati resisterent, conversis equis equites redierunt. (2) Nec equidem pro certo dicere possum, utrum revera illi ad interficiendos rogatu Thessalorum Phocenses venerint, et deinde, postquam eos ad sese defendendum paratos viderunt, ideo retro discesserint, quod vererentur ne et ipsi vulnera acciperent : (ita enim Mardonius præceperat :) an ad illos tentandos numquid eis fortitudinis inesset. (3) Postquam vero discesserunt equites, præconem Mardonius misit, hæc dicentem : « Confidite, Phocenses! namque fortes vos esse viros demonstravistis, non quales mihi narratum erat. Et nunc alacri animo gerite hoc bellum : nam beneficiis neque me neque regem vincetis. » Et hæc quidem, ad Phocenses quod attinet, ita gesta sunt.

XIX. Lacedæmonii, ut in Isthmum venerunt, castra ibi posuerant : quo cognito, reliqui Peloponnesii, quibus meliora placebant, nonnulli etiam quod Spartanos vidissent egredientes, æquum non censuerunt, ad bellum proficiscentibus Lacedæmoniis, domi manere. (2) Jam ex Isthmo, postquam læta nunciarunt victimæ, profecti omnes, Eleusina venerunt. Et, quum ibi quoque sacrificantibus læta fuissent exta, ulterius sunt progressi, cum eisque simul Athenienses; hi enim, postquam e Salamine trajecerant, Eleusine sese cum illis junxerunt. (3) Qui ubi Erythras, Bœotiæ oppidum, venerunt, resciveruntque barbaros ad

σθέντες τε τοῦτο ἀντετάσσοντο ἐπὶ τῆς ὑπωρέης τοῦ Κιθαιρῶνος.

XX. Μαρδόνιος δὲ, ὡς οὐ κατέβαινον οἱ Ἕλληνες ἐς τὸ πεδίον, πέμπει ἐς αὐτοὺς πᾶσαν τὴν ἵππον, τῆς ἱππάρχεε Μασίστιος εὐδοκιμέων παρὰ Πέρσῃσι, τὸν Ἕλληνες Μακίστιον καλεῦσι, ἵππον ἔχων Νισαῖον χρυσοχάλινόν τε καὶ ἄλλως κεκοσμημένον καλῶς. (2) Ἐνθαῦτα ὡς προσήλασαν οἱ ἱππόται πρὸς τοὺς Ἕλληνας, προσέβαλον κατὰ τέλεα, προσβαλόντες δὲ κακὰ μεγάλα ἐργάζοντο καὶ γυναῖκάς σφεας ἀπεκάλευν.

XXI. Κατὰ συντυχίην δὲ Μεγαρέες ἔτυχον ταχθέντες τῇ τε τὸ ἐπιμαχώτατον ἦν τοῦ χωρίου παντὸς, καὶ ἡ πρόσοδος μάλιστα ταύτῃ ἐγίνετο τῇ ἵππῳ. (2) Προσβαλούσης ὦν τῆς ἵππου οἱ Μεγαρέες πιεζόμενοι ἔπεμπον ἐπὶ τοὺς στρατηγοὺς τῶν Ἑλλήνων κήρυκα, ἀπικόμενος δὲ ὁ κῆρυξ πρὸς αὐτοὺς ἔλεγε τάδε, (3) « Μεγαρέες λέγουσι, ἡμεῖς, ἄνδρες σύμμαχοι, οὐ δυνατοί εἰμεν τὴν Περσέων ἵππον δέκεσθαι μοῦνοι, ἔχοντες στάσιν ταύτην ἐς τὴν ἔστημεν ἀρχήν· ἀλλὰ καὶ ἐς τόδε λιπαρίῃ τε καὶ ἀρετῇ ἀντέχομεν καίπερ πιεζόμενοι· νῦν τε εἰ μή τινας ἄλλους πέμψετε διαδόχους τῆς τάξιος, ἴστε ἡμέας ἐκλείψοντας τὴν τάξιν. » (4) Ὁ μὲν δή σφι ταῦτα ἀπήγγειλε, Παυσανίης δὲ ἀπεπειρᾶτο τῶν Ἑλλήνων εἴ τινες ἐθέλοιεν ἄλλοι ἐθελονταὶ ἰέναι τε ἐς τὸν χῶρον τοῦτον καὶ τάσσεσθαι διάδοχοι Μεγαρεῦσι. (5) Οὐ βουλομένων δὲ τῶν ἄλλων Ἀθηναῖοι ὑπεδέξαντο, καὶ Ἀθηναίων οἱ τριηκόσιοι λογάδες τῶν ἑλοχήγεε Ὀλυμπιόδωρος ὁ Λάμπωνος.

XXII. Οὗτοι ἔσαν οἵ τε ὑποδεξάμενοι καὶ οἱ πρὸ τῶν ἄλλων τῶν παρεόντων Ἑλλήνων ἐς Ἐρυθρὰς ταχθέντες, τοὺς τοξότας προσελόμενοι. Μαχομένων δὲ σφεων ἐπὶ χρόνον τέλος τοιόνδε ἐγένετο τῆς μάχης. (2) Προσβαλούσης τῆς ἵππου κατὰ τέλεα, ὁ Μασιστίου προέχων τῶν ἄλλων ἵππος βάλλεται τοξεύματι τὰ πλευρὰ, ἀλγήσας δὲ ἵσταταί τε ὀρθὸς καὶ ἀποσείεται τὸν Μασίστιον. (3) Πεσόντι δὲ αὐτῷ οἱ Ἀθηναῖοι αὐτίκα ἐπεκέατο· τόν τε δὴ ἵππον αὐτοῦ λαμβάνουσι, καὶ αὐτὸν ἀμυνόμενον κτείνουσι, κατ' ἀρχὰς οὐ δυνάμενοι· ἐνεσκεύαστο γὰρ οὕτω· ἐντὸς θώρηκα εἶχε χρύσεον λεπιδωτὸν, κατύπερθε δὲ τοῦ θώρηκος κιθῶνα φοινίκεον ἐνδεδύκεε. (4) Τύπτοντες δὲ ἐς τὸν θώρηκα ἐποίευν οὐδέν, πρίν γε δή μαθών τις τὸ ποιεύμενον παίει μιν ἐς τὸν ὀφθαλμόν. Οὕτω δὴ ἔπεσέ τε καὶ ἀπέθανε. Ταῦτα δέ κως γινόμενα ἐλελήθεε τοὺς ἄλλους ἱππέας· οὔτε γὰρ πεσόντα μιν εἶδον ἀπὸ τοῦ ἵππου οὔτε ἀποθνήσκοντα, ἀναχωρήσιός τε γινομένης καὶ ὑποστροφῆς οὐκ ἔμαθον τὸ γινόμενον. (5) Ἐπείτε δὲ ἔστησαν, αὐτίκα ἐπόθησαν, ὡς σφεας οὐδεὶς ἦν ὁ τάσσων. Μαθόντες δὲ τὸ γεγονὸς, διακελευσάμενοι ἤλαυνον τοὺς ἵππους πάντες, ὡς ἂν τόν γε νεκρὸν ἀνελοίατο.

XXIII. Ἰδόντες δὲ οἱ Ἀθηναῖοι οὐκέτι κατὰ τέλεα προσελαύνοντας τοὺς ἱππέας, ἀλλ' ἅμα πάντας, τὴν ἄλλην στρατιὴν ἐπεβώσαντο. Ἐν ᾧ δὲ ὁ πεζὸς ἅπας ἐβώθεε, ἐν τούτῳ μάχη ὀξέα περὶ τοῦ νεκροῦ γίνεται.

Asopum habere castra, re deliberata, ex adverso illorum in Cithæronis montis radicibus consedere.

XX. Inde quum in planitiem Græci non descenderent, Mardonius contra eos universum equitatum misit, cui præerat Masistius, quem Macistium Græci vocant, illustris vir apud Persas, Nisæum habens equum, aureo freno et aliis ornamentis nitentem. (2) Ibi, ut Græcis adpropinquarunt equites, turmatim in eos impetum faciebant; in eoque conflictu magna illis incommoda adferebant, mulieresque eos vocabant.

XXI. Acciderat forte, ut eo loco, qui maxime omnium expositus hosti erat, Megarenses essent locati, et in eum locum maxime impetum facerent equites. (2) Quum igitur ab invadente equitatu premerentur Megarenses, præconem miserunt ad duces Græcorum; qui ubi ad illos venit, hæc verba fecit: (3) « Dicunt Megarenses: Nos, o socii, non possumus soli impetum sustinere equitatus Persarum, hic stantes ubi initio locati sumus. Sed adhuc quidem perseveramus, et fortiter resistimus, quamvis graviter pressi: nunc vero, nisi alios mittitis qui nostrum in locum succedant, scitote nos ordinem esse relicturos. » (4) Hæc quum ille ducibus nunciasset, Græcos tentavit Pausanias, ecqui alii ultro vellent istum in locum se conferre, et succedere Megarensibus. (5) Quumque nollent cæteri, acceperunt conditionem Athenienses, et horum quidem selecti trecenti, cui cohorti præerat Olympiodorus, Lamponis filius.

XXII. Hi fuerunt qui istam operam in se receperunt, et adsumptis secum sagittariis, ante alios omnes Græcos, qui ad Erythras aderant, stationem ceperunt. Qui quum per aliquod tempus pugnassent, ad extremum hujusmodi fuit pugnæ exitus. (2) Dum turmatim impetum faciunt equites, Masistii equus, præ aliis eminens, sagitta vulneratur in latere: et præ dolore in posteriores pedes erectus, excutit Masistium. (3) In collapsum protinus Athenienses impetum faciunt; et equum ejus capiunt, ipsumque repugnantem interficiunt. Et initio quidem interficere eum non potuerant, quum sub punicea tunica, qua erat indutus, intus aurea lorica squamata esset armatus. (4) In thoracem igitur ferientes, nihil efficiebant; donec aliquis, intelligens quid rei esset, in oculum ejus ferrum adegit: ita demum cecidit mortuusque est. Hæc forte sic gerebantur nescientibus reliquis equitibus: nec enim hi illum viderant ex equo cadentem, nec morientem; sed quum per id ipsum tempus converteretur turma et paululum retro veheretur, id quod agebatur non animadverterant. (5) Ubi vero restiterunt, continuo ducem desiderarunt, quum nemo esset qui illos ordinaret: et quid factum esset intelligentes, equos adegerunt cuncti, quo cadaver saltem auferrent.

XXIII. Tunc vero Athenienses, ubi viderunt jam non amplius turmatim, sed simul omnes adcurrere equites, reliquum exercitum auxilio advocarunt. Dum vero peditatus omnis auxilio venit, interim fit acris pugna circa

(2) Ἕως μέν νυν μοῦνοι ἦσαν οἱ τριηκόσιοι, ἐσσοῦντό τε πολλὸν καὶ τὸν νεκρὸν ἀπέλιπον· ὡς δέ σφι τὸ πλῆθος ἐπεβώθησε, οὕτω δὴ οὐκέτι οἱ ἵπποται ὑπέμενον, οὐδέ σφι ἐξεγένετο τὸν νεκρὸν ἀνελέσθαι, ἀλλὰ πρὸς ἐκείνῳ ἄλλους προσαπώλεσαν τῶν ἱππέων. (3) Ἀποστήσαντες ὧν ὅσον τε δύο στάδια ἐβουλεύοντο ὅ τι χρεὼν εἴη ποιέειν· ἐδόκεε δέ σφι ἀναρχίης ἐούσης ἀπελαύνειν παρὰ Μαρδόνιον.

XXIV. Ἀπικομένης δὲ τῆς ἵππου ἐς τὸ στρατόπεδον πένθος ἐποιήσαντο Μασιστίου πᾶσά τε ἡ στρατιὴ καὶ Μαρδόνιος μέγιστον, σφέας τε αὐτοὺς κείροντες καὶ τοὺς ἵππους καὶ τὰ ὑποζύγια, οἰμωγῇ τε χρεώμενοι ἀπλέτῳ· ἅπασαν γὰρ τὴν Βοιωτίην κατεῖχε ἠχὼ ὡς ἀνδρὸς ἀπολομένου μετά γε Μαρδόνιον λογιμωτάτου παρά τε Πέρσῃσι καὶ βασιλεῖ. Οἱ μέν νυν βάρβαροι τρόπῳ τῷ σφετέρῳ ἀποθανόντα ἐτίμεον Μασίστιον.

XXV. Οἱ δὲ Ἕλληνες ὡς τὴν ἵππον ἐδέξαντο προσβαλοῦσαν καὶ δεξάμενοι ὥσαντο, ἐθάρσησαν πολλῷ μᾶλλον. Καὶ πρῶτα μὲν ἐς ἅμαξαν ἐσθέντες τὸν νεκρὸν παρὰ τὰς τάξις ἐκόμιζον· ὁ δὲ νεκρὸς ἦν θέης ἄξιος μεγάθεος εἵνεκεν καὶ κάλλεος. Τῶν δὲ εἵνεκεν καὶ ταῦτα ἐποίευν· ἐκλείποντες τὰς τάξις ἐφοίτεον θεησόμενοι Μασίστιον. (2) Μετὰ δὲ ἔδοξέ σφι ἐπικαταβῆναι ἐς Πλαταιάς· ὁ γὰρ χῶρος ἐφαίνετο πολλῷ ἐὼν ἐπιτηδεώτερός σφι ἐνστρατοπεδεύεσθαι ὁ Πλαταιικὸς τοῦ Ἐρυθραίου, τά τε ἄλλα καὶ εὐυδρότερος. (3) Ἐς τοῦτον δὴ τὸν χῶρον καὶ ἐπὶ τὴν κρήνην τὴν Γαργαφίην τὴν ἐν τῷ χώρῳ τούτῳ ἐοῦσαν ἔδοξέ σφι χρεὸν εἶναι ἀπικέσθαι καὶ διαταχθέντας στρατοπεδεύεσθαι. (4) Ἀναλαβόντες δὲ τὰ ὅπλα ἦϊσαν διὰ τῆς ὑπωρέης τοῦ Κιθαιρῶνος παρ' Ὑσιὰς ἐς τὴν Πλαταιίδα γῆν, ἀπικόμενοι δὲ ἐτάσσοντο κατ' ἔθνεα πλησίον τῆς τε κρήνης τῆς Γαργαφίης καὶ τοῦ τεμένεος τοῦ Ἀνδροκράτεος τοῦ ἥρωος, δι' ὄχθων τε οὐκ ὑψηλῶν καὶ ἀπέδου χωρίου.

XXVI. Ἐνθαῦτα ἐν τῇ διατάξι ἐγένετο λόγων πολλὸς ὠθισμὸς Τεγεητέων τε καὶ Ἀθηναίων· ἐδικαίευν γὰρ αὐτοὶ ἑκάτεροι ἔχειν τὸ ἕτερον κέρας, καὶ καινὰ καὶ παλαιὰ παραφέροντες ἔργα. (2) Τοῦτο μὲν οἱ Τεγεῆται ἔλεγον τάδε, « ἡμεῖς αἰεί κοτε ἀξιεύμεθα ταύτης τῆς τάξιος ἐκ τῶν συμμάχων ἁπάντων, ὅσαι ἤδη ἔξοδοι κοιναὶ ἐγένοντο Πελοποννησίοισι καὶ τὸ παλαιὸν καὶ τὸ νέον, ἐξ ἐκείνου τοῦ χρόνου ἐπείτε Ἡρακλεῖδαι ἐπειρῶντο μετὰ τὸν Εὐρυσθέος θάνατον κατιόντες ἐς Πελοπόννησον. (3) Τότε εὑρόμεθα τοῦτο διὰ πρῆγμα τοιόνδε· ἐπεὶ μετ' Ἀχαιῶν καὶ Ἰώνων τῶν τότε ἐόντων ἐν Πελοποννήσῳ ἐκβωθήσαντες ἐς τὸν Ἰσθμὸν ἱζόμεθα ἀντίοι τοῖσι κατιοῦσι, τότε ὧν λόγος Ὕλλον ἀγορεύσασθαι ὡς χρεὼν εἴη τὸν μὲν στρατὸν τῷ στρατῷ μὴ ἀνακινδυνεύειν συμβάλλοντα, ἐκ δὲ τοῦ Πελοποννησίου στρατοπέδου τὸν ἂν σφέων αὐτῶν κρίνωσι εἶναι ἄριστον, τοῦτόν οἱ μουνομαχῆσαι ἐπὶ διακειμένοισι. (4) Ἔδοξέ τε τοῖσι Πελοποννησίοισι ταῦτα εἶναι

mortui corpus. (2) Et quoad soli fuere illi trecenti, multo erant inferiores, nec auferre cadaver potuere : ut vero eis multitudo succurrit, jam rursus horum vim equites non sustinuere, neque eis contigit mortuum auferre, sed præter eum alios etiam de suis amisere. (3) Igitur ad duo fere stadia recesserunt : ubi, quum quid faciendum esset deliberassent, decreverunt, quoniam essent sine imperio, redire ad Mardonium.

XXIV. Qui postquam in castra venerunt, acerbissimo luctu et Mardonius et universus exercitus Masistium sunt prosecuti, se ipsos tondentes et equos et jumenta, lamentaque immensa tollentes, ut per totam Bœotiam echo resonaret; quippe mortuo viro apud Persas et apud regem post Mardonium spectatissimo. Atque ita quidem barbari suo more mortuum Masistium honorarunt.

XXV. Græci vero, postquam irruentem exceperant equitatum, exceptumque repulerant, tanto magis confirmati animis, primum quidem, currui impositum cadaver per singulos ordines deduxerunt; erat enim corpus spectatu dignum, cum ob proceritatem, tum ob formæ præstantiam : sed et hac caussa illud ita circumduxerunt, quoniam vulgo milites relictis ordinibus ad spectandum Masistium frequentes adcurrerant. (2) Deinde vero constituerunt ad Platæas descendere, quum intellexissent campum Platæensem et alias ob caussas et ob aquæ copiam multo ipsis ad castra ponenda opportuniorem esse quam Erythræus campus. (3) In hunc igitur campum et ad fontem Gargaphiam, qui in illo erat, descendendum sibi, ibique rite dispositis castra locanda judicarunt. (4) Igitur, sumptis armis, per Cithæronis montis radices præter Hysias in Platæensium agrum contenderunt. Quo quum pervenissent, prope Gargaphiam fontem et Androcratis herois fanum, partim in tumulis haud ita editis, partim in planitie, per populos dispositi consederunt.

XXVI. Ibi tum, dum cuique populo suus adsignatur locus, acris verborum contentio orta est inter Tegeatas et Athenienses; contendentibus utrisque sibi hoc deberi ut alterum obtineant cornu, et tam nova quam antiqua facta in medium proferentibus. (2) Ab altera enim parte Tegeatæ hæc dixere : « Nobis semper hic locus, quem in acie obtineremus, ab omnibus sociis tributus est, in omnibus expeditionibus, quas junctis copiis Peloponnesii et olim et recentiori memoria susceperunt; et id quidem ab eo inde tempore, quo Heraclidæ post Eurysthei obitum, in Peloponnesum conati sunt redire. (3) Tunc igitur honorem hunc adquisivimus facto hujusmodi : quo tempore nos cum Achæis et cum Ionibus qui tunc Peloponnesum incolebant, in Isthmum egressi, castra opposita habuimus castris illorum qui redire conabantur, tunc Hyllus memoratur publice edixisse, non debere exercitum cum exercitu prælio commisso periclitari, sed deligendum unum esse ex castris Peloponnesiorum, quem illi suorum fortissimum judicassent, qui cum ipso certis conditionibus singulari pugna decertaret. (4) Pla-

ποιητέα, καὶ ἔταμον ὅρκια ἐπὶ λόγῳ τοιῷδε, ἢν μὲν Ὕλλος νικήσῃ τὸν Πελοποννησίων ἡγεμόνα, κατιέναι Ἡρακλείδας ἐπὶ τὰ πατρώϊα, ἢν δὲ νικηθῇ, τὰ ἔμπαλιν Ἡρακλείδας ἀπαλλάσσεσθαι καὶ ἀπάγειν τὴν στρατιὴν ἑκατόν τε ἐτέων μὴ ζητῆσαι κάτοδον ἐς Πελοπόννησον. (5) Προεκρίθη τε δὴ ἐκ πάντων συμμάχων ἐθελοντὴς Ἔχεμος ὁ Ἠρόπου τοῦ Φηγέος στρατηγός τε ἐὼν καὶ βασιλεὺς ἡμέτερος, καὶ ἐμουνομάχησέ τε καὶ ἀπέκτεινε Ὕλλον. (6) Ἐκ τούτου τοῦ ἔργου εὑρόμεθα ἐν Πελοποννησίοισι τοῖσι τότε καὶ ἄλλα γέρεα μεγάλα, τὰ διατελέομεν ἔχοντες, καὶ τοῦ κέρεος τοῦ ἑτέρου αἰεὶ ἡγεμονεύειν κοινῆς ἐξόδου γινομένης. (7) Ὑμῖν μέν νυν, ὦ Λακεδαιμόνιοι, οὐκ ἀντιεύμεθα, ἀλλὰ διδόντες αἵρεσιν ὁκοτέρου βούλεσθε κέρεος ἄρχειν παρίεμεν· τοῦ δὲ ἑτέρου φαμὲν ἡμέας ἱκνέεσθαι ἡγεμονεύειν κατά περ ἐν τῷ πρόσθε χρόνῳ. (8) Χωρίς τε τούτου τοῦ ἀπηγημένου ἔργου ἀξιονικότεροί εἰμεν Ἀθηναίων ταύτην τὴν τάξιν ἔχειν· πολλοὶ μὲν γὰρ καὶ εὖ ἔχοντες πρὸς ὑμέας ἡμῖν, ἄνδρες Σπαρτιῆται, ἀγῶνες ἀγωνίδαται, πολλοὶ δὲ καὶ πρὸς ἄλλους. (9) Οὕτω ὦν ἡμέας δίκαιον ἔχειν τὸ ἕτερον κέρας ἤπερ Ἀθηναίους· οὐ γάρ σφί ἐστι ἔργα οἷά περ ἡμῖν κατεργασμένα, οὔτ' ὦν καινὰ οὔτε παλαιά. » Οἱ μὲν ταῦτα ἔλεγον.

XXVII. Ἀθηναῖοι δὲ πρὸς ταῦτα ὑπεκρίναντο τάδε, « ἐπιστάμεθα μὲν σύνοδον τήνδε μάχης εἵνεκεν συλλεγῆναι πρὸς τὸν βάρβαρον, ἀλλ' οὐ λόγων· ἐπεὶ δὲ ὁ Τεγεήτης προέθηκε παλαιὰ καὶ καινὰ λέγειν τὰ ἑκατέροισι ἐν τῷ παντὶ χρόνῳ κατέργασται χρηστὰ, ἀναγκαίως ἡμῖν ἔχει δηλῶσαι πρὸς ὑμέας ὅθεν ἡμῖν πατρώϊόν ἐστι ἐοῦσι χρηστοῖσι αἰεὶ πρώτοισι εἶναι μᾶλλον ἢ Ἀρκάσι. (2) Ἡρακλείδας, τῶν οὗτοί φασι ἀποκτεῖναι τὸν ἡγεμόνα ἐν Ἰσθμῷ, τούτους πρότερον ἐξελαυνομένους ὑπὸ πάντων τῶν Ἑλλήνων ἐς τοὺς ἀπικοίατο φεύγοντες δουλοσύνην πρὸς Μυκηναίων, μοῦνοι ὑποδεξάμενοι τὴν Εὐρυσθέος ὕβριν κατείλομεν, σὺν ἐκείνοισι μάχῃ νικήσαντες τοὺς τότε ἔχοντας Πελοπόννησον. (3) Τοῦτο δὲ Ἀργείους τοὺς μετὰ Πολυνείκεος ἐπὶ Θήβας ἐλάσαντας, τελευτήσαντας τὸν αἰῶνα καὶ ἀτάφους κειμένους, στρατευσάμενοι ἐπὶ τοὺς Καδμείους ἀνελέσθαι τε τοὺς νεκροὺς φαμεν καὶ θάψαι τῆς ἡμετέρης ἐν Ἐλευσῖνι. (4) Ἔστι δὲ ἡμῖν ἔργον εὖ ἔχον καὶ ἐς Ἀμαζονίδας τὰς ἀπὸ Θερμώδοντος ποταμοῦ ἐσβαλούσας κοτὲ ἐς γῆν τὴν Ἀττικήν. Καὶ ἐν τοῖσι Τρωϊκοῖσι πόνοισι οὐδαμῶν ἐλειπόμεθα. (5) Ἀλλ' οὐ γάρ τι προέχει τούτων ἐπιμεμνῆσθαι· καὶ γὰρ ἂν χρηστοὶ τότε ἐόντες ὠυτοὶ νῦν ἂν εἶεν φλαυρότεροι, καὶ τότε ἐόντες φλαῦροι νῦν ἂν εἶεν ἀμείνονες. (6) Παλαιῶν μέν νυν ἔργων ἄλις ἔστω· ἡμῖν δὲ εἰ μηδὲν ἄλλο ἐστὶ ἀποδεδεγμένον, ὥσπερ ἐστὶ πολλά τε καὶ εὖ ἔχοντα εἰ τέοισι καὶ ἄλλοισι Ἑλλήνων, ἀλλὰ καὶ ἀπὸ τοῦ ἐν Μαραθῶνι ἔργου ἄξιοί εἰμεν τοῦτο τὸ γέρας ἔχειν καὶ ἄλλα πρὸς τούτῳ, οἵτινες μοῦνοι Ἑλλήνων δὴ μουνομαχήσαντες τῷ Πέρσῃ καὶ ἔργῳ τοσούτῳ ἐπιχειρήσαντες περιεγενόμεθα καὶ ἐνικήσαμεν ἔθνεα ἕξ τε καὶ

cuitque Peloponnesiis ita fieri; et jusjurandum sibi mutuo utrique in hæc verba dederant: « Si Hyllus ducem vicisset Peloponnesiorum, Heraclidas in paternas possessiones esse restituendos; sin vinceretur, tum vero abituros Heraclidas exercitumque abducturos, et intra centum annos non conaturos in Peloponnesum redire. » (5) Delectus est autem ex omnibus sociis Echemus, Aeropi filius, Phegei nepos, dux et rex noster, qui ultro sese obtulerat; isque inita singulari pugna, Hyllum interfecit. (6) Illo igitur facto a Peloponnesiis qui tunc fuere et alia honorifica præmia, quæ adhuc tenemus, et hoc consecuti sumus, ut alterum semper cornu ducamus quoties communis suscipitur expeditio. (7) Cum vobis igitur, Lacedæmonii, non contendimus; sed optionem damus vobis utri cornu velitis præesse, illoque vobis cedimus: sed ad nos hoc pertinere contendimus, ut, quemadmodum superiori tempore, sic et nunc alteri cornu præsimus. (8) Præter istud vero quod commemoravimus factum, sunt etiam alia ob quæ digniores nos sumus qui hunc locum obtineamus, quam Athenienses: etenim multa præclara prælia adversus vos, Spartani, multaque item adversus alios fecimus. (9) Quare æquum est, ut nos potius, quam Athenienses, alterum cornu habeamus: nam ab illis nec nuper, nec olim, tales res gestæ sunt quales a nobis. » Hæc Tegeatæ dixere.

XXVII. Ad quæ Athenienses in hunc modum responderunt: « Novimus quidem, pugnandi caussa adversus Barbarum hic nos convenisse, non disputandi: at quoniam Tegeatarum dux et vetera et nova in medium protulit, quæ ab utrisque nostrûm ab omni inde memoria bene gesta sint, necesse est ut vobis exponamus, unde nobis, qui semper fortes fuimus, magis patrium sit, quam Arcadibus, ut primi simus. (2) Primum Heraclidas, quorum hi ducem in Isthmo a se interfectum aiunt, hos antea, quum servitutem fugerent a Mycenæis imminentem, repulsique fuissent a Græcis omnibus quos adierant, nos soli recepimus, et Eurysthei injuriis finem fecimus, reportata cum illis victoria de his qui tunc Peloponnesum tenebant. (3) Deinde, quum Argivi cum Polynice contra Thebas profecti, ibique vita functi, insepulti jacerent, a nobis bello Cadmeis illato ablatos esse gloriamur mortuos, et in nostra terra Eleusine sepultos. (4) Est etiam res a nobis præclare gesta contra Amazonidas, quæ olim a Thermodonte fluvio in terram Atticam incursionem fecerunt. Atque in Trojano etiam bello nullis fuimus secundi. (5) Sed enim nihil proficit, harum rerum fecisse mentionem: nam, qui tum fortes fuere, fieri potest ut iidem nunc sint deteriores; et qui tunc ignavi, iidem nunc fortiores. (6) Itaque, de rebus olim gestis, hæc sufficiant. Nos autem, si nullum aliud edidissemus factum, qui tamen multa, si qui alii ex Græcis, bene præclareque gessimus; at propter unam certe Marathoniam victoriam digni sumus hoc honore, atque aliis etiam insuper honoribus: qui ex omnibus Græcis soli cum Persa pugnavimus, tantamque rem adgressi superiores discessi-

τεσσεράκοντα. (7) Ἆρ' οὐ δίκαιοί εἰμεν ἔχειν ταύτην τὴν τάξιν ἀπὸ τούτου μούνου τοῦ ἔργου; Ἀλλ' οὐ γὰρ ἐν τῷ τοιῷδε τάξιος εἵνεκεν στασιάζειν πρέπει, ἄρτιοί εἰμεν πείθεσθαι ὑμῖν, ὦ Λακεδαιμόνιοι, ἵνα δοκέει ἐπιτηδεώτατον ἡμέας εἶναι ἑστάναι καὶ κατ' οὕστινας· πάντῃ γὰρ τεταγμένοι πειρησόμεθα εἶναι χρηστοί. Ἐξηγέεσθε δὲ ὡς πεισομένων. »

XXVIII. Οἱ μὲν ταῦτα ἀμείβοντο, Λακεδαιμονίων δὲ ἀνέβωσε ἅπαν τὸ στρατόπεδον Ἀθηναίους ἀξιονικοτέρους εἶναι ἔχειν τὸ κέρας ἢπερ Ἀρκάδας. Οὕτω δὴ ἔσχον οἱ Ἀθηναῖοι καὶ ὑπερεβάλοντο τοὺς Τεγεήτας. (2) Μετὰ δὲ ταῦτα ἐτάσσοντο ὧδε οἱ ἐπιφοιτέοντές τε καὶ οἱ ἀρχὴν ἐλθόντες Ἑλλήνων. Τὸ μὲν δεξιὸν κέρας εἶχον Λακεδαιμονίων μύριοι· τούτων δὲ τοὺς πεντακισχιλίους ἐόντας Σπαρτιήτας ἐφύλασσον ψιλοὶ τῶν εἱλωτέων πεντακισχίλιοι καὶ τρισμύριοι, περὶ ἄνδρα ἕκαστον ἑπτὰ τεταγμένοι. (3) Προσεχέας δέ σφι εἵλοντο ἑστάναι οἱ Σπαρτιῆται τοὺς Τεγεήτας καὶ τιμῆς εἵνεκεν καὶ ἀρετῆς· τούτων δ' ἔσαν ὁπλῖται χίλιοι καὶ πεντηκόσιοι. (4) Μετὰ δὲ τούτους ἵσταντο Κορινθίων πεντακισχίλιοι, παρὰ δὲ σφίσι εὕροντο παρὰ Παυσανίεω ἑστάναι Ποτιδαιητέων τῶν ἐκ Παλλήνης τοὺς παρεόντας τριηκοσίους. (5) Τούτων δὲ ἐχόμενοι ἵσταντο Ἀρκάδες Ὀρχομένιοι ἑξακόσιοι, τούτων δὲ Σικυώνιοι τρισχίλιοι. Τούτων δὲ εἶχοντο Ἐπιδαυρίων ὀκτακόσιοι. (6) Παρὰ δὲ τούτους Τροιζηνίων ἐτάσσοντο χίλιοι, Τροιζηνίων δὲ ἐχόμενοι Λεπρεητέων διηκόσιοι, τούτων δὲ Μυκηναίων καὶ Τιρυνθίων τετρακόσιοι, τούτων δὲ ἐχόμενοι Φλιάσιοι χίλιοι. (7) Παρὰ δὲ τούτους ἔστασαν Ἑρμιονέες τριηκόσιοι. Ἑρμιονέων δὲ ἐχόμενοι ἵσταντο Ἐρετριέων τε καὶ Στυρέων ἑξακόσιοι, τούτων δὲ Χαλκιδέες τετρακόσιοι, τούτων δὲ Ἀμπρακιητέων πεντηκόσιοι. (8) Μετὰ δὲ τούτους Λευκαδίων καὶ Ἀνακτορίων ὀκτακόσιοι ἔστασαν, τούτων δὲ ἐχόμενοι Παλέες οἱ ἐκ Κεφαλληνίης διηκόσιοι. Μετὰ δὲ τούτους Αἰγινητέων πεντηκόσιοι ἐτάχθησαν. Παρὰ δὲ τούτους ἐτάσσοντο Μεγαρέων τρισχίλιοι. (9) Εἶχοντο δὲ τούτων Πλαταιέες ἑξακόσιοι. Τελευταῖοι δὲ καὶ πρῶτοι Ἀθηναῖοι ἐτάσσοντο, κέρας ἔχοντες τὸ εὐώνυμον, ὀκταχισχίλιοι· ἐστρατήγεε δ' αὐτῶν Ἀριστείδης ὁ Λυσιμάχου.

XXIX. Οὗτοι, πλὴν τῶν ἑπτὰ περὶ ἕκαστον τεταγμένων Σπαρτιήτῃσι, ἔσαν ὁπλῖται, συνάπαντες ἐόντες ἀριθμὸν τρεῖς τε μυριάδες καὶ ὀκτὼ χιλιάδες καὶ ἑκατοντάδες ἑπτά. (2) Ὁπλῖται μὲν οἱ πάντες συλλεγέντες ἐπὶ τὸν βάρβαρον ἔσαν τοσοῦτοι, ψιλῶν δὲ πλῆθος ἦν τόδε, τῆς μὲν Σπαρτιητικῆς τάξιος πεντακισχίλιοι καὶ τρισμύριοι ἄνδρες ὡς ἐόντων ἑπτὰ περὶ ἕκαστον ἄνδρα, καὶ τούτων πᾶς τις παρῄρτητο ὡς ἐς πόλεμον. (3) Οἱ δὲ τῶν λοιπῶν Λακεδαιμονίων καὶ Ἑλλήνων ψιλοί, ὡς εἷς περὶ ἕκαστον ἐὼν ἄνδρα, πεντακόσιοι καὶ τετρακισχίλιοι καὶ τρισμύριοι ἔσαν. Ψιλῶν μὲν δὴ τῶν ἁπάντων μαχίμων ἦν τὸ πλῆθος ἓξ τε μυριάδες καὶ ἐννέα χιλιάδες καὶ ἑκατοντάδες πέντε.

mus, et de sex et quadraginta populis victoriam reportavimus. (7) Nonne hac una re gesta commeruimus, ut hic nobis locus in acie tribuatur? At, quum in hoc temporis momento non deceat de loco quo quisque in acie locetur altercari, parati nos sumus vobis parere, Lacedæmonii, et ibi stare ubi et contra quos ut locemur opportunissimum vobis fuerit visum. Nam ubicumque fuerimus locati, operam dabimus ut fortes nos viros præstemus. Imperate igitur, et nos obsequemur. »

XXVII. Hoc quum illi respondissent, universus Lacedæmoniorum exercitus adclamavit Atheniensibus, digniores illos esse qui cornu præessent, quam Arcades. Atque ita Athenienses, victis Tegeatis, honorem illum sunt consecuti. (2) Post hæc, Græcorum acies, quum eorum eorum qui initio convenerant, tum qui paulatim supervenerant, in hunc modum ordinata est. Dextrum cornu Lacedæmonii tenuere, numero decies mille; quorum quinque millia Spartani fuere, quos custodiebant Helotæ quinquies et tricies mille, leviter armati septem Helotæ cuique viro attributi. (3) Proximum sibi locum Spartani Tegeatis tribuerunt, et honoris caussa, et virtutis: erantque hi mille et quingenti graviter armati. (4) Post hos locati erant Corinthiorum quinque millia: qui a Pausania impetrarunt, ut juxta ipsos starent Potidæatæ qui aderant ex Pallene, numero trecenti. (5) His proximi erant locati Arcades Orchomenii sexcenti; et his, Sicyonii ter mille; juxtaque hos stabant Epidaurii octingenti; (6) prope quos constituti erant Trœzenii mille; tum juxta Trœzenios Lepreatæ ducenti; prope hos Mycenæi et Tirynthii quadringenti; quibus proximi, Phliasii mille; (7) atque his propinqui erant Hermionenses trecenti. Proximi Hermionensibus locati erant Eretrienses et Styrenses sexcenti: post quos Chalcidenses quadringenti, et post hos, Ampraciatæ quingenti; (8) deinde Leucadii locati erant et Anactorii, numero octingenti: hisque proximi Palenses ex Cephallenia ducenti. Post hos Æginetæ stabant quingenti; et juxta illos Megarenses locati ter mille; (9) atque his proximi erant Platæenses sexcenti. Postremi vero et primi Athenienses stabant, lævum cornu tenentes, numero octies mille; quibus Aristides præerat, Lysimachi filius.

XXIX. Hi cuncti, exceptis septem illis cuique Spartano rum attributis, graviter fuere armati; numero, simul omnes, octies et tricies mille et septingenti. (2) Iste igitur fuit numerus graviter armatorum, qui ad pugnandum contra Barbarum convenerant. Leviter vero armatorum numerus hic fuit: in Spartanorum ordinibus quinquies et tricies mille viri, quippe septem circa quemque virum; eratque horum quisque ut solet ad bellum instructus. (3) Reliquorum vero Lacedæmoniorum et Græcorum leviter armati, unus fere circa quemque virum, fuere quater et tricies mille et quingenti. Itaque leviter armatorum numerus universus fuit sexaginta novem millium et quingentorum.

XXX. Τοῦ δὲ σύμπαντος Ἑλληνικοῦ τοῦ συνελθόντος ἐς Πλαταιὰς σύν τε ὁπλίτῃσι καὶ ψιλοῖσι τοῖσι μαχίμοισι ἕνδεκα μυριάδες ἔσαν, μιῆς χιλιάδος, πρὸς δὲ ὀκτακοσίων ἀνδρῶν καταδέουσαι. (2) Σὺν δὲ Θεσπιέων τοῖσι παρεοῦσι ἐξεπληροῦντο αἱ ἕνδεκα μυριάδες· παρῆσαν γὰρ καὶ Θεσπιέων ἐν τῷ στρατοπέδῳ οἱ περιεόντες, ἀριθμὸν ἐς ὀκτακοσίους καὶ χιλίους· ὅπλα δὲ οὐδ' οὗτοι εἶχον. Οὗτοι μέν νυν ταχθέντες ἐπὶ τῷ Ἀσωπῷ ἐστρατοπεδεύοντο.

XXXI. Οἱ δ' ἀμφὶ Μαρδόνιον βάρβαροι ὡς ἀπεκήδευσαν Μασίστιον, παρῆσαν, πυθόμενοι τοὺς Ἕλληνας εἶναι ἐν Πλαταιῇσι, καὶ αὐτοὶ ἐπὶ τὸν Ἀσωπὸν τὸν ταύτῃ ῥέοντα. (2) Ἀπικόμενοι δὲ ἀντετάσσοντο ὧδε ὑπὸ Μαρδονίου. Κατὰ μὲν Λακεδαιμονίους ἔστησε Πέρσας. Καὶ δὴ πολλὸν γὰρ περιῆσαν πλήθεϊ οἱ Πέρσαι, ἐπί τε τάξις πλεῦνας ἐκεκοσμέατο καὶ ἐπεῖχον τοὺς Τεγεήτας. (3) Ἔταξε δὲ οὕτω· ὅ τι μὲν ἦν αὐτοῦ δυνατώτατον πᾶν ἀπολέξας ἔστησε ἀντίον Λακεδαιμονίων, τὸ δὲ ἀσθενέστερον παρέταξε κατὰ τοὺς Τεγεήτας. Ταῦτα δ' ἐποίεε φραζόντων τε καὶ διδασκόντων Θηβαίων. (4) Περσέων δὲ ἐχομένους ἔταξε Μήδους· οὗτοι δὲ ἐπέσχον Κορινθίους τε καὶ Ποτιδαιήτας καὶ Ὀρχομενίους τε καὶ Σικυωνίους. Μήδων δὲ ἐχομένους ἔταξε Βακτρίους· οὗτοι δὲ ἐπέσχον Ἐπιδαυρίους τε καὶ Τροιζηνίους καὶ Λεπρεήτας τε καὶ Τιρυνθίους καὶ Μυκηναίους τε καὶ Φλιασίους. Μετὰ δὲ Βακτρίους ἔστησε Ἰνδούς· οὗτοι δὲ ἐπέσχον Ἑρμιονέας τε καὶ Ἐρετριέας καὶ Στυρέας τε καὶ Χαλκιδέας. (5) Ἰνδῶν δὲ ἐχομένους Σάκας ἔταξε, οἳ ἐπέσχον Ἀμπρακιήτας τε καὶ Ἀνακτορίους καὶ Λευκαδίους καὶ Παλέας καὶ Αἰγινήτας. Σακέων δὲ ἐχομένους ἔταξε ἀντία Ἀθηναίων τε καὶ Πλαταιέων καὶ Μεγαρέων Βοιωτούς τε καὶ Λοκροὺς καὶ Μηλιέας τε καὶ Θεσσαλοὺς καὶ Φωκέων τοὺς χιλίους· (6) οὐ γὰρ ὧν ἅπαντες οἱ Φωκέες ἐμήδισαν, ἀλλά τινες αὐτῶν καὶ τὰ Ἑλλήνων ηὔξον περὶ τὸν Παρνησὸν κατειλημένοι, καὶ ἐνθεῦτεν ὁρμεώμενοι ἔφερόν τε καὶ ἦγον τήν τε Μαρδονίου στρατιὴν καὶ τοὺς μετ' αὐτοῦ ἐόντας Ἑλλήνων. Ἔταξε δὲ καὶ Μακεδόνας τε καὶ τοὺς περὶ Θεσσαλίην οἰκημένους κατὰ τοὺς Ἀθηναίους.

XXXII. Ταῦτα μὲν τῶν ἐθνέων τὰ μέγιστα ὠνόμασται τῶν ὑπὸ Μαρδονίου ταχθέντων, τά περ ἐπιφανέστατά τε ἦν καὶ λόγου πλείστου. (2) Ἐνῆσαν δὲ καὶ ἄλλων ἐθνέων ἄνδρες ἀναμεμιγμένοι, Φρυγῶν τε καὶ Θρηίκων καὶ Μυσῶν τε καὶ Παιόνων καὶ τῶν ἄλλων, ἐν δὲ καὶ Αἰθιόπων τε καὶ Αἰγυπτίων οἵ τε Ἑρμοτύβιες καὶ οἱ Καλασίριες καλεύμενοι μαχαιροφόροι, οἵπερ εἰσὶ Αἰγυπτίων μοῦνοι μάχιμοι. (3) Τούτους δὲ ἔτι ἐὼν ἐν Φαλήρῳ ἀπὸ τῶν νεῶν ἀπεβιβάσατο ἐόντας ἐπιβάτας· οὐ γὰρ ἐτάχθησαν ἐς τὸν πεζὸν τὸν ἅμα Ξέρξῃ ἀπικόμενον ἐς Ἀθήνας Αἰγύπτιοι. (4) Τῶν μὲν δὴ βαρβάρων ἔσαν τριήκοντα μυριάδες, ὡς καὶ πρότερον δεδήλωται· τῶν δὲ Ἑλλήνων τῶν Μαρδονίου συμμάχων οἷδε μὲν οὐδεὶς ἀριθμόν (οὐ γὰρ ὧν ἠριθμήθη-

XXX. Itaque universus Græcarum copiarum, quæ ad pugnam aptæ essent, numerus ad Platæas, collectus, simul sumpta et gravi et levi armatura, fuit centum et decem millium, minus mille et octingentis. (2) Adjunctis vero Thespiensibus qui aderant, completus est numerus centum et decem millium. Adfuerunt enim etiam in castris quotquot supererant Thespiensium, ad mille octingentos numero: sed illi quidem nonnisi leviter armati. Græci igitur, ita ordinati, ad Asopum castra habuere.

XXXI. Barbari cum Mardonio, postquam fine m fecerunt parentandi Masistio, quum cognovissent Græcos ad Platæas esse, ipsi quoque ad Asopum, qui illac fluit, se contulerunt. (2) Quo ubi venere, Græcis in hunc modum oppositi sunt a Mardonio. Contra Lacedæmonios locavit Persas; qui quidem, quum illos multitudine longe superarent, non solum plures in ordines locati, sed Tegeatis etiam oppositi stabant. (3) Ordinavit eos autem Mardonius ita, ut selectos suorum validissimos quosque opponeret Lacedæmoniis, infirmiores vero contra Tegeatas locaret: idque fecit indicantibus et monentibus Thebanis. (4) Persis proximos Medos locavit; qui ex adverso Corinthios habebant et Potidæatas et Orchomenios et Sicyonios. A latere Medorum Bactrios locavit, Epidauriis oppositos et Trœzeniis, item Lepreatis, Tirynthiis, Mycenæis et Phliasiis. Post Bactrios locavit Indos, quibus ex adverso Hermionenses stabant et Eretrienses et Styrenses et Chalcidenses. (5) Proxime Indis Sacas locavit, Ampraciatis oppositos et Anactoriis et Leucadiis et Palensibus et Æginetis. Proximos Sacis, ex adverso Atheniensium et Platæensium et Megarensium, Bœotos locavit et Locros et Malienses et Thessalos et mille illos, quos memoravi, Phocenses. (6) Nec enim omnes Phocenses a partibus Medorum stabant; sed eorum nonnulli etiam cum Græcis faciebant, circa Parnassum conglobati, indeque impetu facto exercitum Mardonii, et Græcos qui cum eo erant, vexabant prædamque ex illis agebant. Insuper vero etiam Macedonas, et populos Thessaliæ finitimos, Atheniensibus Mardonius opposuit.

XXXII. Quos adhuc nominavi populos a Mardonio in acie locatos, hi numerosiores erant cæteris majorisque momenti. (2) Mixti his autem fuere ex aliis quoque populis viri, Phryges, Thraces, Mysi, Pæones, aliique. Adfuere etiam ex Æthiopibus selecti, et Ægyptiorum Hermotybies et Calasiries qui vocantur, gladiis armati; qui soli sunt Ægyptiorum milites. (3) Hos autem Mardonius, quum adhuc Phaleri esset, e navibus adsciverat quarum propugnatores erant: nec enim Ægyptii in peditatu fuerant, qui cum Xerxe Athenas venit. (4) Jam barbarorum quidem numerus qui cum Mardonio erant, ut jam supra dixi, trecenta millia fuere: Græcorum vero numerum, qui ei socii aderant, nemo novit, nec enim initus illorum numerus est; sed, si

σαν), ὡς δὲ ἐπεικάσαι, ἐς πέντε μυριάδας συλλεγῆναι εἰκάζω. Οὗτοι οἱ παραταχθέντες πεζοὶ ἔσαν, ἡ δὲ ἵππος χωρὶς ἐτέτακτο.

XXXIII. Ὡς δὲ ἄρα πάντες οἱ ἐτετάχατο κατά τε ἔθνεα καὶ κατὰ τέλεα, ἐνθαῦτα τῇ δευτέρῃ ἡμέρῃ ἐθύοντο καὶ ἀμφότεροι. (2) Ἕλλησι μὲν Τισαμενὸς Ἀντιόχου ἦν ὁ θυόμενος· οὗτος γὰρ δὴ εἵπετο τῷ στρατεύματι τούτῳ μάντις· τὸν ἐόντα Ἠλεῖον καὶ γένεος τοῦ Ἰαμιδέων Κλυτιάδην Λακεδαιμόνιοι ἐποιήσαντο λεωσφέτερον. Τισαμενῷ γὰρ μαντευομένῳ ἐν Δελφοῖσι περὶ γόνου ἀνεῖλε ἡ Πυθίη ἀγῶνας τοὺς μεγίστους ἀναιρήσεσθαι πέντε. (3) Ὁ μὲν δὴ ἁμαρτὼν τοῦ χρηστηρίου προσεῖχε γυμνασίοισι ὡς ἀναιρησόμενος γυμνικοὺς ἀγῶνας, ἀσκέων δὲ πεντάεθλον παρ' ἓν πάλαισμα ἔδραμε νικᾶν Ὀλυμπιάδα, Ἱερωνύμῳ τῷ Ἀνδρίῳ ἐλθὼν ἐς ἔριν. (4) Λακεδαιμόνιοι δὲ μαθόντες οὐκ ἐς γυμνικοὺς, ἀλλ' ἐς ἀρηίους ἀγῶνας φέρον τὸ Τισαμένου μαντήϊον, μισθῷ ἐπειρέοντο πείσαντες Τισαμενὸν ποιέεσθαι ἅμα Ἡρακλειδέων τοῖσι βασιλεῦσι ἡγεμόνα τῶν πολέμων. (5) Ὁ δὲ ὁρέων περὶ πολλοῦ ποιευμένους Σπαρτιήτας φίλον αὐτὸν προσθέσθαι, μαθὼν τοῦτο ἀνετίμα, σημαίνων σφι ὡς ἢν μιν πολιήτην σφέτερον ποιήσωνται τῶν πάντων μεταδιδόντες ποιήσει ταῦτα, ἐπ' ἄλλῳ μισθῷ δ' οὔ. (6) Σπαρτιῆται δὲ πρῶτα μὲν ἀκούσαντες δεινὰ ἐποιεῦντο καὶ μετίεσαν τῆς χρησμοσύνης τὸ παράπαν, τέλος δὲ δείματος μεγάλου ἐπικρεμαμένου τοῦ Περσικοῦ τούτου στρατεύματος καταίνεον μετιόντες. (7) Ὁ δὲ γνοὺς τετραμμένους σφέας οὐδ' οὕτω ἔτι ἔφη ἀρκέεσθαι τούτοισι μούνοισι, ἀλλὰ δεῖν ἔτι καὶ τὸν ἀδελφεὸν ἑωυτοῦ Ἡγίην γίνεσθαι Σπαρτιήτην ἐπὶ τοῖσι αὐτοῖσι λόγοισι τοῖσι καὶ αὐτὸς γίνεται.

XXXIV. Ταῦτα δὲ λέγων οὗτος ἐμιμέετο Μελάμποδα, ὡς εἰκάσαι, βασιληίην τε καὶ πολιτηίην αἰτέοντα. Καὶ γὰρ δὴ καὶ Μελάμπους τῶν ἐν Ἄργεϊ γυναικῶν μανεισέων, ὥς μιν οἱ Ἀργεῖοι ἐμισθοῦντο ἐκ Πύλου παῦσαι τὰς σφετέρας γυναῖκας τῆς νούσου, μισθὸν προετείνετο τῆς βασιληίης τὸ ἥμισυ. (2) Οὐκ ἀνασχομένων δὲ τῶν Ἀργείων, ἀλλ' ἀπιόντων, ὡς ἐμαίνοντο πλεῦνες τῶν γυναικῶν, οὕτω δὴ ὑποστάντες τὰ ὁ Μελάμπους προετείνατο ἤϊσαν δώσοντές οἱ ταῦτα. (3) Ὁ δὲ ἐνθαῦτα δὴ ἐπορέγεται ὁρέων αὐτοὺς τετραμμένους, φὰς, ἢν μὴ καὶ τῷ ἀδελφεῷ Βίαντι μεταδῶσι τὸ τριτημόριον τῆς βασιληίης, οὐ ποιήσειν τὰ βούλονται. Οἱ δὲ Ἀργεῖοι ἀπειληθέντες ἐς στεινὸν καταινέουσι καὶ ταῦτα.

XXXV. Ὡς δὲ καὶ Σπαρτιῆται, ἐδέοντο γὰρ δεινῶς τοῦ Τισαμενοῦ, πάντα συνεχώρεόν οἱ. Συγχωρησάντων δὲ καὶ ταῦτα τῶν Σπαρτιητέων, οὕτω δὴ πένθ τε σφι μαντευόμενος ἀγῶνας τοὺς μεγίστους Τισαμενὸς ὁ Ἠλεῖος, γενόμενος Σπαρτιήτης, συγκαταιρέει. (2) Μοῦνοι δὲ δὴ πάντων ἀνθρώπων ἐγένοντο οὗτοι Σπαρτιήτησι πολιῆται. Οἱ δὲ πέντε ἀγῶνες οἵδε ἐγένοντο, εἷς μὲν καὶ πρῶτος οὗτος ὁ ἐν Πλαταιῇσι, ἐπὶ δὲ ὁ ἐν

conjectura licet uti, ad quinquaginta millia coacta fuisse conjicio. Hic igitur peditatus fuit, in acie locatus : equitatus autem seorsum instructus stabat.

XXXIII. Cunctis ita per populos et per manipulos dispositis, dein postridie utrique sacra fecerunt. (2) Græcis Tisamenus, Antiochi filius, sacrificator erat : hic enim exercitum hunc ut vates sequebatur. Eleus is fuit, Clytiades (*ex Clytii familia*), de gente Iamidarum : quem Lacedæmonii civem adoptaverant. Scilicet quum Delphicum oraculum Tisamenus de prole consuluisset, respondederat ei Pythia, quinque maximis certaminibus victoriam illum reportaturum. (3) Is igitur, aberrans ab sententia oraculi, gymnicis certaminibus dabat operam, tamquam in his victoriam reportaturus : et quinquertium exercens, Olympiæ certamine inito cum Hieronymo, genere Andrio, in eo erat ut victoria potiretur, sed uno luctæ certamine victus est. (4) Tunc Lacedæmonii, intelligentes ad bellica certamina, non ad gymnica, spectare responsum Tisameno editum, conati sunt Tisamenum proposita mercede sibi conciliare, eique persuadere ut una cum regibus de Heraclidarum genere dux ipsis esset bellorum. (5) At ille, ubi vidit multum interesse Spartanorum, amicum se illis et socium adjungi, auxit pretium, dixitque, si se in civium numerum vellent cooptare, omniumque jurium participem reddere, tunc se id facturum, alio autem pretio minime. (6) Quo audito, primum indignati Spartani : missam fecerunt illius artem divinandi : ad extremum vero, quum ingens eis metus impenderet a Persico hoc exercitu, consentientes in conditionem, accessiverunt virum. (7) At ille, ubi mutatam vidit eorum sententiam, ne sic quidem, ait, sufficere sibi hoc unum, sed oportere etiam fratrem suum Hagian eadem conditione, qua ipse, fieri Spartanum.

XXXIV. Hæc ille dicens, postulatis suis, ut credi par est, imitabatur Melampodem, qui regiam dignitatem cum jure civitatis petebat. Melampus enim, quum Argis mulieres furore essent correptæ, et Argivi illum proposita mercede Pylo vellent arcessere, ut eo morbo liberaret mulieres ipsorum, mercedem postulaverat dimidium regni. (2) Qua repudiata conditione postquam digressi sunt Argivi, quum multo etiam plures mulieres in insaniam incidissent, ita demum in conditionem a Melampode propositam consentientes, adierunt eum, id quod ille postulaverat daturi. (3) At tunc ille, mutatam videns horum sententiam, aucta cupiditate, ait, nisi fratri quoque ipsius Bianti tertiam regni partem traderent, non esse se illis morem gesturum. Et Argivi, in angustias adducti, in hanc etiam conditionem consenserunt.

XXXV. Pari modo etiam Spartani, quum Tisamenum sibi adjungere vehementer cuperent, omnibus ejus postulatis concesserunt. Quæ postquam ei Spartani indulserunt, ad quinque maximas reportandas victorias Tisamenus Eleus, nunc Spartanus factus, operam suam illis arte sua divinandi contulit. (2) Sunt autem isti duo ex omnibus hominibus soli, quos Spartani in civium numerum cooptarunt. Quinque vero certamina, in quibus ope Tisameni victoriam Spartani reportarunt, hæc sunt : primum hoc,

Τεγέη πρὸς Τεγεήτας τε καὶ Ἀργείους γενόμενος, μετὰ δὲ ὁ ἐν Διπαιεῦσι πρὸς Ἀρκάδας πάντας πλὴν Μαντινέων, ἐπὶ δὲ ὁ Μεσσηνίων ὁ πρὸς Ἰθώμῃ, ὕστατος δὲ ὁ ἐν Ταναγρῃ πρὸς Ἀθηναίους τε καὶ Ἀργείους γενόμενος· οὗτος δὲ ὕστατος κατεργάσθη τῶν πέντε ἀγώνων.

XXXVI. Οὗτος δὴ τότε τοῖσι Ἕλλησι ὁ Τισαμενὸς, ἀγόντων τῶν Σπαρτιητέων, ἐμαντεύετο ἐν τῇ Πλαταιΐδι. Τοῖσι μέν νυν Ἕλλησι καλὰ ἐγίνετο τὰ ἱρὰ ἀμυνομένοισι, διαβᾶσι δὲ τὸν Ἀσωπὸν καὶ μάχης ἄρχουσι οὔ.

XXXVII. Μαρδονίῳ δὲ προθυμεομένῳ μάχης ἄρχειν οὐκ ἐπιτήδεα ἐγίνετο τὰ ἱρὰ, ἀμυνομένῳ δὲ καὶ τούτῳ καλά. Καὶ γὰρ οὗτος Ἑλληνικοῖσι ἱροῖσι ἐχρέετο, μάντιν ἔχων Ἡγησίστρατον ἄνδρα Ἠλεῖόν τε καὶ τῶν Τελλιαδέων ἐόντα λογιμώτατον, τὸν δὴ πρότερον τούτων Σπαρτιῆται λαβόντες ἔδησαν ἐπὶ θανάτῳ ὡς πεπονθότες πολλά τε καὶ ἀνάρσια ὑπ' αὐτοῦ. (2) Ὁ δὲ ἐν τούτῳ τῷ κακῷ ἐχόμενος, ὥστε τρέχων περὶ τῆς ψυχῆς πρό τε τοῦ θανάτου πεισόμενος πολλά τε καὶ λυγρὰ, ἔργον ἐργάσατο μέζον λόγου. (3) Ὡς γὰρ δὴ ἐδέδετο ἐν ξύλῳ σιδηροδέτῳ, ἐσενειχθέντος κως σιδηρίου ἐκράτησε, αὐτίκα δὲ ἐμηχανᾶτο ἀνδρηιώτατον ἔργον πάντων τῶν ἡμεῖς ἴδμεν· σταθμησάμενος γὰρ ὅκως ἐξελεύσεταί οἱ τὸ λοιπὸν τοῦ ποδὸς, ἀπέταμε τὸν ταρσὸν ἑωυτοῦ. (4) Ταῦτα δὲ ποιήσας, ὥστε φυλασσόμενος ὑπὸ φυλάκων, διορύξας τὸν τοῖχον ἀπέδρη ἐς Τεγέην, τὰς μὲν νύκτας πορευόμενος, τὰς δὲ ἡμέρας καταδύνων ἐς ὕλην καὶ αὐλιζόμενος, οὕτω ὥστε Λακεδαιμονίων πανδημεὶ διζημένων τρίτῃ εὐῤῥόνῃ γενέσθαι ἐν Τεγέῃ, τοὺς δὲ ἐν θώματι μεγάλῳ ἐνέχεσθαι τῆς τε τόλμης, δρέοντας τὸ ἡμίτομον τοῦ ποδὸς κείμενον, κἀκεῖνον οὐ δυναμένους εὑρέειν. (5) Τότε μὲν οὕτω διαφυγὼν Λακεδαιμονίους καταφεύγει ἐς Τεγέην ἐοῦσαν οὐκ ἀρθμίην Λακεδαιμονίοισι τοῦτον τὸν χρόνον· ὑγιὴς δὲ γενόμενος καὶ προσποιησάμενος ξύλινον πόδα κατεστήκεε ἐκ τῆς ἰθέης Λακεδαιμονίοισι πολέμιος. (6) Οὐ μέντοι ἔς γε τέλος οἱ συνήνεικε τὸ ἔχθος τὸ ἐς Λακεδαιμονίους συγκεχυρημένον· ἦλω γὰρ μαντευόμενος ἐν Ζακύνθῳ ὑπ' αὐτῶν καὶ ἀπέθανε. (7) Ὁ μέν νυν θάνατος ὁ Ἡγησιστράτου ὕστερον ἐγένετο τῶν Πλαταικῶν, τότε δ' ἐπὶ τῷ Ἀσωπῷ Μαρδονίῳ μεμισθωμένος οὐκ ὀλίγου ἐθύετό τε καὶ προεθυμέετο κατά τε τὸ ἔχθος τὸ Λακεδαιμονίων καὶ κατὰ τὸ κέρδος.

XXXVIII. Ὡς δὲ οὐκ ἐκαλλίρεε ὥστε μάχεσθαι οὔτε αὐτοῖσι Πέρσῃσι οὔτε τοῖσι μετ' ἐκείνων ἐοῦσι Ἕλλήνων (εἶχον γὰρ καὶ οὗτοι ἐπ' ἑωυτῶν μάντιν Ἱππόμαχον Λευκάδιον ἄνδρα), ἐπιῤῥεόντων δὲ τῶν Ἑλλήνων καὶ γινομένων πλεύνων Τιμηγενίδης ὁ Ἕρπυος ἀνὴρ Θηβαῖος συνεβούλευσε Μαρδονίῳ τὰς ἐκβολὰς τοῦ Κιθαιρῶνος φυλάξαι, λέγων ὡς ἐπιῤῥέουσι οἱ Ἕλληνες αἰεὶ ἀνὰ πᾶσαν ἡμέρην καὶ ὡς ἀπολάμψοιτο συχνούς.

XXXIX. Ἡμέραι δέ σφι ἀντικατημένοισι ἤδη ἐγεγόνεσαν ὀκτὼ, ὅτε ταῦτα ἐκεῖνος συνεβούλευε Μαρδονίῳ. Ὁ δὲ μαθὼν τὴν παραίνεσιν εὖ ἔχουσαν, ὡς εὐ-

ad Platæas; deinde illud ad Tegeam, contra Tegeatas et Argivos; tertium, in Dipæensibus adversus universos Arcadas, exceptis Mantinensibus; quartum, adversus Messenios ad Ithomam; quintum, ad Tanagram contra Athenienses et Argivos: hoc autem postremum peractum est certamen ex illis quinque.

XXXVI. Hic igitur tunc Tisamenus, Spartanos comitatus, interpres sacrorum ad Platæas fuit Græcis. Et felicem rei exitum Græcis portendebant sacra, si sese defenderent; parum prosperum autem, si Asopum transirent et pugnæ facerent initium.

XXXVII. Mardonius vero, quum coperet initium facere pugnandi, non opportuna habuit sacra; sed huic quoque, si sese defenderet, fausta omnia portendebantur. Usus est enim etiam ille Græcanicis sacris; eratque illi vates Hegesistratus, civis Eleus, et Telliadarum nobilissimus. Eumdem virum antea Spartani, a se captum, in vincula conjecerant, et supplicio destinaverant, quippe multa indigna ab eo perpessi. (2) Ille vero, hac calamitate circumventus, utpote cui non modo capitis imminebat pœna, sed ante mortem etiam multa tristia patienda, facinus commisit dictu incredibile. (3) Quum enim ligno illigatus esset ferro revincto, illatum forte ferreum instrumentum nactus, continuo facinus molitus est omnium quæ novimus fortissimum: postquam enim perpendit quo pacto reliquum pedem e compede educeret, anteriorem pedis partem sibi præcidit. (4) Quo facto, quum custodiretur a custodibus, perfosso pariete Tegeam profugit, noctu iter faciens, interdiu vero inter fruticeta latens et in statione manens: atque ita, Lacedæmoniis ubique eum quærentibus, tertia nocte Tegeæ fuit: et audacia hominis obstupefacti erant Lacedæmonii, quum abscissum dimidiatum pedem viderent humi jacentem, hominem autem non possent reperire. (5) Postquam igitur hoc modo tunc Lacedæmonios evasit, Tegeam profugit, quæ per id tempus non pacata erat Lacedæmoniis. Dein persanato vulnere, ligneum sibi pedem adscivit; et ab illo tempore ex professo hostis fuit Lacedæmoniorum. (6) Nec tamen usque ad finem ei profuit odium in Lacedæmonios conceptum: captus est enim ab illis quum vaticinaretur in Zacyntho, et interfectus. (7) Sed hic interitus Hegesistrati post pugnam accidit Platæensem: tunc vero ad Asopum fluvium, haud exiguo pretio a Mardonio conductus, sacra faciebat, et promptam operam navabat, tam ob odium Lacedæmoniorum, quam quæstus cupidine.

XXXVIII. Quum igitur et ipsi Persæ, et qui cum eis erant Græci (nam et hi seorsum suum aruspicem habebant, Hippomachum Leucadium), victimarum judicio prohiberentur committere prælium, continenter autem novæ sociorum copiæ in castra confluerent Græcorum, numerusque illorum in dies augeretur; tum vero Timagenides Herpyis filius, Thebanus, Mardonio suasit, ut exitum faucium Cithæronis occuparet; dicens, continenter Græcos quotidie adfluere, quorum ingentem numerum ibi esset interceplurus.

XXXIX. Et jam octo diebus castra castris opposita habuerant, quum ille hoc consilium Mardonio dedit. Atque intelligens Persa bonum esse consilium, noctu equitatum ad fau-

φρόνη ἐγένετο, πέμπει τὴν ἵππον ἐς τὰς ἐκβολὰς τὰς Κιθαιρωνίδας αἳ ἐπὶ Πλαταιέων φέρουσι, τὰς Βοιωτοὶ μὲν Τρεῖς κεφαλὰς καλεῦσι, Ἀθηναῖοι δὲ Δρυὸς κεφαλάς. (2) Πεμφθέντες δὲ οἱ ἱππόται οὐ μάτην ἀπίκοντο· ἐσβάλλοντα γὰρ ἐς τὸ πεδίον λαμβάνουσι ὑποζύγιά τε πεντακόσια, σιτία ἄγοντα ἀπὸ Πελοποννήσου ἐς τὸ στρατόπεδον, καὶ ἀνθρώπους οἳ εἵποντο τοῖσι ζεύγεσι. (3) Ἐλόντες δὲ ταύτην τὴν ἄγρην οἱ Πέρσαι ἀφειδέως ἐφόνευον, οὐ φειδόμενοι οὔτε ὑποζυγίου οὐδενὸς οὔτε ἀνθρώπου. Ὡς δὲ ἄδην εἶχον κτείνοντες, τὰ λοιπὰ αὐτῶν ἤλαυνον περιβαλλόμενοι παρά τε Μαρδόνιον καὶ ἐς τὸ στρατόπεδον.

XL. Cum hoc factum, biduum adhuc morati sunt utrique, quum neutri vellent initium facere pugnæ. Et barbari quidem usque ad Asopum progrediebantur, lacessentes Græcos: sed neutri fluvium trajiciebant. (2) Attamen equitatus Mardonii continuo instabat Græcis, eosque infestabat. Thebani enim, magnopere Medis faventes, studiose gerebant bellum, et continuo illis usque ad pugnæ discrimen præibant; deinde vero in eorum locum succedentes Persæ et Medi, haud spernenda virtutis specimina edebant.

XL. Μετὰ δὲ τοῦτο τὸ ἔργον ἑτέρας δύο ἡμέρας διέτριψαν, οὐδέτεροι βουλόμενοι μάχης ἄρξαι· μέχρι μὲν γὰρ τοῦ Ἀσωποῦ ἐπῄεσαν οἱ βάρβαροι πειρεώμενοι τῶν Ἑλλήνων, διέβαινον δὲ οὐδέτεροι. (2) Ἡ μέντοι ἵππος ἡ Μαρδονίου αἰεὶ προσεκέετό τε καὶ ἐλύπεε τοὺς Ἕλληνας· οἱ γὰρ Θηβαῖοι, ἅτε μηδίζοντες μεγάλως, προθύμως ἔφερον τὸν πόλεμον καὶ αἰεὶ κατηγέοντο μέχρι μάχης, τὸ δὲ ἀπὸ τούτου παραδεκόμενοι Πέρσαι τε καὶ Μῆδοι μάλα ἔσκον οἳ ἀπεδείκνυντο ἀρετάς.

XL. Post hoc factum, biduum adhuc morati sunt utrique, quum neutri vellent initium facere pugnæ. Et barbari quidem usque ad Asopum progrediebantur, lacessentes Græcos: sed neutri fluvium trajiciebant. (2) Attamen equitatus Mardonii continuo instabat Græcis, eosque infestabat. Thebani enim, magnopere Medis faventes, studiose gerebant bellum, et continuo illis usque ad pugnæ discrimen præibant; deinde vero in eorum locum succedentes Persæ et Medi, haud spernenda virtutis specimina edebant.

XLI. Μέχρι μέν νυν τῶν δέκα ἡμερέων οὐδὲν ἐπὶ πλεῦν ἐγίνετο τούτων· ὡς δὲ ἑνδεκάτη ἐγεγόνεε ἡμέρη ἀντικατημένοισι ἐν Πλαταιῇσι, οἵ τε δὴ Ἕλληνες πολλῷ πλεῦνες ἐγεγόνεσαν καὶ Μαρδόνιος περιημέκτεε τῇ ἕδρῃ. (2) Ἐνθαῦτα ἐς λόγους ἦλθον Μαρδόνιός τε ὁ Γωβρύεω καὶ Ἀρτάβαζος ὁ Φαρνάκεος, ὃς ἐν ὀλίγοισι Περσέων ἦν ἀνὴρ δόκιμος παρὰ Ξέρξῃ. (3) Βουλευομένων δὲ αἵδε ἔσαν αἱ γνῶμαι, ἡ μὲν Ἀρταβάζου ὡς χρεὼν εἴη ἀναζεύξαντας τὴν ταχίστην πάντα τὸν στρατὸν ἰέναι ἐς τὸ τεῖχος τὸ Θηβαίων, ἔνθα σῖτόν τέ σφι ἐσενηνεῖχθαι πολλὸν καὶ χόρτον τοῖσι ὑποζυγίοισι, κατ' ἡσυχίην τε ἱζομένους διαπρήσσεσθαι ποιεῦντας τάδε· (4) ἔχειν γὰρ χρυσὸν πολλὸν μὲν ἐπίσημον, πολλὸν δὲ καὶ ἄσημον, πολλὸν δὲ καὶ ἄργυρόν τε καὶ ἐκπώματα· τούτων φειδομένους μηδενὸς διαπέμπειν ἐς τοὺς Ἕλληνας, Ἑλλήνων δὲ μάλιστα ἐς τοὺς προεστεῶτας ἐν τῇσι πόλισι, καὶ ταχέως σφέας παραδώσειν τὴν ἐλευθερίην, μηδὲ ἀνακινδυνεύειν συμβάλλοντας. (5) Τούτου μὲν ἡ αὐτὴ ἐγίνετο καὶ Θηβαίων γνώμη, ὡς προειδότος πλεῦν τι καὶ τούτου, Μαρδονίου δὲ ἰσχυροτέρη τε καὶ ἀγνωμονεστέρη καὶ οὐδαμῶς συγγινωσκομένη· δοκέειν τε γὰρ πολλῷ κρέσσονα εἶναι τὴν σφετέρην στρατιὴν τῆς Ἑλληνικῆς, συμβάλλειν τε τὴν ταχίστην μηδὲ περιορᾶν συλλεγομένους ἔτι πλεῦνας τῶν συλλελεγμένων, τά τε σφάγια τὰ Ἡγησιστράτου ἐᾶν χαίρειν μηδὲ βιάζεσθαι, ἀλλὰ νόμῳ τῷ Περσέων χρεωμένους συμβάλλειν.

XLI. Usque ad decimum igitur diem nihil his amplius gestum est. Ut vero undecimus adfuit dies quo castra castris ad Platæas opposita habuere, numerusque Græcorum multum erat auctus, et moram ægerrime ferebat Mardonius; (2) tunc in colloquium convenere Mardonius Gobryæ filius, et Artabazus Pharnacis, vir in paucis Persarum Xerxi probatus. (3) Ibi consultantium duæ hæ erant sententiæ: altera Artabazi, censentis quam primum movenda esse castra, et cum toto exercitu ad murum Thebanorum eundum, ubi et frumentum multum convectum haberent, et pabulum jumentis; ibi tranquille sedentes conficere bellum posse, hac inita ratione: (4) multum se habere aurum, quum signatum, tum factum, multumque argentum et pocula; his ne parcerent, sed ad Græcos hæc dimitterent, et præsertim ad Græcarum civitatum præsides; ita hos haud cunctanter prodituros libertatem, neque iterum discrimen pugnæ adituros. (5) Hujus igitur eadem fuit sententia atque Thebanorum: melius enim hic quoque, *quam Mardonius*, quid futurum esset, prospexerat. At Mardonii fortior erat et pertinacior sententia, nec ullo modo cedens: existimare enim se, aiebat, suum exercitum Græcanico longe præstare; itaque quamprimum prælio esse decernendum, nec committendum ut plures etiam conveniant quam jam nunc convenissent: missa autem facienda Hegesistrati sacra, neque pertinaciter in illa incumbendum; sed Persarum institutum sequendo arma ferenda in hostem.

XLII. Τούτου δὲ οὕτω δικαιεῦντος ἀντέλεγε οὐδείς, ὥστε ἐκράτεε τῇ γνώμῃ· τὸ γὰρ κράτος εἶχε τῆς στρατιῆς οὗτος ἐκ βασιλέος, ἀλλ' οὐκ Ἀρτάβαζος. Μεταπεμψάμενος ὦν τοὺς ταξιάρχους τῶν τελέων καὶ τῶν μετ' ἐωυτοῦ ἐόντων Ἑλλήνων τοὺς στρατηγοὺς εἰρώτα εἴ τι εἰδεῖεν λόγιον περὶ Περσέων ὡς διαφθαρέονται ἐν

XLII. Hæc quum facienda Mardonius censuisset, nemo contra dixit; et vicit illius sententia. Illi enim summa imperii a Xerxe commissa erat, non Artabazo. Tum convocatis ordinum ductoribus, atque etiam Græcorum sociorum ducibus, quæsivit an oraculum aliquod cognitum haberent de Persis, tamquam in Græcia perituris. (2) Ta-

τῇ Ἑλλάδι. (2) Σιγώντων δὲ τῶν ἐπικλήτων, τῶν μὲν οὐκ εἰδότων τοὺς χρησμούς, τῶν δὲ εἰδότων μέν, ἐν ἀδείῃ δὲ οὐ ποιευμένων τὸ λέγειν, αὐτὸς Μαρδόνιος ἔλεγε, (3) « ἐπεὶ τοίνυν ὑμεῖς ἢ ἴστε οὐδὲν ἢ οὐ τολμᾶτε λέγειν, ἀλλ' ἐγὼ ἐρέω ὡς εὖ ἐπιστάμενος. Ἔστι λόγιον ὡς χρεών ἐστι Πέρσας ἀπικομένους ἐς τὴν Ἑλλάδα διαρπάσαι τὸ ἱρὸν τὸ ἐν Δελφοῖσι, μετὰ δὲ τὴν διαρπαγὴν ἀπολέσθαι πάντας. (4) Ἡμεῖς τοίνυν αὐτὸ τοῦτο ἐπιστάμενοι οὔτε ἴμεν ἐπὶ τὸ ἱρὸν τοῦτο οὔτε ἐπιχειρήσομεν διαρπάζειν, ταύτης τε εἵνεκεν τῆς αἰτίης οὐκ ἀπολεόμεθα. Ὥστε ὑμέων ὅσοι τυγχάνουσι εὖνοοι ἐόντες Πέρσῃσι, ἥδεσθε τοῦδε εἵνεκεν ὡς περιεσομένους ἡμέας Ἑλλήνων. » (5) Ταῦτά σφι εἶπας δεύτερα ἐσήμηνε παραρτέεσθαί τε πάντα καὶ εὐκρινέα ποιέεσθαι ὡς ἅμα ἡμέρῃ τῇ ἐπιούσῃ συμβολῆς ἐσομένης.

XLIII. Τοῦτον δ' ἔγωγε τὸν χρησμὸν, τὸν Μαρδόνιος εἶπε ἐς Πέρσας ἔχειν, ἐς Ἰλλυριούς τε καὶ τὸν Ἐγχέλεων στρατὸν οἶδα πεποιημένον, ἀλλ' οὐκ ἐς Πέρσας. (2) Ἀλλὰ τὰ μὲν Βάκιδί ἐστι ἐς ταύτην τὴν μάχην πεποιημένα,

> Τὴν δ' ἐπὶ Θερμώδοντι καὶ Ἀσωπῷ λεχεποίῃ
> Ἑλλήνων σύνοδον καὶ βαρβαρόφωνον ἰύγὴν,
> τῇ πολλοὶ πεσέονται ὑπὲρ Λάχεσίν τε μόρον τε
> τοξοφόρων Μήδων, ὅταν αἴσιμον ἦμαρ ἐπέλθῃ.

(3) Ταῦτα μὲν καὶ παραπλήσια τούτοισι ἄλλα Μουσαίου ἔχοντα οἶδα ἐς Πέρσας. Ὁ δὲ Θερμώδων ποταμὸς ῥέει μεταξὺ Τανάγρης τε καὶ Γλίσαντος.

XLIV. Μετὰ δὲ τὴν ἐπειρώτησιν τῶν χρησμῶν καὶ παραίνεσιν τὴν ἐκ Μαρδονίου νύξ τε ἐγίνετο καὶ ἐς φυλακὰς ἐτάσσοντο. Ὡς δὲ πρόσω τῆς νυκτὸς προελήλατο καὶ ἡσυχίη ἐδόκεε εἶναι ἀνὰ τὰ στρατόπεδα καὶ μάλιστα οἱ ἄνθρωποι εἶναι ἐν ὕπνῳ, τηνικαῦτα προσελάσας ἵππῳ πρὸς τὰς φυλακὰς τὰς Ἀθηναίων Ἀλέξανδρος ὁ Ἀμύντεω, στρατηγός τε ἐὼν καὶ βασιλεὺς Μακεδόνων, ἐδίζητο τοῖσι στρατηγοῖσι ἐς λόγους ἐλθεῖν. (2) Τῶν δὲ φυλάκων οἱ μὲν πλεῦνες παρέμενον, οἱ δ' ἔθεον ἐπὶ τοὺς στρατηγοὺς, ἐλθόντες δὲ ἔλεγον ὡς ἄνθρωπος ἥκοι ἐπ' ἵππου ἐκ τοῦ στρατοπέδου τοῦ Μήδων, ὃς ἄλλο μὲν οὐδὲν παραγυμνοῖ ἔπος, στρατηγοὺς δὲ οὐνομάζων ἐθέλειν φησὶ ἐς λόγους ἐλθεῖν.

XLV. Οἱ δὲ ἐπεὶ ταῦτα ἤκουσαν, αὐτίκα εἵποντο ἐς τὰς φυλακάς. Ἀπικομένοισι δὲ ἔλεγε Ἀλέξανδρος τάδε, « ἄνδρες Ἀθηναῖοι, παραθήκην ὑμῖν τὰ ἔπεα τάδε τίθεμαι, ἀπόρρητα ποιεύμενος πρὸς μηδένα λέγειν ὑμέας ἄλλον ἢ Παυσανίην, μή με καὶ διαφθείρητε· (2) οὐ γὰρ ἂν ἔλεγον, εἰ μὴ μεγάλως ἐκηδόμην συναπάσης τῆς Ἑλλάδος· αὐτός τε γὰρ Ἕλλην γένος εἰμὶ τῷ ἀληθείῃ, καὶ ἀντ' ἐλευθέρης δεδουλωμένην οὐκ ἂν ἐθέλοιμι ὁρᾶν τὴν Ἑλλάδα. Λέγω δὲ ὧν ὅτι Μαρδονίῳ τε καὶ τῇ στρατιῇ τὰ σφάγια οὐ δύναται καταθύμια γενέσθαι· πάλαι γὰρ ἂν ἐμάχεσθε. (3) Νῦν δέ οἱ δέδοκται τὰ μὲν σφάγια ἐᾶν χαίρειν, ἅμ' ἡμέρῃ δὲ διαφαυσκούσῃ συμβολὴν ποιέεσθαι· καταρρώδηκε γὰρ μὴ πλεῦνες συλλεχθῆτε, ὡς ἐγὼ εἰκάζω. Πρὸς ταῦτα ἑτοιμάζεσθε

centibus autem cunctis qui advocati erant, quippe aliis ignorantibus oracula, aliis cognita quidem habentibus, sed non tutum sibi judicantibus ea proferre, ipse Mardonius ait: (3) Quoniam vos igitur aut nihil nostis, aut non audetis dicere, dicam ego, bene gnarus. Est oraculum, dicens in fatis esse ut Persæ, postquam in Græciam venerint, templum spolient Delphicum, eoque facto pereant omnes. (4) Itaque nos, quoniam hoc ipsum novimus, non adibimus id templum, nec spoliare adgrediemur: neque hanc ob culpam peribimus. Proinde quotquot vestrûm bene cupitis Persis, gaudeatis hoc nomine, confidatisque nos superaturos esse Græcos. » (5) His dictis, continuo imperavit ut omnia pararent recteque disponerent, quippe postridie prima luce prælio futuro.

XLIII. Jam istud quidem oraculum, quod in Persas valere Mardonius dixit, novi equidem in Illyrios editum esse et in Enchelensium exercitum, non in Persas. (2) Sed Bacidis exstat effatum hanc pugnam spectans, hujusmodi:

> Graminels ripis Asopi ac Thermodontis
> barbaricæ Graiis acies clamore coibunt.
> Hic multi occumbent defuncti munere vitæ,
> quando sagittiferis aderit lux ultima Medis.

(3) Hoc igitur, et alia his similia Musæi, equidem novi in Persas valentia. Thermodon autem fluvius inter Tanagram fluit et Glisantem.

XLIV. Postquam ita Mardonius de oraculis interrogavit duces, cosque cohortatus est, ingruit nox, et excubiæ sunt dispositæ. Quum autem jam multum nox processisset, viderenturque omnia tranquilla esse in castris, maximeque homines somno sepulti; tunc Alexander Amyntæ filius, dux et rex Macedonum, equo ad Græcorum custodias advectus, se cum illorum ducibus velle colloqui dixit. (2) Et custodum quidem major pars in statione mansit, nonnulli vero ad duces cucurrerunt, nunciantes, venisse hominem equo vectum e castris Medorum, qui, nullum aliud verbum promens, duces nominatim designasset, cum quibus colloqui se velle dixisset.

XLV. His auditis, duces protinus ad custodias illos secuti sunt. Quo ubi venere, hæc illis Alexander dixit: « Viri Athenienses, verba hæc ego in vestram fidem depono, rogans ut arcana habeatis, nec ulli alii, nisi Pausaniæ, edicatis; ne mihi extremam adferatis perniciem. (2) Nec enim dicturus hæc eram, nisi de universa Græcia vehementer essem sollicitus. Sum enim et ego antiquitus Græcus genere, et nolim Græciam ex libertate in servitutem redactam videre. Dico igitur vobis, non potuisse Mardonio ejusque exercitui sacra ex sententia fieri: alioqui jam pridem prælio decertassetis. (3) Nunc vero ei decretum est, valere jussis sacrificiis, prima luce prælium committere: timet enim Mardonius, ut ego suspicor, ne major vestrûm numerus conveniat. Ad hoc ergo vos comparate. Sin differt

σθε. Ἦν δὲ ἄρα ὑπερβάληται τὴν συμβολὴν Μαρδόνιος καὶ μὴ ποιέηται, λιπαρέετε μένοντες· ὀλίγων γάρ σφι ἡμερέων λείπεται σιτία. (4) Ἦν δὲ ὑμῖν ὁ πόλεμος ὅδε κατὰ νόον τελευτήσῃ, μνησθῆναί τινα χρὴ καὶ ἐμεῦ ἐλευθερώσιος πέρι, ὃ Ἑλλήνων εἵνεκεν οὕτω ἔργον παράβολον ἐργασμαι ὑπὸ προθυμίης, ἐθέλων ὑμῖν δηλῶσαι τὴν διάνοιαν τὴν Μαρδονίου, ἵνα μὴ ἐπιπέσωσι ὑμῖν οἱ βάρβαροι μὴ προσδεχομένοισί κω. Εἰμὶ δὲ Ἀλέξανδρος ὁ Μακεδών. » Ὁ μὲν ταῦτα εἰπας ἀπήλαυνε ὀπίσω ἐς τὸ στρατόπεδον καὶ τὴν ἑωυτοῦ τάξιν.

XLVI. Οἱ δὲ στρατηγοὶ τῶν Ἀθηναίων ἐλθόντες ἐπὶ τὸ δεξιὸν κέρας ἔλεγον Παυσανίῃ τά περ ἤκουσαν Ἀλεξάνδρου. Ὁ δὲ τούτῳ τῷ λόγῳ καταρρωδήσας τοὺς Πέρσας ἔλεγε τάδε, « ἐπεὶ τοίνυν ἐς ἠῶ ἡ συμβολὴ γίνεται, ὑμέας μὲν χρεών ἐστι τοὺς Ἀθηναίους στῆναι κατὰ τοὺς Πέρσας, ἡμέας δὲ κατὰ τοὺς Βοιωτούς τε καὶ τοὺς κατ' ὑμέας τεταγμένους Ἑλλήνων, τῶνδε εἵνεκεν· (2) ὑμεῖς ἐπίστασθε τοὺς Μήδους καὶ τὴν μάχην αὐτῶν ἐν Μαραθῶνι μαχεσάμενοι, ἡμεῖς δὲ ἄπειροί τέ εἰμεν καὶ ἀδαέες τούτων τῶν ἀνδρῶν· Σπαρτιητέων γὰρ οὐδεὶς πεπείρηται Μήδων· ἡμεῖς δὲ Βοιωτῶν καὶ Θεσσαλῶν ἔμπειροί εἰμεν. Ἀλλ' ἀναλαβόντας τὰ ὅπλα χρεών ἐστι ἰέναι ὑμέας μὲν ἐς τόδε τὸ κέρας, ἡμέας δὲ ἐς τὸ εὐώνυμον. » (3) Πρὸς δὲ ταῦτα εἶπαν οἱ Ἀθηναῖοι τάδε, « καὶ αὐτοῖσι ἡμῖν πάλαι ἀπ' ἀρχῆς, ἐπείτε εἴδομεν κατ' ὑμέας τασσομένους τοὺς Πέρσας, ἐν νόῳ ἐγένετο εἶπαι ταῦτα τά περ ὑμεῖς φθάντες προφέρετε· ἀλλὰ γὰρ ἀρρωδέομεν μὴ ὑμῖν οὐκ ἡδέες γένωνται οἱ λόγοι. Ἐπεὶ δ' ὦν αὐτοί ἐμνήσθητε, καὶ ἡδομένοισι ἡμῖν οἱ λόγοι γεγόνασι καὶ ἑτοῖμοί εἰμεν ποιέειν ταῦτα. »

XLVII. Ὡς δ' ἤρεσκε ἀμφοτέροισι ταῦτα, ἠώς τε διέφαινε καὶ διαλλάσσοντο τὰς τάξις. Γνόντες δὲ οἱ Βοιωτοὶ τὸ ποιεύμενον, ἐξαγορεύουσι Μαρδονίῳ. Ὁ δ' ἐπείτε ἤκουσε, αὐτίκα μετιστάναι καὶ αὐτὸς ἐπειρᾶτο, παράγων τοὺς Πέρσας κατὰ τοὺς Λακεδαιμονίους. (2) Ὡς δὲ ἔμαθε τοῦτο τοιοῦτο γινόμενον ὁ Παυσανίης, γνοὺς ὅτι οὐ λανθάνει, ὀπίσω ἦγε τοὺς Σπαρτιήτας ἐπὶ τὸ δεξιὸν κέρας· ὡς δ' αὖτως καὶ ὁ Μαρδόνιος ἐπὶ τοῦ εὐωνύμου.

XLVIII. Ἐπεὶ δὲ κατέστησαν ἐς τὰς ἀρχαίας τάξις, πέμψας ὁ Μαρδόνιος κήρυκα ἐς τοὺς Σπαρτιήτας ἔλεγε τάδε, « ὦ Λακεδαιμόνιοι, ὑμεῖς δὴ λέγεσθε εἶναι ἄνδρες ἄριστοι ὑπὸ τῶν τῇδε ἀνθρώπων, ἐκπαγλεομένων ὡς οὔτε φεύγετε ἐκ πολέμου οὔτε τάξιν ἐκλείπετε, μένοντές τε ἢ ἀπόλλυτε τοὺς ἐναντίους ἢ αὐτοὶ ἀπολλυσθε. (2) Τῶν δ' ἄρ' ἦν οὐδὲν ἀληθές· πρὶν γὰρ ἢ συμμῖξαι ἡμέας ἐς χειρῶν τε νόμον ἀπικέσθαι, καὶ δὴ φεύγοντας καὶ τάξιν ἐκλείποντας ὑμέας εἴδομεν, ἐν Ἀθηναίοισί τε τὴν πρόπειραν ποιευμένους, αὐτούς τε ἀντία δούλων τῶν ἡμετέρων τασσομένους. (3) Ταῦτα οὐδαμῶς ἀνδρῶν ἀγαθῶν ἔργα, ἀλλὰ πλεῖστον δὴ ἐν ὑμῖν ἐψεύσθημεν· προσδεκόμενοι γὰρ κατὰ κλέος ὡς δὴ πέμψετε ἐς ἡμέας κήρυκα προκαλεύμενοι καὶ βουλόμενοι μούνοισι

ille pugnam, et nunc vos non adgreditur; durate porro, et manete : etenim non nisi paucorum adhuc dierum cibaria exercitui supersunt. (4) Quodsi vero hujus belli exitus ex vestra evenerit sententia, etiam mei oportebit vos memores esse, et de me liberando cogitare, qui Græcorum caussa tam periculosum facinus pro meo in vos studio suscepi, cupiens consilium vobis aperire Mardonii, ne barbari ex improviso vos nondum exspectantes adoriantur. Sum autem Alexander Macedo. » His dictis ille retro egit equum, et in castra suamque ad stationem est reversus.

XLVI. Moxque Atheniensium duces ad dextrum cornu se contulerunt, et Pausaniæ, quæ ex Alexandro audiverant, renunciarunt. Quo nuncio ille territus, Persasque metuens, hæc ait : « Quoniam igitur primo mane prælium committetur, oportet ut vos Athenienses adversus Persas stetis, nos autem contra Bœotos et Græcos, qui adversus vos locati sunt; idque hac caussa : (2) vos nostis Medos et illorum pugnandi genus, qui ad Marathonem cum eis congressi estis : nos vero horum hominum nullam experientiam neque notitiam habemus; nemo enim Spartanorum cum Medis periculum fecit : sed Bœotos atque Thessalos usu cognitos habemus. Quare omnino necesse est, ut vos sumptis armis in hoc cornu transeatis, nos autem in sinistrum cornu. » (3) Ad hæc Athenienses responderunt : « Nos quoque ipsi pridem ab initio, ubi contra vos vidimus locatos Persas, in animo habebamus hæc dicere, quæ nunc vos nobis proponere occupastis; sed metuebamus, ne ingrata vobis esset ea oratio. Nunc quoniam vos ipsi hujus rationis fecistis mentionem, grata nobis hæc oratio est, et parati sumus morem vobis gerere. »

XLVII. Ut igitur utrisque hoc placuit, illucescente tunc aurora stationes inter se permutarunt. Quod ubi animadverterunt Bœoti, renunciarunt Mardonio : et ille, hoc audito, protinus ipse quoque aciei suæ rationem cœpit immutare, Persasque adversus Lacedæmonios ducere. (2) Quod ubi Pausanias intellexit, suumque consilium non latere vidit hostem, retro Spartanos duxit in dextrum cornu : perinde vero item Mardonius suos lævum in cornu reduxit.

XLVIII. Postquam utraque acies pristinum locum ceperat, præconem Mardonius ad Spartanos misit, hæc illis ipsius nomine dicentem : « Vos igitur, Lacedæmonii, ut fortissimi viri prædicamini ab hominibus has regiones incolentibus, qui magnopere vos admirantur, quod numquam ex bello fugiatis, numquam deseratis stationem, sed duretis donec aut adversarios perdideritis aut perieritis ipsi. (2) Atqui horum nihil verum erat. Nam, priusquam nos congrederemur et ad manus veniremus, palam fugientes vos vidimus et stationem deserentes, nempe in Atheniensibus primum periculum facturos, vos ipsos vero contra servos nostros locantes. (3) Hæc neutiquam sunt fortium virorum facta : sed nimirum plurimum de vobis nos fefellit opinio. Nam quum propter virtutis vestræ famam existimassemus.

Πέρσῃσι μάχεσθαι, ἄρτιοι ἐόντες ποιέειν ταῦτα οὐδὲν τοιοῦτο λέγοντας ὑμέας εὕρομεν, ἀλλὰ πτώσσοντας μᾶλλον. (4) Νῦν ὦν ἐπειδὴ οὐκ ὑμεῖς ἤρξατε τούτου τοῦ λόγου, ἀλλ' ἡμεῖς ἄρχομεν. Τί δὴ οὐ πρὸ μὲν τῶν Ἑλλήνων ὑμεῖς, ἐπείτε δεδόξωσθε εἶναι ἄριστοι, πρὸ δὲ τῶν βαρβάρων ἡμεῖς, ἴσοι πρὸς ἴσους ἀριθμὸν ἐμαχεσάμεθα; καὶ ἦν μὲν δοκέῃ καὶ τοὺς ἄλλους μάχεσθαι, οἱ δ' ὦν μετέπειτεν μαχέσθων ὕστεροι· εἰ δὲ καὶ μὴ δοκέοι, ἀλλ' ἡμέας μούνους ἀποχρᾶν, ἡμεῖς δὲ διαμαχεσόμεθα· ὁκότεροι δ' ἂν ἡμέων νικήσωσι, τούτους τῷ ἅπαντι στρατοπέδῳ νικᾶν. »

XLIX. Ὁ μὲν ταῦτα εἴπας τε καὶ ἐπισχὼν χρόνον, ὡς οἱ οὐδεὶς οὐδὲν ὑπεκρίνετο, ἀπαλλάσσετο ὀπίσω, ἀπελθὼν δὲ ἐσήμαινε Μαρδονίῳ τὰ καταλαβόντα. Ὁ δὲ περιχαρὴς γενόμενος καὶ ἐπαρθεὶς ψυχρῇ νίκῃ ἐπῆκε τὴν ἵππον ἐπὶ τοὺς Ἕλληνας. (2) Ὡς δὲ ἐπήλασαν οἱ ἱππόται, ἐσίνοντο πᾶσαν τὴν στρατιὴν τὴν Ἑλληνικὴν ἐσακοντίζοντές τε καὶ ἐστοξεύοντες ὥστε ἱπποτοξόται τε ἐόντες καὶ προσφέρεσθαι ἄπροι· τήν τε κρήνην τὴν Γαργαφίην, ἀπ' ἧς ὑδρεύετο πᾶν τὸ στράτευμα τὸ Ἑλληνικόν, συνετάραξαν καὶ συνέχωσαν. (3) Ἦσαν μὲν ὦν κατὰ τὴν κρήνην Λακεδαιμόνιοι τεταγμένοι μοῦνοι, τοῖσι δὲ ἄλλοισι Ἕλλῃσι ἡ μὲν κρήνη πρόσω ἐγίνετο, ὡς ἕκαστοι ἔτυχον τεταγμένοι, ὁ δὲ Ἀσωπὸς ἀγχοῦ· ἐρυκόμενοι δὲ ἀπὸ τοῦ Ἀσωποῦ οὕτω δὴ ἐπὶ τὴν κρήνην ἐφοίτεον· ἀπὸ τοῦ ποταμοῦ γάρ σφι οὐκ ἐξῆν ὕδωρ φορέεσθαι ὑπό τε τῶν ἱππέων καὶ τοξευμάτων.

L. Τούτου δὲ τοιούτου γινομένου οἱ τῶν Ἑλλήνων στρατηγοί, ἅτε τοῦ τε ὕδατος στερηθείσης τῆς στρατιῆς καὶ ὑπὸ τῆς ἵππου ταρασσομένης, συνελέχθησαν περὶ αὐτῶν τε τούτων καὶ ἄλλων, ἐλθόντες παρὰ Παυσανίην ἐπὶ τὸ δεξιὸν κέρας. (2) Ἄλλα γὰρ τούτων τοιούτων ἐόντων μᾶλλόν σφεας ἐλύπεε· οὔτε γὰρ σιτία εἶχον ἔτι, οἵ τέ σφεων ὀπέωνες ἀποπεμφθέντες ἐς Πελοπόννησον ὡς ἐπισιτιεύμενοι ἀπεκεκλέατο ὑπὸ τῆς ἵππου, οὐ δυνάμενοι ἀπικέσθαι ἐς τὸ στρατόπεδον.

LI. Βουλευομένοισι δὲ τοῖσι στρατηγοῖσι ἔδοξε, ἢν ὑπερβάλωνται ἐκείνην τὴν ἡμέρην οἱ Πέρσαι συμβολὴν μὴ ποιεύμενοι, ἐς τὴν νῆσον ἰέναι· ἡ δέ ἐστι ἀπὸ τοῦ Ἀσωποῦ καὶ τῆς κρήνης τῆς Γαργαφίης, ἐπ' ἧ ἐστρατοπεδεύοντο τότε, δέκα σταδίους ἀπέχουσα, πρὸ τῆς Πλαταιέων πόλιος. (2) Νῆσος δὲ οὕτω ἂν εἴη ἐν ἠπείρῳ· σχιζόμενος ὁ ποταμὸς ἄνωθεν ἐκ τοῦ Κιθαιρῶνος ῥέει κάτω ἐς τὸ πεδίον, διέχων ἀπ' ἀλλήλων τὰ ῥέεθρα ὅσον περ τρία στάδια, καὶ ἔπειτεν συμμίσγει ἐς τὠυτό. Οὔνομα δέ οἱ Ὠρερώ· θυγατέρα δὲ ταύτην λέγουσι εἶναι Ἀσωποῦ οἱ ἐπιχώριοι. (3) Ἐς τοῦτον δὴ τὸν χῶρον ἐβουλεύσαντο μεταναστῆναι, ἵνα καὶ ὕδατι ἔχωσι χρᾶσθαι ἀφθόνῳ καὶ οἱ ἱππέες σφέας μὴ σινοίατο, ὥσπερ κατιθὺ ἐόντων. Μετακινέεσθαί τε ἐδόκεε τότε ἐπεὰν τῆς νυκτὸς ᾖ δευτέρη φυλακή, ὡς ἂν μὴ ἰδοίατο οἱ Πέρσαι ἐξορμεωμένους καί σφεας ἑπόμενοι ταράσσοιεν οἱ ἱππόται. (4) Ἀπικομένων δὲ ἐς τὸν χῶρον τοῦτον, τὸν δὴ ἡ Ἀσωπὶς Ὠρερὼ περισχίζεται

vos nobis præconem, qui nos provocaret, missuros esse, et cum solis Persis velle dimicare; nos ad hoc ipsum parati, nihil tale vos vidimus facientes, sed metu terroreque refugientes. (4) Nunc igitur, quoniam vos non priores hanc nobis proposuistis conditionem, nos eam vobis ultro proponimus. Quidni pro Græcis vos, qui fortissimi esse existimamini, pro barbaris autem nos, pari utrimque numero jam pugnemus? Et si quidem placuerit ut cæteri etiam pugnent, illi deinde post nos pugnanto : sin hoc non placet, sed satis esse judicaritis ut nos soli pugnemus, decernamus igitur! et, utri nostrûm vicerint, hi pro universo exercitu vicisse censeantur. »

XLIX. His dictis præco aliquantisper substitit : ut vero nemo ei respondit, reversus est, et Mardonio quid acciderit renunciavit. Tum ille, vehementer gavisus, et frigida elatus victoria, equitatum adversus Græcos misit. (2) Et adcurrentes equites universum Græcorum exercitum incommodabant, et jacula in eos torquentes, et sagittas ex arcubus emittentes : quippe sagittarii erant equites, nec cum eis cominus congredi poterant Græci. Iidem etiam fontem Gargaphiam, unde aquabatur universus Græcorum exercitus, turbabant et obstruebant. (3) Et erant quidem prope illum fontem soli Lacedæmonii locati; reliqui vero Græci, prout singuli locati erant, longius aberant a fonte, Asopum autem in propinquo habebant. Sed quoniam ab Asopo arcebantur, ad eumdem fontem aquatum iverant; ex fluvio enim aquari prohibebantur ab equitum missilibus.

L. In hoc rerum statu, quum aqua careret exercitus, et ab equitatu hostium incommodaretur, Græcorum duces convocavit Pausanias, ut ad se in dextrum cornu convenirent, et de his ipsis rebus itemque de aliis deliberarent. (2) Nam præter hæc, aliis quoque incommodis magis etiam premebantur : cibaria enim illos defecerant; famulique eorum, ad subvehendum commeatum in Peloponnesum missi, interclusi erant ab equitatu, ut in castra pervenire non possent.

LI. Deliberantibus ducibus placuit, ut, si eum diem Persæ prætermisissent prælium non committentes, ipsi in insulam se conferrent. Abest hæc decem stadia a fonte Gargaphia, ad quem tunc castra habebant, estque ante urbem Platæensium. (2) Ita insula fuerit in continente : nempe fluvius a Cithærone monte in planitiem decurrit in duos alveos divisus, tria fere stadia a se invicem distantes, et deinde in unum confluit : nomen ei est Oeroe, filiamque hanc esse Asopi aiunt hujus regionis incolæ. (3) Hunc in locum transferre castra constituerunt, quo et aquæ haberent copiam, nec ab equitibus, sicut dum ex adverso stabant, infestarentur. Movere autem placuit castra sub secundam noctis vigiliam, ne Persæ viderent abeuntes, nec equites sequerentur eos et incommodarent. (4) Deinde constituerant, quando in hunc locum pervenissent, quem Asopi filia Oeroe e Cithærone decurrens circumfluit, eadem

ῥέουσα ἐκ τοῦ Κιθαιρῶνος, ὑπὸ τὴν νύκτα ταύτην ἐδόκεε τοὺς ἡμίσεας ἀποστέλλειν τοῦ στρατοπέδου πρὸς τὸν Κιθαιρῶνα, ὡς ἀναλάβοιεν τοὺς ὀπέωνας τοὺς ἐπὶ τὰ σιτία οἰχομένους· ἔσαν γὰρ ἐν τῷ Κιθαιρῶνι ἀπολελαμμένοι.

LII. Ταῦτα βουλευσάμενοι ἐκείνην μὲν τὴν ἡμέρην πᾶσαν προσκειμένης τῆς ἵππου εἶχον πόνον ἄτρυτον. Ὡς δὲ ἥ τε ἡμέρη ἔληγε καὶ οἱ ἱππέες ἐπέπαυντο, νυκτὸς δὴ γινομένης καὶ ἐούσης τῆς ὥρης ἐς τὴν συνεκέετο σφι ἀπαλλάσσεσθαι, ἐνθαῦτα ἀερθέντες οἱ πολλοὶ ἀπαλλάσσοντο, ἐς μὲν τὸν χῶρον ἐς τὸν συνεκέετο οὐκ ἐν νόῳ ἔχοντες, οἱ δὲ ὡς ἐκινήθησαν ἔφευγον ἄσμενοι τὴν ἵππον πρὸς τὴν Πλαταιέων πόλιν, φεύγοντες δὲ ἀπικνέονται ἐπὶ τὸ Ἡραῖον· τὸ δὲ πρὸ τῆς πόλιός ἐστι τῆς Πλαταιέων, εἴκοσι σταδίους ἀπὸ τῆς κρήνης τῆς Γαργαφίης ἀπέχον. Ἀπικόμενοι δὲ ἕθεντο πρὸ τοῦ ἱροῦ τὰ ὅπλα.

LIII. Καὶ οἱ μὲν περὶ τὸ Ἡραῖον ἐστρατοπεδεύοντο, Παυσανίης δὲ ὁρέων σφέας ἀπαλλασσομένους ἐκ τοῦ στρατοπέδου παρήγγελλε καὶ τοῖσι Λακεδαιμονίοισι ἀναλαβόντας τὰ ὅπλα ἰέναι κατὰ τοὺς ἄλλους τοὺς προϊόντας, νομίσας αὐτοὺς ἐς τὸν χῶρον ἰέναι ἐς τὸν συνεθήκαντο. (2) Ἐνθαῦτα οἱ μὲν ἄλλοι ἄρτιοι ἔσαν τῶν ταξιαρχέων πείθεσθαι Παυσανίῃ, Ἀμομφάρετος δὲ ὁ Πολιάδεω λοχηγέων τοῦ Πιτανήτεω λόχου οὐκ ἔφη τοὺς ξείνους φεύξεσθαι οὐδὲ ἐκὼν εἶναι αἰσχυνέειν τὴν Σπάρτην, ἐθώμαζέ τε ὁρέων τὸ ποιεύμενον ἅτε οὐ παραγενόμενος τῷ προτέρῳ λόγῳ. (3) Ὁ δὲ Παυσανίης τε καὶ ὁ Εὐρυάναξ δεινὸν μὲν ἐποιεῦντο τὸ μὴ πείθεσθαι ἐκεῖνον σφίσι, δεινότερον δὲ ἔτι ἐκείνου ταῦτα νενωμένου ἀπολιπεῖν τὸν λόχον τὸν Πιτανήτην, μὴ ἦν ἀπολίπωσι ποιεῦντες τὰ συνεθήκαντο τοῖσι ἄλλοισι Ἕλλησι, ἀπόληται ὑπολειφθεὶς αὐτός τε Ἀμομφάρετος καὶ οἱ μετ' αὐτοῦ. (4) Ταῦτα λογιζόμενοι ἀτρέμας εἶχον τὸ στρατόπεδον τὸ Λακωνικὸν, καὶ ἐπειρέοντο πείθοντές μιν ὡς οὐ χρεὼν εἴη ταῦτα ποιέειν.

LIV. Καὶ οἱ μὲν παρηγορέοντο Ἀμομφάρετον μοῦνον Λακεδαιμονίων τε καὶ Τεγεητέων λελειμμένον, Ἀθηναῖοι δὲ ἐποίευν τοιάδε· εἶχον ἀτρέμας σφέας αὐτοὺς ἵνα ἐτάχθησαν, ἐπιστάμενοι τὰ Λακεδαιμονίων φρονήματα ὡς ἄλλα φρονεόντων καὶ ἄλλα λεγόντων. (2) Ὡς δὲ ἐκινήθη τὸ στρατόπεδον, ἔπεμπον σφέων ἱππέα ὀψόμενόν τε εἰ πορεύεσθαι ἐπιχειρέοιεν οἱ Σπαρτιῆται, εἴτε καὶ τὸ παράπαν μὴ διανοεῦνται ἀπαλλάσσεσθαι, ἐπείρεσθαί τε Παυσανίην τὸ χρεὼν εἴη ποιέειν.

LV. Ὡς δὲ ἀπίκετο ὁ κῆρυξ ἐς τοὺς Λακεδαιμονίους, ὥρα τέ σφεας κατὰ χώρην τεταγμένους καὶ ἐς νείκεα ἀπιγμένους αὐτῶν τοὺς πρώτους. Ὡς γὰρ δὴ παρηγορέοντο τὸν Ἀμομφάρετον ὅ τε Εὐρυάναξ καὶ ὁ Παυσανίης μὴ κινδυνεύειν μένοντας μούνους Λακεδαιμονίων, οὔ κως ἔπειθον, ἐς ὃ ἐς νείκεά τε συμπεσόντες ἀπικέατο καὶ ὁ κῆρυξ τῶν Ἀθηναίων παρίστατό σφι ἀπιγμένος. (2) Νεικέων δὲ ὁ Ἀμομφάρετος λαμβάνει

nocte dimidiam copiarum partem ad Cithæronem mittere, ad recipiendos famulos, qui commeatum advecturi abierant: erant enim in Cithærone interclusi.

LII. Hæc quum ita decrevissent, toto illo die ab equitatu pressi, immensum sustinuerunt laborem. Ut vero dies defecit, destiteruntque equites, facta nocte et adpropinquante hora qua ut discederent erat constitutum, tum vero plerique collectis vasis discesserunt; non illi locum, de quo convenerat, petere in animo habentes; sed, simulac moveri cœperunt, læti effugisse equitatum, versus Platæensium urbem fugientes, ad Heræum (*Junonis templum*) pervenerunt, quod est ante Platæensium urbem, viginti stadia a Gargaphia fonte distans; ibique ante templum consederunt.

LIII. Hi igitur circa Heræum castra habuere. Pausanias vero, postquam illos vidit castris egredientes, ratus eum locum illos, de quo convenerat, petere, Lacedæmonios etiam arma jussit capere, et eadem via, qua cæteri præcessissent, progredi. (2) Ibi tunc, quum alii omnes ordinum ductores parati essent Pausaniæ obsequi, unus Amompharetus, Poliadæ filius, manipulum ducens Pitanetarum, ait se non fugiturum peregrinos, neque ultro ignominiam adspersurum Spartanis; miratusque est, ubi quid ageretur vidit: nec enim superiori colloquio interfuerat. (3) Pausaniæ vero et Euryanacti indigna res visa est, imperio non obtemperare illum, adhuc vero indignior, deserere manipulum Pitanatarum, quoniam ita dux illorum animatus esset; quippe veriti, ne, si illo relicto facerent quæ cum cæteris Græcis constituissent, desertus periret Amompharetus cum suis. (4) Id secum reputantes, gradum sistere jusserunt Laconicas copias, et persuadere homini conati sunt, non recte eum facere.

LIV. Dum illi Amompharetum adhortantur, unum ex omnibus Lacedæmoniis et Tegeatis pone manentem; interim Athenienses hæc fecerant: quieti steterant in vestigio ubi locati erant, bene gnari moris Lacedæmoniorum, alia sæpe cogitantium, alia dicentium. (2) Ut autem movere se cœpit exercitus, equitem de suis miserunt, qui spectaret utrum Lacedæmonii discedere adgrederentur, an omnino de profectione non cogitarent; tum qui ex Pausania quæreret, quid ipsis esset faciendum.

LV. Ubi ad Lacedæmonios pervenit præco, vidit illos suo loco instructos stantes, et primores illorum inter se altercantes. Quum enim Amompharetum hortati essent Euryanax et Pausanias, ne solus Lacedæmoniorum ibi manens se suosque in periculum adduceret, minime ei persuaserunt; et ad extremum eo ventum est, ut ad mutua convicia descenderent, quo tempore adveniens præco Atheniensis coram eis stetit. (2) Et maledictis illos incessens Amomplia-

πέτρον ἀμφοτέρῃσι τῇσι χερσὶ, καὶ τιθεὶς πρὸ ποδῶν τῶν Παυσανίεω ταύτῃ τῇ ψήφῳ ψηφίζεσθαι ἔφη μὴ φεύγειν τοὺς ξείνους, ξείνους λέγων τοὺς βαρβάρους. (3) Ὁ δὲ μαινόμενον καὶ οὐ φρενήρεα καλέων ἐκεῖνον, πρός τε τὸν Ἀθηναίων κήρυκα ἐπειρωτέοντα τὰ ἐντεταλμένα λέγειν ὁ Παυσανίης ἐκέλευε τὰ παρεόντα σφι πρήγματα, ἐχρήιζέ τε τῶν Ἀθηναίων προσχωρῆσαί τε πρὸς ἑωυτοὺς καὶ ποιέειν περὶ τῆς ἀπόδου τά περ ἂν καὶ σφεῖς.

LVI. Καὶ ὁ μὲν ἀπαλλάσσετο ἐς τοὺς Ἀθηναίους· τοὺς δὲ ἐπεὶ ἀναχρινομένους πρὸς ἑωυτοὺς ἠὼς κατελάμβανε, ἐν τούτῳ τῷ χρόνῳ κατήμενος ὁ Παυσανίης, οὐ δοκέων τὸν Ἀμομφάρετον λείψεσθαι τῶν ἄλλων Λακεδαιμονίων ἀποστειχόντων, τὰ δὴ καὶ ἐγένετο, σημήνας ἀπῆγε διὰ τῶν κολωνῶν τοὺς λοιποὺς πάντας· εἵποντο δὲ καὶ Τεγεῆται. (2) Ἀθηναῖοι δὲ ταχθέντες ἦισαν τὰ ἔμπαλιν ἢ Λακεδαιμόνιοι· οἱ μὲν γὰρ τῶν τε ὄχθων ἀντείχοντο καὶ τῆς ὑπωρέης τοῦ Κιθαιρῶνος, φοβεόμενοι τὴν ἵππον, Ἀθηναῖοι δὲ κάτω τραφθέντες ἐς τὸ πεδίον.

LVII. Ἀμομφάρετος δὲ ἀρχήν τε οὐδαμὰ δοκέων Παυσανίην τολμήσειν σφέας ἀπολιπεῖν, περιείχετο αὐτοῦ μένοντας μὴ ἐκλιπεῖν τὴν τάξιν· προτερεόντων δὲ τῶν σὺν Παυσανίῃ, καταδόξας αὐτοὺς ἰθέῃ τέχνῃ ἀπολιπεῖν αὐτὸν, ἀναλαβόντα τὸν λόχον τὰ ὅπλα ἦγε βάδην πρὸς τὸ ἄλλο στῖφος. (2) Τὸ δὲ ἀπελθὸν ὅσον τε δέκα στάδια ἀνέμενε τὸν Ἀμομφαρέτου λόχον, περὶ ποταμὸν Μολόεντα ἱδρυμένον Ἀργιόπιόν τε χῶρον καλεύμενον, τῇ καὶ Δήμητρος Ἐλευσινίης ἱρὸν ἥσται. Ἀνέμενε δὲ τοῦδε εἵνεκεν, ἵνα ἢν μὴ ἀπολίπῃ τὸν χῶρον ἐν τῷ ἐτετάχατο ὁ Ἀμομφάρετός τε καὶ ὁ λόχος, ἀλλ' αὐτοῦ μένωσι, βωθέοι ὀπίσω παρ' ἐκείνους. (3) Καὶ οἵ τε ἀμφὶ τὸν Ἀμομφάρετον παρεγίνοντό σφι, καὶ ἡ ἵππος ἡ τῶν βαρβάρων προσεκέετο πᾶσα. Οἱ γὰρ ἱππόται ἐποίευν οἷον καὶ ἐώθεσαν ποιέειν αἰεὶ, ἰδόντες δὲ τὸν χῶρον κεινὸν ἐν τῷ ἐτετάχατο οἱ Ἕλληνες τῇσι προτέρῃσι ἡμέρῃσι, ἤλαυνον τοὺς ἵππους αἰεὶ τὸ πρόσω καὶ ἅμα καταλαβόντες προσεκέατό σφι.

LVIII. Μαρδόνιος δὲ ὡς ἐπύθετο τοὺς Ἕλληνας ἀποιχομένους ὑπὸ νύκτα εἶδέ τε τὸν χῶρον ἐρῆμον, καλέσας τὸν Ληρισαῖον Θώρηκα καὶ τοὺς ἀδελφεοὺς αὐτοῦ Εὐρύπυλον καὶ Θρασυδήϊον ἔλεγε, « ὦ παῖδες Ἀλεύεω, ἔτι τί λέξετε τάδε ὁρέοντες ἐρῆμα; ὑμεῖς γὰρ οἱ πλησιόχωροι ἐλέγετε Λακεδαιμονίους οὐ φεύγειν ἐκ μάχης, ἀλλ' ἄνδρας εἶναι τὰ πολέμια πρώτους, τοὺς πρότερόν τε μετιστα μένους ἐκ τῆς τάξιος εἴδετε, νῦν τε ὑπὸ τὴν παροιχομένην νύκτα καὶ οἱ πάντες ὁρέομεν διαδράντας· (2) διέδεξάν τε, ἐπεί σφεας ἔδεε πρὸς τοὺς ἀψευδέως ἀρίστους ἀνθρώπων μάχῃ διακριθῆναι, ὅτι οὐδένες ἄρα ἐόντες ἐν οὐδαμοῖσι ἐοῦσι Ἕλλησι ἐναπεδειχνύατο. Καὶ ὑμῖν μὲν ἐοῦσι Περσέων ἀπείροισι πολλὴ ἔκ γε ἐμεῦ ἐγίνετο συγγνώμη, ἐπαινεόντων τούτους τοῖσί τι καὶ συνηδέατε· (3) Ἀρταβάζου δὲ θῶμα καὶ μᾶλλον ἐποιεύμην τὸ καὶ καταρρωδῆσαι Λακεδαιμονίους τὸν ἄνδρα, ὃς ἐν τοῖσι Πέρσῃσι λόγον μεγάλου ποιεύμενος ἐστὶ, ὃς ἐν τῇ ἐκείνων ἀπειρίῃ τῶν ἀγαθῶν ἐόντων ἐν τοῖσι κακοῖσι ἐκείνοισι ἐφοβέετο μὴ ἐκεῖνοι ἐν τοῖσι ἀγαθοῖσι ἐόντες ἐν τοῖσι ἀγαθοῖσι ἐκείνοισ

μονίους, καταρρωδήσαντά τε ἀποδέξασθαι γνώμην δειλοτάτην, ὡς χρεὼν εἴη ἀναξεύζαντας τὸ στρατόπεδον ἰέναι ἐς τὸ Θηβαίων ἄστυ πολιορκησομένους· τὴν ἔτι πρὸς ἐμεῦ βασιλεὺς πεύσεται. (4) Καὶ τούτων μὲν ἑτέρωθι ἔσται λόγος· νῦν δὲ ἐκείνοισι ταῦτα ποιεῦσι οὐκ ἐπιτρεπτέα ἐστί, ἀλλὰ διωκτέοι εἰσὶ ἐς ὃ καταλαμφθέντες δώσουσι ἡμῖν τῶν δὴ ἐποίησαν Πέρσας πάντων δίκας. »

LIX. Ταῦτα εἶπας ἦγε τοὺς Πέρσας δρόμῳ διαβάντας τὸν Ἀσωπὸν κατὰ στίβον τῶν Ἑλλήνων ὡς δὴ ἀποδιδρησκόντων, ἐπεῖχέ τε ἐπὶ Λακεδαιμονίους τε καὶ Τεγεήτας μούνους· Ἀθηναίους γὰρ τραπομένους ἐς τὸ πεδίον ὑπὸ τῶν ὄχθων οὐ κατώρα. (2) Πέρσας δὲ δρέοντες ὠρμημένους διώκειν τοὺς Ἕλληνας οἱ λοιποὶ τῶν βαρβαρικῶν τελέων ἄρχοντες αὐτίκα πάντες ἦραν τὰ σημήϊα, καὶ ἐδίωκον ὡς ποδῶν ἕκαστος εἶχον, οὔτε κόσμῳ οὐδενὶ κοσμηθέντες οὔτε τάξι. Καὶ οὕτοι μὲν βοῇ τε καὶ ὁμίλῳ ἐπήϊσαν ὡς ἀναρπασόμενοι τοὺς Ἕλληνας.

LX. Παυσανίης δὲ, ὡς προσεκέετο ἡ ἵππος, πέμψας πρὸς τοὺς Ἀθηναίους ἱππέα λέγε τάδε, « ἄνδρες Ἀθηναῖοι, ἀγῶνος μεγίστου προκειμένου, ἐλευθέρην εἶναι ἢ δεδουλωμένην τὴν Ἑλλάδα, προδεδόμεθα ὑπὸ τῶν συμμάχων ἡμεῖς τε οἱ Λακεδαιμόνιοι καὶ ὑμεῖς οἱ Ἀθηναῖοι, ὑπὸ τὴν παροιχομένην νύκτα διαδράντων. (2) Νῦν ὦν δέδοκται τὸ ἐνθεῦτεν τὸ ποιητέον ἡμῖν· ἀμυνομένους γὰρ τῇ δυνάμεθα ἄριστα περιστέλλειν ἀλλήλους. Εἰ μέν νυν ἐς ὑμέας ὥρμησε ἀρχὴν ἡ ἵππος, χρῆν δὴ ἡμέας τε καὶ τοὺς μετ' ἡμέων τὴν Ἑλλάδα οὐ προδιδόντας Τεγεήτας βωθέειν ὑμῖν· νῦν δὲ, ἐς ἡμέας γὰρ ἅπασα κεχώρηκε, δίκαιοί ἐστε ὑμεῖς πρὸς τὴν πιεζομένην μάλιστα τῶν μοιρέων ἀμυνέοντες ἰέναι. (3) Εἰ δ' ἄρα αὐτοὺς ὑμέας καταλελάβηκε ἀδύνατόν τι βωθέειν, ὑμεῖς δ' ἡμῖν τοὺς τοξότας ἀποπέμψαντες χάριν θέσθε. Συνοίδαμεν δὲ ὑμῖν ὑπὸ τὸν παρεόντα τόνδε πολεμον ἐοῦσι πολλὸν προθυμοτάτοισι, ὥστε καὶ ταῦτα ἐσακούειν. »

LXI. Ταῦτα οἱ Ἀθηναῖοι ὡς ἐπύθοντο, ὡρμέατο βωθέειν καὶ τὰ μάλιστα ἐπαμύνειν. Καί σφι ἤδη στείχουσι ἐπιτίθενται οἱ ἀντιταχθέντες Ἑλλήνων τῶν μετὰ βασιλέος γενομένων, ὥστε μηκέτι δύνασθαι βωθῆσαι· τὸ γὰρ προσκείμενόν σφεας ἐλύπεε. (2) Οὕτω δὴ μουνωθέντες Λακεδαιμόνιοι καὶ Τεγεῆται, ἐόντες σὺν ψιλοῖσι ἀριθμὸν οἱ μὲν πεντακισμύριοι, Τεγεῆται δὲ τρισχίλιοι (οὗτοι γὰρ οὐδαμὰ ἀπεσχίζοντο ἀπὸ Λακεδαιμονίων), ἐσφαγιάζοντο ὡς συμβαλέοντες Μαρδονίῳ καὶ τῇ στρατιῇ τῇ παρεούσῃ. Καὶ οὐ γάρ σφι ἐγίνετο τὰ σφάγια χρηστὰ, ἔπιπτόν τε αὐτῶν ἐν τούτῳ τῷ χρόνῳ πολλοὶ καὶ πολλῷ πλεῦνες ἐτρωματίζοντο. (3) Φράξαντες γὰρ τὰ γέρρα οἱ Πέρσαι ἀπίεσαν τῶν τοξευμάτων πολλὰ ἀφειδέως, οὕτω ὥστε πιεζομένων τῶν Σπαρτιητέων καὶ τῶν σφαγίων οὐ γινομένων ἀποβλέψαντα τὸν Παυσανίην πρὸς τὸ Ἡραῖον τὸ Πλαταιέων ἐπικαλέσα-

ignavissimam dicentem sententiam, movenda nobis esse castra, et in Thebanorum urbem secedendum, nempe ibi obsidendis : quam sententiam etiam rex ex me cognoscet. (4) Sed de his quidem alias disserendi locus erit : nunc vero illis, ut nos effugiant, non est permittendum; sed persequi eos oportet, donec deprehensi pœnas nobis dederint omnium quæ adversus Persas patrarunt. »

LIX. Hæc locutus Mardonius Persas, Asopo superato, cursim duxit, vestigia secutus Græcorum, tamquam fugientium : duxit autem adversus solos Lacedæmonios et Tegeatas; nam Athenienses, per planitiem euntes, obstantibus clivis non conspexerat. (2) Et reliquarum barbaricarum ducum copiarum, ut Persas viderunt ad persequendos Græcos egressos, protinus et ipsi omnes sublatis signis raptim secuti sunt, ut quique pedibus valebant, nullo ordine, non instructa acie. Ita igitur hi cum clamore et tumultu adcurrerunt, tamquam primo impetu Græcos oppressuri.

LX. Pausanias, quum instaret equitatus, equitem ad Athenienses misit, qui ipsius verbis hæc illis diceret : « Cives Athenienses, quum maximum nobis propositum sit certamen, quo id agitur, liberane maneat Græcia, an servitutem sit servitura, proditi sumus tam nos Lacedæmonii, quam vos Athenienses, a sociis, qui proxima nocte fuga se proripuerunt. (2) Nunc igitur decretum est quid hinc sit nobis faciendum : nempe pugnare oportet quam fortissime possumus, et mutuo nobis succurrere. Igitur si in vos primos irruisset equitatus, oporteret nos et Tegeatas, qui nobiscum sunt neque Græciam prodiderunt, vobis succurrere : nunc vero quum in nos universus ingruit, æquum est vos ut laborantibus maxime partibus exercitus suppetias veniatis. (3) Sin vos ipsi occupati estis ut succurrere nobis non possitis, hoc saltem nobis gratificamini, ut sagittarios vestros ad nos dimittatis. Quum compertum sit nobis, quam singulare studium in hoc bello adhibeatis, non dubitamus vos gratum hoc nobis facturos. »

LXI. His auditis, Athenienses parati erant illis succurrere, et quantam maximam possent opem ferre. Jamque iter erant ingressi, quum subito in illos impetum fecerunt Græci a barbarorum partibus stantes, qui illis in acie fuerant oppositi : quo facto, jam succurrere istis non potuere, ipsi ab adgredientibus infestati. (2) Itaque soli relicti Lacedæmonii et Tegeatæ, simul cum levi armatura, quinquagies mille Lacedæmonii, et ter mille Tegeatæ (nam hi numquam ab illis discesserunt), sacra fecerunt, quippe cum Mardonio et exercitu qui cum eo erat conflicturi. Quumque nihil læti portenderent victimæ, multi interim eorum ceciderunt, et multo plures vulnerabantur. (3) Etenim Persæ, vallo e cratibus facto, adeo immensam in illos vim sagittarum emiserunt, ut Pausanias, quum perlitare non posset, et valde premerentur Lacedæmonii, Ju-

σθαι τὴν θεὸν, χρηΐζοντα μηδαμῶς σφέας ψευσθῆναι τῆς ἐλπίδος.

LXII. Ταῦτα δ' ἔτι τούτου ἐπικαλευμένου προεξαναστάντες πρότεροι οἱ Τεγεῆται ἐχώρεον ἐς τοὺς βαρβάρους, καὶ τοῖσι Λακεδαιμονίοισι αὐτίκα μετὰ τὴν εὐχὴν τὴν Παυσανίεω ἐγίνετο θυομένοισι τὰ σφάγια χρηστά. (2) Ὡς δὲ χρόνῳ κοτὲ ἐγένετο, ἐχώρεον καὶ οὗτοι ἐπὶ τοὺς Πέρσας, καὶ οἱ Πέρσαι ἀντίοι, τὰ τόξα μετέντες. Ἐγίνετο δὲ πρῶτον περὶ τὰ γέρρα μάχη. Ὡς δὲ ταῦτα ἐπεπτώκεε, ἤδη ἐγίνετο μάχη ἰσχυρὴ παρ' αὐτὸ τὸ Δημήτριον καὶ χρόνον ἐπὶ πολλὸν, ἐς ὃ ἀπίκοντο ἐς ὠθισμόν· τὰ γὰρ δόρατα ἐπιλαμβανόμενοι κατέκλων οἱ βάρβαροι. (3) Λήματι μέν νυν καὶ ῥώμῃ οὐκ ἔσσονες ἦσαν οἱ Πέρσαι, ἄνοπλοι δὲ ἐόντες καὶ πρὸς ἀνεπιστήμονες ἦσαν καὶ οὐκ ὁμοῖοι τοῖσι ἐναντίοισι σοφίην. Προεξαΐσσοντες δὲ κατ' ἕνα καὶ δέκα, καὶ πλεῦνές τε καὶ ἐλάσσονες συστρεφόμενοι, ἐσέπιπτον ἐς τοὺς Σπαρτιήτας καὶ διεφθείροντο.

LXIII. Τῇ δὲ ἐτύγχανε αὐτὸς ἐὼν Μαρδόνιος, ἀπ' ἵππου τε μαχόμενος λευκοῦ ἔχων τε περὶ ἑωυτὸν λογάδας Περσέων τοὺς ἀρίστους χιλίους, ταύτῃ δὲ καὶ μάλιστα τοὺς ἐναντίους ἐπίεσαν. (2) Ὅσον μέν νυν χρόνον Μαρδόνιος περιῆν, οἱ δὲ ἀντεῖχον καὶ ἀμυνόμενοι κατέβαλλον πολλοὺς τῶν Λακεδαιμονίων· ὡς δὲ Μαρδόνιος ἀπέθανε καὶ τὸ περὶ ἐκεῖνον τεταγμένον ἐὸν ἰσχυρότατον ἔπεσε, οὕτω δὴ καὶ οἱ ἄλλοι ἐτράποντο καὶ εἶξαν τοῖσι Λακεδαιμονίοισι. (3) Πλεῖστον γάρ σφεας ἐδηλέετο ἡ ἐσθὴς ἐρῆμος ἐοῦσα ὅπλων· πρὸς γὰρ ὁπλίτας ἐόντες γυμνῆτες ἀγῶνα ἐποιεῦντο.

LXIV. Ἐνθαῦτα ἥ τε δίκη τοῦ φόνου τοῦ Λεωνίδεω κατὰ τὸ χρηστήριον τοῖσι Σπαρτιήτῃσι ἐκ Μαρδονίου ἐπετελέετο, καὶ νίκην ἀναιρέεται καλλίστην ἁπασέων τῶν ἡμεῖς ἴδμεν Παυσανίης ὁ Κλεομβρότου τοῦ Ἀραξανδρίδεω. Τῶν δὲ κατύπερθέ οἱ προγόνων τὰ οὐνόματα εἴρηται ἐς Λεωνίδεα· οὗτοι γάρ σφι τυγχάνουσι ἐόντες. (2) Ἀποθνήσκει δὲ Μαρδόνιος ὑπ' Ἀριμνήστου ἀνδρὸς ἐν Σπάρτῃ λογίμου, ὃς χρόνῳ ὕστερον μετὰ τὰ Μηδικὰ ἔχων ἄνδρας τριηκοσίους συνέβαλε ἐν Στενυκλήρῳ πολέμου ἐόντος Μεσσηνίοισι πᾶσι, καὶ αὐτός τε ἀπέθανε καὶ οἱ τριηκόσιοι.

LXV. Ἐν δὲ Πλαταιῇσι οἱ Πέρσαι ὡς ἐτράποντο ὑπὸ τῶν Λακεδαιμονίων, ἔφευγον οὐδένα κόσμον ἐς τὸ στρατόπεδον τὸ ἑωυτῶν καὶ ἐς τὸ τεῖχος τὸ ξύλινον τὸ ἐποιήσαντο ἐν μοίρῃ τῇ Θηβαΐδι. (2) Θῶμα δέ μοι ὄχως παρὰ τῆς Δήμητρος τὸ ἄλσος μαχομένων οὐδὲ εἷς ἐφάνη τῶν Περσέων οὔτε ἐσελθὼν ἐς τὸ τέμενος οὔτε ἐναποθανὼν, περί τε τὸ ἱρὸν οἱ πλεῖστοι ἐν τῷ βεβήλῳ ἔπεσον. (3) Δοκέω δὲ, εἴ τι περὶ τῶν θείων πρηγμάτων δοκέειν δεῖ, ἡ θεὸς αὐτὴ σφεας οὐκ ἐδέκετο ἐμπρήσαντας τὸ ἱρὸν τὸ ἐν Ἐλευσῖνι ἀνάκτορον. Αὕτη μέν νυν ἡ μάχη ἐπὶ τοσοῦτο ἐγένετο.

LXVI. Ἀρτάβαζος δὲ ὁ Φαρνάκεος αὐτίκα τε οὐκ ἠρέσκετο κατ' ἀρχὰς λειπομένου Μαρδονίου ἀπὸ βαnonis templum respiciens, quod ad Platæas est, deam invocaret, orans ne spem ipsorum frustraretur.

LXII. Dum ille adhuc deam invocat, priores surgunt Tegeatæ, et in barbaros tendunt. Mox vero etiam Lacedæmoniis, post preces a Pausania peractas, lætæ fuerunt victimæ. (2) Qui ut tandem perlitarunt, ipsi quoque adversus Persas pergunt; et illis Persæ, relictis arcubus, obviam ire instituunt. Primum igitur fit prælium apud crates: quæ ubi corruerunt, atrox jam fit pugna apud ipsum Cereris templum, eaque diuturna, donec eo ventum est ut velut in turba vir virum premeret: nam hastas Græcorum prehendentes barbari frangebant. (3) Et studio quidem ac robore non inferiores erant Persæ: sed præterquam quod leviter erant armati, ignari etiam fuere pugnæ Græcorum, et solertia cedebant adversariis. Procurrentes singuli, aut deni, et modo plures, modo pauciores, globo facto irruebant in Spartanos; et ab his interficiebantur.

LXIII. Qua parte quidem ipse Mardonius erat, ex candido equo pugnans, secumque selectos habens mille fortissimos Persarum, ibi vehementer hi premebant adversarios. (2) Quoad igitur Mardonius vixit, etiam reliqui restiterunt, et fortiter pugnando multos straverunt Lacedæmonios: ut vero interfectus Mardonius est, et quod circa eum steterat robur virorum cecidit, tunc nimirum et reliqui terga verterunt, cesseruntque Lacedæmoniis. (3) Maxime enim illis nocebat vestitus, scuto et lorica carens: etenim cum gravi armatura leviter armati pugnabant.

LXIV. Ibi tunc pœnam cædis Leonidæ, secundum oraculi responsum, Spartanis Mardonius solvit: et nobilissimam omnium, quas novimus, victoriam Pausanias retulit, Cleombroti filius, Anaxandridæ nepos. Superiorum hujus viri progenitorum nomina recensui, ubi de Leonida agebatur: sunt enim prorsus iidem. (2) Interfectus est autem Mardonius ab Arimnesto, spectato inter Spartanos viro: qui insequente tempore, post hoc Medicum bellum, bello Messeniaco trecentos viros ducens, cum omnibus Messeniorum copiis ad Stenyclerum conflixit: et una cum trecentis suis occubuit.

LXV. Persæ apud Platæas a Lacedæmoniis fusi fugatique, nullo ordine ad castra sua confugerunt et in ligneum murum, quem in agro Thebano construxerant. (2) Miror vero equidem, qui factum sit, quum ad Cereris lucum pugnata sit hæc pugna, ut tamen nullus repertus fuerit Persarum, qui in locum deæ sacrum aut intrarit aut in eo ceciderit, sed omnes in profana terra circa templum occubuerint. (3) Opinor autem, si modo fas est de rebus divinis opinari aliquid, deam illos non recepisse, ut qui ipsius templum, quod Eleusine fuit, cremassent. Hic igitur Platæensis pugnæ exitus fuit.

LXVI. Artabazo, Pharnacis filio, initio statim non placuerat, Mardonium a rege in Græcia relinqui: idemque

σιλέος, καὶ τότε πολλὰ ἀπαγορεύων οὐδὲν ἦνυε, συμβάλλειν οὐκ ἐῶν· ἐποίησέ τε αὐτὸς τοιάδε ὡς οὐκ ἀρεσκόμενος τοῖσι πρήγμασι τοῖσι ἐκ Μαρδονίου ποιευμένοισι. (2) Τῶν ἐστρατήγεε ὁ Ἀρτάβαζος (εἶχε δὲ δύναμιν οὐκ ὀλίγην, ἀλλὰ καὶ ἐς τέσσερας μυριάδας ἀνθρώπων περὶ ἑωυτόν), τούτους, ὅκως ἡ συμβολὴ ἐγίνετο, εὖ ἐξεπιστάμενος τὰ ἐμελλε ἀποδήσεσθαι ἀπὸ τῆς μάχης, ἦϊε κατηρτισμένος, παραγγείλας κατὰ τὠυτὸ ἰέναι πάντας τῇ ἂν αὐτὸς ἐξηγέηται, ὅκως ἂν αὐτὸν ὁρέωσι σπουδῆς ἔχοντα. (3) Ταῦτα παραγγείλας ὡς ἐς μάχην ἦγε ὄπισθεν τὸν στρατὸν· προτερέων δὲ τῆς ὁδοῦ ὥρα καὶ δὴ φεύγοντας τοὺς Πέρσας. Οὕτω δὴ οὐκέτι τὸν αὐτὸν κόσμον κατηγέετο, ἀλλὰ τὴν ταχίστην ἐτρόχαζε φεύγων οὔτε ἐς τὸ ξύλινον τεῖχος οὔτε ἐς τὸ Θηβαίων τεῖχος, ἀλλ' ἐς Φωκέας, ἐθέλων ὡς τάχιστα ἐπὶ τὸν Ἑλλήσποντον ἀπικέσθαι. Καὶ δὴ οὗτοι μὲν ταύτῃ ἐτράποντο.

LXVII. Τῶν δὲ ἄλλων Ἑλλήνων τῶν μετὰ βασιλέος ἐθελοκακεόντων Βοιωτοὶ Ἀθηναίοισι ἐμαχέσαντο χρόνον ἐπὶ συχνόν. Οἱ γὰρ μηδίζοντες τῶν Θηβαίων, οὗτοι εἶχον προθυμίην οὐκ ὀλίγην μαχόμενοί τε καὶ οὐκ ἐθελοκακέοντες, οὕτω ὥστε τριηκόσιοι αὐτῶν οἱ πρῶτοι καὶ ἄριστοι ἐνθαῦτα ἔπεσον ὑπ' Ἀθηναίων· (2) ὡς δὲ ἐτράποντο καὶ οὗτοι, ἔφευγον ἐς τὰς Θήβας, οὐ τῇ περ οἱ Πέρσαι. Καὶ τῶν ἄλλων συμμάχων ὁ πᾶς ὅμιλος οὔτε διαμαχεσάμενος οὐδενὶ οὔτε τι ἀποδεξάμενος ἔφευγον.

LXVIII. Δηλοῖ τέ μοι ὅτι πάντα τὰ πρήγματα τῶν βαρβάρων ἤρτητο ἐκ Περσέων, εἰ καὶ τότε οὗτοι πρὶν ἢ καὶ συμμῖξαι τοῖσι πολεμίοισι ἔφευγον, ὅτι καὶ τοὺς Πέρσας ὥρεον. (2) Οὕτω τε πάντες ἔφευγον πλὴν τῆς ἵππου τῆς τε ἄλλης καὶ τῆς Βοιωτίης· αὕτη δὲ τοσαῦτα προσωφέλεε τοὺς φεύγοντας, αἰεί τε πρὸς τῶν πολεμίων ἄγχιστα ἐοῦσα, ἀπέργουσά τε τοὺς φιλίους φεύγοντας ἀπὸ τῶν Ἑλλήνων.

LXIX. Οἱ μὲν δὴ νικῶντες εἵποντο, τοὺς Ξέρξεω διώκοντές τε καὶ φονεύοντες· ἐν δὲ τούτῳ τῷ γινομένῳ φόβῳ ἀγγέλλεται τοῖσι ἄλλοισι Ἕλλησι τοῖσι τεταγμένοισι περὶ τὸ Ἡραῖον καὶ ἀπογενομένοισι τῆς μάχης ὅτι μάχη τε γέγονε καὶ νικῶσι οἱ μετὰ Παυσανίεω. (2) Οἱ δὲ ἀκούσαντες ταῦτα, οὐδένα κόσμον ταχθέντες, οἱ μὲν ἀμφὶ Κορινθίους ἐτράποντο διὰ τῆς ὑπωρέης καὶ τῶν κολωνῶν τὴν φέρουσαν ἄνω ἰθὺ τοῦ ἱροῦ τῆς Δήμητρος, οἱ δὲ ἀμφὶ Μεγαρέας τε καὶ Φλιασίους διὰ τοῦ πεδίου τὴν λειοτάτην τῶν ὁδῶν. (3) Ἐπείτε δὲ ἀγχοῦ τῶν πολεμίων ἐγίνοντο οἱ Μεγαρέες καὶ Φλιάσιοι, ἀπιδόντες σφέας οἱ τῶν Θηβαίων ἱππόται ἐπειγομένους οὐδένα κόσμον ἤλαυνον ἐπ' αὐτοὺς τοὺς ἵππους τῶν ἱππάρχεε Ἀσωπόδωρος ὁ Τιμάνδρου· ἐσπεσόντες δὲ κατεστόρεσαν αὐτῶν ἑξακοσίους, τοὺς δὲ λοιποὺς κατήραξαν διώκοντες ἐς τὸν Κιθαιρῶνα. Οὗτοι μὲν δὴ ἐν ὐδενὶ λόγῳ ἀπώλοντο.

LXX. Οἱ δὲ Πέρσαι καὶ ὁ ἄλλος ὅμιλος, ὡς κατέφυγον ἐς τὸ ξύλινον τεῖχος, ἔφθησαν ἐπὶ τοὺς πύργους

tunc, multum hortatus ne prælium ille committeret, nihil profecerat. Itaque, utpote improbans Mardonius interat rerum gerendarum modum, hac ipse ratione egit: (2) quum suo sub imperio manum haberet haud exiguam, sed ad quadraginta hominum millia, his ordine compositis, quo tempore fiebat prælium, bene gnarus quis futurus esset exitus pugnæ, egressus est, dato imperio, ut, qua ipse præiret, sequerentur omnes eodem gradu quo ipsum vidissent præeuntem. (3) Hoc dato imperio, duxit illos, veluti in prælium duceret: sed quum ipse prægrederetur agmen, jamque fugientes conspexisset Persas; inde non amplius eodem ordine suos duxit, sed citato cursu fugam cum eis corripuit, non ligneum murum petens nec Thebanorum mœnia, sed in Phocidem tendens, cupiensque quam primum ad Hellespontum pervenire. Hi igitur hanc in partem iter intenderunt.

LXVII. Græcorum, qui cum rege erant, major pars de industria cessaverant: sed Bœoti perdiu cum Atheniensibus dimicarunt. Nam Thebanorum, qui cum Medis faciebant, singulare studium adhibuere, fortiter pugnantes, minimeque ultro cedentes; ita ut eorum trecenti, primarii viri fortissimique, ibi ab Atheniensibus sint interfecti. (2) Ut vero hi quoque terga vertere coacti sunt, Thebas se receperunt, non quidem ita ut Persæ (*incondita fuga*). Atque reliqua turba sociorum, nulla re gesta, ac ne pugna quidem cum ullo ex hostibus conserta, in fugam se proripuerunt.

LXVIII. Atque hinc adparet, barbarorum res universas ex Persis pependisse; quandoquidem et hi tunc, priusquam cum hoste essent congressi, simulatque Persas videre fugientes, et ipsi fugam capessiverunt. (2) Itaque omnes se fugæ mandarunt, præter equitatum, quum reliquum, tum Bœoticum. Atque fugientibus magno etiam usui equitatus fuit, semper proxime ab hostibus obequitans, et suos fugientes a Græcis sejungens.

LXIX. Dum ita victores Græci fugientes barbaros persequuntur occiduntque, interim reliquis Græcis, qui circa Junonis templum consederant, et prælio non interfuerant, nunciatur pugnam esse pugnatam, vicisseque Pausaniam cum suis. (2) Quo audito, nullo ordine Corinthii superiore via, quæ per montis radices et per clivos fert, recta versus Cereris templum contenderunt; Megarenses vero et Phliasii per planitiem molliori via. (3) Ubi vero prope hostem Megarenses et Phliasii fuere, e longinquo eos conspicati equites Thebani, videntesque nullo ordine properantes, equos in illos adegerunt, Asopodoro duce, Timandri filio. In quos invecti, sexcentos eorum straverunt; reliquosque persecuti, in Cithæronem præcipites compulerunt. Isti igitur ignobili morte perierunt.

LXX. Persæ autem et reliqua turba, postquam intra ligneum murum pervenerunt, adscendere in turres ma-

ἀναβάντες πρὶν ἢ τοὺς Λακεδαιμονίους ἀπικέσθαι, ἀναβάντες δὲ ἐφράξαντο ὡς ἐδυνέατο ἄριστα τὸ τεῖχος. Προσελθόντων δὲ τῶν Λακεδαιμονίων κατεστήκεέ σφι τειχομαχίη ἐρρωμενεστέρη. (2) Ἕως μὲν γὰρ ἀπῆσαν οἱ Ἀθηναῖοι, οἱ δ' ἠμύνοντο καὶ πολλῷ πλέον εἶχον τῶν Λακεδαιμονίων ὥστε οὐκ ἐπισταμένων τειχομαχέειν· ὡς δέ σφι οἱ Ἀθηναῖοι προσῆλθον, οὕτω δὴ ἰσχυρὴ ἐγίνετο τειχομαχίη καὶ χρόνον ἐπὶ πολλόν. (3) Τέλος δὲ ἀρετῇ τε καὶ λιπαρίῃ ἐπέβησαν Ἀθηναῖοι τοῦ τείχεος καὶ ἤρειπον, τῇ δὴ ἐσεχέοντο οἱ Ἕλληνες. Πρῶτοι δὲ ἐσῆλθον Τεγεῆται ἐς τὸ τεῖχος, καὶ τὴν σκηνὴν τὴν Μαρδονίου οὗτοι ἔσαν οἱ διαρπάσαντες, τά τε ἄλλα ἐξ αὐτῆς καὶ τὴν φάτνην τῶν ἵππων ἐοῦσαν χαλκέην πᾶσαν καὶ θέης ἀξίην. (4) Τὴν μέν νυν φάτνην ταύτην τὴν Μαρδονίου ἀνέθεσαν ἐς τὸν νηὸν τῆς Ἀλέης Ἀθηναίης Τεγεῆται, τὰ δὲ ἄλλα ἐς τὠυτὸ, ὅσα περ ἕλαβον, ἐσήνεικαν τοῖσι Ἕλλησι. (5) Οἱ δὲ βάρβαροι οὐδὲν ἔτι στῖφος ἐποιήσαντο πεσόντος τοῦ τείχεος, οὔτε τις αὐτῶν ἀλκῆς ἐμέμνητο, ἀλύκταζόν τε οἷα ἐν ὀλίγῳ χώρῳ πεφοβημένοι τε καὶ πολλαὶ μυριάδες κατειλημέναι ἀνθρώπων. (6) Παρῆν τε τοῖσι Ἕλλησι φονεύειν οὕτω ὥστε τριήκοντα μυριάδων στρατοῦ, καταδεουσέων τεσσέρων τὰς ἔχων Ἀρτάβαζος ἔφευγε, τῶν λοιπῶν μηδὲ τρεῖς χιλιάδας περιγενέσθαι. (7) Λακεδαιμονίων δὲ τῶν ἐκ Σπάρτης ἀπέθανον οἱ πάντες ἐν τῇ συμβολῇ εἷς καὶ ἐνενήκοντα, Τεγεητέων δὲ ἑκκαίδεκα, Ἀθηναίων δὲ δύο καὶ πεντήκοντα.

LXXI. Ἠρίστευσε δὲ τῶν βαρβάρων πεζὸς μὲν ὁ Περσέων, ἵππος δὲ ἡ Σακέων, ἀνὴρ δὲ λέγεται Μαρδόνιος. Ἑλλήνων δὲ, ἀγαθῶν γενομένων καὶ Τεγεητέων καὶ Ἀθηναίων, ὑπερεβάλοντο ἀρετῇ Λακεδαιμόνιοι. (2) Ἄλλῳ μὲν οὐδενὶ ἔχω ἀποσημήνασθαι (ἅπαντες γὰρ οὗτοι τοὺς κατ' ἑωυτοὺς ἐνίκων), ὅτι δὲ κατὰ τὸ ἰσχυρότατον προσηνείχθησαν καὶ τούτων ἐκράτησαν. Καὶ ἄριστος ἐγένετο μακρῷ Ἀριστόδημος κατὰ γνώμας τὰς ἡμετέρας, ὃς ἐκ Θερμοπυλέων μοῦνος τῶν τριηκοσίων σωθεὶς εἶχε ὄνειδος καὶ ἀτιμίην. (3) Μετὰ δὲ τοῦτον ἠρίστευσαν Ποσειδώνιός τε καὶ Φιλοκύων καὶ Ἀμομφάρετος Σπαρτιήτης. Καίτοι γενομένης λέσχης ὃς γένοιτο αὐτῶν ἄριστος, ἔγνωσαν οἱ παραγενόμενοι Σπαρτιητέων Ἀριστόδημον μὲν βουλόμενον φανερῶς ἀποθανεῖν ἐκ τῆς παρεούσης οἱ αἰτίης, λυσσέοντά τε καὶ ἐκλιπόντα τὴν τάξιν ἔργα ἀποδέξασθαι μεγάλα, Ποσειδώνιον δὲ οὐ βουλόμενον ἀποθνήσκειν ἄνδρα γενέσθαι ἀγαθὸν· τοσούτῳ τοῦτον εἶναι ἀμείνω. (4) Ἀλλὰ ταῦτα μὲν καὶ φθόνῳ ἂν εἴπαιεν· οὗτοι δὲ τοὺς κατέλεξα πάντες, πλὴν Ἀριστοδήμου, τῶν ἀποθανόντων ἐν ταύτῃ τῇ μάχῃ τίμιοι ἐγένοντο· Ἀριστόδημος δὲ βουλόμενος ἀποθανέειν διὰ τὴν προειρημένην αἰτίην οὐκ ἐτιμήθη.

LXXII. Οὗτοι μὲν τῶν ἐν Πλαταιῇσι οὐνομαστότατοι ἐγένοντο. Καλλικράτης γὰρ ἔξω τῆς μάχης ἀπέθανε, ἐλθὼν ἀνὴρ κάλλιστος ἐς τὸ στρατόπεδον τῶν τότε Ἑλλήνων, οὐ μοῦνον αὐτῶν Λακεδαιμονίων, ἀλλὰ

turarunt, priusquam Lacedæmonii adessent : eisque conscensis, quam optime poterant ad defendendum murum sese compararunt : et, ubi advenerunt Lacedæmonii, valide admodum propugnarunt. (2) Nam priusquam Athenienses accessissent, repulerunt Lacedæmonios, et multo eis erant superiores, quippe oppugnandarum munitionum imperitis. Ut vero Athenienses advenere, tunc acris exstitit et diuturna circa murum pugna. (3) Sed ad extremum virtute et adsiduitate laboris conscenderunt murum Athenienses, eumque diruerunt : et ea parte Græci intra munitionem irruerunt. Primi qui ingressi sunt, Tegeatæ fuere : et hi sunt qui tentorium spoliarunt Mardonii, ex eoque quum alia asportarunt, tum præsepe equorum, quod totum æneum erat et spectatu dignum. (4) Ac præsepe hoc quidem Mardonii in templo Aleæ Minervæ dedicarunt Tegeatæ; reliquam vero prædam omnem in eumdem locum cum communi Græcorum præda contulerunt. (5) Barbari vero, ex quo murus corruit, nullum amplius globum, quem hosti opponerent, fecerunt, neque quisquam virtutis meminit; sed consternati erant, utpote multæ hominum myriades in exiguum locum fuga compulsæ et conclusæ. (6) Et Græcis ita facilis fuit cædes, ut ex triginta hominum myriadibus (demptis quattuor myriadibus, cum quibus Artabazus profugit) ne ter mille quidem reliqui essent. (7) Lacedæmoniorum vero, qui quidem ex ipsa Sparta fuere, nonnisi unus et nonaginta in prælio ceciderant; ex Tegeatis vero sedecim; ex Atheniensibus, duo et quinquaginta.

LXXI. Virtutis nomine in Platæensi pugna eminuere, inter barbaros, peditatus quidem Persarum, equitatus vero Sacarum : inter singulos viros eminuisse dicitur Mardonii virtus. Inter Græcos, quamquam et Tegeatæ et Athenienses fortiter pugnarunt, præ cæteris eminuit Lacedæmoniorum virtus : (2) quod quidem nullo alio indicio confirmare possum (hi enim cuncti vicerunt eos qui ipsis oppositi steterant), nisi quod Lacedæmonii cum robustissima parte copiarum hostilium conflixerunt, hosque superarunt. Inter singulos viros, ut mihi quidem videtur, præ cæteris longe fortissime pugnavit Aristodemus, is qui, quum ex trecentis unus a Thermopylis rediisset, ignominia notatus erat. (3) Post hunc autem eminuere Posidonius et Philocyon, et Spartanus Amompharetus. Quamquam, quum sermo haberetur quis illorum fortissimus fuerit, præsentes Spartani statuerunt, Aristodemum manifeste mori voluisse propter culpam qua tenebatur, eaque caussa furiosum, et ordinem suum relinquentem, præclara facta edidisse; Posidonium vero, quum non decrevisset mori, fortissime pugnasse, tantoque esse præstantiorem illo. (4) At hoc fortasse illi ex invidia dixerint. Cæterum hi omnes, quos nominavi, qui in hac pugna ceciderunt, publico honore adfecti sunt, Aristodemo excepto : Aristodemus vero, eo quod ob prædictam culpam mori decrevisset, non est honoratus.

LXXII. Hi igitur ex Lacedæmoniis Platæensi pugna maxime nobilitati sunt. Nam Callicrates extra pugnam mortuus est, pulcerrimus Græcorum qui in exercitu fuerunt, non modo Lacedæmoniorum, sed reliquorum etiam Græco-

καὶ τῶν ἄλλων Ἑλλήνων· ὃς, ἐπειδὴ ἐσφαγιάζετο Παυσανίης, κατήμενος ἐν τῇ τάξι ἐτρωματίσθη τοξεύματι τὰ πλευρά. (2) Καὶ δὴ οἱ μὲν ἐμάχοντο, ὁ δ' ἐξενηνεγμένος ἐδυσθανάτεέ τε καὶ ἔλεγε πρὸς Ἀρίμνηστον ἄνδρα Πλαταιέα οὐ μέλειν οἱ ὅτι πρὸ τῆς Ἑλλάδος ἀποθνήσκει, ἀλλ' ὅτι οὐκ ἐχρήσατο τῇ χερὶ καὶ ὅτι οὐδέν ἐστί οἱ ἀποδεδεγμένον ἔργον ἑωυτοῦ ἄξιον προθυμευμένου ἀποδέξασθαι.

LXXIII. Ἀθηναίων δὲ λέγεται εὐδοκιμῆσαι Σωφάνης ὁ Εὐτυχίδεω, δήμου Δεκελεῆθεν, Δεκελέων δὲ τῶν κοτὲ ἐργασαμένων ἔργον χρήσιμον ἐς τὸν πάντα χρόνον, ὡς αὐτοὶ Ἀθηναῖοι λέγουσι. (2) Ὡς γὰρ δὴ τὸ πάλαι κατ' Ἑλένης κομιδὴν Τυνδαρίδαι ἐσέβαλον ἐς γῆν τὴν Ἀττικὴν σὺν στρατοῦ πλήθεϊ καὶ ἀνίστασαν τοὺς δήμους, οὐκ εἰδότες ἵνα ὑπεξεκέετο ἡ Ἑλένη, τότε λέγουσι τοὺς Δεκελέας, οἱ δὲ αὐτὸν Δέκελον ἀχθόμενόν τε τῇ Θησέος ὕβρι καὶ δειμαίνοντα περὶ πάσῃ τῇ Ἀθηναίων χώρῃ, ἐξηγησάμενόν σφι τὸ πᾶν πρῆγμα κατηγήσασθαι ἐπὶ τὰς Ἀφίδνας, τὰς δὴ Τιτακὸς ἐὼν αὐτόχθων καταπροδιδοῖ Τυνδαρίδῃσι. (3) Τοῖσι δὲ Δεκελεῦσι ἐν Σπάρτῃ ἀπὸ τούτου τοῦ ἔργου ἀτέλειά τε καὶ προεδρίη διατελέει ἐς τόδε αἰεὶ ἔτι ἐοῦσα, οὕτω ὥστε καὶ ἐς τὸν πόλεμον τὸν ὕστερον πολλοῖσι ἔτεσι τούτων γενόμενον Ἀθηναίοισί τε καὶ Πελοποννησίοισι, σινομένων τὴν ἄλλην Ἀττικὴν Λακεδαιμονίων, Δεκελέης ἀπέχεσθαι.

LXXIV. Τούτου τοῦ δήμου ἐὼν ὁ Σωφάνης, καὶ ἀριστεύσας τότε Ἀθηναίων, διξοὺς λόγους λεγομένους ἔχει, τὸν μὲν ὡς ἐκ τοῦ ζωστῆρος τοῦ θώρηκος ἐφόρεε χαλκέῃ ἁλύσι δεδεμένην ἄγκυραν σιδηρέην, τὴν ὅκως πελάσειε ἀπικνεόμενος τοῖσι πολεμίοισι βαλλέσκετο, ἵνα δή μιν οἱ πολέμιοι ἐκπίπτοντες ἐκ τῆς τάξιος μετακινῆσαι μὴ δυναίατο· γινομένης δὲ φυγῆς τῶν ἐναντίων ἐδέδοκτο τὴν ἄγκυραν ἀναλαβόντα οὕτω διώκειν. (2) Οὗτος μὲν οὕτω λέγεται, ὁ δ' ἕτερος τῶν λόγων τῷ πρότερον λεχθέντι ἀμφισβατέων λέγεται, ὡς ἐπ' ἀσπίδος αἰεὶ περιθεούσης καὶ οὐδαμὰ ἀτρεμιζούσης ἐφόρεε ἐπίσημον ἄγκυραν, καὶ οὐκ ἐκ τοῦ θώρηκος δεδεμένην σιδηρέην.

LXXV. Ἔστι δὲ καὶ ἕτερον Σωφάνεϊ λαμπρὸν ἔργον ἐξεργασμένον, ὅτι περικατημένων Ἀθηναίων Αἴγιναν Εὐρυβάτην τὸν Ἀργεῖον, ἄνδρα πεντάεθλον, ἐκ προκλήσιος ἐφόνευσε. (2) Αὐτὸν δὲ Σωφάνεα χρόνῳ ὕστερον τούτων κατέλαβε ἄνδρα γενόμενον ἀγαθὸν, Ἀθηναίων στρατηγέοντα ἅμα Λεάγρῳ τῷ Γλαύκωνος, ἀποθανέειν ὑπ' Ἠδωνῶν ἐν Δάτῳ περὶ τῶν μετάλλων τῶν χρυσείων μαχόμενον.

LXXVI. Ὡς δὲ τοῖσι Ἕλλησι ἐν Πλαταιῇσι κατέστρωντο οἱ βάρβαροι, ἐνθαῦτά σφι ἐπῆλθε γυνὴ αὐτόμολος, ἡ ἐπειδὴ ἔμαθε ἀπολωλότας τοὺς Πέρσας καὶ νικῶντας τοὺς Ἕλληνας, ἐοῦσα παλλακὴ Φαρανδάτεος τοῦ Τεάσπιος ἀνδρὸς Πέρσεω, κοσμησαμένη χρυσῷ πολλῷ καὶ αὐτὴ καὶ αἱ ἀμφίπολοι καὶ ἐσθῆτι τῇ καλλίστῃ τῶν παρεουσέων, καταβᾶσα ἐκ τῆς ἁρμαμάξης ἐχώρεε ἐς τοὺς Λακεδαιμονίους ἔτι ἐν τῇσι φονῇσι

rum. Quo tempore sacra fecit Pausanias, sedens ille suo in ordine sagitta vulneratus est in latere. (2) Ac tum quidem cæteri capessiverunt pugnam : ipse vero ex acie elatus, ægerrime ferens mortem, dixit Arimnesto, civi Platæensi, non se pœnitere quod pro Græcia moriatur, sed quod manu non sit usus, neque ullum se dignum facinus edidisset, quum id ipsum unice cupivisset.

LXXIII. Inter Athenienses nobilitatus est Sophanes, Eutychidis filius, ex populo cui Decelea nomen. Cujus popularium Deceleensium olim factum exstitit, ut ipsi Athenienses narrant, in omne ævum eis utile. (2) Nam, quo tempore olim repetendæ Helenæ caussa Tyndaridæ cum numeroso exercitu terram Atticam invaserunt, et, quum nescirent quem in locum illa deportata esset, populos Atticæ sedibus suis expulerunt; tunc, ut vulgo aiunt, Deceleenses, sive, ut alii dicunt, ipse Decelus, indignatus iniquo Thesei facinore, simulque universæ metuens Atheniensium terræ, totam rem illis aperuit, viamque quæ fert Aphidnas monstravit : quas tum Titacus, Aphidnensis ipse, Tyndaridis prodidit. (3) Quod ob factum Deceleensibus Spartani immunitatem vectigalium et præcipuam *in conventibus publicis et in festorum solennibus* sedem indulserunt; quo privilegio illi etiam nunc fruuntur, ita quidem ut etiam in eo bello, quod multis post hoc bellum annis inter Peloponnesios et Athenienses gestum est, quum reliquam Atticam Lacedæmonii vastarent, Decelea abstinuerint.

LXXIV. Ex hoc igitur Atticæ pago Sophanes fuit, qui tunc virtutis præcipuam inter Athenienses laudem abstulit. Quo de viro duplex fama fertur : altera, gestasse eum ferream ancoram, e loricæ cingulo ænea catena religatam; eam illum ancoram, quoties propius hostes venisset, in terram defigere solitum esse, ne hostes, impetum in illum facientes, statione eum depellere possent; fuga autem facta hostium recipere consuesse ancoram, et ita persequi hostem. (2) Hæc de hoc viro fama fertur. Cui contradicentes alii aiunt, in ejusdem viri clypeo, quem semper ille in gyrum agere consuesset, nec umquam quietum sinere, pro insigni fuisse ancoram, nec gestasse illum ferream ancoram e lorica religatam.

LXXV. Exstat ejusdem Sophanis aliud præclare factum; scilicet quum Athenienses Æginam circumsederent, hic Eurybaten Argivum, virum quinquertio nobilem, a se ad singulare certamen provocatum interfecit. (2) Sed eidem Sophani insequente tempore accidit, ut, quum dux esset Atheniensium cum Leagro Glauconis filio, apud Daton oppidum, ubi pro auri metallis decertabatur, fortiter pugnans, ab Edonis interficeretur.

LXXVI. Postquam ita ad Platæas barbari prostrati sunt a Græcis, advenit ad hos mulier transfuga : quæ ut perditos vidit Persas, Græcosque victores, quum fuisset pellex Pharandatis Persæ, Teaspis filii, multo ornata auro et ipsa et ejus famulæ, et veste pretiosissima quæ ad manus erat, descendit de carpento et ad Lacedæmonios accessit in cæ-

ἐόντας, (2) ὁρέουσα δὲ πάντα ἐκεῖνα διέποντα Παυσανίην, πρότερόν τε τὸ οὔνομα ἐξεπισταμένη καὶ τὴν πάτρην ὥστε πολλάκις ἀκούσασα, ἔγνω τε τὸν Παυσανίην καὶ λαβομένη τῶν γουνάτων ἔλεγε τάδε, (3) « Ὦ βασιλεῦ Σπάρτης, ῥῦσαί με τὴν ἱκέτιν αἰχμαλώτου δουλοσύνης. Σὺ γὰρ καὶ ἐς τόδε ὤνησας, τούσδε ἀπολέσας τοὺς οὔτε δαιμόνων οὔτε θεῶν ὅπιν ἔχοντας. Εἰμὶ δὲ γένος μὲν Κῴη, θυγάτηρ δὲ Ἡγητορίδεω τοῦ Ἀνταγόρεω· βίῃ δέ με λαβὼν ἐν Κῷ εἶχε ὁ Πέρσης. » (4) Ὁ δὲ ἀμείβεται τοισίδε, « γύναι, θάρσεε καὶ ὡς ἱκέτις, καὶ εἰ δὴ πρὸς τούτῳ τυγχάνεις ἀληθέα λέγουσα καὶ εἷς θυγάτηρ Ἡγητορίδεω τοῦ Κῴου, ὃς ἐμοὶ ξεῖνος μάλιστα τυγχάνει ἐὼν τῶν περὶ ἐκείνους τοὺς χώρους οἰκημένων. » (5) Ταῦτα εἶπας τότε μέν μιν ἐπέτρεψε τῶν ἐφόρων τοῖσι παρεοῦσι, ὕστερον δὲ ἀπέπεμψε ἐς Αἴγιναν, ἐς τὴν αὐτὴ ἤθελε ἀπικέσθαι.

LXXVII. Μετὰ δὲ τὴν ἄπιξιν τῆς γυναικὸς, αὐτίκα μετὰ ταῦτα ἀπίκοντο Μαντινέες ἐπ' ἐξεργασμένοισι. Μαθόντες δὲ ὅτι ὕστεροι ἥκουσι τῆς συμβολῆς, συμφορὴν ἐποιεῦντο μεγάλην, ἄξιοί τε ἔφασαν εἶναι σφέας ζημιῶσαι. (2) Πυνθανόμενοι δὲ τοὺς Μήδους τοὺς μετ' Ἀρταβάζου φεύγοντας, τούτους ἐδίωκον μέχρι Θεσσαλίης· Λακεδαιμόνιοι δὲ οὐκ ἐῶν φεύγοντας διώκειν. Οἱ δὲ ἀναχωρήσαντες ἐς τὴν ἑωυτῶν τοὺς ἡγεμόνας τῆς στρατιῆς ἐδίωξαν ἐκ τῆς γῆς. (3) Μετὰ δὲ Μαντινέας ἦκον Ἠλεῖοι, καὶ ὡσαύτως οἱ Ἠλεῖοι τοῖσι Μαντινεῦσι συμφορὴν ποιησάμενοι ἀπαλλάσσοντο· ἀπελθόντες δὲ καὶ οὗτοι τοὺς ἡγεμόνας ἐδίωξαν. Τὰ κατὰ Μαντινέας μὲν καὶ Ἠλείους τοσαῦτα.

LXXVIII. Ἐν δὲ Πλαταιῇσι ἐν τῷ στρατοπέδῳ τῶν Αἰγινητέων ἦν Λάμπων ὁ Πυθέεω, Αἰγινητέων τὰ πρῶτα, ὃς ἀνοσιώτατον ἔχων λόγον ἔτο πρὸς Παυσανίην, ἀπικόμενος δὲ σπουδῇ ἔλεγε τάδε, (2) « ὦ παῖ Κλεομβρότου, ἔργον ἔργασταί τοι ὑπερφυὲς μέγαθός τε καὶ κάλλος, καί τοι θεὸς παρέδωκε ῥυσάμενον τὴν Ἑλλάδα κλέος καταθέσθαι μέγιστον Ἑλλήνων τῶν ἡμεῖς ἴδμεν. Σὺ δὲ καὶ τὰ λοιπὰ τὰ ἐπὶ τούτοισι ποίησον, ὅκως λόγος τέ σε ἔχῃ ἔτι μέζων καί τις ὕστερον φυλάσσηται τῶν βαρβάρων μὴ ὑπάρχειν ἔργα ἀτάσθαλα ποιέων ἐς τοὺς Ἕλληνας. (3) Λεωνίδεω γὰρ ἀποθανόντος ἐν Θερμοπύλῃσι Μαρδόνιός τε καὶ Ξέρξης ἀποταμόντες τὴν κεφαλὴν ἀνεσταύρωσαν. Τῷ σὺ τὴν ὁμοίην ἀποδιδοὺς ἔπαινον ἕξεις πρῶτα μὲν ὑπὸ πάντων Σπαρτιητέων, αὖτις δὲ καὶ πρὸς τῶν ἄλλων Ἑλλήνων· Μαρδόνιον γὰρ ἀνασκολοπίσας τετιμωρήσεαι ἐς πάτρων τὸν σὸν Λεωνίδεα. » Ὁ μὲν δοκέων χαρίζεσθαι ἔλεγε τάδε.

LXXIX. Ὁ δ' ἀνταμείβετο τοισίδε, « ὦ ξεῖνε Αἰγινῆτα, τὸ μὲν εὐνοέειν τε καὶ προορᾶν ἄγαμαί σευ, γνώμης μέντοι ἡμάρτηκας χρηστῆς. Ἐξάρας γάρ με ὑψοῦ καὶ τὴν πάτρην καὶ τὸ ἔργον, ἐς τὸ μηδὲν κατέβαλες παραινέων νεκρῷ λυμαίνεσθαι, καὶ ἢν ταῦτα ποιέω, φὰς ἀμεινόν με ἀκούσεσθαι. (2) Τὰ πρέπει μᾶλλον βαρβάροισι ποιέειν ἢπερ Ἕλλησι· καὶ ἐκείνοισι

dibus adhuc occupatos. (2) Quumque omnia ibi administrantem videret Pausaniam, cujus et nomen et patriam jam antea frequenti auditu noverat, agnovit Pausaniam, et genua ejus complectens, his verbis eum adlocuta est : (3) « Rex Spartæ, libera me supplicem captivitatis servitute! Nam et hactenus me juvisti, quod hos homines perdidisti, qui nec heroum nec deorum curam habent. Sum autem genere Coa, Hegetoridæ filia, Antagoræ filii : quam vi ex Co raptam habuit Persa. » (4) Cui ille respondit : « Confide, mulier, non modo ut supplex, sed et insuper si verum est quod ais, filiam te esse Hegetoridæ Coi, qui maxime omnium ista loca habitantium hospitii jure mecum conjunctus est. » (5) His dictis, tunc illam præsentibus ephoris tradidit, deinde vero Æginam misit, quo ipsa venire cupiverat.

LXXVII. Post hujus mulieris adventum mox adfuere Mantinenses, re confecta. Qui ubi cognovere sero se venire post peractam pugnam, vehementer indoluerunt, et multam se commeruisse ultro fatebantur. (2) Ut vero audivere fugam corripuisse Medos qui cum Artabazo erant, hos illi, dissuadentibus licet Lacedæmoniis, persecuti sunt usque in Thessaliam. Postquam vero domum sunt reversi, duces suarum copiarum exsilio multarunt. (2) Post Mantinenses Elei venerunt : et hi pariter atque Mantinenses gravissime dolentes redierunt, pariterque atque illi, postquam domum reversi sunt, duces suos in exsilium miserunt. Et hæc quidem de Mantinensibus et Eleis hactenus.

LXXVIII. Fuit autem in exercitu Æginetarum ad Platæas Ægineta Lampon, Pytheæ filius, primarius vir inter Æginetas : qui Pausaniam adiit, rem improbissimam ei suasurus. Ad quem quum accessisset, magno studio hæc verba fecit : « (2) Fili Cleombroti, exsecutus es facinus ita magnum et præclarum, ut hominis superare naturam videatur : tibique hoc dedit deus, ut liberata Græcia omnium quos novimus Græcorum longe maximam gloriam sis consecutus. At tu nunc etiam quod superest perfice; quo famam consequaris majorem etiam, et barbarorum quisque posthac caveat ne res nefarias adversus Græcos suscipiat. (3) Postquam Leonidas ad Thermopylas occubuit, Mardonius et Xerxes caput ejus præciderunt, et e palo erexerunt. Huic si tu paria reddideris, primum Spartani, tum vero etiam Græci omnes te collaudabunt. Quippe Mardonium si e palo erexeris, patruum tuum ultus fueris Leonidam. » Hæc ille dixit, putans se gratificaturum Pausaniæ.

LXXIX. Cui his verbis rex respondit : « Hospes Ægineta, tuam et benevolentiam et prospicientiam laudo : at a recto animi sensu plurimum abes. Nam postquam me et patriam factumque meum in cœlum usque extulisti, in nihilum me projecisti, dum hortaris ut mortuo insultem, et me ais, id si fecero, melius auditurum. (2) Barbaros hoc facere decet, non Græcos : atque illos hoc nomine odimus.

δὲ ἐπιφθονέομεν. Ἐγὼ δ' ὧν τούτου εἵνεκεν μήτε Αἰγινήτῃσι ἄδοιμι μήτε τοῖσι ταὐτὰ ἀρέσκεται· ἀποχρᾷ δέ μοι Σπαρτιήτῃσι ἀρεσκόμενον ὅσια μὲν ποιέειν, ὅσια δὲ καὶ λέγειν. (3) Λεωνίδῃ δὲ, τῷ με κελεύεις τιμωρῆσαι, φημὶ μεγάλως τετιμωρῆσθαι, ψυχῇσί τε τῇσι τῶνδε ἀναριθμήτοισι τετίμηται αὐτός τε καὶ οἱ ἄλλοι οἱ ἐν Θερμοπύλῃσι τελευτήσαντες. Σὺ μέντοι ἔτι ἔχων λόγον τοιόνδε μήτε προσέλθῃς ἐμοιγε μήτε συμβουλεύσῃς, χάριν τε ἴσθι ἐὼν ἀπαθής. » Ὁ μὲν ταῦτα ἀκούσας ἀπαλλάσσετο.

LXXX. Παυσανίης δὲ κήρυγμα ποιησάμενος μηδένα ἅπτεσθαι τῆς λῃΐης, συγκομίζειν ἐκέλευσε τοὺς εἵλωτας τὰ χρήματα. (2) Οἱ δὲ ἀνὰ τὸ στρατόπεδον σκιδνάμενοι εὗρισκον σκηνὰς κατεσκευασμένας χρυσῷ καὶ ἀργύρῳ, κλίνας τε ἐπιχρύσους καὶ ἐπαργύρους, κρητῆράς τε χρυσέους καὶ φιάλας τε καὶ ἄλλα ἐκπώματα· (3) σάκκους τε ἐπ' ἁμαξέων εὗρισκον, ἐν τοῖσι λέβητες ἐφαινοντο ἐνεόντες χρύσεοί τε καὶ ἀργύρεοι· ἀπό τε τῶν κειμένων νεκρῶν ἐσκύλευον ψέλιά τε καὶ στρεπτοὺς καὶ τοὺς ἀκινάκας ἐόντας χρυσέους, ἐπεὶ ἐσθῆτός γε ποικίλης λόγος ἐγίνετο οὐδὲ εἷς. (4) Ἐνθαῦτα πολλὰ μὲν κλέπτοντες ἐπώλεον πρὸς τοὺς Αἰγινήτας οἱ εἵλωτες, πολλὰ δὲ καὶ ἀπεδείκνυσαν, ὅσα αὐτῶν οὐκ οἷά τε ἦν κρύψαι· ὥστε Αἰγινήτῃσι οἱ μεγάλοι πλοῦτοι ἀρχὴν ἐνθεῦτεν ἐγένοντο, οἳ τὸν χρυσὸν ἅτε ἐόντα χαλκὸν ὄῆθεν παρὰ τῶν εἱλωτέων ὠνέοντο.

LXXXI. Συμφορήσαντες δὲ τὰ χρήματα, καὶ δεκάτην ἐξελόντες τῷ ἐν Δελφοῖσι θεῷ, ἀπ' ἧς ὁ τρίπους ὁ χρύσεος ἀνετέθη ὁ ἐπὶ τοῦ τρικαρήνου ὄφιος τοῦ χαλκέου ἐπεστεὼς ἄγχιστα τοῦ βωμοῦ, καὶ τῷ ἐν Ὀλυμπίῃ θεῷ ἐξελόντες, ἀπ' ἧς δεκάπηχυν χάλκεον Δία ἀνέθηκαν, καὶ τῷ ἐν Ἰσθμῷ θεῷ, ἀπ' ἧς ἑπτάπηχυς χάλκεος Ποσειδέων ἐξεγένετο, (2) ταῦτα ἐξελόντες τὰ λοιπὰ διαιρέοντο καὶ ἔλαβον ἕκαστοι τῶν ἄξιοι ἦσαν, καὶ τὰς παλλακὰς τῶν Περσέων καὶ τὸν χρυσὸν καὶ τὸν ἄργυρον καὶ ἄλλα χρήματά τε καὶ ὑποζύγια. Ὅσα μέν νυν ἐξαίρετα τοῖσι ἀριστεύσασι αὐτῶν ἐν Πλαταιῇσι ἐδόθη, οὐ λέγεται πρὸς οὐδαμῶν, δοκέω δ' ἔγωγε καὶ τούτοισι δοθῆναι· Παυσανίῃ δὲ πάντα δέκα ἐξαιρέθη τε καὶ ἐδόθη, γυναῖκες, ἵπποι, τάλαντα, κάμηλοι, ὡς δὲ αὖτως καὶ τἆλλα χρήματα.

LXXXII. Λέγεται δὲ καὶ τάδε γενέσθαι, ὡς Ξέρξης φεύγων ἐκ τῆς Ἑλλάδος Μαρδονίῳ τὴν κατασκευὴν καταλίποι τὴν ἑωυτοῦ· Παυσανίην ὦν ὁρέοντα τὴν Μαρδονίου κατασκευὴν χρυσῷ τε καὶ ἀργύρῳ καὶ παραπετάσμασι ποικίλοισι κατεσκευασμένην, κελεῦσαι τούς τε ἀρτοκόπους καὶ τοὺς ὀψοποιοὺς κατὰ ταὐτὰ καθὼς Μαρδονίῳ δεῖπνον παρασκευάζειν. (2) Ὡς δὲ κελευόμενοι οὗτοι ἐποίευν ταῦτα, ἐνθαῦτα τὸν Παυσανίην ἰδόντα κλίνας τε χρυσέας καὶ ἀργυρέας εὖ ἐστρωμένας καὶ τραπέζας χρυσέας καὶ ἀργυρέας καὶ παρασκευὴν μεγαλοπρεπέα τοῦ δείπνου, ἐκπλαγέντα τὰ προκείμενα ἀγαθὰ κελεῦσαι ἐπὶ γέλωτι τοὺς ἑωυτοῦ διηκόνους παρασκευάσαι Λακωνικὸν δεῖπνον. (3) Ὡς δὲ τῆς θοίνης

Ego quidem, quod ad hoc attinet, nec Æginetis velim placere, nec quibuscumque talia placent : sufficitque mihi, Lacedæmoniis placere, sancte agentem, sancteque loquentem. (3) Leonidæ vero, quem tu me jubes ulcisci, puto magnifice esse parentatum : nam innumerabilium horum cæde ultionem et ipse obtinuit et cæteri qui ad Thermopylas occubuerunt. Omnino vero, talia propositurus aut suasurus, noli porro meum in conspectum venire : et gratias habe, quod incolumis abeas! » His auditis, ille discessit.

LXXX. Jam Pausanias, proposito per præconem edicto, ne quis de præda quidquam tangeret, Helotas jussit pretiosa colligere. (2) Et illi, castra obeuntes, tentoria invenerunt auro argentoque repleta, lectosque auro et argento obductos, et crateres aureos, et phialas, aliaque pocula : (3) plaustrisque impositos invenerunt saccos, in quibus lebetes erant aurei et argentei : denique stratis cadaveribus armillas detraxerunt, et torques, et acinaces, qui item aurei erant : vestis enim variegatæ ne ratio quidem ulla habebatur. (4) Ibi tunc multa furto subtrahentes Helotæ vendiderunt Æginetis : multa vero etiam repræsentabant, quæcumque abscondere non potuerant. Atque hinc initium cepere ingentes Æginetarum divitiæ : quippe qui aurum, quasi æs esset, ab Helotis emerunt.

LXXXI. Pecuniis reliquisque rebus pretiosis in unum collatis, decimam exemerunt Delphico deo; ex qua aureus ille tripus dedicatus est, qui tricipiti serpenti æneo insistit proxime aram; item Olympico deo decimam exemerunt, ex qua Jovis ænea statua decem cubitorum dedicata est; denique Isthmio deo, unde confecta est Neptuni ænea statua septem cubitorum. (2) Hæc postquam exemere, reliqua inter se distribuerunt, pellices Persarum, et aurum, et argentum, et alias res pretiosas, et jumenta : acceperuntque quique pro suo merito. Quænam vero præcipua data sint eis quorum præ cæteris virtus eminuit ad Platæas, a nemine memoratum reperio : puto autem equidem, his præcipua quædam data esse. Pausaniæ vero omnia dena selecta dataque sunt, mulieres, equi, talenta, cameli, pariterque alia etiam pretiosa.

LXXXII. Narrant etiam hoc accidisse : Xerxem, ex Græcia fugientem, supellectilem suam Mardonio reliquisse; Pausaniam igitur, quum Mardonii tentorium vidisset auro et argento et variegatis aulæis instructum, pistores et coquos jussisse cœnam parare prorsus qualem Mardonio soliti essent instruere. (2) Quod quum illi fecissent, tum Pausaniam, lectulos videntem aureos et argenteos pulcre stratos, et mensas aureas et argenteas, et magnificum ipsius cœnæ adparatum, proposita admiratum lautitias, joci caussa suos famulos Laconicam parare cœnam jussisse. (3) Quum-

ποιηθείσης ἦν πολλὸν τὸ μέσον, τὸν Παυσανίην γελάσαντα μεταπέμψασθαι τῶν Ἑλλήνων τοὺς στρατηγούς, συνελθόντων δὲ τούτων εἶπαι τὸν Παυσανίην, δεικνύντα ἐς ἑκατέρην τοῦ δείπνου τὴν παρασκευήν, (4) « ἄνδρες Ἕλληνες, τῶνδε εἵνεκεν ἐγὼ ὑμέας συνήγαγον, βουλόμενος ὑμῖν τοῦ Μήδου τὴν ἀφροσύνην δέξαι, ὃς τοιήνδε δίαιταν ἔχων ἦλθε ἐς ἡμέας οὕτω ὀϊζυρὴν ἔχοντας ἀπαιρησόμενος. » Ταῦτα μὲν Παυσανίην λέγεται εἶπαι πρὸς τοὺς στρατηγοὺς τῶν Ἑλλήνων.

LXXXIII. Ὑστέρῳ μέντοι χρόνῳ μετὰ ταῦτα καὶ τῶν Πλαταιέων εὗρον συχνοὶ θήκας χρυσοῦ καὶ ἀργύρου καὶ τῶν ἄλλων χρημάτων. Ἐφάνη δὲ καὶ τόδε ὕστερον ἐπὶ τούτων τῶν νεκρῶν περιψιλωθέντων τὰς σάρκας· (2) συνεφόρεον γὰρ τὰ ὀστέα οἱ Πλαταιέες ἐς ἕνα χῶρον· εὑρέθη κεφαλὴ οὐκ ἔχουσα ῥαφὴν οὐδεμίαν, ἀλλ' ἐξ ἑνὸς ἐοῦσα ὀστέου· ἐφάνη δὲ καὶ γνάθος, καὶ τὸ ἄνω τῆς γνάθου, ἔχουσα ὀδόντας μουνοφυέας, ἐξ ἑνὸς ὀστέου πάντας, τούς τε ὀδόντας καὶ τοὺς γομφίους. Καὶ πενταπήχεος ἀνδρὸς ὀστέα ἐφάνη.

LXXXIV. Ἐπείτε δὲ Μαρδονίου δευτέρῃ ἡμέρῃ ὁ νεκρὸς ἠφάνιστο, ὑπ' ὅτευ μὲν ἀνθρώπων, τὸ ἀτρεκὲς οὐκ ἔχω εἶπαι, πολλοὺς δέ τινας ἤδη καὶ παντοδαποὺς ἥκουσα θάψαι Μαρδόνιον, καὶ δῶρα μεγάλα οἶδα λαβόντας πολλοὺς παρ' Ἀρτόντεω τοῦ Μαρδονίου παιδὸς διὰ τοῦτο τὸ ἔργον· (2) ὅστις μέντοι ἦν αὐτῶν ὁ ὑπελόμενός τε καὶ θάψας τὸν νεκρὸν τὸν Μαρδονίου, οὐ δύναμαι ἀτρεκέως πυθέσθαι. Ἔχει δέ τινα φάτιν καὶ Διονυσοφάνης ἀνὴρ Ἐφέσιος θάψαι Μαρδόνιον. Ἀλλ' ὁ μὲν τρόπῳ τοιούτῳ ἐτάφη.

LXXXV. Οἱ δὲ Ἕλληνες ὡς ἐν Πλαταιῇσι τὴν λῃΐην διείλοντο, ἔθαπτον τοὺς ἑωυτῶν χωρὶς ἕκαστοι. Λακεδαιμόνιοι μὲν τριξὰς ἐποιήσαντο θήκας· ἔνθα μὲν τοὺς ἱρένας ἔθαψαν, τῶν καὶ Ποσειδώνιος καὶ Ἀμομφάρετος ἦσαν καὶ Φιλοκύων τε καὶ Καλλικράτης. (2) Ἐν μὲν δὴ ἑνὶ τῶν τάφων ἦσαν οἱ ἱρένες, ἐν δὲ τῷ ἑτέρῳ οἱ ἄλλοι Σπαρτιῆται, ἐν δὲ τῷ τρίτῳ οἱ εἵλωτες. Οὗτοι μὲν οὕτω ἔθαπτον, Τεγεῆται δὲ χωρὶς πάντας ἁλέας, καὶ Ἀθηναῖοι τοὺς ἑωυτῶν δμοῦ καὶ Μεγαρέες τε καὶ Φλιάσιοι τοὺς ὑπὸ τῆς ἵππου διαφθαρέντας. (3) Τούτων μὲν δὴ πάντων πλήρεες ἐγένοντο οἱ τάφοι· τῶν δὲ ἄλλων ὅσοι καὶ φαίνονται ἐν Πλαταιῇσι ἐόντες τάφοι, τούτους δέ, ὡς ἐγὼ πυνθάνομαι, ἐπαισχυνομένους τῇ ἀπεστοῖ τῆς μάχης ἑκάστους χώματα χῶσαι κεινὰ τῶν ἐπιγινομένων εἵνεκεν ἀνθρώπων, ἐπεὶ καὶ Αἰγινητέων ἐστὶ αὐτόθι καλεύμενος τάφος, τὸν ἐγὼ ἀκούω καὶ δέκα ἔτεσι ὕστερον μετὰ ταῦτα δεηθέντων Αἰγινητέων χῶσαι Κλεάδην τὸν Αὐτοδίκου ἄνδρα Πλαταιέα, πρόξεινον ἐόντα αὐτῶν.

LXXXVI. Ὡς δ' ἄρα ἔθαψαν τοὺς νεκροὺς ἐν Πλαταιῇσι οἱ Ἕλληνες, αὐτίκα βουλευομένοισί σφι ἐδόκεε στρατεύεσθαι ἐπὶ τὰς Θήβας καὶ ἐξαιτέειν αὐτῶν τοὺς μηδίσαντας, ἐν πρώτοισι δὲ αὐτῶν Τιμαγενίδην καὶ Ἀτταγῖνον, οἱ ἀρχηγέται ἀνὰ πρώτους ἦσαν· ἢν δὲ μὴ ἐκδιδῶσι, μὴ ἀπανίστασθαι ἀπὸ τῆς πολιος πρότερον

que multum interesset inter utrumque epulum, ridentem Pausaniam vocasse Græcorum duces; eisque, ut convenerunt, utriusque cœnæ adparatum monstrantem, dixisse. (4) « Hoc consilio, Græci viri, vos convocavi, quo stultitiam vos ostenderem regis Medorum; qui, quum tali victus generi esset adsuetus, ad nos venit, miserum nostrum epulum nobis rapturus. » Hæc Pausanias ducibus Græcorum fertur dixisse.

LXXXIII. Sed et insequente tempore post has res gestas multi Platæenses arculas adhuc invenerunt auro et argento et aliis pretiosis rebus repletas. Et nonnullo rursus post hæc tempore interjecto, postquam mortuorum cadavera carnibus prorsus erant nudata, etiam hoc mirum adparuit: (2) quum ossa in unum locum Platæenses colligerent, repertum est cranium nullam prorsus suturam habens, sed uno osse constans. Reperta est etiam maxilla, quum inferior, tum superior, cujus dentes ita concreti erant, tam reliqui, quam molares, ut uno osse constarent omnes. Reperta etiam sunt ossa viri quinque cubitorum.

LXXXIV. Deinde vero Mardonii cadaver, postridie quam commissa pugna est, non est repertum. Quod quidem quonam ab homine fuerit subtractum, dicere pro certo non possum. Multos vero memoratos audivi, et diversis e civitatibus viros, qui perhibentur sepeliisse Mardonium; ac novi multos qui hoc nomine ingentia dona acceperunt ab Artonte Mardonii filio. (2) At quis sit ex his, qui Mardonii corpus subtraxerit et sepeliverit, pro certo comperire non potui. Fertur etiam fama quædam, Dionysophanem Ephesium sepeliisse Mardonium. Sed hæc Mardonii sepultura.

LXXXV. Græci vero, divisa præda, suos sepeliverunt, seorsum quique. Et Lacedæmonii quidem tria conditoria fecerunt: in uno tum adolescentes (*sive potius* ordinum duces: *græce* irenas) sepelierunt, quorum e numero Posidonius fuit, et Amompharetus, et Philocyon, et Callicrates. (2) Sic in uno conditorio erant irenes: in altero reliqui Spartani; in tertio Helotæ. Hac ratione Lacedæmonii usi sunt. Tegeatæ vero seorsum ab illis suos omnes uno in sepulcro condiderunt: atque ita etiam Athenienses suos uno in loco: pariterque Megarenses et Phliasii suos, qui ab equitibus occisi erant. (3) Horum itaque omnium plena erant sepulcra. Ad reliquorum vero populorum sepulcra quod attinet, quotquot apud Platæas ostenduntur, illorum quique, ut ego comperio, quum puderet eos non interfuisse pugnæ, inanes excitarunt tumulos, posterorum hominum gratia. Nam ibidem est etiam Æginetarum, quod vocant, sepulcrum; quod ego audio decimo post hæc anno, rogantibus Æginetis, a Cleade excitatum esse, Autodici filio, cive Platæensi, qui publicus Æginetarum hospes fuit.

LXXXVI. Sepultis ad Platæas mortuis, deliberantibus Græcis placuit protinus contra Thebas ferre arma, postulareque a Thebanis ut sibi hos traderent qui Medorum partes essent secuti, inprimisque Timageniden et Attagi-num, qui præ cæteris principes hujus factionis fuissent. quos nisi illi tradidissent, non abscedere decreverunt ab

ἢ ἐξέλωσι. (2) Ὡς δέ σφι ταῦτα ἔδοξε, οὕτω δὴ ἐνδεκάτῃ ἡμέρῃ ἀπὸ τῆς συμβολῆς ἀπικόμενοι ἐπολιόρκεον Θηβαίους, κελεύοντες ἐκδιδόναι τοὺς ἄνδρας· οὐ βουλομένων δὲ τῶν Θηβαίων ἐκδιδόναι, τήν τε γῆν αὐτῶν ἔταμνον καὶ προσέβαλλον πρὸς τὸ τεῖχος.

LXXXVII. Καὶ οὐ γὰρ ἐπαύοντο σινόμενοι, εἰκοστῇ ἡμέρῃ ἔλεξε τοῖσι Θηβαίοισι Τιμηγενίδης τάδε, « ἄνδρες Θηβαῖοι, ἐπειδὴ οὕτω δέδοκται τοῖσι Ἕλλησι, μὴ πρότερον ἀπαναστῆναι πολιορκέοντας ἢ ἐξέλωσι Θήβας ἢ ἡμέας αὐτοῖσι παραδῶτε, νῦν ὦν ἡμέων εἵνεκεν γῆ ἡ Βοιωτίη πλέω μὴ ἀναπλήσῃ, ἀλλ' εἰ μὲν χρημάτων χρηίζοντες πρόσχημα ἡμέας ἐξαιτέονται, χρήματά σφι δῶμεν ἐκ τοῦ κοινοῦ (σὺν γὰρ τῷ κοινῷ καὶ ἐμηδίσαμεν, οὐδὲ μοῦνοι ἡμεῖς), εἰ δὲ ἡμέων ἀληθέως δεόμενοι πολιορκέουσι, ἡμεῖς ἡμέας αὐτοὺς ἐς ἀντιλογίην παρέξομεν. » (2) Κάρτα τε ἔδοκεε εὖ λέγειν καὶ ἐς καιρὸν, αὐτίκα τε ἐπεκηρυκεύοντο πρὸς Παυσανίην οἱ Θηβαῖοι θέλοντες ἐκδιδόναι τοὺς ἄνδρας.

LXXXVIII. Ὡς δὲ ὡμολόγησαν ἐπὶ τούτοισι, Ἀτταγῖνος μὲν ἐκδιδρήσκει ἐκ τοῦ ἄστεος, παῖδας δὲ αὐτοῦ ἀπαχθέντας Παυσανίης ἀπέλυσε τῆς αἰτίης, φὰς τοῦ μηδισμοῦ παῖδας οὐδὲν εἶναι μεταιτίους. (2) Τοὺς δὲ ἄλλους ἄνδρας τοὺς ἐξέδοσαν οἱ Θηβαῖοι, οἱ μὲν ἐδόκεον ἀντιλογίης τε κυρήσειν καὶ δὴ χρήμασι ἐπεποίθεσαν διωθέεσθαι· ὁ δὲ ὡς παρέλαβε, αὐτὰ ταῦτα ὑπονοέων τὴν στρατιὴν τὴν τῶν συμμάχων ἅπασαν ἀπῆκε καὶ ἐκείνους ἀγαγὼν ἐς Κόρινθον διέφθειρε. Ταῦτα μὲν τὰ ἐν Πλαταιῇσι καὶ Θήβῃσι γενόμενα.

LXXXIX. Ἀρτάβαζος δὲ ὁ Φαρνάκεος φεύγων ἐκ Πλαταιέων καὶ δὴ πρόσω ἐγίνετο. Ἀπικόμενον δέ μιν οἱ Θεσσαλοὶ παρὰ σφέας ἐπί τε ξείνια ἐκάλευν καὶ ἀνειρώτευν περὶ τῆς στρατιῆς τῆς ἄλλης, οὐδὲν ἐπιστάμενοι τῶν ἐν Πλαταιῇσι γενομένων. (2) Ὁ δὲ Ἀρτάβαζος γνοὺς ὅτι εἰ ἐθέλοι σφι πᾶσαν τὴν ἀληθείαν τῶν ἀγώνων εἶπαι, αὐτός τε κινδυνεύσει ἀπολέσθαι καὶ ὁ μετ' αὐτοῦ στρατὸς (ἐπιθήσεσθαι γάρ οἱ πάντα τινὰ οἴετο πυνθανόμενον τὰ γεγονότα), ταῦτα ἐκλογιζόμενος οὔτε πρὸς τοὺς Φωκέας ἐξηγόρευε οὐδὲν, πρός τε τοὺς Θεσσαλοὺς ἔλεγε τάδε, (3) « ἐγὼ μὲν, ὦ ἄνδρες Θεσσαλοὶ, ὡς ὁρᾶτε, ἐπείγομαί τε κατὰ τὴν ταχίστην ἐλῶν ἐς Θρηίκην καὶ σπουδὴν ἔχω, πεμφθεὶς κατά τι πρῆγμα ἐκ τοῦ στρατοπέδου μετὰ τῶνδε· αὐτὸς δὲ ὑμῖν Μαρδόνιος καὶ ὁ στρατὸς αὐτοῦ οὗτος κατὰ πόδας ἑμεῦ ἐλαύνων προσδόκιμός ἐστι. (4) Τοῦτον καὶ ξεινίζετε καὶ εὖ ποιεῦντες φαίνεσθε· οὐ γὰρ ὑμῖν ἐς χρόνον ταῦτα ποιεῦσι μεταμελήσει. » Ταῦτα δὲ εἶπας ἀπήλαυνε σπουδῇ τὴν στρατιὴν διὰ Θεσσαλίης τε καὶ Μακεδονίης ἐπὶ τῆς Θρηίκης, ὡς ἀληθέως ἐπειγόμενος καὶ τὴν μεσόγαιαν τάμνων τῆς ὁδοῦ. (5) Καὶ ἀπικνέεται ἐς Βυζάντιον, καταλιπὼν τοῦ στρατοῦ τοῦ ἑωυτοῦ συχνοὺς ὑπὸ Θρηίκων τε κατακοπέντας κατ' ὁδὸν καὶ λιμῷ συστάντας καὶ καμάτῳ· ἐκ Βυζαντίου δὲ διέβη πλοίοισι. Οὗτος μὲν οὕτω ἀπενόστησε ἐς τὴν Ἀσίην.

XC. Τῆς δὲ αὐτῆς ἡμέρης τῆς περ ἐν Πλαταιῇσι τὸ

urbe, quin eam expugnassent. (2) Utque hoc eis placuit, ita undecimo post pugnam die ad Thebas venerunt; urbemque obsidentes, postularunt ut prædicti viri sibi dederentur: et, negantibus Thebanis se id facturos, agrum illorum vastarunt, murumque oppugnarunt.

LXXXVII. Qui quum adsidue multa illis damna inferrent, vicesimo die Timagenides hæc apud Thebanos verba fecit: « Quoniam Græcis decretum est, cives Thebani, non prius ab oppugnatione desistere abscedereque, quam aut expugnassent Thebas, aut nos illis a vobis dediti essemus; nunc nostra caussa ne plura porro patiatur Bœotia terra! sed, si illi, pecuniarum avidi, in speciem tantum nos deposcunt, demus eis pecunias ex publico; nam publice omnes Medorum partes secuti sumus, non nos soli: siu vere nos deditos cupiunt, eaque caussa urbem oppugnant, nos ipsi ad caussam apud eos dicendam nos sistemus. » (2) Et hic sane optime dicere visus est et opportune: protinusque caduceatorem Thebani miserunt ad Pausaniam, significantes se viros illos esse tradituros.

LXXXVIII. De quo ut inter utrosque convenit, interim Attaginus quidem ex urbe clam profugit: cujus filios Pausanias ad se adductos absolvit crimine, Medismi culpam, dicens, pueros nullam habere. (2) Reliqui vero viri quos Thebani dediderunt, putabant illi quidem ad dicendam caussam se iri admissum, prætereaque confidebant pecuniis amoliri a se posse periculum: at id ipsum suspicatus Pausanias, postquam illos accepit, universum sociorum exercitum dimisit, et illos Corinthum abductos interfecit. Atque hæ quidem res sunt, ad Platæas et ad Thebas gestæ.

LXXXIX. Artabazus vero, Pharnacis filius, qui Platæis profugerat, jam longe admodum erat progressus. Qui ubi in Thessaliam pervenit, Thessali eum ad hospitium vocarunt, sciscitatique sunt de reliquo exercitu: necdum enim quidquam de rebus ad Platæas gestis compererant. (2) At Artabazus, bene gnarus, si de præliis factis id quod res erat illis aperuisset, verendum sibi esse, ne ipse cum exercitu suo pereat: unumquemque enim se adgressurum existimavit, qui quæ gesta erant cognovisset: hæc igitur secum reputans, nec apud Phocenses vulgaverat quidquam, et apud Thessalos hæc dixit: (3) « Ego quidem, ut videtis, Thessali, in Thraciam maturo pervenire; et celeritate utor, quippe præmissus e castris cum hisce ad rem quamdam peragendam. Ipse vero Mardonius, e vestigio me cum suo exercitu sequens, mox vobis aderit. (4) Hunc vos hospitio excipite, omniaque ei officia præstate: nec enim, id fecisse, in posterum vos pœnitebit. » His dictis, raptim per Thessaliam et Macedoniam recta Thraciam versus duxit exercitum, vere festinans, et per mediam terram viam carpens. (5) Denique Byzantium pervenit, relictis quidem de suo exercitu multis, qui partim a Thracibus in itinere cæsi erant, partim fame et laboribus conflictati perierant. Tum ex Byzantio navigiis trajecit: atque ita hic in Asiam est reversus.

XC. Quo die autem ad Platæas cladem Persæ acceperunt

τρῶμα ἐγένετο, συνεκύρησε γενέσθαι καὶ ἐν Μυκάλῃ τῆς Ἰωνίης. Ἐπεὶ γὰρ δὴ ἐν τῇ Δήλῳ κατέατο οἱ Ἕλληνες οἱ ἐν τῇσι νησοὶ ἅμα Λευτυχίδῃ τῷ Λακεδαιμονίῳ ἀπικόμενοι, ἦλθόν σφι ἄγγελοι ἀπὸ Σάμου Λάμπων τε Θρασυκλέος καὶ Ἀθηναγόρης Ἀρχεστρατίδεω καὶ Ἡγησίστρατος Ἀρισταγόρεω, πεμφθέντες ὑπὸ Σαμίων λάθρῃ τῶν τε Περσέων καὶ τοῦ τυράννου Θεομήστορος τοῦ Ἀνδροδάμαντος, τὸν κατέστησαν Σάμου τύραννον οἱ Πέρσαι. (2) Ἐπελθόντων δὲ σφεων ἐπὶ τοὺς στρατηγοὺς ἔλεγε Ἡγησίστρατος πολλὰ καὶ παντοῖα, ὡς ἦν μοῦνον ἴδωνται αὐτοὺς οἱ Ἴωνες ἀποστήσονται ἀπὸ Περσέων, καὶ ὡς οἱ βάρβαροι οὐκ ὑπομενέουσι· ἢν δὲ καὶ ἄρα ὑπομείνωσι, οὐκ ἑτέρην ἄγρην τοιαύτην εὑρέειν ἂν αὐτούς. (3) Θεούς τε κοινοὺς ἀναkαλέων προέτραπε αὐτοὺς ῥύσασθαι ἄνδρας Ἕλληνας ἐκ δουλοσύνης καὶ ἀπαμῦναι τὸν βάρβαρον. Εὐπετές τε αὐτοῖσι ἔφη ταῦτα γίνεσθαι· τάς τε γὰρ νέας αὐτῶν κακῶς πλώειν καὶ οὐκ ἀξιομάχους ἐκείνοισι εἶναι. Αὐτοί τε, εἴ τι ὑποπτεύουσι μὴ δόλῳ αὐτοὺς προάγοιεν, ἑτοῖμοι εἶναι ἐν τῇσι νησοὶ τῇσι ἐκείνων ἀγόμενοι ὅμηροι εἶναι.

XCI. Ὡς δὲ πολλὸς ἦν λισσόμενος ὁ ξεῖνος ὁ Σάμιος, εἴρετο Λευτυχίδης, εἴτε κληδόνος εἵνεκεν ἐθέλων πυθέσθαι εἴτε καὶ κατὰ συντυχίην θεοῦ ποιεῦντος, « ὦ ξεῖνε Σάμιε, τί τοι τὸ οὔνομα; » Ὁ δὲ εἶπε, « Ἡγησίστρατος. » (2) Ὁ δὲ ὑπαρπάσας τὸν ἐπίλοιπον λόγον, εἴ τινα ὥρμητο λέγειν ὁ Ἡγησίστρατος, εἶπε, « δέκομαι τὸν οἰωνὸν τὸν ἡγησίστρατον, ὦ ξεῖνε Σάμιε. Σὺ δὲ ἡμῖν ποίεε ὅκως αὐτός τε δοὺς πίστιν ἀποπλώσεαι καὶ οἱ σὺν σοὶ ἐόντες οἵδε, ἢ μὲν Σαμίους ἡμῖν προθύμους ἔσεσθαι συμμάχους. »

XCII. Ταῦτά τε ἅμα ἠγόρευε καὶ τὸ ἔργον προσῆγε· αὐτίκα γάρ οἱ Σάμιοι πίστιν τε καὶ ὅρκια ἐποιεῦντο συμμαχίης πέρι πρὸς τοὺς Ἕλληνας. (2) Ταῦτα δὲ ποιήσαντες οἱ μὲν ἀπέπλωον· μετὰ σφέων γὰρ ἐκέλευε πλώειν τὸν Ἡγησίστρατον, οἰωνὸν τὸ οὔνομα ποιεύμενος· (3) οἱ δὲ Ἕλληνες ἐπισχόντες ταύτην τὴν ἡμέρην, τῇ ὑστεραίῃ ἐκαλλιρέοντο, μαντευομένου σφι Δηϊφόνου τοῦ Εὐηνίου ἀνδρὸς Ἀπολλωνιήτεω, Ἀπολλωνίης δὲ τῆς ἐν τῷ Ἰονίῳ κόλπῳ.

XCIII. Τοῦ τὸν πατέρα κατέλαβε Εὐήνιον πρῆγμα τοιόνδε. Ἔστι ἐν τῇ Ἀπολλωνίῃ ταύτῃ ἱρὰ ἡλίου πρόβατα, τὰ τὰς μὲν ἡμέρας βόσκεται παρὰ ποταμὸν ὃς ἐκ Λάκμωνος οὔρεος ῥέει διὰ τῆς Ἀπολλωνίης χώρης ἐς θάλασσαν παρ' Ὥρικον λιμένα, τὰς δὲ νύκτας ἀραιρημένοι ἄνδρες οἱ πλούτῳ τε καὶ γένεῖ δοκιμώτατοι τῶν ἀστῶν, οὗτοι φυλάσσουσι ἐνιαυτὸν ἕκαστος· (2) περὶ πολλοῦ γὰρ δὴ ποιεῦνται Ἀπολλωνιῆται τὰ πρόβατα ταῦτα ἐκ θεοπροπίου τινός· ἐν δὲ ἄντρῳ αὐλίζονται ἀπὸ τῆς πόλιος ἑκάς. Ἔνθα δὴ τότε ὁ Εὐήνιος οὗτος ἀραιρημένος ἐφύλασσε. Καί κοτε αὐτοῦ κατακοιμήσαντος τὴν φυλακὴν παρελθόντες λύκοι ἐς τὸ ἄντρον διέφθειραν τῶν προβάτων ὡς ἑξήκοντα. (3) Ὁ δὲ ὡς ἐπήϊσε, εἶχε σιγῇ καὶ ἔφραζε οὐδενί, ἐν νόῳ ἔχων ἀνillam, eodem die accidit ut alia calamitate ad Mycalen Ioniæ adfligerentur. Scilicet quum Deli sederent Græci, qui duce Leotychide Lacedæmonio cum classe advenerant, venerunt ad eos ex Samo legati, Lampon Thrasyclis filius, et Athenagoras Archestratidæ, et Hegesistratus Aristagoræ, a Samiis missi insciis Persis et inscio tyranno Theomestore, Androdamantis filio, quem Persæ tyrannum Sami constituerant. (2) Qui ubi Græcorum duces convenere, multa atque varia verba Hegesistratus fecit; dicens, si modo vidissent illos Iones, desciturос esse a Persis, et ad illorum adventum discessuros barbaros; sive hi manserint, nullam aliam talem prædam Græcos umquam reperturos. (3) Denique communes deos invocans, hortatus illos est, ut homines Græcos servitute vellent liberare, et pellere Barbarum. Idque facile illis esse factu, ait: etenim et naves eorum male navigare, nec viros resistere illis posse. Quodsi quam suspicionem haberent per dolum se illos excitare, paratos se esse in illorum navibus obsidum loco abduci.

XCI. Quumque pluribus verbis orare non desisteret Samius hospes, tunc Leotychides, sive consulto capiendi ominis caussa, sive forte fortuna, deo ita volente, interrogavit eum: « Samie hospes, quodnam tibi nomen est? » Et ait ille, « Hegesistratus (*latine* Dux exercitus). » (2) Moxque Leotychides, intercipiens reliquum sermonem si quem adjecturus Hegesistratus esset, « Accipio, inquit, Samie hospes, omen ducem exercitus edens. Tu modo fac, et hi qui tecum sunt, ut, priusquam hinc abeatis, fidem nobis detis, revera Samios promptos nobis socios adfuturos. »

XCII. Hæc locutus, e vestigio rem exsequi adgressus est. Protinus enim Samii de societate cum Græcis fidem et jusjurandum dederunt: (2) eoque facto, duo ex legatis domum navigarunt; nam Hegesistratum secum navigare Leotychides jussit, nomen ejus pro omine accipiens. (3) Et illo quidem die se continuerunt Græci, postridie vero læta illis sacra fuere, interpretis sacrorum officio fungente Deiphono, Euenii filio, Apolloniata, ex illa Apollonia, quæ ad Ionium mare sita est.

XCIII. Deiphoni hujus pater Euenius fortuna usus erat hujusmodi. Sunt Apolloniæ oves Soli sacræ, quæ interdiu pascuntur juxta fluvium, qui ex Lacmone monte per agrum Apolloniaten prope Oricum portum in mare influit: *noctu vero selecti viri, divitiis et genere spectatissimi* inter cives, easdem oves custodiunt, quisque per anni spatium. (2) Nam oves has, ex oraculi responso quodam, maximi faciunt Apolloniatæ; stabulantur autem illæ in antro quodam procul ab urbe. Ibi eas tunc Euenius hic, ad id delectus, custodiebat: et nocte quadam, quum, vigilandi tempus dormiendo transigeret, ingressi in antrum lupi oves fere sexaginta corripuerunt. (3) Quod ubi ille animadvertit, tacuit, nec cuiquam edixit, alias cogitans emere

τιχαταστήσειν ἄλλα πριάμενος. Καὶ οὐ γὰρ ἔλαθε τοὺς Ἀπολλωνιήτας ταῦτα γενόμενα, ἀλλ' ὡς ἐπύθοντο, ὑπαγαγόντες μιν ὑπὸ δικαστήριον κατέκριναν, ὡς τὴν φυλακὴν κατακοιμήσαντα, τῆς ὄψιος στερηθῆναι. (4) Ἐπείτε δὲ τὸν Εὐήνιον ἐξετύφλωσαν, αὐτίκα μετὰ ταῦτα οὔτε πρόβατά σφι ἔτικτε οὔτε γῆ ἔφερε ὁμοίως καρπόν. Πρόφαντα δέ σφι ἔν τε Δωδώνῃ καὶ ἐν Δελφοῖσι ἐγίνετο. Ἔπειτεν ἐπειρώτευν τοὺς προφήτας τὸ αἴτιον τοῦ παρεόντος κακοῦ. (5) Οἱ δὲ αὐτοῖσι ἔφραζον ὅτι ἀδίκως τὸν φύλακον τῶν ἱρῶν προβάτων Εὐήνιον τῆς ὄψιος ἐστέρησαν· αὐτοὶ γὰρ ἐπορμῆσαι τοὺς λύκους, οὐ πρότερόν τε παύσεσθαι τιμωρέοντες ἐκείνῳ πρὶν ἢ δίκας δῶσι τῶν ἐποίησαν, ταύτας τὰς ἂν αὐτὸς ἕληται καὶ δικαιοῖ· τούτων δὲ τελεομένων αὐτοὶ δώσειν Εὐηνίῳ δόσιν τοιαύτην τὴν πολλούς μιν μακαριέειν ἀνθρώπων ἔχοντα.

XCIV. Τὰ μὲν χρηστήρια ταῦτά σφι ἐχρήσθη, οἱ δὲ Ἀπολλωνιῆται ἀπόρρητα ποιησάμενοι προέθεσαν τῶν ἀστῶν ἀνδράσι διαπρῆξαι. Οἱ δέ σφι διέπρηξαν ὧδε. (2) Κατημένου Εὐηνίου ἐν θώκῳ ἐλθόντες οἱ παρίζοντο καὶ λόγους ἄλλους ἐποιεῦντο, ἐς ὃ κατέβαινον συλλυπεύμενοι τῷ πάθεϊ. Ταύτῃ δὲ ὑπάγοντες εἰρώτεον τίνα δίκην ἂν ἕλοιτο, εἰ ἐθέλοιεν Ἀπολλωνιῆται δίκας ὑποστῆναι δώσειν τῶν ἐποίησαν. (3) Ὁ δὲ οὐκ ἀκηκοὼς τὸ θεοπρόπιον εἵλετο εἰπας εἴ τίς οἱ δοίη ἀγρούς, τῶν ἀστῶν οὐνομάσας τοῖσι ἠπίστατο εἶναι καλλίστους δύο κλήρους τῶν ἐν τῇ Ἀπολλωνίῃ, καὶ οἰκησιν πρὸς τούτοισι τὴν ἤδεε καλλίστην ἐοῦσαν τῶν ἐν τῇ πόλι· τούτων δὲ ἔφη ἐπήβολος γενόμενος τοῦ λοιποῦ ἀμήνιτος εἶναι, καὶ δίκην οἱ ταύτην ἀποχρᾶν γενομένην. (4) Καὶ ὁ μὲν ταῦτα ἔλεγε, οἱ δὲ πάρεδροι εἶπαν ὑπολαβόντες, « Εὐήνιε, ταύτην δίκην Ἀπολλωνιῆται τῆς ἐκτυφλώσιος ἐκτίνουσί τοι κατὰ θεοπρόπια τὰ γενόμενα. » (5) Ὁ μὲν δὴ πρὸς ταῦτα δεινὰ ἐποιέετο, ἐνθεῦτεν πυθόμενος τὸν πάντα λόγον, ὡς ἐξαπατηθείς· οἱ δὲ πριάμενοι παρὰ τῶν ἐκτημένων διδοῦσί οἱ τὰ εἵλετο. Καὶ μετὰ ταῦτα αὐτίκα ἔμφυτον μαντικὴν εἶχε, ὥστε καὶ οὐνομαστὸς γενέσθαι.

XCV. Τούτου δὴ ὁ Δηΐφονος ἐὼν παῖς τοῦ Εὐηνίου ἀγόντων Κορινθίων ἐμαντεύετο τῇ στρατιῇ. Ἤδη δὲ καὶ τόδε ἤκουσα, ὡς ὁ Δηΐφονος ἐπιβατεύων τοῦ Εὐηνίου οὐνόματος ἐξελάμβανε ἐπὶ τὴν Ἑλλάδα ἔργα, οὐκ ἐὼν Εὐηνίου παῖς.

XCVI. Τοῖσι δὲ Ἕλλησι ὡς ἐκαλλίρησε, ἀνῆγον τὰς νέας ἐκ τῆς Δήλου πρὸς τὴν Σάμον. Ἐπεὶ δὲ ἐγένοντο τῆς Σαμίης πρὸς Καλάμοισι, οἱ μὲν αὐτοῦ ὁρμισάμενοι κατὰ τὸ Ἡραῖον τὸ ταύτῃ παρεσκευάζοντο ἐς ναυμαχίην, οἱ δὲ Πέρσαι πυθόμενοί σφεας προσπλώειν ἀνῆγον καὶ αὐτοὶ πρὸς τὴν ἤπειρον τὰς νέας τὰς ἄλλας, τὰς δὲ Φοινίκων ἀπῆκαν ἀποπλώειν. (2) Βουλευομένοισι γάρ σφι ἐδόκεε ναυμαχίην μὴ ποιέεσθαι· οὐ γὰρ ὧν ἐδόκεον ὁμοῖοι εἶναι. Ἐς δὲ τὴν ἤπειρον ἀπέπλωον, ὅκως ἔωσι ὑπὸ τὸν πεζὸν στρατὸν τὸν σφέτερον ἐόντα ἐν τῇ Μυκάλῃ, ὃς κελεύσαντος Ξέρξεω

et in illarum locum substituere. At non latuit Apolloniatas factum: qui, ut id cognoverunt, in judicium adductum Euenium condemnarunt, ut, quoniam ovium custodiam dormiendo transegisset, oculorum usu privaretur. (4) Sed, postquam eum excæcarunt, continuo deinde nec oves illis pepererunt, nec terra fructum, ut ante, edere cœpit. Inde oracula consulebant et Dodonæ et Delphis, caussamque ex prophetis quærebant præsentium malorum. (5) Responderunt illi, eo ipsis hæc accidere, quod sacrarum ovium custodem Euenium luminibus orbassent: se enim (*deos*) immisisse illos lupos; neque prius desituros esse illum ulcisci, quam ei pœnam facinoris dedissent Apolloniatæ, quamcumque ipse postulasset: quæ quando soluta fuerit pœna, daturos Euenio esse deos tale donum, cujus caussa multi homines beatum illum sint prædicaturi.

XCIV. Hæc Apolloniatis data sunt responsa; quæ illi clam habentes, civium suorum nonnullis negotium cum Euenio conficiendum mandarunt. Et hi ad id conficiendum hac usi sunt ratione. (2) Conveniunt Euenium in sella sedentem, eique adsidentes primum aliis de rebus verba faciunt, deinde ad commiserandam hominis calamitatem progressi, atque ita eum fallentes, interrogant quasnam pœnas esset postulaturus, si voluissent Apolloniatæ pœnas sustinere eorum quæ in illum admisissent. (3) Et ille, qui de oraculi responso nihil audiverat, optans ait: Si quis ipsi daret agros istos (ibi nominabat cives quosdam, quos noverat duo pulcerrima Apolloniæ prædia possidere), et ædes insuper in urbe, quas noverat ille pulcerrimas esse; hæc, inquit, si nactus fuisset, in posterum se non iraturum esse civibus, sed hac mulcta fore contentum. (4) Quæ ubi illi dixit, adsidentes ei cives responderunt: « Euenie, hanc mulctam, ex oraculi responso, solvunt tibi Apolloniatæ pro eo quod te luminibus privarunt. » (5) Et ille quidem, postquam rem totam cognovit, ægerrime tulit se ita esse circumventum: Apolloniatæ vero ea, quæ ille optaverat, empta a dominis, ei dederunt. Protinus autem ab hoc tempore insitam divinandi vim et sacra interpretandi idem Euenius habuit, ita ut hoc nomine celebris evaserit.

XCV. Hujus igitur Euenii filius Deiphonus, adductus a Corinthiis, sacrorum interpres fuit apud hunc exercitum. Audivi vero etiam, eumdem Deiphonum, usurpato Euenii nomine, passim per Græciam operam suam locasse, quum non fuisset Euenii filius.

XCVI. Græci, ut perlitarunt, naves ex Delo ad Samum moverunt; et postquam ad Calamos venerunt, terræ Samiæ locum ita nominatum, ibi prope Junonis templum, quod eo loci est, adpulerunt et ad navalem pugnam se compararunt. At Persæ, ubi illos adnavigare resciverunt, ipsi quoque naves moverunt; et cæteras quidem admoverunt continenti, Phœnicum vero naves ut abirent permiserunt. (2) Deliberantibus quippe visum erat, pugna navali non esse decernendum; nec enim se Græcis pares esse existimabant. Ad continentem autem navigarunt, quo essent sub pedestris exercitus sui tutamine, qui in

καταλελειμμένος τοῦ ἄλλου στρατοῦ Ἰωνίην ἐφύλασσε· τοῦ πλῆθος μὲν ἓξ μυριάδες, ἐστρατήγεε δὲ αὐτοῦ Τιγράνης κάλλεί τε καὶ μεγάθεϊ ὑπερφέρων Περσέων. (3) Ὑπὸ τοῦτον μὲν δὴ τὸν στρατὸν ἐβουλεύσαντο καταφυγόντες οἱ τοῦ ναυτικοῦ στρατηγοὶ ἀνειρύσαι τὰς νέας καὶ περιβαλέσθαι ἔρκος ἕρυμα τῶν νεῶν καὶ σφέων αὐτῶν χρησφύγετον.

XCVII. Ταῦτα βουλευσάμενοι ἀνήγοντο. Ἀπικόμενοι δὲ παρὰ τὸ τῶν Ποτνιέων ἱρὸν τῆς Μυκάλης ἐς Γαίσωνά τε καὶ Σκολοπόεντα, τῇ Δήμητρος Ἐλευσινίης ἐστὶ ἱρὸν, τὸ Φίλιστος ὁ Πασικλέος ἱδρύσατο Νείλεῳ τῷ Κόδρου ἐπισπόμενος ἐπὶ Μιλήτου κτιστὴν, (2) ἐνθαῦτα τάς τε νέας ἀνείρυσαν καὶ περιεβάλοντο ἔρκος καὶ λίθων καὶ ξύλων, δένδρεα ἐκκόψαντες ἥμερα, καὶ σκόλοπας περὶ τὸ ἔρκος κατέπηξαν. Καὶ παρεσκευάδατο ὡς πολιορκησόμενοι καὶ ὡς νικήσοντες· ἐπ' ἀμφότερα ἐπιλεγόμενοι γὰρ παρεσκευάδατο.

XCVIII. Οἱ δὲ Ἕλληνες ὡς ἐπύθοντο οἰχωκότας τοὺς βαρβάρους ἐς τὴν ἤπειρον, ἤχθοντο ὡς ἐκπεφευγότων, ἐν ἀπορίῃ τε εἶχοντο ὅ τι ποιέωσι, εἴτε ἀπαλλάσσωνται ὀπίσω εἴτε καταπλώωσι ἐπ' Ἑλλησπόντου. (2) Τέλος δ' ἔδοξε τούτων μὲν μηδέτερα ποιέειν, ἐπιπλώειν δὲ ἐπὶ τὴν ἤπειρον. Παρασκευασάμενοι ὦν ἐς ναυμαχίην καὶ ἀποβάθρας καὶ τὰ ἄλλα ὅσων ἔδεε, ἔπλωον ἐπὶ τῆς Μυκάλης. (3) Ἐπεὶ δὲ ἀγχοῦ τε ἐγίνοντο τοῦ στρατοπέδου καὶ οὐδεὶς ἐφαίνετό σφι ἐπαναγόμενος, ἀλλ' ὥρεον νέας ἀνελκυσμένας ἔσω τοῦ τείχεος, πολλὸν δὲ πεζὸν παρακεκριμένον παρὰ τὸν αἰγιαλὸν, ἐνθαῦτα πρῶτον μὲν ἐν τῇ νηῒ παραπλώων, ἐγχρίμψας τῷ αἰγιαλῷ τὰ μάλιστα, Λευτυχίδης ὑπὸ κήρυκος προηγόρευε τοῖσι Ἴωσι λέγων, (4) « ἄνδρες Ἴωνες, ὅσοι ὑμέων τυγχάνουσι ἐπακούοντες, μάθετε τὰ λέγω· πάντως γὰρ οὐδὲν συνήσουσι Πέρσαι τῶν ἐγὼ ὑμῖν ἐντέλλομαι. Ἐπεὰν συμμίσγωμεν, μεμνῆσθαί τινα χρὴ ἐλευθερίης μὲν πάντων πρῶτον, μετὰ δὲ τοῦ συνθήματος Ἥβης. Καὶ τάδε ἴστω καὶ ὁ μὴ ἐπακούσας ὑμέων πρὸς τοῦ ἐπακούσαντος. » (5) Ὑποβὰς δὲ οὗτος ἐὼν τυγχάνει νόος τοῦ πρήγματος καὶ ὁ Θεμιστοκλέος ὁ ἐπ' Ἀρτεμισίῳ· ἢ γὰρ δὴ λαθόντα τὰ ῥήματα τοὺς βαρβάρους ἔμελλε τοὺς Ἴωνας πείσειν, ἢ ἔπειτεν ἀνενειχθέντα ἐς τοὺς βαρβάρους ποιήσειν ἀπίστους τοῖσι Ἕλλησι.

XCIX. Λευτυχίδεω δὲ ταῦτα ὑποθεμένου δεύτερα δὴ τάδε ἐποίευν οἱ Ἕλληνες· προσσχόντες τὰς νέας ἀπέβησαν ἐς τὸν αἰγιαλόν. Καὶ οὗτοι μὲν ἐτάσσοντο, οἱ δὲ Πέρσαι ὡς εἶδον τοὺς Ἕλληνας παρασκευαζομένους ἐς μάχην καὶ τοῖσι Ἴωσι παραινέσαντας, τοῦτό μὲν ὑπονώσαντες τοὺς Σαμίους τὰ Ἑλλήνων φρονέειν ἀπαιρέονται τὰ ὅπλα. (2) Οἱ γὰρ ὦν Σάμιοι ἀπικομένων Ἀθηναίων αἰχμαλώτων ἐν τῇσι νησὶ τῶν βαρβάρων, τοὺς ἔλαβον ἀνὰ τὴν Ἀττικὴν λελειμμένους οἱ Ξέρξεω, τούτους λυσάμενοι πάντας ἀποπέμπουσι ἐποδιάσαντες ἐς τὰς Ἀθήνας· τῶν εἵνεκεν οὐκ ἥκιστα ὑποψίην εἶχον, πεντακοσίας κεφαλὰς τῶν Ξέρξεω πολεμίων λυσάμενοι. (3) Τοῦτο δὲ τὰς διόδους τὰς ἐς τὰς κορυφὰς τῆς Μυκάλης erat, nempe jussu Xerxis de reliquo exercitu ibi custodiendæ Ioniæ caussa relictus. Sexaginta hominum millia erant, quibus Tigranes præerat, vir et forma et statura inter Persas eminens. (3) Hujus igitur sub exercitus tutamen se recipere decreverunt duces classis, navesque in terram subducere, et vallo circumdare, quod simul munimentum navibus et sibi refugium esset.

XCVII. Hoc inito consilio moverunt Persæ; quumque præternavigato Potniarum (*dominarum, dearum : nisi* Potniensium) templo, quod in Mycale est, in Gæsonem et Scolopoentem venissent, ubi est Cereris Eleusiniæ templum, quod Philistus statuit, Pasiclis filius, Neleum Codri filium ad Miletum condendam secutus : (2) ibi subduxerunt naves; et, cæsis arboribus frugiferis, muro eas circumdederunt partim ligneo, partim lapideo, palosque præacutos circa murum defixerunt. Denique, in utramque partem re deliberata, et ad tolerandam obsidionem et ad superandum hostem sese comparabant.

XCVIII. Græci, ut ad continentem abiisse barbaros cognoverunt, ægre ferebant quod sibi e manibus essent elapsi : nec vero satis certi erant quid facerent ipsi, utrum domum redirent, an in Hellespontum navigarent. (2) Ad extremum decreverunt neutrum horum facere, sed ad continentem dirigere naves. Itaque præparatis scalis et aliis rebus quarum in navali pugna usus est, versus Mycalen navigarunt. (3) Ubi vero prope castra fuerunt hostium, neque quisquam adparuit qui adversus illos egrederetur, naves autem viderunt intra murum subductas, et frequentem peditatum secundum littus in acie stantem; ibi tunc Leotychides, primum, præter littus quam proxime potuit navigans, præconis voce hæc verba Ionibus adclamavit : (4) « Viri Iones, quotquot estis qui me auditis, accipite quæ dico! omnino enim non intelligent Persæ quæ vobis mando. Quando ad manus venerimus cum hoste, tum quisque vestrûm ante omnia libertatis memento, deinde vero tesseræ Hebæ. Hæc etiam qui vocem meam non exaudierit cognoscat vestrûm ex his qui audiverint. » (5) Cujus sermonis idem consilium fuit quod Themistoclis ad Artemisium. Scilicet, si barbaros laterent dicta, persuasurum se speravit Ionibus ut deficiant; sive illa ad barbaros fuissent delata, facturum ut hi Græcis (*Ionibus*) diffiderent.

XCIX. Deinde, postquam ita Ionas hortatus Leotychides est, hæc fecerunt Græci : adpulsis ad littus navibus exscenderunt, aciemque instruxerunt. Persæ vero, quum Græcos cernerent ad pugnandum paratos, scirentque hortatos eos esse Ionas; nec Samiis nec Milesiis satis fidebant. Et Samiis quidem, quod eos suspicarentur cum Græcis sentire, arma adimunt. (2) Samii enim, quum in classe barbarorum advenissent Athenienses captivi, quos in Attica relictos ceperat Xerxis exercitus, hos omnes pretio redemerant, et dato viatico Athenas remiserant : quo magis hos suspicio premebat, ut qui quingenta capita hostium Xerxis liberassent captivitate. (3) Milesios vero jusserunt exitus viarum

λης φερούσας προστάσσουσι τοῖσι Μιλησίοισι φυλάσσειν ὡς ἐπισταμένοισι δῆθεν μάλιστα τὴν χώρην· ἐποίευν δὲ τούτου εἵνεκεν, ἵνα ἐκτὸς τοῦ στρατοπέδου ἔωσι. (4) Τούτους μὲν Ἰώνων τοῖσι καὶ κατεδόκεον νεοχμὸν ἄν τι ποιέειν δυνάμιος ἐπιλαβομένοισι, τρόποισι τοιούτοισι προεφυλάσσοντο οἱ Πέρσαι, αὐτοὶ δὲ συνεφόρησαν τὰ γέρρα ἕρκος εἶναί σφι.

C. Ὡς δὲ ἄρα παρεσκευάδατο τοῖσι Ἕλλησι, προσήϊσαν πρὸς τοὺς βαρβάρους. Ἰοῦσι δέ σφι φήμη τε ἐσέπτατο ἐς τὸ στρατόπεδον πᾶν καὶ κηρυκήϊον ἐφάνη ἐπὶ τῆς κυματωγῆς κείμενον· ἡ δὲ φήμη διῆλθέ σφι ὧδε, ὡς οἱ Ἕλληνες τὴν Μαρδονίου στρατιὴν νικῷεν ἐν Βοιωτοῖσι μαχόμενοι. (2) Δῆλα δὴ πολλοῖσι τεκμηρίοισί ἐστι τὰ θεῖα τῶν πρηγμάτων, εἰ καὶ τότε τῆς αὐτῆς ἡμέρης συμπιπτούσης τοῦ τε ἐν Πλαταιῇσι καὶ τοῦ ἐν Μυκάλῃ μέλλοντος ἔσεσθαι τρώματος φήμη τοῖσι Ἕλλησι τοῖσι ταύτῃ ἐσαπίκετο, ὥστε θαρσῆσαί τε τὴν στρατιὴν πολλῷ μᾶλλον καὶ ἐθέλειν προθυμότερον κινδυνεύειν.

CI. Καὶ τόδε ἕτερον συνέπεσε γενόμενον, Δήμητρος τεμένεα Ἐλευσινίης παρ' ἀμφοτέρας τὰς συμβολὰς εἶναι· καὶ γὰρ δὴ ἐν τῇ Πλαταιίδι παρ' αὐτὸ τὸ Δημήτριον ἐγένετο, ὡς καὶ πρότερόν μοι εἴρηται, ἡ μάχη, καὶ ἐν Μυκάλῃ ἔμελλε ὡσαύτως ἔσεσθαι. (2) Γεγονέναι δὲ νίκην τῶν μετὰ Παυσανίεω Ἑλλήνων ὀρθῶς σφι ἡ φήμη συνέβαινε ἐλθοῦσα· τὸ μὲν γὰρ ἐν Πλαταιῇσι πρωΐ ἔτι τῆς ἡμέρης ἐγίνετο, τὸ δὲ ἐν Μυκάλῃ περὶ δείλην. (3) Ὅτι δὲ τῆς αὐτῆς ἡμέρης συνέβαινε γίνεσθαι μηνός τε τοῦ αὐτοῦ, χρόνῳ οὐ πολλῷ σφι ὕστερον δῆλα ἀναμανθάνουσι ἐγένετο. Ἦν δὲ ἀρρωδίη σφι πρὶν τὴν φήμην ἐσαπικέσθαι, οὔτι περὶ σφέων αὐτῶν οὕτω ὡς τῶν Ἑλλήνων, μὴ περὶ Μαρδονίῳ πταίσῃ ἡ Ἑλλάς. (4) Ὡς μέντοι ἡ κληδὼν αὕτη σφι ἐσέπτατο, μᾶλλόν τι καὶ ταχύτερον τὴν πρόσοδον ἐποιεῦντο. Οἱ μὲν δὴ Ἕλληνες καὶ οἱ βάρβαροι ἔσπευδον ἐς τὴν μάχην, ὡς σφι καὶ αἱ νῆσοι καὶ ὁ Ἑλλήσποντος ἄεθλα προεκέετο.

CII. Τοῖσι μέν νυν Ἀθηναίοισι καὶ τοῖσι προσεχέσι τούτοισι τεταγμένοισι, μέχρι κου τῶν ἡμισέων, ἡ ὁδὸς ἐγίνετο κατ' αἰγιαλόν τε καὶ ἄπεδον χῶρον, τοῖσι δὲ Λακεδαιμονίοισι καὶ τοῖσι ἐπεξῆς τούτοισι τεταγμένοισι κατά τε χαράδρην καὶ οὔρεα. (2) Ἐν ᾧ δὲ οἱ Λακεδαιμόνοι περιήϊσαν, οὗτοι οἱ ἐπὶ τῷ ἑτέρῳ κέρεϊ [ἔτι] καὶ δὴ ἐμάχοντο. Ἕως μέν νυν τοῖσι Πέρσῃσι ὀρθία ἦν τὰ γέρρα, ἠμύνοντό τε καὶ οὐδὲν ἔλασσον εἶχον τῇ μάχῃ· ἐπεὶ δὲ τῶν Ἀθηναίων καὶ τῶν προσεχέων ὁ στρατὸς, ὅκως ἑωυτῶν γένηται τὸ ἔργον καὶ μὴ Λακεδαιμονίων, παρακελευσάμενοι ἔργου εἴχοντο προθυμότερον, ἐνθεῦτεν ἤδη ἑτεροιοῦτο τὸ πρῆγμα. (3) Διωσάμενοι γὰρ τὰ γέρρα οὗτοι φερόμενοι ἐσέπεσον ἁλέες ἐς τοὺς Πέρσας, οἱ δὲ δεξάμενοι καὶ χρόνον συχνὸν ἀμυνόμενοι τέλος ἔφευγον ἐς τὸ τεῖχος. (4) Ἀθηναῖοι δὲ καὶ Κορίνθιοι καὶ Σικυώνιοι καὶ Τροιζήνιοι (οὕτω γὰρ ἔσαν ἐπεξῆς τεταγμένοι) συνεπισπόμενοι συνεσέπιπτον ἐς τὸ

custodire ad Mycalæ cacumina ferentium, ut qui regionem optime nossent: id autem hoc consilio fecerunt, ut illi extra castra essent. (4) Ah his igitur Ionibus, quos suspicabantur, si potestatem nanciscerentur, res novas molituros, hoc modo sibi Persæ præcaverunt: ipsi vero crates comportarunt, quæ sibi pro vallo essent.

C. Jam Græci, instructa acie, ibant in hostem, quum subito fama quædam pervolavit universum exercitum, et caduceus conspectus est in littore depositus. Currebat autem fama hujusmodi, Græcos in Bœotia exercitum Mardonii prælio superasse. (2) Nempe multis utique documentis declarantur res quæ divinitus contingunt; quandoquidem tunc quoque, quum idem congruit dies quo et ad Platæas cladem Persæ acceperunt et ad Mycalen accepturi erant, ad Græcos hic stantes fama pervenit; quo factum est, ut multo majorem fiduciam caperet exercitus, et ad subeundum periculum esset alacrior.

CI. Atque etiam hoc alterum contigit ut concurreret, quod utraque pugna prope Cereris Eleusiniæ templum pugnata sit. Nam prope Cereris templum et in Platæensi agro, ut supra dixi, pugnatum est, et nunc ad Mycalen pariter pugnaturi erant. (2) Victoriam autem jam tum reportasse Græcos cum Pausania, recte his fama nunciavit: nam Platæensis pugna matutino adhuc tempore hujus diei pugnata erat, hæc autem ad Mycalen sub vesperam. (3) Pugnatam autem esse utramque pugnam eodem ejusdem mensis die, haud multo post, ratione inita, liquido cognoverunt. Anxii autem fuerant, priusquam hæc fama advenit, non tam sui caussa, quam omnium Græcorum, metuentes ne Mardonio succumberet Græcia: (4) sed postquam illa exercitum pervolavit fama, eo confidentiores et celeriore gradu in hostem iverunt. Igitur et Græci et barbari pugnandi studio flagrabant, quippe quibus et insulæ et Hellespontus præmium victoriæ propositum erat.

CII. Athenienses, et qui proxime illos locati erant, dimidium fere totius exercitus, viam habebant secundum littus et per plana loca; Lacedæmonii vero, et qui post hos locati, per voraginem et montana. (2) Dumque hi circumibant, illi in altero cornu pugnam jam commiserant. Quamdiu igitur Persis rectæ stabant crates, repugnabant illi hostibus, neque eis erant inferiores. Sed quum Athenienses hisque proximi, quo ipsorum esset factum, non Lacedæmoniorum, invicem cohortati, acrius incumberent operi, tum quidem mutata est rei facies. (3) Perruptis enim cratibus ingenti impetu conferti in Persas irruebant: et illi exceperunt quidem impetum, et per sat longum tempus repugnarunt; ad extremum vero intra murum profugerunt. (4) Quos insecuti Athenienses cum Corinthiis et Sicyoniis et Trœzeniis (hi enim ita deinceps in acie locati erant), simul

τεῖχος. Ὡς δὲ καὶ τὸ τεῖχος ἀραίρητο, οὔτ' ἔτι πρὸς ἀλκὴν ἐτράποντο οἱ βάρβαροι, πρὸς φυγήν τε ὡρμέατο οἱ ἄλλοι πλὴν Περσέων· οὗτοι δὲ κατ' ὀλίγους γινόμενοι ἐμάχοντο τοῖσι αἰεὶ ἐς τὸ τεῖχος ἐσπίπτουσι Ἑλλήνων. (5) Καὶ τῶν στρατηγῶν τῶν Περσικῶν δύο μὲν ἀποφεύγουσι, δύο δὲ τελευτέουσι· Ἀρταύντης μὲν καὶ Ἰθαμίτρης τοῦ ναυτικοῦ στρατηγέοντες ἀποφεύγουσι, Μαρδόντης δὲ καὶ ὁ τοῦ πεζοῦ στρατηγὸς Τιγράνης μαχόμενοι τελευτέουσι.

CIII. Ἔτι δὲ μαχομένων τῶν Περσέων ἀπίκοντο Λακεδαιμόνιοι καὶ οἱ μετ' αὐτῶν, καὶ τὰ λοιπὰ συνδιεχείριζον. Ἔπεσον δὲ καὶ αὐτῶν τῶν Ἑλλήνων συχνοὶ ἐνθαῦτα, ἄλλοι τε καὶ Σικυώνιοι καὶ στρατηγὸς Περίλεως. (2) Τῶν δὲ Σαμίων οἱ στρατευόμενοι ἐόντες τε ἐν τῷ στρατοπέδῳ τῷ Μηδικῷ καὶ ἀπαραιρημένοι τὰ ὅπλα, ὡς εἶδον αὐτίκα κατ' ἀρχὰς γινομένην ἑτεραλκέα τὴν μάχην, ἔρδον ὅσον ἐδυνέατο προσωφελέειν ἐθέλοντες τοῖσι Ἕλλησι. (3) Σαμίους δὲ ἰδόντες οἱ ἄλλοι Ἴωνες ἄρξαντας, οὕτω δὴ καὶ αὐτοὶ ἀποστάντες ἀπὸ Περσέων ἐπέθεντο τοῖσι βαρβάροισι.

CIV. Μιλησίοισι δὲ προσετέτακτο μὲν τῶν Περσέων τὰς διόδους τηρέειν, σωτηρίης εἵνεκέν σφι, ὡς ἦν ἄρα σφέας καταλαμβάνῃ οἷά περ κατέλαβε, ἔχοντες ἡγεμόνας σώζωνται ἐς τὰς κορυφὰς τῆς Μυκάλης. Ἐτάχθησαν μέν νυν ἐπὶ τοῦτο τὸ πρῆγμα οἱ Μιλήσιοι τούτου τε εἵνεκεν, καὶ ἵνα μὴ παρεόντες ἐν τῷ στρατοπέδῳ τι νεοχμὸν ποιέοιεν· (2) οἱ δὲ πᾶν τὸ ἐναντίον τοῦ προστεταγμένου ἐποίευν, ἄλλας τε κατηγεόμενοί σφι ὁδοὺς φεύγουσι, αἳ δὴ ἔφερον ἐς τοὺς πολεμίους, καὶ τέλος αὐτοί σφι ἐγίνοντο κτείνοντες πολεμιώτατοι. Οὕτω δὴ τὸ δεύτερον Ἰωνίη ἀπὸ Περσέων ἀπέστη.

CV. Ἐν δὲ ταύτῃ τῇ μάχῃ Ἑλλήνων ἠρίστευσαν Ἀθηναῖοι, καὶ Ἀθηναίων Ἑρμόλυκος ὁ Εὐθύνου, ἀνὴρ παγκρατίων ἐπασκήσας. Τοῦτον δὲ τὸν Ἑρμόλυκον κατέλαβε ὕστερον τούτων, πολέμου ἐόντος Ἀθηναίοισί τε καὶ Καρυστίοισι, ἐν Κύρνῳ τῆς Καρυστίης χώρης ἀποθανόντα ἐν μάχῃ κέεσθαι ἐπὶ Γεραιστῷ. (2) Μετὰ δὲ Ἀθηναίους Κορίνθιοι καὶ Τροιζήνιοι καὶ Σικυώνιοι ἠρίστευσαν.

CVI. Ἐπείτε δὲ κατεργάσαντο οἱ Ἕλληνες τοὺς πολλοὺς τοὺς μὲν μαχομένους, τοὺς δὲ καὶ φεύγοντας τῶν βαρβάρων, τὰς νέας ἐνέπρησαν καὶ τὸ τεῖχος ἅπαν, τὴν λείην προεξαγαγόντες ἐς τὸν αἰγιαλόν, καὶ θησαυρούς τινας χρημάτων εὗρον. (2) Ἐμπρήσαντες δὲ τὸ τεῖχος καὶ τὰς νέας ἀπέπλωον. Ἀπικόμενοι δὲ ἐς Σάμον οἱ Ἕλληνες ἐβουλεύοντο περὶ ἀναστάσιος τῆς Ἰωνίης, καὶ ὅκῃ χρεὼν εἴη τῆς Ἑλλάδος κατοικίσαι τῆς αὐτοὶ ἐγκρατέες ἔσαν, τὴν δὲ Ἰωνίην ἀπεῖναι τοῖσι βαρβάροισι· (3) ἀδύνατον γὰρ ἐφαίνετό σφι εἶναι ἑωυτούς τε Ἰώνων προκατῆσθαι φρουρεόντας τὸν πάντα χρόνον, καὶ ἑωυτῶν μὴ προκατημένων Ἴωνας οὐδεμίαν ἐλπίδα εἶχον χαίροντας πρὸς τῶν Περσέων ἀπαλλάξειν. (4) Πρὸς ταῦτα Πελοποννησίων μὲν τοῖσι ἐν τέλεϊ ἐοῦσι ἐδόκεε τῶν μηδισάντων ἐθνέων τῶν Ἑλληνικῶν τὰ ἐμ-

cum illis intra murum irruerunt. Ut igitur etiam castellum hoc expugnatum est, omissa pugna barbari fugam corripuere, exceptis Persis; qui, etiam ad exiguum licet numerum redacti, constanter tamen Græcis, adsidue irruentibus, sese opposuerunt. (5) Et ex ducibus quidem Persicis duo fuga evasere, duo vero perierunt. Artayntes et Ithamitres, classiariorum præfecti, fuga salutem petierunt; pugnantes vero ceciderunt Mardontes et imperator pedestris exercitus Tigranes.

CIII. Dum adhuc pugnabant Persæ, advenerunt Lacedæmonii, quique cum his erant, et reliqua simul peregerunt. Ceciderunt autem ibi ex ipsis etiam Græcis haud pauci; quum alii, tum ex Sicyoniis multi, eorumque dux Perilaus. (2) Samii vero, qui in exercitu Medico militabant, quibus arma erant adempta, quum jam initio vidissent ancipitem esse pugnam, quidquid in eorum fuit potestate, fecerunt, quo Græcos juvarent. (3) Et reliqui Iones, videntes Samios initium facere defectionis, ipsi quoque a Persis deficientes, adorti sunt barbaros.

CIV. Jam Milesiis quidem mandatum erat, ut viarum exitus custodirent, salutis causa Persarum; quo, si eis accidisset id quod etiam accidit, ducibus his uterentur, quorum ope in cacumina Mycalæ salvi evaderent. Hoc quidem consilio Milesios Persæ ibi locaverant ad illud efficiendum: simul vero, ne, si exercitui adessent, novi quidpiam molirentur. (2) At illi plane contrarium ejus, quod mandatum erat, fecerunt: fugientes quippe barbaros per contrarias duxerunt vias, quæ ad hostes ferebant; et ad extremum eos ipsi, ut infensissimi hostes, interfecerunt. Ita quidem iterum Ionia a Persis defecit.

CV. In hac ad Mycalen pugna inter Græcos virtutis præmium obtinuerunt Athenienses; et ex Atheniensibus Hermolycus Euthyni filius, pancratiastes. Idem vero Hermolycus post hæc, quum bellum gererent Athenienses cum Carystiis, Cyrni in agro Carystio cecidit in prælio, et prope Geræstum sepultus est. (2) Post Athenienses autem Corinthii et Trœzenii et Sicyonii præcipuam virtutis laudem commeruerunt.

CVI. Græci, plerisque barbarorum, partim in prælio, partim in fuga interfectis, naves cremarunt et totum munimentum, præda prius egesta et in littore deposita: repererantque arcas nonnullas rebus pretiosis repletas. (2) Munitione et navibus incensis, retro navigarunt. Deinde, postquam Samum pervenere, deliberarunt de Ionia in aliam terram transferenda, et qua parte Græciæ, quæ in potestate esset Græcorum, sedes Ionibus sint adsignandæ. Ionia enim videbatur barbaris esse relinquenda, (3) quandoquidem fieri non posset ut ipsi perpetuo Ioniæ præsiderent, eamque custodirent; Iones autem, nisi sub Græcorum præsidio essent, nequaquam sperare possent, salvos se fore nec pœnas Persis daturos. (4) Qua proposita deliberatione, qui ex Peloponnesiis aderant dignitate eminentes, emporia Græcorum qui cum Medis sensissent, ejectis incolis, cum

πόρια ἐξαναστήσαντας δοῦναι τὴν χώρην Ἴωσι ἐνοικῆσαι· Ἀθηναίοισι δὲ οὐκ ἐδόκεε ἀρχὴν Ἰωνίην γενέσθαι ἀνάστατον, οὐδὲ Πελοποννησίοισι περὶ τῶν σφετέρων ἀποικιέων βουλεύειν. (5) Ἀντιτεινόντων δὲ τούτων προθύμως εἶξαν οἱ Πελοποννήσιοι. Καὶ οὕτω δὴ Σαμίους τε καὶ Χίους καὶ Λεσβίους, καὶ τοὺς ἄλλους νησιώτας οἳ ἔτυχον συστρατευόμενοι τοῖσι Ἕλλησι, ἐς τὸ συμμαχικὸν ἐποιήσαντο, πίστι τε καταλαβόντες καὶ ὅρκοισι ἐμμενέειν τε καὶ μὴ ἀποστήσεσθαι. (6) Τούτους δὲ καταλαβόντες ὅρκοισι ἔπλωον τὰς γεφύρας λύσοντες· ἔτι γὰρ ἐδόκεον ἐντεταμένας εὑρήσειν. Οὗτοι μὲν δὴ ἐπ' Ἑλλησπόντου ἔπλωον.

CVII. Τῶν δὲ ἀποφυγόντων βαρβάρων ἐς τὰ ἄκρα τε τῆς Μυκάλης κατειληθέντων, ἐόντων οὐ πολλῶν, ἐγίνετο κομιδὴ ἐς Σάρδις. (2) Πορευομένων δὲ κατ' ὁδὸν Μασίστης ὁ Δαρείου παρατυχὼν τῷ πάθεϊ τῷ γεγονότι τὸν στρατηγὸν Ἀρταΰντην ἔλεγε πολλά τε καὶ κακὰ, ἄλλα τε καὶ γυναικὸς κακίω φὰς αὐτὸν εἶναι τοιαῦτα στρατηγήσαντα, καὶ ἄξιον εἶναι παντὸς κακοῦ τὸν βασιλέος οἶκον κακώσαντα. (3) Παρὰ δὲ τοῖσι Πέρσῃσι γυναικὸς κακίω ἀκοῦσαι δέννος μέγιστός ἐστι. Ὁ δὲ ἐπεὶ πολλὰ ἤκουσε, δεινὰ ποιεύμενος σπᾶται ἐπὶ τὸν Μασίστην τὸν ἀκινάκεα, ἀποκτεῖναι ἐθέλων. (4) Καί μιν ἐπιθέοντα φρασθεὶς Ξεναγόρης ὁ Πρηξίλεω ἀνὴρ Ἁλικαρνησεὺς ὄπισθε ἑστεὼς αὐτοῦ Ἀρταΰντεω, ἁρπάζει μέσον καὶ ἐξάρας παίει ἐς τὴν γῆν· καὶ ἐν τούτῳ οἱ δορυφόροι Μασίστεω προέστησαν. (5) Ὁ δὲ Ξεναγόρης ταῦτα ἐργάσατο χάριτα αὐτῷ τε Μασίστῃ τιθέμενος καὶ Ξέρξῃ, ἐκσώζων τὸν ἀδελφεὸν τὸν ἐκείνου· καὶ διὰ τοῦτο τὸ ἔργον Ξεναγόρης Κιλικίης πάσης ἦρξε δόντος βασιλέος. (6) Τῶν δὲ κατ' ὁδὸν πορευομένων οὐδὲν ἔτι πλέον ἐγένετο τούτων, ἀλλ' ἀπικνέονται ἐς Σάρδις. Ἐν δὲ τῇσι Σάρδισι ἐτύγχανε ἐὼν βασιλεὺς ἐξ ἐκείνου τοῦ χρόνου, ἐπείτε ἐξ Ἀθηνέων προσπταίσας τῇ ναυμαχίῃ φυγὼν ἀπίκετο.

CVIII. Τότε δὴ ἐν τῇσι Σάρδισι ἐὼν ἄρα ἦρα τῆς Μασίστεω γυναικὸς, ἐούσης καὶ ταύτης ἐνθαῦτα. Ὡς δέ οἱ προσπέμποντι οὐκ ἐδύνατο κατεργασθῆναι, οὐδὲ βίην προσέφερε προμηθεόμενος τὸν ἀδελφεὸν Μασίστην· (τὠυτὸ δὲ τοῦτο εἶχε καὶ τὴν γυναῖκα· εὖ γὰρ ἠπίστατο βίης οὐ τευξομένη·) (2) ἐνθαῦτα δὴ Ξέρξης ἐργόμενος τῶν ἄλλων πρήσσει τὸν γάμον τοῦτον τῷ παιδὶ τῷ ἑωυτοῦ Δαρείῳ, θυγατέρα τῆς γυναικὸς ταύτης καὶ Μασίστεω, δοκέων αὐτὴν μᾶλλον λάμψεσθαι ἢν ταῦτα ποιήσῃ. Ἁρμόσας δὲ καὶ τὰ νομιζόμενα ποιήσας ἀπῆλαυνε ἐς Σοῦσα. (3) Ἐπεὶ δὲ ἐκεῖ τε ἀπίκετο καὶ ἠγάγετο ἐς ἑωυτοῦ Δαρείῳ τὴν γυναῖκα, οὕτω δὴ τῆς Μασίστεω μὲν γυναικὸς ἐπέπαυτο, ὁ δὲ διαμειψάμενος ἦρα τε καὶ ἐτύγχανε τῆς Δαρείου μὲν γυναικὸς, Μασίστεω δὲ θυγατρός· οὔνομα δὲ τῇ γυναικὶ ταύτῃ ἦν Ἀρταΰντη.

CIX. Χρόνου δὲ προϊόντος ἀνάπυστα γίνεται τρόπῳ τοιῷδε. Ἐξυφήνασα Ἀμηστρις ἡ Ξέρξεω γυνὴ φᾶρος μέγα τε καὶ ποικίλον καὶ θέης ἄξιον διδοῖ Ξέρξῃ.

agro ad quodque emporium pertinente, Ionibus tradi debere censebant incolenda. Contra Athenienses nullo pacto Ionas aliam in terram transferendos censebant, nec decere Peloponnesios de ipsorum coloniis quidquam statuere. (5) Quibus obnitentibus, haud inviti Peloponnesii concesserunt. Itaque Samios, et Chios, et Lesbios, reliquosque insulares, qui arma et naves cum Græcis sociaverant, in commune sociorum receperunt, fide et jurejurando adstrictos de societate constanter et cum fide servanda. (6) His jurejurando adstrictis, ad Hellespontum navigarunt, pontes soluturi, quos adhuc stratos se reperturos esse existimaverant.

CVII. Qui ex barbaris fuga evaserunt, numero haud multi, in Mycalæ cacumina compulsi erant, hi deinde Sardes salvi redierunt. (2) Qui dum eo revertuntur, in itinere Masistes, Darii filius, qui acceptæ cladi interfuerat, ducem exercitus Artaynten multis insectatus est maledictis, quum alia dicens, tum et esse illum muliere ignaviorem, quod isto modo bellum administrasset; et quavis pœna dignum esse, qui regis domum illa calamitate adfecisset. (3) Apud Persas autem muliere ignaviorem audire, maximum opprobrium est. Et ille his diu auditis indignatus, acinacen eduxit, interfecturus Masisten. (4) Sed irruentem in eum cernens Xenagoras, Praxilai filius, Halicarnassensis, a tergo stans ipsius Artayntæ, corripuit medium, sublatumque prostravit humum: atque interim adcurrentes satellites Masisten protexerunt. (5) Quo facto Xenagoras et apud Masisten, et apud Xerxem, servato fratre, gratiam iniit: ob idemque factum dein a Xerxe universæ Ciliciæ præfectus est. (6) In reliquo itinere nihil amplius memorabile accidit: itaque Sardes hi venere. Morabatur autem tunc Sardibus Xerxes ab eo inde tempore quo post cladem mari acceptam, Athenis fugiens, hanc in urbem venerat.

CVIII. Sardibus igitur dum Xerxes moratur, amore tunc captus est uxoris Masistæ, quæ et ipsa ibi erat. Quum vero missis qui eam sollicitarent nihil profecisset, nec vim ei vellet inferre, ratione habita fratris sui Masistæ; (quod ipsum etiam mulierem retinuit, bene gnaram sibi vim non iri illatum;) (2) tum ille, quum nulla ei alia via pateret, filio suo Dario hasce conciliat nuptias, nempe filiam hujus mulieris et Masistæ illi dat uxorem; ratus, si hoc fecisset, facilius se matre potiturum. Hoc conciliato matrimonio, et peractis nuptiarum solennibus, Susa abiit. (3) Quo ut pervenit, uxoremque Darii suas in ædes recepit; tum vero, omissa uxore Masistæ, mutatoque amore, uxorem Darii deperiit, Masistæ filiam, eaque potitus est. Nomen huic mulieri Artaynta fuit.

CIX. Sed succedente tempore comperta res est hac ratione. Amestris, uxor Xerxis, amiculum texuerat ingens, variegatum, et spectatu dignum, quod dono dedit Xerxi

(2) Ὁ δὲ ἡσθεὶς περιβάλλεταί τε καὶ ἔρχεται παρὰ τὴν Ἀρταΰντην. Ἡσθεὶς δὲ καὶ ταύτῃ, ἐκέλευσε αὐτὴν αἰτῆσαι ὅ τι βούλεταί οἱ γενέσθαι ἀντὶ τῶν αὐτῷ ὑπουργημένων· πάντα γὰρ τεύξεσθαι αἰτήσασαν. (3) Τῇ δὲ κακῶς γὰρ ἔδεε πανοικίῃ γενέσθαι, πρὸς ταῦτα εἶπε Ξέρξῃ, « δώσεις μοι τὸ ἄν σε αἰτήσω; » ὁ δὲ πᾶν μᾶλλον δοκέων ἐκείνην αἰτῆσαι ὑπισχνέετο καὶ ὤμοσε. Ἡ δὲ, ὡς ὤμοσε, ἀδεῶς αἰτέει τὸ φᾶρος. (4) Ξέρξης δὲ παντοῖος ἐγίνετο οὐ βουλόμενος δοῦναι, κατ' ἄλλο μὲν οὐδέν, φοβεόμενος δὲ Ἀμηστριν, μὴ καὶ πρὶν κατεικαζούσῃ τὰ γινόμενα οὕτω ἐπευρεθῇ πρήσσων· ἀλλὰ πόλις τε ἐδίδου καὶ χρυσὸν ἄπλετον καὶ στρατὸν, τοῦ ἔμελλε οὐδεὶς ἄρξειν ἀλλ' ἢ ἐκείνη· Περσικὸν δὲ κάρτα ὁ στρατὸς δῶρον. (5) Ἀλλ' οὐ γὰρ ἔπειθε, διδοῖ τὸ φᾶρος. Ἡ δὲ περιχαρὴς ἐοῦσα τῷ δώρῳ ἐφόρεέ τε καὶ ἠγάλλετο. Καὶ ἡ Ἀμηστρις πυνθάνεταί μιν ἔχουσαν.

CX. Μαθοῦσα δὲ τὸ ποιεύμενον τῇ μὲν γυναικὶ ταύτῃ οὐκ εἶχε ἔγκοτον, ἡ δὲ ἐλπίζουσα τὴν μητέρα αὐτῆς εἶναι αἰτίην καὶ ταῦτα ἐκείνην πρήσσειν, τῇ Μασίστεω γυναικὶ ἐβούλευε ὀλεθρον. (2) Φυλάξασα δὲ τὸν ἄνδρα τὸν ἑωυτῆς Ξέρξεα βασιλήϊον δεῖπνον προτιθέμενον (τοῦτο δὲ τὸ δεῖπνον παρασκευάζεται ἅπαξ τοῦ ἐνιαυτοῦ, ἐν ἡμέρῃ τῇ ἐγένετο βασιλεύς· οὔνομα δὲ τῷ δείπνῳ τούτῳ Περσιστὶ μὲν τυκτὰ, κατὰ δὲ τὴν Ἑλλήνων γλῶσσαν τέλειον· τότε καὶ τὴν κεφαλὴν σμᾶται μοῦνον βασιλεὺς καὶ Πέρσας δωρέεται), (3) ταύτην δὴ τὴν ἡμέρην φυλάξασα ἡ Ἀμηστρις χρῄζει τοῦ Ξέρξεω δοθῆναί οἱ τὴν Μασίστεω γυναῖκα. Ὁ δὲ δεινόν τε καὶ ἀνάρσιον ἐποιέετο τοῦτο μὲν ἀδελφεοῦ γυναῖκα παραδοῦναι, τοῦτο δὲ ἀναιτίην ἐοῦσαν τοῦ πρήγματος τούτου· συνῆκε γὰρ τοῦ εἵνεκεν ἐδέετο.

CXI. Τέλος μέντοι ἐκείνης τε λιπαρεούσης καὶ ὑπὸ τοῦ νόμου ἐξεργόμενος, ὅτι ἀτυχῆσαι τὸν χρῄζοντα οὐ σφι δυνατόν ἐστι βασιληίου δείπνου προκειμένου, κάρτα δὴ ἀέκων κατανεύει, καὶ παραδοὺς ποιέει ὧδε· (2) τὴν μὲν κελεύει ποιέειν τὰ βούλεται, ὁ δὲ μεταπεμψάμενος τὸν ἀδελφεὸν λέγει τάδε, « Μασίστα, σὺ εἷς Δαρείου τε παῖς καὶ ἐμὸς ἀδελφεὸς, πρὸς δ' ἔτι τούτοισι καὶ εἷς ἀνὴρ ἀγαθός. Γυναικὶ δὲ ταύτῃ τῇ νῦν συνοικέεις μὴ συνοίκεε, ἀλλά τοι ἀντ' αὐτῆς ἐγὼ δίδωμι θυγατέρα τὴν ἐμήν. Ταύτῃ συνοίκεε· τὴν δὲ νῦν ἔχεις, οὐ γὰρ δοκέει ἐμοὶ, μὴ ἔχε γυναῖκα. » (3) Ὁ δὲ Μασίστης ἀποθωμάσας τὰ λεγόμενα λέγει τάδε, « ὦ δέσποτα, τίνα μοι λόγον λέγεις ἄχρηστον, κελεύων με γυναῖκα, ἐκ τῆς μοι παῖδες νεηνίαι τέ εἰσι τρεῖς καὶ θυγατέρες, τῶν καὶ σὺ μίαν τῷ παιδὶ τῷ σεωυτοῦ ἠγάγεο γυναῖκα, αὐτή τέ μοι κατὰ νόον τυγχάνει κάρτα ἐοῦσα, ταύτην με κελεύεις μετέντα θυγατέρα τὴν σὴν γῆμαι; (4) Ἐγὼ δὲ, βασιλεῦ, μέγα μὲν ποιεῦμαι ἀξιεύμενος θυγατρὸς τῆς σῆς, ποιήσω μέντοι τούτων οὐδέτερα. Σὺ δὲ μηδαμῶς βιῶ πρήγματος τοιοῦδε δεόμενος· ἀλλὰ τῇ τε σῇ θυγατρὶ ἀνὴρ ἄλλος φανήσεται ἐμεῦ οὐδὲν ἔσσων, ἐμέ τε ἔα γυναικὶ τῇ ἐμῇ συνοικέειν. » (5) Ὁ μὲν δὴ τοιούτοισι ἀμείβεται, Ξέρξης δὲ θυμωθεὶς

(2) Quo ille delectatus, idem amiculum indutus convenit Artayntam. Jamque quum et hac delectatus esset, jussit eam, pro eo quod ipsi gratificaretur, petere quidquid illa sibi dari voluisset; omnia enim, quæ petitura esset, consecuturam. (3) Tum illa (nam in fatis erat, ut ingens calamitas universæ familiæ incumberet) Xerxi respondit : « Dabisne mihi quod abs te petam? » Et ille, quidvis potius aliud petituram illam ratus, interposito jurejurando promisit. Tum illa, postquam juravit rex, nihil verita, amiculum istud petiit. (4) At Xerxes, in omnes se partes vertens, dare recusavit, nulla quidem alia de caussa, nisi quod Amestrin metuebat, veritus ne ab illa, jam pridem id quod agebatur suspicante, in hac culpa deprehenderetur; sed urbes se illi dono daturum ait, et auri immensam vim, et exercitum cui nemo alius nisi ipsa præfutura esset. Est autem hoc Persicum utique donum, exercitus. (5) At mulieri non persuasit; ideoque amiculum ei dedit. Quo munere illa supra modum gavisa, gestabat amiculum, eoque superbiebat : et eam illud habere cognovit Amestris.

CX. Quo comperto, regina non tam in mulierculam illam odium concepit, quam in ejus matrem, Masistæ uxorem; eique, ut quæ auctor hujus rei, ut illa putabat, et unice in culpa esset, exitium meditata est. (2) Itaque diem observavit, quo maritus ipsius Xerxes regiam cœnam erat propositurus : (paratur autem hæc regia cœna semel quotannis, natali regis die; et Persico sermone *tycta* dicitur, quod Græcorum lingua τέλειον, id est perfectum, significat; quo etiam die tantum rex sibi caput smegmate detergit, et munera dat Persis :) (3) hoc igitur observato die Amestris petiit a Xerxe, ut sibi traderetur uxor Masistæ. Ille vero rem atrocem et indignam judicavit, uxorem fratris illi tradere, eamque nullam hujus rei culpam habentem : intellexerat enim cur hanc illa sibi tradendam postularet.

CXI. Verumtamen, quum illa postulare non cessaret, ipse autem lege teneretur, quæ vetabat regem Persarum negare quidquid ab illo, quando regia cœna proposita est, postulatur, postremo admodum quidem invitus indulget. Tradita vero muliere, hoc fecit : (2) uxorem jussit, quæ vellet, facere : ipse vero fratrem ad se vocatum his verbis compellavit : « Masista, tu Darii filius es, meusque frater : ad hæc vir bonus et fortis es. Jam tu hanc mulierem, quam adhuc in matrimonio habuisti, noli porro habere : sed tibi ego, pro illa, meam filiam despondeo. Cum hac matrimonium contrahe; illa vero, quam nunc habes, non sit porro tua conjux; sic enim mihi placet. » (3) Cui Masistes, miratus dicta, respondit : « Proh domine! quænam est hæc importuna oratio, quod me jubes uxorem meam, ex qua mihi tres juvenes filii nati sunt, et filiæ, quarum tu unam tuo filio in matrimonium duxisti, denique quæ animo meo convenit, hanc me dimittere jubes, et tuam filiam ducere uxorem! (4) Ego vero, rex, magni quidem facio me conjugio filiæ tuæ digneris : at horum tamen equidem neutrum faciam : tu vero noli mihi vim adferre, talem rem postulans. Tuæ certe filiæ reperietur alius maritus me non inferior : me vero sine meam habere uxorem! (5)

λέγει τάδε, « οὕτω τοι, Μασίστα, πέπρηκται· οὔτε γὰρ ἄν τοι δοίην θυγατέρα τὴν ἐμὴν γῆμαι, οὔτε ἐκείνῃ πλεῦνα χρόνον συνοικήσεις, ὡς μάθῃς τὰ διδόμενα δέχεσθαι. » (6) Ὁ δὲ ὡς ταῦτα ἤκουσε, εἶπας τοσόνδε ἐχώρεε ἔξω, « δέσποτα, οὐ δή κώ με ἀπώλεσας. »

CXII. Ἐν δὲ τούτῳ τῷ διὰ μέσου χρόνῳ, ἐν τῷ Ξέρξης τῷ ἀδελφεῷ διελέγετο, ἡ Ἀμηστρις μεταπεμψαμένη τοὺς δορυφόρους τοῦ Ξέρξεω διαλυμαίνεται τὴν γυναῖκα τὴν Μασίστεω. Τούς τε μαστοὺς ἀποταμοῦσα κυσὶ προέβαλε, καὶ ῥῖνα καὶ ὦτα καὶ χεῖλεα καὶ γλῶσσαν ἐκταμοῦσα ἐς οἶκόν μιν ἀποπέμπει διαλελυμασμένην.

CXIII. Ὁ δὲ Μασίστης οὐδέν κω ἀκηκοὼς τούτων, ἐλπόμενος δέ τί οἱ κακὸν εἶναι, ἐσπίπτει δρόμῳ ἐς τὰ οἰκία. Ἰδὼν δὲ διεφθαρμένην τὴν γυναῖκα, αὐτίκα μετὰ ταῦτα συμβουλευσάμενος τοῖσι παισὶ ἐπορεύετο ἐς Βάκτρα σύν τε τοῖσι ἑωυτοῦ υἱοῖσι καὶ δή κού τισι καὶ ἄλλοισι ὡς ἀποστήσων νομὸν τὸν Βάκτριον καὶ ποιήσων τὰ μέγιστα κακῶν βασιλέα. (2) Τά περ ἂν καὶ ἐγένετο, ὡς ἐμοὶ δοκέειν, εἰ περ ἔφθη ἀναβὰς ἐς τοὺς Βακτρίους καὶ τοὺς Σάκας· καὶ γὰρ ἔστεργόν τέ μιν καὶ ἦν ὕπαρχος τῶν Βακτρίων. (3) Ἀλλὰ γὰρ Ξέρξης πυθόμενος ταῦτα ἐκεῖνον πρήσσοντα πέμψας ἐπ' αὐτὸν στρατιὴν ἐν τῇ ὁδῷ κατέκτεινεν αὐτόν τε ἐκεῖνον καὶ τοὺς παῖδας αὐτοῦ καὶ τὴν στρατιὴν τὴν ἐκείνου. Κατὰ μὲν τὸν ἔρωτα τὸν Ξέρξεω καὶ τὸν Μασίστεω θάνατον τοσαῦτα ἐγένετο.

CXIV. Οἱ δὲ ἐκ Μυκάλης ὁρμηθέντες Ἕλληνες ἐπ' Ἑλλησπόντου πρῶτον μὲν περὶ Λεκτὸν ὥρμεον, ὑπ' ἀνέμων ἀπολαμφθέντες, ἐνθεῦτεν δὲ ἀπίκοντο ἐς Ἄβυδον, καὶ τὰς γεφύρας εὗρον διαλελυμένας, τὰς ἐδόκεον εὑρήσειν ἔτι ἐντεταμένας, καὶ τούτων οὐκ ἥκιστα εἵνεκεν ἐς τὸν Ἑλλήσποντον ἀπίκοντο. (2) Τοῖσι μέν νυν ἀμφὶ Λευτυχίδεα Πελοποννησίοισι ἔδοξε ἀποπλώειν ἐς τὴν Ἑλλάδα, Ἀθηναίοισι δὲ καὶ Ξανθίππῳ τῷ στρατηγῷ αὐτοῦ ὑπομείναντας πειρᾶσθαι τῆς Χερσονήσου. Οἱ μὲν δὴ ἀπέπλωον, Ἀθηναῖοι δὲ ἐκ τῆς Ἀβύδου διαβαλόντες ἐς τὴν Χερσόνησον Σηστὸν ἐπολιόρκεον.

CXV. Ἐς δὲ τὴν Σηστὸν ταύτην, ὡς ἐόντος ἰσχυροτάτου τείχεος τῶν ταύτῃ, συνῆλθον, ὡς ἤκουσαν παρεῖναι τοὺς Ἕλληνας ἐς τὸν Ἑλλήσποντον, ἔκ τε τῶν ἄλλων τῶν περιοικίδων, καὶ δὴ καὶ ἐκ Καρδίης πόλιος Οἰόβαζος ἀνὴρ Πέρσης, ὃς τὰ ἐκ τῶν γεφυρέων ὅπλα ἐνθαῦτα ἦν κεκομικώς. Εἶχον δὲ ταύτην ἐπιχώριοι Αἰολέες, συνῆσαν δὲ Πέρσαι τε καὶ τῶν ἄλλων συμμάχων συχνὸς ὅμιλος.

CXVI. Ἐτυράννευε δὲ τούτου τοῦ νομοῦ Ξέρξεω ὕπαρχος Ἀρταΰκτης, ἀνὴρ μὲν Πέρσης, δεινὸς δὲ καὶ ἀτάσθαλος, ὃς καὶ βασιλέα ἐλαύνοντα ἐπ' Ἀθήνας ἐξεπάτησε, τὰ Πρωτεσίλεω τοῦ Ἰφίκλου χρήματα ἐξ Ἐλαιοῦντος ὑπελόμενος. (2) Ἔν γὰρ Ἐλαιοῦντι τῆς Χερσονήσου ἐστὶ Πρωτεσίλεω τάφος τε καὶ τέμενος περὶ αὐτὸν, ἔνθα ἦν χρήματα πολλὰ καὶ φιάλαι χρύσεαι καὶ ἀργύρεαι καὶ χαλκὸς καὶ ἐσθὴς καὶ ἄλλα ἀναθήματα, τὰ ἐπεφρόντιζε ἡ Ἀμηστρις τοῦ Πρωτεσίλεω ἐοῦσα γυνὴ ἐπιχώριον ἄνδρα ἔχειν. Ταῦτα δὴ ὦν ὁ Ἀρταΰκτης ἐπεθύμησε ἀπενεῖκαι ἐς Σοῦσα, ἐπιστάμενος ὅτι οὐδεὶς ἐπιχώριος ἐστὶ ἀνὴρ ἐπ' ἑωυτῷ ποιεύμενος τὸν Πρωτεσίλεω οἶκον, ἀλλὰ τοῦ ἀπ' ἀρχῆς κτίσαντος ἀεὶ τὰ ἐκείνου ἔχουσι.

Quo responso iratus Xerxes, « Igitur hoc, inquit, profecisti : nempe nec ego tibi filiam meam dabo in matrimonium, nec tu istam porro habebis uxorem ; quo discas oblata accipere. » (6) Et ille, nihil amplius nisi hoc verbum subjiciens, « Domine, nondum tamen prorsus me perdidisti, » foras exiit.

CXII. Per idem tempus quo Xerxes cum fratre disseruit, interim Amestris, accitis regis satellitibus, uxorem Masistæ misere dilacerat : præcisas mamillas canibus projicit, et nares et aures et labia, denique linguam ubi exciderat, domum dimittit ita indigne dilaniatam.

CXIII. Masistes, quum nihil etiam tunc horum audivisset, metuens tamen aliquam sibi calamitatem imminere, cursu domum suam properavit. Ubi conspecta uxore ita mutilata, consilio cum filiis inito, protinus cum filiis aliisque nonnullis Bactra proficiscitur, Bactrianam provinciam ad defectionem sollicitaturus, et quanta maxima posset mala illaturus regi. (2) Atque hoc ipsum etiam perfecisset, ut mihi videtur, si usque ad Bactros et Sacas pervenisset : hi enim illum diligebant, et erat ipse Bactrianæ præfectus. (3) At Xerxes, ubi eum hoc agere cognovit, misso contra eum exercitu, et ipsum et ejus filios et milites qui cum illo erant, in itinere interfecit. Et hæc quidem de amore Xerxis et de Masistæ obitu hactenus.

CXIV. Græci a Mycale versus Hellespontum profecti, primum ad Lectum naves adpulere, ventis retenti : deinde vero, ubi Abydum pervenere, pontes viderunt rescissos, quos adhuc stratos esse putaverant ; qua de caussa etiam maxime ad Hellespontum navigaverant. (2) Quare Leotychidæ cæterisque Peloponnesiis placuit retro navigare in Græciam : Atheniensibus vero, eorumque duci Xanthippo, visum est his in locis manere, et Chersonesum tentare. Itaque Lacedæmonii domum navigarunt, Athenienses vero, postquam ex Abydo in Chersonesum trajecerant, Sestum oppugnarunt.

CXV. Est autem hæc Sestus munitissimus illius regionis locus : itaque, adlato nuncio de Græcorum in Hellespontum adventu, in illam se receperant et ex aliis finitimis oppidis frequentes, et ex Cardia Œobazus Persa, qui ibi armamenta pontium deposuerat. Tenebant urbem indigenæ Æolenses : cum his vero et Persæ erant, et aliorum sociorum haud exiguus numerus.

CXVI. Tyrannus universæ provinciæ Artayctes erat, Persa, sævus vir et nefarius : qui etiam, decepto rege quum contra Athenas proficisceretur, Protesilai thesauros, Iphicli filii, Elæunte spoliaverat. (2) Est enim Elæunte, Chersonesi oppido, Protesilai sepulcrum, eique circumdatum fanum, in quo erant pecuniæ multæ, et aureæ argenteæque phialæ, et æs, et vestis, et alia donaria ; quæ Ar-

ματα, τὰ Ἀρταΰκτης ἐσύλησε βασιλέος δόντος. (3) Λέγων δὲ τοιάδε Ξέρξεα διεβάλετο, « δέσποτα, ἔστι οἶκος ἀνδρὸς Ἕλληνος ἐνθαῦτα, ὃς ἐπὶ γῆν τὴν σὴν στρατευσάμενος δίκης κυρήσας ἀπέθανε. Τούτου μοι δὸς τὸν οἶκον, ἵνα καί τις μάθῃ ἐπὶ γῆν τὴν σὴν μὴ στρατεύεσθαι. » (4) Ταῦτα λέγων εὐπετέως ἔμελλε ἀναπείσειν Ξέρξεα δοῦναι ἀνδρὸς οἶκον, οὐδὲν ὑποτοπηθέντα τῶν ἐκείνος ἐφρόνεε. Ἐπὶ γῆν δὲ τὴν βασιλέος στρατεύεσθαι Πρωτεσίλεων ἔλεγε νοέων τοιάδε· τὴν Ἀσίην πᾶσαν νομίζουσι ἑωυτῶν εἶναι Πέρσαι καὶ τοῦ αἰεὶ βασιλεύοντος. (5) Ἐπεὶ δὲ ἐδόθη τὰ χρήματα, ἐξ Ἐλαιοῦντος ἐς Σηστὸν ἐξεφόρησε, καὶ τὸ τέμενος ἔσπειρε καὶ ἐνέμετο, αὐτός τε ὅκως ἀπίκοιτο ἐς Ἐλαιοῦντα, ἐν τῷ ἀδύτῳ γυναιξὶ ἐμίσγετο. (6) Τότε δὲ ἐπολιορκέετο ὑπ' Ἀθηναίων οὔτε παρεσκευασμένος ἐς πολιορκίην οὔτε προσδεκόμενος τοὺς Ἕλληνας· ἀφυλάκτῳ δέ κως αὐτῷ ἐπέπεσον.

CXVII. Ἐπεὶ δὲ πολιορκεομένοισί σφι φθινόπωρον ἐπεγίνετο, ἦσχαλλον οἱ Ἀθηναῖοι ἀπό τε τῆς ἑωυτῶν ἀποδημέοντες καὶ οὐ δυνάμενοι ἐξελέειν τὸ τεῖχος, ἐδέοντό τε τῶν στρατηγῶν ὅκως ἀπάγοιέν σφέας ὀπίσω. (2) Οἱ δὲ οὐκ ἔφασαν πρὶν ἢ ἐξέλωσι ἢ τὸ Ἀθηναίων κοινὸν σφεας μεταπέμψηται· οὕτω δὴ ὕστερον τὰ παρεόντα.

CXVIII. Οἱ δὲ ἐν τῷ τείχεϊ ἐς πᾶν ἤδη κακοῦ ἀπιγμένοι ἔσαν, οὕτω ὥστε τοὺς τόνους ἕψοντες τῶν κλινέων ἐσιτέοντο. Ἐπείτε δὲ οὐδὲ ταῦτα ἔτι εἶχον, οὕτω δὴ ὑπὸ νύκτα οἴχονται ἀποδράντες οἵ τε Πέρσαι καὶ ὁ Ἀρταΰκτης καὶ ὁ Οἰόβαζος, ὄπισθε τοῦ τείχεος καταβάντες, τῇ ἦν ἐρημότατον τῶν πολεμίων. (2) Ὡς δὲ ἡμέρη ἐγένετο, οἱ Χερσονησῖται ἀπὸ τῶν πύργων ἐσήμηναν τοῖσι Ἀθηναίοισι τὸ γεγονὸς καὶ τὰς πύλας ἀνοιξαν. Τῶν δὲ οἱ μὲν πλεῦνες ἐδίωκον, οἱ δὲ τὴν πόλιν εἶχον.

CXIX. Οἰόβαζον μέν νυν ἐκφυγόντα ἐς τὴν Θρηΐκην Θρηΐκες Ἀψίνθιοι λαβόντες ἔθυσαν Πλειστώρῳ ἐπιχωρίῳ θεῷ τρόπῳ τῷ σφετέρῳ, τοὺς δὲ μετ' ἐκείνου ἄλλῳ τρόπῳ ἐφόνευσαν. (2) Οἱ δὲ ἀμφὶ τὸν Ἀρταΰκτην ὕστεροι δρμηθέντες φεύγειν, καὶ ὡς κατελαμβάνοντο ὀλίγον ἐόντες ὑπὲρ Αἰγὸς Ποταμῶν, ἀλεξόμενοι χρόνον ἐπὶ συχνὸν οἱ μὲν ἀπέθανον, οἱ δὲ ζώοντες ἑλάμφθησαν. (3) Καὶ συνδήσαντές σφεας οἱ Ἕλληνες ἤγαγον ἐς Σηστὸν, μετ' αὐτῶν δὲ καὶ Ἀρταΰκτην δεδεμένον, αὐτόν τε καὶ τὸν παῖδα αὐτοῦ.

CXX. Καί τεῳ τῶν φυλασσόντων λέγεται ὑπὸ Χερσονησιτέων ταρίχους ὀπτέοντι τέρας γενέσθαι τοιόνδε· οἱ τάριχοι ἐπὶ τῷ πυρὶ κείμενοι ἐπάλλοντό τε καὶ ἥσπαιρον ὅκως περ ἰχθύες νεαλωτοι. (2) Καὶ οἱ μὲν περιχυθέντες ἐθώμαζον, ὁ δὲ Ἀρταΰκτης ὡς εἶδε τὸ τέρας, καλέσας τὸν ὀπτέοντα τοὺς ταρίχους ἔφη, « ξεῖνε Ἀθηναῖε, μηδὲν φοβέεο τὸ τέρας τοῦτο· οὐ γὰρ σοὶ πέφηνε, ἀλλ' ἐμοὶ σημαίνει ὁ ἐν Ἐλαιοῦντι Πρωτεσίλεως ὅτι καὶ τεθνεὼς καὶ τάριχος ἐὼν δύναμιν πρὸς θεῶν ἔχει τὸν ἀδικέοντα σίνεσθαι. (3) Νῦν ὦν ἀποινά οἱ τάδε

tayctes raptit, dono sibi data a rege. (3) Deceperat autem Xerxem tali oratione : « Domine, inquit, est hic loci domus viri Græci, qui, quum adversus terram tuam arma ferret, pœnas dedit, occisusque est. Hujus tu domum mihi dono da; quo discat quisque, contra tuam terram non esse arma ferenda. » (4) Quibus dictis facile persuasurus erat regi, ut ei domum hujus viri largiretur; quippe qui nihil eorum, quæ ille sentiret, suspicatus erat. Quod autem ille Protesilaum adversus regis terram arma tulisse dixit, id hoc modo intellexerat : Persæ universam Asiam existimant suam esse et illius regis qui quoque tempore apud illos regnum obtinet. (5) Artayctes igitur dono sibi datas opes Elæunte Sestum transportavit, et in agro heroi consecrato partim sementem fecit, partim pecora sua pavit : et quoties ipse Elæuntem venit, in penetrali cum mulieribus concubuit. (6) Tunc vero obsidebatur ab Atheniensibus, quum nec ad tolerandam obsidionem paratus esset, nec omnino exspectasset Athenienses, qui prorsus de improviso illum invaserant.

CXVII. Postquam vero obsidioni autumnus supervenit, tum dolentes Athenienses, quod et domo abessent, et urbem non possent expugnare, orarunt duces, ut domum se reducerent. (2) At hi negarunt id se prius facturos, quam aut expugnassent urbem, aut a communi Atheniensium revocarentur. Ita illi quoque præsentem rerum statum patienter tulerunt.

CXVIII. Jam vero, qui in urbe erant, ad extrema redacti erant malorum; ita quidem ut lora etiam lectulorum elixarent comederentque. Quum autem ne hæc quidem amplius suppeterent, noctu profugerunt Persæ cum Artaycte et Œobazo, in postica urbis parte de muro descendentes, qua parte valde rari erant hostes. (2) Quod factum, ubi illuxit, Chersonesitæ Atheniensibus e turribus significarunt, portasque eis aperuerunt. Moxque major horum pars persecuti sunt profugos, cæteri vero urbem occuparunt.

CXIX. Et Œobazum quidem, quum in Thraciam fugisset, captum Thraces Absinthii Plistoro indigenæ deo mactarunt suo more; cæteros autem, qui cum eo erant, alio modo interfecerunt. (2) Artayctes vero cum suis, qui post illos demum fugam capessiverant, deprehensi quum paullo ultra Ægos Potamos essent progressi, satis diu restiterunt; donec, aliis interfectis, cæteri vivi capti sunt : (3) quos vinctos Sestum Athenienses duxerunt, in hisque ipsum etiam Artaycten et ejus filium.

CXX. Memorantque Chersonesitæ, uni ex eis, qui vinctos custodiebant, quum salsamenta super igne torreret, prodigium obtigisse hujusmodi : salsamenta igni imposita subsiliebant palpitabantque, veluti recens capti pisces. (2) Quod factum quum mirarentur reliqui adcurrentes, Artayctes, ut vidit prodigium, compellans hominem salsamenta torrentem, ait : « Hospes Atheniensis, non est quod tu hoc prodigio terrearis. Non enim tibi illud adparuit; sed mihi Protesilaus, qui Elæunte est, significat, se etiam mortuum et sale conditum, vim habere a diis tributam nocendi his qui injuria illum adfecerunt. (3) Nunc igitur ego

ἐθέλω ἐπιθεῖναι, ἀντὶ μὲν χρημάτων τῶν ἔλαβον ἐκ τοῦ ἱροῦ, ἑκατὸν τάλαντα καταθεῖναι τῷ θεῷ, ἀντὶ δ' ἐμεωυτοῦ καὶ τοῦ παιδὸς ἀποδώσω τάλαντα διηκόσια Ἀθηναίοισι περιγενόμενος. » (4) Ταῦτα ὑπισχόμενος τὸν στρατηγὸν Ξάνθιπτον οὐκ ἔπειθε· οἱ γὰρ Ἐλαιούσιοι τῷ Πρωτεσίλεῳ τιμωρέοντες ἐδέοντό μιν καταχρησθῆναι, καὶ αὐτοῦ τοῦ στρατηγοῦ ταύτῃ ὁ νόος ἔφερε. (5) Ἀπαγαγόντες δὲ αὐτὸν ἐς τὴν ἀκτὴν ἐς τὴν Ξέρξης ἔζευξε τὸν πόρον, οἱ δὲ λέγουσι ἐπὶ τὸν κολωνὸν τὸν ὑπὲρ Μαδύτου πόλιος, σανίδα προσπασσαλεύσαντες ἀνεκρέμασαν· τὸν δὲ παῖδα ἐν ὀφθαλμοῖσι τοῦ Ἀρταύκτεω κατέλευσαν.

CXXI. Ταῦτα δὲ ποιήσαντες ἀπέπλωον ἐς τὴν Ἑλλάδα, τά τε ἄλλα χρήματα ἄγοντες καὶ δὴ καὶ τὰ ὅπλα τῶν γεφυρέων ὡς ἀναθήσοντες ἐς τὰ ἱρά. Καὶ κατὰ τὸ ἔτος τοῦτο οὐδὲν ἔτι πλέον τούτων ἐγένετο.

CXXII. Τούτου δὲ τοῦ Ἀρταύκτεω τοῦ ἀνακρεμασθέντος προπάτωρ Ἀρτεμβάρης ἐστὶ ὁ Πέρσῃσι ἐξηγησάμενος λόγον τὸν ἐκεῖνοι ὑπολαβόντες Κύρῳ προσήνεικαν, λέγοντα τάδε, (2) « ἐπεὶ Ζεὺς Πέρσῃσι ἡγεμονίην διδοῖ, ἀνδρῶν δὲ σοὶ, Κῦρε, κατελὼν Ἀστυάγεα, φέρε, γῆν γὰρ ἐκτήμεθα ὀλίγην καὶ ταύτην τρηχέαν, μεταναστάντες ἐκ ταύτης ἄλλην ἔχωμεν ἀμείνω. (3) Εἰσὶ δὲ πολλαὶ μὲν ἀστυγείτονες, πολλαὶ δὲ καὶ ἑκαστέρω, τῶν μίαν σχόντες πλέοσι ἐσόμεθα θωμαστότεροι. Οἰκὸς δὲ ἄρχοντας ἀνδρας τοιαῦτα ποιέειν· κότε γὰρ δὴ καὶ παρέξει κάλλιον ἢ ὅτε γε ἀνθρώπων τε πολλῶν ἄρχομεν πάσης τε τῆς Ἀσίης; » (4) Κῦρος δὲ ταῦτα ἀκούσας, καὶ οὐ θωμάσας τὸν λόγον, ἐκέλευε ποιέειν ταῦτα, οὕτω δὲ αὐτοῖσι παραίνεε κελεύων παρασκευάζεσθαι ὡς οὐκέτι ἄρξοντας, ἀλλ' ἀρξομένους· φιλέειν γὰρ ἐκ τῶν μαλακῶν χώρων μαλακοὺς ἄνδρας γίνεσθαι· οὐ γάρ τοι τῆς αὐτῆς γῆς εἶναι καρπόν τε θωμαστὸν φύειν καὶ ἄνδρας ἀγαθοὺς τὰ πολέμια. (5) Ὥστε συγγνόντες Πέρσαι οἴχοντο ἀποστάντες, ἐσσωθέντες τῇ γνώμῃ πρὸς Κύρου, ἄρχειν τε εἵλοντο λυπρὴν οἰκέοντες μᾶλλον ἢ πεδιάδα σπείροντες ἄλλοισι δουλεύειν.

hanc mihi ipse mulctam, qua redimam culpam, volo irrogare : pro thesauris quos ex illius templo abstuli, centum talenta deo solvam; pro me autem et pro filio meo ducenta talenta pendam Atheniensibus, si salvos nos dimittere voluerint. » (4) Hæc ille pollicitus, prætori Xanthippo non persuasit. Nam Elæuntii, ulciscendi Protesilai caussa, ut supplicio ille adficeretur, rogarunt; et ipsius etiam prætoris in hanc partem inclinaverat sententia. (5) Itaque illum in littus eductum, in quod pertinuerant pontes a Xerxe juncti, sive, ut alii memorant, in collem supra Madytum oppidum situm, clavis asseri adfixum suspenderunt; et filium ejus in patris Artayctæ conspectu lapidibus obruerunt.

CXXI. His rebus gestis, retro in Græciam navigarunt, pecunias aliaque pretiosa secum vehentes, atque etiam pontium armamenta, quæ in templis dedicare constituerunt. Atque hoc anno nihil præterea memorabile gestum est.

CXXII. Hujus Artayctæ e trabe suspensi progenitor Artembares fuit, is qui Persis auctor fuerat sermonis, quem illi arripientes Cyro proposuerunt, in hanc sententiam : (2) « Quoniam Juppiter, sublato Astyage, Persis imperium tradidit, et præ omnibus hominibus tibi, Cyre; age, quum terram possideamus exiguam, eamque asperam, hac relicta aliam habitemus meliorem! (3) Sunt autem multæ tales in propinquo, multæ etiam longinquiores : quarum si unam occupaverimus, pluribus hominibus admirationi erimus. Decet autem hoc facere viros principatum tenentes : et quando tandem id fieri commodius poterit quam nunc, ubi tot hominibus et universæ Asiæ imperamus? » (4) Quibus auditis Cyrus, minime probans propositum, Faciant hoc! ait; simul vero ita se comparent, ut qui imperium porro non habituri sint, sed passuri! Ita enim naturam ferre, ut mollibus in terris molles nascantur homines : nec enim ejusdem terræ esse, et eximios fructus ferre, et fortes bello viros. (5) Et intelligentes Persæ, longe sapientiorem Cyri sententiam quam suam, desistentes proposito abierunt; et imperare maluerunt, tenuem incolentes terram, quam campestrem fertilemque colentes aliis servire.

INDEX

NOMINUM ET RERUM.

A.

Abæ, urbs Phocensium, I. 46. VIII. 27 *et* 134. ubi erat Apollinis delubrum locuples, VIII. 33. ibidem reddita oracula, Herodoti etiam ætate, *ibid.*

Abantes ex Eubœa oriundi, I. 146.

Abaris ferebatur fuisse Hyperboreus, IV. 36. de eo et ejus sagitta fabula, *ibid.*

Abdera, VI. 46. VII. 109. 126. a Teiis condita in Thracia, I. 168. Ejus urbis situs, VIII. 120. Eam Xerxes præterit, VII. 109.

Abderitæ : cum iis Xerxes hospitii fœdus init, et acinace aureo ac tiara eos donat, VIII. 120.

Abrocomes et Hyperanthes, Darii filii, Xerxis fratres, super cadaver Leonidæ occumbunt, VI. 224.

Abronychus Atheniensis, filius Lysiclis, speculator apud Leonidam, VIII. 21.

Absinthii, VI. 34. *vid.* Apsinthii.

Abydus, una urbium in Hellesponto, V. 117. VII. 33. 34. 174. vicina Dardano, VII. 43. ponte a Xerxe jungitur, VII. 34.

Abydeni sedem sublimem ex candido marmore Xerxi exstruunt, VII. 44.

Acanthe, arbor in Ægypto, II. 96.

Acanthus urbs, VI. 44.

Acanthios hospitii jure et Medica veste donat Xerxes, VII. 116.

Acanthiorum mare, VII. 22.

Acarnan *fuit* Megistias *vates*, VII. 221. Acarnan Amphilytus, I, 62; *ubi quidem* Acharnensis *videtur scribendum.*

Acarnania, II. 10.

Acbatana, *vide* Agbatana

Accipiter inter animantes sacras apud Ægyptios, II. 65. eum qui necaverit morte mulctatur, *ibid.* eas aves in urbem Butum asportant sepeliendas, II. 67, Accipitrum paria septem, omen sunt septem Persis, III. 76.

Acephali, οἱ ἀκέφαλοι, in Africa homines in pectoribus oculos habentes, IV. 191.

Aceratus, propheta in templo Delphico, VIII. 37.

Aces fluvius, III. 117. unde oriatur, *ibid.*

Achæorum, qui Iones e sedibus suis exegerunt, partes duodecim, I. 145.

Achæi Phthiotæ suppeditant Xerxi terrestres copias, VII. 132. 173. 175. prytaneo excludunt Athamantis posteros, VII. 197.

Achæiæ Cereris templum et orgia, V. 61.

Achæmenes, Darii filius, III. 12. Xerxis ex utroque parente germanus, VII. 7. *et* 97. Ægypti præses, VII. 7. Ægyptiacæ classi præfectus, VII. 97. bonum consilium Demarati invertit, VII. 236. periit in Ægypto ab Inaro interfectus, III. 12. VII. 7.

Achæmenes *alius*, Teispei pater, avus Cambysis, VII. 11.

Achæmenidarum familia nobilissima, I. 125. ex qua reges Persidæ prognati, *ibid.* eos moriens Cambyses obtestatus, ne imperium dimitterent, III. 65.

Achaia, ἡ Ἀχαιΐη, VIII. 36. Achaia Thessaliæ (*quæ alia* Phthiotis), VII. 173.

Achaicus populus, τὸ Ἀχαϊκὸν ἔθνος, Peloponneso non egressus, VIII. 73.

Achelous fl. II. 10. VII. 126.

Acheron fl. V. 92. VIII. 47.

Achilleius cursus, ὁ Ἀχιλλήιος Δρόμος, locus sic dictus, IV. 55. 76.

Achilleum, Ἀχιλλήιον, oppidum prope Sigeum, V. 94.

Acies Atheniensium in pugna Marathonia instructa, VI. 111. Græcorum ad Platæas, IX. 28 — 30. et Persarum ad Platæas, IX. 31.

Acinaces Martis, cui immolatur quotannis a Scythis, IV. 62. acinacem in calicem vino et sanguine plenum tingunt Scythæ in fœdere ineundo, IV. 70. acinaces Persicus in Hellespontum abjectus a Xerxe, VII. 54.

Acræphia urbs, VIII. 135.

Acrisius, Danaes pater, VI. 53.

Acropolis Athenarum a Persis expugnata, VIII. 52, 53.

